Fr. 1. Libri primi, qui usque ad Juliani Cæsaris tempora pertinet, procemium. — 2. *Aurelianus*. Seleucis avis. — 3. *Probus* (Cremna in Lycia obsessa). — 4. *Carini* indoles. — 5. *Diocletianus* fines imperii R. muris copiisque firmat. — 6. Jovii et Herculii, legionum nomina. — 7. Ablabius, præfectus prætorio, a *Constantio* supplicio afficitur (337). — 8. Libri secundi procemium. — Constantius et Julianus Cæsar : 8 a. Constantius in Galliam ablegans Julianum Cæsarem, legatos rerumque omnium administratores ei addit Marcellum et Salustium (355). — 9. Julianus Germanos ad Argentoratum prœlio fundit (357). — 10. Julianus contra Chamavos proficiscens Saliis parcere jubet (358). — 11. Charirttonem, latronem Gallum, socium sibi adjungit contra Quados. — 12. Pacem Chamavis petentibus concedit, obside retento filio regis captivo (358). — 13. Badomarius, Germanorum princeps, captivos Romanos Juliano restituere recusat (359). — 14. Constantii in Julianum invidia et insidiæ. Cyllenius quidam, qui Juliani res contra Alemannos gestas scripserat, ut veritatis parum studiosus ab ipso Cæsare redarguitur. — Julianus imperator : 15. Eunapius rhetor, legatus Lydorum, benigne ab imperatore excipitur (361). — 16. Juliani in judiciis exercendis æquitas. — 17. Salustius aulæ præfectus. Julianus Marcellum in honore habuit, etsi filium ejus conjurationis reum supplicio affecerit (362). — 18. Heraclium cynicum scripta oratione Julianus refutavit. — 19-22. Juliani expeditio Persica. Julianus Scytharum incursiones animo præsagit. Ctesiphontis obsidio. — 23. Post mortem Juliani super creando principe consultatio. (Subjungitur στηλιτευτικὸς κατὰ Εὐναπίου.) — 24. Loci e laudatione Juliani petiti : Juliani ad Oribasium medicum vox; Solis adoratio. — 25. Libanium in deliciis habebat Julianus; in Proæresium infestior erat. — 26. 27. Oracula Juliano data. — 28. *E novi libri procemio*. Ad suæ ipsius res ætatis describendas accedens auctor se veritatis studiosissimum fore pollicetur. — Jovianus, Valens et Valentinianus (363-378) : 29. Valentinianus Nicææ in Bithynia imperator proclamatur (364). — 30. Salustius, præfectus prætorio, homo integerrimus, a munere suo removetur. Valentinianus Rhodanum vel Chrysaphium archieunuchum judicio condemnatum cremari jubet. — 31. 32. Procopii rebellio (365). — 33. Arbitio Valentem Procopii cœptis territum ac fluctuantem erigit ac confirmat (365). — 34. Parum abfuit quin prœlio ad Thyatira commisso imperatoris copiæ ab Hormisda, Procopii duce, cladem acciperent (366). — 35. Supplicia de consciis Procopii sumpta. — 36. Ælianus, Valentis dux; ejus indoles. — 37. Belli Gothici sub Valente initia (366.) — 38. Theodori in Valentem conjuratio (374). — 39. Festus, in Asia proconsul, summa crudelitate sævit in eos qui Theodoreæ conjurationis participes fuisse, artesque magicas exercere videbantur. Periit Maximus philosophus et Cœranius (374). — 40. Perierunt item Simonides, Patricius et Hilarius. — 41. De origine Hunnorum, quorum impetu pulsi Gothi in Romanorum ditionem, trajecto Istro, confugerunt (376). — 42. 43. Gothi in fines Romanos admissi jussu Valentis, ruptis fœderibus Thraciam late vastant. — 44. Marciani virtus. — 45. Musonii, Asiæ proconsulis, qui in bello Isaurico cecidit (368), laudatio. — 46. Valens bellum contra Gothos parat (378) — 47. Sebastianum ex Italia advocat, virum probum strenuumque, cui bellum istud gerendum committat. — Theodosius. 48 : Theodosii luxuria. — 49. Infelix rerum publicarum sub Theodosio status. — 50. Nicopolitani in Thracia, qui Gothis se dederant, irrident reliquas Thraciæ civitates spe auxilii resistentes. — 51. Modares, militum dux, strategemate usus Gothos in Thracia clade afficit (379). — 52. Julius, in Asia dux, senatum Constantinopolitanum de consiliis Gothorum, per Orientis urbes dispersorum, clanculum certiores facit (380). — 53. Arbogastis Franci, quem una cum Baudone Gratianus Theodosio contra Gothos auxilio misit (381), mores et ingenium. — 54. Morbus intestinorum per plures urbes homines corripuit. Quæ calamitas comparatur cum alia quæ, Neronis temporibus, urbis, nescio cujus, incolis accidit. — 55. Gothi in Romanorum imperium trajicientes Christianam fidem simulabant, ut fallerent imperatores Christianos. — 56. Magnum asinorum sub Theodosio pretium. — 57. De Gratiani indole (383). — 58. Maximi bellum cum Barbaris, qui in paludes Macedoniæ se receperant (388). De dissoluto imperii statu. — 59. Tatianus ejusque filius Proculus (præfectus ille prætorianus, hic urbanus) Rufini fraude circumventi (392). — 60. Conjuratio principum Gothorum a Fravitha suppressa (392). — 61. Theodosius paullo post mortem Gallæ uxoris in bellum contra Eugenium proficiscitur. — Arcadius et Honorius : 62. Arcadius et Honorius Theodosio

patri succedunt (395); at rerum omnium potestas erat penes tutores eorum Rufinum et Stelichonem, mutuis illos se inimicitiis lacessentes. — 63. 64. Rufini indoles. — 65. Alarichus per Thermopylas in Græciam irrupit. Mors Prisci, Proterii, Hilarii (395. 396). — 66-69. De Eutropii eunuchi indole. — 70. De Timasii, militum præfecti, moribus. — 71. Bargus, homo nequam, in bene de ipso meritos ingratus, machinis Eutropii circumventus pœnas dat (396). — 72. Eutropius Timasium et Abundantium, virum consularem, in exilium ejicit (396). — 73. De auctoris in scribenda historia studio veritatis. De malis quibusdam scriptoribus querelæ (E novi libri proœmio). — 74. Nuntios de rebus occidentalibus Eutropii temporibus valde incertos fuisse. — 75. Asiæ minoris provincias immanem in modum diripuit Tribigildus, in Phrygia militum dux; hunc clanculum adjuvat Gainas. Uterque hoc agebat, ut Eutropium, tamquam omnium istorum malorum auctorem, in invidiam inducerent, potestatemque ejus everterent (399). — 76. Leo, militum dux contra Tribigildum, in Asiam mittitur; homo brutus, at familiaris Eutropii. — 77. Subermachius dux Eutropio deditissimus; ejus origo moresque. — 78. Persæ cujusdam de victoriis Romanorum derisio. — 79. De rebellione Gainæ (400). — 80. Fravitha dux contra Gainam emittitur. Ejus indoles. — 81. Fravithæ naves Liburnicæ. — 82. Fravitha ad Chersonesum Gainam vincit; quod victum non sit persecutus a multis ei crimini vertitur. Constantinopolim reduci Arcadius dignitatem consularem defert (401). — 83. Hieracis Alexandrini mores. — 84. Arbasacii ducis, qui contra Isauros bellum gessit (404), mores dissoluti. — 85. Mors Fravithæ. Johannes dux creatur. — 86. Bellum Isauricum. Hieracis rapacitas. Hierax ab Herenniano correptus pecunia se redimit (404). — 87. His temporibus, sicuti etiam deinceps sub Pulcheriæ administratione, præfecturæ gentesque venales erant. Quas qui emerat pro lubitu diripiebat. Sic Hierax, quem accipitrem quasi aquila oppressit Herennianus. — 88. Stelichonis rapacitas.

ΙΣΤΟΡΙΑ Η ΜΕΤΑ ΔΕΞΙΠΠΟΝ.

ΝΕΑ ΕΚΔΟΣΙΣ.

E LIBRO PRIMO.

1.

ΠΡΟΟΙΜΙΟΝ.

Exc. De sentent. p. 247-253 Mai. : Δεξίππῳ τῷ Ἀθηναίῳ κατὰ τοὺς Ἀθήνησιν ἄρχοντας, ἀφ' οὗ παρὰ Ἀθηναίοις ἄρχοντες, ἱστορία συγγέγραπται, προσαριθμουμένων τῶν Ῥωμαϊκῶν ὑπάτων, καὶ πρό γε αὐτῶν τῶν ὑπάτων καὶ ἀρχόντων ἀρξαμένης τῆς γραφῆς. Τὸ δὲ ἐν κεφάλαιον τῆς ἱστορίας τὰ μὲν ἀνωτέρω καὶ ὅσα τὸ ποιητικὸν νέμεται γένος, ἀφεῖναι καὶ ἐπιτρέψαι τῷ πιθανῷ καὶ μᾶλλον ἀναπείθοντι τὸν ἐντυγχάνοντα, τὰ δὲ προϊόντα καὶ ἐπὶ πλέον μαρτυρούμενα συνενεγκεῖν καὶ κατακλεῖσαι πρὸς ἱστορικὴν ἀκρίβειαν καὶ κρίσιν ἀληθεστέραν. Βιάζεται γοῦν καὶ συναριθμεῖται τὸν χρόνον εἴς τε τὰς Ὀλυμπιάδας περιγράφων καὶ τοὺς ἐντὸς ἑκάστης Ὀλυμπιάδος ἄρχοντας. Πρόθυρα δὲ κάλλους ἀνάμεστα προθεὶς τῆς συγγραφῆς καὶ προϊών, τά τε ἔνδον ἐπιδείξας σεμνότερα, τὸ μὲν μυθῶδες καὶ λίαν ἀρχαῖον ἀφαιρεῖ, καὶ ἀφίησιν ὥσπερ φάρμακον παλαιὸν καὶ ἀδόκιμον εἰς τοὺς συντεθεικότας· Αἰγυπτίους δὲ χρόνους ἀναλεγόμενος καὶ συνωθούμενος ἐπὶ τὰ πρῶτα καὶ τελεώτερα (παλαιότερα? Bekk.) τῶν παρ' ἑκάστοις ἀρχῶν, τοὺς ἡγεμόνας καὶ πατέρας τῆς ἱστορίας ἐκτίθησιν, ἔνδηλος ὢν καὶ σχεδόν τι μαρτυρόμενος, ὅτι τῶν ἀπιστουμένων ἕκαστον ἕτερος προλαβὼν εἴρηκεν. Καὶ περιφέρει γε τὴν ἱστορίαν ἐκ πολλῶν καὶ παντοδαπῶν τῶν ταῦτα

HISTORIA

QUA DEXIPPUM AUCTOR CONTINUAVIT.

EDITIO ALTERA.

1.

PROŒMIUM.

Dexippus Atheniensis juxta annuorum principum, qui Athenis fuerunt, fastos, inde a tempore, quo archontes apud Athenienses esse cœperunt, historiam composuit, Romanis quoque consulibus ex ordine adscriptis. Sed enim quum ante consules ipsos atque archontas scriptum exordiatur, id sibi proposuit historicus, ut antiqua nimis et quæ a poetarum gente traduntur, ea singula probabilitati suæ permittat, et prout cuique lectori videbitur, esse sinat : posteriora autem et quæ testimoniis magis abundant, ea conferat ad historicam severitatem, et sub verioris criticæ regulas redigat. Cogit igitur digeritque tempus, juxta Olympiadum seriem id scribens, juxtaque occurrentes in unaquaque Olympiade archontas. Jam pulcherrimo historiæ suæ proœmio præposito, pergit porro; et ipsum scripturæ corpus venustius adhuc ostendens, fabulosa quidem et prisca nimis resecat, atque apud horum auctores, tanquam pharmacum vietum et reprobatum, otiosa esse sinit : Ægyptiaca vero tempora supputans atque ad antiquiores purioresque, qui sunt apud quamque gentem, fontes revocans, principes patresque historiæ in medium profert; plane demonstrans ac propemodum testimoniis comprobans, unumquodque ex his incertioribus alium ex alio historico fuisse mutuatum.

εἰρηκότων ὥσπερ ῥωπόν τι καὶ ποικίλον καὶ χρήσιμον εἰς ἓν μυροπώλιον τὴν ἰδίαν ἐξήγησιν καταχεκλεισμένην καὶ συνηγμένην. Πάντα δὲ, ὅσα πρός τε τὸ κοινὸν ἁπάντων ἀνθρώπων ἀξιόλογα καὶ κατ' ἄνδρα δι' ἀρετὴν περιττοῦ τινος ὀνόματος τετυχηκότα, λάβρως ἐπιδραμὼν καὶ διαθέμενος τῷ λόγῳ, τελευτῶν εἰς Κλαύδιον καταλύει τὴν συγγραφὴν, καὶ Κλαυδίου τῆς βασιλείας ἔτος τὸ πρῶτον, ἐς ὃ καὶ τῆς βασιλείας ἤρχετο καὶ ἐτελεύτα, ἐνιαυτὸν ἄρξας Ῥωμαίοις ἕνα· οἱ δὲ καὶ ἕτερον αὐτῷ χαρίζονται. Εἶτα Ὀλυμπιάδας καταλογίζεται τόσας καὶ τόσας καὶ ὑπάτους καὶ ἄρχοντας ἐπὶ ταύταις, τὴν χιλιάδα τῶν ἐτῶν ὑποβαλὼν, ὥσπερ ἀγωνιῶν, εἰ μὴ πολλῶν λίαν ἐτῶν ἀποδοίη λόγον τοῖς ἐντυγχάνουσιν. Ἐγὼ δὲ ὁ τοῦτο τὸ ἔργον εἰς νοῦν βαλόμενος, ὑπ' αὐτοῦ Δεξίππου ταῦτα ἔχων ἐκδιδάσκεσθαι καὶ συλλαμβάνειν, ὅσος καὶ ἡλίκος ὁ κίνδυνος κατὰ τὸν ἐνιαυτὸν ἕκαστον ἱστορίαν γράφειν, καὶ πρὸς τοὺς ἐντυγχάνοντας ὁμολογεῖν, ὅτι ταῦτα οὐκ ἔστιν ἀληθῆ κατὰ τοὺς χρόνους, ἀλλὰ τῷ μὲν οὕτως, τῷ δὲ ἑτέρως ἔδοξε, καὶ περιφανῶς ἑαυτοῦ κατηγορεῖν, ὥσπερ ἐκεῖνος, ὅτι χρονικὴν ἱστορίαν γράφων πλανωμένην τινὰ καὶ μεστὴν τῶν ἀντιλεγόντων, ὥσπερ ἀπρόεδρον ἐκκλησίαν, ἐκτίθησι τὴν γραφὴν, ὀξέως δὲ καὶ τῆς Βοιωτίας ἀκούων παροιμίας, ὅτι οὕτως αὐλεῖν οὐ πρέπει, κἀκεῖνα προσελογιζόμην, ὅτι τέλος ἱστορίας καὶ σκοπὸς ἄριστος τὰ πραχθέντα ὅτι μάλιστα δίχα τινὸς πάθους εἰς τὸ ἀληθὲς ἀναφέροντα γράφειν, οἱ δὲ ἀκριβεῖς λογισμοὶ τῶν χρόνων, ὥσπερ ἄκλητοι μάρτυρες, αὐτομάτως ἐπεισιόντες, ἐς ταῦτα ὠφελοῦσιν οὐδέν. Τί γὰρ Σωκράτει πρὸς σοφίαν καὶ Θεμιστοκλεῖ πρὸς δεινότητα συντελεῖται παρὰ τῶν χρόνων; ποῦ δὲ ἐκεῖνοι καλοὶ κἀγαθοὶ διὰ θέρος ἦσαν; ποῦ δὲ τὰς ἀρετὰς ἐφ' ἑαυτῶν, καθάπερ τὰ φύλλα, πρὸς τὴν ὥραν τοῦ ἔτους αὐξανομένας καὶ ἀπορρεούσας παρείχοντο; Ἀλλ' ἴσως ἕκαστος αὐτῶν τὸ γοῦν ἐς φύσιν καὶ δύναμιν ἀγαθὸν διαρκῶς καὶ συνεχῶς ἐν ταῖς ἐνεργείαις ἀπεδίδου καὶ διέσωζεν. Τίς οὖν λόγος πρὸς ἱστορίας τέλος εἰδέναι καὶ γινώσκειν, ὅτι τὴν ἐν Σαλαμῖνι ναυμαχίαν ἐνίκων οἱ Ἕλληνες κυνὸς ἐπιτέλλοντος; τί δ' ὄφελος ἦν τοῖς ἐντυγχάνουσιν εἰς ὠφέλειαν ἱστορικῆς χρείας, εἰ κατὰ ταύτην ἐτέχθη τὴν ἡμέραν ὁ δεῖνα, καὶ μελοποιὸς ἀνέσχεν ἢ τραγῳδὸς ἄριστος; Εἰ γὰρ ἔσχατος ὅρος τῶν περὶ τὴν ἱστορίαν καλῶν τὸ πολλῶν καὶ ἀπείρων πραγμάτων ἐν ὀλίγῳ χρόνῳ καὶ διὰ βραχείας ἀναγνώσεως πεῖραν λαβεῖν, καὶ γενέσθαι γέροντας ἔτι νέους ὄντας δι' ἐπιστήμην τῶν προγεγονότων, ὥστε, τίνα μὲν φευκτέον, τίνα δὲ αἱρετέον, εἰδέναι, τοὐναντίον ἐμοί γε δοκοῦσι ποιεῖν οἱ περιττοῖς καὶ ἀπηρτημένοις ἐπεισοδίοις ὥσπερ ξενικοῖς ἡδύσμασι τὸ τῆς ἱστορίας ἐδώδιμον καὶ χρήσιμον ἀνατρέποντες καὶ διαφθείροντες ἁλμυρῷ λόγῳ πότιμον ἀκοήν. Κωλύει μὲν γὰρ ἴσως οὐδὲν καὶ περιττόν τι μαθεῖν, ἄλλως τε, ὥς φησιν αὐτὸς Δέξιππος, τῶν μὲν χρονικῶν ἢ πάντων ἢ τῶν πλείστων διαπεφωνημένων, τῶν δὲ ὑπερόρων καὶ φανερῶν πράξεων συμπεφωνημένων. Τίς γὰρ οὕτω περιβόητος ἅπασιν ὅσοι λόγων ἥψαντο καὶ κατέλιπον λόγους, ὡς Λυκοῦργος Λακεδαιμόνιος; ἐς ὃν καὶ ἡ τοῦ θεοῦ μαρτυρία διὰ στόματος ἅπασι θεὸν ἄντικρυς ἀνα-

---

Ipse autem e multis atque omnigenis, qui de his rebus scripserunt, historiam conficit; cinnum veluti varium et perbonum ad unicam pigmentarii officinam, ad suam videlicet narrationem, cogens atque cumulans. Omnia vero, quæ sive generatim inter homines illustria, sive singillatim ob alicujus virtutem præstante fama inclaruerunt, celeriter percurrens atque in suam lucubrationem adsumens, finem historiæ facit in Claudii anno primo, quo is regnum et auspicatus est et finivit, anno uno Romanis imperitans; quanquam nonnulli duos huic imperii annos largiuntur. Deinde Olympiadas supputat planeque adnumerat cum consulibus et cum archontibus: atque ex Olympiadibus annorum milliarium conficit; quasi laboriose æstuans, nisi permultorum annorum lectoribus suis rationem reddiderit. Ego vero, qui de hoc opere lucubrando consilium cepi, ab ipso quidem Dexippo discere potui atque cognoscere, quale quantumque periculum sit per annos singulos historiam deducere, ac porro lectoribus confiteri, hoc et illud secundum temporum rationem non vere esse dictum, sed aliis aliter visum: atque ita se ipsum perspicue coarguere, ut reapse Dexippo accidit, quod historiæ chronicæ quivis auctor fallacem quandam et plenam repugnantiarum, ceu chorum exlegem, edit scriptionem: Bœoticum quoque proverbium mox auditurus, quod sic tibiis sonare non decet. Denique et illud mecum reputavi, finem historiæ scopumque optimum esse, ut res gestæ, duce omnino veritate, absque ullo affectu scribantur: accuratos vero temporum calculos, si veluti testes non invocati adsint, prædictæ rei nihil prodesse. Nam quid Socrati ad sapientiam vel Themistocli ad ingenii sollertiam conferunt tempora? num hi per æstatis tempestatem bonos se probosque viros præbebant? num suas virtutes, tanquam folia pro anni tempore, crescentes defluentesque exhibebant? Atqui horum, opinor, uterque quidquid vel naturæ conditione vel ingenii cultu exquisitum erat, id perseveranter atque perpetuo præ se ferebat actibus suis atque servabat. Quid igitur prodest historiæ proposito scire ac cognoscere, Græcos navali prœlio ad Salaminem vicisse exoriente canicula? Quid rursus confert lectoribus ad utilitatem ex historia capiendam, quod ille tali die natus sit, qui deinde melicus vel tragicus poeta evasit optimus? Etenim si summum historiæ bonum in eo vertitur, ut multarum ac pæne innumerabilium rerum præclare gestarum brevi tempore modicaque lectione peritiam nanciscamur, fiamusque senes dum juventute floremus, ob præteritarum rerum scientiam, ita ut, quid fugiendum sit quidve appetendum, sciamus: contrarium mihi facere videntur qui supervaneis et assutis episodiis, tanquam peregrinis condimentis, bonum historiæ pabulum adulterant, delicatumque auditum amaro sermone violant. Nisi forte inania etiam discere animus fert. Præsertim quum chronici scriptores, ut ait ipse Dexippus, vel omnes vel certe plurimi invicem dissideant in rebus illustribus ac manifestis, quas per se ipsas in controversiam nemo revocat aut diffitetur. Nam quis apud historiæ peritus vel conditores Lacedæmonio Lycurgo ce-

καλοῦντος ἐπὶ τῷ θεῖναι τοὺς νόμους. Τίς δὲ τῶν ταῦτα εἰρηκότων ἑτέρῳ συμφέρεται περὶ τῶν ἡνίκα ἐτίθει τοὺς νόμους χρόνων; ἀλλὰ πάντες, ὥσπερ οἰκίαν ἢ στῦλον δοκιμάζοντες ἤ τι τῶν ὁμοίων, ὅτι μὲν ἔστι καὶ γέγονε, συντίθενται καὶ κατανεύουσι, περὶ δὲ τοῦ πότε [ἀπορίᾳ suppl. Nieb.] παντοδαπῇ ἐμπεπλήκασι τὰ βιβλία. Ὁπότε καὶ Θουκυδίδης ὁ πάντων ἀκριβέστατος τὸν μέγαν καὶ πολυύμνητον ἐκεῖνον πόλεμον ἀρχήν τινα καὶ προφάσεις φησὶ λαβεῖν πρὸς δευτέραν κίνησιν ἐκ διαφορᾶς ἡμερῶν, ἢ περὶ πόλεων ἁλώσεως αὐτοῖς ἐγένετο, καὶ οὐδὲ αὐτὸς ἔχει διαιτᾶν σαφῶς καὶ ἀκριβῶς, τίνες ἐπεκάλουν δικαιότερον, ἀλλ' ἐπὶ τὰς ἡμέρας ἐλθὼν ὑποδηλοῖ καὶ παραδείκνυσιν, ὅτι κενή τίς που καὶ ἀχρεῖος ἡ περὶ τοὺς χρόνους διατριβὴ καὶ σχολή.

Τοιαῦτά τινα καὶ πλείω ἕτερα πρὸς ἐμαυτὸν ἐκκλησιάσας καὶ βουλευσάμενος, καὶ τοῖς ἐς τὰ χρονικὰ σπεύδουσιν καὶ ἀνεστηκόσιν ὅμοιά τινα παρεγγυῶν, ὡς ἡ περὶ τὰς ὥρας καὶ ἡμέρας ἀκρίβεια πλουσίων οἰκονόμοις τισὶ καὶ λογισταῖς πρέπει, καὶ νὴ Δία γε τοῖς ἐς τὰ οὐράνια κεχηνόσι, καὶ ὅσοι πρὸς ἀριθμῷ φανερῶς κάθηνται, αὐτὸς δὲ προαγορεύων πόρρωθεν τοῖς ἐντυγχάνουσιν, ὅτι πιστεύσας ἐμαυτῷ δύνασθαι γράφειν γεγονότα τε καὶ γινόμενα, πρὸς τόδε τὸ ἔργον ὥρμησα, τὸ μὲν κατ' ἐνιαυτὸν καὶ καθ' ἡμέραν ὥσπερ ἀπροσδιόνυσόν τινα ῥῆσιν παραιτησάμενος, τὸ δὲ κατὰ χρόνους, οἳ τοῖς βασιλεῦσι περιγράφονται, κρίνας ἀληθέστερον. Ἀναγνώσεται γοῦν τις, ὅτι ταῦτα ἐπὶ τοῦδε τοῦ βασιλέως ἢ τοῦδ' ἐπράττετο· καθ' ὃν δὲ ἐνιαυτὸν καὶ ἡμέραν, ἕτερος ἐς τὴν ἀπάτην χορευέταί † τις. Ἐγὼ δὲ καὶ [κατὰ? Nieb.] τὸ πιστεύειν ἐμαυτῷ γράφω, ἀνδράσιν ἑπόμενος, οἳ τοῦ καθ' ἡμᾶς βίου μακρῷ προεῖχον κατὰ παιδείαν, καὶ διατεταμένως ἐνῆγον μὴ σιωπᾶν τὰ κοινὰ τῶν ἔργων, καὶ ὅσα ὁ καθ' ἡμᾶς ἔφερε χρόνος, καὶ τὰ πρὸ ἡμῶν μετὰ τὴν Δεξίππου γραφὴν οὔπω λόγου τε καὶ ἱστορίας ἐμφανοῦς τετυχηκότα. Ἐγίνετο δὲ ἐκείνοις τε κἀμοὶ κοινὸν τὸ ἔργον τόδε, καὶ πάντα γε ἐς τὸν Ἰουλιανὸν ἀναφέρειν ἐδόκει, ὃς ἐβασίλευσε μὲν ἐφ' ἡμῶν, τὸ δὲ ἀνθρώπινον αὐτὸν ὥσπερ τινὰ θεὸν προσεκύνουν ἅπαντες. Λόγου δὲ ἦν ἄξιον καὶ καλῶς ἔχειν ἐδόκει, καθάπερ τοῖς ἕνεκεν ἐρωμένης. . . . . νοῦσι ποιηταῖς οἳ γενομένοις ἀρίστοις· οὕτω καὶ ἡμῖν ἀρχήν τινα καὶ γένεσιν προθεμένοις τὴν . . . παρόντα καὶ . . . τῶν προ . . . ἐδόκει . . . . φὴν . . . κόντων χρόνων . . . μένον καὶ . . . ψυχῆς ἀναφέρουσι . . . τὸ εἴδωλον . . . δεῖν . . . ἐν ἀλλοτρίοις.

Ὅτι ἐξουσία ἐστὶ . . . πονηρᾶς . . . ὑπὸ λόγου . . . παρακινεῖ καὶ . . . χρόνον . . . χρηματίζει . . . ἀρχὰς . . . γὰρ μήποτε . . . οὕτω δέ τι . . .

[2. ΑΥΡΗΛΙΑΝΟΣ.]

[Suidas : Σελευκίς· ὀρνεόν ἐστι εὔπεπτον καὶ ἀκόρεστον καὶ πανοῦργον καὶ τὰς ἀκρίδας χανδὸν λαφύσσον. « Hæc verba credo Suidam hausisse ex Eunapio, quod Zosimus 1, 57, 6, in ea parte Historiæ quam e Nostro sumpsit, Σελευκιάδας memoret, αἳ ταῖς ἀκρίσι συμπεριίπτανται καὶ τοῖς στόμασι ταύτας δέχονται. » Boissonadius. Zosimus ista intexit narrationi de Aureliani in Palmyrenos expeditione.]

3. (ΠΡΟΒΟΣ.)

Suidas : Κατακαίνειν· ἀναιρεῖν, φονεύειν. « Ὁ δὲ τοξότης ἠφίει βέλος, εὔστοχος ὢν τοσούτους κατακαίνειν, ὅσα ἠφίει βέλη. » Εὐνάπιός φησιν.

« Hoc fragmentum pertinet ad illam Historiæ

---

lebrior est? de quo dei testimonium in ore omnium versatur, diserte deum vocitantis ob ferendarum legum sapientiam. Quotusquisque vero ex his, qui de ea re scripserunt, consentit cum alio homine de temporibus quibus ille leges scripserit? Nimirum id omnes, tanquam de domo vel columna vel re simili agatur, quod quidem ille sit et exstiterit, concedunt et annuunt; de tempore autem quo exstiterit, variis dubitationibus implent volumina. Et quidem ipse Thucydides (IV, 122), quo nemo fuit diligentior, magnum illud et famigeratum bellum renovati ardoris initium occasionesque cepisse ait ex dierum controversia, quæ de captis oppidis inter illos oriebatur. Neque tamen ipse satis aperte accurateque definit, utri justius questi sint : mox quum ad dierum supputationem ventum est, significat atque demonstrat, vanam esse propemodum atque inutilem istam circa temporum notationem sedulitatem.

Hæc et alia plura mecum ipse animo collegi ac reputavi : et ceteris etiam, qui ad annales scribendos studium impendunt, admonendi causa suggessi; quod videlicet circa anni tempestates diesque sedulitas villicos divitum ac rationarios deceat, atque eos hercle, qui cœlestia scrutantur, et calculatoris artem diserte profitentur. Ego vero hoc lectoribus meis affirmo, me non sine fiducia vires ad res præteritas ac præsentes scribendas mihi suffecturas, hoc opus aggressum esse, ita quidem, ut minutam sive anni sive diei rationem, ceu quid importunum, negligam; verum tempora intra quæ reges singuli versati sint, expendam accuratius. Lector igitur apud me inveniet hæc vel illa sub hoc vel illo rege evenisse; verumtamen rei gestæ annum et diem alius quivis præstigiator dicat. Ego vero pro hac mei fiducia scribere incipio exemplum secutus hominum, qui hanc nostram ætatem eruditione sua valde superaverunt : enixeque mihi proposui, quominus nihil publicarum rerum tacerem, sive quas nostra ætas vidit, sive superiores, quotquot post historiam Dexippi nondum litteris vel publicis commentariis commendatæ fuerunt. Quare commune cum illis historicis negotium suscepimus. — Et nobis quidem omnia ad Julianum referenda videbantur, qui memoria nostra regnavit et numinis instar ab universis hominibus cultus est...

2.

Seleucis avis, quæ cibos facile concoquit et insatiabilis et astuta, et locustas avide devorans.

3.

Eunapius : « Sagittarius autem sagittam emisit, quum esset jaculandi peritus, adeo ut tot homines interficeret, quot sagittas emitteret. »

partem qua Eunapius narrabat Palmyram ab Aureliano, vel Cremnam a Probi militibus obsessam. Rem illustrat Zosimus I, 54, 7 et 70, 1. Crediderim Eunapiana hæc esse referenda ad Cremnæ obsidionem; nam Zosimus, loco posterius citato, Nostri verba ante oculos habuisse videtur : Συνῆν τις ἀνὴρ αὐτῷ (Lydio in Cremna obsesso) μηχανάς τε κατασκευάζειν εἰδὼς, καὶ ἐκ μηχανῶν εὐστόχως ἀφιέναι βέλη δυνάμενος· ὥστε ὁσάκις ἐνεκελεύσατο ὁ Λύδιος αὐτῷ κατά τινος τῶν πολεμίων ἀφιέναι βέλος, μὴ διαμαρτεῖν τοῦ σκοποῦ. » Boissonadius.

4. ΚΑΡΙΝΟΣ.

Suidas : Καρῖνος, Κάρου τοῦ βασιλέως υἱὸς, γενόμενος ἐν ἐξουσίᾳ καὶ βουλήσεως κύριος, ἀνέδραμε τηλικοῦτον κακὸν ἐς τυραννίδα, [ὥστε ἀπέδειξε χρυσὸν τὴν τραγῳδουμένην τυραννίδα·] οὕτω καὶ τοὔνομα τοῖς ἔργοις μακρῷ παρῆλθε. Παίδων μὲν γὰρ εὖ γεγονότων ὕβρεις, διὰ τὸ σύνηθες, οὐδὲ ὕβρεις ἐνομίσθησαν, ἀλλ' ἦν ἐγκύκλιον αὐτῷ καὶ πρόχειρον τὸ τὰ τοιαῦτα ἁμαρτάνειν· ὁ δὲ ἐγκλήματά τε ἀνέπλαττε καὶ ἐδίκαζε τοῖς ἀδικουμένοις, καὶ τῶν δικαζομένων οὐδεὶς ἐσώζετο· ὅπου γε πολλῆς οὔσης καὶ ἀδιηγήτου τῆς φθορᾶς, παρανηλίσκοντό τινες τῶν εὐδαιμόνων, ὥσπερ ἐν κοινοῖς δείπνοις ἀλεκτορίδες, ἐς τὴν Καρίνου τρυφήν. Μεμνῆσθαι δὲ τῶν κατακοπτομένων ἔφασκε, τῶν μὲν ὡς οὐκ ἐπῄνεσαν αὐτοῦ τὸ κάλλος, τῶν δὲ ὅτι λέγοντα, ὅτε ἦν μειράκιον, οὐκ ἐθαύμασαν, ὡς ἐβούλετο· ἀπώλλυντο δέ τινες καὶ γελάσαντες ἐναντίον αὐτοῦ ποτε. Καὶ πάντα ἦν αὐτοῦ βαρύτερα διοσημίας, καὶ ἐλύττα ἐν μέσοις τοῖς ὑπηκόοις.

Hæc esse Eunapii patet e Suida vv. Διοσημία, Ἐγκύκλιον, Μακρῷ, Ὕβρις, ubi particulæ hujus loci afferuntur, nominato auctore. Fortasse huc pertinet etiam Suidas v. Ἀτάσθαλα (vid. fr. 89). Ceterum quum ap. Suidam proxime antecedant hæc : Καρικὸν θῦμα· ἐπὶ τῶν ἄσαρκα ἢ ἄβρωτα μέλη θυόντων· οἱ γὰρ Κᾶρες κύνα θύουσιν. Εὐνάπιος : probabiliter Küsterus statuit Eunapii mentionem non suo esse loco factam, sed ad ea quæ de Carino sequuntur pertinere. Inclusa e Suida v. Μακρῷ suppleta sunt. De re cf. Vopiscus in Carino c. 16.

[5. ΔΙΟΚΛΗΤΙΑΝΟΣ.]

[Suidas v. Ἐσχατιά : « Ὁ Διοκλητιανὸς λόγον ποιούμενος τῶν πραγμάτων ᾠήθη δεῖν καὶ δυνάμεσιν ἀρκούσαις ἑκάστην ἐσχατιὰν ὀχυρῶσαι, καὶ φρούρια ποιῆσαι. » Eunapio hæc vindicanda probabiliter censet Reitemeyer. ad Zosimum II, 34, 2, ubi : Τῆς γὰρ Ῥωμαίων ἐπικρατείας ἁπανταχοῦ τῶν ἐσχατιῶν τῇ Διοκλητιανοῦ προνοίᾳ, κατὰ τὸν εἰρημένον ἤδη μοι (sc. in libri I parte nunc deperdita) τρόπον, πόλεσι καὶ φρουρίοις καὶ πύργοις διειλημμένης, κτλ. Ex ipso Zosimo Suidiana fluxisse putavit Valesius ad Ammian. Marcell. XXIII, 5, 2, p. 256.]

[6.]

[Idem : Ἰόβειοι καὶ Ἑρκούλειοι, ὀνόματα τάξεων. Τάγματα γάρ τινα δαίμοσιν (δαίμονος ed. Bernh.) ἐπώνυμα. Ἰόβις γὰρ παρὰ Ἰταλοῖς ὁ Ζεὺς, Ἑρκούλιος δὲ ὁ Ἡρακλῆς. Eunapium de his narrasse ex eoque hausisse lexicographum suspicatur Boissonadius, collato Zosimo III, 30, 4 : Ἐτετάχατο δὲ ἐν τούτῳ Ἰοβιανοὶ καὶ Ἑρκουλιανοί. Ταγμάτων δὲ ταῦτα ὀνόματα, παρὰ Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ καταστάντα, φερόντων τὰς τούτων ἐπωνυμίας· ὁ μὲν γὰρ Διὸς, ὁ δὲ Ἡρακλέους ἐπώνυμον εἶχε. Et lib. II, 42, 3 : Ἰοβιανῶν καὶ Ἑρκουλιανῶν· τάγματα δὲ ταῦτα (δαίμοσιν supplendum censet Boiss.) ἐπώνυμα. Ceterum cf. Valesius in Ammian. XXV, 6, 2, et Schwarzium in Mamertini Paneg. p. 93.]

7. ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

Eunapius Vit. Ædesi p. 25 ed. Boiss. : Κωνσταντῖνος μὲν οὖν καὶ Ἀβλάβιον τιμῶν ἐκολάζετο, καὶ ὅπως γε ἐτελεύτα ἐν τοῖς περὶ ἐκείνου γέγραπται. Ἀβλαβίῳ δὲ τὸν παῖδα κατέλιπε Κωνστάντιον, συμβασιλεύσαντα μὲν αὐτῷ, διαδεξάμενον δὲ τὴν ἀρχὴν τοῦ πατρὸς σὺν Κωνσταντίνῳ καὶ Κώνσταντι τοῖς

4.

Carinus, Cari regis filius, adeptus potestatem arbitratu suo quidvis agendi, tantus tyrannus evasit, ut tyrannorum sævitiam a tragicis poetis celebratam aurum esse ostenderet : adeo vel nomen ipsum factis longe superavit. Nam pueris quidem nobilibus injuriæ per contumeliam illatæ, propter consuetudinem, ne injuriæ quidem existimabantur, sed hujusmodi peccata erant ipsi familiaria et quotidiana. Idem etiam crimina comminiscebatur, et jus dicebat illis, qui læsi essent, neque ullus eorum, qui in judicio litigabant, incolumis evadebat : quum præsertim inter multas et ineffabiles cædes quidam ex opulentioribus velut in communibus epulis gallinæ, animi et voluptatis gratia a Carino consumerentur. Horum alios ideo cæsos dicebat, quod suam formam non laudassent, alios, quod se declamantem, dum adhuc esset adolescens, non admirati fuissent, ut voluisset; peribant etiam nonnulli, quod coram ipso risissent. Omnino cuncta ejus facta prodigiis et ostentis erant graviora, et in mediis populis, ejus imperio subjectis, rabie grassabatur.

[5.]

Diocletianus reipublicæ rationem diligenter iniens idoneo copiarum numero limites imperii tutandos et castella exstruenda curavit.

[6.]

[*Jovii et Herculi*, nomina legionum. Sunt enim quædam legiones a diis sic denominatæ. Jovis enim apud Italos est qui græce Zeus, et Hercules qui Heracles vocatur.]

ἀδελφοῖς. Ἐν δὲ τοῖς κατὰ τὸν θειότατον Ἰουλιανὸν ἀκριβέστερον ταῦτα εἴρηται.

Ablabius, præfectus prætorio, invidia ductus in Sopatrum favore apud Constantinum maxime pollentem, machinis suis effecit, ut æmulus capitali crimine circumventus jussu Constantini trucidaretur. Fuse rem exponit Eunapius l. l. p. 24. Ipse Ablabius deinde a Constantio (337 p. C.) supplicio affectus est. Zosimus II, 40 · Ἀνῃρέθη δὲ τότε Ἀβλάβιος ὁ τῆς αὐλῆς ὕπαρχος, τῆς Δίκης ἀξίαν αὐτῷ ποινὴν ἐπιθείσης, ἀνθ' ὧν ἐβούλευσε θάνατον Σωπάτρῳ τῷ φιλοσόφῳ, φθόνῳ τῆς Κωνσταντίνου πρὸς αὐτὸν οἰκειότητος. De mortis genere vide Eunapium l. l. p. 25 sq.

7 a. ΚΩΝΣΤΑΝΤΙΟΣ.

Exc. De sent. p. 253 : . . . . ἀλλ' ἡ μὲν παροιμία φησὶ τὸ θέρος ἐπὶ τῇ καλάμῃ φαίνεσθαι· τότε δὲ ὁ Κωνστάντιος ἐδείκνυ τοῦ πατρὸς ὤν.

Ὅτι κατὰ τὸν Ἰουλιανὸν τὸν Καίσαρα δοκοῦν τῷ αὐτῷ Κωνσταντίῳ βεβουλεῦσθαι καλῶς, ὁ χρόνος τὴν πεῖραν ἐς τὸ ἐναντίον ἔστρεφεν, ταῖς τοῦ Καίσαρος ἀρεταῖς συνενθουσιώσης ἤδη τῆς τύχης, καὶ σχεδὸν ἑκάστης ἡμέρας ξένα καὶ ποικίλα φερούσης τῷ βασιλεῖ διηγήματα· ἐφ' οἷς ὁ Κωνστάντιος δακνόμενος ἤδη καὶ δυσφορῶν ὑπὸ φθόνου, τοὺς ἡγουμένους τῶν φύσει πολεμίων ἐπετείχιζε τῷ Καίσαρι, καὶ τὴν αὑτοῦ προσετίθει τοῖς ἐχθροῖς δύναμιν, μόνα ὁρῶν τὰ ἴδια, καὶ τὸ οἰκεῖον ξένον ὑπολαμβάνων, εἰ σὺν τῷ Καίσαρι σῴζοιτο, καὶ τὸ ξένον οἰκεῖον, εἰ καταλύοι μεθ' ἑαυτοῦ τὸν Καίσαρα· ὥστε ὁ πόλεμος εἰς τὸ ὕπουλον μεταβαλὼν καὶ τὸ φύσει πολέμιον ἐποίει σύμμαχον.

8.

Exc. De sent. p. 254 et 255 :

ΠΡΟΟΙΜΙΟΝ ΤΟΥ Β' ΛΟΓΟΥ.

Τὰ μὲν οὖν ἀπὸ τῆς Δεξίππου συγγραφῆς ἐς τοὺς Ἰουλιανοῦ καθήκοντα [καιροὺς], ὡς ἐνῆν μάλιστα διὰ τῶν ἀναγκαίων ἐπιτρέχουσιν, ἱκανῶς ἐν τοῖς ἔμπροσθεν δεδήλωται· φέρεται δὲ ἐντεῦθεν ὁ λόγος ἐφ' ὅνπερ ἐφέρετο ἐξ ἀρχῆς, καὶ ἀναγκάζει γε τοῖς ἔργοις ἐνδιατρίβειν ὥσπερ τι πρὸς αὐτὸν ἐρωτικὸν πεπονθότας. Οὔ τι μὰ Δία τεθεαμένους ἢ πεπειραμένους· κομιδῇ γὰρ ἦν ὁ γράφων τάδε παῖς, ἡνίκα ἐβασίλευσεν· ἀλλὰ δεινόν τι χρῆμα καὶ ἀπαραίτητον εἰς ἔρωτα τὸ κοινὸν ἀνθρώπων ἁπάντων πάθος καὶ τὸ τῆς ἐφ' αὐτῷ (ἐπ' αὐτῷ? B.) δόξης ἀστασίαστον. Πῶς γὰρ ἦν σιωπᾶν ὑπὲρ ὧν οὐδεὶς ἔφερε σιωπᾶν (σιωπὴν? N.); πῶς δὲ μὴ λέγειν ὅσα καὶ οἱ μὴ δυνάμενοι λέγειν ἀπὸ στόματος ἔφραζον, ἐς γλυκεῖάν τινα καὶ χρυσῆν διατριβὴν τὴν ἐκείνου ἀναφέροντες (μνήμην suppl. N.); Καὶ ὁ μὲν πολὺς ἄνθρωπος ταῦτα πάσχοντες ὅμως ἔλαττον ἐς τὸ γράφειν ἐξεβιάζοντο· τὸ δὲ ἐξαίρετον, καὶ ὅ τι περ ἦν ἐν παιδείᾳ γνωριμώτατον, οὐδὲ ἀφιέντα ἠφίεσαν, ἀλλ' ἐνέκειντο παραθαρσύνοντες ὡς ἐπιληψόμενοι (συνεπιλ.? B.) τοῦ πόνου. Ὁ δὲ ἐς τὰ μάλιστα γεγονὼς αὐτῷ γνώριμος, ὁ Περγαμηνὸς ἀνὴρ Ὀριβάσιος, ἐκ φυσικῆς φιλοσοφίας ἰατρικὴν ἐπιτάττειν ἄριστος καὶ δρᾶν ἔτι θειότερος, καὶ ἀσεβήσειν ἐβόα περιφανῶς, εἰ μὴ συγγράφοιμι· καὶ τῶν γε πράξεων (πάσας δὲ ἠπίστατο παρὼν ἁπάσαις) μάλα ἀκριβῶς ὑπόμνημα συνετέλει πρὸς τὴν γραφήν· ὥστε οὐκ ἦν ἀναβολὴ καὶ βουλομένῳ ῥᾳθυμεῖν.

Τοῦτο ἐγένετο τὸ εὐτύχημα, καὶ πάντα, ὥσπερ

---

7 a.

Ait vero proverbium : messem calamus ostendit. Tunc ergo Constantius, quonam parente satus esset, palam fecit.

Quæ consilia Constantius contra Julianum Cæsarem adornavisse ex utilitate sua putabat, ea feliciter tempus in contrarium vertit : Cæsaris virtutibus favente jam studiosissime fortuna, et prope quotidie novis variisque nuntiis ad Augustum delatis : quibus morsus Constantius et jam æger invidia, in Cæsarem acerrimorum hostium duces incitavit, atque horum odiis vim ipsemet suam adjunxit. Et jam unice commodum suum respiciens, suos pro alienis habebat, si cum Cæsare salvi essent ; alienos pro suis, dummodo Cæsari secum insidiarentur. Quare hoc belli subdolum genus eos etiam, qui naturaliter hostes erant, socios esse effecit.

LIBRI SECUNDI PROŒMIUM.

8.

Res itaque post Dexippi historiam usque ad Juliani tempora gestæ satis in superioribus, quantum summa quæque attingenti licuit, declaratæ fuerunt. Deinceps oratio fertur ad eum, quem jam ab initio spectabat, Cæsarem ; cogitque nos in ejus gestis versari, amatorio veluti stimulo erga illum pellectos : non quod per Jovem nos eum viderimus, vel consuetudinem cum eo habuerimus : prorsus enim adolescentulus erat qui hæc scribit, dum ille regnabat : sed profecto magnum creat atque insuperabilem amorem concors hominum communisque sensus, et firmissima de illo principe existimatio. Nam quomodo nobis silere liceret, de quo nemo conticescere poterat ? Cur ea non diceremus, quæ fandi etiam imperiti nihilominus loquebantur, laudem illius dulce quoddam et aureum officium ducentes ? Et vulgus quidem quanquam ita esset affectum, minus me tamen ad scribendum compellebat ; sed enim spectati homines et quotquot erant doctrina illustrissimi, remissum me non remittebant, verum hortando instabant ac præ se ferendo laboris quandam communionem. Qui vero Julianum maxime noverat Pergamenus Oribasius, homo a naturali philosophia ad medicam artem docendam paratissimus, et ad exercendam adhuc divinior, me etiam impium inclamabat aperte, nisi ad scribendum incumberem. Idem rerum quoque gestarum, quas omnes utpote præsens noverat, perquam accuratos commentarios mihi ad historiam scribendam suppeditavit. Quare non fuit morandi potestas, etiamsi otiari voluissem.

ὀστράκου μεταπεσόντος, ἐπὶ τὸ βέλτιον ἐχώρησε τοῖς Ῥωμαίοις.

Postrema ex Eunapio affert Suidas v. Ὀστράκου περιστροφή. Eadem locutione proverbiali Eunapius utitur in Vit. Proæresii p. 80, ubi v. Boiss. Sententia spectat Julianum Cæsarem, qui Galliæ præfectus profligatas ibi res Romanorum erexit.

ΚΩΝΣΤΑΝΤΙΟΣ ΚΑΙ ΙΟΥΛΙΑΝΟΣ ΚΑΙΣΑΡ.

8 a.

[Suidas : Ἐξιστάμενος, ἀντὶ τοῦ παραχωρῶν. « Ὁ οὖν Μάρκελλος κύριος ἦν τῶν πραγμάτων, ὀνόματος μόνου καὶ σχήματος τῷ Ἰουλιανῷ ἐξιστάμενος, τὴν δὲ ἀληθεστέραν αὐτὸς ἀρχὴν μεταχειριζόμενος. » Eunapii hæc esse monet Valesius ad Ammian. Marcell. XVI, 4, 3. Constantius quum Julianum Cæsarem declarasset, τοῖς ὑπὲρ τὰς Ἄλπεις ἔθνεσιν ἔπεμπεν (355 p. C.). Ἄπιστος δὲ ὢν φύσει, καὶ ὡς εὔνους αὐτῷ καὶ πιστὸς ἔσται μήπω τεθαρρηκώς, συνεκπέμπει Μάρκελλον αὐτῷ καὶ Σαλλούστιον, αὐτοῖς, καὶ οὐ τῷ Καίσαρι, τὴν αὐτόθι καταπιστεύσας διοίκησιν. Verba sunt Zosimi III, 2, 4. Cf. Julianus in Ep. ad Athen., ubi in Galliam missum dicit οὐκ ἄρχοντα μᾶλλον τῶν ἐκεῖσε στρατοπέδων, ἢ τοῖς ἐκεῖσε στρατηγοῖς ὑπακούσαντα.

9.

Exc. De sent. p. 255 : Ὅτι φησὶν Εὐνάπιος περὶ τοῦ παραβάτου Ἰουλιανοῦ· Τῆς δὲ στρατείας ταύτης σφοδροτάτης τε ἅμα καὶ κλεινοτάτης τῶν πρὸ αὐτῆς γενομένων τὴν διήγησιν ἐς τήνδε τὴν γραφὴν ἐντείνοντες, οὐ πεισόμεθα ταὐτὸν τοῖς ἐν ἡμέρᾳ δᾷδας ἀνασχοῦσιν, ἵνα τι κρυπτόμενον ἀνεύρωσιν· οὐδὲ ὑπὲρ ὧν ἱκανῶς ἅμα καὶ συνενθουσιῶν τοῖς ἑαυτοῦ καλοῖς βιβλίδιον ὅλον τῇδε ἀναθεὶς τῇ μάχῃ διῆλθεν ὁ βασιλικώτατος καὶ ἐν λόγοις Ἰουλιανός, αὐτοὶ παραβαλούμεθα καὶ συνεκθήσομεν ἑτέραν γραφὴν τὰ αὐτὰ σημαίνουσαν· ἀλλὰ τοῖς μὲν βουλομένοις τὸ μέγεθος τῶν ἐκείνου λόγων τε καὶ ἔργων ἀνασκοπεῖν τὸ περὶ τούτων βιβλίον ἐπιτάξομεν, καὶ πρὸς ἐκείνην φέρεσθαι τὴν ἀκτῖνα τῆς συγγραφῆς, ἐκ τῆς ἐνεργείας τῶν τότε ὑπ' αὐτοῦ πραχθέντων ἐπὶ τὴν τοῦ λόγου δύναμιν ἀπορρυεῖσαν καὶ διαλάμψασαν· αὐτοὶ δὲ ὅσον οὐ πρὸς ἅμιλλαν μειρακιώδη καὶ σοφιστικήν, ἀλλ' εἰς ἱστορικὴν ἀκρίβειαν ἀναστῆσαι καὶ διαπλάσαι τὸν λόγον, ἐπιδραμούμεθα τὰ γεγενημένα, συνάπτοντες τοῖς εἰρημένοις τὰ λεγόμενα.

« Juliani libellum, quo bella a se in Gallia gesta complexus fuerat, commemorat atque æque commendat etiam Libanius Or. XIII, tom. I, p. 412 Reisk. » Mai. Prœlium quod l. l. indicatur, est celeberrimum illud, quo Germanos fudit ad Argentoratum (357 p. C.). Zosimus III, 3, 6 : Συμμίξας δὲ τοῖς πολεμίοις, πάσης ὑπερβολῆς ἐπέκεινα τὸ τρόπαιον ἔστησεν, ἓξ μὲν ἐν αὐτῇ τῇ μάχῃ μυριάδων (χιλιάδων? *sex millia* sec. Ammian. XV, 22 : ὀκτακισχίλιοι νεκροὶ fuere sec. Liban. Or. ad. Jul.) ἀπολομένων, ἑτέρων δὲ τοσούτων ἁλομένων κατὰ τοῦ Ῥήνου καὶ διαφθαρεισῶν ἐν τῷ ῥεύματι. Ὥστε εἴ τις ἐθέλοι τῇ πρὸς Δαρεῖον Ἀλεξάνδρου μάχῃ ταύτην παραβαλεῖν τὴν νίκην, οὐκ ἂν εὕροι ταύτην ἐκείνης ἐλάττονα.

10.

Ibid. p. 256 : Ὅτι Ἰουλιανὸς τοὺς ἀρχομένους καὶ τοὺς πολεμίους ἐδίδασκεν ἅμα τίσι δοκεῖ (δεῖ? B.) τὸν ὄντως βασιλέα κρατεῖν, καὶ ὡς ἀνδρεία μὲν καὶ ῥώμη καὶ χειρῶν κράτος πρὸς τοὺς ἀνθεστηκότας μόνον τῶν πολεμίων χρήσιμα, δικαιοσύνη δὲ μετ' ἐξουσίας ὥσπερ πηγή τις οὖσα τῶν ἀρετῶν καὶ τοὺς μὴ παρόντας χειροήθεις ἐμποιεῖ (τε ποιεῖν? B.) καὶ δουλοῦσθαι πέφυκε. Τοιαύτας ὑποτείνων ἀρετὰς καὶ σπέρματα φιλοσοφίας εἰς τοὺς ὑπηκόους ἅπαντας ἀπὸ βήματος ἐπέταττε Ῥωμαίοις μηδένα Σαλίων ἀδικεῖν, μηδὲ δῃοῦν ἢ σίνεσθαι τὴν ἰδίαν χώραν. Ἰδίαν δ' ἀπέφαινε πᾶσαν αὐτοὺς δεῖν ὑπολαμβάνειν, ἣν ἄνευ μάχης καὶ πόνων ἔχουσιν· ὡς ἀναγκαῖον εἶναι πολεμίαν τὴν τῶν πολε-

---

Hæc felicitas contigit, atque omnia, tanquam testa conversa, meliora Romanis fluere cœperunt.

8 a.

Penes Marcellum omnium rerum potestas erat, qui solum nomen et habitum Juliano concedebat, interiorem autem ipse imperii vim administrabat.

9.

De Juliano Apostata sic ait Eunapius : Hujus maximæ et quotquot antea fuerunt clarissimæ expeditionis narrationem scribere aggrediens, haud imitabor eos qui meridie faces attollunt, ut latens aliquid vestigent. Nam quia ipse Julianus, in scriptorum quoque numero princeps, suorum facinorum admiratione captus, libellum integrum super hoc prœlio conscripsit, equidem haud illi me contendam, neque aliam historiam eadem de re instruam : sed eos qui orationis pariter et operum magnitudinem contemplari volunt, ad prædictum libellum ablegabo, atque ad illius scripturæ splendorem, qui nimirum ex operum ejus virtute in ipsius orationis facundiam radios projicit. Ego vero, haud puerilis vel sophisticæ æmulationis studiosus, sed ad historicam veritatem orationem meam conformans et dirigens, res gestas percurram, et ante dictis consequentia nectam.

10.

Julianus subjectos æque suos atque hostes edocuit, quanam ratione verus rex vincere debeat : et quod fortitudo ac robur manuumque vis contra hostes tantummodo in acie valeant; verum justitia cum imperio juncta fons quidam virtutum sit, easque absentes quoque subditos sibi servosque faciat. Atque has Julianus virtutes philosophiæque semina de tribunali suo palam subditis cunctis ostentans, Romanos inhibuit, quominus quemquam Saliorum læderent, vel popularentur regionem propriam atque vastarent : propriam vero dicebat debere eos existimare regionem, quam sine pugna et labore tenerent. Quare opus esse, ut illam utique

μούντων ἡγεῖσθαι καὶ νομίζειν, οἰκείαν δὲ τὴν τῶν παρακεχωρηκότων.

Ὅτι εἰώθει Ἰουλιανὸς ἀρχὴν νίκης, οὐ πολέμου τίθεσθαι.

De expeditione Juliani contra Chamavos et Salios (358 p. C.) vide Zosimum III, 6, ubi inter alia : Ἀντεπῄει μὲν τοῖς Κυάδοις (deb. Χαμάβοις)· παρεγγυᾷ δὲ τῷ στρατῷ, τούτοις μὲν κατὰ τὸ καρτερὸν διαμάχεσθαι, Σαλίων δὲ μηδένα κτείνειν ἢ κωλύειν ἐπὶ τὰ Ῥωμαίων ὅρια διαβαίνειν κτλ. Paucis hæc absolvit Ammian. XVII, 8. Cf. Julian. Orat. I.

1.

Ibid. p. 257 : Τοῦτον δεξάμενος ἑταῖρον ἐφ' ἑαυτῷ συνιστάμενον εἶχεν· εἶτ' ἄλλος προσῄει, καὶ πλῆθος ἦν· καὶ καθάπερ οἱ Πυθαγόρειοί φασι, μονάδος ἐπὶ δυάδα κινηθείσης οὐκέτι τὴν τῶν ἀριθμῶν ἠρεμεῖν φύσιν, ἀλλὰ διαχεῖσθαι καὶ ῥεῖν ἐς πολὺ, οὕτω, Χαριέττονος Κερκίωνα προσλαβόντος, αἵ τε πράξεις ἐπὶ πολὺ προῄεσαν, καὶ ὁ τῶν συνισταμένων ὄχλος ἀνάλογον ἠκολούθει ταῖς πράξεσιν.

« Abruptam ponit Constantinianus eclogarius narrationem de Chariettone, quam Zosimus III, 7, integram scribit, Eunapium sine dubio sectans, sed tamen aliis verbis utens. Summa rei est hæc : Charietto Gallus, magna vir præditus audacia et viribus, quum ante Juliani in Galliam adventum adflictas Quadorum incursionibus urbes videret, adsumpto sibi latronum comitatu, nocturnis insidiis trucidare Quados cœpit; quam rem postea superveniens Julianus ratam habuit, et Chariettonem auctoritate sua atque auxiliis confirmavit. » Mai. — Κερκίωνα] « Tropo quodam utens, loco latronum gallicanorum ponit Cercionem [Cercyonem], famosum illum Atticæ grassatorem, quem Theseus interfecit. Atque hæc est Eunapii, quam Photius cod. 77 admirabatur, ἀστειότης. » Mai. Dubito an tam insulse vel Eunapius luserit.

Suidas : Ἀνεῖχεν, ἐκώλυε. « Χαριέττων μὲν οὖν καὶ πρὸ τούτου φανερός τις ὢν καὶ ἀνυπόστατος τῷ τε πλεονάζοντι τοῦ δραστηρίου φοβῶν, ἀνεῖχεν ἀπὸ λῃστείας ἅπαντας. » Eunapio hæc vindicavit Valesius ad Ammian. XXII, 11. Cf. Zosimus III, 7, 4.

Idem v. Γιγαντώδης : « Ἐδόκει γὰρ τὸ σῶμα γιγαντώδης εἶναι καὶ τὸν θυμὸν θηριώδης, καὶ ἐς ἀγχίνοιαν τῶν συλλῃστευόντων ἁπάντων πολυπλοκώτερος. » Hæc ex eodem fonte ducta esse censet Majus, collato Zosimo III, 7, 1, qui de Chariettone : Ἀνήρ τις ἦν, μέγεθος σώματος ὑπὲρ τοὺς ἄλλους ἅπαντας ἔχων, καὶ τὴν ἀνδρείαν ἀνάλογον τῷ σώματι.

12.

Exc. De legat. p. 15 P. (11 V.) : Ὅτι τοῦ Ἰουλιανοῦ ἐς τὴν πολεμίαν χωροῦντος, καὶ τῶν Χαμάβων ἱκετευόντων φείδεσθαι καὶ ταύτης ὡς οἰκείας, ὁ Ἰουλιανὸς συνεχώρει, καὶ τὸν βασιλέα σφῶν προελθεῖν κελεύσας, ἐπειδὴ προῆλθε καὶ ἐπὶ τῆς ὄχθης εἶδεν ἑστηκότα, ἐπιβὰς πλοίου (τὸ πλοῖον οὖν ἔχων (ἦν ἐκτὸς?) τοξεύματος), ἑρμηνέα ἔχων διελέγετο τοῖς βαρβάροις. Ἐκείνων δὲ πάντα ποιεῖν ὄντων ἑτοίμων, ὁρῶν εὐπρόσωπόν τε ἅμα καὶ ἀναγκαίαν αὐτῷ τὴν εἰρήνην (Χαμάβων γὰρ μὴ βουλομένων ἀδύνατόν ἐστι τὴν τῆς Βρεττανικῆς νήσου σιτοπομπίαν ἐπὶ τὰ Ῥωμαϊκὰ φρούρια διαπέμπεσθαι), καμπτόμενος ὑπὸ τῆς χρείας χαρίζεται τὴν εἰρήνην, καὶ ὅμηρα ᾔτει λαβεῖν πίστεως ἕνεκεν. Τῶν δὲ ἱκανοὺς εἶναι αἰχμαλώτους λεγόντων, ἐκείνους ἔφη τὸν πόλεμον αὐτῷ δεδωκέναι, καθ' ὁμολογίαν γὰρ μὴ λαβεῖν· νυνὶ δὲ ζητεῖν παρ' αὐτῶν τοὺς ἀρίστους, εἰ μὴ τεχνάζουσι περὶ τὴν εἰρήνην. Τῶν δὲ ἱκετευόντων καὶ ἀξιούντων εἰπεῖν οὓς βούλεται, μεταλαβὼν αὖθις τὸν τοῦ βασιλέως αὐτῶν αἰτεῖται παῖδα, πλαττόμενος, ὃν εἶχεν αἰχμάλωτον, ὥσπερ οὐκ ἔχων.

hosticam crederent, cujus incolæ armis resisterent; verumtamen illam propriæ instar haberent, quæ jam sui deditionem fecisset.

Julianus non pugnam, sed victoriam exordiri solebat.

11.

Hunc (*Chariettonem*) in sodalitatem receptum lateri suo adhærentem habebat : tum alius accedebat, fiebatque numerus. Et quemadmodum Pythagorei aiunt monadem, si ad dyadem adjiciatur, haud jam retinere solitariæ notæ rationem, sed diffundi atque in pluralem numerum crescere; ita postquam Charietto Cercionem sibi adjunxit, plura jam facinora edebantur, et jam sociorum turba propter felicem factorum successum sequebatur.

Charietto igitur, quum et ante vir clarus esset et invictus et insigni rerum gerendarum audacia alios terreret, omnes a latrocinando prohibebat.

Videbatur enim (*Charietto*) et corpore gigantis esse et animo ferino et ingenii acumine et dolo omnes latrociniorum suorum socios longe superare.

12.

Quum Julianus in terram hostilem irrupisset, et Chamavi supplicarent, ut genti, tanquam quæ sua esset, parceret, assensus est, et eorum regem ad se venire jussit. Ut venit, et eum ad ripam stantem vidit, navem adscendens (erat autem navis extra teli jactum), per interpretem cum barbaris disseruit. Quum vero illi parati essent imperata facere, et videret pacem peropportunam esse et necessariam (etenim Chamavis invitis, e Britannia insula Romanis coloniis commeatus immitti nequeunt), utilitate adductus, pacem indulsit, et fidei firmandæ gratia obsides petiit. Quum dicerent idoneos esse eos qui in bello capti essent, hos bellum dixit sibi tradidisse, ex fœdere minime sumpsisse; nunc autem nobiliores postulare, nisi quid doli in pace convenienda excogitarent. Quum supplices orarent atque ob-

Ἐνταῦθα ὅ τε βασιλεὺς αὐτῶν καὶ οἱ βάρβαροι πρηνεῖς ἐκταθέντες, οἰμωγῇ τε ἀφθόνῳ καὶ ὀλοφύρσει προσεκέχρηντο, δεόμενοι μηδὲν ἀδύνατον ἐπιτάττεσθαι· ἀδύνατον δὲ αὐτοῖς εἶναι καὶ τοὺς πεσόντας ἀναστῆσαι καὶ ὁμήρους δοῦναι τοὺς τετελευτηκότας. Γενομένης δὲ σιωπῆς, ὁ τῶν βαρβάρων βασιλεὺς ἀναβοήσας μέγιστον ὅσον, « Εἴθε ἔζη μοι, ἔφη, ὁ παῖς, ἵνα σοι δοθεὶς ὅμηρος, ὦ Καῖσαρ, δουλείαν ηὐτύχει τῆς ἐμῆς βασιλείας εὐδαιμονεστέραν. Ἀλλ' ὑπὸ σοῦ τέθνηκεν, ἀτυχήσας ἴσως καὶ τὸ ἀγνοηθῆναι. Πολέμῳ γὰρ ἐπίστευσε τὸ σῶμα νέος ὤν, ὃν σὺ μόνον ἀντάξιον εἰρήνης ὑπολαμβάνεις. Καὶ νῦν, ὦ βασιλεῦ, σὺ μὲν ἐξαιτεῖς ὡς ὄντα, ἐγὼ δ' ἄρχομαι θρηνεῖν, συνορῶν τίνα οὐκ ἔχω. Παῖδα γὰρ ὀδυρόμενος ἕνα, καὶ κοινὴν εἰρήνην τῷ παιδὶ συναπολώλεκα. Κἂν μὲν πιστεύσῃς τοῖς ἐμοῖς ἀτυχήμασι, παραμυθίαν ἔχει μοι τὸ πάθος ὡς ὑπὲρ ἁπάντων ἠτυχηκότι· ἂν δὲ ἀπιστήσῃς, καὶ πατὴρ ἀτυχὴς καὶ βασιλεὺς ὀφθήσομαι. Τοῖς γὰρ ἐμοῖς κακοῖς οὐκ ἀκολουθήσει μὲν ὁ παρὰ τῶν ἄλλων ἔλεος, ὅσπερ ἅπασιν ὀφείλεται τοῖς ἐν τοιούτοις καθεστηκόσι, προσκείσονται δὲ αἱ κοιναὶ συμφοραί. Καὶ οὐ παραιτήσομαι τοὺς ἄλλους ἀτυχιῶν, ἀλλὰ κοινωνεῖν ἐμοὶ τῶν δεινῶν ἀναγκάσω, τοσοῦτον ἀπολαύων τῆς βασιλικῆς ἐξουσίας ὅσον ἀτυχεῖν μόνος μὴ δύνασθαι. » Τούτων ἀκούων ὁ βασιλεὺς τήν τε ψυχὴν ἔπαθε, καὶ τοῖς λεγομένοις εὐπαθῶς ἐξεδάκρυσε. Καὶ καθάπερ ἐν τοῖς δράμασιν, ὅταν εἰς ἄπορον καὶ δύσλυτον αἱ τῶν ὑποκειμένων ἔργων πλοκαὶ τελευτήσωσιν, ὁ καλούμενος ἀπὸ μηχανῆς θεὸς ἐπεισόδιος εἰς μέσον ἕλκεται, πάντα συμπεραίνων καὶ καταστρέφων ἐπὶ τὸ σαφέστερον καὶ εὔκριτον, οὕτω καὶ αὐτὸς ἐπὶ πράγμασιν ἀμηχάνοις καὶ δυσεξόδοις, μετ' οἰμωγῆς ἁπάντων τὴν μὲν εἰρήνην αἰτούντων, τὸν δὲ ἐπιζητούμενον ὅμηρον ἀπαγορευόντων μὴ ἔχειν, τόν τε νεανίσκον παραγαγὼν ἅπασιν ἔδειξε βασιλικῶς παρ' αὐτοῦ διαιτώμενον, καὶ διαλεχθῆναι τῷ πατρὶ κελεύσας ὅσα ἐβούλετο, περιεσκόπει τὸ πραχθησόμενον. Τὰ δὲ ἐπὶ τούτοις ἦν ἄξια τούτων. Οὐκ ἔτεκεν ὁ ἥλιος τοιαύτην ἡμέραν, οἵαν τότε ἐξῆν τοῖς παροῦσιν ὁρᾶν καὶ ἱστορεῖν. Οἱ μὲν γὰρ ἀπὸ θορύβου καὶ θρήνων ἐκπλήξει καὶ θάμβει συνδεθέντες ἐς τὸ ἀκίνητον ἐπάγησαν, ὥσπερ Ἰουλιανοῦ δείξαντος αὐτοῖς οὐ τὸν νεανίσκον, ἀλλ' εἴδωλον. Ὁ δὲ βασιλεύς, ἐπεὶ ἡσυχία μυστηρίων ἁπάντων ἐγένετο σταθερωτέρα, βαρὺ φθεγξάμενος εἰς μέσον, « Τοῦτον, εἶπεν, ὁ μὲν ὑμέτερος, ὡς ὑμεῖς ὑπολαμβάνετε, πόλεμος ἀπολώλεκε, θεὸς δὲ ἴσως καὶ τὸ Ῥωμαίων σέσωκε φιλάνθρωπον. Ἔξω δὲ αὐτὸν ὅμηρον, οὐ παρ' ὑμῶν καθ' ὁμολογίαν, ἀλλὰ παρὰ τοῦ πολέμου λαβὼν καὶ τῷ κρατεῖν ἀρκούμενος. Καὶ οὗτος μὲν οὐδενὸς ἀτυχήσει τῶν καλλίστων ἐμοὶ ξυνών· ὑμεῖς δὲ πειρώμενοι παραβαίνειν τὰς συνθήκας ἀποτεύξεσθε πάντων. Φημὶ δὲ οὐχ ὅτι κολάσομαι τὸν ὅμηρον, ὃν οὔτε ἐνέχυρον παρ' ὑμῶν εἴληφα τῆς εἰρήνης, ἀλλ' ἀνδρείας ἀπόδειξιν καθ' ὑμῶν ἔχω· ὃ καὶ ἄλλως ἄνισον καὶ θεομισές, τοὺς οὐδὲν ἀδικοῦντας ὑπὲρ τῶν ἀδικούντων δάκνειν καὶ σπαράττειν, ὥσπερ τὰ θηρία τοὺς ἀπαντῶντας, ὅταν ὑφ' ἑτέρων διώκηται· ἀλλ' ὅτι πρῶ-

---

testarentur ut palam faceret quos vellet, iterum cum his sermone congrediens, ipsorum regis filium petit, quem captivum in sua potestate habebat, fingens tanquam non haberet. Ad quæ barbarorum rex et barbari, ad pedes jacentes, fletu largo et ejulatu usi, precibus contenderunt, ne quid imperaret quod præstare nequirent. Nec enim se posse eos qui periissent in vitam revocare, et eos qui mortui essent obsides dare. Silentio facto, barbarorum rex voce quam maxima potuit exclamavit : « Utinam viveret filius meus, ut tibi traditus obses, o Cæsar, feliciorem regno meo apud te servitutem serviret! Sed tuis armis cecidit, fortasse etiam a vobis non cognitus. Belli enim periculis suum corpus juvenis objecit, quem idoneum pacis vadem censes, et tu nunc eum, o Imperator, tanquam vivat, exposcis. Ego vero miser nunc primum lamentari incipio, quandoquidem qualem non habeam, nunc demum intelligo. Filium enim unicum lugens, et pacem communem una cum filio perdidi. Si meas miserias tantas esse, quantæ sunt, credideris, id consolationis habebit dolor, quod pro omnium salute hunc casum subierim : sin fidem abrogaris, et pater infelix et rex conspiciar. Nam non solum aliis mea mala commiserationem non movebunt, quæ omnibus debetur ejusmodi doloribus afflictis; sed accedent etiam publicæ calamitates; neque ceteros a miseriis defendam, sed communicabo meas cum multis, in hoc tantum regia potestate fruens, quod mihi soli non licet infelicem esse. » Hæc ubi imperator audivit, apud animum suum summo mœrore est affectus, et eorum, quæ dicta erant, commiseratione punctus, tenere illacrimavit. Et quemadmodum in comœdiis, quando res involutæ et perplexæ ad ambigua et explicatu difficilia vergunt, deus qui vocatur ex machina in medium trahitur, qui omnia componit et tristia lætis mutat : ita Julianus, ubi res in magna difficultate versabantur, quum omnes cum fletu pacem peterent, neque obsidem, quem peteret, se habere testarentur, in medium adolescentem adductum omnium conspectui atque oculis subjecit, regie apud se habitum. Quumque eum disserere cum patre quæ volebat jussisset, ad ea, quæ deinceps agenda erant, advertit. Quæ sunt consecuta, his consentanea fuerunt. Non protulit sol diem qualis illa fuit, quam tunc videre et intueri his, qui aderant, licuit. Barbari enim, a mœrore et lamentis stupore et admiratione correpti, immobiles et fixi steterunt tanquam Julianus illis exhibuisset non adolescentem, sed falsam imaginem adolescentis. At imperator, ubi silentium altius, quam in mysteriis solitum, factum erat, graviter in medio loquens, « Hunc quidem, inquit, ut vos existimatis, vestrum bellum perdiderat ; sed deus fortasse et Romanorum benignitas restituit. Habebo ego ipsum obsidem, neque eum a vobis ex conventione, sed a bello ipso, contentus vicisse; et illum quidem amplissima quæque non deficient, dum mea consuetudine fruetur. Quodsi conabimini a fœdere discedere, omnium jacturam facietis. Hoc dico non quod sæviam in obsidem, quem apud me habeo, non tanquam pignus pacis, sed meæ erga vos virtutis documentum. Est enim impium et minime deo gratum, eos, qui nihil commeruerunt, pro his qui deliquerunt, morsu appetere et laniare, ut feræ bestiæ quicquid occurrit et obvium est, si quis eos persequitur. Sed primum quia a vobis initium injuriæ fa-

τον μὲν ἄρξετε χειρῶν ἀδίκων, οὗ μείζων ὄλεθρος οὐκ ἔστιν ἀνθρώποις, κἂν δοκῶσι πρὸς τὸ βραχὺ καὶ παρὸν ἐπιτυγχάνειν· δεύτερον δὲ ὅτι πρὸς Ῥωμαίους ὑμῖν ὁ λόγος ἔσται κἀμὲ τὸν ἄρχοντα τούτων, ὃν οὔτε πολεμοῦντες οὔτε εἰρήνην αἰτοῦντες ἐνικήσατε. » Προσεκύνησαν ἐπὶ τούτοις ἅπαντες καὶ ἀνευφήμουν, θεόν τινα ἐπὶ τοῖς λόγοις ἡγούμενοι. Σπεισάμενος γοῦν καὶ τὴν τοῦ Νεβισγάστου μητέρα μόνον αἰτήσας, ἐκείνων ὁμολογούντων τε ἅμα καὶ δόντων, ἀνέζευξεν ἐπὶ τοιαύταις πράξεσι, μετοπώρου τε ἑστηκότος (ἐξεστηκότος Wyttenb.) καὶ χειμῶνος ἤδη συνισταμένου καὶ διαψύχοντος.

Res pertinet ad ann. 358 p. C. Eandem historiam vide ap. Petrum Patricium (Exc. De legg. p. 131 ed. Nieb.). Paucis hæc exponit Zosimus III, 7, nisi quod pro *Chamavis* perperam ponuntur *Quadi*. Præter Ammianum Marcellin. XVII, 8, 5, cf. Julianus in Ep. ad Athen. p. 280 A.

13.

Ibid. p. 17 : Ὅτι Βαδομάριός τις δυνάμει καὶ τόλμῃ προεῖχε Γερμανῶν, καὶ ἐς τοῦτο ὑπετύφετο μεγαλαυχίας, ὥστε ἐτύγχανε μὲν ὅμηρον τὸν ἑαυτοῦ δεδωκὼς υἱόν, ἕως ἂν ἀποδῷ τοὺς αἰχμαλώτους, οὓς ἐκ τῆς καταδρομῆς εἶχε συνηρπασμένους, τούτους δὲ οὐκ ἀποδιδοὺς ἀπῄτει τὸν ὅμηρον, πολλὰ ἀπειλῶν, εἰ μὴ λάβοι. Ἀποπέμπει δὴ τοῦτον Ἰουλιανὸς αὐτῷ, τοσοῦτον ἐπιθείς, ὡς οὐκ ἔστιν ἀξιόπιστον ἓν μειράκιον ὑπὲρ πολλῶν εὐγενεστέρων ὁμηρεῦον παρ' αὐτῷ· ἀλλ' ἢ τοὺς αἰχμαλώτους ἀποδιδόναι προσῆκον, ὄντας ὑπὲρ τρισχιλίους, τοῖς αὐτίκα ἥξουσι πρέσβεσιν, ἢ ἀδικοῦντα εἰδέναι. Ταῦτα ἔγραψέ τε καὶ τὴν πρεσβείαν ἔστελλε. Καὶ αὐτὸς εἵπετο τῇ πρεσβείᾳ ἀπὸ Νεμέτων ἄρας ἐπὶ τὸν Ῥῆνον. Ἤδη τε ἦν πρὸς τοῖς Ῥαυράκοις, ὅ ἐστι φρούριον.

Quæ h. l. de Badomario leguntur, aliunde non nota sunt. Apud Zosimum III, 4 *Badomarius* prave appellatur, qui *Chnodomarius* dicendus erat. Vide Reitemeyer. ad Zosim. l. l. Res pertinere videtur ad ann. 359.

14.

Exc. De sentent. p. 257 : Ὅτι φησὶν ὁ Εὐνάπιος περὶ Ἰουλιανοῦ· Ἐνταῦθα δὲ γενομένους μεμνῆσθαι προσῆκεν, ὡς νῦν ἡ γραφὴ περιέχει τὰ τοῦ Καίσαρος ἔργα, ταῦτα δὲ ἐγίνετο Κωνσταντίου βασιλέως βασιλεύοντος· ὥσπερ οὖν ἐν τοῖς κατὰ Κωνστάντιον ἀμφοτέρων μεμνημένη τὰ τοῦ προκειμένου Κωνσταντίου μᾶλλον εἷλκεν καὶ παρῆγεν εἰς τὸν λόγον, οὕτως ἐπειδὴ τὸν λόγον ἐκ τῆς γενέσεως εἰς Ἰουλιανὸν ἐλθόντα τὸν Καίσαρα νῦν ἀναγράφει, ἐπιμνήσεται πάλιν, ἐς ὅσον ἂν ἐγχωρῇ αὖ, τῶν κατὰ τοὺς παραπίπτοντας καιροὺς εἰς τὸν Καίσαρα Κωνσταντίῳ συντεθειμένων τε καὶ μεμηχανημένων.

2. Ὁ μὲν γὰρ Ῥωμαῖος Μάριος τὸν ἀντίπαλον Σύλλαν διπλοῦν θηρίον ἀποκαλῶν, ἀλώπεκα καὶ λέοντα, μᾶλλον ἔφασκε φοβεῖσθαι τὴν ἀλώπεκα· Κωνσταντίῳ δὲ λέων μὲν οὐδεὶς παρῆν, πολλαὶ δὲ ἀλώπεκες κύκλῳ περιτρέχουσαι διεθορύβουν τὸν Καίσαρα.

3. Πᾶσα δ' ἡ βία τὴν γραφὴν κατὰ μικρὰ καὶ ἐπὶ Κωνστάντιον φέρεσθαι, καὶ τῶν ὑπ' ἐκείνου πραττομένων ἕκαστον ἀναγαγεῖν ἐπὶ καιροὺς καθ' οὓς ἐγίνετο καὶ συνέπιπτεν.

4. Τότε δὴ ὁ Κωνστάντιος ἐφ' οἷς (χαίρειν supp. N.)

---

Eunapio locum primi vindicarunt Valesius ad Ammian. XXIX, 2, 22, Küsterus ad Suid., Hemsterhusius ad Lucian. Necyom. c. 4. Nonnulla hujus fragm. Suidas repetit v. Ἔχετος, Θύραθεν. — De Festo cf. Ammian. Marc. XXIX, 2, 22 : *Festus quidam Tridentinus ultimi sanguinis et ignoti, in nexum germanitatis a Maximino dilectus ut sodalis et contogatus, decernentibus fatis ad Orientem transgressus est : ibique administrata Syria, magisterioque memoriæ peracto, bona lenitudinis et reverentiæ reliquit exempla : unde regere Asiam proconsulari potestate exorsus, velificatione tranquilla (ut aiunt) ferebatur ad gloriam. Audiens autem Maximinum optimo cuique exitialem, obtrectabat subinde actibus ejus ut perniciosis et fœdis. Sed quum impie peremptorum exsequiis suffragantibus ad præfecturam venisse hominem comperisset immeritum, exarsit ad agenda sperandaque similia; et histrionis ritu mutata repente persona, studio nocendi concepto, incedebat oculis intentis ac rigidis, præfecturam autumans adfore propediem, si ipse quoque se contaminasset insontium pœnis. Et quanquam sint multa et varia, quæ, ut levius interpretemur, egit asperrime : pauca tamen dici sufficiet, quæ sunt nota ac pervulgata, philosophum quendam Cœranium* (Κοίρανον Eunap.), *haud exilis meriti virum, ea causa tormentorum immanitate inultum occidit, quod ad conjugem suam familiariter scribens, id sermone addiderat Græco:* Σὺ δὲ νόει, καὶ στέφε τὴν

---

lilia et in convictu facilitate ac docilitate, protinus adhibere cœperunt invictam illam et sapientibus etiam formidabilem assentationem, quam illi ceu tormentum quoddam et machinam insuperabilem admoventes, juvenem e sanis salubribusque consiliis dejectum ad furiosam perniciosamque regnandi sitim perpulerunt.

Aiunt avaritiam malitiæ omnis esse fontem; immo nec ipsi malitiæ jucundam esse vel utilem. Etenim ex hac scaturigine atque ex nimia pecuniæ cupiditate, ubi semel pars animi deterior hac labe imbuta fuerit, discordia inter homines gignitur et contentio. Discordia augescens bellum cædesque parit : cædium autem fructus est humani generis vastitas et exitium. Quæ omnia sub Valente evenerunt.

39.

Festus temporibus Valentis in Asiam proconsul mittitur (374), fisci regii curator, idemque crudelitate sua effecturus, ut Homericus ille et fabulosus Echetus, et si qui alii fuerunt in Sicilia vel Thessalia tyranni, cum eo comparati, aurum et ludus viderentur. Insania autem ejus non apparebat extrinsecus, sed penitus rabie actus furebat, quippe homo natura malus, tum vero potestatem nactus; qui suppliciorum immanitate, quæ in aula regia florebat, relicta, nullum iniquitatis et petulantiæ genus prætermisit. Ad tantam vero insaniam et sanguinolentiam processit, ut Maximum gladio interficeret, Cœranum Ægyptium cædi ejus addens. Quum autem adhuc cruore caleret et ferveret, omnes una occidebat et cremabat.

τύχην : *quod dici proverbialiter solet, ut audiens altius aliquid agendum agnoscat.* De cæde Maximi aliorumque multorum, qui post Theodori conspirationem in γοητείας et veneficiorum suspicionem venerunt, vide Zosimus IV, 14 sq. : Πρὸς δὲ ὀργὴν ἄμετρον ὁ βασιλεὺς ἀναστὰς, ὑπόπτως εἶχε πρὸς ἅπαντας τοὺς ἐπὶ φιλοσοφίᾳ διαβοήτους ἢ ἄλλως λόγοις ἐντεθραμμένους... Πρῶτος μὲν οὖν τῶν ἐπὶ φιλοσοφίᾳ γνωρίμων ἀνῄρητο Μάξιμος· καὶ μετὰ τοῦτον ὁ ἐκ Φρυγίας Ἱλάριος, ὡς δὴ χρησμόν τινα λοξὸν εἰς τὸ σαφέστερον ἑρμηνεύσας, καὶ Σιμωνίδης ἐπὶ τούτῳ καὶ Πατρίκιος ὁ Λυδὸς καὶ ὁ ἐκ Καρίας Ἀνδρόνικος. Ἦσαν δὲ οὗτοι πάντες εἰς ἄκρον παιδείας ἐληλυθότες, καὶ φθόνῳ μᾶλλον ἢ ψήφῳ δικαίᾳ κατακριθέντες... Τῶν δὲ ἀτοπημάτων ἦν κολοφὼν Φῆστος, ὃν εἰς πᾶσαν εἰδὼς ὠμότητα πρόχειρον ὄντα, τῆς Ἀσίας ἀνθύπατον ὁ βασιλεὺς ἔστειλεν, ὡς ἂν μηδεὶς τῶν περὶ λόγους ἐσπουδακότων ἀπολειφθείη. Πάντας γὰρ ὁ Φῆστος ἀναζητήσας, οὓς μὲν εὗρεν, ἀκρίτως ἀπέκτεινε, τοὺς δὲ λοιποὺς ὑπερόριον ἑαυτοῖς φυγὴν ἠνάγκασεν ἐπιθεῖναι. De Maximi cæde v. Eunapii Vit. Maximi p. 63 ed. Boiss., ubi ad Historias suas lectorem relegat : Καὶ ταῦτα ἔσχεν οὕτως, καὶ ἐν τοῖς διεξοδικοῖς ἀκριβέστερον γέγραπται. Ibi Festum dicit φονικήν τινα καὶ μαγειρώδη ψυχήν. Ammian. Marcellin. XXIX, 1, 42 : *Neque ita multo post Maximus ille philosophus, vir ingente nomine doctrinarum, ... oraculi supra dicti versus audisse simulatus, seque comperisse adsensus, sed reticenda professionis consideratione non effudisse, verum ultro prædixisse, consultores ipsos suppliciis pœnalibus perituros : Ephesum ad genuinam patriam ductus, ibique capite truncatus, sensit, docente periculo postremo, quæstoris iniquitatem omnibus esse criminibus graviorem.* Quæ subjicimus ex Suida, item Eunapio viri docti vindicari volunt.

40.

[Suidas : Σιμωνίδης· οὗτος ἦν ἐπὶ Ἰοβιανοῦ τοῦ βασιλέως διὰ φιλοσοφίαν ἐπισημότατος.

Πατρίκιος· οὗτος ἤκμασεν ἐπὶ Ἰοβιανοῦ βασιλέως· ἦν δὲ ἐκ Λυδίας· ὃς τῆς ἀπὸ τῶν φαινομένων ἢ παρατρεχόντων σημείων τεκμάρσεως ἀκριβὴς ἦν ἐξεταστής.

Ἱλάριος ὁ ἐκ Φρυγίας· ἐπὶ Ἰοβιανοῦ βασιλέως Ῥωμαίων· κατὰ παιδείαν μὲν ἦν ἀνὴρ οὐ γνώριμος, κοινωνεῖν δὲ αὐτῷ θεὸς ἐδόκει τῆς τοῦ μέλλοντος προγνώσεως, ὥστε ἦν μάντις ἄριστος.]

Cf. Zosimus l. l.; Ammian. XXIX, 1, 7 : *Correptus Fidustius... rei totius calamitosum aperit textum : absolute confessus, se cum Hilario et Patricio vaticinandi peritis, quorum Hilarius militaverat in Palatio, de imperio consuluisse futuro.* etc. Idem, § 37 : *His accessit philosophus Simonides, adulescens ille quidem, verum nostra memoria severissimus. Qui quum audiisse negotium per Fidustium deferretur, et causam non ex veritate, sed ex unius nutu pensari vidisset, didicisse se dixit prædicta, et commissa pro firmitate animi tacuisse.* De alio quodam Hilario, qui anno 395 periit, vide infra.

41.

Exc. De sent. p. 269, 270 : Κατὰ μὲν οὖν τὰ πρῶτα τῆς συγγραφῆς, οὐδενὸς οὐδὲν σαφὲς ἔχειν λέγοντος ὅθεν τε ὄντες οἱ Οὖννοι, ὅπη τε κείμενοι τὴν Εὐρώπην πᾶσαν ἐπέδραμον καὶ τὸ Σκυθικὸν ἔρριψαν γένος, ἐκ τῶν παλαιῶν συντιθέντι κατὰ τοὺς εἰκότας λογισμοὺς εἴρηται· τὰ δὲ ἐκ τῶν ἀπαγγελλομένων δοξάζοντι πρὸς τὸ ἀκριβὲς, ὡς ἂν μὴ τοῦ πιθανοῦ τὴν γραφὴν ἀπαρτήσαιμεν, μηδὲ παραφέροι πρὸς τὴν ἀλήθειαν ὁ λόγος. Ἡμεῖς δὲ οὐ ταὐτὸν πάσχοντες τοῖς ἐκ παίδων οἰκίαν μικρὰν καὶ φαύλην οἰκήσασιν, εἶτα διὰ τύχης εὔροιαν μεγάλων καὶ λαμπρῶν ἐπιλαβομένοις οἰκοδομημάτων, ὅμως [δὲ] διὰ συνήθειαν τὰ ἀρχαῖα θαυμάζουσι καὶ περιστέλλουσιν, οὕτως αὐτοὶ τὰ προειρημένα γεγράφθαι συγχωρήσαντες ἑτέρων ἀποστε[ρούμεθα] πάλιν, ἀλλὰ μᾶλλον ὥσπερ οἱ κατά τινα θεραπείαν σώματος τὰ πρῶτα χρησάμενοι φαρμάκῳ δι' ὠφελείας ἐλπίδα, κᾆτα τὸ κρεῖττον πείρᾳ δοκιμάσαντες ἐπ' ἐκεῖνο μεθίστανται καὶ ῥέπουσιν, οὐ τῷ δευτέρῳ τὸ πρότερον ἀναιροῦντες, ἀλλὰ τῷ δεδοξα-

40.

Simonides. Hic imperatoris Joviani temporibus ob philosophiam erat celeberrimus.

Patricius. Hic floruit sub Joviano imperatore. Fuit autem ex Lydia. Qui ex occurrentium aut apparentium signorum conjectura vates fuit accuratus.

Hilarius Phryx, sub Joviano Romanorum imperatore. Fuit autem vir doctrina quidem non celebris : sed deus ipsi futurorum præscientiam impertiri videbatur. Quare fuit præstantissimus vates.

41.

In priore Historiæ parte, quoniam nemo adhuc certa narratione prodidit, qua origine quibusve ex locis Hunni universam Europam pervaserint, Scythicumque genus propulsarint, nos quidem memorias veteres colligentes, rem probabili ratiocinatione tractavimus : tum quicquid relatum erat, diligenti judicio exploravimus, ne quid minus probabile proferremus, et ne sermo noster veritate procul aberraret. Neque nunc tamen, more eorum, qui in exigua vilique casa a pueris enutriti, dein favorabili fortunæ cursu magnas atque splendidas domos nacti, nihilominus consuetudine victi antiquos adhuc amant lares atque amplectuntur; haud nos, inquam, prædictis utcumque narrata fuerunt indulgentes, alia negligemus : quin potius instituto illorum, qui curando corpori intenti, etiamsi aliquam medicinam, quam utilem sperabant, jam adhibuerint, mox

σμένῳ κακῶς τὸ ἀληθὲς ἐπεισάγοντες, καὶ καθάπερ φῶς ἀπὸ λαμπάδος διὰ τῆς ἡλιακῆς ἀκτῖνος ἀφανίζοντες καὶ ἀμβλύνοντες, ὁμοίως ἐπιθήσομεν τοῖς εἰρημένοις τἀληθέστερα, κἀκεῖνα διὰ τὴν ἱστορικὴν δόξαν συγχωρήσαντες μένειν, καὶ ταῦτα διὰ τὴν ἀλήθειαν ἐξελκυσάμενοι καὶ παραζεύξαντες.

« Gothos ab Hunnis supervenientibus cæsos victosque petivisse a Valente ut in Romanam ditionem trajecto Istro reciperentur (376), tota vetus historia testatur. Dicturus hanc rem Eunapius cœperat hic scribere de Hunnorum origine. Verum ejus narrationem infeliciter amissam non incuriose supplet Zosimus IV, 20. » Mai. Ad locum Zosimi cf. Reitemeyerus Zosimi vel Eunapii errores castigans. Ceterum v. Ammian. XXXI, 2. Hunnorum mentionem ex Eunapio Suidas quoque injicit v. Καγχάζει· ἀθρόως γελᾷ. Εὐνάπιος· « Οἱ δὲ Οὖννοι πλατὺ καγχάσαντες ᾤχοντο. »

42.

Exc. De legg. p. 19-21 : Ὅτι τῶν Σκυθῶν ἡττηθέντων καὶ ὑπὸ τῶν Οὔννων ἀναιρεθέντων καὶ ἄρδην ἀπολλυμένων (τὸ πλῆθος), οἱ μὲν ἐγκαταλαμβανόμενοι σὺν γυναιξὶ καὶ τέκνοις διεφθείροντο, καὶ οὐδεμία φειδὼ τῆς περὶ τοὺς φόνους ἦν ὠμότητος. Τὸ δὲ συναλισθὲν καὶ πρὸς φυγὴν ὁρμῆσαν πλῆθος μὲν (ἦν?) οὐ πολὺ τῶν εἴκοσι μυριάδων ἀποδέουσαι (ἀποδέον, ὅσοι?) συνῆλθον [τῶν] ἐς τὸ μάχιμον ἀκμαζούσας (ἀκμαζόντων?).* κινηθέντες [νικηθέντες Hœsch.] καὶ ταῖς ὄχθαις ἐπιστάντες χεῖράς τε ὤρεγον πόρρωθεν μετ' ὀλοφυρμῶν καὶ βοῆς, καὶ προέτεινον ἱκετηρίας, ἐπιτραπῆναι τὴν διάβασιν παρακαλοῦντες, καὶ τὴν σφῶν συμφορὰν ὀδυρόμενοι, καὶ προσθήκην τῇ συμμαχίᾳ παρέξειν ἐπαγγελλόμενοι. Οἱ δὲ ταῖς ὄχθαις ἐπιτεταγμένοι Ῥωμαίων οὐδὲν ἔφασαν πράξειν ἄνευ βασιλέως γνώμης. Ἐντεῦθεν ἀναφέρεται μὲν ἐπὶ τὸν βασιλέα ἡ γνῶσις· πολλῆς δὲ ἀντιλογίας γενομένης, καὶ πολλῶν ἐφ' ἑκάτερα γνωμῶν ἐν τῷ βασιλικῷ συλλόγῳ ῥηθεισῶν, ἔδοξε τῷ βασιλεῖ. Καὶ γὰρ ὑπῆν τι ζηλοτυπίας αὐτῷ πρὸς τοὺς συμβασιλεύοντας, οἳ παῖδες μὲν ἦσαν ἀδελφοῦ (καὶ γέγραπται οὕτω πρότερον), τὴν βασιλείαν δὲ διῃρῆσθαι κατὰ σφᾶς ἐδόκουν, τὴν διανομὴν οὐκ ἀνενεγκόντες ἐπὶ τὸν θεῖον. Τούτων δὴ ἕνεκα, καὶ ὡς μεγάλῃ προσθήκῃ τὸ Ῥωμαϊκὸν αὐξήσων, δεχθῆναι κελεύει τοὺς ἄνδρας, τὰ ὅπλα καταθεμένους. Πρὶν δὲ τὴν διάβασιν ἐκ βασιλέως ἐπιτραπῆναι, Σκυθῶν οἱ τολμηρότατοι καὶ αὐθάδεις βιάσασθαι τὸν πόρον ἔγνωσαν, καὶ βιαζόμενοι κατεκόπησαν. Οἱ δὲ διαφθείραντες τὸν ἀποδασμὸν τοῦτον τῆς τε ἀρχῆς παρελύθησαν καὶ περὶ τοῖς σώμασιν ἐκινδύνευσαν, ὅτι πολεμίους διέφθειραν. Οἵ τε παραδυναστεύοντες βασιλεῖ καὶ δυνάμενοι μέγιστον κατεγέλων αὐτῶν τὸ φιλοπόλεμον καὶ στρατηγικὸν, πολιτικοὺς δὲ οὐκ ἔφασαν εἶναι. Ὁ μὲν γὰρ βασιλεὺς ἐξ Ἀντιοχείας ἐπέτρεπεν αὐτοῖς τὴν ἀχρεῖον ἡλικίαν πρῶτον ὑποδεξαμένοις καὶ παραπέμψασιν εἰς τὴν Ῥωμαϊκὴν ἐπικράτειαν, καὶ ταύτην εἰς ὁμηρείαν ἀσφαλῶς κατέχουσιν, ἐπιστῆναι ταῖς ὄχθαις, καὶ μὴ πρότερον τοὺς μαχίμους δέξασθαι διαβαίνοντας, μηδὲ τὰ πλοῖα παρασχεῖν ἐς τὴν περαίωσιν, εἰ μὴ τὰ ὅπλα καταθέμενοι γυμνοὶ διαβαίνοιεν. Οἱ δὲ ταῦτα ἐπιτραπέντες, ὁ μὲν ἐκ τῶν διαβεβηκότων ἤρα παιδαρίου τινὸς λευκοῦ καὶ χαρίεντος τὴν ὄψιν, ὁ δὲ ἡλέει (ἥλω? W.) γυναικὸς εὐπροσώπου τῶν αἰχμαλώτων, ὃς δὲ ἦν αἰχμάλωτος ὑπὸ παρθένου, τοὺς δὲ τὸ μέγεθος κατεῖχε

---

tamen, si potiorem aliam experientia edocti fuerint, hanc deligunt atque præoptant; sic nos haud sane priora dicta confodientes, sed erroneis opinionibus veras res supponentes, ac veluti faculæ lucem solaribus radiis opprimentes hebetantesque, hactenus dictis veriora subtexemus. Nempe et superiora illa in historicæ opinionis loco esse sinemus, et præsentia addemus juxtaque apponemus, ut veritati consultum esse videatur.

Hunni vero cachinnantes abierunt.

42.

Scythis victis et ab Hunnis cæsis et ad internecionem usque deletis, omnes, qui capti erant, cum mulieribus et eorum filiis interempti sunt, quum nullus crudelitatis et cædium esset modus; qui autem collecti effugerant non minus quam hominum ducenta millia, ad bellum apti et ætate florentes, convenerunt. Itaque profecti et ad ripam (*Istri*) stantes, manus e longinquo porrigebant, et preces cum fletu et vociferatione emittebant, trajectionemque sibi concedi flagitantes, suam cladem deplorabant, et se illis præbituros auxilii accessionem spondebant. At Romani, qui ripis præerant, nihil se nisi imperatoris jussu facturos responderunt. Quamobrem hujus rei cognitio est ad imperatorem delata. Quum res in magna varietate versaretur multaque in utramque partem in consilio principis dicta essent, tandem assensus est, maxime propter æmulationem, quam habebat cum his qui imperium cum eo tenebant. Erant autem filii fratris, quemadmodum et supra dictum est, qui imperatoriam potestatem inter se dividendam statuerant, non patrui arbitrio permissa divisione. His causis impulsus, tum etiam quia maxima accessio potentiæ foret Romanis, jussit Scythas admitti, modo arma deponerent. Antequam vero trajectus esset ab imperatore concessus, Scytharum audaciores et elatiores transitum sibi vi aperire constituerunt, sed vi repulsi deleti sunt. At illi qui eam Scytharum exercitus partem oppressam confecerant, magistratu privati sunt et capitis periculum adierunt, quia videlicet hostes trucidaverant. Qui autem apud imperatorem primas partes gratiæ occupabant, et plurimum apud ipsum valebant, eos irridebant, tanquam homines militares et bello quidem aptos, sed rerum civilium prorsus rudes. Præceperat imperator ab Antiochia, ut primum imbellem et nulli usui aptam susciperent ætatem et per Romanorum ditionis terras dimitterent, et tanquam obsides tuto loco haberent; neque eo secius ad ripas consisterent, ut turbas pugnæ aptas minime transgredi sinerent, neque navigia illis ad trajectionem præberent, priusquam arma deposuissent, quo nudos transmitterent. Eorum autem, qui ista mandata exceperunt, exarsit hic amore pueri alicujus candidi

τῶν δώρων, τά τε λινᾶ ὑφάσματα καὶ τὸ τῶν στρωμάτων ἐπ' ἀμφότερα θυσανοειδές· ἕκαστος δὲ ἁπλῶς αὐτῶν ὑπελάμβανε καὶ τὴν οἰκίαν καταπλήσειν οἰκετῶν καὶ τὰ χωρία βοηλατῶν καὶ τὴν ἐρωτικὴν λύσσαν τῆς περὶ ταῦτα ἐξουσίας. Νικηθέντες δὲ ὑπὸ τούτων νίκην αἰσχίστην καὶ παρανομωτάτην, ὥσπερ τινὰς εὐεργέτας καὶ σωτῆρας παλαιοὺς μετὰ τῶν ὅπλων ἐδέξαντο. Οἱ δὲ τοσοῦτον ἀκονιτὶ πρᾶγμα διαπεπραγμένοι καὶ τὴν οἴκοι συμφορὰν εὐτυχήσαντες, οἵγε ἀντὶ τῆς Σκυθῶν ἐρημίας καὶ τοῦ βαράθρου τὴν Ῥωμαϊκὴν ἀρχὴν ἀπελάμβανον, εὐθὺς πολύ τι βάρβαρον ἐν τῷ παρασπόνδῳ καὶ ἀπίστῳ διέφαινον. Ἡ μὲν γὰρ ἄχρηστος ἡλικία προλαβοῦσα κατὰ τὴν διάβασιν μετὰ βαθείας σπουδῆς καὶ φροντίδος τῶν ταῦτα βεβουλευμένων εἰς τὰ ἔθνη κατεχεῖτο καὶ διεσπείρετο. Οἰκέται δὲ καὶ γυναῖκες καὶ παῖδες ἐκείνων, οἱ μὲν βασιλικὰ παράσημα ἔχοντες, τὰς δὲ ἦν ἁβροτέρας ὁρᾶν ἢ κατὰ αἰχμάλωτον. Παῖδες δὲ αὐτῶν καὶ τὸ οἰκετικὸν (τοῦ οἰκετικοῦ? W.) πρός τε τὴν εὐκρασίαν τῶν ἀέρων ἀνέδραμον καὶ παρὰ τὴν ἡλικίαν ἥβησαν, καὶ πολὺ τὸ ἐπιφυόμενον ἦν πολέμιον γένος. Οἱ μὲν οὖν παλαιοὶ μῦθοι λέγουσι περὶ τὴν Βοιωτίαν καὶ τὴν Κολχίδα, δρακοντείων ὀδόντων κατασπαρέντων, ἐν ὅπλοις ἅμα τῷ σπόρῳ τοὺς ἄνδρας ἀναπάλλεσθαι (ἀνατέλλεσθαι? W.)· ὁ δὲ καθ' ἡμᾶς χρόνος καὶ τὸν μῦθον τοῦτον εἰς φῶς καὶ ἔργον συνήγαγε καὶ ὀφθῆναι κατηνάγκασεν. Οὐ γὰρ ἔφθασαν τοῦ Σκυθικοῦ γένους εἰς τὴν ἐπικράτειαν τὴν Ῥωμαϊκὴν οἱ παῖδες ὥσπερ ὀδόντες διασπαρέντες, καὶ πάντα ἦν μεστὰ θυμοῦ καὶ μανίας καὶ φόνων, ἀνελθόντων αὐτῶν εἰς ἡλικίαν μάχιμον παρὰ τὸν χρόνον. Τὸ δὲ ἀκμάζον τῆς Σκυθικῆς ἀλκῆς καὶ γενναιότητος, τοῖς ὑποδεξαμένοις ἀντὶ τῶν ἐκβεβληκότων ἐς ἐπανάστασιν εὐθὺς ἐγερθὲν καὶ μαχόμενον, πολὺ δεινότερα καὶ τραγικώτερα συνετόλμησεν ὧν ἔπαθεν. Ἡ μὲν γὰρ Θρᾴκη πᾶσα καὶ ἡ συνεχὴς αὐτῇ χώρα Μακεδονία καὶ Θεσσαλία τοιαύτη τίς ἐστι καὶ οὕτω πολυύμνητος, ὥστε οὐδὲ εἷς κατὰ (καὶ? W.) ταῦτα ἀναγράφειν ὁ λόγος ἦν. Τοσαύτην δὲ οὖσαν αὐτὴν καὶ οὕτω πολυάνθρωπον, εὐδαίμονά τε ἅμα καὶ εὔανδρον, ἡ τῶν Σκυθῶν ἄπιστος καὶ παράλογος ἐπανάστασις ἐξαπιναίως καὶ παραχρῆμα τῆς διαβάσεως συντολμηθεῖσα καὶ ἀνοιδήσασα κατεστόρεσεν ἐς τοσόνδε καὶ καθημάξευσε ταῖς συμφοραῖς, ὥστε χρυσὸν ἀποδειχθῆναι πρὸς τὰ Θρᾴκια πάθη τὴν Μυσῶν παροιμιώδη λείαν. Δόξαν δ' αὐτοῖς στασιάζειν, ἀξιομάχου μὴ παρούσης δυνάμεως εἰς ἄμυναν, τῷ τε πλήθει πρὸς ἀνθρώπους ἀφυλάκτους καὶ ἀνόπλους ἐφάνησαν φοβερώτατοι, καὶ τῷ φονικωτάτῳ πρὸς τὸ κρατούμενον πάντα ἀνδρῶν ἐχήρωσαν. Περιειστήκει δὲ ἐς ἴσον λόγον καὶ Σκύθας Οὔννων μὴ φέρειν ὄνομα καὶ Ῥωμαίους Σκυθῶν. Πόλεις γοῦν εὐαρίθμητοι καὶ ὀλίγαι τινὲς διεσώθησαν καὶ ἔτι σώζονται τειχῶν ἕνεκεν καὶ οἰκοδομημάτων· ἡ δὲ χώρα καὶ (κατὰ? W.) τὸ πλεῖστον ἀπανάλωται, καί ἐστιν ἀοίκητον καὶ ἄβατον διὰ τὸν πόλεμον. Βασιλεὺς δὲ ἐπειδὴ τούτων ἐπύθετο τῶν ἀδιηγήτων κακῶν, πρὸς μὲν τοὺς Πέρσας ἀναγκαίαν εἰρήνην συνθέμενος, ἑαυτῷ δὲ πολεμήσας ἐπὶ μεταγνώσει τῆς ὑποδοχῆς, τῷ θυμῷ τε ὑπερέζεσε, καὶ πρὸς τὸν πόλεμον

---

et vultu grati ex his, qui trajecti fuerant, alter misertus est uxoris formosae unius ex captivis. Hic captus est virgine formosa, alios magnitudo munerum cepit, linea vestimenta et stragula ab utraque parte fimbriata. Plane unusquisque ipsorum hoc propositi habuit, ut suas domos servis, villas pastoribus et insanum amoris furorem quavis licentia implerent. Itaque victi ejusmodi victoria fœdissima et scelestissima eos tanquam benefactores et servatores priscos cum armis exceperunt. At illi tantam rem sine ullo labore adepti, patriam calamitatem jam lucro apponentes (nam pro desertis Scythiæ locis et barathro in Romanum invaserunt imperium), multam statim barbariem frangendo perfide fœdere prodiderunt. Imbellis quidem ætas quæ prior transierat, diligenti studio curaque eorum, qui hoc consilii dederant, per provincias distributa fuerat sparsimque collocata. Porro cernere erat domesticos eorum et uxores et liberos, hos quidem bullas regias ferentes, illas autem delicatius, quam captivas decebat, victitantes. Liberorum autem et servitiorum corpora salubritate aeris excrescebant, prematuraque ætate pubescebant, atque omnino gens hostilis ubique pullulabat. Aiunt veteres fabulæ, satis in Bœotia et Colchide draconum dentibus, armatos homines ex ea satione semet extulisse: nostra vero ætas fabulam istam publica in luce veroque opere effectam dedit, et spectare coacta est. Nam statim ac Scythici generis soboles, ceu dentes illi, in Romano imperio sata fuit, ubique odia rixæque et cædes exaudiebantur adolescentium horum, qui intempestive ad ætatem armiferam perveniebant. Atque ita juventus potentiæ Scythicæ generosissima cœpit protinus, loco eorum a quibus nuper expulsa fuerat, hospites suos oppugnare, hisque mala multo luctuosiora pejoraque inferre, quam ipsamet perpessa fuerat. Profecto universa Thracia et huic finitimæ provinciæ Macedonia atque Thessalia, tam uberes tamque admirandæ erant, ut nulla satis oratione describi possint. Hanc talem tantamque regionem tam beatam tamque multis ac strenuis viris cultam, infida atque insperata Scytharum seditio, quæ statim post transitum conspirato ausu erupit, adeo stravit et calamitatibus vastam fecit, ut, comparata cum his prædatio aurum esse videretur Mysica illa quæ proverbio fertur prædatio. Quum ergo Scythis rebellare libuisset, quo tempore nullæ copiæ resistendo idoneæ aderant, multitudine sua incautos inermesque cives perterruerunt, multisque cædibus in devictos sævientes regionem incolis nudaverunt. Inde factum est ut Romani Scytharum nomen non minus reformidarent, quam Scythæ nomen Hunnorum. Ex civitatibus paucæ mœnibus et propugnaculis tutæ, quas facile est enumerare, integræ et illæsæ permanserunt et adhuc permanent. Sed regio ipsa plurimum est vastata, et inculta et deserta jacet ex hoc bello. Imperator autem ut de tot tantisque malis, quæ narrari non possunt, factus est certior, se ipsum, quod illos receperit, accusans, pacem cum Persis necessario facere est coactus. Itaque ira flagrans et totus in illud bellum incumbens præmittit Sara-

ἐντείνων (ἐντύνων? B.) ἑαυτὸν προκαταπέμπει τὸ Σαρακηνῶν ἱππικὸν ὡς ἀντισχῆσον τοῖς βαρβάροις. Ἤδη γὰρ καὶ τὴν Κωνσταντίνου πόλιν κατέτρεχον, καὶ τοῖς τείχεσιν ἠνώχλουν περικαθήμενοι, πολέμιόν τε οὐδὲν δρῶντες ἐς ἀντίπαλον μάχην, καὶ τοῖς φρονήμασιν εἰς πᾶσαν ὕβριν ὠλισθηκότες. Ὃ δὴ καὶ περιφανῶς ἔδοξε κάλλιστα στρατηγῆσαι κατὰ τὸν καιρὸν ἐκεῖνον ἡ τύχη. De re cf. Zosimus IV, 20.

43

Suidas v. Πρόβολος· Εὐνάπιος· « Ὁ δὲ βασιλεὺς τούτους δεξάμενος, κτήματά τε αὐτοῖς καὶ χώραν ἀπένειμε, καὶ προβόλους τε ὑπελάμβανε γενναίους καὶ ἀδαμαντίνους ἔχειν πρὸς τὰς ἐκείνη τῶν Οὔννων ἐμβολάς. »

« Agi credo de Valente, qui Scythas Hunnorum impressionibus continuis vexatos in Thraciam recepit. V. Zosim. IV, 20, 8. » Boisson.

44.

Exc. De sent. p. 270 : Ὅτι Μαρκιανὸς ἀνὴρ ἐς ἀρετὴν ἅπασαν ὥσπερ τις κανὼν ἠκριβωμένος.

« Marcianus hic est sub Valentiniano jun. vicarius, de quo loquitur in codicis Theod. Prosopographia Gothofredus. Jam quod ejus virtutes Eunapius commendat, bene est; nam et Symmachus, Epist. VIII, 23, ad hunc quasi severi moris magistrum scribit de vitæ suæ castimonia eximia; cujusce argumenti literas ad Clodium certe non scripsisset. » Mai.

45.

[Suidas : Μουσώνιος, ἐπὶ Ἰοβιανοῦ ἦν βασιλέως. Πάντα, ὅσα ἦν ἄριστα, μικρὰ ἐφαίνοντο πρὸς τὸν ὄγκον Μουσωνίου καὶ τὴν σὺν τῷ δραστηρίῳ τῆς γνώμης βαθύτητα· δι' ἃ κατὰ λόγον εὐδοκιμῶν τήν τε ἁλιτενῆ χώραν τῆς Ἀσίας ἐπῆλθε, καὶ ὁ τὴν ἀνθύπατον καὶ μείζονα ἔχων ἀρχὴν πρὸς τὰς ἐπιδημίας ἐξίστατο, κἀκεῖνος ἅπαντα ἐπιὼν ἐν ὀλίγαις ἡμέραις τὴν θάλασσαν ἐπλήρωσε τῶν ἀπὸ τῆς Ἀσίας εἰσφορῶν. Ἐπεκάλει δὲ οὐδεὶς ἄδικον οὐδὲν τοῖς γινομένοις· ἀλλὰ παιδιά τις ἦν ἅπασι τοῖς καταβάλλουσι τὰ εἰσφερόμενα· Εὐνάπιος γὰρ ὁ ἐκ Φρυγίας ῥήτωρ ἐπεστάτει τοῖς πραττομένοις.]

Exc. De sent. p. 270, 271 : Φιλόκαλος γὰρ ὢν καὶ φιλάγαθος ὁ Μουσώνιος τοὺς πανταχόθεν καθεῖλκεν παρ' ἑαυτὸν, ὥσπερ ἡ μαγνῆτις λίθος τὸν σίδηρον. Οὐκ ἦν δὲ βασανίζειν ὁποῖός τις ὁ δεῖνα, ἀλλὰ Μουσώνιον φίλον ἀκούσαντα, ὅτι καλὸς ἦν εἰδέναι.

Ὅτι συνηρτῆσθαι τοῦ πολέμου δοκοῦντος Μουσώνιος ἵππον ἐπιβὰς ἐξήει τῶν Σάρδεων. Καὶ ὁ Θεόδωρος τὸν συγγραφέα μεταπεμψάμενος ἐδάκρυσε τὴν ἔξοδον, καὶ ἀνδρὶ τἆλλα γε ἀτεράμονι καὶ ἀτέγκτῳ δάκρυα κατεχεῖτο τῶν παρειῶν ἀκρατέστερον.

Ὅτι τὸ ἐπὶ Μουσώνιον ἐπίγραμμα τὸ παρὰ Θεοδώρου τοιοῦτόν ἐστιν·

Ἔνθα μὲν Αἴας κεῖται ἀρήϊος, ἔνθα δ' Ἀχιλλεύς,
ἔνθα δὲ Πάτροκλος θεόφιν μήστωρ ἀτάλαντος·
ἔνθα δ' ἐπὶ τρισσοῖσι πανείκελος ἡρώεσσι
ψυχὴν καὶ βιότοιο τέλος Μουσώνιος ἥρως.

Ὅτι οἱ Ῥωμαῖοι κατεκόπησαν παρὰ Ἰσαύρων, καὶ τούτῳ ὥσπερ δράματι μεγάλῳ καὶ τραγεῖ τὸ κατὰ Μουσώνιον ἐπεισόδιον οὐκ ἔλαττον ὁ δαίμων ἐπήνεγκεν. Ἐνταῦθά που τῆς συγγραφῆς ἀφώρισται τὸ

---

cenorum equitatum, qui barbarorum impetum reprimeret. Jam enim usque ad Constantinopolim excurrebant, et tanquam urbem obsidentes mœnia incursabant, quum nullas copias, quæ illis resistere possent, cernerent, superbia sua ad omnem ferociam delati. Unde fortuna tunc temporis manifeste visa est belle pro Romanis militasse.

43.

Rex autem quum hos excepisset, ipsis et pecudes et agros distribuit, existimans eos validissimi et adamantini munimenti loco sibi fore adversus Hunnorum irruptiones.

44.

Marcianus ad omne virtutis genus tanquam regula quadam exactus erat.

45.

Quæcumque optima erant, si quis ea cum Musonii gravitate et actuosa ingenii profunditate contulisset, parva videbantur. Propter quæ jure meritoque laudatus, maritimam Asiæ regionem peragravit, eique proconsul etsi majorem dignitatem haberet, iter facienti cedebat. Musonius igitur quum paucis diebus omnem illam oram perlustrasset, mare tributis Asianis implevit. Nullus vero de rebus illis, quæ fiebant, ut injustis, querebatur : sed illa, quæ tributorum causa conferebantur, omnibus, qui ea pendebant, ludus quidam erant. Eunapius (*a Nostro ille diversus*) enim, Phrygius orator, negotio illi præerat.

Pulchri enim bonique amans Musonius mortales omnes ad se pelliciebat, ceu ferrum magnes lapis. Neque opus erat qualis quisquam esset expendere; sed ubi amicum Musonii scires, egregium esse virum satis noveras.

Bello jam indicto, Musonius, equo conscenso, Sardibus progressus est. Tum Theodorus, quum eum, qui hæc scribit, ad se vocasset, eluxit viri discessum. Revera homini alioquin duro et immiti lacrimæ ubertim per genas manabant.

In Musonium epigramma Theodori hoc est :

Ubi jacet Ajax Mavortius, ubi Achilles,
ubi Patroclus diis consilio par :
ibi tribus heroibus animo vitæque fine
persimilis Musonius heros jacet.

Romani ab Isauris occidione cæsi fuerunt. Atque huic tanquam dramati magno et atroci Musonii episodium non minoris momenti fata adjunxerunt. In hoc autem historiæ

πραχθὲν, ὅτι τοῖς χρόνοις παρέτεινε καὶ συγκατέστρεψεν ἐπὶ τὰ προειρημένα, ὥστε τοῖς καιροῖς μὴ πολὺ παραλλάττειν ἐς τὸ τέλος τὴν γραφήν.

Suidæ locum ad Eunapium referendum esse primus monuit Valesius ad Ammian. Marcell. XXVII, 9, 6; ubi hæc : *At in Isauria globatim per vicina digressi prædones, oppida villasque uberes libera populatione vexantes, magnitudine jacturarum Pamphyliam adflictabant et Cilicas. Quos quum nullis arcentibus internecive cuncta disperdere Asiæ vicarius ea tempestate Musonius advertisset, Athenis Atticis antehac magister rhetoricus : deploratis novissime rebus, luxuque adjumento militari marcente, adhibitis semiermibus paucis, quos Diogmitas appellant, unum grassatorum cuneum, si patuisset facultas, adoriri conatus, per angustum quendam transiens devexitatis anfractum, ad inevitabiles venit insidias : et ibi cum his confossus est quos ducebat.* Mors Musonii pertinet ad annum 368. Unde patet hæc memorari præter ordinem chronologicum. Idque ipse Eunapius indicat verbis : Ἐνταῦθά που τῆς συγγραφῆς ἀφώρισται τὸ πραχθὲν, ὅτι τοῖς χρόνοις παρέτεινεν... ἐπὶ τὰ προειρημένα. Scilicet Isauri post motus illos, quibus Musonius periit, quieverunt usque ad annum 376. De hoc autem tempore Eunapius loquens superiora, quatenus ad Isauros pertinent, repetiit. Quemadmodum Eunapius, sic Zosimus (IV, 20 ad ann. 376) quoque turbas Isauricas eo loco commemorat quo de Hunnis Gothorumque migrationibus sermo est. Ceterum de Musonio cf. Eunapius in Vit. Proæresii p. 92 ed. Boiss. : Ἐπανίστη δὲ αὐτῷ (τῷ Προαιρεσίῳ) ὁ Μουσώνιος, εἰς σοφιστικὴν ὁμιλητὴς ὢν αὐτοῦ (περὶ οὗ πολλὰ διὰ τὰς ἄλλας ἐν τοῖς διεξοδικοῖς γέγραπται), καὶ ὅτε γε ἀντῆρε, καταμαθὼν πρὸς τίνα ἔχει τὸν ἀγῶνα, ταχὺ μάλα ἐπὶ τὴν πολιτικὴν κατεπήδησεν. V. Wernsdorf. ad Himer. p. 473. De filiis ejus cf. Zosimus V, 5. — Ὁ Θεόδωρος] « Arbitror hunc esse Theodorum Iamblichi discipulum, qui appellatur in Comm. ad Nicomach. Arith. p. 61, vel Theodorum aliquem magistratum. Tum et Theodori proconsulis exstant epigrammata duo ap. Brunckium tom. III, p. 6. » Mai. Idem Majus ex epigrammate colligit ad Ilium Musonium esse sepultum. — E postremis quædam adducit Suidas v. Δρᾶμα et Ἐπεισόδιον.

46.

Exc. De sent. p. 271. 272 : Ὅτι ὁ βασιλεὺς Οὐάλης κατὰ τὸν καιρὸν ἡνίκα οἱ Σκύθαι τὴν Μακεδονίαν ἐπέτρεχον, παρελθὼν εἰς τὴν πόλιν τὰς πανταχόθεν δυνάμεις συνήγειρεν ὡς μέγα τι καὶ παράδοξον ἐργασόμενος. Ὅσον δὲ παιδεία ἀναγνώσεως ἰσχύει πρὸς τοὺς πολέμους καὶ ἡ διὰ τῆς ἱστορίας ἀκριβὴς θεωρία πρὸς ἄμαχόν τινα καὶ γραμμικὴν ἔκβασιν τελευτῶσι καὶ συνηναγκασμένην, καὶ τότε ὁ χρόνος ἀπέδειξεν. Πολλῶν γὰρ ἐπὶ πολλοῖς μαρτυρούντων, καὶ τῆς πείρας πόρρωθεν βοώσης, ὅτι οὔτε πολλοῖς οὔτε ὀλίγοις μάχεσθαι προσῆκεν ἀπεγνωκόσιν ἑαυτῶν καὶ πρὸς κίνδυνον ἑτοίμως ἔχουσιν, ἀλλ' ὅτι τοιαῦτα στρατόπεδα καταλύειν συμφέρει χρόνῳ τρίβοντα τὸν πόλεμον καὶ περικόπτοντα τὰς ἀφορμὰς τῶν ἐπιτηδείων, ὅπως ὑφ' ἑαυτῶν πολεμοῖντο δι' ἔνδειαν πολλοὶ τυγχάνοντες, καὶ μὴ πρὸς τύχην ἀποκινδυνεύωσιν, ἀλλ' ἐν ἀπόρῳ καὶ τὸ κινδυνεύειν ἔχωσιν, ἐπὶ τοῖς ἐναντίοις οὔσης τῆς ἐπιχειρήσεως· *

Ὡς δὲ ἦν τοιούτων ἀρετῶν ἡ κτῆσις * — σπανιώτερον δὲ οὐδὲν ἀρετῆς ἐν βίοις διεφθαρμένοις καὶ ἀγωγαῖς ἐπὶ χεῖρον προκατειλημμέναις.

De Valentis contra Gothos bello (378) vide Zosim. IV, 21, 1. In postremis σπανιώτερον δὲ οὐδὲν ἀρετῆς κτλ. sermo est de improbitate eorum qui Constantinopoli rebus præfecti erant. Quibus quum bellum committere tutum non putaret Valens, ex Italia advocavit Sebastianum, virum integrum prudentemque, de quo v. fr. 47. Cf. Zosim. IV, 22, 6 sq. Ammian. XXXI, 11, 1.

47.

Suidas : Σεβαστιανός. Οὗτος ἐπὶ Οὐάλεντος ἦν· ἐγένετο δὲ ἐπὶ τούτου ἀνδρῶν πολεμικῶν ζήτησις· εὐ-

---

loco id positum est, quia tempus ejus usque ad prædictas res protenditur fitque iis coætaneum, adeo ut temporibus haud multum declinet a tramite historia nostra.

46.

Valens Cæsar, quo tempore Scythæ Macedoniam incursabant, profectus (*Antiochia*) Constantinopolim militares undique copias contrahebat, magnum quid moliens et inopinum. Jam quantum valeat ad belli usum literarum cognitio, quantumque historiæ accurata notitia prosit iis qui certum aliquem et definitum necessariumque exitum sortiri volunt, illo quoque tempore patefactum est. Nam et multi multifariam testantur, atque ipsa experientia vocem veluti procul mittens docet, neque magno, neque parvo militum numero adversus desperantes atque ad periculum quodvis paratos esse pugnandum; verum ejusmodi exercitus trahendo bello esse dissolvendos, subtractis interim commeatibus, ut intestina necessitate vincantur, dum alimoniæ penuriam numerus prægravat : neque iis concedendum, ut fortunam experiantur, verum efficiendum, ut ne pugnæ tentandæ facultatem liberam habeant, cujus arbitrium penes adversarios sit.

Quum ejusmodi virtutem adeptio * — Nihil rarius virtute est in vitioso vitæ genere atque in moribus ad deteriorem semitam pronis.

47.

Sebastianus. Hic tempore Valentis fuit. Sub quo quum virorum bellicosorum delectus haberetur, hic vir omni

ρέθη δὲ οὗτος ὁ ἀνὴρ πάσης ἐλπίδος κρείττων, οὐδεμιᾶς ἀρετῆς ἀποδέων· οὐδενὸς γὰρ μὴ ὅτι τῶν καθ' αὑτὸν ἀνθρώπων [ἐλείπετο], ἀλλὰ καὶ τοῖς παλαιοῖς δίκαιος ἦν παραβάλλεσθαι, καὶ τούτων τοῖς ἄγαν εὐδοκιμοῦσιν εἰς ἅπαντας· ὅς γε φιλοπόλεμος μὲν ὤν, ἥκιστα φιλοκίνδυνος ἦν· οὐ δι' ἑαυτὸν, τῶν ἀρχομένων δὲ ἕνεκεν· χρημάτων δὲ αὐτῷ πλήθους ἔμελεν, ὅσα τὸ σῶμα διὰ τῶν ὅπλων κοσμήσειν ἔμελλε· τροφὴν δὲ προῄρητο σκληρὰν καὶ τραχεῖαν, καὶ ὅση καμόντι ἤρκει, καὶ ὁρμωμένῳ πρὸς κάματον οὐκ ἦν κώλυμα. Φιλοστρατιώτης δὲ ὢν διαφερόντως, στρατιώταις οὐκ ἐχαρίζετο, ἀλλὰ πᾶσάν τε ἀφῄρει πλεονεξίαν τὴν ἀπὸ τῶν οἰκείων, καὶ τὸ ἁρπακτικὸν ἐπὶ τοὺς πολεμίους ἔτρεπεν· ἐκόλαζε δὲ ἰσχυρῶς τοὺς παραβαίνοντας ταῦτα, καὶ τοῖς πειθομένοις εἰς τὸ εἶναι (?) συνηγωνίζετο· ἁπλῶς δὲ εἰπεῖν, ὑπόδειγμα καὶ χαρακτῆρα παρεῖχεν ἑαυτὸν ἀρετῆς· γεγονὼς δὲ ἐπὶ μεγάλαις καὶ λαμπραῖς στρατηγίαις, ὥσπερ ὁ Ῥοδίων κολοσσὸς, διὰ μέγεθος καταπληκτικὸς ὢν, οὐκ ἔστιν ἐράσμιος, κἀκεῖνος διὰ τὸ ἀφιλοχρήματον θαυμαστὸς ὢν, οὐκ ἔσχε χάριν· προσκεκρουκὼς δὲ διὰ γνώμης ὀρθότητα τοῖς κατακοιμισταῖς εὐνούχοις τῶν βασιλέων, εὔκολος ὢν διὰ πενίαν καὶ κοῦφος εἰς μετανάστασιν, διεδέχθη τῆς στρατηγίας.

Exc. De sent. p. 272, 273 : Ὅτι Σεβαστιανὸς τὴν ἡγεμονίαν παρὰ τοῦ βασιλέως Οὐάλεντος εἰληφὼς παρὰ πάντων ὑπόνοιαν δισχιλίους ᾔτησεν ὁπλίτας. Τὴν δὲ ἐξουσίαν τῆς αἱρέσεως αὐτὸς ἐπιτραπεὶς, τοῦ βασιλέως καὶ χάριν προσομολογήσαντος, ὅτι κινδυνεύσει περὶ δισχιλίους, εἶτα ἐρομένου τὴν αἰτίαν, δι' ἣν ὀλίγους αἰτοίη, τὰ λοιπὰ ὁ Σεβαστιανὸς ἔφη τὸν πόλεμον εὑρήσειν· τοῖς γὰρ εὖ πράττουσι πολλοὺς προσθήσεσθαι· πλῆθος δὲ μετακαλεῖν ἐξ ἀναγωγίας δύσκολον· ὀλίγων δὲ ἀρχομένων ἐς τὸ καλὸν μεταπλασθέντων, καὶ τῆς ἀγωγῆς ἐπιτυγχανούσης, τό γε (τότε B.) κατὰ μικρὸν προσιόντας ῥᾷον ἐπὶ τὸ κρεῖττον ἐνταθήσεσθαι.

Suidæ locum Eunapio vindicavit Valesius ad Ammian. XXXI, 11. Nonnulla ex eo iterum affert Suidas v. Κολοσσὸς et Προσκεκρουκώς. Cf. Zosim. III, 23.

ΘΕΟΔΟΣΙΟΣ.

48.

Exc. De sent. p. 273 : Ὁ δὲ βασιλεὺς Θεοδόσιος, παραλαβὼν τοσαύτην ἀρχὴν καὶ βασιλείαν, συνεμαρτύρησε τοῖς παλαιοῖς ἡλίκον ἐστὶ κακὸν ἐξουσία, καὶ ὅτι πρὸς τὰ πάντα στεγανόν τι καὶ μόνιμον πλὴν εὐτυχίας ἄνθρωπος. Οὐ γὰρ ἔφθασε παρελθὼν ἐπὶ τὴν ἀρχὴν, καὶ καθάπερ μειράκιον μελλόπλουτον πατρὸς ἐπὶ χρόνῳ πολλὰ χρήματα σεσωρευκότος διὰ σωφροσύνην καὶ φειδὼ, ἀθρόως κυριεῦσαν τῶν πραγμάτων σφοδρόν τινα καὶ παντοῖον ὄλεθρον κατὰ τῶν εὑρεθέντων μαίνεται, οὕτω καὶ τότε ἦν ὁρῶντα ἐπισκοπεῖν ὥσπερ ἐκ περιωπῆς, τόν γε ἔμφρονα, μηδένα τρόπον ἀμελούμενον κακίας καὶ ἀκολασίας ἐς τὴν κοινὴν τῶν πραγμάτων διαφθοράν.

Ἀπορία γὰρ πρὸς εἰσφορὰς ἀκίνδυνον.

« Eunapium Christianis omnibus fuisse infensum imperatoribus satis novimus. Hic autem reprehendit Theodosii luxum ; cujus vituperationis imitatorem habet Eunapius Zosimum, qui, IV, 27, ait Theodosium exorsum esse imperium a luxuria, socordia et prodigalitate. Pergit porro idem Zosimus Theodosii luxum describere IV, 28. 33. 50. Sed

---

spe melior est inventus, nullius virtutis expers. Nullus enim erat non solum illius ætatis hominum, sed ne priscorum quidem et eorum qui apud omnes valde celebrantur, cum quo non posset jure comparari. Qui, quum bella amaret, minime tamen periculorum amans erat, non propter se, sed propter eos quibus imperabat. Pecuniæ copiam curabat, tantum ut corpus armis ornaret. Victu vero utebatur duro et aspero, qui ipsi defatigato sufficeret, et ad laborem eunti non esset impedimento. Quum autem insigniter militum amans esset, vitiis tamen eorum non gratificabatur, sed omnem illorum avaritiam et rapacitatem a suis avertens in hostes convertebat. Illos vero, qui hæc violassent, graviter puniebat : obtemperantibus vero pro viribus erat adjumento. Denique, ut paucis rem expediam, se ipsum virtutis exemplum et effigiem præstabat. In magnis autem et splendidis præturis versatus, ut Rhodiorum Colossus ob magnitudinem formidabilis est, non autem amabilis, sic et ille propter virtutem ab avaritia prorsus alienam, admirabilis quidem erat, sed nullam habebat gratiam. Et quum propter mentis rectitudinem offendisset eunuchos, Regum (*Gratiani et Valentiniani* II) cubicularios, ipsi, qui propter paupertatem expeditus et ad locum mutandum facilis erat, imperii successor datus est.

Sebastianus, imperium copiarum ab imperatore Valente consecutus, præter omnium exspectationem duo millia tantummodo militum postulavit. Quumque ei delectus arbitrium permissum fuisset, eidemque gratum animum imperator testaretur, quod duobus tantum stipatus millibus prœlium experiri auderet, insuperque causam rogaret tam paucos poscendi, « Quæ desunt, inquit Sebastianus, bellum inveniet ; nam felicibus multi adjungentur : nunc vero multitudinem corruptam a perditis moribus revocare perarduum est. Contra si pauci ad virtutem incipiant retrahi, tunc disciplina adhibita illi etiam, qui paulatim accedent, facilius vitam emendabunt. »

48.

Theodosius Augustus, tam lata ditione imperioque potitus, veteris effati veritatem demonstravit, malum scilicet ingens esse potestatem, atque hominem quamvis ad cetera firmum atque obduratum felicitati tamen non posse resistere. Nam veluti adolescentulus luculentam patris hereditatem diuturna frugalitate parsimoniaque partam repente adeptus, vehementi quodam furiosoque impetu ad prodigendam rem inventam rapitur : sic tum licebat cordato homini tanquam e specula observare Theodosium ad commune rei publicæ exitium omni improbitate intemperantiaque ruentem.

Egestas adversus imperatum tributum tuta est.

contradicit calumniæ Victor in Epitome de Theodosio dicens, *prohibuisse lege ministeria lasciva psaltriasque comissationibus adhiberi*, etc. *Elegans lautumque convivium dare solitum, non tamen sumptuosum*, etc. *Vescendi continentia valetudinem rexisse*. Contradicit etiam Themistius in oratione quam ego Mediolani edidi, de præfectura suscepta, cap. 7, 9, qui Theodosium Marco et Antonino parem philosophia dicit. » Mai. Zosimi auctoritatem tuetur Reitemeyer. ad Zosim. p. 593. — Ἀπορία γὰρ κτλ.] » Vix dubito quin h. l. Eunapius Theodosium reprehenderit veluti tributorum graviorum exactorem, quod facit Zosimus IV, 29. 32 : cui pariter insimulationi diserte obviam it prædictus Victor, tum multo luculentius Themistius in Oratione I. cap. 17 sqq., qui sublata propemodum a Theodosio tributa narrat, redditum a fisco aurum, expeditum æs alienum, victum suppeditatum, orbis pueris puellisque consultum, proscriptis restituta bona, barbaros ipsos in ditione Romana commeatu sublevatos ab imperatore deprædicat. » Mai.

49.

[Suidas v. Ἐκμελές. « Καὶ Θεοδόσιος ὁ βασιλεὺς ἐκμελὴς ἦν καὶ πάσῃ ῥᾳθυμίᾳ ἐκκείμενος. »] Verba Eunapii agnoscit Boissonadius. Idem ad rerum statum, qui Theodosii temporibus erat, spectare censet sequentia :

Idem : Σιρομάστης, σκεῦός τι σιδηροῦν, λαβὴν ξυλίνην ἔχον παρὰ τοῖς τελώναις εἰς ἔρευναν. » Εὐνάπιος· « Ὥστε ὁ σιρομάστης μᾶλλον εὐδοκίμει τοῦ δόρατος. » « Describebat forte immanem hanc pecuniæ cupiditatem, qua Theodosius laborabat, quum fisci procuratores vectigalia atrocibus modis extorquerent, et imperator, in pensionibus exigendis totus, remque militarem prorsus negligens, τὸν σιρομάστην præferret τῷ δόρατι. Cf. Zosim. IV, 28, 32. » Boisson.

Idem : Ῥύμη, ὁρμὴ βιαία. Εὐνάπιος· « Τοσαύτη τις ἦν πρὸς τὸ ἀσελγέστερον ῥύμη τε καὶ φορά, ὥστε οἱ ἄρχοντες τῶν πολεμίων ἦσαν πολεμιώτεροι. » Cf. Zosim. IV, 29, 3 : Οἱ τὰς πόλεις οἰκοῦντες πενίᾳ τε καὶ ἀρχόντων κακίᾳ τρυχόμενοι, δυστυχῆ καὶ οἴκτιστον ἔτριβον βίον κτλ.

Idem : Ἐπέκλυσεν, ἐκαθάρισεν ἢ ἀντὶ τοῦ ἐπέρρευσε. « Τοσαῦτα καὶ τοιαῦτα ἐπέκλυσε κακά, ὥστε χρυσὸς ἦν καὶ λευκή τις ἡμέρα κρατῆσαι τοὺς βαρβάρους. » Eunapii esse conjiciunt Hemsterhusius ad Lucian. Necyom. 4 et Boissonadius.

50.

Exc. De sent. p. 274 : Ὅτι οἱ Νικοπολῖται τῶν ἄλλων Θρᾳκῶν κατεγέλασαν, εἰ τῷ φόβῳ τῆς βασιλείας τὰ δεινὰ ἔπασχον, τὸ μὲν βοηθῆσον ἀεὶ δι' ἐλπίδος λεπτῆς εἰκάζοντες, τὸ δὲ τῶν κινδύνων ἐνεστηκὸς πείρᾳ καὶ ὄψει διὰ μαλακίαν ὑπομένοντες. Οὔτε γοῦν αὐτοὶ φρουράν τινα στρατιωτικὴν πεμφθήσεσθαι προσεδόκησαν, οὐδὲ ἐν ἑτέροις ἔθεντο τὴν σωτηρίαν, ἀλλὰ τῶν μὴ δυναμένων ἑαυτοῖς ἀμύνειν περιφρονήσαντες ἐς ἐλευθερίαν ἐπικίνδυνον ἀπέστησαν.

Ὅτι ἐπὶ Θεοδοσίου οἱ βάρβαροι τὴν Θρᾴκην ἐδῄωσαν κατὰ μικρόν.

« Nicopolim eo anno quo Valens periit, qui annus proximus est Theodosii imperio, occupatam a Gothis dicit Ammianus XXXI, 11, 2 : *Barbari, motu imperatoris cum abundante milite cognito, popularibus jungere festinant, circa Berœam et Nicopolim præsidiis fixis*. Jam vero ex hoc Eunapii excerpto cognoscimus Nicopolitanos barbaris præpotentibus ultro sui deditionem fecisse; ceterisque Thracibus, qui metu experiendæ regiæ potestatis ad barbarorum partes minime accederent, timiditatem atque stultitiam exprobravisse, propterea quod præsentia extrema pati mallent, quam incertam experiri fortunam : nec Romanorum præsidium, metu amittendæ libertatis, implorarent, neque cum barbaris conspirarent. » Mai.

51.

Suidas v. Παραστάτης. Καὶ Εὐνάπιος· « Πολὺ διεστῶτας ἀλλήλων χωρεῖν ἐκέλευεν, ὅπως μὴ δουποίη τὰ ὅπλα, μήτε τῷ παραστάτῃ θλιβόμενα, μήτε τῷ φέροντι διὰ τὸν συνωθισμὸν περικτυπούμενα. » « Hoc fra-

---

49.

Theodosius imperator negligens erat et omni socordiæ deditus.

Quare siromastes celebrior erat, quam hasta.

Tantus erat impetus et vehementia, qua ad lasciviam et luxuriem ferebantur, ut magistratus essent magis infesti, quam ipsi hostes.

Tanta et talia mala ad ipsos affluxerant, ut barbaros vicisse ipsis esset aurum et quidam albus dies.

50.

Nicopolitani Thraces ceteros irridebant, qui ob regiæ potestatis metum male se mulctari perpetiebantur, dum suppetiarum exiguam spem fovent, ingruentia vero infortunia propter suam ignaviam spectant reque ipsa experiuntur. Igitur nec ipsi præsidium aliquod militare mittendum sibi exspectabant, neque in aliis fiduciam salutis collocabant, atque ita his neglectis, quæ sibi tutelæ esse non possent, in periculosam libertatem incidebant.

Sub Theodosio barbari paulatim Thraciam vastabant.

51.

Jussit eos (*Modares*) magno inter singulos spatio relicto procedere, ne arma, vel ab vicinis impulsa vel ab ipso qui ea gestaret, cum aliorum armis inter agminis turbam collisa strepitum ederent.

gmentum mihi videor referre posse ad Modaris strategema, quo barbaros (Gothos in Thracia) vino et somno sepultos oppressit. Res narratur a Zosimo IV, 25, ubi hæc inter alia : Ἡσυχῇ παραγγέλλει τοὺς στρατιώτας ξίφη μόνα καὶ ἀσπίδας ἐπικομιζομένους, μείζονος δὲ ἢ βαρυτέρας ὑπεριδόντας ὁπλίσεως, καὶ τοὺς συνασπισμοὺς τοὺς συνήθεις ἐάσαντας, ἐπελθεῖν τοῖς βαρβάροις (379). » MAI. De re cf. Tillemont. V, p. 196

52.

Suidas : Στέατα, ἄλευρα. Καὶ Εὐνάπιος· « Ὁ δὲ φέρων γράμματα ἐν χαλκῷ, στέατι περιπεπλασμένα, καθεὶς ἐν πήρᾳ, ἐπιθείς τε καὶ ἄλλους ἄρτους ὁμοίως (καὶ ἄρτους ὁμοίους leg. Casaub.), ὡς μή τινα γνῶναι τὸ ἀπόρρητον. » Ratio verborum grammatica laborat. — « Potuit Eunapius hic describere Julii solertiam, qua senatum Constantinopolitanum monuit de bello, quod dispersi per Orientis urbes barbari moliebantur. Rem verbo tangit Zosimus IV, 26, 6 : Τῇ κατὰ τὴν Κωνσταντινούπολιν γερουσίᾳ γράψας ἐν παραβύστῳ. » BOISSON. Ceterum ad eundem locum spectare videntur, quæ Suidas habet v. Καθείς, ἐμβαλών, χαλάσας. « Καθείς τε τὴν χεῖρα ἐς τὴν πήραν ἀναιρεῖται τὴν ἐπιστολήν. »

53.

[Suidas : Ἀβρογάστης, Φράγγος, ὃς κατὰ ἀλκὴν σώματος καὶ θυμοῦ τραχύτητα φλογοειδὴς ἦν, δευτεραγωνίστης τυγχάνων Βαύδωνος. Ἄλλως τε ἦν καὶ πρὸς σωφροσύνην πεπηγώς τε καὶ διηρθρωμένος, καὶ πρὸς χρήματα πόλεμον πολεμῶν ἄσπονδον. Διέφερε γοῦν τῶν εὐτελῶν στρατιωτῶν ὅσον γε εἰς πλοῦτον οὐδέν· καὶ διὰ τοῦτο ἐδόκει τῷ βασιλεῖ Θεοδοσίῳ χρήσιμος, ὅς γε πρὸς τὸν Οὐαλεντινιανοῦ τρόπον, ἀρρενωπὸν ὄντα καὶ δίκαιον, καὶ τὸ παρ' ἑαυτοῦ βάρος ἐπετίθει, καθάπερ ὀρθὸν καὶ ἀστραβῆ τινα κανόνα τοῖς βασιλείοις, πρὸς τὸ μηδὲν τῶν περὶ τὴν αὐλὴν παραβλάπτεσθαι ἢ ἁμαρτάνεσθαι.]

« Eustathius in Il. ε p. 513 locum hunc [i. e. Ἀβρ. Φρ.... φλογοειδὴς ἦν] de Arbogasto, quem Ἀβρογάστην vocat, ex Suida, ut opinor, αὐτολεξεὶ descripsit. » KUSTER. Partem affert Zonaras, monente Bernhardyo. Eunapio locum vindicavit Boissonadius. Ceterum de Baudone et Arbogaste, quos Gratianus Theodosio contra Gothos auxilio misit, vide Zosimus IV, 33, 2 sqq. (381 p. C.). V. Tillemont. V, p. 214.

54.

Exc. De sent. p. 274 : Τοιοῦτον δέ τι ἱστόρηται γενέσθαι κατὰ τὴν Νέρωνος βασιλείαν, ἀλλὰ περὶ μίαν πόλιν. Φασὶ γὰρ τραγῳδόν τινα διὰ τὴν Νέρωνος εἰς ταῦτα φιλοτιμίαν ἐκπεσόντα τῆς Ῥώμης, εἶτα πλανᾶσθαι δόξαν αὐτῷ καὶ τὸ τῆς φωνῆς πλεονέκτημα πρὸς ἀνθρώπους ἡμιβαρβάρους ἐπιδεικνύναι, καὶ παρελθεῖν εἰς ταύτην (τοιαύτην? B. Ταρσὸν? N.) μεγάλην πόλιν καὶ πολυάνθρωπον, συναγεῖραί τε αὐτοὺς εἰς θέατρον. Καὶ συνελθόντων τὴν μὲν πρώτην ἡμέραν σφαλῆναι τῆς ἐπιδείξεως· οὐδὲ γὰρ τὴν ὄψιν ὑπομείναντας τοὺς θεατάς, ἅτε ἄρτι καὶ πρῶτον ἑωρακότας, φεύγειν θλιβομένους περὶ ἀλλήλοις καὶ πατουμένους. Ὡς δὲ ὁ τραγῳδὸς

52.

Ille autem literas, quas in ænea tabella sculpserat, placenta circumlitas, in peram conjecit, aliosque panes deinceps imposuit, ne quis arcanum cognosceret.

53.

Abrogastes (*potius Arbogastes*), Francus, robore corporis ferox et animæ iracundia flammæ similis, secundas a Baudone partes agebat : ceteroqui temperantiæ deditissimus suisque numeris absolutus, qui bellum implacabile cum pecunia gereret. Certe quod ad divitias attinet, nihil a gregariis militibus differebat; eamque ob causam Theodosio Augusto videbatur utilis, quippe qui ad Valentiniani mores viriles et justos suum quoque adjungeret pondus, tanquam rectam et accuratam regiæ normam, ne quid in aula peccaretur, vel res ejus detrimenti quicquam caperent.

54.

Simile quiddam contigisse fertur Nerone imperante, sed tamen in urbe una. Aiunt enim tragœdum quendam Neronis æmuli invidia Roma pulsum, quum ei peregrinari libuisset suæque artis præstantiam semibarbaris hominibus ostentare, venisse in magnam atque incolis affluentissimam civitatem, quos in theatrum mox invitavit. Qui quum convenissent, prima quidem die nihil agere potuit : neque enim aspectum sustinebant spectatores, qui vix eo primum viso, confertim illico atque invicem se proculcantes fugiebant. Sed quum deinde tragœdus principibus eorum seorsim appellatis declaravisset et personæ naturam et pulpita, quibus actoris proceritas exaggeratur, atque illis persuasisset ut spectaculo adessent illudque perferrent; tum in scenam publice egressus, principio quidem leniter ac moderate gustum suæ vocis cantusque præbuit, (Euripidis vero Andromedam egit) : mox augescens vehementius insonuit vocemque statim submisit; deinde intulit vehementem harmoniam, quam rursus in suavem flexit. Erat autem hora diei ferventissima, et theatrum hominibus constipatum : quare actor spectatores rogabat ut interquiescerent, atque ad audiendum refrigerata jam et desinente die redirent. Illi vero pedibus ejus advoluti, infimis precibus eum rogabant, ne se tali beatitudine ac voluptate destitueret. Tunc se in scenam et ad vehementem actionem tragœdus proripiens, etsi pleraque tragœdiæ decora peribant apud homines indoctos, etsi incassum erat sublimitas pondusque verborum, et modus his idoneus, et metri gratia, et affectuum vis, quæ vehementissime ac promptissime percellere auditum solet; quanquam denique nec ar-

ἰδίᾳ τοὺς πρώτους αὐτῶν ἀπολαβὼν τήν τε τοῦ προσωπείου φύσιν ἐδείκνυ καὶ τοὺς ὀκρίβαντας, ὑφ' ὧν τὸ μέγεθος εἰς ὕψος παρατείνεται, καὶ συνέπειθεν οὕτως ἀνασχέσθαι καὶ τλῆναι τὴν ὄψιν, τότε παρελθὼν εἰς ἀνθρώπους καὶ ὡς μόλις ὑφισταμένους τὴν θέαν, τὸ μὲν πρῶτον ἐπιεικῶς καὶ μετρίως τῆς φωνῆς αὐτοὺς διέγευσε καὶ τοῦ μέλους (Εὐριπίδου δὲ τὴν Ἀνδρομέδαν ὑπεκρίνετο), προϊὼν δὲ σφοδρότερον ἤχησε, καὶ ὑφῆκεν αὖθις, εἶτα ἐπήγαγεν ἁρμονίαν σύντονον, ἐπὶ ταύτῃ δὲ πάλιν εἰς τὴν γλυκεῖαν περιήνεγκεν. Ὥρα δὲ ἦν θέρους ὅ τι περ ἀκμαιότατον, καὶ τὸ θέατρον κατείχετο. Καὶ ὁ τραγῳδὸς ἀναπαυσαμένους ἠξίου σφᾶς φοιτᾶν ἐπὶ τὴν ἀκρόασιν περὶ λήγουσαν καὶ ἀποψύχουσαν ἡμέραν· οἱ δὲ πρὸ τῶν ποδῶν πεσόντες καὶ κυλινδούμενοι πάσας ἀφίεσαν φωνὰς μήποτε αὐτοὺς ἀποστερῆσαι τοιαύτης μακαριότητος καὶ ἡδονῆς. Ἐνταῦθα ὁ τραγῳδὸς ἀφεὶς ἑαυτὸν ἐπὶ τὴν σκηνὴν καὶ τὸ πάθος, — καίτοι γε τὰ πλεῖστα περιῄρητο τῆς τραγῳδίας πρὸς ἀνθρώπους ἀξυνέτους, ὄγκος τε καὶ βαρύτης λέξεων, καὶ τὸ περὶ ταῦτα εἶδος, καὶ ἡ τοῦ μέτρου χάρις, τό τε τῶν ἠθῶν ἐναργές, ὀξύτατόν τε καὶ ἐπιφορώτατον εἰς ἀκοῆς κίνησιν, καὶ πρὸς τούτοις τὸ γινώσκεσθαι τὴν ὑπόθεσιν, — ἀλλ' ὅμως τούτων ἁπάντων γεγυμνωμένος ἐς τοσόνδε τῇ τε εὐφωνίᾳ καὶ τῷ μέλει μόνῳ κατεκράτησεν, ὥστε οἱ μὲν ἀνεχώρουν προσκυνοῦντες ὡς θεόν, καὶ τὰ ἐξαίρετα τῶν παρά σφισιν αὐτοῖς δῶρα ἐκόμιζον, καὶ τὸν πλοῦτον ὁ τραγῳδὸς ἐβαρύνετο. Μετὰ δὲ τὴν ἑβδόμην τῆς ἐπιδείξεως ἡμέραν νόσημα κατέσκηψεν εἰς τὴν πόλιν, καὶ πάντες οὐ τὰς λέξεις σαφῶς, ἀλλὰ τὸ μέλος, ὡς ἕκαστος εἶχε δυνάμεως καὶ φύσεως, ἐκβοῶντες, καὶ διαρροίας ἀκρατοῦς ἅμα ἐπιπεσούσης, ἐν τοῖς στενωποῖς παρεθέντες ἔκειντο, κακῶς ὑπὸ τῆς Ἀνδρομέδας ἐπιτριβόμενοι· καὶ ἐχηρώθη τε ἀνδρῶν καὶ γυναικῶν ἡ πόλις, ὥστε ἐκ τῶν προσοίκων ἐποικισθῆναι. Ἀλλ' ἐπ' ἐκείνων μὲν εὐφωνίαν τε ἦν αἰτιάσασθαι καὶ ἀέρος ὑπερβάλλουσαν θερμότητα, ἣ τὸ μέλος διὰ τῆς ἀκοῆς ἐπὶ τὰ κύρια τῶν ψυχικῶν ὀργάνων συνέτηξε καὶ διέκαυσεν· ἐπὶ δὲ τῶν καθ' ἡμᾶς ἀνθρώπων αἱ μὲν αἰτίαι τοῦ πάθους εὐθεώρητοι (περὶ τὰ ἔντερα γὰρ ἦσαν ἅπασαι καὶ ὑπὸ γαστέρα), τὸ δὲ καί τινας τῶν οὐκ ἀνοήτων πρὸς τοῦτο ὠλισθηκέναι οὐκ εἰς φυσικὴν ἄν τις εἰκότως, ἀλλ' εἰς θειοτέραν ἀνενέγκοι κίνησιν, ποινηλατεῖσθαι σαφῶς τὸ ἀνθρώπινον.

« Tragœdi historia quin sit eadem atque illa, quam narrat Lucianus (Quom. hist. scrib. c. 1) apud Abderitas accidisse, dubitari non potest. Nam et ibi acta est Euripidis Andromeda, et idem morbus accidit, et cetera satis conspirant. Sed illud maxime dissidium est, quod Lucianus rem ponit in Lysimachi regnantis temporibus, Eunapius sub Nerone. » Mai. Ubinam acciderit Theodosii temporibus calamitas, quæ sub finem hujus fragmenti commemoratur, non liquet mihi.

55.

Exc. De sent. p. 277, 278 : Φυλαὶ μὲν γὰρ τῶν πολεμίων τὴν ἀρχὴν διεβεβήκεσαν ἄπειροι, καὶ πλείους ἐπιδιέβαινον, οὐδενὸς κωλύοντος· ἀλλ' ἐν τοσούτοις κακοῖς κέρδος αὐτοῖς ἐδόκει γνήσιον τὸ δωροδοκεῖσθαι παρὰ τῶν πολεμίων. Εἶχε δὲ ἑκάστη φυλὴ ἱερά τε οἴκοθεν τὰ πάτρια συνεφελκομένη, καὶ ἱερέας τούτων καὶ ἱερείας· ἀλλὰ στεγανή τις ἦν λίαν καὶ ἀδαμάντινος ἡ περὶ ταῦτα σιωπὴ καὶ τῶν ἀπορρήτων ἐχεμυθία, ἡ δὲ εἰς τὸ φανερὸν προσποίησις καὶ πλάσις εἰς τὴν τῶν πολεμίων ἀπάτην διηρτυμένη. Καί τινας ὡς ἐπισκόπους αὐτῶν ἐς τὸ θαυμαζόμενον σχῆμα καταστολίσαντες καὶ περικρύψαντες, καὶ πολλῆς αὐτοῖς τῆς ἀλώπεκος ἐπιχέαντες, εἰς τὸ μέσον προεφίεσαν, πανταχοῦ τὸ ἀφύλακτον διὰ τῶν καταφρονουμένων ὅρκων παρ' ἐκείνοις, παρὰ δὲ τοῖς βασιλεῦσι σφόδρα φυλαττομένων, ὑποτρέχοντες καὶ κατασκευάζοντες. Ἦν δὲ καὶ τῶν καλουμένων μοναχῶν παρ' αὐτοῖς γένος, κατὰ μίμησιν τῶν παρὰ τοῖς

---

gumenti cognitio erat : nihilominus actor, his omnibus destitutus, tantum valuit suavitate vocis solaque harmonia, ut spectatores ad eum accurrerent instarque numinis adorarent, et sua quæque pretiosa conferrent, ita ut re bona tragœdus obrueretur. Post septimum autem ab actione diem morbus urbem corripuit; quo stimulante, omnes inclamabant non ipsa quidem distincte tragœdiæ verba, sed numeros carminum pro sua quisque facultate ac natura : et simul diarrhœa vehementi labefactati, jacebant in viis exanimes, male admodum ab Andromeda afflicti. Atque adeo viris feminisque viduata urbs fuit, ut eam finitimi frequentare debuerint. Age vero illis barbaris causam morbi fuisse harmoniam reputare licet, nec non aeris calorem immodicum, qui cantum per aures in animæ facultates dissolvit atque perussit. In nostræ vero ætatis hominibus causas passionis facile agnoscas : etenim cunctæ in ventre fuerunt atque in iis, quæ sub ventre sunt. Quod autem nonnulli quoque e numero non insipientium in eum casum prolapsi fuerint, id non tam naturali, quam divinæ nescio cui commotioni merito tribuendum est : quia scilicet furiis pœnalibus agitatur aliquando humana conditio.

55.

Innumeræ hostium turmæ principio flumen tranarunt; pluresque secutæ sunt, prohibente nemine; verum in tantis malis præclarum nostris videbatur lucrum, dum se donis ab hoste corrumpi paterentur. Singulæ vero barbarorum tribus sacra patria secum vehebant cum horum ex utroque sexu ministris. Sed enim altum atque adamantinum de his erat silentium, et mysteriorum taciturnitas; quicquid vero extrinsecus per simulamentum speciemque fiebat, id omne ad decipiendos hostes compositum elaboratumque erat; seque Christianos cuncti dicebant, et quosdam suos veluti episcopos miro isto habitu indutos multamque iis imposturam circumponentes, in medium producebant. Sic enim dabant operam, ut improvisos nos opprimerent propter sacramenta apud illos quidem contempta, apud imperatores autem nostros religiose servata. Erat præterea apud ipsos

Suidas : Σουβαρμάχιος. Οὗτος τῶν δορυφόρων ἦν ἡγεμὼν, πιστότατος τῷ εὐνούχῳ Εὐτροπίῳ, εἴπερ τις ἄλλος· ἔπινε δὲ οἶνον πλείονα ἢ ὅσον ἠδύνατο χωρεῖν· ἀλλ' ὅμως τὰ περὶ γαστέρα διὰ συνήθειαν οὕτω καὶ γυμνασίαν ἰσχυρὰν καὶ νεανικὴν πάντα φέρειν ἐπὶ τὴν φυσικὴν τῶν ὑγρῶν ἔκκρισιν. Ἀεὶ γοῦν ἦν, πεπωκώς τε καὶ οὐ πεπωκὼς, μεθύων· τὴν δὲ μέθην παρεκάλυπτε [οὐ] σφαλερὸν διαβαίνων τοῖς ποσὶ, καὶ πρὸς τὴν πτῶσιν πολεμῶν ὑφ' ἡλικίας (καὶ διὰ νεότητα) συνιστάμενος. Ἦν δὲ βασιλικοῦ μὲν γένους, Κόλχος ἀκριβὴς τῶν ὑπὲρ Φᾶσιν καὶ Θερμώδοντα, τοξότης [δὲ] ἄριστος, εἴ γε μὴ κατετόξευεν αὐτὸν τὸ περιττὸν τῆς τρυφῆς.

De Subermachio aliunde non constat. Negatio-

---

assecla . . . Neque ipse alterum eluxit; cæsus enim jacuit, nemine vel sepulturæ mandante vel obruente.

76.

Leo ab Eutropio eunucho belli dux missus est contra barbaros. Fuit autem homo levis et ob studium ebrietatis facilis deceptu. Suam enim fortitudinem in hoc contulerat, ut plures haberet pellices, quam milites, et plus biberet, quam bibant omnes homines.

Etenim a Leonis cognomento non abstinebat; sic enim et hoc animal facere solet.

Ille autem ad reliqua negotia se præparans corpore erecto et cervice elata stabat, ut Leonem ita dictum aggrederetur, eumque interficeret.

77.

Subarmachius fuit satellitum dux, fidelissimus eunucho Eutropio, si quis alius : qui quamvis plus vini biberet, quam capere posset, venter tamen ejus per consuetudinem et exercitationem perquam vehementem et strenuam omnia ad naturalem humorum excretionem percoquebat. Is semper erat ebrius, sive potasset sive non potasset. Ebrietatem vero tegebat [non] instabilis ejus incessus, quum propter ætatem juvenilem casui resisteret gressumque firmaret. Erat autem genere regio oriundus, Colchus verus ex iis, qui ultra Phasidem et Thermodontem habitant; idem sagittarius optimus, nisi luxus immodicus ipsum sagittis suis quasi conficeret.

nem οὐ ante σφαλερὸν inseruerunt Portus, Toupius, Boissonadius. Vulgatam tuentur Hemsterhusius et Bernhardyus. « Nempe hominis incessus, Bernh. ait, semper lubricus et temulento similis occultabat ejus vinolentiam. »

78.

Exc. De sent. p. 288 : Ὅτι Πέρσης ἦν ἐν Ῥώμῃ ἔπαρχος πρὸς χλευασίαν καὶ γέλωτα τὴν Ῥωμαϊκὴν παραφέρων εὐτυχίαν· σανίδας δὲ πολλὰς μικρὰς πρὸς τὸ ἥμισυ σταδίου συγκομισάμενος, καὶ εἰκόνα τινὰ τῶν ἔργων ὑπογράψαι βουλόμενος, πάντα ἐνετίθει γελοῖα ταῖς γραφαῖς, καὶ ἀπορρήτως τὰ γραφόμενα κατεχλεύαζε διὰ τῆς εἰκόνος. Ἀνδρείαν μὲν γὰρ βασιλέως καὶ ῥώμην στρατιωτῶν ἢ πόλεμον ἐμφανῆ καὶ νόμιμον οὐδαμοῦ τὰ γραφόμενα παρεδήλου καὶ συνῃνίττετο· χειρὸς δέ τινος ὡς ἂν ἐκ νεφῶν προτεινομένης, ἐπίγραμμα ἦν τῇ χειρί· « Θεοῦ χεὶρ ἐλαύνουσα τοὺς βαρβάρους. » Αἰσχρὸν τοῦτο καταγράφειν, ἀλλ' ἀναγκαῖον. Καὶ πάλιν ἑτέρωθι· « Βάρβαροι τὸν Θεὸν φεύγοντες. » Καὶ τούτων ἕτερα παχύτερα κ. . . δ' ἕτερα κωθωνιζομένων γραφέων φλήναφον, οὗ καὶ πρότερον ἡ συγγραφὴ μέμνηται, τῆς ἀκμαζούσης ἀρετῆς . . τὸ σῶμα . . τῆς ψυχῆς . . πλέον κατὰ σῶμα διαλυόμενον ἤδη . . ἀπο . .

79.

Suidas : Ἑλλανοδίκαι, οἱ κριταὶ οἱ καθήμενοι εἰς τοὺς ἀγῶνας. Εὐνάπιος οὕτω· « Καὶ τότε ὁ μέγιστος Ἑλλανοδίκης Γαϊνᾶς τὸν Ῥωμαϊκὸν ὄλεθρον ἠθλοθέτει. » Eadem v. Ἠθλοθέτει.

Idem v. Πολυάνδριον. « Ὁ δὲ Γαϊνᾶς ἐξεχώρει τῆς πόλεως, καταλιπὼν αὐτὴν πολυάνδριον καὶ πολυτελῆ τάφον, οὔπω τεθαμμένων τῶν ἐνῳκηκότων. » Eunapii esse Maius monuit.

Petita hæc ex narratione de rebellione Gainæ, qui parum abfuit quin ipsa Constantinopoli urbe potiretur (400). V. Zosim. V, 19.

80.

Suidas : Φράβιθος. Οὗτος στρατηγὸς ἦν τῆς ἀνατολῆς, ὃς ἀκμάζων τὴν ἀρετὴν ἐνόσει τὸ σῶμα, τῆς ψυχῆς ὑγιαινούσης πλέον· καὶ τό γε σῶμα διαλυόμενον ἤδη καὶ ἀποκολλώμενον εἰς τὴν λύσιν συνεγόμφου καὶ συνέπλεκεν εἰς πῆξίν τινα καὶ ἁρμονίαν, ὅπως ἂν ἀρκέσειεν τῷ καλῷ· ὃς τοὺς λῃστὰς ῥᾳδίως συνεῖλεν, ὥστε μικροῦ καὶ τὸ ὄνομα τῆς λῃστείας ἐκ τῆς μνήμης τῶν ἀνθρώπων ἐκπεσεῖν· ἦν δὲ Ἕλλην τὴν θρησκείαν.

Eunapio locum vindicavit Boissonadius. De Fravitho (Φραΐουτον vel Φραούστιον Zosimus dicit), cui contra Gainam bellum commissum est, v. Zosimus V, 20, 1 : Ἡ γερουσία στρατηγὸν ἐπὶ τῷ κατὰ Γαΐνην αἱροῦνται πολέμῳ Φραΐουτον, ἄνδρα βάρβαρον μὲν τὸ γένος, Ἕλληνα δὲ ἄλλως οὐ τρόπῳ μόνον, ἀλλὰ καὶ τῇ προαιρέσει καὶ τῇ περὶ τὰ θεῖα θρησκείᾳ κτλ. Cf. fr. 104.

81.

Idem : Λίβερνα, εἶδος πλοίου· καράβια. « Πηξάμενος δρομάδας τριακοντήρεις Λιβερνίδων τύπῳ. » « Hæc verba anonyma credidi posse pertinere ad eum Eunapii Historiæ locum, ubi de classe agebat, quam sibi Fravithus comparavit. Nunc legimus apud Zosimum V, 20, πλοῖα fuisse αὐτῷ πρὸς ναυμαχίαν ἀρκοῦντα, Λίβερνα ταῦτα καλούμενα κτλ. Boisson.

82.

Exc. De sent. p. 288-290 : Ὅτι Φράβιθος ὁ στρατηγὸς Ῥωμαίων νικήσας Γαΐναν περὶ τὴν Χερρόνησον διαμένοντα, καὶ τοῦτον μὴ διώξας, (ἀσφαλὴς γὰρ ἦν ἐπὶ τῇ νίκῃ κερδαίνειν τὸ ἔργον καὶ Λακωνικός τις,) † ἦν ὅτι τύχην εἰδέναι καὶ μὴ πέραν τοῦ μετρίου ποιεῖσθαι τὴν δίωξιν. Καὶ οὗτος μὲν ἀσφαλέστερον βου-

---

78.

Persa quidam Romæ præfectus urbi erat, qui Romanam prosperitatem in ludibrium risumque trahebat. Hic enim parvis in medio Circo positis tabellis, ut præsentium rerum imaginem quandam effingeret, ridiculorum omne genus in pictura expressit, atque clam totum argumentum irrisit. Nam neque imperatoris fortitudinem, neque militum robur, neque bellum aliquod legitimum pictura demonstrabat : sed manus quædam quasi e nubibus protensa erat, cum inscriptione : *Manus Dei Barbaros fugans*. Turpe est hæc scribere, sed necessarium. Rursus in parte alia : *Barbari Deum fugientes* : atque his alia ineptiora . . . scriptoribus largiter potantibus nugas, quarum et antea in historia memini.

79.

Tunc vero maximus Hellanodica Gainas perniciem Romanorum dispensavit.

Gainas ex urbe excessit, quam commune et pretiosum sepulcrum reliquit, incolis ejus nondum sepultis.

80.

Fravitta fuit Orientis imperator, qui virtute florens corpore laborabat, quum animus majore sanitate frueretur. Et corpus, quod jam dissolvebatur et in dissolutionem ruebat, ipse coagmentabat et in quandam compagem et et commissuram cogebat et quasi clavis quibusdam compingebat, ut honestati conservandæ sufficeret. Hic latrones adeo facile simul sustulit, ut vel ipsum latrocinii nomen ex hominum memoria propemodum exciderit. Fuit autem religione Græcus.

81.

Celetibus cum triginta remis Liburnicarum modo constructis.

82.

Fravitta, Romanorum dux, Gainam in Chersoneso demorantem vicit, sed victum non insecutus est; nam tardior erat ad persequendam victoriam et quasi Laconico more fortunam nosse sibi videbatur, neque immodicæ persecutioni esse indulgendum. Atque hic tutiore consilio utens præ-

λευόμενος, ἡλίκον ἐστὶ τοῖς ἄλλοις τὸ καλῶς στρατηγεῖν ἔδειξεν· οἱ δὲ πολλοὶ καὶ ὅσον ἠλίθιον καὶ πηλοῦ παχύτερον, στρατηγικοί τινες εἶναι βουλόμενοι καὶ τὸ γεγονὸς ὑποσημαίνοντες διελήρουν καὶ παρεφλυάρουν, τὰς ὀφρῦς ἀνασπῶντες, καὶ διαφλεγόμενοι φθόνῳ πρὸς ἀπίθανόν τινα καὶ μυθώδη καταστραφῆναι (καταστροφὴν?) ἀπὸ μιᾶς γλώσσης καὶ πάθους, ὁμόφωνοι κατὰ (παρὰ B.) δόξαν ὑπὸ δειλίας γεγονότες, καὶ τῷ παραλόγῳ πληγέντες, τὸν Φράβιθον ἐπεψήφιζον [νικᾶν N.] μὲν εἰδέναι, νίκῃ δὲ οὐκ εἰδέναι χρῆσθαι. Ὁ γοῦν. . τὴν Χερρόνησον ἐγκατέλιπεν . . . . . αἰχμάλωτον ὀπίσω σωτηρίας. . προσηκόντως τύχωσι· θέαμα τῆς νίκης ἄξιον . . καὶ οὗτοι μὲν πρ . . ἔθρα [σύνοντο] καὶ ὑπέσπειρον εἰς τὰ βασίλεια τῷ λόγῳ ποικίλον τι καὶ περι . . ες, ὡς βάρβαρος βαρβάρῳ καὶ μύστης μύστῃ παρέχων διαφυγὴν καὶ σωτηρίαν· ὁ δὲ Φράβιθος μάλα φαιδρῶς καὶ . . προς . . ἐπὶ Κωνσταντίνου πόλιν οὕτω τῆς φήμης . . καὶ σκοτεινὸν ὑφέρπον τῆς προφερομένης . . παρελθὼν εἰς τὰ βασίλεια φαιδρὸς καὶ γεγηθὼς [πάντων ἐκπεπληγ]μένων πρὸς τὸ παράλογον τῆς τύχης καὶ θεὸν ὁρᾶν ὑπολαμβανόντων μᾶλλον ἢ ἄνθρωπον (οὕτως, ὅ τι ἐστὶ νικᾶν καὶ χεῖρας ἔχειν, οὐκ ᾔδεσαν,) πρὸς τὸν βασιλέα μετὰ ἐλευθερίας . . εἰ μὴν διατεινάμενος ἐξεβόησεν τῶν καταρρυαττομένων φθόνων καὶ νηστείαις καθάρματα . . πόσον ὁ θεὸς δύναται θεῷ μὲν ὅτε βού[λεται] τὸ δυν[ατὸν] ἐκείνου κακῶς . . τηλικοῦτον ἐν . . κατα πε . . ἔργον οἶσθα βασιλεῦ. Τοῦτο δὲ τὸ ἔργον . . ἀλλότριον τῆς Ῥωμαϊκῆς ἀρχῆς. Τοῦ δὲ . . ἐπινεύοντος πρόσωπον, διὰ γὰρ ἁπλότητα πολλὴν συμπαθήσας πρὸς τὰ λεγόμενα . . τα τῶν εὐνούχων εἶπεν, ὅτι προσῆκόν ἐστιν ἐπινεύειν . . . . τοῦ δὲ βασιλέως τοῦτο εἰπόντος, ὡς αἰτεῖν ἀνάγκη δωρεάν, ὁ Φράβιθος ἔφησεν ἐπιτραπῆναι κατὰ τὸν πάτριον νόμον ἱερατεύειν θεόν. Ὁ δὲ βασιλεὺς δι' ὑπεροχὴν βασιλικῆς ἀρετῆς καὶ τὴν ὑπατείαν ἐπέτρεψεν· ὁ δ' ἐδέξατο.

Ὅτι Φαμέας ὁ Μίλκων (l. Ἰμίλκων) ἐπικαλούμενος, μυρία παρέχων κακὰ Ῥωμαίοις, εἶτα Σκιπίωνος στρατηγοῦντος οὐ (οὐδὲν N.) δυνάμενος, τὴν δὲ αἰτίαν ἐρωτώμενος ἐξεῖπεν, τὰ μὲν πρόβατα εἶναι ταὐτά, τὸν δὲ ποιμένα σφοδρότερον καὶ τοῦ Ἄργου πολυωπέστερον.

De re v. Zosimus V, 21. 9. In postremis Gainas cum Himilcone Phamæa, Fravitta cum Scipione comparatur.

83.

Ibid. p. 291 : Ἱέραξ ἦν, ὄνομα δὲ τοῦτο ἀνθρώπου κύριον, ὃν εἶδεν ὁ συγγραφεὺς καὶ διελέχθη πρὸς αὐτόν, καὶ τὴν ψυχήν τε ἀνεμάξατο διὰ τὸν λόγον (τῶν λόγων B.). Καὶ συνελόντι γε εἰπεῖν Ἀλεξανδρεύς, καὶ κορακώδης μὲν κατὰ τὸ ἄπληστον ἐς τροφήν, προσῆν δὲ αὐτῷ καὶ τρυφή, πρὸς δὲ ἡδονὰς ἀλεκτρυώδης, καὶ οἷός τις ἂν Ἀλεξανδρεὺς ἀσελγέστατος γένοιτο, καὶ εἴ γέ τι Ἀλεξανδρέως ἀσελγέστερον. Ἀλλ' ὅμως ὁ συγγραφεὺς αἰδεσθῆναι τὴν τοσαύτην ἀναίδειαν καὶ ἰταμότητα συμπείσας ἐφ' οἷς ἦν λόγοις ᾤχετο ἀπιών, τεθηπότων τῶν παρόντων, ὅτι ἄνθρωπος ἐξ Ἀλεξανδρείας γλῶσσάν τε ἐπέσχε καὶ φλυαρίαν ἐπέστησε καὶ τὸ πρόσωπον κατέκοψεν (κατέκρυψεν N. κατέβαψεν Dübnerus) ἐρυθήματι.

« Quisnam fuerit hic homo proprio nomine *Accipiter*, cui tam vehementer maledicit Eunapius, non divino. Vixque intelligendum puto Arbazacium ducem [v. fr. 84], quem in bello adversus Isauros luxuriose se gessisse ait Zosimus V, 15. Etenim nomen illud non tam hominem Alexandrinum quam barbarum denotat. » Mai. Idem in Addendis p. 715 hæc affert : « *Accipiter*, cui Eunapius ethnicus tam acerbe maledicit, sine dubio est ille Hierax, homo Christianus S. Cyrillo Episcopo Alexandrino summopere addictus, quem idcirco malevolus præfectus Alexandriæ Orestes tormentis subjecit, indignante, ut par erat, Cyrillo

---

clarum exemplum imperatoriæ artis suppeditavit. Multi tamen homines stolidi et pingui Minerva, qui imperandi periti videri vellent, prædictam rem ludibrio habentes sermonibusque carpentes ac superciliis adductis irridentes, invidia inflammati et repente mirum in modum concordes facti, factoque inopino attoniti aiebant : Imperare scit Fravitta, sed victoria uti nescit . . Chersonesum deseruit . . severunt in regia rumores varios . . ceu si barbarus barbaro ethnicusque ethnico effugium salutemque concederet. Fravitta autem dum hujusmodi fama Constantinopoli pedetentim manaret, in regiam gestiens lætabundusque delatus, improviso fortunæ eventu deus potius, quam homo, visus est : adeo nesciebant quid esset vincere . . qui quum facie annuisset; namque ob multam moris sui simplicitatem dictis commotus fuerat : ait æquum esse annuere . . quumque imperator diceret, oportere ut Fravitta remunerationem peteret, hic ait, postulare se, ut patrio ritu deum colere sibi liceret. Imperator autem propter eximiam, quæ in illo erat, virtutem consulatum quoque contulit, quem ipse recepit.

Phameas cognomento Imilco, qui innumeris damnis Romanos affecerat, deinde, Scipione exercitibus præposito, quum nihil jam posset, causamque rei rogaretur, ait : « Oves quidem eædem sunt, sed pastor multo vigilantior atque Argo oculatior. »

83.

Huic homini nomen proprium erat Hierax (*accipiter*); quem quidem historicus de facie novit atque allocutus est, animumque ejus serendis sermonibus exploravit. Ut breviter dicam, Alexandrinus erat et corvi quidem naturam ingluvie imitabatur : sed neque libidinibus carebat, ad quas galli ritu alacer erat, prorsusque incontinens instar hominis Alexandrini, immo et si quid Alexandrino incontinentius est. Sed tamen historicus tam impudentem tamque effrontem hominem pudorem edocuit eoque facto abiit, mirantibus iis qui aderant, quod homo Alexandrinus linguam cohiberet, nugas omitteret, et facie ruborem traheret.

(Socrat. Hist. Eccl. VII, 13). En igitur quam ob causam impius Eunapius tam acriter Hieracem proscindit. » Zosimi narratio in hac Historiæ parte lacunam habet.

84.

Suidas: Ἀρβαζάκιος Ἴσαυρος, ἐπὶ Ἀρκαδίου τοῦ βασιλέως, ὃν Ἁρπαζάκιον ἐκάλουν διὰ τὸ πλεονεκτικόν. Ἦν μὲν ἐξ Ἀρμενίας, τοῖς τρισὶν ἅμα συγκατειλημμένος πάθεσιν, ὥσπερ Ἡφαιστείοις δεσμοῖς ἀρρήκτοις, καὶ ἔμενέ γε ἐν αὐτοῖς ἐμπεδόν· ταῦτα δὲ ἦν ἐρωτομανία καὶ μέθη καὶ πλεονεξία. Οὕτω δὲ εἰς ἔσχατον ὅρον τὰς ἑαυτῷ δοκούσας ἀρετὰς ἐπετήδευεν, ὥστε οὐκ ἄν τις ἐπίστευσε [μὴ] πειραθεὶς, ὅτι τὰς τρεῖς ἐκείνας οὕτως εἰς ἄκρον ἐξήσκησε· μουσουργοῖς μὲν γὰρ συνέζησε τοσαύταις, ὅσας οὔτε ἐκεῖνος ἀριθμεῖν εἶχεν, οὔτε ἕτερός τις τῶν διακονουμένων· καὶ οἵ γε προσήκοντες αὐτῷ λογισταὶ τῶν στρατιωτικῶν ἔργων τὸν μὲν ἀριθμὸν τῶν στρατιωτῶν ᾔδεσαν, τὸ δὲ πλῆθος τῶν ἑταιρῶν καὶ τὸν ἐκ τῶν χειρῶν ἀριθμὸν αὐτοῦ διέφυγεν. Ὥσπερ οὖν Ὀρόντην τὸν Πέρσην φασὶν εἰπεῖν, ὅτι τῶν δακτύλων ὁ μικρότατος καὶ μύρια σημαίνει καὶ ἕνα ἀριθμὸν, οὕτω κἀκεῖνοι τὰς ἑταίρας κατὰ μονάδας καὶ μυριάδας ἠρίθμουν.

Partem horum repetit Suidas v. Μουσουργοί. De Orontis dicto cf. Aristid. vol. II, p. 257. Eunapii hunc locum primus vindicavit Valesius ad Marcellin. XV, p. 93. De Arbazacio, qui contra Isauros Pamphyliam et Ciliciam devastantes emissus est (404), vid. Zosimus V 25.

85.

Exc. De sent. p. 291, 292: Ὁ δὲ πρὸς τὸν Ἰωάννην ἐπιστρέψας τὸν λόγον, « Ἀλλὰ σύ γε, εἶπε, πάντων εἶ τῶν κακῶν αἴτιος, τούς τε βασιλέας διατέμνων ἐκ τῆς σφῶν αὐτῶν κολλήσεως, καὶ τὸ θεοπρεπέστατον ἔργον καὶ οὐρανόμηκες ὑπορύττων καὶ κατασείων ταῖς σαῖς μηχαναῖς ἐς διάλυσιν καὶ φθοράν. Ἔστι δὲ πανόλβιόν τι χρῆμα καὶ τεῖχος ἄρρηκτον καὶ ἀδαμάντινον τοὺς βασιλέας ἐν δύω σώμασι μίαν βασιλείαν ἔχοντας φαίνεσθαι. » Καὶ οἱ παρόντες, τούτων λεγομένων, τὰς μὲν κεφαλὰς ἀπέσειον ἡσυχῇ καὶ δεδοικότες· ἐδόκει γὰρ αὐτοῖς ἄριστα λέγεσθαι· τὸν δὲ Ἰωάννην τρέμοντες καὶ πρὸς τὰ σφέτερα κέρδη κεχηνότες (ἡ γὰρ ἀκολασία καὶ τοῖς πονηροῖς, ἧπερ εἴρηται, τιμὴν ἐχαρίζετο), τῆς κοινῆς σωτηρίας ἀμελήσαντες, καὶ προστησάμενοι σφῶν αὐτῶν τὸν Ἰωάννην, τεχνικὸν δή τινα ἱερακοτρόφον, τὸν Φράβιθον ἀφείλοντο τῆς ψυχῆς.

Quo hæc spectent, nescio. « Fortasse, Maius ait, sermo est de Arcadii cum Honorio fratre bello Gildonico (397. 398). » Joannes aut Chrysostomus est episcopus Constantin., aut Joannes comes, cui Arcadius arcana sua omnia committebat, quemque plerique patrem esse pueri, quem Arcadius genuisse opinabatur, crediderunt, teste Zosimo V, 18.

86.

Ibid. p. 292: Παμφυλία γοῦν ὑπὸ τῶν Ἰσαυρικῶν πολέμων πορθουμένη χρυσὸν ἐνόμισε τὰς Ἰσαυρικὰς συμφοράς· καὶ καθάπερ ἐν ταῖς διοσημείαις ἀστραπῆς κεραυνὸς φοβερώτερος (ἡ μὲν γὰρ ἐφόβησε μόνον, ὁ δὲ διέφθειρεν), οὕτω καὶ τοὺς Ἰσαύρους φρικωδεστάτους ὄντας ἀκοῦσαί τε καὶ ἰδεῖν ἄνθος ἀπέδειξε καὶ τρυφερώτατόν τι καὶ χλοερὸν ἔαρ ὁ βέλτιστος ἐξ Ἀλεξανδρείας Ἱέραξ, οὕτω πάντα διερευνησάμενος καὶ συναρπάσας ἀθρόως ἐπὶ Φραβίθου φόνῳ. — Καὶ παραλαβὼν ὑπὸ μάλης ἐπειρᾶτο διαφεύγειν κατὰ ῥύμην καὶ φοράν. Ἀλλ' οὐκ εἶχεν ἀλαοσκοπίην ὁ Λύκιος Ἑρεννιανὸς

84.

Arbazacius Isaurus, sub Arcadio imperatore, quem propter rapacitatem Harpazacium, i. e. Rapacem, appellabant. Fuit enim ex Armenia oriundus, simul his tribus affectionibus, ut firmissimis Vulcaniis vinculis constrictus, et in ipsis constanter perseveravit. Hæ autem affectiones fuerunt insanus amor et ebrietas et avaritia. Tanto autem studio illis quas existimabat virtutibus operam dabat, ut qui id experientia compertum non haberet, credere non posset eum tantos in tribus illis vitiis progressus fecisse. Tot enim psaltrias in convictu suo habuit, ut neque ipse neque alius ullus e ministris eas numerare posset. Ac numerarii rerum militarium, qui illi apparebant, militum quidem numerum norant; meretricum vero multitudo omnem eorum calculum superabat. Quemadmodum igitur Orontem Persam dixisse ferunt minimum digitum et decem millia et unum significare: sic etiam illi meretrices et singulatim et per dena millia numerabant.

85.

Is autem, conversa ad Joannem oratione, « Tu vero, inquit, malorum omnium causa es, qui concordiam regum dissocias, remque omnium præstantissimam atque cœlestem artificiis tuis perturbatam pessumdas. Quippe summa felicitas atque adamantina insuperabilisque firmitas est, quum duo reges unum regnum possidere videntur. » Tum qui huic orationi aderant, capitibus taciti pavidique nutabant; visus enim erat rectissime dicere. Veruntamen dum a Joanne sibi timent, et suum quisque lucrum meditatur, (namque impurus ille improbis quoque hominibus honores, uti dictum est, largiebatur,) communi omissa salute, Joannem sibi præfecerunt, callidum scilicet Hieracis alumnum, Fravittamque vita spoliarunt.

86.

Pamphylia Isauricis bellis vastata, nihilominus beatam se judicabat, si his tantum afficeretur. Jam sicuti in procellis fulgure fulmen formidabilius est; illud enim territat, hoc interimit: sic etiam Isauros ceteroquin auditu visuque tremendos, veris tamen instar herbidi floridique ac voluptarii præclarus hic demonstravit Hierax, dum cuncta rimatur temereque diripit post Fravittæ cædem. — Ille clam fugam rapidam et tumultariam molitus est: verum Herennianus vicarius, quem non fefellerat, naturam aquilæ in-

βικάριος ὤν· ἀετὸς δὲ γενόμενος αὐτὸν συνήρπασε τὸν Ἱέρακα, καὶ μόλις ἀφῆκεν, εἰ μὴ τετρακισχιλίους ἐκεῖνος αὐτῷ χρυσοῦς ἀπέτισεν.

De bello Isaurico (404) v. Zosimus V, 25; Sozom. VIII, 25; Philostorg. XI, 8; Tillemont tom. V, p. 473 sqq.

87.

Ibid. p. 292 — 295 : Ὅτι ἐπὶ Πουλχερίας τῆς βασιλίσσης ἐξέκειτο δημοσίᾳ πιπρασκόμενα τὰ ἔθνη τοῖς βουλομένοις ὠνεῖσθαι τὰς ἀρχάς· πᾶσι δὲ ἐπιπράσκοντο μεγάλα τε καὶ μικρὰ φανερῶς ἐπὶ δημοσίων τραπεζῶν, ὥσπερ ἄλλο τι τῶν ἐπ' ἀγορᾶς ὠνίων. Ὁ βουλόμενος Ἑλλήσποντον ἀδικεῖν εἶχεν Ἑλλήσποντον πριάμενος, καὶ ἄλλος Μακεδονίαν, Κυρήνην, καὶ ὅπως ἕκαστος ἐνόσει πρὸς τὸ ἄδικον ἢ ἐχθροὺς ἔχων. Ἐξῆν δὲ καὶ καθ' ἕκαστον ἔθνος τὴν μοχθηρίαν ὠνεῖσθαι ἑαυτοῦ πρὸς τὸ βλάπτειν τοὺς ὑπηκόους, καὶ πολλὰ συλλαμβάνειν ἔθνη· τοῦτο γὰρ ὁ βικάριος ἐδύνατο καὶ ἡ ἀνθύπατος ἀρχή. Καὶ δέος ἦν οὐδὲν τῶν ἀθλίων γραμμάτων τοῖς νόμοις ἐντεθνηκότων, ὡς δεῖ τὸν ἐπὶ χρήμασι δικάζοντα κολάζεσθαι· ἀλλ' οἱ μὲν νόμοι κατὰ τὸν Σκύθην Ἀνάχαρσιν οὐκ ἀραχνίων ἦσαν ἀσθενέστεροι καὶ λεπτότεροι μόνον, ἀλλὰ καὶ κονιορτοῦ παντὸς πρὸς τὸ ῥεῖν εὐκόλως καὶ διανεμοῦσθαι παραφερόμενοι. Ὁ δὲ τὸ ἔθνος ἢ τὰ ἔθνη παραλαβών, δύω τινὰς ἢ τρεῖς στρατιώτας συνεφελκόμενος κατὰ τὴν πλαγίαν εἰσιόντας θύραν, μὴ βουλόμενος μανθάνειν (λανθάνειν B.), ὅτι [..., διὰ B.] σιωπώντων κηρύκων, εἰ δὴ κήρυγμα σιωπώμενον γίγνεται, πρὸς πάντας περιήγγελλεν, ὡς δή φησιν Ὅμηρος· « κλήδην εἰς ἀγορὴν κικλήσκειν ἄνδρα ἕκαστον, μηδὲ βοᾶν, αὐτὸς δὲ μετὰ πρώτοισι πονεῖτο· » καὶ ὁ ἄρχων διὰ τῶν ἀφθόγγων τούτων κηρύκων πρὸς τὸ οὖς ἑκάστῳ περιήγγελλεν, ὡς πριάμενος εἴη τοὺς ὑπηκόους τόσου καὶ τόσου ἀργυρίου, καὶ πᾶσά γε ἀνάγκη τοῦτο καταβάλλειν, ἢ πράγματα ἔχοντας ἐπιτρίβεσθαι θανάτοις καὶ δημεύσεσιν. Οἱ μὲν οὖν ἔχοντες καὶ συντελεῖς ἐκ προϋπαρχούσης οὐσίας κατετίθεσαν οἰμώζοντες τὸ ἀργύριον· οἱ δὲ ἀποροῦντες δημοσίᾳ κατεδαπανῶντο ταῖς μάστιξι τὰ σώματα· πρόφασις δὲ ἦν ἑτέρα τις. Εὑρέθη γὰρ γένος ἀνθρώπων δι' ἀπορίαν καὶ ἀπόνοιαν ὀξυθάνατον καὶ φιλοκίνδυνον, οἳ τὰς ὕβρεις οὐκ ἐνεγκόντες ἐπὶ κατηγορίᾳ τῆς λῃστείας ὥρμησαν ἐπὶ τὸν τῆς αὐλῆς ἔπαρχον. Κἀκεῖνος ἂν ἐπὶ τὸ πρᾶγμα διεσχηματισμένος πάλαι καὶ αὐτὸς ἕτερα τοιαῦτα πάσχων τόν τε κατηγορήσαντα συνήρπασε, καὶ τοὺς κατηγορήσαντας ὡς παρρησίαν ἔχοντας ἐπῄνεσεν . . . τοιαῦτα γένοιτο· καὶ πρὸς τὸν ἀγῶνα τῆς κρίσεως ἐλθούσης, ἔφραζεν ἂν διὰ τοῦ πιστοτάτου τῶν εὐνούχων· « Ἄπιτε, ὦ βέλτιστοι, πάνυ θαυμάζοντες ὅτι μετὰ τῶν κεφαλῶν ἄπιτε· κατηγορεῖν γὰρ ἀρχομένους οὐκ ἔξεστιν. » Οἱ μὲν ἀπῄεσαν ψηλαφῶντες τὰς κεφαλὰς ἐπὶ τοῖς λόγοις καὶ ἀγαπῶντες, ὅτι ἔχουσι συνηρμοσμένας· ὁ δὲ νικήσας τὴν Καδμείαν μακρῷ πλέον ἦν ἀθλιώτατος, καὶ τὴν ἀρχὴν πριάμενος ὅλης τῆς ὑπαρχούσης οὐσίας, καὶ τὸ κέρδος τῆς ἀρχῆς προσκαταβαλὼν ταῖς τοσαύταις ἐνέδραις καὶ λόχοις. Πᾶσαι γοῦν οἰκίαι πρὸς τοῦτον ἐκενοῦντο ἂν τὸν δόλον· καὶ ῥᾷστα ἦν ὁρᾶν τοὺς ἄρξαντας δεδημευμένους, ὥσπερ που καὶ ὁ κωμικός φησιν· « ἄρξαντος ἀνδρὸς δημόσια τὰ χρήματα. » Ὁ δὲ ἀγνοῶν τίς κωμικός, οὐδὲ ἀναγινώσκειν ἄξιος τὴν γραφήν. Οὕτω γοῦν καὶ ὁ Ἑρεννιανὸς τότε τὸν Ἱέρακα

---

ducens, corripuit Hieracem; vixque demum dimisit, quattuor acceptis ab illo aureorum millibus.

87.

Pulcheria regnante, prostabant publice venum gentes iis qui præfecturas coemere volebant : et sive hæ magnæ sive modicæ essent, palam in publicis mensis, ceu venales in foro merces, distrahebantur. Igitur qui Hellespontum diripere avebat, Hellespontum emptam ferebat, alius vero Macedoniam, alius Cyrenen, prout quisque peculandi morbo laborabat, aut inimicos ulciscendi. Licebat autem his improbis vel singularum gentium præfecturas nocendi causa coemere, vel etiam cumulate plurium : illatenus enim patebat vicarii vel proconsulis jurisdictio. Nullus autem metus erat decretorum tristium jampridem cum legibus mortuorum, quod pœnæ videlicet is qui jus venale habet, obnoxius sit. Etenim leges non modo, prout Scytha Anacharsis ait, araneosa tela infirmiores erant ac subtiliores, verum prorsus pulveris instar huc illuc facili jactu circumagebantur ac diffluebant. Qui vero unam gentem pluresve emerat, binis vel ternis stipatus satellitibus, qui ad se per posticum ventitarent, ne forte lateret, * per tacitos præcones (si tamen præconium tacitum fieri potest) omnes certiores fecit, et more Homerico (*Il.* 9, 11) nominatim ad forum viros singulos advocabat sine strepitu, ipse vero in primis fungebatur munere. Itaque magistratus his taciturnis præconibus utens in cujusque aurem insusurrabat, se singulos subditos hoc et illo argenti pondere venales habere. Prorsus autem necesse erat, vel imperatam pecuniam pendere, vel calumniis implicitos supplicia perpeti et proscriptiones. Qui ergo nummati erant, ii pro facultatibus quisque suis cum gemitu pecuniam solvebant : tenuiores autem plagis publice impositis abibant; rei prætextus autem aliunde petebatur. Exstitit enim genus hominum, qui ob egestatem ac vecordiam impendentem necem ac pericula temnerent. Hi, nimirum injuriarum impatientes, crimen peculatus apud aulæ præfectum detulerunt. Hic autem, rem serio agere simulans (quippe et ipse olim in simili fortuna versatus erat,) eum qui accusabatur, reum agebat, et accusatoris fiduciam commendabat. Verumtamen ubi judicii disceptatio aderat, per fidelissimum sibi eunuchum nuntiandum illis curabat : « Abite, viri optimi, lucroque apponite, quod salvo capite abitis; namque magistratibus diem dicere nequaquam licet. » Tum illi discedebant, his auditis, capita sua contrectantes, et plane contenti, quod ea cervicibus adhuc hærerent. Qui autem Cadmeam hanc victoriam retulerat, multo jam infelicior erat, tum quia præfecturam olim omni suo patrimonio redemerat, tum quia nuper præfecturæ lucra his insidiis et

τὰ πλείονα (τῷ πολλὰ B.) μὲν ὀφλίσθαι, πλείονα δὲ καταβαλεῖν συλλαβὼν ἀπέδειξε δικαίας ἀποτίνοντα τιμωρίας τοῦ κατὰ Φράβιθον φόνου. Ὁ δὲ Ἱέραξ καλούμενος ὑπὸ τοῦ πλείονα καταθέντος ὥσπερ ἀετοῦ συνειλημμένος ἀηδὼν ἦν Ἡσιόδειος οὐ δυναμένη πρὸς κρείττονα ἀντιφερίζειν. Καὶ αὐτὸς δὲ ὁ ἀετὸς οὐδὲν διέφερεν ἀηδόνος, πλὴν ὅσα καὶ εἰς τὸν τοῦ μύθου κολοιὸν ἐτέλει, τῶν ἰδίων πτερῶν ὥσπερ ἀλλοτρίων ἐστερημένος.

Ὅτι ἐπὶ τῆς αὐτῆς βασιλίδος οὐκ ἦν τινα παρὰ τὴν Κωνσταντίνου πόλιν μὴ τοῦτο ἀκοῦσαι· « Τί δὲ σύ, πάντων ἀνδρῶν θαυμασιώτερε, [πόλε]ων οὐκ ἄρχεις καὶ ἐθνῶν; » καὶ ὁ λόγος ἦν τοῦ κατὰ μῦθον ἰοῦ τῶν διψάδων δυνατώτερος.

Hæc in iisdem rebus versantur, de quibus in fragmento antecedente sermo est. Ad Pulcheriæ Augustæ tempora (inde ab an. 414) auctor (monente Niebuhrio) h. l. digressus est, ut referendo quomodo Hierax, æmulo, qui vel ipsum nequitia superaret, per Augustæ avaritiam traditus, pro nece Fravittæ seras pœnas, verumtamen pœnas dederit, se solaretur. Ne cum Maio credas usque ad annum 414 vel ultra etiam Eunapium narrationem deduxisse, falsaque de Historiarum termino Photium tradidisse, vel inde prohibeberis, quod sequitur fragmentum de Stelichone, qui multum ante Pulcheriæ regnum periit (an. 408).

88.

Ibid. p. 295 : Ὁ δὲ Στελίχων οὐκ ἐφόνευσε τοὺς ἀνθρώπους, ἀλλὰ ζῆν αἰσχρῶς ἠνάγκαζε, πάντα ἀφαιρούμενος, καὶ πρὸς τὸ βαρύτατον, ὥς φησι Μένανδρος, τὴν πενίαν θηρίον καὶ . . . λέγων καὶ συστέλλων.

Ὅτι ὑπ . . . ως διὰ φιλαρχίαν ᾑροῦντο . . . ἅπαντες οἱ δὲ ἔχοντες ζῆν μᾶλλον ἢ τοὺς . . . δεῖν πυρὶ καὶ φόνῳ καὶ σιδήρῳ πάντα δαπανήσασθαι . . . τῆς . . . χῆς ἐν τῷ διαφαίνεσθαι ὅτι μόνος Στελίχων ὑπὲρ ἀνθρωπίνην ἐν . . .

SEDIS INCERTÆ.

89.

Suidas : Ἀτάσθαλα... καὶ ἀτάσθαλον, ἄδικον, παράνομον. Εὐνάπιος· « Γυναικῶν δὲ ὕβρις καὶ τὸ ἀτάσθαλον εἰς παῖδας εὖ γεγονότας συνεκυρώθη καὶ νόμος εἶναι (ἦν? Boisson.). » Videntur hæc petita esse ex eodem loco, unde de Carino fragmentum 4. Certe eandem ibi sententiam habes, eademque pæne verba.

90.

Idem : Βαλάντιον, μάρσιπος. Εὐνάπιος· « Εἴ τι φιλοχρήματος εἴη καὶ δοῦλος τῶν βαλαντίων· καὶ ταῦτα σαφῶς ἐκπυνθανόμενοι, πρὸς ταῦτα διεστρατήγουν τὸν πόλεμον. »

91.

Idem : Οἰδοῦσαν. Εὐνάπιος· « Τοσούτου δὲ οἰδοῦντος καὶ ὑπερφυομένου κακοῦ. »

92.

Idem v. Θέσεις. Εὐνάπιος· « Τῶν δὲ Ῥωμαίων ἐπ' αὐτὸ τοῦτο βιαζομένων ἄπορον αὐτοῖς ἀποδεῖξαι καὶ πλῆθος καὶ θέσιν καὶ βέλη καὶ μηχανὰς καὶ μεγέθη ποταμῶν, πρὸς τὸ μὴ πάντων ἡττᾶσθαι σφῶν καὶ ὁμολογεῖν εἶναι χείροσιν. » Locus mutilus, ut videtur.

Idem : Μοσχεύων, μεταφυτεύων. Εὐνάπιος· « Οὗτοι μὲν ὧδε μένοντες ὑπεμόσχευον τὸν πόλεμον· » ἀντὶ τοῦ ὑπέστρεφον, ὑπεφύτευον.

---

criminationibus propulsandis insumpserat. Atque hujusmodi fraudibus domus omnes facultatibus vacuabantur : passimque videre erat magistratuum bona publicata : veluti ait comicus : « Viri publicum munus gerentis publica est pecunia. » Qui autem nescit, quisnam comicus, is indignus est qui hæc legat. Sic igitur Herennianus Hieracem, qui plurima item impenderat, comprehensum coegit pœnas luere necis quam Fravittæ intulerat. Hic autem Hierax (*accipiter*) ab eo, qui plura impenderat, tanquam ab aquila correptus, luscinia evasit Hesiodea, quæ potiori par esse non potuit. Tum et ipsa demum aquila nihil distulit a luscinia, nisi quod ad extremum, ut est in fabula, in corvum desiit, cui plumæ tanquam aliena res ereptæ fuerunt.

Eadem regina imperante, nemo Constantinopoli non hos sermones audiebat : « Tu vero, vir præclarissime, cur non urbibus populisque imperas? » Atque hic sermo veneno illo, quod est in fabulis, serpentum dipsadum efficacior erat.

88.

Stelicho homines non interemit, sed turpiter vivere coegit, ereptis bonis omnibus, eosque ad egestatem, molestissimam belluam, ut ait Menander, damnavit.

89.

Feminarum vero stupra et adolescentium nobilium corruptiones ut pro licitis haberentur decretum est.

90.

(Quæsiverunt) an pecuniæ esset avidus et crumenæ servus. De qua re quum ipsis certo constaret, præcipuam ejus rationem in bello gerendo habebant.

91.

Tanto autem malo intumescente et succrescente.

92.

Quum autem Romani eo tenderent, ut demonstrarent illis, quantas objicerent difficultates et ipsorum multitudo et loci situs et tela et machinæ bellicæ et magnitudo fluviorum; itaque non prorsus ab illis se vinci, neque se illis inferiores esse confiteri.

Isti quidem hic manentes, bellum clam serebant.

93.

Idem : Ῥῦμα, φυλακή . . . « Ἐς τόξου ῥῦμα περιέπλεον τοῖς Ῥωμαίοις οἱ βάρβαροι, πόλλ' ἅμα βέλη ἀφιέντες. » Εὐνάπιος· « Πέτρα δέ τις ἀπεσπασμένη ἐς τόξου ῥῦμα, » τουτέστιν ἕλκυσμα. Καὶ αὖθις· « Κραταιῶς ἐκ τούτων ἀνῆπτον τὰ ῥύματα, λαμβάνοντες ἐκ τῶν κατ' ἄλληλα πλοίων, καὶ κατείχετο τὸ ζεῦγμα τοῖς ῥύμασι. » Primus et tertius locus num item Eunapii sit, in medio relinquo. Certe qui deinde subjungitur verbis Καὶ αὖθις locus quartus, non est Eunapii sed Polybii (III, 46).

Idem : Ζεῦγμα. Εὐνάπιος. « Ἡ τοῦ ποταμοῦ διάβασις. »

94.

Idem v. Μελεδωνός : Καὶ Εὐνάπιος· « Τῶν αὐτῶν ἐθῶν (ἐτῶν v. l.) γυναῖκά τινα στείλας ἐσθῆτι λευκῇ καὶ στέμμασιν, ὡς δὴ μελεδωνὸν οὖσαν τῆς Συρίας οὕτω δὴ καλουμένης θεοῦ. »

95.

Idem : Ἀποτραχηλίζοντες, ἀπάγχοντες. Εὐνάπιος· « Καὶ οἱ μὲν αὐτοὺς διέφθειρον σχοινίοις ἀποτραχηλίζοντες. »

96.

Idem v. Ἐχμελές : « Καὶ τἆλλα πάθη κατὰ τὴν ἐχμελῆ λύραν ἐθεραπεύετο », φησὶν Εὐνάπιος.

97.

Idem : Ἀπαγορεύει, ἀποτρέπεται, ἀρνεῖται. « Ἀπαγορεύουσι τῷ Φιλίππῳ, καὶ τὸν Δέκιον ἀναγορεύουσιν. » Καὶ αὖθις Εὐνάπιος· « Πρὸς τὸ ἀφανὲς καὶ ἀόριστον τῆς χώρας ἐκπεσόντες, πρὸς τοὺς φόνους καὶ πρὸς τὴν λείαν ἀπαγορεύοντες. » Καί· « Ἀπαγορεύεις Σίμων Πέτρε. » Priorem locum Dexippi esse suspicatur Bernhardyus. Idem vocem αὖθις ante ἀπαγορεύεις poni vult.

98.

Idem v. Μεγαλοπρεπής : Εὐνάπιος· « Οὕτε ἄλλως τὸ μεγαλοπρεπὲς κατὰ τὴν δίαιταν ἐν ταῖς μάχαις ἐστὶ φιλοκίνδυνον. »

99.

Idem : Συντεκμηράμενος, συμβαλών, καταστοχασάμενος. Εὐνάπιος· « Τὸν πάντα βίον αὐτοῦ συντεκμηράμενος ἐκ τῶν ἐναργῶν περὶ αὐτὸν συμβόλων τε καὶ σημείων. »

100.

Idem : Διάμετρος, γεωμετρικόν τι εἶδος. Εὐνάπιος· « Ὡς κατά τινας διαμέτρους κεραίας κεχιῶσθαι τὴν γλῶτταν ταῖς ἀντιτύποις συμβολαῖς τῶν ἀκίδων. »

101.

Idem : Διενεγκεῖν, ἀγαγεῖν. Εὐνάπιος· « Κατὰ τούτους τοὺς χρόνους ὑπὸ τῆς ἀνδρώδους γυναικὸς ἔργον κατετολμήθη καὶ συνεπράχθη γενναῖον οὕτω καὶ ἀνδρῶδες, ὥστε ἄπιστον εἶναι διενεγκεῖν εἰς τὴν διήγησιν. »

102.

Idem v. Παιδιά : Εὐνάπιος· « Καὶ οἱ μὲν παιδιάν τινα ἐκ τῶν πολεμίων ἡγούμενοι, τοσοῦτον ἐδυσχέραινον, ὅσον ἠναγκάζοντο βοᾶν καθ' οὓς ἐμβάλοιεν. »

« Si reliqua belle se habent, saltem βοᾶν labem duxit : nam Eunapius, opinor, voluit, milites illos opinione falsos fuisse, qui quum bellum sic per ludum jocumque gesturos animo præsumpsissent, ærumnas debuerint tolerare vel rebus alienis abstinere. Contra sentit Hermannus, priora vertens, *jocum opinabantur ab hostibus paratum.* » Bernhardy.

93.

« Barbari Romanos circumnavigarunt, sagittæ jactum ab iis distantes, multaque tela in eos emiserunt. » — Eunapius : « Petra vero quædam teli jactum distans. » — Et iterum : « Firmiter his funes ductarios alligarunt, quos sumebant ex navibus, quarum altera juxta alteram collocata erat ; itaque pons funibus ductariis retinebatur. »

94.

Mulierem, quæ mores ejusdem populi sequeretur, alba veste et coronis ornatam misit, quasi sacerdotem Deæ Syriæ quam appellant.

95.

Et illi quidem eos funibus strangulantes necarunt.

96.

Et ceteri ejus morbi ad ingratum lyræ cantum sanabantur.

97.

Quum in obscuram et occultam regionis partem pervenissent, et cædibus prædisque agendis defatigati essent.

98.

Et alioquin illi, qui splendide vivunt, periculis in bello se offerre recusant.

99.

Omnem ejus vitam per conjecturam assecutus ex evidentibus indiciis signisque.

100.

Ita ut lingua secundum quasdam diametros adversis et coeuntibus spiculorum ictibus decussata esset.

101.

His temporibus facinus quoddam audacter susceptum a virili muliere et confectum est, adeo generosum illud et virile, ut incredibile sit, si in narrationem deducatur.

102.

Et illi quidem ludum quemdam ab hostibus ludi putantes, tantum indignabantur, quantum vociferari cogebantur contra illos, quos adoriebantur.

103.

Idem : Διαυχενίζεσθαι. « Ὁ δὲ τὰ φρονήματα καὶ τοὺς θυμοὺς τῶν στρατιωτῶν ἀνηρέθιζε, καὶ διαυχενίζεσθαι πρὸς τὸ ἀγέρωχον ταῖς μελέταις ἐξεκάλει καὶ φιλοκίνδυνον. »

Idem : Ἀνηρέθιζε, ἐπί τι παρώτρυνε καὶ παρέθηγεν. Εὐνάπιος· « Ὁ δὲ τὰ φρονήματα καὶ τοὺς θυμοὺς τῶν στρατιωτῶν ἀνηρέθιζεν. »

« Agitur forte de Valentiniano, qui ut Celticarum gentium securitati provideret, νεολαίαν ὅτι πλείστην, ait Zosimus IV, 12, 2, ἀθροίσας, ἔκ τε τῶν παροικούντων τῷ Ῥήνῳ βαρβάρων καὶ ἐκ τῶν ἐν τοῖς ὑπὸ Ῥωμαίους ἔθνεσι γεωργῶν, τοῖς στρατηγικοῖς ἐγκαταλέξας τάγμασιν, οὕτως αὐτοὺς ἐξήσκησε τὰ πολέμια, ὥστε φόβῳ τῆς περὶ τὰ τοιαῦτα τῶν στρατιωτῶν μελέτης καὶ πείρας, ἐννέα τοὺς πάντας ἐνιαυτοὺς μηδένα τῶν ὑπὲρ τὸν Ῥῆνον ταῖς ὑπὸ Ῥωμαίους πόλεσιν ἐνοχλῆσαι. Vel respicitur Fravithus, qui adversus Gainam dux electus, ἀργούντων οὐκ ἠνείχετο, Zosimo teste V, 20, 4, τῶν στρατιωτῶν, ἀλλὰ μελέταις συνεχέσιν ἐξήσκει, καὶ ἐπὶ τοσοῦτον τοῖς γυμνασίοις ἐπέρρωσεν, ὥστε κτλ. Potest etiam fragmentum referri ad Sebastianum, qui electis duobus militum millibus, τῇ συνεχεῖ γυμνασίᾳ, ut ait Zosimus IV, 23, 5, τὸ ἐνδέον ἐπλήρου κτλ. » Boissox.

104.

Idem v. Χρῆμα : Εὐνάπιος· « Ὁ δὲ τὰς δυνάμεις ἤθροισε, καὶ τὸ χρῆμα τῆς διαβάσεως ἐπισπέρχων ἤδη καὶ συμβιαζόμενος, καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων. »

« Agitur forte de Fravitho, qui teste Eunapio (fr. 80) ἐνόσει τὸ σῶμα, τῆς ψυχῆς ὑγιαινούσης πλέον. » Boiss.

105.

Idem v. Ψιλός· Εὐνάπιος δὲ λέγει ψιλὸν καὶ οἷον κοῦφον.

Idem : Ἀνῆψεν, ἀνεκρέμασε τοῖς θεοῖς. Εὐνάπιος.

Sequuntur fragmenta auctoris sui nomine non insignita, quæ Eunapii esse viri docti censuerunt.

106.

Idem : Εὐτόκιος ἀπὸ Θρᾴκης ἐλθὼν οὔτε γνώμην ἐπιεικής τις ἦν, οὔτε γένους εὖ ἔχων, ἀλλὰ καὶ στρατιώτης μὲν ὁ τυχὼν, πολλὰ δὲ χρήματα κοινὰ τοῦ ἰδίου τάγματος ὑποκλέψας ᾤχετο φεύγων εἰς τὴν Παλαιστίνην. Ἐπεχείρησε μὲν οὖν Ἐλευθεροπολίταις ἑαυτὸν ἐγκαταλέξαι, τῆς βουλῆς μετασχὼν ἐπὶ χρήμασι μεγάλοις. Καὶ γὰρ ἐγλίχετο τὴν τύχην μεταβαλεῖν εἰς τὸ εὐγενέστερον· καίτοι ἔδει πρότερον μετατίθεσθαι τὴν προαίρεσιν εἰς τὸ κρεῖττον. Ἀλλ' ὅμως οἱ Ἐλευθεροπολῖται, τὸ πλῆθος ὑπιδόμενοι τῶν χρημάτων, οὐ προσεδέξαντο τὸν Εὐτόκιον. Ὁ δὲ μετεχώρησεν ἐς τὴν Ἀσκάλωνα· καὶ ὁ τότε πρωτεύων Κρατερὸς εὐμενῶς αὐτὸν ὑπεδέξατο μετὰ τῶν χρημάτων, πολιτικῆς τε μετέδωκεν ἐλευθερίας. Οἱ δὲ Θρᾷκες ὑστέρῳ χρόνῳ κατὰ πύστιν ἥκοντες ἐπὶ τὸν Εὐτόκιον, ἀπῄτουν τὸν Κρατερὸν αὐτόν τε τὸν Εὐτόκιον καὶ τὰ χρήματα· ὁ δὲ οὐ μεθίει τὸν ἄνδρα· τῶν δὲ στρατιωτῶν ἐπὶ δίκην τὸ πρᾶγμα φερόντων, ὁ Κρατερὸς ὑπεραγωνίζεται τοῦ Εὐτοκίου, καὶ περιγίνεται τῶν Θρᾳκῶν· ἐφ' ᾧ καὶ χρησμὸς ἐξέπεσεν, ἔχων ὧδε.

« Integrum hunc articulum descripsit Suidas ex historico aliquo deperdito : quem ex stylo Eunapium esse suspicor. » Kuster. Contra Bernhardyus : « Equidem nihil agnosco, quod Eunapium magis quam Malchum redoleat. » — Dubitans locum in Eunapiana receperunt Boissonadius et Niebuhrius. Res tanto incertior, quum de Eutocio illo ejusque ætate non constet. Niebuhrius suspicatur ab hoc Eutocio mathematicum, qui sub Justiniano scripsit, duxisse genus.

107.

Idem : Διηυχενίζετο, ὑψηυχένει. « Ἕτερα δὲ

103.

Ille vero spiritus et animos militum irritabat, eosque ad ferociam erectis cervicibus ostendendam et pericula prompte adeunda exercitationibus provocabat.

104.

Ille vero copias coegit et trajectus negotium jam vehementer urgens, et præter bonum animum corpus non habens.

105.

Nudum. — Suspendit diis.

106.

Eutocius, e Thracia oriundus, nec probo animo fuit nec genere nobili, sed miles gregarius : qui quum magnam pecuniæ summam cohorti suæ suffuratus esset, in Palæstinam abiit, operamque dedit, ut apud Eleutheropolitanos in civium numerum reciperetur, postquam magnis largitionibus in senatum irrepserat. Ex humili igitur conditione ad fortunæ splendorem pervenire cupiebat, quum prius sentiendi rationem in melius debuisset convertere. Sed tamen Eleutheropolitani, copiam divitiarum suspectantes, Eutocium non receperunt. Tum Ascalonem migravit; ubi Craterus, vir inter Ascalonitas primarius, ipsum cum pecunia benigne suscepit, et jure civitatis donavit. Thraces igitur, ad quos fama ejus rei perlata fuerat, Eutocium venerunt arcessitum, a Cratero Eutocium et pecuniam repetentes. Ille autem virum non tradidit. Et quum milites rem ad judices detulissent, Craterus Eudocium defendit et Thraces vicit : qua de re tale oraculum editum est.

107.

Ob alia vero quædam non multo minora caput erigebat

οὐ πολύ τι μείω ἀνωρθοῦτο καὶ διηυχενίζετο, ἀλλὰ τούτων βαρύτερα καὶ κεραυνῷ προσεμφερῆ. »

« Eunapiana esse suspicor ob usum verbi διαυχενίζεσθαι, quo usus est Eunap. fr. 103, et hæc ipsa verba ἀνωρθοῦτο καὶ διηυχενίζετο leguntur in fr. 76. » Boisson.

108.

Idem : Δραστήριον. « Τὸ κόσμιον καὶ ἡσύχιον μετὰ τοῦ δραστηρίου αὐτῷ ἐτέτακτο καὶ τοῦ ἀνδρώδους· ἐπιεικὴς γὰρ ὢν καὶ πρός γ' ἔτι ἀπράγμων, ὅμως εἰς ἀγῶνα πραγμάτων ἐμβεβηκὼς ἐξ ἀνάγκης οὐδενὸς ἐλείπετο τῶν περὶ ταῦτα καλινδουμένων. »

« Fragmentum Eunapio dandum duxi ex solo scribendi genere. Sentio quam levidense sit hoc argumentum. » Boisson.

109.

Idem : Περικαῶς, ἐρωτικῶς. « Περικαῶς τῆς γυναικὸς ἔχων. » « Hæc Eunapio tribuo, quod adverbio non vulgari περικαῶς fuerit usus in Sophistis p. 111. Rursus fateor hoc argumentum non esse validissimum. » Boisson.

110.

Idem : Ἐμφέρεια, ὁμοιότης.

Idem : Μεσαιπόλιος, ὠμογέρων, μιξοπόλιος.

« Hæc referri posse ad Eunapium putavi ex hac Zosimi, qui Eunapium sæpissime exprimit, sententia (II, 51) : ἄνδρα μεσαιπόλιον, ἐμφέρειάν τινα πρὸς τὴν τοῦ βασιλέως ἰδέαν δοκοῦντά πως ἔχειν, εὑρών. Sed potuit Suidas ipsa Zosimi verba respicere. » Boisson.

---

et cervice elata incedebat; sed his graviora et fulmini similia.

108.

Modestia et tranquillitas in illo conjuncta erat cum alacritate et fortitudine. Nam qui modestus esset et vitæ quietæ amans, idem tamen, quum necessitate cogente ad negotia accederet, nullo erat inferior eorum qui in illis assidue versati erant.

109.

Illius mulieris ardente amore flagrans.

110.

Similitudo. — Semicanus

OLYMPIODORUS THEBÆUS.

Olympiodorus ex Ægypto Thebæus, gentilis poeta et historicus, Byzantii, ut videtur, vixit temporibus Arcadii et Theodosii secundi. Circa annum 412 legationem obiens ad Donatum Hunnorum regulum (v. Exc. Phot. § 18) itinere maritimo eoque periculosissimo profectus est. Aliud iter maritimum, quo item multa auctor perpessus sit, in Photianis excerptis (§ 28) memoratur inter res quæ pertinent ad annum 415. Videtur Byzantio tum in Græciam trajecisse, quandoquidem ibidem narratur Olympiodorus Athenas appulisse, ubi Leontium in thronum sophisticum opera sua et studio evexerit. Denique tertium iter, in quo rursus κατὰ θάλασσαν πολλὰ παθὼν ὁ συγγραφεὺς μόλις διεσώζετο (§ 35), circa annum 421 in Ægyptum suscepit, Thebasque patriam visit, indeque meridiem versus Syenen contendit, nec non Blemmyum regionem lustravit. Inter familiares ejus Philtatius quidam erat, εὐφυῶς περὶ τὴν γραμματικὴν ἔχων (§ 32), et fortasse etiam Valerius, qui sub Constantio imp. præfectus Thraciæ fuerat (§ 27).

Scripsit Olympiodorus atque Theodosio juniori dedicavit historiarum libros sive λόγους ἱστορικοὺς viginti duos, quibus res annorum ferme octodecim continebantur, inde ab Honorii anno decimo tertio (407) usque ad annum 425, quo Valentinianus tertius imperio potitus est. Ceterum non id auctor egit, ut opus ad justæ historiæ severitatem elaboraret, sed materiam vel silvam historico uberrimam præbere satis habuit. Quare tum de rerum ordine chronologico minus sollicitus fuit, et in fundenda oratione genio suo indulsit.

Præter Photium unus Zosimus semel (V, 27) disertam hujus scriptoris mentionem injecit. Dubitarique nequit, quin recte Tillemontius (*Hist. des emp.*, tom. V, p. 656) et Reitemeierus (ad Zos. p. 611) Zosimum in postrema operis sui parte (inde a lib. V, 26) Olympiodoro maxime se addixisse statuerint. Reitemeierus l. l. de his ita habet : « In postrema hac historiæ suæ parte Zosimus, postquam in superioribus maxime Eunapium ducem habuit, Olympiodori nunc, scriptoris æqualis, diserti ac fide dignissimi, vestigiis institit, ejusque sylvam ita sequitur, quantum scilicet comparatione epitomæ a Photio confectæ et historiæ Zosimeæ intelligitur, ut rationem et ordinem eundem servet, et ubi res naturali vinculo haud conjunctæ explicandæ sunt, a rerum serie cum eo deflectat, veluti in historia Constantini tyranni, quæ paullo quidem seriore, commodo tamen loco integra et aliis haud interrupta enarratur. Judicio Zosimum suo esse usum, nec temere auctoritatem ducis sui secutum, argumento erunt loca, in quibus ab Olympiodoro discedit, et alia, quæ vel in breviario Photii paullo prolixius sunt explicata, docebunt, quantum sit in Zosimo brevitatis studium, quod vel obscuritatem nonnullis videtur affudisse locis (e. g. V, 34, 2. 37, 6. VI, 8, 1). Quæ de rerum causis vitiisque imperatorum, rebusque præfectorum civilibus aut militaribus judicata in hac parte legimus, Olympiodori potius esse quam ab Zosimo animi acie inventa, suspicamur, eamque ob causam ea, quæ de Stilichonis virtutibus ac vitiis ab omni iniquitate alienus judicavit, non Eunapio, qui ut impium in majorum sacra hominem eum exagitaverat, sed Olympiodoro duce scripsit. Qui cum Zosimo hic comparari scriptores adhiberique ad ejus emendationem possint, ii et paucissimi sunt et minimi momenti. Orosius quidem, nisi justo parcior ac brevior in rebus enarrandis fuisset, indulsissetque minus ingenio superstitioso, ut æqualis ætate adeoque maxime auctoritate pollens, utilissimus ad hunc usum foret. Suppeditant nonnulla, quæ huc faciunt, præter Sozomenum et Philostorgium et chronographos Marcellinum et Prosperum, Jornandes et Procopius, hic in ultimis, ille in prioribus, denique Augustinus, æqualis, ac Frigeridus Turonensis. Ultimo loco monebimus, hiatum esse quodammodo historiæ rerum quæ inter annum 404 et 407 gestæ erant. Quum enim Eunapius historiæ suæ finem anno 404 fecerit, Olympiodorus autem suam anno 407 exorsus sit, relictum ab iis est spatium, quod nisi aliunde sartum Zosimus præstitit ac rebus in illo temporis intervallo gestis explevit, ipsius historiam imperfectam reddere debuit. Quantum comparando potest conjici, ex Olympiodoro, qui exordium historiæ suæ paullo altius duxisse videtur, ea, quæ iis annis sunt inclusa, sumpta sunt et translata. » — Præter Zosimum præ ceteris Sozomenus Olympiodori commentarios consuluisse videtur.

Photius Bibl. cod. 80.

Ἀνεγνώσθησαν Ὀλυμπιοδώρου ἱστορικοὶ λόγοι κβ΄. Ἄρχεται ἀπὸ τῆς Ὁνωρίου τοῦ βασιλέως Ῥώμης τῆς ὑπατείας τὸ ἕβδομον, καὶ Θεοδοσίου τὸ δεύτερον, κατέρχεται δὲ μέχρις ὅτου Βαλεντινιανὸς ὁ Πλακιδίας καὶ Κωνσταντίου παῖς εἰς τὴν βασίλειον τῆς Ῥώμης ἀνερρήθη ἀρχήν. Οὗτος ὁ συγγραφεὺς Θηβαῖος μέν ἐστιν, ἐκ τῶν πρὸς Αἴγυπτον Θηβῶν τὸ γένος ἔχων· ποιητής, ὡς αὐτός φησι, τὸ ἐπιτήδευμα· Ἕλλην τὴν θρησκείαν· σαφὴς μὲν τὴν φράσιν, ἄτονος δὲ καὶ ἐκλελυμένος, καὶ πρὸς τὴν πεπατημένην κατενηνεγμένος χυδαιολογίαν. Ὥστε μηδ᾽ ἄξιος εἰς συγγραφὴν ἀναγράφεσθαι ὁ λόγος· ὃ καὶ αὐτὸς ἴσως συνιδών, οὐ συγγραφὴν αὐτῷ ταῦτα κατασκευασθῆναι, ἀλλ᾽ ὕλην συγγραφῆς ἐκπορισθῆναι διαβεβαιοῦται· οὕτως ἄμορφος καὶ ἀνίδεος καὶ αὐτῷ τοῦ λόγου ὁ χαρακτὴρ κατεφαίνετο. Καὶ γὰρ οὐδεμιᾷ τῶν ἰδεῶν καλλωπίζεται, πλὴν εἴ τις ἐν τισι τῇ ἀφελείᾳ πλησιάζειν ἐκβιάσοιτο. Τῷ γὰρ λίαν ταπεινῷ καὶ ἐξευτελισμένῳ καὶ ταύτης ἐκπίπτων, εἰς ἰδιωτισμὸν ὅλως ὑπενήνεκται. Ὕλην δὲ αὐτὸς ἱστορίας ταῦτα καλῶν ὅμως καὶ λόγοις διαιρεῖ, καὶ προοιμίοις πειρᾶται κοσμεῖν. Καὶ πρὸς Θεοδόσιον τὸν βασιλέα, ὃς ἀνεψιὸς ἐχρημάτιζεν Ὁνωρίου καὶ Πλακιδίας, Ἀρκαδίου δὲ παῖς, πρὸς τοῦτον τὴν ἱστορίαν ἀναφωνεῖ.

2. Διαλαμβάνει τοίνυν περὶ Στελίχωνος, ὅσην τε περιεβέβλητο δύναμιν, καταστὰς ἐπίτροπος τῶν παίδων Ἀρκαδίου καὶ Ὁνωρίου ὑπ᾽ αὐτοῦ τοῦ πατρὸς αὐτῶν Θεοδοσίου τοῦ μεγάλου· καὶ ὡς Σερῆναν νόμῳ γάμου ἠγάγετο, Θεοδοσίου καὶ ταύτην αὐτῷ κατεγγυήσαντος. Ὅτι τε μετὰ ταῦτα Στελίχων εἰς τὴν ἑαυτοῦ θυγατέρα Θερμαντίαν τὸν βασιλέα Ὁνώριον γαμβρὸν ἐποιήσατο. Καὶ ὡς ἐπὶ πλεῖστον ἔτι μᾶλλον ἤρθη δυνάμεως, καὶ πολλοὺς πολέμους ὑπὲρ Ῥωμαίων πρὸς πολλὰ τῶν ἐθνῶν κατώρθωσε. Καὶ ὅτι μιαιφόνῳ καὶ ἀπανθρώπῳ σπουδῇ Ὀλυμπίου, ὃν αὐτὸς τῷ βασιλεῖ προσῳκείωσε, τὸν διὰ ξίφους ὑπέμεινε θάνατον.

3. Ὅτι Ἀλάριχος ὁ τῶν Γότθων φύλαρχος, ὃν Στελίχων μετεκαλέσατο ἐπὶ τῷ φυλάξαι Ὁνωρίῳ τὸ Ἰλλυρικόν (τῇ γὰρ αὐτοῦ ἦν παρὰ Θεοδοσίου τοῦ πατρὸς ἐκνενεμημένον βασιλείᾳ)· οὗτος ὁ Ἀλάριχος, διά τε φόνον Στελίχωνος, καὶ ὅτι ἃ συνέκειτο αὐτῷ, οὐκ ἐλάμβανε, πολιορκεῖ καὶ ἐκπορθεῖ τὴν Ῥώμην. Ἐξ ἧς χρήματά τε ἄπειρα ἐξεκόμισε, καὶ τὴν ἀδελφὴν Ὁνωρίου, Πλακιδίαν, ἐν Ῥώμῃ διάγουσαν, ᾐχμαλώτισε. Καὶ πρὸ τῆς ἁλώσεως δὲ ἕνα τινὰ τῶν κατὰ τὴν Ῥώμην ἐπιδόξων (Ἄτταλος ἦν ὄνομα αὐτῷ), τὴν ἐπαρχότητα τότε διέποντα, εἰς βασιλέα ἀνηγόρευσεν. Ἐπράχθη δ᾽ αὐτῷ ταῦτα διά τε τὰς προειρημένας αἰτίας, καὶ ὅτι Σάρον, καὶ αὐτὸν Γότθον ὄντα, καὶ πλήθους μὲν ὀλίγου ἐπάρχοντα (ἄχρι γὰρ διακοσίων ἢ καὶ τριακοσίων ὁ λαὸς ἐξετείνετο), ἄλλως δὲ ἡρωϊκόν τινα καὶ ἐν μάχαις ἀκαταγώνιστον, τοῦτον ὅτι Ῥωμαῖοι ἡταιρίσαντο δι᾽ ἔχθρας Ἀλαρίχῳ ὄντα, ἄσπονδον ἐχθρὸν Ἀλάριχον ἐποιήσαντο.

4. Ὅτι ἐν τῇ πολιορκίᾳ τῆς Ῥώμης ἀλληλοφαγία τῶν ἐνοικούντων ἐγίνετο.

5. Ὅτι Ἀλάριχος, ἔτι ζῶντος Στελίχωνος, τεσσαράκοντα κεντηνάρια μισθὸν ἔλαβε τῆς ἐκστρατείας.

Lecti sunt Olympiodori historiarum libri duo et viginti, ducto initio ab Honorii, Romani imperatoris, consulatu septimo, et Theodosii secundo (*an.* 407) : deducitque historiam ad id usque tempus, quo Valentinianus, Placidiæ et Constantii filius, Romanus imperator declaratus est (*an.* 425). Scriptor hic ortum ducit Ægyptiacis Thebis, poeta, ut de se ipse profitetur, religione vero gentium imbutus. Dictio illi clara, remissa tamen ac dissoluta, et in protritam devoluta verborum affluentiam. Oratio itaque indigna ut historiæ adnumeretur : cujus ipse fortasse conscius, non historiam hanc a se adornari, sed materiam dumtaxat, seu commentarium historiæ suppeditari contendit : adeo informis ac specie carens etiam ipsimet dictionis suæ character visus est. Etenim nulla orationi forma hic enitet, nisi quis eum alicubi simplicitati accedere contendat. Etsi neque hanc attingat, dum nimis humili ac vili dictionis genere usus, in idiotismum plebeiumque sermonem prorsus delabitur. Et licet silvam suum ipse opus appellet, libris tamen distinguit, præfationibusque ornare nititur. Historiam inscribit Theodosio [*Minori*] imperatori, qui Arcadii filius, Honorii ac Placidiæ patruelis fuit.

2. Narrat itaque, Stelichonem ad magnam pervenisse potentiam, quum eum Theodosius Magnus parens ipse suis liberis, Arcadio atque Honorio, tutorem imposuisset (395), ac præterea uxorem Serenam duxisset, a Theodosio æque ipsi desponsam. Post etiam, filia sua Thermantia nuptui Honorio imperatori data, illum sibi generum adscivisse : indeque ad summam prorsus evectum potentiam. Multa pro Romanis cum variis gentibus bella gessisse feliciter, donec sanguinaria immanique Olympii opera, qui per Stilichonem imperatori familiaris factus fuerat, ferro mortem excepit (408. Cf. *Zos.* V, 32, *Sozom.* IX, 4, *Philostorg.* XI, 3. XII, 3. *Oros.* 7, 38).

3. Addit Alarichum, Gothorum præfectum, quem olim evocarat Stelicho, ut Honorio Illyricum armis teneret (hæc enim illi provincia a parente Theodosio in partitione regni obvenerat [*cf. Zos.* 5, 26, 2]), tum ob Stilichonis cædem, tum quod promissum illi datum non esset, cinxisse et cepisse Romam, in eaque urbe incredibilem argenti vim præda avertisse, quin et sororem Honorii Placidiam, Romæ tum agentem, captivam habuisse (410). Ante captam vero urbem illustrem tum virum, cui Attalo nomen, summam præfecturam gerentem, imperatorem renuntiasse. Actaque esse hæc ob eas, quas diximus, causas, et ob Sarum, Gothum item genere, sed paucorum hominum præfectum (vix enim ducentos, aut summum trecentos ductabat), cetera generosum virum armisque invictum, quem quod socium sibi Romani adjunxissent, Alaricho exosum, hunc sibi implacabilem fecerunt inimicum.

4. In hac urbis obsidione mutua carne pastos esse obsessos (408).

5. Alarichum, vivente etiamnum Stelichone, militiæ mer-

6. Ὅτι μετὰ θάνατον Στελίχωνος ἀναιρεῖται ἀναποπνιγεῖσα καὶ Σερῆνα ἡ τούτου γυνή, αἰτία νομισθεῖσα τῆς ἐπὶ Ῥώμην ἐφόδου Ἀλαρίχου. Ἀναιρεῖται δὲ πρότερον μετὰ τὴν ἀναίρεσιν Στελίχωνος ὁ ταύτης κἀκείνου παῖς ὁ Εὐχέριος.

7. Ὅτι τὸ Βουκελλάριος ὄνομα ἐν ταῖς ἡμέραις Ὀνωρίου ἐφέρετο κατὰ στρατιωτῶν οὐ μόνων Ῥωμαίων, ἀλλὰ καὶ Γότθων τινῶν· ὡς δ' αὔτως καὶ τὸ φοιδεράτων κατὰ διαφόρου καὶ συμμιγοῦς ἐφέρετο πλήθους.

8. Ὅτι Ὀλύμπιος ὁ ἐπιβουλεύσας Στελίχωνα μάγιστρος τῶν ὀφφικίων γέγονεν· εἶτα ἐξέπεσε τῆς ἀρχῆς. Εἶτα πάλιν ἐπέβη ταύτης. Ἔπειτα ἐξέπεσεν. Εἶτα ἐκπεσὼν, ῥοπάλοις ὕστερον ὑπὸ Κωνσταντίου, ὃς ἠγάγετο Πλακιδίαν, παιόμενος ἀναιρεῖται, τὰς ἀκοὰς πρότερον ἐκκοπείς. Καὶ ἡ δίκη τὸν ἀνοσιουργὸν εἰς τέλος οὐκ ἀφῆκεν ἀτιμώρητον.

9. Ὅτι τῶν μετὰ Ῥοδογαΐσον Γότθων οἱ κεφαλαιῶται ὀπτίματοι ἐκαλοῦντο, εἰς δώδεκα συντείνοντες χιλιάδας, οὓς καταπολεμήσας Στελίχων Ῥοδογαΐσον προσηταιρίσατο.

10. Ὅτι Ἀλαρίχου νόσῳ τελευτήσαντος, διάδοχος αὐτοῦ Ἀδάουλφος καθίσταται ὁ τῆς γυναικὸς ἀδελφός.

11. Ὅτι τὸν ξηρὸν ἄρτον βουκέλλατον ὁ συγγραφεὺς καλεῖσθαί φησι· καὶ χλευάζει τὴν τῶν στρατιωτῶν ἐπωνυμίαν, ὡς ἐκ τούτου Βουκελλαρίων ἐπικληθέντων.

12. Ὅτι Κωνσταντῖνος εἰς τυραννίδα ἀρθεὶς πρεσβεύεται πρὸς Ὀνώριον, ἄκων μὲν καὶ ὑπὸ τῶν στρατιωτῶν βιασθεὶς ἀπολογούμενος ἄρξαι, συγγνώμην δὲ αἰτῶν, καὶ τὴν τῆς βασιλείας ἀξιῶν κοινωνίαν. Καὶ βασιλεὺς διὰ τὰ ἐνεστηκότα δυσχερῆ τέως καταδέχεται τὴν τῆς βασιλείας κοινωνίαν, κατὰ τὰς Βρεττανίας δὲ ὁ Κωνσταντῖνος ἐτύγχανεν ἀνηγορευμένος, στάσει τῶν ἐκεῖσε στρατιωτῶν εἰς ταύτην ἀνηγμένος τὴν ἀρχήν· καὶ γὰρ ἐν ταύταις ταῖς Βρεττανίαις, πρὶν ἢ Ὀνώριον τὸ ἕβδομον ὑπατεῦσαι, εἰς στάσιν ὁρμῆσαν τὸ ἐν αὐταῖς στρατιωτικὸν, Μάρκον τινὰ ἀνεῖπον αὐτοκράτορα. Τοῦ δὲ ὑπ' αὐτῶν ἀναιρεθέντος, Γρατιανὸς αὐτοῖς ἀντικαθίσταται. Ἐπεὶ δὲ καὶ οὗτος εἰς τετράμηνον, αὐτοῖς προσκορὴς γεγονὼς, ἀπεσφάγη, Κωνσταντῖνος τότε εἰς τὸ τοῦ αὐτοκράτορος ἀναβιβάζεται ὄνομα. Οὗτος Ἰουστῖνον καὶ Νεοβιγάστην στρατηγοὺς προβαλόμενος καὶ τὰς Βρεττανίας ἐάσας, περαιοῦται ἅμα τῶν αὐτοῦ ἐπὶ Βονωνίαν, πόλιν οὕτω καλουμένην, παραθαλασσίαν καὶ πρώτην ἐν τοῖς τῶν Γαλλιῶν ὁρίοις κειμένην. Ἔνθα διατρίψας, καὶ ὅλον τὸν Γάλλον καὶ Ἀκύτανον στρατιώτην ἰδιοποιησάμενος, κρατεῖ πάντων τῶν μερῶν τῆς Γαλατίας μέχρι τῶν Ἄλπεων τῶν μεταξὺ Ἰταλίας τε καὶ Γαλατίας. Οὗτος δύο παῖδας ἔσχε, Κώνσταντα καὶ Ἰουλιανόν· ὧν τὸν μὲν Κώνσταντα καίσαρα χειροτονεῖ, εἶτα ὕστερον κατὰ τὰς αὐτὰς ἡμέρας καὶ τὸν Ἰουλιανὸν νωβελίσσιμον.

13. Ὅτι Ἄτταλος βασιλεύσας κατὰ Ὀνωρίου ἐπὶ Ῥάβενναν ἐκστρατεύεται, καὶ πέμπεται πρὸς αὐτὸν, ὡς ἐκ βασιλέως Ὀνωρίου πρὸς βασιλέα, Ἰοβιανὸς

---

cædem centenarios quadraginta accepisse (*cf. Zos.* 5, 26, 3; 29, 14).

6. Post Stelichonis interitum suffocatam periisse et Serenam, ejus conjugem, quod Alarichi ad urbem adventus causa exstitisse putaretur, et interfectum esse antea, interempto jam Stelichone, filium ejus ex Serena, Eucherium (*cf. Zos.* 5, 38).

7. Buccellarii vocabulum Honorii imperatoris temporibus tributum militibus, non Romanis solum, sed et Gothis quibusdam. Eodem modo et fœderatorum nomen attributum inconditæ et e diversis conflatæ multitudini.

potestate apud Scythas esset. Ille sibi necessitudinem intercedere cum Attila, respondit, et decretam sibi cum nonnullis aliis Scythiæ primoribus ejus custodiam. Nam per vices unumquemque eorum præscriptis diebus cum armis circa Attilam excubias agere. Tum eunuchus, si fide interposita se obstringeret, inquit se maximorum bonorum illi auctorem futurum. Cui rei tractandæ otio opus esse. Hoc vero sibi fore, si ad cœnam rediret sine Oreste et reliquis legationis comitibus. Facturum se pollicitus barbarus cœnæ tempore ad eunuchum pergit; et per Bigilam interpretem datis dextris jusjurandum utrimque præstitum est, ab eunucho, se de rebus, quæ Edeconi minime damno, sed fructui et commodo essent, verba facturum, ab Edecone, se, quæ sibi crederentur, non enuntiaturum, etiamsi exsequi nollet. Tunc eunuchus Edeconi dixit, si in Scythiam rediens Attilam sustulerit, et Romanorum partibus accesserit, vitam in magnis opibus beate traducturum. Eunucho Edecon assensus ad hanc rem peragendam dixit opus esse pecuniis, non quidem multis, sed quinquaginta auri libris, quas militibus, quibus præesset, ut sibi ad rem impigre exsequendam adjumento essent, divideret. Quum eunuchus, nulla mora interposita, dare vellet, dixit barbarus se prius ad renuntiandam legationem dimitti oportere, et una secum Bigilam, qui Attilæ de transfugis responsum acciperet; per eum enim se illi, qua ratione aurum sibi mitteret, indicaturum. Etenim Attilam se, simulatque redierit, percunctaturum, ut reliquos omnes, quæ munera sibi et quantæ pecuniæ a Romanis dono datæ sint. Neque id celare per collegas et comites licitum fore. Visus est eunucho barbarus recta sentire, et ejus est amplexus sententiam. Itaque eo a cœna dimisso, ad imperatorem consilium initum detulit, qui Martialium, magistri officiorum munere fungentem, ad se venire jussum docuit conventionem cum barbaro factam : id enim illi credi et committi jure magistratus, quem gerebat, necesse erat. Nam omnium imperatoris consiliorum magister est particeps; sub cujus cura sunt tabellarii, interpretes et milites, qui palatii custodiæ deputati sunt. Imperatore autem et Martialio de tota re consultantibus placuit, non solum Bigilam, sed etiam Maximinum legatum mittere ad Attilam.

8.

Chrysaphius eunuchus suasit Edeconi Attilam de medio tollere. Super ea re, habito ab imperatore Theodosio cum Martialio magistro consilio, decreverunt non solum Bigilam, sed Maximinum quoque legatum ad Attilam ire, et Bigilam quidem specie interpretis, quo munere fungebatur, quæ Edeconi viderentur, exsecuturum, Maximinum vero, qui minime eorum quæ in consilio imperatoris agitata erant conscius esset, litteras ab eo Attilæ redditurum. Scripserat autem imperator de legatis suis, Bigilam interpretis munus obiturum, et Maximinum legatum mitti, qui quidem Bigilam dignitate superaret, et genere illustris et sibi valde familiaris esset. Præterea scripserat minime decere Attilam

σταλκά σοι, ὡς ἑτέρων οὐκ ὄντων. Καὶ ταῦτα μὲν ἦν ἐν τοῖς γράμμασι· φράζειν δὲ τὸν Μαξιμῖνον ἀπὸ στόματος τῷ Ἀττήλᾳ, μὴ χρῆναι αἰτεῖν πρέσβεις μεγίστης ἀξίας παρ' αὐτὸν διαβῆναι· τοῦτο γὰρ οὐδὲ ἐπὶ τῶν αὐτοῦ προγόνων, οὐδὲ ἐπὶ ἑτέρων τῶν ἀρξάντων τῆς Σκυθικῆς γενέσθαι, ἀλλὰ πρεσβεύσασθαι τόν τε ἐπιτυχόντα στρατιώτην καὶ ἀγγελιαφόρον. Εἰς δὲ τὸ διευκρινῆσαι τὰ ἀμφιβαλλόμενα ἐδόκει πέμπειν Ὀνηγήσιον παρὰ Ῥωμαίους· μὴ οἷόν τε γὰρ αὐτὸν, Σερδικῆς δῃωθείσης, σὺν ὑπατικῷ ἀνδρὶ ἐς αὐτὴν προϊέναι. Ἐπὶ ταύτην τὴν πρεσβείαν ἐλλιπαρήσας πείθει με Μαξιμῖνος αὐτῷ συναπᾶραι. Καὶ δῆτα ἅμα τοῖς βαρβάροις ἐχόμενοι τῆς ὁδοῦ ἐς Σερδικὴν ἀφικνούμεθα, τρισκαίδεκα ὁδὸν ἀνδρὶ εὐζώνῳ τῆς Κωνσταντίνου ἀπέχουσαν. Ἐν ᾗ καταλύσαντες καλῶς ἔχειν ἡγησάμεθα ἐπὶ ἑστίαν Ἐδέκωνα καὶ τοὺς μετ' αὐτοῦ βαρβάρους καλεῖν. Πρόβατα οὖν καὶ βόας ἀποδομένων τῶν ἐπιχωρίων ἡμῖν, κατασφάξαντες ἀριστοποιούμεθα. Καὶ παρὰ τὸν τοῦ συμποσίου καιρὸν τῶν μὲν βαρβάρων τὸν Ἀττήλαν, ἡμῶν δὲ τὸν βασιλέα θαυμαζόντων, ὁ Βιγίλας ἔφη, ὡς οὐκ εἴη θεὸν καὶ ἄνθρωπον δίκαια συγκρίνειν, ἄνθρωπον μὲν τὸν Ἀττήλαν, θεὸν δὲ τὸν Θεοδόσιον λέγων. Ἤσχαλλον οὖν οἱ Οὖννοι, καὶ κατὰ μικρὸν ὑποθερμαινόμενοι ἐχαλέπαινον. Ἡμῶν δὲ ἐς ἕτερα τρεψάντων τὸν λόγον καὶ φιλοφροσύνῃ τὸν σφῶν αὐτῶν καταπραϋνόντων θυμὸν, μετὰ τὸ δεῖπνον ὡς διανέστημεν, δώροις ὁ Μαξιμῖνος Ἐδέκωνα καὶ Ὀρέστην ἐθεράπευσε, σηρικοῖς ἐσθήμασι καὶ λίθοις Ἰνδικοῖς. Ἀναμείνας δὲ τὴν Ἐδέκωνος Ὀρέστης ἀναχώρησιν, πρὸς τὸν Μαξιμῖνον φράζει, ὡς σοφός τε εἴη καὶ ἄριστος, μὴ ὅμοια σὺν τοῖς ἀμφὶ τὰ βασίλεια πλημμελήσας· χωρὶς γὰρ αὐτοῦ ἐπὶ δεῖπνον τὸν Ἐδέκωνα καλοῦντες δώροις ἐτίμων. Ἀπόρου δὲ τοῦ λόγου ὡς μηδὲν ἐπισταμένοις φανέντος, καὶ ἀνερωτήσασιν ὅπως καὶ κατὰ ποῖον καιρὸν περιώπται μὲν αὐτὸς, τετίμηται δὲ ὁ Ἐδέκων, οὐδὲν ἀποκρινάμενος ἐξῆλθε. Τῇ δὲ ὑστεραίᾳ ὡς ἐβαδίζομεν, φέρομεν ἐπὶ Βιγίλαν ἅπερ ἡμῖν Ὀρέστης εἰρήκει. Ὃς δὲ ἐκεῖνον μὴ δεῖν χαλεπαίνειν ὡς τῶν αὐτῶν Ἐδέκωνι μὴ τυγχάνοντα· αὐτὸν μὲν γὰρ ὀπάονά τε καὶ ὑπογραφέα εἶναι Ἀττήλα, Ἐδέκωνα δὲ τὰ κατὰ πόλεμον ἄριστον, ὡς τοῦ Οὔννου γένους, ἀναβεβηκέναι τὸν Ὀρέστην πολύ. Ταῦτα εἰπὼν καὶ τῷ Ἐδέκωνι ἰδιολογησάμενος ἔφασκεν ὕστερον πρὸς ἡμᾶς, εἴτε ἀληθιζόμενος, εἴτε ὑποκρινόμενος, ὡς εἴποι μὲν αὐτῷ τὰ εἰρημένα, μόγις δὲ αὐτὸν καταπραῦναι τραπέντα ἐπὶ τοῖς λεχθεῖσιν εἰς ὀργήν. Ἀφικόμενοι δὲ ἐς Ναϊσσὸν ἔρημον μὲν εὕρομεν ἀνθρώπων τὴν πόλιν, ὡς ὑπὸ τῶν πολεμίων ἀνατραπεῖσαν· ἐν δὲ τοῖς ἱεροῖς καταλύμασι τῶν ὑπὸ νόσων κατεχομένων τινὲς ἐτύγχανον ὄντες. Μικρὸν δὲ ἄνω τοῦ ποταμοῦ ἐν καθαρῷ καταλύσαντες (σύμπαντα γὰρ τὰ ἐπὶ τὴν ὄχθην ὀστέων ἦν πλέα τῶν ἐν πολέμῳ ἀναιρεθέντων), τῇ ἐπαύριον πρὸς Ἀγίνθεον τῶν ἐν Ἰλλυριοῖς ταγμάτων ἡγούμενον ἀφικόμεθα, οὐ πόρρω ὄντα τῆς Ναϊσσοῦ, ἐφ' ᾧ τὰ παρὰ βασιλέως ἀγγεῖλαι καὶ τοὺς φυγάδας παραλαβεῖν· τοὺς γὰρ ε' τῶν ιζ', περὶ ὧν Ἀττήλᾳ ἐγέγραπτο, αὐτὸν ἔδει παραδιδόναι. Ἤλθομεν οὖν ἐς λόγους, καὶ τοὺς ε' φυγάδας παραδοῦναι αὐτὸν τοῖς Οὔννοις παρεσκευάσαμεν· οὓς φιλοφρονησάμενος σὺν

fœdera transgredientem Romanorum regionem invadere. « Transfugas autem, in literis illis inquit, post eos quos antea dedidi nunc tibi misi septemdecim. Nec enim plures apud me nunc sunt. » Et hæc quidem litteris continebantur. Coram autem Maximinum suis verbis jusserat Attilæ dicere, ne postularet majoris dignitatis viros ad se legatos mitti. Hoc enim neque ipsius majoribus datum esse, neque ceteris Scythiæ regibus, sed quemlibet militem aut alium nuntium legationis munus obiisse. Ceterum ad ea quæ inter ipsos in controversia erant dijudicanda sibi videri Onegesium mitti debere. Qui enim fieri posset, ut in Serdicam, quæ diruta esset, Attilas cum viro consulari conveniret? In hac legatione Maximinus precibus mihi persuasit, ut illi comes essem. Atque ita cum barbaris iter facere cœpimus, et in Serdicam pervenimus, trium et decem dierum itinere expedito homini a Constantinopoli distantem. Ibi commorantes ad cibum nobiscum sumendum Edecona et ceteros barbaros invitandos duximus. Bobus igitur et ovibus, quas incolæ nobis suppeditaverant, jugulatis, instructo convivio epulati sumus. Inter epulas barbari Attilam, nos imperatorem admirari et extollere. Ad quæ Bigilas dixit, minime justum esse, deum cum homine comparare, hominem Attilam, deum Theodosium vocans. Id ægre tulerunt Hunni, et sensim ira accensi exasperabantur. Nos vero alio sermonem detorquere, et eorum iram blandis verbis lenire. A cœna ut surreximus, Maximinus Edeconem et Orestem donis conciliaturus, sericis vestibus et gemmis Indicis donavit. Orestes deinde præstolatus Edeconis discessum verba faciens cum Maximino, sibi quidem ait illum probum et prudentem videri, qui non ut alii ministri regii peccasset. Etenim spreto Oreste, Edeconem ad cœnam invitaverant et donis coluerant. Nos autem harum omnium rerum ignari, quo pertinerent Orestis verba, non satis percipientes, quum ex eo sciscitaremur, quomodo et qua in re despectui esset habitus et Edecon honore affectus, nihil respondit et discessit. Postridie quum iter faceremus, Bigilæ, quæ Orestes dixerat, retulimus. Ille vero ait Orestem non debere iniquo animo ferre, si eadem quæ Edecon minime esset consecutus. Orestem enim comitem et scribam Attilæ, Edeconem vero bello clarissimum, ut e gente Hunnorum, longe illum dignitate antecellere. Quæ quum loqueretur, patrio sermone Edeconem affatus, non multo post nobis confirmavit, seu vera proferret, seu fingeret, se Edeconi ea quæ prius illi dixeramus exposuisse, et ægre iram ejus ob dicta Orestis lenivisse. Venimus Naissum, quæ ab hostibus fuerat eversa et solo æquata : itaque eam desertam hominibus offendimus, præterquam quod in ruderibus sacrarum ædium erant quidam ægroti. Paulo longius a flumine ad vacua loca divertentes (omnia enim circa ripam erant plena ossibus eorum qui bello ceciderant), postridie ad Agintheum, copiarum in Illyrico ducem, qui non longe a Naisso habitabat, accessimus, ut, traditis imperatoris mandatis, reciperemus ab eo quinque transfugas, qui septemdecim numerum, de

ἡμῖν ἀπέπεμψε. Διανυκτερεύσαντες δὲ καὶ ἀπὸ τῶν ὁρίων τῆς Ναϊσσοῦ τὴν πορείαν ποιησάμενοι ἐπὶ τὸν Ἴστρον ποταμὸν, ἔς τι χωρίον ἐσβάλλομεν συνηρεφὲς, καμπὰς δὲ καὶ ἑλιγμοὺς καὶ περιαγωγὰς πολλὰς ἔχον. Ἐν ᾧπερ τῆς ἡμέρας διαφαινούσης, οἰομένοις ἐπὶ δυσμὰς πορεύεσθαι ἡ τοῦ ἡλίου ἀνατολὴ κατεναντίον ὤφθη, ὥστε τοὺς ἀπείρως ἔχοντας τῆς τοῦ χωρίου θέσεως ἀναβοῆσαι, οἷα δὴ τοῦ ἡλίου τὴν ἐναντίαν ποιουμένου πορείαν καὶ ἕτερα παρὰ τὰ καθεστῶτα σημαίνοντος. Ὑπὸ δὲ τῆς τοῦ τόπου ἀνωμαλίας ἐπὶ ἀνατολὰς ἐκεῖνο τὸ μέρος ἔβλεπε τῆς ὁδοῦ. Μετὰ δὲ τὴν δυσχωρίαν ἐν πεδίῳ καὶ αὐτῷ ὑλώδει παραγινόμεθα. Ἐντεῦθεν βάρβαροι πορθμεῖς ἐν σκάφεσι μονοξύλοις, ἅπερ αὐτοὶ δένδρα ἐκτέμνοντες καὶ διαγλύφοντες κατασκευάζουσιν, ἐδέχοντο ἡμᾶς καὶ διεπόρθμευον τὸν ποταμὸν, οὐχ ἡμῶν ἕνεκα παρασκευασάμενοι, ἀλλὰ διαπορθμεύσαντες πλῆθος βαρβαρικὸν, ὅπερ ἡμῖν κατὰ τὴν ὁδὸν ἀπηντήκει, οἷα δὴ βουλομένου ὡς ἐπὶ θήραν Ἀττήλα διαβαίνειν ἐς τὴν Ῥωμαίων γῆν. Τοῦτο δὲ ἦν πολέμου παρασκευὴν ποιουμένῳ (παρασκευὴ ποιουμένη? B.) τῷ βασιλείῳ Σκύθῃ, προφάσει τοῦ μὴ πάντας αὐτῷ τοὺς φυγάδας δεδόσθαι. Περαιωθέντες δὲ τὸν Ἴστρον καὶ σὺν τοῖς βαρβάροις ὡς ο' πορευθέντες σταδίους, ἐν πεδίῳ τινὶ ἐπιμένειν ἠναγκάσθημεν, ὥστε τοὺς ἀμφὶ τὸν Ἐδέκωνα τῷ Ἀττήλᾳ γενέσθαι τῆς ἡμετέρας ἀφίξεως μηνυτάς. Καταμεινάντων δὲ σὺν ἡμῖν καὶ τῶν ξεναγησάντων ἡμᾶς βαρβάρων, ἀμφὶ δείλην ὀψίαν δεῖπνον ἡμῶν αἱρουμένων, κρότος ἵππων ὡς ἡμᾶς ἐρχομένων ἠκούετο. Καὶ δὴ ἄνδρες δύο Σκύθαι παρεγίνοντο ὡς τὸν Ἀττήλαν ἡμᾶς ἀπιέναι παρακελευόμενοι. Ἡμῶν δὲ πρότερον ἐπὶ τὸ δεῖπνον αὐτοὺς ἐλθεῖν αἰτησάντων, ἀποβάντες τῶν ἵππων εὐωχήθησαν, καὶ ἡμῖν τῆς ὁδοῦ τῇ ὑστεραίᾳ ἡγήσαντο. Παραγενομένων δὲ ἐς τὰς Ἀττήλα σκηνὰς ἀμφὶ θ' τῆς ἡμέρας ὥρᾳ (πολλαὶ δὲ αὐτῷ ἐτύγχανον οὖσαι), ἐπί τε λόφου τινὸς σκηνοποιῆσαι βουληθέντων, οἱ ἐπιτυχόντες διεκώλυσαν βάρβαροι, ὡς τῆς Ἀττήλα ἐν χθαμαλῷ ὑπαρχούσης σκηνῆς. Καταλυσάντων δὲ ὅπου τοῖς Σκύθαις ἐδόκει, Ἐδέκων καὶ Ὀρέστης καὶ Σκόττας καὶ ἕτεροι τῶν ἐν αὐτοῖς λογάδων ἧκον ἐπερωτῶντες τίνων τυχεῖν ἐσπουδακότες τὴν πρεσβείαν ποιούμεθα. Ἡμῶν δὲ τὴν ἄλογον ἀποθαυμαζόντων ἐρώτησιν καὶ ἐς ἀλλήλους ὁρώντων, διετέλουν πρὸς ὄχλου τῆς ἀποκρίσεως ἕνεκα γινόμενοι. Εἰπόντων δὲ, Ἀττήλᾳ καὶ οὐχ ἑτέροις λέγειν βασιλέα παρακελεύσασθαι, χαλεπήνας Σκόττας ἀπεκρίνατο τοῦ σφῶν αὐτῶν ἡγουμένου ἐπίταγμα εἶναι· οὐ γὰρ ἂν πολυπραγμοσύνῃ σφετέρᾳ παρ' ἡμᾶς ἐληλυθέναι. Φησάντων δὲ μὴ τοῦτον ἐπὶ τοῖς πρέσβεσι κεῖσθαι τὸν νόμον, ὥστε μὴ ἐντυγχάνοντας, μηδὲ ἐς ὄψιν ἐρχομένους παρ' οὓς ἐστάλησαν, δι' ἑτέρων ἀνακρίνεσθαι ὧν ἕνεκα πρεσβεύοιντο, καὶ τοῦτο μηδὲ αὐτοὺς ἀγνοεῖν Σκύθας θαμινὰ παρὰ βασιλέα πρεσβευομένους· χρῆναι δὲ τῶν ἴσων κυρεῖν, μὴ γὰρ ἄλλως τὰ τῆς πρεσβείας ἐρεῖν· ὡς τὸν Ἀττήλαν ἀνέζευξαν, καὶ αὖθις ἐπανῆκον Ἐδέκωνος χωρὶς, καὶ ἅπαντα, περὶ ὧν ἐπρεσβευόμεθα, ἔλεγον, προστάττοντες τὴν ταχίστην ἀπιέναι, εἰ μὴ ἕτερα φράζειν ἔχοιμεν. Ἐπὶ δὲ τοῖς λεχθεῖσι πλέον ἔτι ἀποροῦντες (οὐ γὰρ ἦν ἐφικτὸν γινώσκειν ὅπως ἔκδηλα ἐγεγόνει τὰ θεῶν παρά-

quibus ad Attilam scripserat, explerent. Hominem igitur convenimus, et quinque profugos Hunnis tradere præcepimus, quos verbis consolatus nobiscum dimisit. Nocte transacta, a montibus Naissi Istrum versus pergentes, in angustam convallem per obliquos flexus et circuitus multos deferimur. Hic quum in ea opinione essemus, ut in occasum iter tendere existimaremus, simulatque illuxit sol exoriens, sese ex adverso oculis nostris objecit. Itaque qui loci situm ignorabant exclamare, tanquam sol contrarium solito cursum conficeret, et abhorrentia a constituto rerum ordine designaret: sed propter loci inæqualitatem via ea parte ad Orientem spectat. Ex illo difficili et arduo loco ad plana et uliginosa devenimus. Hic nos barbari portitores in scaphis unico ligno constantibus, quas arboribus sectis et cavatis adornant, exceperunt, et flumen transmiserunt. Et lembi quidem minime ad nos traducendos, sed ad multitudinem barbarorum trajiciendam erant præparati, quæ nobis in via occurrerat, quia Attilas ad venationem in Romanorum fines transgredi vellet. Revera autem bellum contra Romanos paravit, cujus gerendi occasionem sumebat, quod transfugæ non redderentur. Transmisso Istro, septuaginta fere stadiorum iter cum barbaris emensi in campo quodam subsistere coacti sumus, tantisper dum Edecon Attilam nostri adventus certiorem faceret, manentibus interea nobiscum ex barbaris, qui nos erant deducturi. Circa vesperam nobis cœnantibus, auditus est strepitus equorum ad nos venientium. Et duo viri Scythæ advenerunt, qui nos ad Attilam venire jusserunt. Nobis vero prius eos ad cœnam accedere rogantibus, de equis descendentes una convivium inierunt, et postridie viam præeuntes demonstrarunt. Qua die hora fere nona ad Attilæ tentoria pervenimus: nam erant ei plurima. Et quum in colle quodam tentoria figere vellemus, obvii barbari prohibuerunt, quoniam Attilæ tentorium esset in planitie positum. Quamobrem ad barbarorum arbitrium locum tentorii collocandi cepimus. Huc Edecon, Orestes, Scotta et alii ex Scythis primores mox advenerunt, et ex nobis quæsierunt, quarum rerum consequendarum gratia hanc legationem suscepissemus. Nos vero invicem intueri, et tam ineptam percunctationem admirari. Illi nihilominus perseverare, et nobis, ut responderemus, instabant. At quum soli Attilæ, non aliis imperatorem mandata exponere jussisse respondissemus, Scotta offensus, hoc sibi a suo duce præceptum esse dixit, neque sua sponte se ad nos venisse. Nos vero obtestari, nusquam hanc legem legatis impositam, ut per alios mandata edant et palam faciant, antequam eos, ad quos missi sint, adierint, et in conspectum eorum venerint. Neque hoc Scythas nescire, qui sæpenumero legatos ad imperatorem miserint. Idem et nobis contingere par esse, neque aliter nos mandata esse dicturos. Quibus auditis ad Attilam perrexerunt, unde non multo post sine Edecone reversi, omnia, quæ cum illis agere in mandatis habebamus, dixerunt, confestimque, nisi quid aliud nobis cum illis rei esset, discedere jusserunt. Quæ ubi audivimus, animis dubii suspensique hæsimus.

δυστα (τάδε ἐν παραβύστῳ?) δεδογμένα βασιλεῖ), συμφέρειν ἡγούμεθα μηδὲν περὶ τῆς πρεσβείας ἀποκρίνεσθαι, εἰ μὴ τῆς παρὰ τὸν Ἀττήλαν εἰσόδου τύχοιμεν. Διὸ ἐφάσκομεν, εἴτε τὰ εἰρημένα τοῖς Σκύθαις, εἴτε καὶ ἕτερα ἥκομεν πρεσβευόμενοι, τοῦ σφῶν αὐτῶν ἡγουμένου τὴν πεῦσιν εἶναι, καὶ μηδαμῶς ἄλλοις τούτου χάριν διαλεχθήσεσθαι. Οἱ δὲ ἡμᾶς παραχρῆμα ἀναχωρεῖν προσέταττον. Ἐν παρασκευῇ δὲ τῆς ὁδοῦ γενομένους τῆς ἀποκρίσεως ἡμᾶς ὁ Βιγίλας κατεμέμφετο, ἐπὶ ψεύδει ἁλῶναι ἄμεινον λέγων ἢ ἀπράκτους ἀναχωρεῖν. « Εἰ γὰρ ἐς λόγους τῷ Ἀττήλᾳ ἔτυχον, φησίν, ἐληλυθὼς, ἐπεπείκειν ῥᾳδίως ἂν αὐτὸν τῆς πρὸς Ῥωμαίους ἀποστῆναι διαφορᾶς, οἷα δὴ ἐπιτήδειος αὐτῷ ἐν τῇ κατὰ Ἀνατόλιον πρεσβείᾳ γενόμενος. » Ταῦτα (Διὰ τ. conj. Hœsch. Ταῦτα δ' ἔλεγεν ἐλπίζων Bekk.) εὔνουν αὐτῷ τὸν Ἐδέκωνα ὑπάρχειν· ὥστε λόγῳ τῆς πρεσβείας καὶ τῶν ὁπωσοῦν, εἴτε ἀληθῶς, εἴτε ψευδῶς, ῥηθησομένων προφάσεως τυχεῖν ἐπὶ τῷ βουλεύσασθαι περὶ τῶν αὐτοῖς κατ' Ἀττήλα δεδογμένων, καὶ ὅπως τὸ χρυσίον, οὗπερ ἔφασκε δεῖσθαι ὁ Ἐδέκων, κομίσαι τὸ διανεμηθησόμενον [τοῖς ὑπ' αὐτὸν suppl. B.] ταττομένοις ἀνδράσι. Προδεδομένος δὲ ἐλελήθει. Ὁ γὰρ Ἐδέκων, εἴτε δόλῳ ὑποσχόμενος, εἴτε καὶ τὸν Ὀρέστην εὐλαβηθεὶς, μὴ ἐς τὸν Ἀττήλαν ἀγάγοι ἅπερ ἡμῖν ἐν τῇ Σερδικῇ μετὰ τὴν ἑστίασιν εἰρήκει, ἐν αἰτίᾳ ποιούμενος τὸ χωρὶς αὐτοῦ βασιλεῖ καὶ τῷ εὐνούχῳ ἐς λόγους αὐτὸν ἐληλυθέναι, καταμηνύει τὴν μελετηθεῖσαν αὐτῷ ἐπιβουλὴν καὶ τὸ ποσὸν τοῦ ἐκπεμφθησομένου χρυσίου, ἐκλέγει δὲ καὶ ἐφ' οἷς τὴν πρεσβείαν ἐποιούμεθα. Τῶν δὲ φορτίων ἤδη τοῖς ὑποζυγίοις ἐπιτεθέντων, καὶ ἀνάγκῃ τὴν πορείαν κατὰ τὸν τῆς νυκτὸς καιρὸν ποιεῖσθαι πειρώμενοι, μετεξέτεροι τῶν βαρβάρων παραγενόμενοι ἐπιμεῖναι ἡμᾶς τοῦ καιροῦ χάριν παρακελεύσασθαι τὸν Ἀττήλαν ἔλεγον. Ἐν αὐτῷ οὖν τῷ χωρίῳ, ὅθεν καὶ διανέστημεν, ἧκον ἡμῖν βοῦν ἄγοντές τινες καὶ ποταμίους ἰχθύας παρὰ τοῦ Ἀττήλα διαπεμφθέντας. Δειπνήσαντες οὖν ἐς ὕπνον ἐτράπημεν. Ἡμέρας δὲ γενομένης ᾠόμεθα μὲν ἥμερόν τι καὶ πρᾷον παρὰ τοῦ βαρβάρου μηνυθήσεσθαι· ὁ δὲ πάλιν τοὺς αὐτοὺς ἔπεμπε, παρακελευόμενος ἀπιέναι, εἰ μὴ ἔχοιμέν τι παρὰ τὰ αὐτοῖς ἐγνωσμένα λέγειν. Οὐδὲν οὖν ἀποκρινάμενοι πρὸς τὴν ὁδὸν παρασκευαζόμεθα, καίπερ τοῦ Βιγίλα διαφιλονεικοῦντος λέγειν εἶναι καὶ ἕτερα ἡμῖν ῥηθησόμενα. Ἐν πολλῇ δὲ κατηφείᾳ τὸν Μαξιμῖνον ἰδὼν, παραλαβὼν Ῥουστίκιον ἐξεπιστάμενον τὴν βαρβάρων φωνὴν, ὃς σὺν ἡμῖν ἐπὶ τὴν Σκυθικὴν ἐληλύθει (οὐ τῆς πρεσβείας ἕνεκα ἀλλὰ κατὰ πρᾶξίν τινα πρὸς Κωνστάντιον, ὃν Ἰταλιώτην ὄντα ὑπογραφέα Ἀττήλᾳ ἀπεστάλκει Ἀέτιος ὁ τῶν ἑσπερίων Ῥωμαίων στρατηγός), παρὰ τὸν Σκότταν ἀφικνούμενος (οὐ γὰρ Ὀνηγήσιος τηνικαῦτα παρῆν), καὶ αὐτὸν προσειπὼν ὑπὸ ἑρμηνεῖ τῷ Ῥουστικίῳ ἔλεγον δῶρα πλεῖστα παρὰ τοῦ Μαξιμίνου λήψεσθαι, εἴπερ αὐτὸν τῆς παρὰ τὸν Ἀττήλαν εἰσόδου παρασκευάσοι τυχεῖν. Τὴν γὰρ αὐτοῦ πρεσβείαν οὐ μόνον Ῥωμαίοις καὶ Οὔννοις ξυνοίσειν, ἀλλὰ καὶ Ὀνηγησίῳ, ὃν παρ' αὐτὸν βασιλέα ἰέναι βούλεσθαι καὶ τὰ τοῖς ἔθνεσι διευκρινῆσαι ἀμφίβολα· ἀφικόμενον δὲ μεγίστων τεύξεσθαι δωρεῶν. Χρῆναι οὖν μὴ παρόντος Ὀνηγησίου

Nec enim satis intelligere poteramus, qua ratione occulta imperatoris consilia patefacta essent. Quamobrem potius esse duximus, nihil quicquam de mandatis nostris efferre, priusquam nobis Attilam adeundi potestas fieret : itaque respondimus : « Sive ea, quæ Scythæ modo protulerunt, sive alia nuntiaturi venerimus, neminem nisi ducem vestrum quærere decet, neque de his cum aliis ullo pacto disserere constituimus. » Illi vero nos quamprimum abire jusserunt. Dum reditum parabamus, Bigilas nos propter responsionem Scythis factam increpavit. Longe enim potius fuisse in mendacio deprehendi, quam re infecta domum reverti. « Si enim, inquit, cum Attila collocutus fuissem, facile illi a contentione cum Romanis discedere persuasissem, quippe qui antea familiaritatem cum illo in legatione cum Anatolio suscepta contraxi. » Atque inde Ediconem quoque bene sibi velle dixit, ideoque specie legationis et eorum, quæ vere aut falso dicturi essent, ope viam se inventuros esse speravit, qua compositas in Attilam insidias exsequerentur, et aurum, quo Edecon sibi ad eam rem opus esse eunucho dixerat, afferretur, quod certis hominibus divideretur. Sed Bigilam latebat se proditum : Edecon enim, sive simulate cum eunucho pactus, sive ut ab Oreste sibi caveret, ne is illud quod in Serdica inter cœnandum nobis indicaverat, ad Attilam deferret, nimirum se, remoto Oreste, secretos sermones cum imperatore et eunucho habuisse, Attilæ comparatam in ipsum conjurationem aperuit, et auri summam, quam in eam rem mitti convenerat, simul et ea quæ per nos in ista legatione tractanda erant, enuntiavit. Jumentis jam adornatis et necessitate ad iter tempore noctis carpendum adacti, occurrere ex barbaris, qui dicerent, Attilam jubere nos propter tempus noctis intempestivum remanere. In eundem igitur locum, unde proficiscebamur, præsto fuere qui bovem agebant et pisces fluviatiles nobis ab Attila missos afferebant. Cœnati nos dormitum contulimus. Luce orta in spem adducebamur, Attilam se ad lenitatem daturum, et aliquod mite responsum ad nos ab ipso emanaturum. Ille vero denuo eosdem misit, jussitque abire, si nihil aliud negotii, nisi quod jam omnibus cognitum esset, nobis cum illo intercederet. Nullo dato responso ad iter nos accinximus, etsi Bigilas omni ope contenderet, ut responderemus nos alia dicenda habere. Ego vero quum Maximinum mœrore confici viderem, assumpto Rusticio, qui barbarorum linguæ peritus erat et nobiscum in Scythiam venerat (non legationis nostræ causa, sed ob rem privatam aditurus Constantium ex Italia oriundum, quem ad Attilam Aetius, Occidentalium Romanorum dux, ut illi ab epistolis esset, miserat), Scottam adii (nec enim aderat Onegesius), et cum illo per Rusticium interpretem collocutus, eum plurima dona a Maximino laturum dixi, si illi aditus ad Attilam copiam faceret. Legatum venire enim de rebus, quæ non solum Romanis et Hunnis maximam essent utilitatem allaturæ, sed etiam ipsi Onegesio. Imperatorem enim poscere, illum ad se legatum ab Attila mitti, qui dijudicaret controversias inter utramque gentem,

ἡμῖν, μᾶλλον δὲ τἀδελφῷ ἐπὶ τῇ ἀγαθῇ συναγωνίζεσθαι πράξει. Πείθεσθαι δὲ καὶ αὐτῷ τὸν Ἀττήλαν μεμαθηκέναι ἔλεγον· οὐκ ἐν ἀκοῇ δὲ ἔσεσθαι βεβαίως τὰ κατ' αὐτὸν, εἰ μή γε πείρᾳ τὴν αὐτοῦ γνοίημεν δύναμιν. Ὁ δὲ ὑπολαβὼν μηκέτι ἀμφιβόλους εἶναι ἔφη τοῦ καὶ αὐτὸν ἴσα τῷ ἀδελφῷ παρὰ Ἀττήλᾳ λέγειν τε καὶ πράττειν. Καὶ παραχρῆμα τὸν ἵππον ἀναβὰς ἐπὶ τὴν Ἀττήλα διήλασε σκηνήν. Πρὸς δὲ τὸν Μαξιμῖνον ἐπανελθὼν ἀλύοντα ἅμα τῷ Βιγίλᾳ καὶ διαπορούμενον ἐπὶ τοῖς καθεστῶσιν ἔλεγον ἅ τε τῷ Σκόττᾳ διείλεγμαι καὶ ἅπερ παρ' αὐτοῦ ἠκηκόειν, καὶ ὡς δεῖ τὰ τῷ βαρβάρῳ δοθησόμενα παρασκευάζειν δῶρα καὶ τὰ αὐτῷ παρ' ἡμῶν ῥηθησόμενα ἀναλογίζεσθαι. Ἀμφότεροι οὖν ἀναπηδήσαντες (ἐπὶ γὰρ τοῦ ἐδάφους καὶ τῆς πόας κεῖσθαι σφᾶς συνέβαινεν) ἐπῄνεσάν τε τὴν πρᾶξιν, καὶ τοὺς ἤδη μετὰ τῶν ὑποζυγίων ἐξορμήσαντας ἀνεκάλουν, καὶ διεσκέψαντο ὅπως τε προσείποιεν τὸν Ἀττήλαν, καὶ ὅπως αὐτῷ τά τε βασιλέως δῶρα δοῖεν καὶ ἅπερ αὐτῷ ὁ Μαξιμῖνος ἐκόμιζεν. Ἀμφὶ δὲ ταῦτα πονουμένους διὰ τοῦ Σκόττα ὁ Ἀττήλας μετεπέμψατο, καὶ δῆτα ἐς τὴν ἐκείνου παραγινόμεθα, ὑπὸ βαρβαρικοῦ κύκλῳ πεφρουρημένην πλήθους. Ὡς δὲ εἰσόδου ἐτύχομεν, εὕρομεν ἐπὶ ξυλίνου δίφρου τὸν Ἀττήλαν καθήμενον. Στάντων δὲ ἡμῶν μικρὸν ἀπωτέρω τοῦ θρόνου, προσελθὼν ὁ Μαξιμῖνος ἠσπάσατο τὸν βάρβαρον, τά τε παρὰ βασιλέως γράμματα δοὺς ἔλεγεν, ὡς σῶν εἶναι αὐτὸν καὶ τοὺς ἀμφ' αὐτὸν εὔχεται βασιλεύς. Ὁ δὲ ἀπεκρίνατο, ἔσεσθαι Ῥωμαίοις ἅπερ αὐτῷ βούλοιντο. Καὶ ἐπὶ τὸν Βιγίλαν εὐθὺς τρέπει τὸν λόγον, θηρίον ἀναιδὲς ἀποκαλῶν, ὅτου χάριν παρ' αὐτὸν ἐλθεῖν ἠθέλησεν ἐπιστάμενος τά τε αὐτῷ καὶ Ἀνατολίῳ ἐπὶ τῇ εἰρήνῃ δόξαντα, ὡς εἴρητο μὴ πρότερον πρέσβεις παρ' αὐτὸν ἐλθεῖν, πρὶν ἢ πάντες οἱ φυγάδες ἐκδοθεῖεν βαρβάροις. Τοῦ δὲ φήσαντος, ὡς ἐκ Σκυθικοῦ γένους παρὰ Ῥωμαίοις οὐκ εἴη φυγάς (τοὺς γὰρ ὄντας ἐκδεδόσθαι), χαλεπήνας μᾶλλον καὶ αὐτῷ πλεῖστα λοιδορησάμενος μετὰ βοῆς ἔλεγεν, ὡς αὐτὸν ἀνασκολοπίσας πρὸς βορὰν οἰωνοῖς ἐδεδώκει ἄν, εἰ μή γε τῷ τῆς πρεσβείας θεσμῷ λυμαίνεσθαι ἐδόκει τῷ ἐπὶ τῇ ἀναιδείᾳ καὶ τῇ τῶν λόγων ἰταμότητι ἐπιθεῖναι δίκην· φυγάδας γὰρ τοῦ σφετέρου ἔθνους παρὰ Ῥωμαίοις εἶναι πολλούς, ὧν ἐκέλευε τὰ ὀνόματα ἐγγεγραμμένα χάρτῃ τοὺς ὑπογραφέας ἀναγινώσκειν. Ὡς δὲ διεξῆλθον ἅπαντας, προσέταττε μηδὲν μελλήσαντα ἀπιέναι· συμπέμψειν δὲ αὐτῷ καὶ Ἦσλαν Ῥωμαίοις λέξοντα, πάντας τοὺς παρά σφισι καταφυγόντας βαρβάρους ἀπὸ τῶν Καρπιλεόνος χρόνων, ὃς ὡμήρευσε παρ' αὐτῷ παῖς ὢν Ἀετίου τοῦ ἐν τῇ ἑσπέρᾳ Ῥωμαίων στρατηγοῦ, ἐκπέμψαι παρ' αὐτόν. Καὶ γὰρ [οὐ] συγχωρήσειν τοὺς σφετέρους θεράποντας ἀντίον αὐτοῦ ἐς μάχην ἰέναι, καίπερ μὴ δυναμένους ὠφελεῖν τοὺς τὴν φυλακὴν αὐτοῖς τῆς οἰκείας ἐπιτρέψαντας γῆς. Τίνα γὰρ πόλιν ἢ ποῖον φρούριον σεσῶσθαι, ἔλεγεν, ὑπ' ἐκείνων, οὗπερ αὐτὸς ποιῆσαι τὴν αἵρεσιν ὥρμησεν; Ἀπαγγείλαντας δὲ τὰ αὐτῷ περὶ τῶν φυγάδων δεδογμένα, αὖθις ἐπανήκειν μηνύοντας πότερον αὐτοὺς ἐκδιδόναι βούλονται ἢ τὸν ὑπὲρ αὐτῶν ἀναδέχονται πόλεμον. Παρακελευσάμενος

---

unde nonnisi ingentibus donis cumulatus esset rediturus. Oportere igitur illum, quum Onegesius non adsit, in tam præclara actione nos aut potius fratrem ipsum adjuvare. Et ipsi quoque Attilam plurimum fidere dixi nos accepisse; sed non satis firma esse audita, nisi re ipsa notum faceret quantum illi Attila tribueret. Atque ille: « Ne amplius, inquit, dubii sitis. Æque ac frater apud Attilam valeo auctoritate, seu verbis, seu facto opus est. » Et ascenso equo, ad Attilæ tentorium contendit. Ego vero ad Maximinum rediens, qui una cum Bigila angebatur animo, et incertus erat quid constituendum esset, narravi sermones quos habueram cum Scotta, et quæ ab ipso audieram; atque adeo illum excitavi ad præparanda munera quæ barbaro offerenda essent, et præmeditandum quibus verbis Attilam affaretur. Surrexerunt igitur (offenderam enim illos in solo herbido jacentes), et operam a me egregie navatam laudarunt, et eos, qui se jam cum jumentis itineri accinxerant, revocarunt. Tum etiam qua oratione Attilam aggrederentur, et quo modo dona imperatoris, et quæ Maximinus ipse afferebat, traderent, inter se agitarunt. Dum in harum rerum cura versabamur, Attilas nos per Scottam arcessivit: itaque ad ejus tentorium iter direximus, quod barbarorum multitudine, qui in orbem excubias agebant, erat circumdatum. Introducti Attilam sedentem in sella lignea invenimus. Stetimus paulo remotius ab ejus solio: mox processit Maximinus et salutavit barbarum. Et imperatoris litteras tradens, dixit, salvum et incolumem illum suosque precari imperatorem. Et barbarus, « Sit et Romanis quemadmodum et mihi cupiunt, » inquit. Statimque ad Bigilam convertit orationem, feramque impudentem vocans, quærebat qua re impulsus ad ipsum venisset, quum sibi eorum, quæ et ipse et Anatolius de pace sensissent, conscius esset: non enim prius ad se legatos accedere debuisse, quam omnes profugi, qui apud Romanos exstarent, redditi essent. Bigila vero respondente, nullum amplius apud Romanos reperiri transfugam Scythici generis; omnes enim redditos esse; magis exasperatus Attilas, in eum multa probra et convicia ingessit, et cum clamore dixit, se illum in crucem acturum et prædam vulturibus præbiturum fuisse, nisi leges legationis hac impudentis ejus orationis et temeritatis pœna offendere vereretur. Etenim restare adhuc apud Romanos plures transfugas, quorum nomina, ut erant in charta descripta, jussit scribas recitare. Hi ubi omnia legerant, Attilas Bigilam una cum Esla sine mora proficisci jussit Romanis denuntiatum, ut omnes transfugas Scythicæ nationis, quotquot in eorum potestate essent, redderent, a tempore Carpilionis, filii Aetii, Romanorum Occidentalium ducis, qui obses apud eum fuerat. Non enim se servos suos secum manus conserere passurum esse, quanquam ne iis quidem, qui suæ ditionis custodiam illis commiserint, prodesse possint. Quæ enim urbs, quod castellum ab illis possit defendi, quod evertere aut diruere apud se constitutum habuerint? Postquam exposuerint a se de transfugis decreta, redire eos quamprimum jussit renuntiatum, utrum transfugas reddere, an bellum eo nomine malint suscipere. Prius vero Maximinum paulum exspectare jubens, dum ad

δὲ πρότερον καὶ τὸν Μαξιμῖνον ἐπιμένειν, ὡς δι' αὐτοῦ περὶ τῶν γεγραμμένων ἀποκρινούμενος βασιλεῖ, ἐπέτρεπε τὰ δῶρα. Δόντες τοίνυν καὶ ἐπανιόντες ἐς τὴν σκηνὴν, ἑκάστου τῶν λεχθέντων πέρι ἰδιολογούμεθα. Καὶ Βιγίλα θαυμάζοντος ὅπως πάλαι αὐτῷ πρεσβευομένῳ ἤπιός τε καὶ πρᾶος νομισθεὶς τότε χαλεπῶς ἐλοιδορήσατο, ἔλεγον, μή ποτέ τινες τῶν βαρβάρων τῶν ἐν Σερδικῇ ἑστιαθέντων σὺν ἡμῖν δυσμενῆ αὐτῷ τὸν Ἀττήλαν παρεσκεύασαν, ἀπαγγείλαντες, ὡς θεὸν μὲν τὸν Ῥωμαίων ἐκάλει βασιλέα, ἄνθρωπον δὲ τὸν Ἀττήλαν. Τοῦτον τὸν λόγον ὁ Μαξιμῖνος ὡς πιθανὸν ἐδέχετο, οἷα δὴ ἀμέτοχος ὢν τῆς συνωμοσίας ἣν κατὰ τοῦ βαρβάρου ὁ εὐνοῦχος ἐποιήσατο. Ὁ δὲ Βιγίλας ἀμφίβολός τε ἦν, καὶ ἐμοὶ ἐδόκει προφάσεως ἀπορεῖν, δι' ἣν αὐτῷ ὁ Ἀττήλας ἐλοιδορήσατο· οὔτε γὰρ τὰ ἐν Σερδικῇ, ὡς ὕστερον ἡμῖν διηγεῖτο, οὔτε τὰ τῆς ἐπιβουλῆς εἰρῆσθαι τῷ Ἀττήλᾳ ἐνόμιζεν, μηδενὸς μὲν ἑτέρου τῶν ἐκ τοῦ πλήθους διὰ τὸν ἐπικρατοῦντα κατὰ πάντων φόβον ἐς λόγους αὐτῷ θαρροῦντος ἐλθεῖν, Ἐδέκωνος δὲ πάντως ἐχεμυθήσοντος διά τε τοὺς ὅρκους καὶ τὴν ἀδηλίαν τοῦ πράγματος, μή ποτε καὶ αὐτὸς, ὡς τοιούτων μέτοχος λόγων, ἐπιτήδειος νομισθεὶς, θάνατον ὑφέξει ζημίαν. Ἐν τοιαύτῃ οὖν ἀμφιβολίᾳ τυγχάνουσιν ἐπιστὰς Ἐδέκων, καὶ τὸν Βιγίλαν ἔξω τῆς ἡμετέρας ἀπαγαγὼν συνόδου, ὑποκρινάμενός τε ἀληθίζεσθαι τῶν αὐτοῖς βεβουλευμένων ἕνεκα, καὶ τὸ χρυσίον κομισθῆναι παρακελευσάμενος τὸ δοθησόμενον τοῖς ἅμα αὐτῷ περὶ τὴν πρᾶξιν ἐλευσομένοις, ἀνεχώρει. Πολυπραγμονοῦντα δὲ τίνες οἱ τοῦ Ἐδέκωνος πρὸς αὐτὸν λόγοι, ἀπατᾶν ἔσπευδεν ἠπατημένος αὐτὸς, καὶ τὴν ἀληθῆ αἰτίαν ἀποκρυψάμενος ἔφασκε παρ' αὐτοῦ Ἐδέκωνος εἰρῆσθαι, ὡς καὶ αὐτῷ ὁ Ἀττήλας περὶ τῶν φυγάδων χαλεπαίνοι· ἔδει γὰρ ἢ πάντας ἀπολαβεῖν, ἢ πρέσβεις ἐκ τῆς μεγίστης ἐξουσίας ἀφικέσθαι πρὸς αὐτόν. Ταῦτα διαλεγομένοις παραγενόμενοί τινες τῶν Ἀττήλα ἔλεγον, μήτε Βιγίλαν, μήτε ἡμᾶς Ῥωμαῖον αἰχμάλωτον ἢ βάρβαρον ἀνδράποδον ἢ ἵππους ἢ ἕτερόν τι πλὴν τῶν εἰς τροφὴν ὠνεῖσθαι, ἄχρις ὅτου τὰ μεταξὺ Ῥωμαίων καὶ Οὔννων ἀμφίβολα διακριθείη. Σεσοφισμένως δὲ ταῦτα καὶ κατὰ τέχνην ἐγένετο τῷ βαρβάρῳ, ὥστε τὸν μὲν Βιγίλαν ῥᾳδίως ἐπὶ τῇ κατ' αὐτοῦ ἁλῶναι πράξει ἀποροῦντα αἰτίας, ἐφ' ᾗπερ τὸ χρυσίον κομίζοι, ἡμᾶς δὲ προφάσει ἀποκρίσεως ἐπὶ τῇ πρεσβείᾳ δοθησομένης Ὀνηγήσιον ἀπεκδέξασθαι, τὰ δῶρα κομιούμενον ἅπερ ἡμεῖς τε διδόναι ἐβουλόμεθα καὶ βασιλεὺς ἀπεστάλκει. Συνέβαινε γὰρ αὐτὸν σὺν τῷ πρεσβυτέρῳ τῶν Ἀττήλα παίδων ἐς τὸ τῶν Ἀκατιζίρων (l. Ἀκατίρων) ἔθνος ἐστάλθαι, ὅ ἐστι Σκυθικὸν ἔθνος, παρέστη δὲ τῷ Ἀττήλᾳ ἐξ αἰτίας τοιᾶσδε. Πολλῶν κατὰ φῦλα καὶ γένη ἀρχόντων τοῦ ἔθνους, Θεοδόσιος ὁ βασιλεὺς ἐκπέμπει δῶρα, ὥστε ὁμονοίᾳ σφετέρᾳ ἀπαγορεῦσαι μὲν τῇ τοῦ Ἀττήλα συμμαχίᾳ, τὴν δὲ πρὸς Ῥωμαίους συμμαχίαν (εἰρήνην Hœsch.) ἀσπάζεσθαι. Ὁ δὲ τὰ δῶρα ἀποκομίζων οὐ κατὰ τάξιν ἑκάστῳ τῶν βασιλέων τοῦ ἔθνους δίδωσιν, ὥστε τὸν Κουρίδαχον πρεσβύτερον ὄντα τῇ ἀρχῇ, τὰ δῶρα δεξάμενον δεύτερον, οἷα δὴ περιοφθέντα

---

ea, quæ imperator scripserat, per se responsum daret, munera petiit. Quæ postquam dedimus, in tentorium nostrum nos recepimus, et de singulis, quæ dicta fuerant, inter nos disseruimus. Quum autem Bigilas admiraretur qui fieret ut Attilas, qui sibi jampridem, quum legatus ad illum venisset, comis et perhumanus visus esset, tunc se acerbis contumeliis affecisset, dixi, vereri me, ne qui ex barbaris, qui in Serdica nobiscum epulati erant, Attilam infensum nobis reddidissent, et Bigilam Romanorum imperatorem deum, Attilam vero hominem appellasse, retulissent. Quam orationem Maximinus ut verisimilem est amplexus, quia conjurationis in Attilam ab eunucho initæ particeps non fuerat. Sed Bigilas ambiguus animi erat, neque causam suspicari posse videbatur, quare Attilas eum tam acerbis conviciis insectatus esset. Nec enim in animum suum inducere poterat, ut nobis postea retulit, enuntiata fuisse, quæ in convivio in Serdica dicta fuerant, nec conjurationem in Attilam detectam, quum nemo ex omni multitudine quæ Attilam circumstabat, excepto Edecone, præ metu, qui omnium mentes pervaserat, cum Attila sermonem instituere auderet; Edeconem autem studiose operam daturum censeret, omnia silentio transigere, tum propter jusjurandum, tum propter negotii gravitatem: ne, quia clandestinis in Attilam consiliis interfuerat, reus judicatus, pœna mortis afficeretur. Hæc quum ambigua mente volveremus, Edecon supervenit, et abducto a nostro cœtu Bigila (fingebat enim velle vere et serio de præmeditatis inter eos insidiis agere), ubi aurum afferri præcepit, quod his daretur, qui exsequendo facinori operam navaturi essent, discessit. Ego vero quum Bigilam curiosius inquirerem, quos sermones secum Edecon habuisset, decipere conatus est, deceptus et ipse, et veram causam occultans commentus est sibi Edeconem dixisse, Attilam illi quoque propter transfugas succensuisse. Oportuisse enim aut omnes restitui, aut legatos summa auctoritate præditos ad illum venire. Hæc dum loquebamur, advenere ab Attila, qui Bigilam et nos prohiberent, captivum Romanum aut barbarum mancipium aut equos aut quicquam aliud emere, præterquam quæ ad victum necessaria essent, donec inter Romanos et Hunnos de rebus controversis convenisset. Hæc callide et præmeditato consilio barbarus faciebat, quo facilius Bigilam in consilio contra se exsequendo deprehenderet, quum nullam satis idoneam causam comminisci posset, cur aurum afferret. Nos porro prætenta causa responsi, quod ad legationem editurus erat, Onegesium opperiri coegit, ut munera, quæ ad eum imperator miserat, et tradere volebamus, acciperet. Etenim tum forte Onegesius una cum seniore ex Attilæ liberis ad Acatiros missus fuerat. Illa gens est Scythica, quæ in potestatem Attilæ hac de causa venit. In eam gentem plures secundum populos et tribus imperium exercebant, quos imperator Theodosius, firmata inter eos concordia, ab Attilæ societate ad colendam cum Romanis pacem et societatem muneribus traducere conatus est. Qui ea munera attulerat non pro cujusque gentis regis merito et gradu ea distribuerat. Curidachus enim secundo loco acceperat, qui regum antiquior, pri-

καὶ τῶν σφετέρων στερηθέντα γερῶν, ἐπικαλέσασθαι τὸν Ἀττήλαν κατὰ τῶν συμβασιλευόντων, τὸν δὲ μὴ μελλήσαντα πολλὴν ἐκπέμψαι δύναμιν, καὶ τοὺς μὲν ἀνελόντα, τοὺς δὲ παραστησάμενον καλεῖν τὸν Κουρίδαχον τῶν νικητηρίων μεθέξοντα. Τὸν δὲ ἐπιβουλὴν ὑποτοπήσαντα εἰπεῖν, ὡς χαλεπὸν ἀνθρώπῳ ἐλθεῖν ἐς ὄψιν θεοῦ· εἰ γὰρ οὐδὲ τὸν τοῦ ἡλίου δίσκον ἀτενῶς ἔστιν ἰδεῖν, πῶς τὸν μέγιστον τῶν θεῶν ἀπαθῶς τις ὄψοιτο; Οὕτως μὲν ὁ Κουρίδαχος ἔμεινεν ἐπὶ τοῖς σφετέροις καὶ διεφύλαξε τὴν ἀρχήν, τοῦ λοιποῦ παντὸς τοῦ Κατζίρων (l. Ἀκατίρων) ἔθνους τῷ Ἀττήλᾳ παραστάντος· οὗπερ ἔθνους βασιλέα τὸν πρεσβύτερον τῶν παίδων καταστῆσαι βουλόμενος Ὀνηγήσιον ἐπὶ ταύτην ἐκπέμπει τὴν πρᾶξιν. Διὸ δὴ καὶ ἡμᾶς, ὡς εἴρηται, ἐπιμεῖναι παρακελευσάμενος, τὸν Βιγίλαν διαφῆκεν ἅμα Ἠσλᾳ προφάσει μὲν τῶν φυγάδων ἐς τὴν Ῥωμαίων διαβησόμενον, τῇ δὲ ἀληθείᾳ τῷ Ἐδέκωνι τὸ χρυσίον κομιοῦντα.

Τοῦ δὲ Βιγίλα ἐξορμήσαντος, μίαν μετὰ τὴν ἐκείνου ἀναχώρησιν ἡμέραν ἐπιμείναντες, τῇ ὑστεραίᾳ ἐπὶ τὰ ἀρκτικώτερα τῆς χώρας σὺν Ἀττήλᾳ ἐπορεύθημεν. Καὶ ἄχρι τινὸς τῷ βαρβάρῳ συμπροελθόντες ἑτέραν ὁδὸν ἐτράπημεν, τῶν ξεναγούντων ἡμᾶς Σκυθῶν τοῦτο ποιεῖν παρακελευσαμένων, ὡς τοῦ Ἀττήλα ἐς κώμην τινὰ παρεσομένου, ἐν ᾗ γαμεῖν θυγατέρα Ἐσκὰμ ἐβούλετο, πλείστας μὲν ἔχων γαμετάς, ἀγόμενος δὲ καὶ ταύτην κατὰ νόμον τὸν Σκυθικόν. Ἐνθένδε ἐπορευόμεθα ὁδὸν ὁμαλήν, ἐν πεδίῳ κειμένην, ναυσιπόροις τε προσεβάλομεν ποταμοῖς, ὧν οἱ μέγιστοι μετὰ τὸν Ἴστρον ὅ τε Δρήκων λεγόμενος καὶ ὁ Τίγας καὶ ὁ Τιφήσας ἦν. Καὶ τούτους μὲν ἐπεραιώθημεν τοῖς μονοξύλοις πλοίοις, οἷς οἱ προσοικοῦντες τοὺς ποταμοὺς κέχρηνται· τοὺς δὲ λοιποὺς ταῖς σχεδίαις διεπλεύσαμεν, ἃς ἐπὶ τῶν ἁμαξῶν οἱ βάρβαροι διὰ τοὺς λιμνάζοντας φέρουσι τόπους. Ἐχορηγοῦντο δὲ ἡμῖν κατὰ κώμας τροφαί, ἀντὶ μὲν σίτου κέγχρος, ἀντὶ δὲ οἴνου ὁ μέδος ἐπιχωρίως καλούμενος. Ἐκομίζοντο δὲ καὶ οἱ ἑπόμενοι ἡμῖν ὑπηρέται κέγχρον καὶ τὸ ἐκ κριθῶν χορηγούμενοι πόμα· κάμον οἱ βάρβαροι καλοῦσιν αὐτό. Μακρὰν δὲ ἀνύσαντες ὁδὸν περὶ δείλην ὀψίαν κατεσκηνώσαμεν πρὸς λίμνῃ τινί, πότιμον ὕδωρ ἐχούσῃ, ὅπερ οἱ τῆς πλησίον ὑδρεύοντο κώμης. Πνεῦμα δὲ καὶ θύελλα ἐξαπίνης διαναστᾶσα μετὰ βροντῶν καὶ συχνῶν ἀστραπῶν καὶ ὄμβρου πολλοῦ οὐ μόνον ἡμῶν ἀνέτρεψε τὴν σκηνήν, ἀλλὰ καὶ τὴν κατασκευὴν σύμπασαν ἐς τὸ ὕδωρ ἐκύλισε τῆς λίμνης. Ὑπὸ δὲ τῆς κρατούσης τὸν ἀέρα ταραχῆς καὶ τοῦ συμβάντος δειματωθέντες τὸ χωρίον ἀπελείπομεν καὶ ἀλλήλων ἐχωριζόμεθα, ὡς ἐν σκότῳ καὶ ὑετῷ, τραπέντες ὁδὸν ἣν αὐτῷ ῥᾳδίαν ἕκαστος ἔσεσθαι ᾤετο. Ἐς δὲ τὰς καλύβας τῆς κώμης παραγενόμενοι (τὴν αὐτὴν δὲ πάντες διαφόρως ἐτράπημεν), ἐς ταὐτὸν συνήειμεν, καὶ τῶν ἀπολειπομένων σὺν βοῇ τὴν ζήτησιν ἐποιούμεθα. Ἐκπηδήσαντες δὲ οἱ Σκύθαι διὰ τὸν θόρυβον, τοὺς καλάμους οἷς πρὸς τῷ πυρὶ κέχρηνται ἀνέκαιον, φῶς ἐργαζόμενοι, καὶ ἀνηρώτων ὅ τι βουλόμενοι κεκράγαμεν. Τῶν δὲ σὺν ἡμῖν βαρβάρων ἀποκριναμένων, ὡς διὰ τὸν χειμῶνα διαταραττόμεθα, πρὸς σφᾶς τε αὐτοὺς καλοῦντες ὑπεδέχοντο, καὶ ἀλέαν παρεῖχον καλάμους πλείστους ἐναύοντες. Τῆς δὲ

---

mus accipere debuerat. Ille, tanquam contemptus et sibi debitis præmiis frustratus, Attilam contra ceteros reges auxilio vocaverat. Is nihil cunctatus, magno exercitu emisso eorum alios sustulit, alios ad deditionem compulit. Deinde Curidachum ad se vocat, tanquam illi quæ ex victoria consecutus fuerat, impertiturus. Sed iste, dolum et insidias suspicatus, difficile et grave esse homini respondit, in dei conspectum venire. Si enim immotis oculis solis orbem intueri nemo potest, quomodo quis sine sensu doloris cum deorum maximo congrediatur? Atque ita Curidachus regnum suaque omnia salva sibi et integra conservavit, et reliqua omnis Acatiorum regio in jus ditionemque Attilæ concessit. Ei genti quum seniorem ex filiis regem Attilas constituere decrevisset, ad hanc rem conficiendam Onegesium miserat. Itaque nos exspectare, ut dictum est, jubens, Bigilam cum Esla ad Romanos amandavit, specie quidem transfugarum repetendorum, sed revera, ut aurum Edeconi promissum afferret.

Post Bigilæ discessum unum tantum diem in his locis commorati, postridie una cum Attila ad loca magis ad septemtrionem vergentia profecti sumus. Haud longum viæ spatium cum barbaris progressi, alio iter vertimus, Scythis, qui viam ducebant, nos id facere jubentibus. Attilas interea in quodam vico substitit, in quo filiam Escam uxorem, etsi plures alias haberet, Scytharum legibus id permittentibus, ducere voluit. Illinc facili et æquali via per planitiem iter fecimus, et in multos fluvios navigabiles incidimus. Quorum post Istrum maximi sunt Drecon dictus, et Tigas et Tiphesas. Et hos quidem naviculis unico ligno confectis, quas in quotidiano usu habent qui ad flumina habitant, reliquos ratibus, quos barbari curribus imponunt, et per loca restagnantia important, trajecimus. Congerebantur vero nobis ex vicis commeatus, pro frumento milium, pro vino medus; sic enim locorum incolæ vocant. Servi quoque, qui nos comitabantur, milium accipiebant et potionem ex hordeo, quam camum barbari appellant. Longa via confecta, die ad noctem inclinante, ad paludem quandam, ad quam aquatum (erat enim ejus aqua potui apta) proximi vici incolæ ibant, tentoria fiximus. Ingens ventus et procella derepente exorta cum tonitru et crebris fulguribus et multo imbre tentorium nostrum disjecit, et omnia nostra utensilia in proximam paludem volvit. Turbinibus in aere excitatis, et casu, qui contigerat, perterrefacti, locum illum deseruimus, et dissociati, huc illuc palantes, viam unusquisque nostrûm, quam sibi commodam duxit, sub tenebris et imbribus est persecutus. Tandem tuguria vici subeuntes (illuc enim divisis itineribus omnes diverteramus) convenimus, et ea, quæ nobis deerant, cum clamore perquisivimus. Ad quem strepitum Scythæ exsilientes, calamos, quibus ad ignem utuntur, accenderunt, atque comparato sic lumine, interrogarunt, quid nobis vellemus, qui tantos clamores ederemus. Barbari, qui nos comitabantur, responderunt, nos tempestate perculsos turbari. Itaque nos liberaliter invitatos hospitio exceperunt, et ca-

ἐν τῇ κώμῃ ἀρχούσης γυναικὸς (μία δὲ αὕτη τῶν Βλήδα γυναικῶν ἐγεγόνει) τροφὰς ἡμῖν διαπεμψαμένης καὶ ἐπὶ συνουσίᾳ γυναῖκας εὐπρεπεῖς (Σκυθικὴ δὲ αὕτη τιμή), τὰς μὲν γυναῖκας ἐκ τῶν προκειμένων ἐδωδίμων φιλοφρονησάμενοι τῇ πρὸς αὐτὰς ὁμιλίᾳ ἀπηγορεύσαμεν· ἐγκαταμείναντες δὲ ταῖς καλύβαις ἅμα ἡμέρᾳ ἐς τὴν τῶν σκευῶν ἐτράπημεν ἀναζήτησιν, καὶ σύμπαντα εὑρηκότες, τὰ μὲν ἐν τῷ χωρίῳ, οὗπερ ἐν τῇ προτεραίᾳ καταλύσαντες ἐτύχομεν, τὰ δὲ καὶ πρὸς τῇ ὄχθῃ τῆς λίμνης, τὰ δὲ καὶ ἐν αὐτῷ τῷ ὕδατι, ἀνελάβομεν. Καὶ ἐκείνην τὴν ἡμέραν ἐν τῇ κώμῃ διετρίψαμεν ἅπαντα διατερσαίνοντες· ὅ τε γὰρ χειμὼν ἐπέπαυτο καὶ λαμπρὸς ἥλιος ἦν. Ἐπιμεληθέντες δὲ καὶ τῶν ἵππων καὶ τῶν λοιπῶν ὑποζυγίων παρὰ τὴν βασιλίδα ἀφικόμεθα, καὶ αὐτὴν ἀσπασάμενοι καὶ δώροις ἀμειψάμενοι, τρισί τε ἀργυραῖς φιάλαις καὶ ἐρυθροῖς δέρμασι καὶ τῷ ἐξ Ἰνδίας πεπέρει καὶ τῷ καρπῷ τῶν φοινίκων καὶ ἑτέροις τραγήμασι διὰ τὸ μὴ ἐπιχωριάζειν τοῖς βαρβάροις οὖσι τιμίοις, ὑπέξιμεν, εὐξάμενοι αὐτῇ ἀγαθὰ τῆς ξενίας πέρι. Ἡμερῶν δὲ ζ′ ὁδὸν ἀνύσαντες ἐν κώμῃ τινὶ ἐπεμείναμεν, τῶν ξεναγούντων παρακελευσαμένων Σκυθῶν, οἷα δὴ τοῦ Ἀττήλα ἐς αὐτὴν ἐμβαλοῦντος τὴν ὁδὸν καὶ ἡμῶν κατόπιν αὐτοῦ πορεύεσθαι ὀφειλόντων. Ἔνθα δὴ ἐνετυγχάνομεν ἀνδράσι τῶν ἑσπερίων Ῥωμαίων καὶ αὐτοῖς παρὰ τὸν Ἀττήλαν πρεσβευομένοις· ὧν Ῥωμύλος ἦν, ἀνὴρ τῇ τοῦ κόμητος ἀξίᾳ τετιμημένος, καὶ Πριμοῦτος (infra : Προμοῦτος) τῆς Νωρίκων ἄρχων χώρας, καὶ Ῥωμανὸς στρατιωτικοῦ τάγματος ἡγεμών. Συνῆν δὲ αὐτοῖς Κωνστάντιος, ὃν ἀπεστάλκει Ἀέτιος παρὰ τὸν Ἀττήλαν ὑπογραφέως χάριν, καὶ Τατοῦλος ὁ Ὀρέστου πατὴρ τοῦ μετὰ Ἐδέκωνος, οὐ τῆς πρεσβείας ἕνεκα, ἀλλὰ οἰκειότητος χάριν ἅμα σφίσιν αὐτοῖς τὴν πορείαν ποιούμενοι, Κωνστάντιος μὲν διὰ τὴν ἐν ταῖς Ἰταλίαις προϋπάρξασαν πρὸς τοὺς ἄνδρας γνῶσιν, Τατοῦλος δὲ διὰ συγγένειαν. Ὁ γὰρ αὐτοῦ παῖς Ὀρέστης Ῥωμύλου θυγατέρα ἐγεγαμήκει, ἀπὸ Παταβίωνος τῆς ἐν Νωρίκῳ πόλεως..... Ἐπρεσβεύοντο ἐκμειλιττόμενοι τὸν Ἀττήλαν, ἐκδοθῆναι αὐτῷ βουλόμενον Σιλβανὸν, Ἀρμίου (ἀργυρίου? Val.) τραπέζης κατὰ τὴν Ῥώμην προεστῶτα, ὡς φιάλας χρυσᾶς παρὰ Κωνσταντίου δεξάμενον, ὃς ἐκ Γαλατῶν μὲν τῶν ἐν τῇ ἑσπέρᾳ ὥρμητο, ἀπέσταλτο δὲ καὶ αὐτὸς παρὰ Ἀττήλαν τε καὶ Βλήδαν, ὥσπερ ὁ μετ' αὐτὸν Κωνστάντιος, ὑπογραφέως χάριν. Κατὰ δὲ τὸν χρόνον ἐν ᾧ ὑπὸ Σκυθῶν ἐν τῇ Παιόνων ἐπολιορκεῖτο τὸ Σίρμιον, τὰς φιάλας παρὰ τοῦ τῆς πόλεως ἐπισκόπου ἐδέξατο ἐφ' ᾧ αὐτὸν λύσασθαι, εἴ γε περιόντος αὐτοῦ ἁλῶναι τὴν πόλιν συμβαίη, ἢ ἀναιρεθέντος ὠνήσασθαι τοὺς αἰχμαλώτους ἀπαγομένους τῶν ἀστῶν. Ὁ δὲ Κωνστάντιος μετὰ τὸν τῆς πόλεως ἀνδραποδισμὸν ὀλιγωρήσας τῶν συνθηκῶν ἐς τὴν Ῥώμην κατὰ πρᾶξίν τινα παραγίνεται, καὶ κομίζεται παρὰ τοῦ Σιλβανοῦ χρυσίον τὰς φιάλας δοὺς, ὥστε ῥητοῦ χρόνου ἐντὸς ἢ ἀποδόντα τὸ ἐκδανεισθὲν χρυσίον ἀναλαβεῖν τὰ ἐνέχυρα, ἢ αὐτοῖς τὸν Σιλβανὸν ἐς ὅ τι βούλοιτο χρήσασθαι. Τοῦτον δὴ τὸν Κωνστάντιον ἐν ὑποψίᾳ προδοσίας ποιησάμενοι Ἀττήλας τε καὶ Βλήδας ἀνεσταύρωσαν· μετὰ δὲ χρόνον τῷ Ἀττήλᾳ ὡς τὰ περὶ τῶν φιαλῶν ἐμηνύθη, ἐκδοθῆναι αὐτῷ τὸν Σιλβανὸν, οἷα δὴ φῶρα τῶν αὐτοῦ γενόμενον, ἐδού-

---

lamis siccis ignem accenderunt. Vici domina una ex Bledæ uxoribus erat. Hæc nobis cibaria et mulieres formosas, cum quibus amori indulgeremus (hoc enim apud Scythas honori ducitur), suppeditavit. Mulieribus ex cibis præbitis gratificati, ab earum consuetudine abstinuimus; manentes vero in tuguriis, simul atque illuxit, ad ea quæ ex nostra supellectile desiderabantur, perquirenda curam convertimus. Hæc partim in eo loco, ubi pridie consederamus, partim in ripa paludis, partim in ipsa palude reperta recepimus. In his desiccandis totum diem in illo vico (tempestas enim desierat, et clarus sol apparebat) contrivimus. Deinde curatis equis et reliquis jumentis, reginam salutatum ivimus. Hanc vicissim donis remunerati sumus tribus pateris argenteis, velleribus rubris, pipere Indico, palmulis et variis cupediis, quæ omnia a barbaris, ut ignota, magni æstimantur. Nec multo post omnia fausta feliciaque illis hospitalitatis ergo precati, discessimus. Septem dierum itinere emenso, Scythæ, qui nos ducebant, in quodam vico nos consistere jusserunt, quia post Attilam, qui hac via proficisceretur, iter nobis faciendum esset. Hic obvios habuimus legatos a Romanis Occidentalibus, ipsos quoque ad Attilam missos. Erant autem præcipui Romulus Comitis dignitate decoratus, et Primutus (*Promotus?*), Noricæ regionis præfectus, et Romanus, militaris ordinis ductor. His aderat Constantius, quem Aetius ad Attilam, ut illi in conscribendis epistolis deserviret, miserat, et Tatulus, Orestis ejus, qui cum Edecone erat, pater, non legationis causa, sed privati officii et familiaritatis ergo. Constantio enim in Italiis agenti magnus cum illis usus intercesserat : Tatulum affinitas movebat. Orestes enim, ejus filius, Romuli filiam e Patavione, Norici civitate, uxorem duxerat. Legati autem veniebant, ut Attilam lenirent, qui sibi Sylvanum, Armii (*argentariæ?*) mensæ Romæ præfectum, tradi postulabat, propterea quod pateras aureas a Constantio quodam acceperat. Hic Constantius, ex Galliis Occidentalibus ortus, ad Attilam et Bledam, ut illis in conscribendis epistolis operam daret, quemadmodum et post illum alter Constantius missus fuerat. Ille vero, quo tempore Sirmium oppidum, in Pæonia situm, Scythæ obsidebant, aurea vasa a civitatis episcopo acceperat, ut ex eorum pretio, si se superstite urbem capi contigisset, quoad satis esset, pro sua libertate solveretur : sin periisset, cives in servitutem abducti redimerentur. Sed Constantius post urbis excidium de pacto illo parum sollicitus, Romam cujusdam negotii causa profectus, vasa ad Sylvanum detulit, et aurum ab eo accepit, convenitque ut, si intra tempus præfinitum aurum mutuo sumptum redderet, vasa reciperet : ni fecisset, Sylvanus vasa sibi haberet et his pro arbitrio uteretur. Hunc Constantium Attilas et Bleda, quum illis proditionis nomine suspectus esset, in crucem egerunt. Ex quo, ut de poculis aureis indicium ad Attilam est delatum, sibi tradi Sylvanum, tanquam furem eorum quæ sua essent, flagitavit. Legati igitur ab Aetio et

λετο. Πρέσβεις τοίνυν παρὰ Ἀετίου καὶ τοῦ βασιλεύοντος τῶν ἑσπερίων Ῥωμαίων ἐστάλησαν ἐροῦντες, ὡς χρήστης Σιλβανὸς Κωνσταντίου γενόμενος τὰς φιάλας ἐνέχυρα καὶ οὐ φώρια λαβὼν ἔχοι, καὶ ὡς ταύτας ἀργυρίου χάριν ἱερεῦσι καὶ (del. καὶ aut leg. καὶ οὐ) τοῖς ἐπιτυχοῦσιν ἀπέδοτο· οὔτε γὰρ θέμις ἀνθρώποις εἰς σφετέραν διακονίαν κεχρῆσθαι ἐκπιώμασιν ἀνατεθεῖσι θεῷ. Εἰ οὖν μὴ τῆς εὐλόγου προφάσεως καὶ εὐλαβείᾳ τοῦ θείου ἀποσταίη τοῦ τὰς φιάλας αἰτεῖν, ἐκπέμπειν τὸ ὑπὲρ αὐτῶν χρυσίον, τὸν Σιλβανὸν παραιτουμένους· οὐ γὰρ ἐκδώσειν ἄνθρωπον ἀδικοῦντα οὐθέν. Καὶ αὕτη μὲν αἰτία τῆς τῶν ἀνδρῶν πρεσβείας, καὶ παρείποντο ὅτι καὶ ἀποκρινόμενος ἀποπέμψοι σφᾶς ὁ βάρβαρος. Ἐπὶ τῆς αὐτῆς οὖν ὁδοῦ γενόμενοι, προπορευθῆναι αὐτὸν ἀναμείναντες, σὺν τῷ παντὶ ἐπηκολουθήσαμεν πλήθει. Καὶ ποταμούς τινας διαβάντες ἐν μεγίστῃ παρεγινόμεθα κώμῃ, ἐν ᾗ τὰ τοῦ Ἀττήλα οἰκήματα περιφανέστερα τῶν ἁπανταχοῦ εἶναι ἐλέγετο, ξύλοις τε καὶ σανίσιν εὐξέστοις ἡρμοσμένα καὶ περιβόλῳ ξυλίνῳ κυκλούμενα, οὐ πρὸς ἀσφάλειαν, ἀλλὰ πρὸς εὐπρέπειαν συλλαμβάνοντι. Μετὰ δὲ τὰ τοῦ βασιλέως ἦν τὰ τοῦ Ὀνηγησίου διαπρεπῆ, καὶ περίβολον μὲν ἐκ ξύλων καὶ αὐτὰ ἔχοντα, οὐχ ὁμοίως δὲ ὥσπερ ὁ Ἀττήλα πύργοις ἐκοσμεῖτο. Βαλανεῖον δὲ ἦν οὐ πόρρω τοῦ περιβόλου, ὅπερ Ὀνηγήσιος μετὰ τὸν Ἀττήλαν παρὰ Σκύθαις ἰσχύων μέγα ᾠκοδόμει, λίθους ἐκ τῆς Παιόνων διακομίσας γῆς· οὐδὲ γὰρ λίθος, οὐ δένδρον παρὰ τοῖς ἐκεῖνο τὸ μέρος οἰκοῦσι βαρβάροις ἐστὶν, ἀλλὰ ἐπεισάκτῳ τῇ ὕλῃ κέχρηνται ταύτῃ. Ὁ δὲ ἀρχιτέκτων τοῦ βαλανείου ἀπὸ τοῦ Σιρμίου αἰχμάλωτος ἀχθεὶς, μισθὸν τοῦ εὑρέματος ἐλευθερίαν λήψεσθαι προσδοκῶν, ἔλαθε μείζονι πόνῳ περιπεσὼν τῆς παρὰ Σκύθαις δουλείας· βαλανέα γὰρ αὐτὸν Ὀνηγήσιος κατέστησε, καὶ λουομένῳ αὐτῷ τε καὶ τοῖς ἀμφ' αὐτὸν διηκονεῖτο. Ἐν ταύτῃ τῇ κώμῃ εἰσιόντα τὸν Ἀττήλαν ἀπήντων κόραι στοιχηδὸν προπορευόμεναι ὑπὸ ὀθόναις λεπταῖς τε καὶ λευκαῖς, ἐπὶ πολὺ ἐς μῆκος παρατεινούσαις, ὥστε ὑπὸ μιᾷ ἑκάστῃ ὀθόνῃ ἀνεχομένῃ ταῖς χερσὶ τῶν παρ' ἑκάτερα γυναικῶν κόρας ἑπτὰ ἢ καὶ πλείους βαδιζούσας (ἦσαν δὲ πολλαὶ τοιαῦται τῶν γυναικῶν ὑπὸ ταῖς ὀθόναις τάξεις) ᾄδειν ᾄσματα Σκυθικά. Πλησίον δὲ τῶν Ὀνηγησίου οἰκημάτων γενόμενον (δι' αὐτῶν γὰρ ἡ ἐπὶ τὰ βασίλεια ἦγεν ὁδός), ὑπεξελθοῦσα ἡ τοῦ Ὀνηγησίου γαμετὴ μετὰ πλήθους θεραπόντων, τῶν μὲν ὄψα, τῶν δὲ καὶ οἶνον φερόντων (μεγίστη δὲ αὕτη παρὰ Σκύθαις ἐστὶ τιμή), ἠσπάζετό τε καὶ ἠξίου μεταλαβεῖν ὧν αὐτῷ φιλοφρονουμένη ἐκόμισεν. Ὃς δὲ ἐπιτηδείου ἀνδρὸς χαριζόμενος γαμετῇ ἤσθιεν ἐπὶ τοῦ ἵππου ἥμενος, τῶν παρεπομένων τὸν πίνακα (ἀργύρεος δὲ ἦν οὗτος) ἐς ὕψος ἀράντων βαρβάρων. Ἀπογευσάμενος δὲ καὶ τῆς προσενεχθείσης αὐτῷ κύλικος ἐς τὰ βασίλεια ἐχώρει, ὄντα τῶν ἄλλων ὑπέρτερα καὶ ἐν ὑψηλῷ διακείμενα χωρίῳ. Ἡμεῖς δὲ ἐν τοῖς Ὀνηγησίου, ἐκείνου παρακελευσαμένου, ἐγκατεμείναμεν· ἐπανεληλύθει γὰρ σὺν τῷ Ἀττήλα παιδί. Καὶ ἠριστοποιησάμεθα, δεξιωσαμένης ἡμᾶς τῆς τε γαμετῆς καὶ τῶν κατὰ γένος αὐτῷ διαφερόντων· αὐτὸς γὰρ τῷ Ἀττήλᾳ μετὰ τὴν ἐπάνοδον τότε πρῶτον ἐς

Romanorum Occidentalium imperatore venerant, qui dicerent, Sylvanum Constantii creditorem vasa aurea pro credito oppignerata, non furto ablata, penes se habuisse, quæ sacerdotibus, qui primi se obtulissent, nummis argenteis permutasset. Nec enim fas esse hominibus pocula Deo consecrata propriis usibus applicare. Itaque nisi tam justa causa aut divini numinis reverentia a petendis poculis dimoveatur, retento Sylvano, aurum se pro pateris præbiturum. Hominem enim, qui nihil deliquerit, minime se dediturum esse. Hæc erat igitur horum virorum legationis causa, qui barbarum sequebantur, ut responsum ferrent, et dimitterentur. Quum vero nobis eadem via eundum esset, qua Attilas incedebat, parumper morati, dum præcederet, non multo post secuti, cum reliqua multitudine, trajectis quibusdam amnibus, ad quendam magnum vicum pervenimus. Illic erant Attilæ ædes, quæ reliquis omnibus ubicumque locorum præstantiores esse ferebantur. Erant hæ ex lignis et tabulis eximie politis exstructæ et ambitu ligneo circumdatæ, non ad munimentum, sed ad ornatum comparato. Proxima regiæ erat Onegesii domus, et ipsa quoque ambitu ligneo constans, non tamen æque, ac Attilæ, turribus insignis. Haud longo intervallo a circuitu domus distabat balneum, quod Onegesius, qui secundum Attilam plurimum apud Scythas opibus valebat, lapidibus ex Pæonia advectis ædificaverat. Nec enim apud eos, qui in ea parte Scythiæ habitant, ullus est aut lapis, aut arbos, sed materia aliunde advecta utuntur. Hujus autem balnei architectus, e Sirmio captivus abductus, mercedem operis sui libertatem se consecuturum sperans, falsus sua spe, in longe duriorem apud Scythas incidit servitutem. Balneatorem enim eum Onegesius instituit, ut sibi totique suæ familiæ, quum lavarentur, operas præstaret. In hunc vicum adventanti Attilæ puellæ obviam prodierunt, quæ per series incedebant, sub linteis tenuibus et candidis, quammaxime in longitudinem extensis, ita ut sub unoquoque linteo, manibus mulierum ab utraque parte in altum sublato, septem puellæ aut etiam plures progredientes (erant autem multi hujusmodi mulierum sub illis linteis ordines) Scythica carmina canerent. Jam proxime Onegesii domum accesserat (per ipsam enim via ducebat ad regiam), quum foras prosiliret Onegesii uxor, magna ancillarum comitata multitudine, quæ obsonia et vinum ferebant, qui maximus est apud Scythas honos. Hæc Attilam salutavit, rogavitque ut ex cibis desumeret, quos cum summa testificatione suæ erga illum voluntatis attulerat. Itaque uxori hominis sibi necessarii gratificaturus, comedit, equo insidens, barbaris, qui in ejus comitatu erant, suspensam tabulam (erat autem argentea) attollentibus. Deinde degustato calice, qui illi fuerat oblatus, in regiam se recepit. Erat autem illa reliquis conspectior et in altiori loco sita. Nos vero in ædibus Onegesii (sic ille præceperat; redierat enim cum Attilæ filio) remansimus. Illic cœnam sumpsimus, excipiente nos ejus uxore, comitata illustrioribus qui eum genere contingebant. Illi enim animum nobiscum convivio exhilarare per otium minime licuit; quia quæ gesserat in negotio, ad quod missus fuerat, et adversum, qui filio Attilæ contigerat, casum

ὄψιν ἐλθὼν, καὶ αὐτῷ τὰ ἐπὶ τῇ πράξει, ἐφ' ἣν ἔσταλτο, ἀπαγγέλλων, καὶ τὸ πάθος τὸ τῷ Ἀττήλα παιδὶ συνενεχθέν (τὴν γὰρ δεξιὰν χεῖρα ἐξολισθήσας κατέαξεν), συνευωχεῖσθαι ἡμῖν οὐκ ἦγε σχολήν. Μετὰ δὲ τὸ δεῖπνον ἀπολιπόντες τὰ τοῦ Ὀνηγησίου οἰκήματα πλησίον τῶν Ἀττήλα κατεσκηνώσαμεν, [ὥστε] ἢ παρὰ τὸν Ἀττήλαν ἐπιέναι τὸν Μαξιμῖνον, ἤγουν καὶ τοῖς ἄλλοις τοῖς ἀμφ' αὐτὸν ἐς λόγους ἰέναι ὀφείλοντα, μὴ πολλῷ κεχωρίσθαι διαστήματι. Διαγαγόντων δὲ ἡμῶν ἐκείνην τὴν νύκτα ἐν ᾧπερ κατελύσαμεν χωρίῳ, ὑποφαινούσης ἡμέρας ὁ Μαξιμῖνος στέλλει με παρὰ τὸν Ὀνηγήσιον τὰ δῶρα δώσοντα, ἅ τε αὐτὸς ἐδίδου, ἅ τε βασιλεὺς ἀπεστάλκει, καὶ ὅπως γνοίη, εἰ βούλεται αὐτῷ, καὶ ὁπότε, ἐς λόγους ἐλθεῖν. Παραγενόμενος δὲ ἅμα τοῖς κομίζουσιν αὐτὰ ὑπηρέταις προσεκαρτέρουν, ἔτι τῶν θυρῶν κεκλεισμένων, ἄχρις ὅτου τις ὑπεξελθὼν τὴν ἡμετέραν μηνύσειεν ἄφιξιν.

Διατρίβοντι δέ μοι καὶ περιπάτους ποιουμένῳ πρὸ τοῦ περιβόλου τῶν οἰκημάτων, προσελθών τις, ὃν βάρβαρον ἐκ τῆς Σκυθικῆς ᾠήθην εἶναι στολῆς, Ἑλληνικῇ ἀσπάζεταί με φωνῇ, « χαῖρε » προσειπών, ὥστε με θαυμάζειν, ὅτι γε δὴ ἑλληνίζει Σκύθης ἀνήρ. Ξύγκλυδες γὰρ ὄντες πρὸς τῇ σφετέρᾳ βαρβάρῳ γλώσσῃ ζηλοῦσιν ἢ τὴν Οὔννων ἢ τὴν Γότθων, ἢ καὶ τὴν Αὐσονίων, ὅσοις αὐτῶν πρὸς Ῥωμαίους ἐπιμιξία· καὶ οὐ ῥᾳδίως τις σφῶν ἑλληνίζει τῇ φωνῇ, πλὴν ὧν ἀπήγαγον αἰχμαλώτων ἀπὸ τῆς Θρᾳκίας καὶ Ἰλλυρίδος παράλου. Ἀλλ' ἐκεῖνοι μὲν γνώριμοι τοῖς ἐντυγχάνουσιν ἐτύγχανον ἔκ τε τῶν διερρωγότων ἐνδυμάτων καὶ τοῦ αὐχμοῦ τῆς κεφαλῆς, εἰς τὴν χείρονα μεταπεσόντες τύχην· οὗτος δὲ τρυφῶντι ἐῴκει Σκύθῃ εὐείμων τε ὢν καὶ ἀποκειράμενος τὴν κεφαλὴν περιτρόχαλα. Ἀντασπασάμενος δὲ ἀνηρώτων τίς ὢν καὶ πόθεν ἐς τὴν βάρβαρον παρῆλθε γῆν καὶ βίον αναιρεῖται Σκυθικόν. Ὁ δὲ ἀπεκρίνατο ὅ τι βουλόμενος ταῦτα γνῶναι ἐσπούδακα, ἐγὼ δὲ ἔφην αἰτίαν πολυπραγμοσύνης εἶναί μοι τὴν Ἑλλήνων φωνήν. Τότε δὴ γελάσας ἔφη Γραικὸς μὲν εἶναι τὸ γένος, κατ' ἐμπορίαν δὲ ἐς τὸ Βιμινάκιον ἐληλυθέναι τὴν πρὸς τῷ Ἴστρῳ Μυσῶν πόλιν. Πλεῖστον δὲ ἐν αὐτῇ διατρῖψαι χρόνον, καὶ γυναῖκα γήμασθαι ζάπλουτον. Τὴν δὲ ἐντεῦθεν εὐπραγίαν ἐκδύσασθαι, ὑπὸ τοῖς βαρβάροις τῆς πόλεως γενομένης, καὶ διὰ τὸν ὑπάρξαντα πλοῦτον αὐτῷ Ὀνηγησίῳ ἐν τῇ τῶν λαφύρων προκριθῆναι διανομῇ· τοὺς γὰρ ἁλόντας ἀπὸ τῶν εὐπόρων μετὰ τὸν Ἀττήλαν ἐκκρίτους εἶχον οἱ τῶν Σκυθῶν λογάδες διὰ τὸ ἐπὶ πλείστοις διατίθεσθαι. Ἀριστεύσαντα δὲ ἐν ταῖς ὕστερον πρὸς Ῥωμαίους μάχαις καὶ τὸ τῶν Ἀκατίρων ἔθνος, δόντα τῷ βαρβάρῳ δεσπότῃ κατὰ τὸν παρὰ Σκύθαις νόμον τὰ κατὰ τὸν πόλεμον αὐτῷ κτηθέντα, ἐλευθερίας τυχεῖν. Γυναῖκα δὲ γήμασθαι βάρβαρον, εἶναί τε αὐτῷ παῖδας· καὶ Ὀνηγησίῳ τραπέζης κοινωνοῦντα, ἀμείνονα τοῦ προτέρου τὸν παρόντα ἡγεῖσθαι [βίον]. Τοὺς μὲν γὰρ παρὰ Σκύθαις μετὰ τὸν πόλεμον ἐν ἀπραγμοσύνῃ διατελεῖν, ἑκάστου τῶν παρόντων ἀπολαύοντας καὶ οὐδαμῶς ἢ ὀλίγα ἐνοχλουμένους, τοὺς μέντοι παρὰ Ῥωμαίοις ἐν μὲν πολέμῳ ῥᾳδίως ἀναλίσκεσθαι, εἰς ἑτέρους τὰς τῆς σωτηρίας ἐλπίδας ἔχοντας, ὡς πάντων * διὰ τοὺς τυράννους μὴ χρωμένων ὅπλοις. Καὶ τῶν χρωμένων δὲ σφαλερωτέρα ἡ τῶν στρατηγῶν κακία, μὴ

(dextram enim delapsus fregerat) renuntiaturus, tum primum a reditu in Attilæ conspectum venerat. Post cœnam, ædibus Onegesii relictis, propius Attilæ ædes tentoria posuimus, ut Maximinus, quem Attilam convenire et cum his, qui ei a consiliis erant, colloquia facere oportebat, minime longo ab Attila distaret intervallo. Illic igitur, quo primum devertimus, noctem transegimus. Luce orta misit me Maximinus ad Onegesium, ut illi tum quæ ipse dabat, tum ab imperatore missa munera traderem, et ut ipse cognosceret, an illi secum et quo tempore colloquium inire juberet. Perrexi igitur ad Onegesium cum famulis, qui dona portabant: quum januæ clausæ essent, exspectavi donec aperirentur, et aliquis exiret, qui eum mei adventus certiorem faceret.

Itaque tempus mihi terenti et circa murorum ambitum domus Onegesii ambulanti, progressus nescio quis, quem barbarum ex Scythico vestitu esse rebar, Græca voce me salutavit dicens « Χαῖρε. » Mirari ego, qui fieret ut Græce loqueretur vir Scytha: etenim ex variis gentibus commixti, præter suam linguam colunt sive Hunnorum, sive Gothorum, aut etiam Romanam, hi scilicet, quibus cum Romanis frequentius est commercium. Neque quisquam eorum facile loquitur Græce, nisi si qui sint captivi e Thracia aut Illyrico maritimo. Sed illi ab obvio quoque dignosci possunt ex vestibus laceris et capitis squalore, tanquam qui in miseram inciderint fortunam. Hic vero opulenti Scythæ speciem præ se ferebat: erat enim bene et eleganter vestitus, capite in rotundum raso. Hunc resalutans interrogavi, quis esset, et unde in terram barbaram veniens, vitæ Scythicæ institutum sequi delegisset. Ille quam ob causam hoc ex ipso quærerem, rogavit. « Mihi vero, inquam, hæc a te ut sciscitarer, causa fuit, quod Græce locutus es. » Tum ridens ait, se Græcum esse genere, ad mercaturam faciendam Viminacium, Mysorum ad Istrum urbem, accessisse, in ea domicilium longo tempore habuisse, uxorem quoque divitem duxisse; parta illic felicitate capta urbe exutum fuisse, et propterea quod dives erat, se suaque omnia in prædæ divisione Onegesio cessisse. Etenim esse apud eos in more positum, ut præcipui ab Attila Scythiæ principes captivos ditiores sibi seponant, quoniam plurimum auctoritate valent. Postea ubi adversus Romanos et Acatirorum gentem fortissime dimicasset, libertatem se ex more Scytharum, omnibus, quæ bello acquisierat, barbaro domino traditis, recuperasse. Uxorem quoque barbaram duxisse, et ex ea liberos sustulisse, et Onegesii mensæ participem, hoc vitæ genus longe potius priore ducere. « Qui enim apud Scythas degunt, inquit, tolerato bellorum labore, sine ulla sollicitudine vitam peragunt. Tum unusquisque bonis, quæ sibi fortuna indulsit, fruitur, neque quisquam illi ulla in re molestus est. Qui vero sub Romanis ætatem agunt, facile in bello pereunt. Hos enim in aliis sui conservandi spem collocare necesse est, quandoquidem per tyrannos minime li-

ὑφισταμένων τὸν πόλεμον. Ἐν δὲ εἰρήνῃ ὀδυνηρότερα ὑπάρχειν τὰ συμβαίνοντα τῶν ἐν τοῖς πολέμοις κακῶν διά τε τὴν βαρυτάτην εἴσπραξιν τῶν δασμῶν καὶ τὰς ἐκ τῶν πονηρῶν βλάβας, τῶν νόμων οὐ κατὰ πάντων κειμένων, ἀλλ' εἰ μὲν ὁ παραβαίνων τὸν θεσμὸν τῶν πλουτούντων εἴη, ἔστι τῆς ἀδικίας αὐτὸν μὴ διδόναι δίκας· εἰ δὲ πένης εἴη, οὐκ ἐπιστάμενος χρῆσθαι πράγμασιν, ὑπομένει τὴν ἀπὸ τοῦ νόμου ζημίαν, εἴπερ μὴ πρὸ τῆς κρίσεως ἀπολείποι τὸν βίον, μακροῦ ἐπὶ ταῖς δίκαις παρατεινομένου χρόνου καὶ πλείστων ἐκδαπανωμένων χρημάτων. Ὅπερ τῶν πάντων ἀνιαρότατον εἴη, ἐπὶ μισθῷ τῶν ἀπὸ τοῦ νόμου τυγχάνειν. Οὐδὲ γὰρ τῷ ἀδικουμένῳ τις δικαστήριον παραδώσει, εἰ μή τι ἀργύριον τῷ τε δικαστῇ καὶ τοῖς ἐκείνῳ διακονουμένοις κατάθοιτο. Τοιαῦτα καὶ πλεῖστα ἕτερα προτιθέντος, ὑπολαβὼν ἔφασκον πράως αὐτὸν καὶ τὰ ἐξ ἐμοῦ ἀκούειν· καὶ δὴ ἔλεγον, ὡς οἱ τῆς Ῥωμαίων πολιτείας εὑρεταὶ σοφοί τε καὶ ἀγαθοὶ ἄνδρες, ὥστε τὰ πράγματα [μὴ] τηνάλλως φέρεσθαι, τοὺς μὲν τῶν νόμων εἶναι φύλακας, τοὺς δὲ ποιεῖσθαι τῶν ὅπλων ἐπιμέλειαν ἔταξαν καὶ τὰς πολεμικὰς μελέτας ἀσκεῖν, πρὸς μηδὲν ἕτερον ἐπαγομένους ἢ ὥστε εἶναι πρὸς μάχην ἑτοίμους καὶ ὡς ἐπὶ τὴν συνήθη γυμνασίαν θαρροῦντας ἐπὶ τὸν πόλεμον ἰέναι, προαναλωθέντος αὐτοῖς διὰ τῆς μελέτης τοῦ φόβου· τοὺς δὲ προσκειμένους τῇ γεωργίᾳ καὶ τῇ ἐπιμελείᾳ τῆς γῆς ἑαυτούς τε καὶ τοὺς ὑπὲρ σφῶν αὐτῶν ἀγωνιζομένους τρέφειν ἔταξαν, τὸ στρατιωτικὸν εἰσπραττομένους σιτηρέσιον· ἄλλους δὲ τῶν ἀδικουμένων προνοεῖν, καὶ τοὺς μὲν τοῦ δικαίου προΐστασθαι ὑπὲρ τῶν δι' ἀσθένειαν φύσεως μὴ οἵωντε ὄντων τὰ σφέτερα προΐσχεσθαι δίκαια, τοὺς δὲ δικάζοντας φυλάττειν ἅπερ ὁ νόμος βούλεται· μὴ ἐστερῆσθαι δὲ φροντίδος μηδὲ τῶν παραστάντων τοῖς δικασταῖς, ἀλλὰ κἀκείνων εἶναι τοὺς πρόνοιαν ποιησομένους, ὅπως τοῦ τε δικαίου τεύξοιτο ὁ τῆς τῶν δικαστῶν τυχὼν κρίσεως, καὶ ὁ ἀδικεῖν νομισθεὶς μὴ εἰσπραχθείη πλέον, ἤπερ ἡ δικαστικὴ βούλεται ψῆφος. Εἰ γὰρ μὴ ὑπῆρχον οἱ ταῦτα ἐν φροντίδι ποιούμενοι, ἐκ τῆς αὐτῆς αἰτίας ἑτέρας δίκης ἐγίνετο ἂν πρόφασις, ἢ τοῦ νενικηκότος χαλεπώτερον ἐπεξιόντος, ἢ τοῦ τὸ χεῖρον ἀπενεγκαμένου τῇ ἀδίκῳ ἐπιμένοντος γνώμῃ. Εἶναι δὲ καὶ τούτοις τεταγμένον ἀργύριον παρὰ τῶν τὰς δίκας ἀγωνιζομένων, ὡς παρὰ τῶν γεωργῶν τοῖς ὁπλίταις. Ἢ οὐχ ὅσιον τὸν ἐπικουροῦντα τρέφειν καὶ τῆς εὐνοίας ἀμείβεσθαι; ὥσπερ ἀγαθὸν ἱππεῖ μὲν ἡ τοῦ ἵππου κομιδὴ, ἀγαθὸν δὲ βουκόλῳ ἡ τῶν βοῶν καὶ θηρατῇ ἡ τῶν κυνῶν ἐπιμέλεια, καὶ τῶν ἄλλων, ὧν πρὸς σφετέραν φυλακήν τε καὶ ὠφέλειαν ἔχουσιν ἄνθρωποι. Ὁπότε τὴν δαπάνην τὴν ἐπὶ τῇ δίκῃ γενομένην ἁλόντες ἐκτίνουσιν, ἀνατιθέντων ἀδικίᾳ σφετέρᾳ καὶ οὐχ ἑτέρῳ τὴν βλάβην. Τὸν δὲ ἐπὶ ταῖς δίκαις μακρότερον, ἂν οὕτω τύχοι, χρόνον, τῆς τοῦ δικαίου προνοίας γίνεσθαι χάριν, ὥστε μὴ σχεδιάζοντας τοὺς δικαστὰς τῆς ἀκριβείας διαμαρτεῖν· λογιζομένους ἄμεινον εἶναι ὀψὲ πέρας ἐπιτιθέναι δίκῃ, ἢ ἐσπουδακότας μὴ μόνον ἄνθρωπον ἀδικεῖν, ἀλλὰ εἰς τὸν τοῦ δικαίου εὑρετὴν θεὸν πλημμελεῖν. Κεῖσθαι δὲ

---

cet arma, quibus unusquisque se tueatur, gestare. Atque adeo his, quibus id jure licet, valde est perniciosa ducum ignavia, qui bellum minime gnaviter gerunt. At in pace longe acerbiora sunt quæ accidunt, quam calamitates quæ ex bello proveniunt, et propter duram exactionem tributorum, et propter improborum vexationes, quum leges non in omnes valeant. Si quis dives aut potens eas sit transgressus, ille quidem iniquitatis suæ pœnas non luet : sin aliquis inops, qui negotia gerere nesciat, hunc pœna a legibus statuta manet : nisi forte eum, priusquam sententia feratur, longo in litibus continuato tempore, multis præterea exhaustis opibus, vita defecerit. At mercede et pretio, quod legum et juris est, obtinere, omnium iniquissimum est. Nec enim injuria affecto quisquam fori judicialis potestatem faciet, priusquam pecuniam judicis et ejus ministrorum commodo cessuram deponat. » Hæc atque hujusmodi multa quum in medium proferret, ego precatus, ut quod sentirem, patienter et benigne audiret, respondi, reipublicæ Romanæ auctores, sapientes et optimos viros, ne quidquam temere ageretur, alios legum custodes fecisse, aliis armorum curam commisisse, ut, ad nullam aliam rem intenti, quam ut se ad pugnam præpararent, militaria opera exercerent, et propulsata per assiduam belli meditationem omni formidine, consueta militiæ exercitatione, animis firmati, in aciem descenderent. « Alios qui agris colendis et culturæ terræ operam darent, et se ipsos et, annona militari ab his exacta, eos alere voluerunt, quo pro sua salute dimicarent. Constituerunt quoque, qui injuria affectis prospicerent, et jura eorum, qui propter naturæ infirmitatem sibi ipsi consulere non valerent, tuerentur, quique jure dicendo, quæ leges juberent, servarent. Neque vero sua providentia destitutos reliquerunt eos, qui judicibus adsunt, sed his quoque esse qui prospiciant, ut jus assequatur qui sententia judicum obtinuit, et injurius judicatus, id solum, quod judicii calculus fert, et nihil præterea, facere cogatur. (Si enim non essent huic rei præpositi, aut victore insolentius insurgente, aut eo, qui adversam sententiam reportavit, in perversa mente perstante, ex una lite alterius litis nasceretur exordium.) Itaque his quoque constitutum argentum ab illis, qui litibus certant, ut militibus ab agricolis. Quid enim æquius, quam eum, qui opituletur et auxilium ferat, alere et officium mutuo officio rependere? quemadmodum equiti emolumento est equi, pastori boum et venatori canum cura, et reliquorum animantium, quæ homines custodiæ et utilitatis causa alunt. Porro quum sumptus in litem factos qui causa cadunt solvant, damnum nulli alii rei quam suæ iniquitati imputent. Quod vero ad longum tempus attinet, quod in litibus consumitur, si quando id evenit, id juris providentius dicendi gratia fit, ne judices properantes ab accurata judicandi ratione aberrent. Melius esse judices accurate rem perpendentes, tardius finem litibus imponere, quam festinantes non solum iniquum jus in hominem statuere, verum etiam in deum, justitiæ inventorem, peccare. Leges autem in omnes positæ sunt, ut illis etiam ipse imperator pareat. Neque, id quod tua accusatione continetur, potentiores si tenuioribus vim inferant, id illis est impune, nisi quis forte

τοὺς νόμους κατὰ πάντων, ὥστε αὐτοῖς καὶ βασιλέα πείθεσθαι, καὶ οὐχ, ὃ τῇ αὐτοῦ ἔνεστι κατηγορίᾳ, ὅτι γε δὴ οἱ εὔποροι τοὺς πένητας ἀκινδύνως βιάζοιντο, εἰ μή γε διαλαθών τις φύγοι τὴν δίκην. Ὅπερ οὐκ ἐπὶ τῶν πλουσίων, ἀλλὰ καὶ πενήτων εὕροι τις ἄν· πλημμελοῦντες γὰρ οὐδὲ αὐτοὶ ἀπορίᾳ ἐλέγχων δοῖεν δίκας. Καὶ τοῦτο παρὰ πᾶσι, καὶ οὐ παρὰ Ῥωμαίοις μόνον συμβαῖνόν ἐστι. Χάριν δὲ ὁμολογεῖν τῇ τύχῃ ἐπὶ τῇ αὐτῷ ὑπαρξάσῃ ἐλευθερίᾳ, καὶ μὴ τῷ ἐπὶ πόλεμον ἐξάγοντι δεσπότῃ, ὥστε αὐτὸν δι' ἀπειρίαν ἢ ὑπὸ τῶν πολεμίων ἀναιρεθῆναι, ἢ φεύγοντα ὑπὸ τοῦ κτησαμένου κολάζεσθαι. Ἄμεινον δὲ καὶ τοῖς οἰκέταις διατελοῦσι Ῥωμαῖοι χρώμενοι. Πατέρων γὰρ ἢ διδασκάλων ἐς αὐτοὺς ἔργα ἐπιδεικνύντες, ἐφ' ᾧ τῶν φαύλων ἀπεχομένους μετιέναι ἅπερ αὐτοῖς καλὰ νενόμισται, σωφρονίζουσι σφᾶς ἐπὶ τοῖς ἁμαρτήμασιν, ὥσπερ τοὺς οἰκείους παῖδας. Οὐ δὴ γὰρ οὐδὲ αὐτοῖς θάνατον, ὥσπερ Σκύθαις, ἐπάγειν θέμις. Ἐλευθερίας δὲ τρόποι παρ' αὐτοῖς πλεῖστοι, ἣν οὐ μόνον περιόντες, ἀλλὰ καὶ τελευτῶντες χαρίζονται, διατάττοντες κατὰ τῆς περιουσίας ὃν βούλονται τρόπον. Καὶ νόμος ἐστὶν ὅπερ ἕκαστος τελευτῶν περὶ τῶν προσηκόντων βουλεύσοιτο. » Καὶ ὃς δακρύσας ἔφη, ὡς οἱ μὲν νόμοι καλοὶ καὶ ἡ πολιτεία Ῥωμαίων ἀγαθή, οἱ δ' ἄρχοντες οὐχ ὅμοια τοῖς πάλαι φρονοῦντες αὐτὴν διαλυμαίνονται.

Ταῦτα διαλεγομένων ἡμῶν, προσελθών τις τῶν ἔνδοθεν ἀνοίγει τὰς θύρας τοῦ περιβόλου. Ἐγὼ δὲ προσδραμὼν ἐπυθόμην ὅ τι πράττων Ὀνηγήσιος τυγχάνοι· ἀπαγγεῖλαι γὰρ αὐτῷ με βούλεσθαί τι παρὰ τοῦ (τοῦ παρὰ aut παρὰ τοῦ παρὰ? B.) Ῥωμαίων ἥκοντος πρεσβευτοῦ. Ὃς δὲ ἀπεκρίνατο, αὐτῷ μοι ἐντεύξεσθαι μικρὸν ἀναμείναντι· μέλλειν γὰρ αὐτὸν ὑπεξιέναι. Καὶ δὴ οὐ πολλοῦ διαγενομένου χρόνου, ὡς προϊόντα εἶδον, προσελθὼν ἔλεγον, ὡς ὁ Ῥωμαίων αὐτὸν ἀσπάζεται πρεσβευτής, καὶ δῶρα ἐξ αὐτοῦ ἥκω φέρων σὺν καὶ τῷ παρὰ βασιλέως πεμφθέντι χρυσίῳ· ἐσπουδακότι δὲ ἐς λόγους ἐλθεῖν, οἷ καὶ πότε βούλεται διαλέγεσθαι. Καὶ ὃς τό τε χρυσίον τά τε δῶρα ἐκέλευσε τοὺς προσήκοντας δέξασθαι, ἐμὲ δὲ ἀπαγγέλλειν Μαξιμίνῳ, ὡς ἥξοι αὐτίκα παρ' αὐτόν. Ἐμήνυον τοίνυν ἐπανελθὼν, τὸν Ὀνηγήσιον παραγίνεσθαι· καὶ εὐθὺς ἧκεν ἐς τὴν σκηνήν. Προσειπὼν δὲ τὸν Μαξιμῖνον ἔφασκε χάριν ὁμολογεῖν ὑπὲρ τῶν δώρων αὐτῷ τε καὶ βασιλεῖ, καὶ ἀνηρώτα ὅ τι λέγειν βουλόμενος αὐτὸν μετεπέμψατο. Ὁ δὲ ἔφασκεν ἥκειν καιρὸν, ὥστε Ὀνηγήσιον μεῖζον ἐν ἀνθρώποις ἕξειν κλέος, εἴπερ παρὰ βασιλέα ἐλθὼν διευκρινήσει τὰ ἀμφίβολα τῇ σφετέρᾳ συνέσει καὶ ὁμόνοιαν Ῥωμαίοις καὶ Οὔννοις καταστήσεται. Γενήσεται γὰρ ἐνθένδε οὐ μόνον τοῖς ἔθνεσιν ἀμφοτέροις συμφέρον· ἀλλὰ καὶ τῷ σφετέρῳ οἴκῳ ἀγαθὰ παρέξει πολλὰ, ἐπιτήδειος ἐσαεὶ αὐτός τε καὶ οἱ αὐτοῦ παῖδες βασιλεῖ τε καὶ τῷ ἐκείνου ἐσόμενοι γένει. Ὁ δὲ Ὀνηγήσιος ἔφη· καὶ τί ποιοῦντες κεχαρισμένοις βασιλεῖ ἢ ὅπως παρ' αὐτοῦ τὰ ἀμφίβολα λυθείη; Ἀποκριναμένου δὲ, ὡς διαβὰς μὲν εἰς τὴν Ῥωμαίων βασιλεῖ τὴν χάριν καταθήσει, διευκρινήσει δὲ τὰ ἀμφίβολα τὰς αἰτίας διερευνῶν καὶ ταύτας κατὰ τὸν τῆς εἰρήνης λύων θεσμὸν, ἔφασκεν ἐκεῖνα ἐρεῖν βασιλεῖ τε καὶ τοῖς ἀμφ' αὐτὸν, ἅπερ

---

latens pœnam effugerit: quod non solum divitibus, sed etiam inopibus usu venit; nam hi quoque, si argumenta deficiunt, peccatorum pœnas non solvunt. Quod non solum apud Romanos, sed etiam ubique gentium accidit. Gratiam vero plurimam ipsum pro recepta libertate fortunæ debere, neque eam domino acceptam referre. Quum enim eum in bellum eduxerit, potuisse ab hostibus propter rei militaris imperitiam occidi, aut si fugisset, ab eo, in cujus dominio erat, puniri. Longe autem Romani benignius servis consuluerunt. Patrum enim aut præceptorum affectum erga eos exhibent, et ut a malis abstineant, curant, et eorum, quæ honesta ducunt, participes efficiunt. Denique corrigunt eos in his, quæ delinquunt, sicut et suos liberos. Nec enim servos morte afficere, sicut apud Scythas, fas est. Libertatis vero adipiscendæ plures sunt modi. Non enim solum qui vita fruuntur, sed etiam qui e vivis excedunt, libertatem tribuere possunt, quum de bonis suis, ut cuique placeat, statuere liceat, et quodcunque quis moriens de rebus domesticis jusserit, lex sit. » Tum ille plorans inquit, leges apud Romanos bonas et rem publicam præclare constitutam esse, sed magistratus, qui non æque ac prisci probi et prudentes sint, eam labefactare et pervertere.

Hæc inter nos disserentibus aliquis ex domesticis Onegesii septorum domus fores aperuit. Ego statim accurrere et quærere, quas res ageret Onegesius; me enim habere a Maximino, qui legatus a Romanis venisset, quod illi dicerem. Ille vero Onegesium mihi sui facturum copiam respondit, si paullum opperirer; exiturum enim esse. Nec multo temporis spatio interjecto, ut ipsum exeuntem vidi, progressus dixi: « Te Romanorum legatus salutat, et dona tibi ab ipso una cum auro ab imperatore misso affero. » Et quum maxime ille eum convenire cuperet, ubi et quando vellet colloqui, quæsivi. Ille suos, qui aderant, jussit aurum et munera recipere, et me Maximino renuntiare, se protinus ad eum accedere. Reverti igitur ad Maximinum, et renuntiavi, Onegesium ad eum venturum esse: nec mora, in tentorium nostrum advenit, et Maximinum affatus dixit, se imperatori et illi pro muneribus gratias agere, et percunctatus est, quandoquidem se arcessisset, quid esset quod illum vellet: tum Maximinus, instare tempus, ait, quo posset majorem gloriam apud homines adipisci, si ad imperatorem accedens, quæ essent inter Romanos et Hunnos controversa, sua prudentia componeret, et inter utramque gentem concordiam stabiliret: quæ res non solum utilitati utriusque gentis esset cessura, sed etiam ejus domui tanta bona præbitura, ut ipse una cum suis liberis in posterum imperatori totique imperatorio generi in perpetuum devinctus foret. Tum Onegesius dixit, qua re gratificari regi et quomodo controversias ipse componere posset? Respondit Maximinus eum, si in Romanorum ditionem proficisceretur, gratiam apud regem initurum, controversias autem compositurum, si in criminationes sedulo inquirens ex pacis legibus eas dilueret. Tum Onegesius dixit, se imperatori et iis, qui ei a consiliis essent, ea dicturum esse, quæ Attilas

Ἀττήλας βούλεται. Ἦ οἴεσθαι ἔφη Ῥωμαίους, τοσοῦτον ἐκλιπαρήσειν αὐτὸν, ὥστε καταπροδοῦναι δεσπότην καὶ ἀνατροφῆς τῆς παρὰ Σκύθαις καὶ γαμετῶν καὶ παίδων κατολιγωρήσειν, μὴ μείζονα δὲ ἡγεῖσθαι τὴν παρ' Ἀττήλᾳ δουλείαν τοῦ παρὰ Ῥωμαίοις πλούτου; Συνοίσειν δὲ ἐπιμένοντα τῇ οἰκείᾳ τὸν (γὰρ) τοῦ δεσπότου καταπραΰνειν θυμὸν, ἐφ' οἷς αὐτὸν ὀργίζεσθαι κατὰ Ῥωμαίων συμβαίνει, ἢ παρὰ σφᾶς ἐλθόντα αἰτίᾳ ὑπάγεσθαι, ἕτερα ἤπερ ἐκείνῳ δοκεῖ διαπραξάμενον. Ταῦτα εἰρηκὼς, κἀμὲ ποιεῖσθαι τὴν πρὸς αὐτὸν ἡγησάμενος ἔντευξιν περὶ ὧν πυνθάνεσθαι αὐτοῦ βουλόμεθα (οὐ γὰρ τῷ Μαξιμίνῳ, ὡς ἐν ἀξίᾳ τελοῦντι, συνεχὴς πρόσοδος ἦν εὐπρεπής), ἀνεχώρει. Ἐγὼ δὲ τῇ ὑστεραίᾳ εἰς τὸν Ἀττήλα περίβολον ἀφικνοῦμαι, δῶρα τῇ αὐτοῦ κομίζων γαμετῇ· Κρέκα δὲ ὄνομα αὐτῇ, ἐξ ἧς αὐτῷ παῖδες ἐγεγόνεσαν τρεῖς, ὧν ὁ πρεσβύτερος ἦρχε τῶν Ἀκατίρων καὶ τῶν λοιπῶν ἐθνῶν νεμομένων τὴν πρὸς τὸν Πόντον Σκυθικήν. Ἔνδον δὲ τοῦ περιβόλου πλεῖστα ἐτύγχανεν οἰκήματα, τὰ μὲν ἐκ σανίδων ἐγγλύφων καὶ ἡρμοσμένων εἰς εὐπρέπειαν, τὰ δὲ ἐκ δοκῶν κεκαθαρμένων καὶ πρὸς εὐθύτητα ἐπεξεσμένων, ἐμβεβλημένων δὲ ξύλοις [κύκλους] ἀποτελοῦσιν· οἱ δὲ κύκλοι ἐκ τοῦ ἐδάφους ἀρχόμενοι ἐς ὕψος ἀνέβαινον μετρίως. Ἐνταῦθα τῆς Ἀττήλα ἐνδιαιτωμένης γαμετῆς, διὰ τῶν πρὸς τῇ θύρᾳ βαρβάρων ἔτυχον εἰσόδου, καὶ αὐτὴν ἐπὶ στρώματος μαλακοῦ κειμένην κατέλαβον, τοῖς ἐκ τῆς ἐρέας πιλωτοῖς τοῦ ἐδάφους σκεπομένου, ὥστε ἐπ' αὐτῶν βαδίζειν. Περιεῖπε δὲ αὐτὴν θεραπόντων πλῆθος κύκλῳ· καὶ θεράπαιναι ἐπὶ τοῦ ἐδάφους ἀντικρὺ αὐτῆς καθήμεναι ὀθόνας χρώμασι διεποίκιλλον, ἐπιβληθησομένας πρὸς κόσμον ἐσθημάτων βαρβαρικῶν. Προσελθὼν τοίνυν καὶ τὰ δῶρα μετὰ τὸν ἀσπασμὸν δοὺς ὑπεξῄειν, καὶ ἐπὶ τὰ ἕτερα ἐβάδιζον οἰκήματα, ἐν οἷς διατρίβειν τὸν Ἀττήλαν ἐτύγχανεν, ἀπεκδεχόμενος ὁπότε ἐπεξέλθοι Ὀνηγήσιος· ἤδη γὰρ ἀπὸ τῶν αὐτοῦ οἰκημάτων ἐξεληλύθει καὶ ἔνδον ἦν. Μεταξὺ δὲ τοῦ παντὸς ἱστάμενος πλήθους (γνώριμός τε γὰρ ὢν τοῖς Ἀττήλα φρουροῖς καὶ τοῖς παρεπομένοις αὐτῷ βαρβάροις ὑπ' οὐδενὸς διεκωλυόμην), εἶδον πλῆθος πορευόμενον καὶ θροῦν καὶ θόρυβον περὶ τὸν τόπον γινόμενον, ὡς τοῦ Ἀττήλα ὑπεξιόντος. Προῄει δὲ τοῦ οἰκήματος βαδίζων σοβαρῶς, τῇδε κἀκεῖ περιβλεπόμενος. Ὡς δὲ ὑπεξελθὼν σὺν τῷ Ὀνηγησίῳ ἔστη πρὸ τοῦ οἰκήματος, πολλοὶ (δὲ) τῶν ἀμφισβητήσεις πρὸς ἀλλήλους ἐχόντων προσῄεσαν καὶ τὴν αὐτοῦ κρίσιν ἐδέχοντο. Εἶτα ἐπανῄει ὡς τὸ οἴκημα, καὶ πρέσβεις παρ' αὐτὸν ἥκοντας βαρβάρους ἐδέχετο.

Ἐμοὶ δὲ ἀπεκδεχομένῳ τὸν Ὀνηγήσιον Ῥωμύλος καὶ Προμοῦτος καὶ Ῥωμανὸς οἱ ἐξ Ἰταλίας ἐλθόντες παρὰ τὸν Ἀττήλαν πρέσβεις τῶν φιαλῶν ἕνεκα τῶν χρυσῶν, συμπαρόντος αὐτοῖς καὶ Ῥουστικίου τοῦ κατὰ Κωνστάντιον, καὶ Κωνσταντιόλου, ἀνδρὸς ἐκ τῆς Παιόνων χώρας τῆς ὑπὸ Ἀττήλᾳ ταττομένης, ἐς λόγους ἦλθον, καὶ ἀνηρώτων πότερον διηφείθημεν, ἢ ἐπιμένειν ἀναγκαζόμεθα. Καὶ ἐμοῦ φήσαντος, ὡς τούτου χάριν πευσόμενος τοῦ Ὀνηγησίου τοῖς περιβόλοις προσκαρτερῶ, καὶ ἀντερωτήσαντος εἰ αὐτοῖς ὁ Ἀττήλας ἥμερόν τι καὶ πρᾶον περὶ πρεσβείας ἀπεκρίνατο, ἔλεγον μηδαμῶς μετατρέπεσθαι τῆς γνώμης, ἀλλὰ πόλεμον καταγγέλλειν, εἰ μή γε αὐτῷ Σιλβανὸς ἢ τὰ ἐκπώματα

---

sibi præciperet. « An Romani existimant, inquit, se ullis precibus exorari posse, ut prodat dominum suum, et nihili faciat educationem apud Scythas, uxores et liberos suos, neque potiorem ducat apud Attilam servitutem, quam apud Romanos ingentes opes? » Ceterum se domi remanentem majori eorum rebus adjumento futurum, quippe qui domini iram placaret, si quibus in rebus Romanis irasceretur, quam si ad eos accedens criminationi se objiceret, si forte quid contra quam Attilæ rationibus commodum videretur faceret. Quæ quum dixisset et mihi veniam dedisset eum de his, quæ ex ipso intelligere cuperemus, adeundi (Maximino enim in dignitate constituto parum decorus erat continuus congressus), abiit. Postridie ad domus Attilæ interiora septa me contuli dona ferens ejus uxori, quæ Cerca vocabatur. Ex ea tres illi liberi, quorum maximus natu jam tum Acatirorum et reliquarum gentium, qua Scythia ad Pontum patet, regnum tenebat. Intra illa septa erant multa ædificia, partim ex tabulis sculptis et eleganter compactis, partim ex trabibus opere puro et in rectitudinem affabre dolatis, quæ impositæ erant lignis in circulos curvatis: circuli autem a solo in mediocrem altitudinem assurgebant. Hic habitabat Attilæ uxor, ad quam a barbaris, qui circa januas erant, nactus aditum, ipsam deprehendi in molli stragula jacentem. Erat autem pavimentum laneis tapetibus stratum, in quibus constitimus. Eam famulorum multitudo in orbem circumstabat, et ancillæ ex adverso humi sedentes telas coloribus variegabant, quæ vestibus barbarorum ad ornatum superinjiciuntur. Cerca salutata, et muneribus traditis, egressus, exspectans dum Onegesius regia exiret (jam enim e domo sua illuc venerat), ad reliqua ædificia, ubi Attilas commorabatur, processi. Hic dum ego starem cum reliqua multitudine (nec enim accessu ullius loci prohibebar, quippe qui Attilæ custodibus et barbaris, qui eum asseclabantur, eram notus), vidi magnam turbam accurrentem, quæ tumultum et strepitum edens exitum Attilæ præstolabatur. Tandem Attilas domo egressus, gravi vultu, huc illuc oculos torquens, cum Onegesio pro ædibus substitit. Hic eum multi, quibus erant lites, adierunt, et ejus judicium exceperunt. Deinde domum repetiit, et barbararum gentium legatos, qui ad se venerant, admisit.

Me vero, dum Onegesium exspectabam, Romulus, Promutus et Romanus, legati de vasis aureis ex Italia ad Attilam missi, una cum Rusticio, qui in comitatu Constantii erat, et Constantiolo ex Pæonum regione, quæ Attilæ parebat, me sunt sermone adorti, et interrogaverunt, utrum dimissi, an manere coacti essemus. « Id ipsum, inquam, ut sciam ex Onegesio, intra ista septa opperior. » Tum ego illos vicissim percunctari, an aliquod mite responsum ad ea, de quibus legati venerant, ab Attila tulissent. Nequaquam aiunt illum deduci a sententia, sed bellum minari et denuntiare, ni Sylvanus aut pocula dedantur. Nos vero quum

πεμφθείη. Ἀποθαυμαζόντων δὲ ἡμῶν τῆς ἀπονοίας τὸν βάρβαρον, ὑπολαβὼν ὁ Ῥωμύλος, πρεσβευτὴς ἀνὴρ καὶ πολλῶν πραγμάτων ἔμπειρος, ἔλεγε τὴν αὐτοῦ μεγίστην τύχην καὶ τὴν ἐκ τῆς τύχης δύναμιν ἐξαίρειν αὐτὸν, ὥστε μὴ ἀνέχεσθαι δικαίων λόγων, εἰ μὴ πρὸς αὐτοῦ νομίσῃ ὑπάρχειν αὐτούς. Οὐδενὶ γὰρ τῶν πώποτε τῆς Σκυθικῆς ἢ καὶ ἑτέρας ἀρξάντων γῆς τοσαῦτα ἐν ὀλίγῳ καταπεπρᾶχθαι, ὥστε καὶ τῶν ἐν τῷ Ὠκεανῷ νήσων ἄρχειν, καὶ πρὸς πάσῃ τῇ Σκυθικῇ καὶ Ῥωμαίους ἔχειν ἐς φόρου ἀπαγωγήν. Ἐφιέμενον δὲ πρὸς τοῖς παροῦσι πλειόνων καὶ ἐπὶ μεῖζον αὔξοντα τὴν ἀρχὴν, καὶ ἐς Πέρσας ἀπιέναι βούλεσθαι. Τῶν δὲ ἐν ἡμῖν τινος πυθομένου ποίαν ὁδὸν τραπεὶς ἐς Πέρσας ἐλθεῖν δυνήσεται, ἔλεγεν ὁ Ῥωμύλος, μὴ πολλῷ διαστήματι τὴν Μήδων ἀφεστάναι τῆς Σκυθικῆς, οὐδὲ Οὔννους ἀπείρους τῆς ὁδοῦ ταύτης εἶναι, ἀλλὰ πάλαι ἐς αὐτὴν ἐμβεβληκέναι, λιμοῦ τε τὴν χώραν κρατήσαντος, καὶ Ῥωμαίων διὰ τὸν τότε συνιστάμενον πόλεμον μὴ συμβαλλόντων. Παρεληλυθέναι δὲ ἐς τὴν Μήδων τόν τε Βασὶχ καὶ Κουρσὶχ τοὺς ὕστερον ἐς τὴν Ῥώμην ἐληλυθότας εἰς ὁμαιχμίαν, ἄνδρας τῶν βασιλείων Σκυθῶν καὶ πολλοῦ πλήθους ἄρχοντας. Καὶ τοὺς διαβεβηκότας λέγειν, ὡς ἔρημον ἐπελθόντες χώραν καὶ λίμνην τινὰ περαιωθέντες, ἣν ὁ Ῥωμύλος τὴν Μαιῶτιν εἶναι ᾤετο, πέντε καὶ δέκα διαγενομένων ἡμερῶν ὄρη τινὰ ὑπερβάντες ἐς τὴν Μηδικὴν ἐσέβαλον. Ληϊζομένοις δὲ καὶ τὴν γῆν κατατρέχουσι πλῆθος Περσικὸν ἐπελθὸν τὸν σφῶν ὑπερκείμενον ἀέρα πλῆσαι βελῶν, ὥστε σφᾶς δέει τοῦ κατασχόντος κινδύνου ἀναχωρῆσαι εἰς τοὔπισω καὶ τὰ ὄρη ὑπεξελθεῖν, ὀλίγην ἄγοντας λείαν· ἡ γὰρ πλείστη ὑπὸ τῶν Μήδων ἀφῄρητο. Εὐλαβουμένους δὲ τὴν τῶν πολεμίων δίωξιν ἑτέραν τραπῆναι ὁδὸν, καὶ μετὰ τὴν ἐκ τῆς ὑφάλου πέτρας ἀναφερομένην φλόγα ἐκεῖθεν πορευθέντας .... ἡμερῶν ὁδὸν ἐς τὰ οἰκεῖα ἀφικέσθαι, καὶ γνῶναι, οὐ πολλῷ διαστήματι τὴν Μήδων ἀφεστάναι τῆς Σκυθικῆς. Τὸν οὖν Ἀττήλαν ἐπ' αὐτὴν ἰέναι βουλόμενον οὐ πονήσειν πολλὰ, οὔτε μακρὰν ἀνύσειν ὁδὸν, ὥστε καὶ Μήδους καὶ Πάρθους καὶ Πέρσας παραστήσεσθαι καὶ ἀναγκάσειν ἐλθεῖν ἐς φόρου ἀπαγωγήν· παρεῖναι γὰρ αὐτῷ μάχιμον δύναμιν, ἣν οὐδὲν ἔθνος ὑποστήσεται. Ἡμῶν δὲ κατὰ Περσῶν ἐλθεῖν αὐτὸν ἐπευξαμένων καὶ ἐπ' ἐκείνους τρέψαι τὸν πόλεμον, ὁ Κωνσταντίολος ἔλεγε δεδιέναι μή ποτε καὶ Πέρσας ῥᾳδίως παραστησάμενος ἀντὶ φίλου δεσπότης ἐπανήξει. Νῦν μὲν γὰρ τὸ χρυσίον κομίζεσθαι παρ' αὐτῶν τῆς ἀξίας ἕνεκα· εἰ δὲ καὶ Πάρθους καὶ Μήδους καὶ Πέρσας παραστήσοιτο, οὐκέτι Ῥωμαίων ἀνέξεσθαι τὴν αὐτοῦ νοσφιζομένων ἀρχὴν, ἀλλὰ θεράποντας περιφανῶς ἡγησάμενον χαλεπώτερα ἐπιτάξειν καὶ οὐκ ἀνεκτὰ ἐκείνοις ἐπιτάγματα. Ἦν δὲ ἀξία, ἧς ὁ Κωνσταντίολος ἐπεμνήσθη, στρατηγοῦ Ῥωμαίων, ἧς χάριν ὁ Ἀττήλας παρὰ βασιλέως ἐδέδεκτο τοῦ τοῖς στρατηγοῖς χορηγουμένου τὰς συντάξεις ἐκπέμπεσθαι. Ἔλεγεν οὖν μετὰ Μήδους καὶ Πάρθους καὶ Πέρσας τοῦτο τὸ ὄνομα, ὅπερ αὐτὸν βούλονται Ῥωμαῖοι καλεῖν, καὶ τὴν ἀξίαν, ᾗ αὐτὸν τετιμηκέναι νομίζουσιν, ἀποσεισάμενον ἀναγκάσειν σφᾶς ἀντὶ στρατηγοῦ βασιλέα προσαγορεύειν. Ἤδη γὰρ καὶ χαλεπαίνοντα εἰπεῖν, ὡς ἐκείνῳ μὲν οἱ

barbari miraremur animi impotentiam, Romulus, vir multis honorificentissimis legationibus functus et multo rerum usu præditus, ait, secunda fortuna et potentia inde collecta adeo illum efferri, ut justis sermonibus nullum apud se locum relinqueret, nisi eos ex re sua esse censeret. Nemo unquam eorum, qui in Scythia, vel alibi regnarunt, tantas res tam brevi tempore gessit. Totius Scythiæ dominatum sibi comparavit, et ad Oceani insulas usque imperium suum extendit, ut etiam a Romanis tributa exigat. Nec his contentus, ad longe majora animum adjecit, et latius imperii sui fines protendere et Persas bello aggredi cogitat. Uno ex nobis quærente, qua via e Scythia in Persas tendere posset, Romulus dixit, non longo locorum intervallo Medos dissitos esse a Scythis, neque Hunnos hanc viam nescire, sed olim, fame per eorum regionem grassante, quum Romani propter bellum, quod tunc temporis gerebant, minime cum illis prœlio decertarent, hac irrupisse et usque ad Medos Basichum et Cursichum, duces ipsorum, e regiis Scythis oriundos, penetrasse, qui postea cum magna hominum multitudine Romam ad contrahendam armorum societatem venissent. Hos narrasse, per quamdam desertam regionem illis iter fuisse, et paludem trajecisse, quam Romulus existimabat esse Mæotidem: deinde, quindecim diebus elapsis, per montes quosdam, quos superassent, in Mediam descendisse. Ibi prædas agentibus et excursionibus agros vastantibus Persicum agmen superveniens telis aera replevisse. Itaque imminentis periculi metu retro abscessisse, et per montes regressos, pauxillum prædæ abegisse. Magnam enim partem Medos extorsisse: ipsos autem, ut persequentium hostium impetum evitarent, ad aliam viam deflexisse, et per loca, ubi ex petra maritima flamma ardet, illinc profectos, . . . dierum itinere in sedes suas revertisse. Atque ex eo satis vidisse, non magno intervallo Scythiam a Medis distare. Quamobrem si Attilam cupido ceperit Medos invadendi, non multum operæ et laboris in eam invasionem consumpturum, neque magnis itineribus defatigatum iri, ut Medos, Parthos et Persas adoriatur, et cogat tributi illationi se submittere. Adesse enim illi magnas copias, quas nulla gens sustinere possit. Nobis vero optantibus, ut Persis arma inferret, et a nobis in illos belli molem averteret: « Verendum est, inquit Constantiolus, ne, Persis facile devictis, non jam amplius amicus, sed dominus in nos revertatur. » Nunc enim auro accepto pro dignitate eum contentum esse. Quodsi Medos, Parthos et Persas domuerit, minime eum Romanorum a suo sejunctum regnum passurum, sed eos manifesto servos suos reputantem, gravia illis et intolerabilia imperaturum esse. Dignitas autem, cujus mentionem Constantiolus fecit, erat Romanorum exercituum ducis, quam Attilas ab imperatore acceperat, et stipendia ejus, qui exercitus regebat, missa sibi non recusabat. Innuebat igitur, Attilam, Medis, Parthis et Persis subactis, hoc nomen, quo Romanis illum vocare lubet, et dignitatem, quam illi ornamenti loco esse existimant, repudiaturum, et pro duce coacturum eos se regem appellare. Jam tum enim indignatus di-

αὐτοῦ θεράποντές εἰσι στρατηγοί, αὐτῷ δὲ οἱ τοῖς βασιλεύουσι Ῥωμαίων ὁμότιμοι. Ἔσεσθαι δὲ οὐκ εἰς μακρὰν τῆς παρούσης αὐτῷ δυνάμεως αὔξησιν· σημαίνειν καὶ τοῦτο τὸν θεὸν τὸ τοῦ Ἄρεος ἀναφήναντα ξίφος, ὅπερ ὂν ἱερὸν καὶ παρὰ τῶν Σκυθικῶν βασιλέων τιμώμενον, οἷα δὴ τῷ ἐφόρῳ τῶν πολέμων ἀνακείμενον, ἐν τοῖς πάλαι ἀφανισθῆναι χρόνοις, εἶτα διὰ βοὸς εὑρεθῆναι (cf. fr. 10, p. 96).

Καὶ ἑκάστου λέγειν τι περὶ τῶν καθεστώτων βουλομένου, Ὀνηγησίου ὑπεξελθόντος, παρ' αὐτὸν ἤλθομεν, καὶ ἐπειρώμεθα περὶ τῶν ἐσπουδασμένων μανθάνειν. Ὁ δέ τισι πρότερον βαρβάροις διαλεχθείς, πυθέσθαι με παρὰ Μαξιμίνου ἐπέτρεπε τίνα Ῥωμαῖοι ἄνδρα τῶν ὑπατικῶν παρὰ τὸν Ἀττήλαν πρεσβευόμενον στέλλουσιν. Ὡς δὲ παρελθὼν εἰς τὴν σκηνὴν ἔφραζον, ἅπερ εἴρητό μοι, καὶ ὅ τι δεῖ λέγειν ὧν χάριν ὁ βάρβαρος ἡμῶν ἐπύθετο ἅμα τῷ Μαξιμίνῳ βουλευσάμενος ἐπανῆλθον ὡς τὸν Ὀνηγήσιον, λέγων, ὡς ἐθέλουσι μὲν Ῥωμαῖοι αὐτὸν παρὰ σφᾶς ἐλθόντα τῶν ἀμφιβόλων ἕνεκα διαλέγεσθαι, εἰ δὲ τούτου διαμάρτοιεν, ἐκπέμψειν βασιλέα ὃν βούλεται πρεσβευσόμενον. Καὶ εὐθὺς μετιέναι με τὸν Μαξιμῖνον παρεκελεύσατο, καὶ ἥκοντα αὐτὸν ἦγε παρὰ τὸν Ἀττήλαν. Καὶ μικρὸν ὕστερον ὑπεξελθὼν ὁ Μαξιμῖνος ἔλεγεν, ἐθέλειν τὸν βάρβαρον Νόμον ἢ Ἀνατόλιον ἢ Σενάτορα πρεσβεύεσθαι· μὴ γὰρ ἂν ἄλλον παρὰ τοὺς εἰρημένους δέξεσθαι. Καὶ ὡς αὐτοῦ ἀποκριναμένου, μὴ χρῆναι ἐπὶ τὴν πρεσβείαν τοὺς ἄνδρας καλοῦντα ὑπόπτους καθιστᾶν βασιλεῖ, εἰρηκέναι τὸν Ἀττήλαν, εἰ μὴ ἕλοιντο ποιεῖν ἃ βούλεται, ὅπλοις τὰ ἀμφίβολα διακριθήσεσθαι. Ἐπανελθόντων δὲ ἡμῶν ἐς τὴν σκηνήν, ὁ τοῦ Ὀρέστου πατὴρ ἧκε λέγων, ὡς ἀμφοτέρους ὑμᾶς Ἀττήλας ἐπὶ τὸ συμπόσιον παρακαλεῖ, γενήσεσθαι δὲ αὐτὸ περὶ θʹ τῆς ἡμέρας. Ὡς δὲ τὸν καιρὸν ἐφυλάξαμεν καὶ ἐπὶ τὸ δεῖπνον κληθέντες παρεγενόμεθα ἡμεῖς τε καὶ οἱ ἀπὸ τῶν ἑσπερίων Ῥωμαίων πρέσβεις, ἔστημεν ἐπὶ τοῦ οὐδοῦ ἀντία Ἀττήλα. Καὶ κύλικα οἱ οἰνοχόοι κατὰ τὸ ἐπιχώριον ἐπέδοσαν ἔθος, ὡς καὶ ἡμᾶς πρὸ τῆς ἕδρας ἐπεύξασθαι. Οὗ δὴ γενομένου, τῆς κύλικος ἀπογευσάμενοι ἐπὶ τοὺς θρόνους ἤλθομεν, οὗ ἔδει καθεσθέντας δειπνεῖν. Πρὸς δὲ τοῖς τοίχοις τοῦ οἰκήματος πάντες ὑπῆρχον οἱ δίφροι ἐξ ἑκατέρας πλευρᾶς. Ἐν μεσωτάτῳ δὲ ἧστο ἐπὶ κλίνης ὁ Ἀττήλας, ἑτέρας ἐξόπισθεν κλίνης ὑπαρχούσης αὐτῷ, μεθ' ἣν βαθμοί τινες ἐπὶ τὴν αὐτοῦ ἀνῆγον εὐνήν, καλυπτομένην ὀθόναις καὶ ποικίλοις παραπετάσμασι κόσμου χάριν, καθάπερ ἐπὶ τῶν γαμούντων Ἕλληνές τε καὶ Ῥωμαῖοι κατασκευάζουσι. Καὶ πρώτην μὲν ἐνόμιζον τῶν δειπνούντων τάξιν τὴν ἐν δεξιᾷ τοῦ Ἀττήλα, δευτέραν δὲ τὴν εὐώνυμον, ἐν ᾗ ἐτυγχάνομεν ὄντες, προκαθεσθέντος ἡμῶν Βερίχου, παρὰ Σκύθαις εὖ γεγονότος ἀνδρός. Ὁ γὰρ Ὀνηγήσιος ἐπὶ δίφρου ἧστο ἐν δεξιᾷ τῆς τοῦ βασιλέως κλίνης. Ἀντικρὺ δὲ τοῦ Ὀνηγησίου ἐπὶ δίφρου ἐκαθέζοντο δύο τῶν Ἀττήλα παίδων· ὁ γὰρ πρεσβύτερος ἐπὶ τῆς ἐκείνου ἧστο κλίνης, οὐκ ἐγγύς, ἀλλ' ἐπ' ἄκρου, αἰδοῖ τοῦ πατρὸς βλέπων ἐς γῆν. Πάντων δὲ ἐν κόσμῳ καθεστώτων, παρελθὼν οἰνοχόος τῷ Ἀττήλᾳ οἴνου κισσύβιον ἐπιδίδωσι. Δεξάμενος δὲ τὸν τῇ τάξει πρῶτον ἠσπάζετο. Ὁ δὲ τῷ ἀσπασμῷ τιμηθεὶς διανίστατο· καὶ οὐ πρότερον ἵζησαι θέμις ἦν, πρὶν ἢ τῷ οἰνοχόῳ ἀπογευσάμενος ἢ καὶ ἐκπιὼν ἀπέδωκε τὸ κισ-

---

cebat, illi servos esse exercituum duces, sibi vero viros imperatoribus Romanis dignitate pares. Et brevi quidem sibi potentiæ accessionem fore, quod et deus, Martis ense in lucem protracto, portenderit. Hic ensis tanquam sacer et deo bellorum præsidi dedicatus, a Scytharum regibus olim colebatur, et multis sæculis non visus, bovis ministerio fuerat tunc temporis erutus.

Dum ita de præsenti rerum statu confabulamur, Onegesius foras prodiit, ad quem, ut ex eo disceremus quæ nostræ curæ commissa fuerant, accessimus. Ille vero prius cum nescio quibus barbaris collocutus, quærere me ex Maximino jussit, quem Romani ex consularibus legatum ad Attilam essent missuri. Ut in tentorium veni, et Maximino, quæ mihi Onegesius dixerat, retuli, habita de eo, quod barbaris respondendum esset, deliberatione, redii, dixique Onegesio, Romanos magnopere desiderare, illum suarum cum Attila controversiarum disceptatorem ad se accedere. Qua spe si exciderint, imperatorem, quem sibi libuerit, legatum missurum. Extemplo me Maximinum arcessere jussit, quem, ut venit, ad Attilam deduxit. Unde non multo post Maximinus reversus, narravit barbarum velle imperatorem ad se mittere legatos aut Nomum aut Anatolium aut Senatorem, neque ullos alios præter hos admissurum. Et quum Maximinus objiceret minime convenire legatos, qui ad se mittantur, designando suspectos imperatori reddere, Attilam respondisse, si hæc abnuerint, armis se controversias disceptaturum. Reversis nobis in tentorium, ecce ad nos Orestis pater, « Vos ambos, inquit, ad convivium invitat Attilas; fiet vero illud ad nonam diei horam. » Tempore condicto observato, ut venimus, et una quoque Romanorum Occidentalium legati, stetimus in limine cœnaculi coram Attila. Tum pincernæ, ut mos est in illis regionibus, calicem tradiderunt, ut ante accubitum vota faceremus. Quo facto, et calice degustato, ipsa solia, in quibus nos sedentes cœnare oportebat, ascendimus. Omnia sedilia circa parietes cubiculi ab utraque parte disposita erant: medius in lecto sedebat Attilas, altero lecto a tergo strato, pone quem erant quidam gradus, qui ad ejus cubile ferebant, linteis candidis et variis tapetibus ornatus gratia contectum, simile cubilibus, quæ Romani et Græci nubentibus adornare pro more habent. Et primum quidem convivarum locum ejus habebant, qui ad Attilæ dextram sedebat, secundum ejus, qui ad lævam: in quo nos et Berichus, vir apud Scythas nobilis, sed Berichus superiore loco. Nam Onegesius in sella ad dextram regii thori, et e regione Onegesii duo ex Attilæ filiis sedebant. Senior enim in eodem, quo pater, throno, non prope, sed multum infra accumbebat, oculis præ pudore propter patris præsentiam semper in terram conjectis. Omnibus ordine sedentibus, qui Attilæ erat a poculis, ingrediens pateram vini tradit. Hanc ubi suscepit, proximum ordine salutavit, qui salutatione honoratus surrexit, neque prius eum sedere fas erat, quam

σύδιων. Καθεσθέντα δὲ αὐτὸν τῷ [αὐτῷ] τρόπῳ οἱ παρόντες ἐτίμων, δεχόμενοι τὰς κύλικας καὶ μετὰ τὸν ἀσπασμὸν ἀπογευόμενοι. Ἑκάστῳ δὲ εἷς οἰνοχόος παρῆν, ὃν ἔδει κατὰ στοῖχον εἰσιέναι, τοῦ Ἀττήλα οἰνοχόου ὑπεξιόντος. Τιμηθέντος δὲ καὶ τοῦ δευτέρου καὶ τῶν ἑξῆς, καὶ ἡμᾶς τοῖς ἴσοις ὁ Ἀττήλας ἐδεξιώσατο κατὰ τὴν τῶν θάκων τάξιν. Ὡ δὴ ἀσπασμῷ πάντων τιμηθέντων, ὑπεξῄεσαν μὲν οἱ οἰνοχόοι, τράπεζαι δὲ μετὰ τὴν τοῦ Ἀττήλα παρετίθεντο κατὰ τρεῖς καὶ τέτταρας ἄνδρας ἢ καὶ πλείους· ὅθεν ἕκαστος οἷός τε ἦν τῶν τῇ μαγίδι τοδι (ἰδίᾳ? Val.) ἐπιτιθεμένων μεταλαβεῖν μὴ ὑπεξιὼν τῆς τῶν θρόνων τάξεως. Καὶ πρῶτος εἰσῄει ὁ τοῦ Ἀττήλα ὑπηρέτης, κρεῶν πλήρη πίνακα φέρων, καὶ οἱ πᾶσι διακονούμενοι μετ' αὐτὸν σῖτον καὶ ὄψα ταῖς τραπέζαις ἐπέθεσαν. Ἀλλὰ τοῖς μὲν ἄλλοις βαρβάροις καὶ ἡμῖν πολυτελῆ δεῖπνα κατεσκεύαστο, κύκλοις ἐπικείμενα ἀργυροῖς· τῷ δὲ Ἀττήλᾳ ἐπὶ τοῦ ξυλίνου πίνακος ἦν οὐδὲν πλέον κρεῶν. Μέτριον δὲ ἑαυτὸν καὶ ἐν τοῖς ἄλλοις ἅπασιν ἐδείκνυ. Τοῖς γὰρ τῆς εὐωχίας ἀνδράσι κύλικες χρυσαῖ τε καὶ ἀργυραῖ ἐπεδίδοντο, τὸ δὲ αὐτοῦ ἔκπωμα ξύλινον ἦν. Λιτὴ δὲ αὐτῷ καὶ ἡ ἐσθὴς ἐτύγχανεν οὖσα, μηδὲν τῶν ἄλλων πλὴν τοῦ καθαρὰ εἶναι διαφυλάττουσα· καὶ οὔτε τὸ παρηωρημένον αὐτῷ ξίφος, οὔτε οἱ τῶν βαρβαρικῶν ὑποδημάτων δεσμοί, οὔτε τοῦ ἵππου ὁ χαλινός, ὥσπερ τῶν ἄλλων Σκυθῶν, χρυσῷ ἢ λίθοις ἢ τινι τῶν τιμίων ἐκοσμεῖτο. Τῶν δὲ ὄψων τῶν ἐν τοῖς πρώτοις πίναξιν ἐπιτεθέντων ἀναλωθέντων, πάντες διανέστημεν, καὶ οὐ πρότερον ἐπὶ τὸν δίφρον ἀναστὰς ἦλθε, πρὶν ἢ κατὰ τὴν προτέραν τάξιν ἕκαστος τὴν ἐπιδιδομένην αὐτῷ οἴνου πλήρη ἐξέπιε κύλικα, τὸν Ἀττήλαν σῶν εἶναι ἐπευξάμενος. Καὶ τοῦτον τιμηθέντος αὐτοῦ τὸν τρόπον ἐκαθέσθημεν, καὶ δεύτερος ἑκάστῃ τραπέζῃ ἐπετίθετο πίναξ ἕτερα ἔχων ἐδώδιμα. Ὡς δὲ καὶ αὐτοῦ οἱ πάντες μετέλαβον, καὶ τῷ αὐτῷ ἐξαναστάντες τρόπῳ, αὖθις ἐκπιόντες ἐκαθέσθημεν. Ἐπιγενομένης δὲ ἑσπέρας δᾷδες ἀνήφθησαν, δύο δὲ ἀντικρὺ τοῦ Ἀττήλα παρελθόντες βάρβαροι ᾄσματα πεποιημένα ἔλεγον, νίκας αὐτοῦ καὶ τὰς κατὰ πόλεμον ᾄδοντες ἀρετάς· ἐς οὓς οἱ τῆς εὐωχίας ἀπέβλεπον, καὶ οἱ μὲν ἥδοντο τοῖς ποιήμασιν, οἱ δὲ τῶν πολέμων ἀναμιμνησκόμενοι διηγείροντο τοῖς φρονήμασιν, ἄλλοι δὲ ἐχώρουν ἐς δάκρυα, ὧν ὑπὸ τοῦ χρόνου ἠσθένει τὸ σῶμα καὶ ἡσυχάζειν ὁ θυμὸς ἠναγκάζετο. Μετὰ δὲ τὰ ᾄσματα Σκύθης τις παρελθὼν φρενοβλαβής, ἀλλόκοτα καὶ παράσημα καὶ οὐδὲν ὑγιὲς φθεγγόμενος, ἐς γέλωτα πάντας παρεσκεύασε παρελθεῖν. Μεθ' ὃν ὑπεισῆλθε Ζέρκων ὁ Μαυρούσιος (vid. fr. 11)· ὁ γὰρ Ἐδέκων αὐτὸν παρὰ τὸν Ἀττήλαν ἐλθεῖν παρέπεισεν, ὡς τῇ ἐκείνου σπουδῇ τὴν γαμετὴν ἀποληψόμενον, ἣν κατὰ τὴν τῶν βαρβάρων εἰλήφει χώραν, τῷ Βλήδᾳ περισπούδαστος ὤν. Ἀπολελοίπει δὲ αὐτὴν ἐν τῇ Σκυθικῇ παρὰ τοῦ Ἀττήλα δῶρον Ἀετίῳ πεμφθείς. Ἀλλὰ τῆς μὲν τοιαύτης διήμαρτεν ἐλπίδος, τοῦ Ἀττήλα χαλεπήναντος, ὅτι γε δὴ ἐς τὴν αὐτοῦ ἐπανῆλθε. Τότε δὲ διὰ τὸν τῆς εὐωχίας καιρὸν παρελθὼν τῷ τε εἴδει καὶ τοῖς ἐσθήμασι καὶ τῇ φωνῇ καὶ τοῖς συγκεχυμένως παρ' αὐτοῦ προφερομένοις ῥήμασι· τῇ γὰρ Αὐσονίων τὴν τῶν Οὔννων καὶ τὴν τῶν Γότθων παραμιγνὺς γλῶτταν πάντας διέχεεν καὶ ἐς ἄσβεστον ὁρμῆσαι γέλωτα παρεσκεύασε, πλὴν Ἀττήλα. Αὐτὸς

---

merum degustans, aut etiam ebibens, poculum pocillatori redderet. Sedenti autem Attilæ eodem modo, qui convivio intererant, pocula suscipientes et post salutationem degustantes, honorem exhibebant. Unicuique vero unus pocillator aderat, quem, quum pincerna Attilæ exiret, introire suo ordine oportuit. Secundo et reliquis deinceps ad hunc modum honore affectis, Attilas nos quoque eodem modo salutavit secundum ordinem sellarum. Tum omnibus salutationis honore delato, pincernæ recesserunt. Mensæ vero juxta Attilæ mensam erant erectæ, excipiendis tribus et quattuor, aut etiam pluribus convivis idoneæ, ita ut quisque in sedili suo residens, de impositis mensæ ferculis commode sumere posset. Deinde primus in medium accessit Attilæ minister patinam carnibus plenam ferens; post ipsum qui panem ministrabant et obsonia mensis apposuerunt. Sed ceteris quidem barbaris et nobis lautissima cœna præparata erat et in discis argenteis reposita, Attilæ vero in quadra lignea, et nihil præter carnes. Moderatum pariter in reliquis omnibus sese præbebat. Convivis aurea et argentea pocula suppeditabantur; Attilæ poculum erat ligneum. Simplex admodum illius vestis nulla re, nisi munditie, ornata erat. Neque ejus ensis, neque calceorum barbarorum ligamina, neque ejus equi frena, ut reliquorum Scytharum, auro aut lapidibus aut alia quacunque re pretiosa erant ornata. Ut obsonia primorum ferculorum fuere consumpta, surreximus, neque prius quisquam nostrûm ad sedem suam est reversus, quam sibi traditam pateram vini plenam, servato priore ordine, Attilam salvum et incolumem precatus, ebibisset. Eo ad hunc modum honore culto, sedimus. Tum nova fercula cuique mensæ sunt illata, quæ alia continebant esculenta, ex quibus ubi omnes, quoad satis esset, comedissent, eodem modo surreximus, et epoto calice rursus consedimus. Adveniente vespere, facibusque accensis, duo Scythæ coram Attila prodierunt, et versus a se factos, quibus ejus victorias et bellicas virtutes canebant, recitarunt. In quos convivæ oculos defixerunt; et alii quidem versibus delectabantur, aliis bellorum recordatio animos excitabat, aliis manabant lacrimæ, quorum corpus ætate debilitatum erat et vigor animi quiescere cogebatur. Post cantus et carmina Scytha nescio quis mente captus absurda et inepta nec sani quicquam habentia effundens risum omnibus commovit. Postremo Zercon Maurusius introivit. Edecon enim illi persuaserat, ut ad Attilam veniret, omnem operam et studium pollicitus, quo uxorem recuperaret. Hanc enim, quum illi Bleda faveret, in barbarorum regione acceperat, eamque in Scythia, ab Attila ad Aetium dono missus, reliquerat. Sed hac spe frustratus est, quia Attilas illi succensuit, quod ad sua remigrasset. Itaque tunc arrepta festivitatis occasione, progressus et forma et habitu et pronuntiatione et verbis confuse ab eo prolatis, Romanæ Hunnorum et Gothorum linguam intermiscens, omnes lætitia implevit, et effecit ut in vehementem risum prorumperent. Sed Attilas

γὰρ ἔμενεν ἀστεμφὴς καὶ τὸ εἶδος ἀμετάτρεπτος, καὶ οὐδὲν οὔτε λέγων οὔτε ποιῶν γέλωτος ἐχόμενον ἐφαίνετο, πλὴν ὅτι τὸν νεώτατον τῶν παίδων (Ἠρνᾶς δὲ ὄνομα τούτῳ) εἰσιόντα καὶ παρεστῶτα εἷλκε τῆς παρειᾶς, γαληνοῖς ἀποβλέπων ὄμμασι πρὸς αὐτόν. Ἐμοῦ δὲ θαυμάζοντος ὅπως τῶν μὲν ἄλλων παίδων ὀλιγωροίη, πρὸς δὲ ἐκεῖνον ἔχοι τὸν νοῦν, ὁ παρακαθήμενος βάρβαρος, συνιεὶς τῆς Αὐσονίων φωνῆς καὶ τῶν παρ' αὐτοῦ μοι ῥηθησομένων μηδὲν ἐκλέγειν προειπών, ἔφασκε τοὺς μάντεις τῷ Ἀττήλᾳ προηγορευκέναι, τὸ μὲν αὐτοῦ πεσεῖσθαι γένος, ὑπὸ δὲ τοῦ παιδὸς ἀναστήσεσθαι τούτου. Ὡς δὲ ἐν τῷ συμποσίῳ εἵλκον τὴν νύκτα, ὑπεξήλθομεν, ἐπὶ πολὺ μὴ βουληθέντες τῷ πότῳ προσκαρτερεῖν.

Ἡμέρας δὲ γενομένης ἐπὶ τὸν Ὀνηγήσιον ἤλθομεν, χρῆναι ἡμᾶς διαφεθῆναι λέγοντες καὶ μὴ τηνάλλως τρίβειν τὸν χρόνον. Καὶ ὃς ἔφη ἐθέλειν καὶ τὸν Ἀττήλαν ἀποπέμπειν ἡμᾶς. Καὶ μικρὸν διαλιπὼν ἅμα τοῖς λογάσιν ἐβουλεύετο περὶ τῶν Ἀττήλᾳ δεδογμένων, καὶ τὰ βασιλεῖ ἀποδοθησόμενα συνέταττε γράμματα, ὑπογραφέων αὐτῷ παρόντων καὶ Ῥουστικίου, ἀνδρὸς ὁρμωμένου μὲν ἐκ τῆς ἄνω Μυσίας, ἁλόντος δὲ ἐν τῷ πολέμῳ, καὶ διὰ λόγων ἀρετὴν τῷ βαρβάρῳ ἐπὶ τῇ τῶν γραμμάτων διαπονουμένου συντάξει. Ὡς δὲ ἐκ τῆς συνόδου διανέστη, ἐδεήθημεν αὐτοῦ περὶ λύσεως τῆς Σύλλου γαμετῆς καὶ τῶν ἐκείνης παίδων, ἐν τῇ Ῥατιαρίας ἀνδραποδισθέντων ἁλώσει. Καὶ πρὸς μὲν τὴν αὐτῶν οὐκ ἀπηγόρευσε λύσιν, ἐπὶ πολλοῖς δὲ σφᾶς ἐβούλετο χρήμασιν ἀπεμπολᾶν. Ἡμῶν δὲ ἐλεεῖν αὐτοὺς τῆς τύχης ἱκετευσάντων, τὴν προτέραν εὐδαιμονίαν λογιζόμενον, διέβη τε πρὸς τὸν Ἀττήλαν, καὶ τὴν μὲν γυναῖκα ἐπὶ πεντακοσίοις διαφῆκε χρυσοῖς, τοὺς δὲ παῖδας δῶρον ἔπεμπε βασιλεῖ. Ἐν τούτῳ δὲ καὶ ἡ Ῥέκαν (leg. καὶ Κρέκα, ut supra) ἡ τοῦ Ἀττήλα γαμετὴ παρὰ Ἀδάμει τῶν αὐτῆς πραγμάτων τὴν ἐπιτροπὴν ἔχοντι δειπνεῖν ἡμᾶς παρεκάλει. Καὶ παρ' αὐτὸν ἐλθόντες ἅμα τισὶ τῶν ἐκ τοῦ ἔθνους λογάδων φιλοφροσύνης ἐτύχομεν. Ἐδεξιοῦτο δὲ ἡμᾶς μειλιχίοις τε λόγοις καὶ τῇ τῶν ἐδωδίμων παρασκευῇ. Καὶ ἕκαστος τῶν παρόντων Σκυθικῇ φιλοτιμίᾳ κύλικα ἡμῖν πλήρη διανιστάμενος ἐδίδου, καὶ τὸν ἐκπιόντα περιβαλὼν καὶ φιλήσας ταύτην ἐδέχετο. Μετὰ δὲ τὸ δεῖπνον ἐπὶ τὴν σκηνὴν ἐλθόντες ἐς ὕπνον ἐτράπημεν. Τῇ δὲ ὑστεραίᾳ ἐπὶ συμπόσιον αὖθις ἡμᾶς Ἀττήλας ἐκάλει, καὶ τῷ προτέρῳ τρόπῳ παρά τε αὐτὸν εἰσήλθομεν καὶ ἐς τὴν εὐωχίαν ἐτράπημεν. Συνέβαινε δὲ ἐπὶ τῆς κλίνης ἅμα αὐτῷ μὴ τὸν πρεσβύτερον τῶν παίδων ἧσθαι, ἀλλὰ γὰρ Ὠηβάρσιον, θεῖον αὐτῷ τυγχάνοντα πρὸς πατρός. Παρὰ πᾶν δὲ τὸ συμπόσιον λόγοις φιλοφρονούμενος φράζειν ἡμᾶς βασιλεῖ παρεκελεύετο τῷ Κωνσταντίῳ, ὃς αὐτῷ παρὰ Ἀετίου ἀπέσταλτο ὑπογραφέως χάριν, διδόναι ἣν αὐτῷ γυναῖκα καὶ ὑπέσχετο. Παρὰ γὰρ τὸν βασιλέα Θεοδόσιον ἅμα τοῖς σταλεῖσι παρὰ τοῦ Ἀττήλα πρέσβεσιν ἀφικόμενος ὁ Κωνστάντιος τὴν εἰρήνην Ῥωμαίοις καὶ Σκύθαις ἔφησεν ἐπὶ μακρὸν φυλάττεσθαι χρόνον παρασκευάσειν, ἂν αὐτῷ γυναῖκα εὔπορον δοίη. Καὶ πρὸς τοῦτο ἐπένευσε βασιλεύς, καὶ Σατορνίλου περιουσίᾳ καὶ γένει κοσμουμένου θυγατέρα

---

semper eodem vultu, omnis mutationis expers, et immotus permansit, neque quicquam facere aut dicere, quod jocum aut hilaritatem præ se ferret, conspectus est: præterquam quod juniorem ex filiis introeuntem et adventantem, nomine Ernas, placidis et lætis oculis est intuitus, et eum gena traxit. Ego vero quum admirarer, Attilam reliquos suos liberos parvi facere, ad hunc solum animum adjicere, unus ex barbaris, qui prope me sedebat et Latinæ linguæ usum habebat, fide prius accepta, me nihil eorum, quæ dicerentur, evulgaturum, dixit vates Attilæ vaticinatos esse, ejus genus, quod alioquin interiturum foret, ab hoc puero restauratum iri. Ut vero convivium ad multam noctem protraxerunt, non diutius nobis compotationi indulgendum esse rati, exivimus.

Fr. 1. Amorcesus ex Persia profugus partem Arabiæ Petrææ et Jotaben insulam sibi subjicit. Fœdus cum Romanis initurus Petrum episcopum Saracenorum ad Leonem mittit, deinde ipse ad imp. venit, votique compos honoribusque affectus revertitur. Hac in re Leo pacta violavit cum Persis inita (473 p. C.) — 2. Leo Pelagium Silentiarium ad Gothos in Thraciam legatum mittit. Theoderichus, Triarii f., Gothorum in Thracia princeps, præter alia Asparis hereditatem sibi reddi et magistri militum munus dari postulat. Nihil obtinens, vastat Thraciam et Arcadiopoli potitur. Tandem pacem init cum Leone, qui tributum pollicetur et summi ducis munus ei concedit (473). — 2 *a*. De Leone imp. judicium. — 3. Severus, senator et patricius, a Zenone legatus mittitur ad Vandalorum regem (Genserichum), qui imp. de pace propositiones admittit. Multos captivos Severus, vir integerrimus, redimit (465). — 4. Heraclius, Zenonis dux, a Theudericho in Thracia captus redimitur; in reditu a Gotho quodam occiditur (475). — 5. Ejus indoles. — 6. Erythrius, præfectus prætorio, munere se abdicat (475). — 7. Basilisci indoles. Ejus avaritia sævæque exactiones, dum, pulso Zenone, regnum obtinebat (475-477). — 8. Harmatii et Zenonidis amores. Ad summos honores evecti fatua insolentia. A Zenone per Onulphum Illyrium interficitur (477). — 9. Zeno in Isauria clade affectus in Constantinopolim castellum confugit (Jun. 476). De Zenone judicium. Ejus filius, juvenis vitiis obrutus, moritur. — 10. Zenone jam in regnum restituto (Jul. 477), Odoacer et Nepos Augustulus, legationibus eodem tempore Byzantium missis, amicitiam imperatoris ambiunt (477 vel 478 init.). — 11. Theuderichus Trarii filius, Basilisci tyranni amicus, qui post reditum Zenonis in Thraciam reversus erat, legatos de reconciliatione ad imperatorem mittit; incassum (478). — 12. Pecuniæ summa, quam præfectus Ægypti muneris obtinendi causa solvebat. — 13. Honorichus, Genserichi f. et successor, homo ignavus, de amicitia et societate legatos mittit (478). — 14. Quum Theuderichi, Valamiri f., qui Romanorum socius erat, potentia minui videretur, Theuderichus autem, Triarii f. hostisque Rom., multas gentes sibi conciliaret, Zeno inimicitias componere studet. Conditionibus a Triarii filio repudiatis, bellum parat. — 15. Theuderichus, Valamiri f., contra Theuderichum, Triarii f., Marcianopoli proficiscitur, rogante Zenone et auxiliares copias promittente. Verum non stante promissis Zenone, Theuderichus auxiliis Rom. destitutus, pacem ac fœdus cum Triarii filio init. — 16. Valamiri filius legatis ad Zenonem missis exponit cur cum Triarii filio fœdus fecerit; terras, frumenta et pecunias poscit. Similiter Theuderichus Triarii filius tributa et affinium suorum redditionem exigit. Zeno copias undique contrahit; ipse militem ducturus est; mox ad insitam ignaviam relapsus, ob militum seditionem castra dissolvere cogitur (479). — 17. Theudericho Valamiri f. Thraciam vastante, Zeno pacem facit cum Theudericho Triarii filio. Pacis conditiones (479). — 18. Theuderichus Valamiri f. gravibus damnis a Romanis afficitur. Deinde vero Stobos in Macedonia vastat; Thessalonicam oppugnare parat; Zenonis precibus commotus Macedoniæ vastationem inhibet; Epirum invadit; a Lychnide repulsus, Scampsiam et Epidamnum capit. Ejus cum Adamantio colloquium. A Sabiniano duce clade afficitur (479). — 19. Theuderichus Triarii f., audita Marciani seditione, Byzantium proficiscitur, verbo tenus ut opem Zenoni ferret, reapse ut urbe potiretur. Vix Zeno obtinet, ut copias a Byzantio Theud. reducat (479). — 20. De Pamprepio Ægyptio Hilli familiari.

BYZANTIAKA

ἐν βιβλίοις ἑπτά.

1. (473 p. C. Leonis an. 17.)

Exc. De leg. gent. p. 91. 92 Par.: Ὅτι ἐν τῷ ἑπτακαιδεκάτῳ ἔτει τῆς βασιλείας Λέοντος τοῦ Μακέλλου, πάντων πανταχόθεν τεταράχθαι δοκούντων,

---

BYZANTINA LIBRIS SEPTEM.

I.

Septimo decimo imperii Leonis Macelli anno, quum ingens undique rerum perturbatio esse videretur, advenit quidam Arabum Scenitarum, quos vocant Saracenos, sacerdos eorum, qui sunt apud eos Christiani; ejus adventus hæc fuit causa. Quum tempore Theodosii exortum esset inter

ἀφικνεῖταί τις τῶν σκηνιτῶν Ἀράβων, οὓς καλοῦσι Σαρακηνούς, ἱερεὺς τῶν παρ' ἐκείνοις Χριστιανῶν, ἐξ αἰτίας τοιαύτης. Πέρσαι καὶ Ῥωμαῖοι σπονδὰς ἐποιήσαντο, ὅτε ὁ μέγιστος πρὸς αὐτοὺς ἐπὶ Θεοδοσίου συνεῤῥάγη πόλεμος, μὴ προσδέχεσθαι τοὺς ὑποσπόνδους Σαρακηνούς, εἴ τις ἐς ἀπόστασιν νεωτερίσαι προέλοιτο. Ἐν δὲ τοῖς Πέρσαις ἦν ὁ Ἀμόρκεσος τοῦ Νοκαλίου γένους· καὶ εἴτε τιμῆς οὐ τυγχάνων ἐν τῇ Περσίδι γῇ, ἢ ἄλλως τὴν Ῥωμαίων χώραν βελτίω νενομικώς, ἐκλιπὼν τὴν Περσίδα εἰς τὴν γείτονα Πέρσαις Ἀραβίαν ἐλαύνει. Κἀντεῦθεν ὁρμώμενος προνομὰς ἐποιεῖτο καὶ πολέμους Ῥωμαίων μὲν οὐδενί, τοῖς δὲ ἀεὶ ἐν ποσὶν εὑρισκομένοις Σαρακηνοῖς. Ἀφ' ὧν καὶ τὴν δύναμιν αὔξων προῄει κατὰ μικρόν. Μίαν δὲ τῶν Ῥωμαίων παρεσπάσατο νῆσον Ἰωτάβην ὄνομα· καὶ τοὺς δεκατηλόγους ἐκβαλὼν τῶν Ῥωμαίων αὐτὸς ἔσχε τὴν νῆσον, καὶ τὰ τέλη ταύτης λαμβάνων χρημάτων εὐπόρησεν οὐκ ὀλίγων ἐντεῦθεν. Καὶ ἄλλας δὲ ὁ αὐτὸς Ἀμόρκεσος τῶν πλησίον ἀφελόμενος κωμῶν, ἐπεθύμει Ῥωμαίοις ὑπόσπονδος γενέσθαι καὶ φύλαρχος τῶν κατὰ Πετραίαν ὑπὸ Ῥωμαίοις ὄντων Σαρακηνῶν. Πέμπει οὖν πρὸς Λέοντα τὸν βασιλέα Ῥωμαίων Πέτρον ἐπίσκοπον τῆς φυλῆς τῆς ἑαυτοῦ, εἴ πως δύναιτο ταῦτα πείσας ποτὲ διαπράξασθαι. Ὡς δ' ἀφίκετο καὶ διελέχθη τῷ βασιλεῖ, δέχεται τοὺς λόγους ὁ βασιλεύς, καὶ μετάπεμπτον εὐθὺς ποιεῖται τὸν Ἀμόρκεσον ἐλθεῖν πρὸς αὐτόν, ἀβουλότατα τοῦτο διανοησάμενος καὶ ποιήσας. Εἰ γὰρ δὴ καὶ φύλαρχον χειροτονῆσαι προῄρητο, ἔδει πόῤῥωθεν ὄντι τῷ Ἀμορκέσῳ τοῦτο προστάξαι, ἕως καὶ τὰ Ῥωμαίων ἐνόμιζε φοβερά, καὶ τοῖς ἄρχουσιν ἀεὶ τοῖς τυχοῦσι Ῥωμαίων ἔμελλεν ἥκειν ὑποπεπτηχώς, καὶ τήν γε προσηγορίαν βασιλέως ἀκούων αὐτήν. Καὶ γὰρ διὰ πολλοῦ κρεῖττόν τι τῶν ἀνθρώπων εἶναι τῶν ἄλλων ἐνόμιζε. Νῦν δὲ πρῶτον μὲν αὐτὸν διὰ πόλεων ἦγεν, ἃς ἔμελλεν ὄψεσθαι τρυφῆς μόνον γεμούσας, ὅπλοις δὲ οὐ χρωμένας· ἔπειτα δέ, ὡς ἀνῆλθεν ἐς Βυζάντιον, δέχεται παρὰ τοῦ βασιλέως ἀσμένως, [ὃς] καὶ τραπέζης κοινωνὸν βασιλικῆς ἐποιήσατο, καὶ βουλῆς προκειμένης μετὰ τῆς γερουσίας συμπαρεῖναι ἐποίει· καὶ τό γε δὴ αἴσχιστον ὄνειδος τῶν Ῥωμαίων, ὅτι καθέδραν αὐτῷ τὴν πρωτοπατρικίων ἀποδοθῆναι ἐκέλευσε σχηματισάμενος ὁ βασιλεύς, ὅτι δὴ Χριστιανὸς ἀνεπείσθη γενέσθαι· καὶ τέλος ἀπέπεμψεν αὐτόν, ἰδίᾳ μὲν παρ' αὐτοῦ εἰκόνα τινὰ χρυσῆν καὶ κατάλιθον λαβὼν (λαβόντα c. N.), σφόδρα τε οὖσαν πολυτελῆ, καὶ τῶν ἄλλων κελεύσας ἕκαστον εἰσενεγκεῖν, ὅσοι ἐτέλουν ἐς τὴν βουλήν. Τὴν δὲ νῆσον ἐκείνην, ἧς ἐμνήσθημεν πρόσθεν, οὐ μόνον κατέλιπεν αὐτῷ ἔχειν βεβαίως, ἀλλὰ καὶ ἄλλας αὐτῷ κώμας προσέθηκε πλείονας. Ταῦτα παρασχὼν Ἀμορκέσῳ ὁ Λέων καὶ τῶν φυλῶν ἄρχοντα, ὧν ἤθελε, ποιήσας, ἀπέπεμψεν ὑψηλόν, καὶ ὅσος οὐκ ἔμελλε τοῖς δεξαμένοις λυσιτελεῖν. Cf. Tillemont. VI, p. 417.

2. (473 p. C. Leon. an. 17.)

Ibidem p. 92. 93 : Ὅτι ὁ αὐτὸς Λέων βασιλεὺς ἀπέστειλε πρὸς τοὺς ἐν τῇ Θρᾴκῃ βαρβάρους πρεσβευτὴν Τελόγιον (Πελάγιον vel Εὐλόγιον conj. N.) τὸν σιλεντιάριον. Οἱ δὲ βάρβαροι τοῦτον ἀσμένως δεξάμενοι ἀντιπέμπουσι πρέσβεις πρὸς τὸν βασιλέα, φίλοι Ῥωμαίων εἶναι βουλόμενοι. Ἠτήσαντο δὲ τρία, πρῶτον

Persas et Romanos maximum bellum, fœdere rem transegerunt. Eo fœdere cavebatur, ne alterutri admitterent Saracenos, qui in eorum fide et ditione essent, si forte quis deficiens res novas moliri tentaret. Apud Persas erat Amorcesus genere Nocalius : is, sive quod nullo honore apud eos haberetur, sive Romanorum regionem incolere potius duceret, Persidem relinquens, in vicinam Persis Arabiam migravit. Hinc excurrens, rapinas et cetera hostilia exercebat in Romanorum quidem neminem, sed in Saracenos, quos passim offendebat. Sic potentiam suam augens, paulatim crevit, et unam ex insulis, quæ Romanis parebant, sibi subjecit Iotaben (*nunc Iaboa*) nomine, qua, expulsis decimarum exactoribus, potitus est. Itaque tributa colligens, quum etiam ex proximis vicis multas prædas egisset, non parvam pecuniarum summam ibi paravit. Deinde Romanorum confœderatus et Saracenorum, qui in Arabia Petræa sub Romanis degunt, princeps esse magnopere cupiebat. Quamobrem ad Leonem imperatorem mittit Petrum, ejus gentis episcopum, qui, si qua ratione posset, ab imperatore hæc impetraret. Ut venit et cum imperatore verba fecit, sermones ejus imperator excipit, et Amorcesum statim ad se vocat. Quæ sane inconsultissime et sensit et fecit. Etenim, si ipsum ejus gentis principem creare constituisset, oportuerat eum e longinquo hoc mandare, ut Romanorum imperium illi semper formidini esset, et ad solum nomen imperatoris, quibuslibet Romanorum magistratibus ad se accedentibus, tremeret. Sic enim multo majus quid et præstantius reliquis hominibus eum esse credidisset. At ille hominem per urbes circumduxit, quas visurus erat armis vacuas et deliciis plenas. Hunc, ut Byzantium venit, imperator benigne excipit, et regiæ mensæ participem fecit. Senatui quoque, quem indixit, interesse, et illi, quod fœdissimum Romanorum probrum fuit, sellam poni ante omnes patricios jussit, ficta causa, quod Christianus fieri persuasus esset. Postremo dimisit eum, postquam ipse imaginem auream, magnifice gemmis exornatam, ei donaverat, et in eum etiam omnes, qui in senatum erant adscripti, alia munera conferre jusserat. Insulam vero, cujus supra mentionem fecimus, non solum ejus potestati permisit, ut eam sine controversia possideret : sed et plures alios vicos adjecit. Quum his illum beneficiis ornasset et phylarchum, ut optaverat, constituisset, elatum et superbientem et talem, qui non esset iis, qui benigne eum exceperant, profuturus, dimisit.

2.

Leo imperator misit *Pelagium* silentiarium legatum ad barbaros, qui in Thracia erant. Barbari lubenti animo legatum exceperunt, et legatos ipsi quoque ad imperatorem, Romanorum amici esse cupientes, miserunt, per quos tria ab eo petiere : primum ut Theuderichus, Triarii f., eorum dux, omni hereditate, quam illi reliquerat Aspar

Θευδέριχον τὸν κατάρχοντα αὐτῶν τὴν κληρονομίαν ἀπολαβεῖν, ἣν ἀφῆκεν αὐτῷ Ἄσπαρ, δεύτερον νέμεσθαι τὴν Θρᾴκην συγχωρηθῆναι αὐτῷ, τρίτον καὶ στρατηλάτην γενέσθαι τῶν ταγμάτων, ὧνπερ καὶ Ἄσπαρ ἡγήσατο. Καὶ ὁ μὲν βασιλεὺς πρὸς τὰ δύο παντελῶς ἀπείπατο, μόνον δὲ περὶ τῆς στρατηγίας κατένευσεν, εἰ φίλος αὐτοῦ γένηται ἀδόλως. Καὶ οὕτω τοὺς πρέσβεις ἀπέπεμψεν. Ὁ δὲ Θευδέριχος ὁ τῶν βαρβάρων ἀρχηγὸς, τοὺς πρέσβεις αὐτοῦ δεξάμενος ἐκ τοῦ βασιλέως ἀπράκτους, τὸ μὲν τῆς δυνάμεως αὐτοῦ ἐς Φιλίππους ἐκπέμπει, τῷ δὲ προσεκάθητο τὴν Ἀρκαδιούπολιν μηχανῇ πάσῃ πολιορκῶν. Καὶ ταύτην παραλαμβάνει οὐχ ὅπλοις, ἀλλὰ λιμῷ τοὺς ἔνδον τοῦ ἄστεος ἰσχυρῶς στενοχωρήσαντι. Καὶ γὰρ καὶ ἵππων καὶ ὑποζυγίων καὶ νεκρῶν σωμάτων ἥψαντο, καρτεροῦντες εἴ ποθεν αὐτοῖς ἔλθοι βοήθεια. Τῆς δὲ μὴ παρούσης, ἀπήλπισαν καὶ ἐνέδωκαν. Οἱ δὲ ἐκπεμφθέντες ἐπὶ Φιλίππους τὰ πρὸ τοῦ ἄστεος ἐνέπρησαν μόνον, οὐδὲν δὲ ἄλλο δεινὸν εἰργάσαντο. Καὶ τούτων οὕτω λυμαινομένων τὴν Θρᾴκην, ὅμως καὶ αὐτοὶ οἱ βάρβαροι ὑπὸ τοῦ λιμοῦ συνεχόμενοι πρεσβείαν πέμπουσι περὶ εἰρήνης πρὸς τὸν βασιλέα. Καὶ γίνεται ἡ σύμβασις τῶν ὅρκων ἐπὶ τούτοις, τοῖς μὲν Γότθοις δίδοσθαι κατ' ἔτος χρυσίου λίτρας δισχιλίας, τὸν δὲ Θευδέριχον καθίστασθαι στρατηγὸν δύο στρατηγιῶν τῶν ἀμφὶ βασιλέα, αἵπερ εἰσὶ μέγισται (εἰς τὴν ἑτέραν γῆν)· αὐτῶν δὲ τῶν Γότθων αὐτοκράτορα εἶναι, καὶ μηδένας ἐξ αὐτῶν ἀποστῆναι θέλοντας [εἰς τὴν σφετέραν γῆν ex antec. suppl. Vales.] τὸν βασιλέα δέχεσθαι· συμμαχεῖν δὲ τῷ βασιλεῖ εἰς πᾶν, ὅ τι κελεύοι, πλὴν ἐπὶ μόνων τῶν Βανδήλων. V. Tillemont. VI, p. 414.

2. *a*.

Suidas : Λέων βασιλεὺς Ῥωμαίων, ὁ Μακέλλης. Ὃς ἔδοξε τῶν πρὸ αὐτοῦ βασιλέων ἁπάντων εὐτυχέστατος εἶναι, καὶ φοβερὸς ἅπασι τοῖς τε ὑπ' ἐκείνου τὴν βασιλείαν τελοῦσι, καὶ τῶν βαρβάρων αὐτῶν ὅσοις εἰς φήμην ἀφίκετο. Καὶ ταύτην μὲν τοῖς πολλοῖς καταλέλοιπε τὴν δόξαν. « Ἐγὼ δὲ, φησὶ Μάλχος, εὐτυχίαν οὐκ οἶμαι, εἴ τις τῶν ἀρχομένων τὰ ὄντα διασυλῶν, καὶ μισθούμενος ἀεὶ συκοφάντας εἰς τοῦτο, καὶ κατηγορῶν αὐτὸς, ὅτε μὴ ἄλλον ἀνηύρισκε, καὶ τὸν χρυσὸν ἐξ ἁπάσης τῆς γῆς συλλεξάμενος ἑαυτῷ μόνῳ κατάθοιτο, ἐρήμους μὲν τὰς πόλεις ἧσπερ ἔμπροσθεν εἶχον εὐπορίας ποιήσας, ὡς μηκέτι τοὺς φόρους, οὓς ἐτέλουν, δύνασθαι μετ' εὐχερείας ἀπενεγκεῖν. » Καὶ ἁπλῶς πάσης κακίας ἀπισχυρίζετο ὁ Μάλχος γενέσθαι αὐτὸν καταγώγιον· ὅς γε καὶ Ὑπερέχιον τὸν γραμματικὸν ἐφυγάδευσε. Καί ποτε τῷ Εὐλογίῳ τῷ φιλοσόφῳ σιτηρέσιον εἰπὼν δοθῆναι, τινὸς τῶν εὐνούχων λέγοντος, ὅτι ταῦτα εἰς στρατιώτας προσήκει δαπανᾶσθαι, εἶπεν· « εἴθε γένοιτο ἐπὶ τοῦ ἐμοῦ χρόνου, ὥστε τὰ τῶν στρατιωτῶν εἰς διδασκάλους παρέχεσθαι. » Postrema inde ab ὅς γε καὶ Ὑπερέχιον κτλ. num ejusdem Malchi sint, vel certe num eodem loco dicta fuerint, dubium.

3. (475. Zenon. an. 2.)

Exc. De leg. Rom. p. 87 : Ὅτι Ζήνων ἀνὴρ ὢν ἀπόλεμος ἄγαν, καὶ πολλῆς πανταχόθεν ταραχῆς ἐφεστώσης, ἔγνω πρὸς τὸν Βάνδηλον εἰς Καρχηδόνα πρεσβεύσασθαι. Καὶ Σευῆρον ἐκ τῆς βουλῆς πρεσβευτὴν αἱρεῖται, ἄνδρα καὶ σωφροσύνῃ διαφέρειν δοκοῦντα καὶ τῷ ἐθέλειν τὰ δίκαια. Καὶ πατρίκιον αὐτὸν ποιήσας

(*matris Theud. frater*), frueretur : secundum, ut liceret illi in Thracia habitare : tertium, ut et eorum ordinum, quorum Aspar fuerat, dux esset. Prima duo omnino denegavit imperator. Solum tertium, ut dux fieret, dummodo sine fraude ejus amicus esset, concedit, et ita legatos dimisit. Sed Theuderichus, barbarorum princeps, ubi legatos suos ab imperatore re infecta reversos excepit, suarum copiarum partem Philippos misit; cum altera parte Arcadiopolim omni apparatu oppugnaturus obsedit. Neque tamen eam armis cepit, sed fame, quæ oppidanos adeo premebat, ut equis et aliis jumentis et mortuorum corporibus, exspectantes, si qua ex parte auxilium adveniret, vescerentur. Quo non adveniente, in extremam desperationem adducti, deditionem fecerunt. Qui vero missi erant Philippos, solum ea quæ circa urbem erant, combusserunt, neque quicquam præterea atrox aut grave commiserunt. His ita in Thracia grassantibus, nihilo secius ipsi barbari fame coacti legatos ad imperatorem miserunt, qui de pace agerent, quæ his conditionibus est facta : ut duo millia librarum auri Gothis singulis annis penderentur : Theuderichus magister equitum et peditum præsentis militiæ constitueretur, quæ dignitas maxima habetur, ipsorumque rex Gothorum esset, neque quisquam eorum, qui ab eo deficere voluerit, ab imperatore in regionem suam admitteretur; denique ut contra quemcunque voluerit imperator, exceptis Vandalis, a parte imperatoris pugnaret.

2. *a*.

Leo Lanio imperator Romanorum, qui omnium imperatorum, qui ante ipsum fuerunt, felicissimus esse visus est et formidabilis omnibus, tam ipsius imperio subjectis populis, quam ipsis barbaris, ad quos ejus fama pervenisset. Et hanc quidem de se opinionem vulgo reliquit. « Ego vero, inquit Malchus, felicitatem non existimo, si quis populorum imperio suo parentium fortunas diripiens, et ad hoc sycophantas semper mercede conducens, et ipse accusans, quum alios non invenerit, qui hoc faciant, et aurum ex universo terrarum orbe collectum sibi soli reponit; et urbes rerum copia, quam prius habebant, spoliat, ut non possint amplius facile pendere tributa, quæ pendebant. » Denique Malchus affirmat, illum omnis improbitatis deversorium fuisse. Idem et Hyperechium grammaticum in exilium egit. Quum autem quondam Eulogio philosopho stipendium dari jussisset, et quidam ex eunuchis dixisset, hanc pecuniam in milites impendendam esse, dixit : « Utinam ævo meo contingat, ut stipendia militum in doctores conferantur! »

3.

Quum multi undique tumultus exorti essent, Zenoni, homini admodum imbelli, venit in mentem ad (*Genserichum*) Vandalum legationem Carthaginem mittere, et Severum ex senatu legatum deligit, virum, qui temperantia

ἀποπέμπει, ὅπως ἐκ τῆς ἀξίας τῆς πρεσβείας τὸ σχῆμα κατασκευάσοι σεμνότερον. Καὶ ὁ μὲν ἐξέπλευσεν, ὁ δὲ Βάνδηλος μαθὼν, ὅτι ἥξοι πρεσβεία, φθάσας ἔκπλουν ποιεῖται, καὶ Νικόπολιν εἷλεν. Ὁ δὲ πρεσβευτὴς Σευῆρος διαβὰς ἀπὸ Σικελίας εἰς Καρχηδόνα ἀφῖκτο, καὶ πολλὰ διὰ τὸν ἔκπλουν ἐμέμφετο τὸν Βάνδηλον. Ὁ δὲ τὰ μὲν ἔλεγεν ὡς πολέμιος πρᾶξαι· τὸν δὲ περὶ τῆς εἰρήνης, ἐπειδὴ πρεσβεύοιτο, νῦν ἔφη λόγον προσδέχεσθαι. Τοῦ δὲ Σευήρου τό τε σῶφρον τοῦ βίου θαυμάσας καὶ τῶν λόγων ἠγάσθη, καὶ τῆς δικαιοσύνης ἀεὶ πεῖραν λαμβάνων πᾶν ἕτοιμος ἦν ποιεῖν, ὅπερ ἐκεῖνος προβάλλοιτο. Μάλιστα δὲ ἔδοξεν αὐτῷ δίκαιος εἶναι, ὅτι, τὰ χρήματα αὐτῷ τοῦ βαρβάρου διδόντος καὶ τὰ πρέποντα δῶρα πρεσβευτῇ δωρούμενος, ἀπεσείσατο πάντα, εἰπὼν ὡς ἀντὶ τούτων δῶρόν ἐστιν εὔσχημον πρεσβεύοντι ἀνθρώπῳ τοὺς αἰχμαλώτους κομίσασθαι. Ὁ δὲ τῆς διανοίας ἐπαινέσας τὸν ἄνδρα, « οὓς μὲν, » ἔφησε « σὺν τοῖς ἐμοῖς υἱέσι τῶν αἰχμαλώτων ἀπέλαχον, τούτους σοι πάντας ἀφίημι· ἣν δὲ τὸ πλῆθος αὐτῶν κατενείματο μοῖραν, τούτους σοὶ μὲν ἐξέσται παρ' ἑκόντων, εἰ βούλει, πρίασθαι τῶν ἐχόντων, αὐτὸς δ' ἂν οὐ δυναίμην οὐκ ἐθέλοντας ταῦτα τοὺς εἰληφότας βιάσασθαι. » Ἐνταῦθα ὁ Σευῆρος ἀπέλυσε μὲν προῖκα οὓς αὐτὸς εἶχεν ὁ Βάνδηλος· ἃ δὲ εἶχε χρήματα, καὶ ἐσθῆτα καὶ σκεύη πάντα ὑπὸ κήρυκι δημοσίᾳ πωλήσας, τούτοις ὅσους ἴσχυσε τῶν αἰχμαλώτων ἐπρίατο. Gensericus si mortuus est initio anni 477, paulo post pacem cum Zenone initam: sequitur legationem nostram (quam ad Gensericum, non vero ad filium ejus effeminatum missam esse dubium non est) fugam Zenonis (an 475 Nov.) antecedere. V. Tillemont. VI, p 480. Cf. tamen id. p. 640.

4. (475.)

Exc. De leg. Rom. p. 87. 88: Ὅτι Ζήνων ὁ βασιλεὺς πρὸς τὸν ἀρχηγὸν τῶν Γότθων πρεσβευσάμενος περὶ Ἡρακλείου τοῦ στρατηγοῦ τοῦ κρατηθέντος παρὰ τῶν Γότθων, ὑπέσχετο ἐπὶ λύτροις ἀφήσειν, καὶ τὰ λύτρα ἑκατὸν συνωμολόγησε τάλαντα. Ταῦτα τοὺς προσήκοντας Ἡρακλείῳ Ζήνων ἐκέλευσε παρασχεῖν, ἵνα μὴ δοκοίη λελυμένος ὑπ' ἄλλων ἐν δούλου γενέσθαι σχήματι. Πέμπεται δὲ εἰς Θρᾴκην τοῖς Γότθοις τὰ χρήματα. Οἱ δὲ ἐδέξαντο μὲν, καὶ δῆθεν ἐκ τῆς φρουρᾶς ἀνιᾶσιν Ἡράκλειον· προϊόντι δὲ αὐτῷ ἐν Ἀρκαδίου πόλει προστρέχουσί τινες Γότθοι, καὶ βαδίζοντι τῷ Ἡρακλείῳ τις ἐκ τῶν Γότθων βίᾳ τὸν ὦμον ἔπαισε. Τῶν δὲ περὶ τὸν Ἡράκλειόν τις ἐπέπληξε τῷ Γότθῳ, καί « πῶς, εἶπεν, οὔτε σαυτὸν οἶδας, ἄνθρωπε, οὔτε γινώσκεις ὃν ἔπληξας; » Ὁ δὲ πάνυ γινώσκειν ἔφη τὸν ὑπ' αὐτοῦ κάκιστα ἀπολούμενον· καὶ ἅμα σπασάμενοι ὁ μέν τις τὴν κεφαλὴν τοῦ Ἡρακλείου, ὁ δὲ τὰς χεῖρας ἀπέτεμε. Καί φασιν, ὅτι κατὰ ἀνταπόδοσιν ἔπαθεν Ἡράκλειος· ἐλέγετο γάρ τινας τῶν ὑφ' αὐτῷ τελούντων στρατιωτῶν, δόξαντάς τι πλημμελεῖν οὐκ ἄξιον θανάτου, εἰς βόθρον καταβαλὼν πᾶν τὸ στράτευμα ἀναγκάσαι αὐτοὺς καταλεῦσαι. Ἔκτοτε οὖν ἡ τοῦ θεοῦ ἀγανάκτησις εἰς αὐτὸν ἐτηρεῖτο.

5.

[Suidas: Ἡράκλειος, στρατηγὸς γεγονὼς ἐπὶ

---

et justitia præstare existimabatur: itaque, ut legationis dignitati majus decus adderet, patricium eum creavit. Et ille quidem navigavit. Sed Vandalus, ubi didicit legationem ad se venire, prius cum classe trajecit, et Nicopolim (*Epiri*) cepit. Severus autem legatus, solvens a Sicilia, Carthaginem venit, et magnopere questus est cum Vandalo, quod classe transmisisset. Ille vero dixit, se hæc ut hostem fecisse: nunc quum de pace ad se legatus missus sit, conditiones ejus se excipere. Severi autem vitam frugi et modestam admiratus, ejus consuetudine et colloquio delectabatur, quippe qui ejus justitiæ quotidie periculum faceret, ex quo omnia exsequi, quæ proponebat, paratus erat. Maxime illi visus est justus esse in eo, quod, quum ei barbarus pecunias largiretur et munera legato debita daturus esset, omnia rejecit dicens, nullum donum viro legato dignius et convenientius, quam captivos in libertatem vindicare. Et barbarus, humanitate ejus collaudata: « Omnes, inquit, captivos, qui mihi et filiis meis sorte obtigerunt, tibi permitto; reliquos vero inter exercitum sorte divisos per me tibi licet, ut lubet, ab his qui eos possident, si modo consenserint, redimere. Nec enim possem eos, quorum dominio cesserunt, invitos cogere. » Itaque Severus eos, quos Vandalus possidebat, sine pretio in libertatem restituit, et pecunia omni quam habebat quamque ex vestibus et supellectile publice a præcone venditis solvebat, captivos quoscumque potuit redemit.

4.

Zeno imperator per legatos summum Gothorum ducem rogavit, ut Heraclium ducem, qui in hostium erat potestate, soluto redemptionis pretio liberaret, et pro redemptione pollicitus est se daturum centum talenta. Ea Zeno Heraclio propinquitate conjunctos persolvere jussit, ne ab aliis redemptus, servi loco haberetur. Missæ sunt igitur pecuniæ Gothis in Thraciam, quas receperunt, et Heraclium e custodia liberum abire siverunt. In hunc, quum iter Arcadiopolin tenderet, incurrunt nonnulli Gothi, quorum unus Heraclium humero vulneravit. Quamobrem aliquis ex his, qui cum Heraclio erant, in Gothum invectus: « Et quid tibi vis? ait; satin tu te ipsum nosti et eum quem vulnerasti? » At Gothus, probe se nosse eum dixit, quem male perditurus esset. Et simul Gothi enses stringentes, unus caput, alter manus Heraclio abscidit. Et illi quidem aiunt, ea quæ meruisset, repensa. Fertur enim quosdam, qui sub eo stipendia faciebant, judicatos aliquod facinus, non tamen morte dignum, commisisse, in foveam conjectos lapidibus ab omni exercitu obrui jussisse; ex eo deus ira sua eum persecutus est.

5.

Heraclius fuit sub Zenone copiarum dux, homo quidem audax et paratus ad manus cum hostibus in bellis al-

Ζήνωνος, οἷος μὲν τολμῆσαι καὶ πρόθυμος ἐγχειρεῖν ἐς πολέμους ἑτοίμως, οὐ μέντοι τὸ προμηθὲς εἶχεν ἐν τοῖς κινδύνοις, οὐδὲ βουλὴν πρότερον ποιησάμενος, ὥρμα πρὸς ὃ ἔσπευδε πράττειν, ἀλλ' ἔξω τοῦ λογισμοῦ πρὸς τὰ ἔργα ἐχώρει. Καὶ τὸ ἐμπλήκτως ὀξὺ ἐν ἀνδρὸς μοίρᾳ ἐτίθετο. Ὅπερ δὴ καὶ μάλιστα αὐτὸν ὕστερον ἔσφηλεν.] Malchi hæc esse Valesius monuit.

6. (475.)

[Suidas : Ἐρύθριος, ἔπαρχος γεγονὼς ἐπὶ Ζήνωνος. Ὃς ἐπεὶ μήτε τὰ κοινὰ διαρκοῦντα ἑώρα, μήτε βάρος προσθεῖναι πλεῖον τοῦ τεταγμένου τοῖς συντελέσιν ἠνείχετο, μήτε τινὰ ποιεῖν πονηρὸν, ὡς ὢν φιλάνθρωπος, τῶν ὀφειλομένων ἠδύνατο χάριν, αἰτησάμενος παρὰ Ζήνωνος ταύτης τῆς ἀρχῆς ἐπαύσατο. Λύπην δὲ τῇ πόλει παρέσχεν, ἡνίκα ταύτην ἀπέθετο. Μόνος γὰρ τῶν τελούντων τότε εἰς τὴν πολιτείαν οὗτος ἐπὶ τῷ πάντων ἀγαθῷ ἐπεφύκει, θᾶττους μὲν τὰς χάριτας παρέχων τοῖς αἰτουμένοις, οὐκ ἔχων δέ τινα παντάπασι τῶν πρόσθε προσκεκρουκότων ἀμύνεσθαι. Τὸ δὲ κοινὸν τότε εἰς πᾶσαν ἀπορίαν κατῆλθεν, ὡς μηδὲν ἔχειν ὑπόλοιπον. Ἅ τε γὰρ ἐν τῷ κοινῷ ταμείῳ Λέων κατέλιπεν ἀποθνήσκων ὑπὸ Ζήνωνος ταχὺ ἐκεκένωτο πάντα, πολλὰ μὲν χαριζομένου τοῖς φίλοις, ὡς ἔτυχεν, οὐκ ὄντος δὲ ἀκριβοῦς, ὥστε γινώσκειν αὐτὰ, εἴ πη καὶ ἄλλως κλέπτοιντο.] Erythrium præfectum prætorio fuisse annis 473 et 474 ex legibus quibusdam in cod. Justinian. liquet. Idem præfectus adhuc fuit anno 475 (v. Tillemont. VI, p. 478). Successit ei Sebastianus, quem præfectum fuisse mense Dec. an. 477, paullo post quam Zeno ex fuga redierat, leges Zenonis in cod. Just. probant (v. Tillem. p. 590). Erythrius igitur statim post reditum Zenonis (mens. Oct. 477), vel, quod probabilius est, paullo antequam imperator Verinæ et Basilisci insidiis in fugam compelleretur (Jul. an. 475), munus deposuit. Cf. de eodem Tillemont. p. 402 403 et 577. Idem probabiliter est Erythrius cujus mentio fit ap. Suidam : Πανόλβιος, ἐπῶν ποιητής. Ἔγραψε διάφορα, καὶ πρὸς Αἰθέριον μετὰ τὴν νόσον δι' ἐπῶν· καὶ πρὸς Ἐρύθριον, καὶ πρὸς Δωρόθεον ἡγεμόνα καὶ κόμητα· καὶ εἰς Ἀφθόνιον κόμητα· καὶ ἐπιτάφιον Ὑπατίας θυγατρὸς Ἐρυθρίου. Porro ad hunc Erythrium Reinesius refert quæ e Damascio habet Suidas v. Ἡραΐσκος : Ὅτε γὰρ Ἀμμώνιος καὶ Ἐρύθριος ὁ Αἰγύπτιος διεμάχοντο πρὸς ἀλλήλους ἐν Βυζαντίῳ, καὶ διετέλει προωθῶν ἀεὶ ὁ ἕτερος τὸν ἕτερον εἰς τοὺς ἐσχάτους κινδύνους. — Idem Suidas de Heraisco alteram habet glossam, quam e Malcho fluxisse suspicatur Bernhardyus. Verba sunt : Ἡραΐσκος, ἀνὴρ Αἰγύπτιος. Οὗτος ἦν μὲν συνεῖναι δεινότατος, ἀγωνιστὴς δὲ οὐκ ἰσχυρὸς ἀπὸ (ὑπὲρ s. v. Συνεῖναι, ubi ead.) τῆς ἀληθείας, οὐδὲ τὰς ἔξω φερούσας ἀπὸ ταύτης ὁδοὺς ἀνιχνεῦσαι καὶ διεξελθεῖν. Οὗτος γὰρ ἐς τοὐναντίον ἐκεκλήρωτο τὴν εὐμοιρίαν.

7. (an. 475—477.)

[Idem : Βασιλίσκος, Βηρίνης ἀδελφὸς τῆς βασιλίδος, ἐπὶ Λέοντος τοῦ βασιλέως ἀντὶ Ῥουστικίου στρατοπεδάρχου ᾑρέθη, εὐεπίτευκτος μὲν ὢν ἐν μάχαις, βραδύνους δὲ καὶ φεναχίζουσι ῥᾳδίως ὑπαγόμενος.

Βασιλίσκος, ὁ Ῥωμαίων τῶν ἑῴων βασιλεὺς, τῶν ἐκκλησιῶν τοὺς ἐπισκόπους εἰσέπραττε χρήματα, καὶ Ἀκάκιον τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον μικροῦ δεῖν ἀπώσατο, εἰ μὴ τῷ πλήθει τῶν λεγομένων μοναχῶν ἀπεκρούσθη. Πολύς τε ἦν πρὸς ἐπιθυμίαν χρημάτων, ὡς μηδὲ αὐτῶν τῶν τὰς εὐτελεῖς καὶ βαναύσους μετιόντων ἐπιστήμας ἀπέχεσθαι. Καὶ ἦν ἅπαντα μεστὰ δακρύων τῇ τῶν τοιούτων εἰσφορῶν πράξει. Καὶ ἔστιν ἐν τῷ Ἀρμάτιος.] V. Tillemont. VI, p. 482 sqq.

---

criter conserendas : nullam vero prudentiam in periculis habebat, neque consultatione prius habita, sed sine consilio et temere ad res gerendas accedebat, et inconsultam celeritatem furore percitam viro forti convenire judicabat. Quod etiam postea ipsi gravissimorum casuum causa fuit.

6.

Erythrius præfectus prætorio sub Zenone, qui, quum neque fiscum sufficere videret, nec tributis constitutis gravius onus addere, neque æris alieni dissolvendi gratia injuste cuiquam vim inferre, utpote vir humanus, sustineret, Zenonem rogavit, ut sibi magistratu illo abire liceret : quod impetravit. Dolorem autem civibus gravem attulit, quum officium suum deponeret. Ex iis enim, qui tunc reipublicæ præerant, solus ad omnium commune bonum natus erat. Nam petentibus prompte beneficia præstabat, nec quenquam ob veteres offensas ulcisci animum induxit. Fiscus autem ad summam penuriam tunc devenerat, ut in eo nihil esset reliquum. Nam quæ Leo moriens reliquerat in publico ærario, omnia a Zenone celeriter exhausta erant, quod multa amicis inconsulte largiretur, ipse vero parum esset accuratus, ut cognosceret si forte ab aliis sibi quædam surriperentur.

7.

Basiliscus, Verinæ imperatricis frater, sub Leone imperatore in locum Rusticii, castrorum præfecti, delectus est. In pugnis quidem felix, sed per ingenii tarditatem adversus fraudes impostorum parum cautus.

Basiliscus, Romanorum Orientalium imperator, pecuniam ab ecclesiarum episcopis exigebat, et Acacium, Constantinopolis episcopum, parum abfuit quin pepulisset, nisi a multitudine eorum, qui monachi dicebantur, cohibitus fuisset. Magnaque pecuniæ congerendæ cupiditate flagrabat, et insigni avaritia præditus erat, ut ne illis quidem parceret, qui viles et sordidas artes exercebant. Quamobrem propter hujusmodi tributorum exactiones omnia lacrimarum plena erant. Vide de eodem s. v. *Harmatius*.

8. (an. 475-477.)

[Suidas: Ἁρμάτος. Ὅτι Βασιλίσκος ὁ βασιλεὺς, ἐπείπερ ὡς συγγενεῖ τῷ Ἁρμάτῳ ἀδεῶς ἐπέτρεπεν ἐντυγχάνειν Ζηνωνίδι τῇ βασιλίδι, τριβομένης σφισὶ τῆς ὁμιλίας, καὶ τοῦ κάλλους αὐτῶν οὐκ εὐπαροδεύτου ὄντος, ἄμφω ἀλλήλων ἐκτόπως ἤρων. Ῥίψεις οὖν ὀμμάτων ἐπ' ἀλλήλους ἐγίνοντο καὶ παρεκστροφαὶ συνεχεῖς προσώπων καὶ μειδιαμάτων μεταδόσεις, πόνος τε μετὰ ταῦτα ἔρωτος ὑπ' ὄψιν στεγομένου. Ἐπεὶ δὲ κοινωσάμενοι τὸ πάθος Δανιὴλ εὐνούχῳ καὶ Μαρίᾳ μαίᾳ ἰάσαντο τοῦτο μόλις τῇ τῆς μίξεως ἰατρείᾳ, Ζηνωνὶς Βασιλίσκον διὰ θωπείας ἦγε τοῦ τὸν ἐραστὴν ἔχειν ἐν τῇ πόλει τὰ πρωτεῖα. Ὁρῶν δὲ Θευδέριχος τιμώμενον ἐκ πάντων Ἁρμάτον, ἤσχαλλεν ὡς παρευδοκιμούμενος ἐκ νέου, τριχῶν μόνον καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας. Ὁ δ' Ἁρμάτος ἔκ τε φορᾶς χρημάτων καὶ τιμῆς ἀπλέτου τυφωθεὶς, οὐδένα αὑτοῦ ᾤετο διοίσειν ἐπ' ἀνδρείᾳ. Καὶ τοσοῦτον αὐτοῦ ἤδε ἡ ἄλη ἐπεκράτει, ὡς σκευὴν ἀναλαμβάνειν (ἀναλαβεῖν Suid. v. Ἄλη, ubi ead.) Ἀχιλλέως, οὕτω τε περιβαίνειν (εἰς) ἵππον καὶ κατὰ τὸν ἱππόδρομον φρυάττεσθαι τοῦ οἴκου. Ἐξῆρε δὲ τοῦτον πλείω πρὸς τοιαύτην δόξαν μαίνεσθαι τὸ ὑπὸ δήμου σύρφακος ἐν εὐφημίαις ἀνακαλεῖσθαι Πύρρον. Ὃς εἰ μὲν οὕτως ἐβόα διὰ τὸ ἐρυθροπρόσωπον εἶναι, ἔλεγεν εἰκότα· εἰ δ' ὡς πρὸς ἔπαινον ἀνδρείας, ἔθελγεν ὡς νέον. Οὐ γὰρ ἥρωας ἔβαλλεν, ὡς Πύρρος [ὁ Ἀχιλλέως add. v. Σύρφαξ], ἀλλὰ γυναιμανὴς ἦν, ὡς Πάρις.

Ἁρμάτιος. Οὗτος μέγιστον ἴσχυσε παρὰ τῇ Ζηνωνίδι τῇ βασιλίσσῃ καὶ αὐτῷ Βασιλίσκῳ. Ἐσφάγη δὲ ὑπὸ Ζήνωνος τοῦ βασιλέως. Καὶ ὑπερήσθησαν οἱ πολῖται τῇ τούτου σφαγῇ. Ἐπὶ γὰρ Λέοντος πρὸς * τοὺς στασιάζοντας, ὅσους λάβοι τῶν Θρᾳκῶν, τὰς χεῖρας ἐκτέμνων ἀπέπεμπε. Ὀνόουλφος δὲ αὐτὸν διεχρήσατο, ὅντινα ὁ Ἁρμάτιος πένητα καὶ ἄρτι ἐκ βαρβάρων ἥκοντα προσλαβὼν φιλοφρόνως, τὸ μὲν πρῶτον κόμητα ἐποίησεν, ἔπειτα καὶ στρατηγὸν Ἰλλυριῶν, καὶ εἰς ἑστίασιν ἔχειν πολὺν ἄργυρον παρέσχε. Ἀντέδωκε δὲ τούτῳ τὴν βαρβαρικὴν ἀπιστίαν μετὰ χειρὸς μιαιφόνου.]

Utrumque locum Malcho tribuit Niebuhrius. Quamquam et in scribendo nomine Harmati vel Harmatii diversitas et orationis color diversus parum favet huic sententiæ. Priorem locum Candido Isauro Toupius, Damascio in Vita Isodori Valesius (ad Euagr. Hist. Eccl.) tribuit.—Pro Toupii sententia facit quod in Candidi exc. ap. Phot. nomen viri est Ἁρμάτος. In Malchi excerpt. De leg. (fr. 10) nomen est Ἁρμάτιος, ut in secundo Suidæ loco legitur. Ex primo loco nonnulla repetuntur v. Ἄλη et Σύρφαξ. Pro φρυάττεσθαι τοῦ οἴκου (quod optimi codd. etiam s. v. Ἄλη præbent, ceteri vero: φρ. τοῦ ἵππου) Toupius scribi vult καταφρυάττεσθαι τοῦ ὄχλου. Bernhardyus nomen loci recondi (velut Zeuxippi, in Chron. Pasch. p. 285 B) suspicatur. Ceterum de Harmatii historia adi diligentissimum nostrum Tillemontium VI, p. 481. 483. 488.

8 *a*.

Exc. De leg. Rom. p. 88: Ὅτι * φεύγειν τε καὶ πλανᾶσθαι καὶ μηδαμῶς δύνασθαι τῶν κακῶν ἀναπνεῦσαι, παρ' οἷς μοι τοῦ πταίσματος ἤλπιζον εἶναι παραψυχήν. Verba Zenonis exulis.

9. (an. 476 Juli.)

[Suidas v. Ζήνων: Ὅτι Ζήνων ὁ βασιλεὺς, πυθό-

8.

Harmatus. Quum Basiliscus imperator Harmato, ut cognato, liberum aditum ad uxorem Zenonidem permitteret, eaque consuetudo diutius duraret et utriusque forma non vulgaris esset, ambo mutuo amore vehementer ardere oculosque in se vicissim conjicere, et vultus subinde convertere et risu mutuo blandiri sibi cœperunt. Quum vero dolorem tandem pareret amor, quem vultu tegebant morbum suum Danieli eunucho et Mariæ obstetrici aperuerunt, eumque medicina concubitus vix sanarunt. Quo facto Zenonis blandis identidem verbis Basiliscum aggressa effecit tandem, ut amator principem in urbe locum teneret. Theodoricus (*Triarii filius*) autem animadvertens, Harmatum ab omnibus coli, ægre tulit præferri sibi juvenem, qui capillis tantum ornandis et corpori exercendo operam daret. Harmatus vero quum propter pecuniarum affluentiam, tum ob honoris amplitudinem inflatus, neminem fortitudine se præstantiorem putabat. Quæ falsa ejus persuasio adeo invaluerat, ut Achillis habitum assumeret, itaque vestitus equo veheretur, et in circo sese insolenter populo jactaret. Illud autem insanum gloriæ studium acclamationes infimæ plebis, Pyrrhum eum vocantis, augebant. Quæ quidem si eum ita appellabat, quod rubicunda esset facie, vere dicebat; sin laudandæ fortitudinis gratia, tanquam adolescenti palpabatur. Non enim heroes telis petebat, ut Pyrrhus, sed muliercularum amori Paridis modo indulgebat.

Harmatius. Hic plurimum potuit apud Zenonidem imperatricem et ipsum Basiliscum. Occisus autem est a Zenone imperatore, ejusque cæde cives admodum sunt lætati. Nam sub Leone quoscumque de Thracibus, qui seditionem moverant, cepisset, eos manibus amputatis dimiserat. Onoulphus vero quidam ipsum interfecit, quem Harmatius pauperem et a barbaris recens venientem humaniter susceptum, primum quidem comitem fecerat, deinde vero præfectum Illyriorum, et ad convivia magnam pecuniæ vim ipsi præbuerat. Ille vero barbaricam perfidiam sanguinaria manu ipsi pro gratia retulit.

8 *a*.

Extorrem esse et errare neque unquam a malis respirare mihi datum est, ne apud eos quidem apud quos infortunii me consolationem reperturum sperabam.

9.

Zeno imperator (*profugus in Isauria*), audita suorum

μενος τῶν οἰκείων τὴν ἧτταν, ἐς φρούριον καταφεύγει ἐπὶ λόφου κείμενον, ὃ Κωνσταντινούπολιν οἱ πρόσχωροι ἐκάλουν. Ὅπερ γνοὺς τοῖς συνοῦσι στενάξας, « Θεοῦ παίγνιον ἄρα, εἶπεν, ὁ ἄνθρωπος, εἴγε καὶ ἐμὲ οὕτω παίζειν φιλεῖ τὸ δαιμόνιον. Ἐμοὶ γὰρ δὴ οἱ μάντεις τὸν Ἰούλιον μῆνα ἐξανάγκης ἐν Κωνσταντινουπόλει διατεινόμενοι προὔλεγον. Κἀγὼ μὲν ἐνόμιζον ἐς Κωνσταντινούπολιν ἀναβήσεσθαι, νῦν δὲ πάντων ἔρημος καὶ φυγὰς εἰς λόφον ἦλθον, εὑρηκὼς ὁ δείλαιος προσηγορίαν ὁμώνυμον. »

Ζήνων, βασιλεὺς Ῥωμαίων, τὴν μὲν ὠμότητα, ᾗ ἐκέχρητο Λέων, ἐν τῇ φύσει οὐκ εἶχεν, οὐδὲ τὸ θυμούμενον ἀπαραίτητον αὐτῷ καθειστήκει ἐσάπαξ, οἷον τοῦ Λέοντος διέμενε. Καὶ τήν γε προαίρεσιν ἐν πολλοῖς εἶχε φιλότιμον, καὶ ἃ ἔπραττε, δόξης ἕνεκεν καὶ τοῦ θαυμάζεσθαι ἔπραττεν, ἐπιδεικτικῶς μᾶλλον ἢ ἀληθῶς. Οὐ μὴν οὔτε ἔμπειρος τῶν πραγμάτων ἦν, οὔτε εἶχεν ἐπιστήμην, δι' ἧς ἔστιν ἀσφαλῶς τὰς βασιλείας ἰθύνεσθαι. Πρὸς δὲ κέρδος καὶ λῆμμα οὐχ οὕτω μὲν ἐμμανῶς ὡς ὁ Λέων διέκειτο, οὐδὲ ἔπλαττε μὴ ὄντα τοῖς κεκτημένοις ἐγκλήματα, οὐ μὴν οὐδὲ παντελῶς κρείττων ὑπῆρχε τοῦ πράγματος. Καὶ χρηστῆς ἂν βασιλείας ἔτυχον Ῥωμαῖοι, εἰ μὴ Σεβαστιανὸς ὁ τότε παραδυναστεύων ἦγεν αὐτὸν ὅπη ἐβούλετο, καπηλεύων ὥσπερ ἐξ ἀγορᾶς ἅπαντα, καὶ μηδὲν ἄπρατον ἐῶν ἐν τῇ βασιλέως αὐλῇ διαπράττεσθαι, ἀλλὰ τὰς μὲν ἀρχὰς ἀπεδίδοτο πάσας, ἰδίᾳ μὲν ἑαυτῷ, ἰδίᾳ δὲ λαμβάνων τῷ βασιλεῖ τὰ τιμήματα· καὶ εἰ προσῆλθεν ἕτερος βραχύ τι προστιθείς, ἐκεῖνος ἦν αἱρετώτερος. Τῶν δὲ ἐν τοῖς ἀρχείοις γινομένων ἁπάντων οὐδὲν ἦν, ὃ μὴ λαβὼν ἀπεπίπρασκεν. Εἰ δέ τινα (τινι?) ἀρχὴν τῶν περὶ αὐτὸν ὄντων ἐχαρίσατο Ζήνων, ὥσπερ πολιτοκάπηλος, αὐτὸς ταύτην ὀλίγου παρ' ἐκείνου λαμβάνων, ἄλλοις παρεῖχε τοῦ πλείονος, Ζήνωνι δὲ τὰ κλέμματα παρέχων.

Ζήνων, βασιλεὺς Ῥωμαίων. Ὃς Ζήνωνα τὸν ἑαυτοῦ υἱὸν διάδοχον καταλιμπάνειν θέλων κομιδῇ νέον, προῆγέ τε δι' ἀξιῶν, καὶ σωμασκεῖσθαι ἐκέλευεν εἰς ἐπίδοσιν τῆς ἡλικίας. Οἱ δὲ βασιλικοὶ ἐν ἐξουσίᾳ γενόμενοι τοῦ ἄδδην τὰ δημόσια καταναλίσκειν, συβαριτικῶς τὸν νέον κραιπαλᾶν ἐνήργουν (ἐνῆγον conj. Bernh.), καὶ μαστροπεύοντες αὐτῷ τοὺς συνήβους πρὸς τοὺς τῶν ἀρρένων ἔρωτας λυσσᾶν ἐπαίδευσαν ἐκτόπως. Διαίτης οὖν ἐν ἡδοναῖς καὶ τύφῳ τιθεμένης τὸ καλὸν ἐθὰς γενόμενος, καὶ τὴν ὑποτυφομένην ἀλαζονείαν ἐπὶ τῇ βασιλικῇ καραδοκίᾳ διὰ τῶν προσώπων ἀπεμφαίνων, ἀκροβατεῖν τε ἤρξατο καὶ μετέωρον τὸν αὐχένα αἴρειν καί, συλλήβδην φάναι, προσέχειν πᾶσιν ὡς οἰκέταις ἀνθρώποις. Ἀλλ' ὁ πάντων ἔφορος τὴν φυσικὴν καὶ διδακτὴν κακότητα αὐτοῦ τεθεαμένος, διαρρεύσαντα τῇ γαστρὶ καὶ ἀναισθήτως ἐπὶ πολλὰς ἡμέρας ἐς τὴν εὐνὴν ἀποπατοῦντα, πρόωρον τῶν ἀνθρωπείων ἐδικαίωσεν ἐκβῆναι. Cf. idem vv. Ἄδην, Μαστροπεύοντες, Διαίταις.]

Hæc e Malchi Exc. Constant. fluxisse dubium non est. Cum iis quæ primo loco leguntur cf. Suidas v. Ἐξῆλθεν, ἐξέβη, ἐτελέσθη. « Ὅτι Ζήνωνι παρ' ἣν εἶχε δόξαν, ἐξῆλθε τὸ μάντευμα. Ἀντὶ γὰρ τῆς βασιλίδος ὡς ᾤετο πόλεως, εἰς λόφον συγκλεισθέντι τὸ αὐτῷ ὄνομα ἔχοντι συνέβη τὸ πέρας τοῦ βίου. » Postrema quum ab historia prorsus aberrent, corrupta habeo. Corrigam ex nostro loco τὸ πέρας τοῦ Ἰουλίου. De Zenone in Isauria obsesso v. Theophanes p. 186 ed. Bonn.; Euagrius III, 3; Tillemont. VI,

---

clade, in castellum confugit, quod in colle situm vicini Constantinopolin vocabant. Quo cognito suis cum gemitu dixit: « Homo utique dei ludibrium; siquidem me sic ludificari placuit numini. Vates enim constanter mihi prædixerunt affirmantes, Julium mensem [*an.* 478] fatalem mihi esse, quo Constantinopoli versarer. Atque ego quidem arbitrabar me Constantinopolin venturum. Nunc vero ab omnibus destitutus et exul in collem veni, quem eodem nomine appellari miser deprehendo. »

Zeno, Romanorum imperator, non eadem qua Leo fuit crudelitate, neque iracundia fuit in perpetuum inexorabili, ut ille. In multis autem animum ambitiosum ostendit, et quæ faciebat, gloriæ et admirationis causa faciebat, per ostentationem potius quam ex veritate. Adde quod erat rerum imperitus, neque illam scientiam habebat, per quam regna tuto gubernari possunt. Lucri autem et quæstus non tam insano flagrabat amore, quam Leo, nec falsa crimina adversus possessores comminiscebatur; nec tamen ab vitio isto prorsus immunis erat. Jam sub illius imperio Romani quiete vivere potuissent, nisi Sebastianus, tum in aula potentissimus, arbitratu suo quovis eum impulisset, omnia velut in foro cauponans, nec quidquam in aula Cæsarea sine pretio confici sinens. Sed omnes magistratus vendebat, pretio partim sibi reservato, partim cum imperatore communicato. Quodsi quis accessisset, qui paullum quiddam adjiceret, is ceteris præferebatur. In aula denique nihil erat rerum omnium, quod ipsi venale non esset. Si cui vero suorum familiarium Zeno contulisset, ipse tanquam publicorum munerum nundinator ab illo redemptum exiguo pretio pluris vendebat aliis, Zenoni furta præbens.

Zeno, Romanorum imperator, Zenonem suum filium, admodum adolescentem, imperii successorem relinquere cupiens, per varias dignitates provexit, et corpus exercere jussit ad incrementum staturæ. Sed aulici, nacti potestatem pecuniæ publicæ luxu perdendæ, adolescentem in Sybariticam crapulam impulerunt, quumque lenonum more pueros æquales ipsi conciliarent, insano marium amore animum ejus imbuerunt. Itaque vitæ assuescens, quæ pulchrum in voluptate et superbia reponeret, et arrogantiam, quam ob exspectationem imperii animo fovebat, vultu præ se ferens, superbe incedere, et sublimem cervicem erigere, et, ut breviter dicam, omnes servorum loco habere cœpit. Sed ille omnium vindex improbitatem ejus, tam natura quam disciplina haustam, perspiciens, quum ventris profluvio laborasset et per dies multos sine sensu lectum excrementis suis inquinasset, immaturum rebus humanis excedere jussit.

p. 386. De Constantinopoli castello mihi non constat. De filio isto Zenonis impuro reliqui scriptores nihil tradidere.

10. (477 vel 478 init.)

Exc. De leg. gent. p. 93. 94 : Ὅτι ὁ Αὔγουστος ὁ τοῦ Ὀρέστου υἱὸς (deb. : Ὅτι Ὀδόαχος) ἀκούσας Ζήνωνα πάλιν τὴν βασιλείαν ἀνακεκτῆσθαι τῆς ἕω, τὸν Βασιλίσκον ἐλάσαντα, ἠνάγκασε τὴν βουλὴν ἀποστεῖλαι πρεσβείαν Ζήνωνι σημαίνουσαν, ὡς ἰδίας μὲν αὐτοῖς βασιλείας οὐ δέοι, κοινὸς δὲ ἀποχρήσει μόνος ὢν αὐτοκράτωρ ἐπ' ἀμφοτέροις τοῖς πέρασι. Τὸν μέντοι Ὀδόαχον ὑπ' αὐτῶν προβεβλῆσθαι ἱκανὸν ὄντα σώζειν τὰ παρ' αὐτοῖς πράγματα, πολιτικὴν ἔχοντα σύνεσιν ὁμοῦ καὶ μάχιμον· καὶ δεῖσθαι τοῦ Ζήνωνος πατρικίου τε αὐτῷ ἀποστεῖλαι ἀξίαν, καὶ τὴν τῶν Ἰταλῶν τούτῳ ἐφεῖναι διοίκησιν. Ἀφικνοῦνται δὴ ἄνδρες τῆς βουλῆς τῆς ἐν Ῥώμῃ τούτους ἐς Βυζάντιον κομίζοντες τοὺς λόγους, καὶ ταῖς αὐταῖς ἡμέραις ἐκ τοῦ Νέπωτος ἄγγελοι, τῶν τε γεγενημένων συνησθησόμενοι τῷ Ζήνωνι, καὶ δεόμενοι ἅμα ταῖς ἴσαις τῷ Νέπωτι συμφοραῖς χρησαμένῳ συσπουδάσαι προθύμως βασιλείας ἀνάκτησιν, χρήματά τε καὶ στρατὸν ἐπὶ ταῦτα διδόντα, καὶ τοῖς ἄλλοις, οἷς δέοι, συνεκπονοῦντα τὴν κάθοδον. Ταῦτά τε λέξοντας ὁ Νέπως ἀπέστελλεν. Ζήνων δὲ τοῖς ἥκουσι, τοῖς μὲν ἀπὸ τῆς βουλῆς ἀπεκρίνατο ταῦτα, ὡς δύο ἐκ τῆς ἕω βασιλέας λαβόντες τὸν μὲν ἐξηλάκασιν, Ἀνθέμιον δὲ ἀπέκτειναν· καὶ νῦν τὸ ποιητέον αὐτοὺς ἔφη γινώσκειν· οὐ γὰρ ἂν βασιλέως ἔτι ὄντος ἑτέραν ἡγήσεσθαι (εἰσηγ. Bekk.) γνώμην ἢ κατιόντα προσδέχεσθαι· τοῖς δὲ ἐκ τοῦ βαρβάρου ὅτι καλῶς πράξοι παρὰ τοῦ βασιλέως Νέπωτος τὴν ἀξίαν τοῦ πατρικίου δεξάμενος Ὀδόαχος· ἐκπέμψειν γὰρ αὐτὸν, εἰ μὴ Νέπως ἐπεφθάκει. Ἐπαινεῖν δὲ, ὡς ἀρχὴν ἐπιδέδεικται ταύτην τοῦ τὸν κόσμον φυλάττειν τὸν τοῖς Ῥωμαίοις προσήκοντα· καὶ πιστεύειν ἐντεῦθεν, ὡς καὶ τὸν βασιλέα τὸν ταῦτα τιμήσαντα καταδέξοιτο θᾶττον, εἰ ποιεῖν θέλοι τὰ δίκαια. Καὶ βασίλειον γράμμα περὶ ὧν ἠβούλετο πέμπων τῷ Ὀδοάχῳ, πατρίκιον ἐν τούτῳ τῷ γράμματι ἐπωνόμασε. Ταῦτα δὲ συνεσπούδαζε τῷ Νέπωτι ὁ Ζήνων ἐκ τῶν ἑαυτοῦ κακῶν τὰ ἐκείνου οἰκτείρων καὶ τό γε κοινὸν τῆς τύχης εἰς ὑπόθεσιν ἔχων τῷ δυστυχοῦντι συνάχθεσθαι. Ἅμα δὲ καὶ Βηρίνα συνεπώτρυνε τοῦτον, τῇ Νέπωτος γυναικὶ συγγενεῖ οὔσῃ συσπεύδουσα. V. Tillemont. VI, p. 492 et 441.

11. (478 Zenon. an. 5.)

Ibidem p. 94. 95 : Ὅτι ἐν τῷ ἑξῆς ἔτει ἐπὶ Ζήνωνος πρέσβεις ἦλθον ἐκ Θρᾴκης τῶν ὑποσπόνδων Γότθων, οὓς δὴ καὶ φοιδεράτους οἱ Ῥωμαῖοι καλοῦσιν, ἀξιοῦντες Ζήνωνα Θευδερίχῳ σπείσασθαι τῷ παιδὶ Τριαρίου, ἥσυχον ἐθέλοντι διεξάγειν τὸν βίον καὶ μηδένα πόλεμον τοῖς κοινοῖς αἱρεῖσθαι πράγμασιν. Ἠξίουν δὲ καὶ σκοπεῖν, ὅσα πολέμιος ὢν κατέβλαψε Ῥωμαίους, καὶ ὅσα Θευδέριχος ὁ τοῦ Βαλαμήρου παῖς, στρατηγὸς ὢν καὶ φίλος, ταῖς πόλεσιν ἐλυμήνατο, καὶ μὴ νῦν ἀπεχθείας παλαιὰς ὁρᾶν μᾶλλον, ἢ ὅπως τι τῷ κοινῷ γένοιτο παντελῶς ὠφέλιμον. Εὐθὺς οὖν ὁ βασιλεὺς τὴν βουλὴν συγκαλέσας γνώμην αὐτοῖς προὔθηκεν ὅ τι δέοι ποιῆσαι. Οἱ δὲ ἀμφοτέροις μὲν οὐκ ἔφασαν ἱκανὸν τὸ

10.

(*Odoacer*) ut audivit, Zenonem iterum Orientis imperium, expulso Basilisco, recuperasse, senatum Romæ legationem ad Zenonem mittere coegit, quæ illi significaret, proprio imperatore se non indigere. Unum imperatorem sufficere, qui utriusque imperii fines tueretur : Odoacrum se elegisse, qui hanc partem tutam præstaret. Hunc enim et scientia reipublicæ administrandæ, et rei militaris peritia præstare. Itaque orare ut illum Zeno patriciatus dignitate ornet, et Italiam regendam ei committat. Profecti sunt igitur ex senatu Romano viri, qui hos sermones Byzantium deferrent. Iisdem diebus venerunt et a Nepote nuntii, qui Zenoni restitutum imperium gratularentur, et ipsum obtestarentur, ut omni opera et studio illum, qui eodem tempore eodem, quo ipse, casu afflictus esset, in recipiendo imperio adjuvaret, et pecunias et exercitus et alia, quæ opus forent, suppeditaret, quo illi reditum ad pristinam fortunam pararet. Hæc qui dicerent Nepos misit. At Zeno his, qui venerant, hæc responsa dedit : senatoribus, illos ex duobus quos ab Oriente accepissent, imperatoribus unum expulisse, et Anthemium occidisse. Nunc quid sibi facto opus esset, ipsos dixit perspicere : imperatore enim superstite, non aliam debere valere sententiam, quam ut illum redeuntem exciperent. Ad ea vero, quæ barbarus nuntiarat : recte et juste facturum, si a Nepote imperatore Odoacer patriciatus dignitatem susciperet. Eam se illi missurum, nisi Nepos prævenerit. Laudare se eum, quod sic morem Romanis convenientem servare inceperit, ideoque confidere, fore ut imperatorem, qui illum hoc honore affecerit, si quidem justa facere vellet, quamprimum reciperet. Et in litteris regiis, quibus Odoacro voluntatem suam significaret, eum patricium nominavit. Quæ Zeno Nepotis causa instituit, propter sua Nepotis malorum miseritus, et communem hominum sortem reputando ad aliorum commiserationem adductus. Eo illum impulit etiam Verina, quæ Nepotis uxori, cujus erat consanguinea, favebat.

11.

Insequenti anno Zenonem legati a Gothis adierunt, qui in Thracia consederant et fœdere cum Romanis conjuncti erant : hos fœderatos Romani vocant. Orabant ut reconciliari vellet Theudericho, Triarii filio, cui nihil esset optatius, quam tranquillam et quietam vitam ducere neque armis rempublicam vexare. Illud etiam eum considerare jusserunt, quanta mala ipse, quum hostis exstitisset, Romanorum rebus attulisset, et quot urbes Theuderichus, Balameri filius, qui dux et amicus appellatus esset, evertisset; neque tam veterem inimicitiam respiciendam esse, quam communem omnium utilitatem. Confestim igitur imperator senatum convocavit, et hæc illis proposuit, ut sibi consilium darent, quid facto opus esset. Senatores vero dixerunt, reditus publicos minime sufficere

δημόσιον εἶναι συντάξεις τε καὶ μισθὸν ἐπαρκέσαι προχείρως, ὁπότε γε μηδὲ αὐτοῖς μόνοις τοῖς στρατιώταις ἀμέμπτους ὑποτελεῖν τὰς χορηγίας δυνάμεθα. Ὁπότερον δὲ αὐτῶν δεῖ φίλον προελέσθαι, τούτου κύριον αὐτὸν βασιλέα καθίστασθαι. Ὁ δὲ ἐπὶ τὴν αὐλὴν τούς τε κατὰ τὴν πόλιν στρατιώτας καλέσας καὶ τὰς σχολὰς ἁπάσας, ἀναβὰς ἐπὶ βῆμα πολλὰ τοῦ Θευδερίχου κατηγόρει, ἐν τούτοις ὅπως τε τοῖς Ῥωμαίοις ἐχθρὸς ἄνωθεν εἴη, καὶ ὡς ἐλυμήνατο τοῖς τὴν Θρᾴκην οἰκοῦσι, χεῖράς τε ἀποτέμνων ἅμα τῷ Ἁρματίῳ καὶ τὸ γεωργοῦν ἅπαν ποιήσας ἀνάστατον· ὅπως τε τυραννίδα πάλιν ἐπὶ τοῖς κοινοῖς τὴν Βασιλίσκου ἐπήγειρε, καὶ ὡς τοὺς στρατιώτας ἐκεῖνον ἀνέπεισεν ἐκποδὼν ποιήσασθαι, ὡς τῶν Γότθων ἀρκούντων. Καὶ νῦν δὴ πρεσβεύεσθαι οὐκ εἰρήνης γε μᾶλλον, ἢ στρατηγίας δεόμενον. « Ἣν οὖν ἔχετε γνώμην καὶ ὑμεῖς περὶ τούτων, ταύτην » ἔφη « παρ' ὑμῶν ἀκοῦσαι βουλόμενος νυνὶ παρεκάλεσα, εἰδὼς τῶν βασιλέων τούτους ἀσφαλῶς πράττειν, οἳ ἂν τὰ βουλεύματα τοῖς στρατιώταις κοινώσωσιν. » Οἱ δὲ ἧς κατέτεινε κατηγορίας ἀκούσαντες καὶ ἐκ ταύτης διδαχθέντες ὃ χρῆν ἀποκρίνασθαι, πάντες ἀνεβόησαν, ἐχθρὸν εἶναι Ῥωμαίοις Θευδέριχον καὶ πάντας εἴ τις ἐκείνῳ συνέστηκεν. Οὐ μέντοι τοῖς πρέσβεσι ταύτην εὐθὺς ἔδωκεν ἀπόκρισιν ὁ Ζήνων, ἀλλ' ἐπεῖχεν, ἕως τὸ πλέον ἀκούσει τῶν ἔξωθεν. Ἐν τούτῳ δὲ γράφοντες τὰ ἔνδον γινόμενα τῶν ἐν τῇ πόλει τινὲς τῷ Θευδερίχῳ ἑάλωσαν, Ἄνθιμός τε ἰατρὸς καὶ Μαρκελλῖνος καὶ Στέφανος. Καὶ οὐ μόνον ἑαυτῶν ἐπιστολὰς ἔπεμπον, ἀλλὰ καὶ τῶν ἐν τέλει πλαττόμενοι γράμματα ἐκείνῳ ἐπέστελλον, θαρσύνειν βουλόμενοι, ὡς ἱκανοὺς ἔχοντα τοὺς συμπράττοντας ἔνδον. Καὶ τρεῖς τῶν ἀπὸ βουλῆς, τοῦ μαγίστρου παρόντος, ἐξετάσαντες ταῦτα, καὶ πληγὰς τὰ σώματα πολλὰς ἐπιθέμενοι, φυγὴν εἰσάπαξ ἐπέθηκαν. Δῆθεν γὰρ ἀπέχεσθαι θανάτου καὶ σφαγῶν δοκεῖν ὁ Ζήνων ἐβούλετο. Repudiata sic reconciliatione, quam Theuderichus proposuit, bellum illud secutum esse videtur, in quo urbes vastans Theud. usque ad muros Byzantii pervenit, tandem vero a suis sibi timens recessit, uti narrant Euagrius III, 25 et Theophanes p. 108, C.

12.

Exc. De leg. Rom. p. 88 : Ὅτι τὸν ἄρχοντα Αἰγύπτου ἐπὶ μόλις χρυσίου λίτραις ν' ἐκπεμπόμενον, ὥσπερ εὐδαιμονεστέρας γενομένης ἢ πρόσθεν, ἐπὶ πεντακοσίαις ὁμοῦ λίτραις ἀπέστειλεν.

13. (an. 478.)

Exc. De leg. gent. p. 95. 96 : Ὅτι τῷ αὐτῷ ἔτει πρέσβεις ἐκ Καρχηδόνος ἐς Βυζάντιον ἦλθον, οὓς Ἀλέξανδρος ἦγεν ὁ τῆς Ὀλυβρίου γυναικὸς ἐπίτροπος· ὃς ἐτύγχανε πεμφθεὶς ὑπὸ Ζήνωνος πάλαι, συνθελούσης καὶ αὐτῆς τοῦτο τῆς Πλακιδίας. Ἔλεγον δὲ οἱ πρέσβεις, ὅτι Ὁνώριχος φίλος τε τῷ βασιλεῖ καθεστήκοι ἀδόλως, καὶ στέργοι τὰ Ῥωμαίων, καὶ ἀφίησι πάντα, ἃ πρόσθεν ἐνεκάλει περί τε τῶν προσόδων καὶ τῶν ἄλλων χρημάτων, ἃ τῆς αὐτοῦ γυναικὸς προειλήφει ὁ Λέων, καὶ ὅσα τῶν ἐμπόρων τῶν ἐκ τῆς Καρχηδόνος ἄρτι καθισταμένου τοῦ πολέμου ἐλήφθη, καὶ εἴ τι ἄλλο

---

ad stipendia prompte utrisque suppeditanda, quum ne solis quidem militibus victus commode præstari posset. Cum quo vero ex duobus amicitiam instituere præstaret, id in solius imperatoris arbitrio consistere. In aulam quoque convocatis militibus et omnibus scholis, ascenso suggestu, multa de Theudericho questus est, maxime quod jampridem Romanorum hostis exstitisset, quod Thraciæ incolas deprædatus fuisset, quod una cum Harmatio manus captivis amputasset; quod omne agricolarum genus sedibus suis expulisset, quod Basilisci tyrannidem in rempublicam invexisset, deinde ad ejusdem cædem milites instigasset, tanquam soli Gothi sufficerent. Et nunc legatos ad se mittere, non tam ut pacem, quam ut exercitus imperium postularet. « Nunc igitur, » inquit, « quam sententiam super his dicturi sitis, audire cupiens, vos huc convocavi : scio enim, eos imperatores tuto suas res agere, qui sua consilia cum exercitibus communicant. » At illi, accusationibus, quas in Theuderichum imperator intenderat, auditis, satis ex ipsa accusatione, quid sibi respondendum esset, percipientes, acclamaverunt omnes, Romanorum hostem esse Theuderichum et omnes, qui illi faverent et ad ejus causam se adjungerent. Et hoc quidem responsum Zeno non e vestigio legatis dedit, sed exspectabat, donec exploratius, quomodo se haberent ea quæ foris gererentur, sciret. Interea comprehensi sunt qui ea quæ in urbe facta erant, ad Theuderichum scripserant, Anthimus medicus, Marcellinus et Stephanus, qui non solum suas ipsorum litteras, sed etiam magistratuum quorumdam supposititias ad eum miserant, quibus jubebant illum bono animo esse, tanquam multos suarum partium fautores intra urbem esset habiturus. Tres ex senatu, præsente magistro, de his quæstionem habuerunt, quos multis illatis plagis perpetuo exilio condemnarunt. Quippe suppliciis Zeno et cædibus abstinere videri volebat.

12.

Præfectum Ægypti, qui antea vix quinquaginta auri libras pro obtinendo munere solvere solebat, *Zeno*, tanquam uberiore facta provincia, quingentis libris in præfecturam amandavit.

13.

Eodem quoque anno legati a Carthagine Byzantium venerunt, quos Alexander, uxoris Olybrii procurator, ducebat, qui a Zenone, Placidia consentiente, missus fuerat. Dicebant vero legati, Honorichum velle cum imperatore sine fraude amicitiam contrahere et Romanorum partes amplecti. Quæ antea repetiisset de reditibus et pecuniis uxoris suæ, quæ Leo ipsi præripuisset, quæque mercatoribus Carthaginiensibus per bellum, quod nuper fuerat, rapta et ablata essent, et in universum ea, de quibus patre ejus cum Romanis litigasset, remittere et condonare. Firmam et stabilem pacem petere, neque quicquam suspicio-

πάλαι ὁ πατὴρ πρὸς Ῥωμαίους ὁπωσοῦν ἔσχεν αἰτίαν τήν τε εἰρήνην ἔχειν ἀξιοίη βεβαίαν, καὶ μηδὲν εἶναι λοιπὸν τοῖς Ῥωμαίοις ὕποπτος τῷ μὴ οὐχὶ γνησίως τὰς σπονδὰς ἐμπεδώσειν, καὶ ὅσα ἤδη συνέκειτο. Εἰδέναι γὰρ χάριν, ὅτι τὴν Ὀλυβρίου τετιμήκοι γυναῖκα· καὶ ταῦτα πυθόμενος πάντα ἕτοιμος ἦν βασιλεῖ πράττειν ἃ βούλοιτο. Ἦν δὲ τοῦτο πρόσχημα εὐπρεπὲς τῷ λόγῳ, ἐπεὶ τό γε ἀληθὲς πᾶσαν ἐδεδοίκεσαν ὑποψίαν πολέμου, καὶ μετὰ τὸν θάνατον Γινζιρίχου πεσόντες ἐς πᾶσαν μαλακίαν οὔτε τὴν αὐτὴν ῥώμην ἐς πράγματα ἔσχον, οὔτε τὰς αὐτὰς ἔτι συνεῖχον παρασκευάς, ἃς ἐκεῖνος πρὸς πᾶσαν πρᾶξιν εἶχεν ἐφόρμους, ὡς θᾶττον ἀεὶ πράττειν, ἢ ὡς ἂν ἄλλος βουλεύσαιτο. Δεξάμενος δὲ αὐτοὺς φιλοφρόνως ὁ Ζήνων τιμῆς μὲν ἠξίωσε δεούσης τοὺς πρέσβεις, καὶ δώροις ἀπέπεμψε τοῖς πρέπουσι κοσμήσας, Ἀλέξανδρον δὲ ποιεῖ τῶν πριβάτων κόμητα.

Ὁ τῆς Ὀλυβρίου γυναικὸς ἐπιτρ.] sic pro ὁ τῆς Ἀλυαρίου ἐπ. Valesius, addens : « Hæc Placidia Nobilissima dicebatur. Hanc Genserichus rogatu Leonis Augusti una cum Eudoxia matre, Valentiniani Placidi vidua, Constantinopolim remiserat, ut scribit Procopius in lib. I Vandalicorum et Priscus. De Alexandro autem procuratore Placidiæ loquitur Victor Uticensis in libro II De persecutione Vandalorum, qui hanc historiam valde illustrat. »

14.

Exc. De leg. Rom. p. 88. 89 : Ὅτι ἐν τῷ αὐτῷ χρόνῳ ὁ Ζήνων αἰσθόμενος, ὡς τὰ μὲν Θευδερίχου τοῦ παιδὸς Βαλαμήρου ἀεὶ ἀσθενέστερα καὶ ἐλάττονα γίγνοιντο, ὁ δὲ τοῦ Τριαρίου ἔθνη τε συναθροίζει καὶ συστρέφει δυνάμεις, ἐνόμισε βέλτιον ἐπὶ μετρίοις αὐτῷ, εἰ συμβῆναι βούλοιτο, καταλῦσαι τὴν ἔχθραν. Καὶ πρέσβεις ἀποστείλας ἠξίου τόν τε υἱὸν παραδοῦναι ὅμηρον, ὡς πάλαι προὐκαλεῖτο, καὶ ἰδιώτην ὄντα ἐν τοῖς ἑαυτοῦ μένειν, μηδὲν ἐνοχλούμενον, ὥσπερ ᾔτησε τότε, λαβεῖν τε τὴν οὐσίαν ὁπόσης ἀφῄρητο, καὶ τἆλλα ἡσυχάζειν, οὐδὲν ἔχοντα κακὸν οὐδὲ ἑτέρῳ παρέχοντα. Ὁ δὲ ἀπεκρίνατο, ὅτι [οὔτε] τὸν υἱὸν ἔτι ὅμηρον δώσοι, οὔτε δύνασθαι ἔτι ἐκ μόνης τῆς οὐσίας ἰδιώτης διάγειν. Ἕως μὲν γὰρ ἦν μόνος, μήπω ἔθνη τοσαῦτα περὶ αὐτὸν ἔχων, μόνην ἂν τὴν οὐσίαν σφόδρα συστελλομένῳ ἴσως ἂν ἐπαρκέσαι· νῦν δέ, ἐπείπερ αὐτὸν ἐς ἀνάγκην τοῦ ἔθνη συλλέξαι κατέστησαν, ἐκ τῆς ἀνάγκης εἶναι ἢ τρέφειν τοὺς ἐλθόντας ἢ σὺν αὐτοῖς πολεμεῖν, ἕως παθὼν ἢ δράσας ἐν ἀναμφισβήτητον τῷ παντὶ πέρας ἐξοίσειεν. Ταῦτα ὡς ἀπηγγέλθη, ἔδοξεν εἰς ἀκριβῆ κατασκευάζεσθαι πόλεμον. Καὶ τάγματα μὲν πάντα, ὅσα τε πρὸς τῷ Πόντῳ καὶ κατὰ τὴν Ἀσίαν, καὶ ὅσα τοῖς ἑῴοις ἐνίδρυτο μέρεσι, κατὰ τάχος ἐκάλει. Καὶ παρῆν πανταχόθεν οὐκ ὀλίγον τι πλῆθος. Κατεσκευάζοντο δὲ ἅμαξαι σκευοφόροι, καὶ βόες ἐωνοῦντο, καὶ σῖτός τε καὶ ὅσα χρήσιμα στρατοπέδῳ πάντα ἐγίνετο ἕτοιμα, ὡς αὐτοῦ γε μέλλοντος Ἰλλοῦ ἐξιέναι.

15.

Ibidem p. 89. 90 : Ὅτι ὁ Ζήνων Μαρτινιανὸν προβαλόμενος στρατηγόν, καὶ τοῦ στρατοῦ ἐς ἀταξίαν ἐλθόντος, ὡς ταῦτα καλῶς ἔχειν ἐδόκει, πέμπει ἄνδρας αὐτίκα παρὰ τὸν Βαλαμήρου λέγοντας, ὅτι οὐ δεῖ τρίβειν ἔτι τὴν μάχην, ἀλλ' ἔργου νῦν ἔχεσθαι καὶ πληροῦν τὰς ἐλπίδας, ἐφ' αἷς τῆς στρατηγίας ἠξιώθη Ῥωμαίων. Ὁ δὲ ἀκούσας ἀντιπέμπει καὶ αὐτὸς ἐς Βυζάντιον πρέσβεις, λέγων ὡς οὐ πρότερον ἐγχειρήσοι τῷ ἔργῳ,

---

nis Romanis relinquere statuisse, quominus pax et fœdus sine fraude componeretur : multam quoque gratiam habere imperatori, quod Olybrii uxorem honore affecerit; quod quia intellexerit, adduci ut omnia, quæ imperator voluerit, facere paratus sit. Ista vero ad speciem tantum conficta erant : revera enim quamvis belli occasionem timebant. Etenim post mortem Genserici in omnem mollitiem devenerant; neque pristina fortitudine ad bella gerenda vigebant, neque eosdem exercitus alebant, quos Gensericus ad omnes occasiones instructos habebat, ut semper celeritate exsequendi aliorum consilia præveniret et anteverteret. Legatos Zeno liberaliter excepit et honore debito est prosecutus, et muneribus pro merito ornatos dimisit, et Alexandrum comitem privatarum rerum fecit.

14.

Eodem tempore quum Zeno imperator præsentiret, Theuderichum, Valamiri filium, opibus et potentia labi et minui, contra Theuderichum triarii varias gentes sibi conciliare et copias suas colligere, inimicitias æquis conditionibus, si convenire vellet, deponere melius esse, existimavit. Itaque per legatos, quos misit, petiit ut filium, quod jam pridem poposcerat, obsidem daret, ut privatam vitam ageret, et sine ulla molestia in sua potestate maneret; ut omnia, quæ rapuerat, sibi haberet, ceterum quiesceret, a nemine mala passurus, nemini quoque inferret. At ille, se neque filium obsidem daturum, respondit, neque privatam vitam agentem, solis suis opibus casus suos sustentare. Quum enim solus neque tanta multitudine circumseptus fuerit, bona quidem, quæ tunc possidebat, si ea diligenti ratione administrasset, privato fortasse suffecissent. Nunc quoniam in ea se necessitate constituerint, ut milites colligeret, necesse esse ut aut omnes, qui ad se venerint, aleret, aut una cum ipsis bellum gereret, dum victus aut victor certum denique rei finem imponeret. Hæc ubi nuntiata sunt, censuit imperator bellum omni cura et diligentia apparandum. Itaque omnes legiones, quæ erant circa Pontum et quas ad Asiam et Orientis partes collocarat, quanta potuit celeritate evocavit, et undique præsto fuit non parva multitudo. Comparabantur currus, qui veherent utensilia, et boves emebantur et frumentum, et quæcumque necessaria erant alendo exercitui, ea omnia præparabantur diligenter, quoniam illus ipse intra breve tempus copias educturus erat.

15.

Quum exercitus, Martiniano duce creato, in magnam licentiam incidisset, Zeno ad Theuderichum, Valamiri filium, mittit qui dicerent, non jam amplius oportere differre pugnam, sed tempus esse prœlio decertandi et exspectationem, quam excitasset, quum ducis Romanorum dignitate

εἰ μὴ καὶ ὁ βασιλεὺς καὶ ἡ σύγκλητος αὐτῷ ἐπομόσαιτο πᾶσα, ὡς οὐδέποτε ἐπὶ (ἔτι c. Bekk.) τῷ Τριαρίου συμβήσονται. Οἱ μὲν οὖν ἀπὸ βουλῆς καὶ οἱ ἄρχοντες ὤμοσαν μὴ συμβαίνειν, εἰ μὴ βασιλεὺς θέλοι· αὐτὸς δὲ ὁ βασιλεὺς μηδὲν ἀποστήσεσθαι τῶν ἤδη συγκειμένων, εἰ μὴ πρῶτον ἐκεῖνον παραβαίνοντα ἴδοι. Τούτων δὲ ὁμοθέντων, αὐτὸν μὲν Θευδέριχον ἔδοξε κινήσαντα τὴν αὐτοῦ δύναμιν, ἐν Μαρκιανοῦ πόλει τὴν πᾶσαν ἱδρυμένην, εἰς τὸ εἴσω ἐλαύνειν· ἐπειδὰν δὲ γένηται πρὸς ταῖς πύλαις τοῦ Αἵμου, τότε τὸν τῆς Θρᾴκης στρατηγὸν δισχιλίοις ἱππεῦσι καὶ ὁπλίταις μυρίοις ἀπαντῶντα συμμῖξαι· ὑπερβάντι δὲ Αἷμον ἄλλην ἀπαντήσεσθαι δύναμιν πρὸς τῷ Ἕβρῳ καὶ Ἀδριανοῦ πόλει, πεζοὺς μὲν δισμυρίους, ἑξακισχιλίους δὲ μετὰ τούτων ἱππέας. Ἀπὸ δὲ Ἡρακλείας καὶ τῶν πρὸς Βυζαντίῳ πόλεων καὶ φρουρίων ἄλλην ἔλεγον εἶναι δύναμιν, εἰ δεήσοι, ὥστε μηδὲν ἐλλείπειν τῶν ἐς ἐλπίδα χρηστὴν συντελούντων τῷ ἔργῳ. Ταῦτα ὑποσχόμενος ὁ Ζήνων τοῖς πρέσβεσι κατὰ τάχος ἐκπέμπει. Ἄρας δὲ ὁ Θευδέριχος τῷ αὐτοῦ στρατεύματι ᾔει ἐπὶ τὰς πύλας, καθάπερ συνέκειτο. Ἐρχομένῳ δὲ αὐτῷ οὔτε ὁ στρατηγὸς τῆς Θρᾴκης ἀπήντα, οὔτε οἱ πρὸς τῷ Ἕβρῳ ὑποκαθῆσθαι λεγόμενοι, ἀλλὰ δι' ἐρημίας (ἠρεμίας conj. Val.) διελθὼν τὰ ἐν μέσῳ εἰς τοὺς περὶ Σονδὶν (Σοῦκιν Val.) παραγίνεται χώρους. Ὄρος δέ ἐστι τοῦτο ὑψηλόν τε καὶ μέγα καὶ ἄπορον ἐπελθεῖν, εἴ τις ἄνω κωλύει· ἐν ᾧ στρατοπεδεύων ὁ Τριαρίου ἐτύγχανε. Κἀντεῦθεν προσβάλλοντες ἐξ ἐφόδων ἀλλήλοις ποίμνιά τε καὶ ἵππους καὶ λείαν ἄλλην ἀφήρπαζον. Ὁ δὲ τοῦ Τριαρίου συνεχῶς προσιππεύων ἐπὶ τὸ στρατόπεδον τὸ ἐκείνου, ὕβριζε καὶ ὠνείδιζε πλεῖστα, ἐπίορκόν τε καλῶν καὶ παῖδα καὶ ἄφρονα καὶ τοῦ γένους τοῦ κοινοῦ ἐχθρόν τε καὶ προδότην, ὅστις οὐ συνίησι τῆς γνώμης τῆς Ῥωμαίων, μηδὲ ὁρᾷ τὴν σκέψιν, ὅτι αὐτοὶ βούλονται καθήμενοι ἡσυχῇ αὐτοὺς περὶ ἑαυτοὺς κατατρίψαι τοὺς Γότθους. « Κἀκεῖνοι μὲν τὴν νίκην ἀκονιτὶ ἔχουσιν, ὁπότεροι πέσοιμεν. Ἡμῶν δὲ ὁπότεροι τοὺς ἑτέρους φθείρουσι, τὴν τοῦ λόγου Καδμείαν ἀποφέρονται νίκην, ἐλάττους λειπόμενοι πρὸς τὴν Ῥωμαίων ἐπιβουλήν. Νῦν γοῦν σὲ καλέσαντες καὶ ἐπαγγειλάμενοι παρέσεσθαι καὶ αὐτοὶ καὶ κοινῇ συστρατεύειν, οὔτε ἐνταῦθα πάρεισιν, οὔτε ἐπὶ τὰς πόλεις ἀπήντησαν, ὡς εἶπον, μόνον δὲ ἀπέλιπον ἀπολέσθαι κάκιστα καὶ τῆς γε θρασύτητος δοῦναι δίκην ἀξίαν ᾧ προέδωκας γένει. » Ταῦτα ἐπακούσαντες πολλοὶ τοῦ αὐτοῦ πλήθους συνῄδον τοῖς λόγοις, καὶ τῷ σφετέρῳ αὐτῶν στρατηγῷ προσιόντες ἔλεγον, ὡς εἰκότα ὀνειδίζοι ἐκεῖνος, καὶ ὅτι οὐ προσήκει φθείρεσθαι περαιτέρω, οὐδὲ τῆς συγγενείας τῆς κοινῆς ἀμελοῦντα τοῖς προδοῦσι προσέχειν. Τῇ δὲ ὑστεραίᾳ πάλιν ἀναβὰς Θευδέριχος ἐπί τινα γήλοφον ὑπὲρ τοῦ στρατοπέδου τοῦ ἐκείνων ἐβόα· « Τί τοὺς ἐμοὺς συγγενεῖς, ὦ κάκιστε, ἀπολλύς; τί τοσαύτας γυναῖκας ἐποίησας χηρεύειν; ποῦ δὲ οἱ τούτων ἄνδρες; ἢ πῶς ἐξαπόλωλε πάντων ἡ εὐπορία, ἣν ἔχοντες οἴκοθεν συνεστράτευσάν σοι; καὶ σύνδυο καὶ σύντρεις ἕκαστος ἵππους ἔχων, νῦν ἄνιπποι χω-

---

decoratus esset, explendi. His cognitis, Valamiri filius mittit quoque Byzantium legatos, qui dicerent, illum non prius id operis aggressurum, quam imperator et senatus juramento fidem dedissent, nunquam se in gratiam redituros cum Theudericho, Triarii filio. Itaque senatores et duces sacramenta dixerunt, nunquam se in gratiam cum illo, nisi imperator voluerit, redituros. Et imperator, se nunquam a fœdere recessurum, nisi prius ea ipse esset transgressus. His juramentis præstitis, Theudericum movere cum omnibus copiis, quas ad Martianopolim in castris habebat, et ulterius progredi jussit: ubi ad portas Hæmi montis pervenisset, Thraciæ præfectum cum duobus equitum millibus et decem millibus gravis armaturæ se illi conjuncturum esse; Hæmum transgresso alias illi copias ab Hebro flumine et Adrianopoli obviam ituros, peditum viginti, equitum sex millia. Ceterum Heracleæ et in aliis civitatibus et locis munitis circa Byzantium dicebant esse alias copias, si opus foret, ita ut nulla re, quæ ad felicem eventum sperandum faceret, destitueretur. Hæc Zeno promittens legatis, statim eos dimisit. Itaque Theudericus movens cum suo exercitu, ut convenerat, ad fauces Hæmi montis venit. Quum illuc accessisset, neque dux Thraciæ obvius fuit, neque hi qui ab Hebro venturi dicebantur. Interea percurrens deserta, quæ in medio erant, ad loca Sondis (*Sucin?*) pervenit. Est autem Sondis mons altus et præruptus, qui ascendi minime potest, si quis sit qui ex alto impediat. In eo Theudericus, Triarii filius, castra posuerat, ibique levibus prœliis inter se, quum pabulatum ibant, congredientes, armenta, equos et aliam prædam mutuo sibi eripiebant. Sed Triarii filius crebro obequitans circa castra alterius exercitus, eum contumeliose insectabatur, et multa convicia in eum jaciebat, perjurum eum vocans, puerum, dementem et sui generis hostem et proditorem, qui Romanorum mentem non nosset, neque quo tenderent eorum consilia, videret. « Etenim volunt, inquit, ipsi otiosi efficere ut Gothi per Gothos deleantur et conficiantur, quo sine ullo labore, utrivis nostrûm ceciderint, victores exsistant. Quicumque nostrûm adversarios oppresserint, Cadmeam, quam dicunt, victoriam reportabunt, ipsi scilicet viribus attritis Romanorum insidiis magis obnoxii. Nunc postquam te advocarunt, et se ipsos quoque venturos et, ut cum tuo exercitu conjunctos, bellum gesturos esse promiserunt, neque quisquam hic adfuit, neque ad urbes, sicuti dixerant, occurrerunt, teque solum, ut male perires et pœnas temeritatis tuæ his, quos prodidisti, dares, reliquerunt. » Hæc ubi audierunt, plures ex multitudine, quæ cum Theudericho erat, ea quæ dicta erant, probarunt, et adversus suum ducem insurgentes dixerunt, merito hunc illi convicia dicere, nec oportere diutius in mutuam perniciem armatos pergere, et nulla habita cognationis ratione, se ad eorum causam, qui ipsos proderent, adjungere. Postridie iterum ascendens Theuderichus collem hostium castris imminentem, clamabat: « Cur, pessime, meos cognatos perditum isti? cur tot mulieres viduas effecisti? ubinam locorum sunt eorum viri? quomodo consumptæ sunt facultates quas habuerunt, quum domo ad

ροῦσι καὶ πεζοὶ, καὶ διὰ Θρᾴκης ὥσπερ ἐν ἀνδραπόδων ἑπόμενοι μερίδι· ἀλλὰ καὶ ἐλεύθεροί τε καὶ γένους οὐ χείρονος, " ἢ μεδίμνῳ χρυσίου ἐλθόντες ἀπομετρήσονται (οἱ μεδίμνῳ χρυσίον ἐλθ. ἀπεμετρήσαντο conj. Hœsch.); » Ταῦτα ὡς ἐπήκουσε τὸ στρατόπεδον ἅπαν, ἄνδρες τε καὶ γυναῖκες ὁμοῦ πάντες ᾖεσαν ἐπὶ τὸν Θευδέριχον τὸν αὐτῶν ἡγεμόνα, κραυγῇ τε καὶ θορύβῳ ἀξιοῦντες συμβαίνειν· εἰ δὲ μὴ, ἀπολείψειν αὐτὸν ἔφασαν πάντες, ἐς τὸ συμφέρον χωρήσαντες. Ἐνταῦθα ἀποστέλλει πρὸς Θευδέριχον πρέσβεις, καὶ συνέρχονται ἄμφω παρὰ ποταμόν τινα ἐφ' ἑκατέρας ὄχθης. Μέσον δὲ ποιησάμενοι τὸν ποταμὸν διελέγοντο, καὶ ποιοῦνται συνθήκας, μὴ πολεμεῖν ἀλλήλοις, [καὶ] ὅσα ἥγηντο συμφέροντα. Καὶ ταῦτα ὀμόσαντες πέμπουσιν ἄμφω πρέσβεις ἐπὶ τὸ Βυζάντιον.

16. (an. 479.)

Exc. De leg. gent. p. 96. 97: Ὅτι συνθήκας πρὸς ἀλλήλους ποιησάμενοι Θευδέριχος καὶ ὁ Τριαρίου οἱ Γότθοι μὴ πολεμεῖν ἀλλήλοις, πέμπουσιν ἄμφω πρέσβεις ἐπὶ τὸ Βυζάντιον, ὁ μὲν τοῦ Βαλαμήρου τῷ βασιλεῖ ἐγκαλῶν, ὅτι προδεδομένος ὑπ' ἐκείνου τυγχάνει, καὶ ὡς τῶν συντεθέντων οὐδὲν εὑρὼν ἀληθὲς Θευδερίχῳ συμβαίη, αἰτῶν δὲ χώραν αὐτῷ, ἐν ᾗ μένοι, δοθῆναι, καὶ σῖτον, ὅστις αὐτῷ καὶ μέχρι καρποῦ τὸν στρατὸν ἐξαρκέσει διάγειν, καὶ τοὺς προσαγωγέας τῶν λημμάτων τῆς ἀρχῆς, οὓς δομεστίκους καλοῦσι Ῥωμαῖοι, ἐκπέμπειν ὡς τάχιστα, λόγον διδόντας ὧν ἔλαβον· ἢ μὴ ταῦτα ποιουμένων πρὸς αὐτὸν τῶν Ῥωμαίων, οὐ δυνήσεσθαι αὐτὸς πολὺν ὄχλον κατέχειν τοῦ μὴ ὅθεν δύναιντο δι' ἁρπαγῆς ἑαυτοῖς ἐπανορθοῦσθαι τὴν ἔνδειαν. Ταῦτα μὲν ὁ ἕτερος Θευδέριχος ἔλεγεν· ὁ μέντοι Τριαρίου τά τε ἐπὶ Λέοντος συντεθέντα ἠξίου αὐτῷ πάντως γενέσθαι, καὶ τῶν προτέρων χρόνων τὰς συντάξεις λαμβάνειν, τούς τε κηδεστὰς αὐτῷ ζῶντας ἀποδοθῆναι· εἰ δὲ καὶ ἄρα τεθνήκασι, τὸν Ἰλλοῦν περὶ τούτων ἐπομόσαι καὶ ἄλλους, οἷς αὐτὸς ἐπὶ τούτων τῶν Ἰσαύρων πιστεύει. Ζήνων δὲ πυθόμενος, πρὸς μὲν τὸν Βαλαμήρου ἀπεκρίνατο, ὅτι αὐτὸς εἴη προδότης καὶ πάντα ἐναντία οἷς ὑπέσχετο δράσας, ὅστις διαπολεμεῖν ὑποσχόμενος μόνος εἶτα καὶ βοήθειαν προσκαλέσηται ἄλλην, πάλιν δὲ τὴν δύναμιν τῶν Ῥωμαίων καλέσας κρύφα πρὸς Θευδέριχον πράττει περὶ φιλίας· οὗ δὴ καὶ αἰσθόμενον τὸν στρατηγὸν τῆς Θρᾴκης καὶ τοὺς ἄλλους, ὁπόσοι τὰ Ῥωμαίων φρονοῦσι, μήτε ἀπηντηκέναι, μήτε συμβάλλειν αὐτῷ τὰς δυνάμεις θαρσῆσαι, φοβουμένους ἐνέδραν. Νῦν τε εἰ θελήσαι πρὸς αὐτὸν πολεμῆσαι, ἐπαγγέλλεσθαι αὐτῷ ταῦτα δώσειν νικῶντι, χρυσίου λίτρας χιλίας, μυριάδας δ' ἀργυρίου, πρόσοδόν τε πρὸς τούτοις νομισμάτων μυρίων· καὶ γάμον αὐτῷ δώσειν τῆς Ὀλυβρίου παιδὸς ἢ ἄλλης τῶν ἐνδόξων γυναικῶν ἐν τῇ πόλει. Ταῦτα τε ἅμα λέγων τῶν τε ἀποσταλέντων παρ' αὐτοῦ τοὺς πλείονας ἀξίαις ἐτίμησε, καὶ πρέσβεις ἀπέστειλε πρῶτον μὲν Φιλόξενον, εἶτα Ἰουλιανὸν, εἴ πως ἄρα δύναιντο μεταπεῖσαι ξυρραγῆναι ἐκείνῳ. Ὡς δὲ οὐδὲν ἔπειθε,

militandum sub te profecti sunt? Unusquisque eorum duos aut tres equos habebat, nunc equis destituti pedites incedunt, et te per Thraciam mancipiorum instar sequuntur, quamvis liberi sint neque deteriore genere, quam tu; " et venerint, ut aurum modio admetiantur. » Hæc ubi totus exercitus audivit, tam viri, quam mulieres, Theuderichum, ducem suum, adierunt, et cum tumultu et vociferatione oraverunt, ut paci studeret; sin minus, se quod sibi utile foret amplexuros et eum deserturos. Ob eam causam mittit ad Theuderichum legatos, et ambo convenerunt ad fluvium quendam, ab utraque ripa. Deinde medio interjecto flumine, collocuti statuunt, non amplius bellum se gesturos, et quicquid utile sibi videbatur. Hæc ubi uterque juravit, mittunt legatos Byzantium.

16.

Theuderichus, Triarii, et Theuderichus, Balameri filius, Gothi, fœdere caverunt, ne inter se bellum gererent, et legatos Byzantium mittunt. Balameri filius imperatorem accusabat, quod se prodidisset, et quia nihil fidei inesse his, quæ promiserat, reperisset, id causæ fuisse, ut cum Theuderícho conveniret. Petere autem regionem sibi, in qua commoretur, dari, et frumentum suppeditari, quod alendo exercitui usque ad messem satis esset. Ut etiam redituum imperii coactores, quos domesticos Romani vocant, quam primum mittat, qui rationem redderent eorum quæ receperint. Ni ea Romani fecerint, in sua potestate non esse tam magnam turbam continere, quin rapinas et prædas agant, ex quibus suam inopiam possint sublevare. Hæc quidem alter proposuit: alter Theuderichus, Triarii, postulabat ut omnia sibi a Leone promissa præstarentur, et præteritorum annorum stipendia solverentur, et affines sui superstites sibi redderentur; de his autem, qui mortui essent, Illum et ex Isauris alios, quorum curæ et custodiæ commissi fuerant, jurare jussit. Hæc ubi Zeno audivit, Theuderícho Valamiri responsum dedit, eum esse proditorem, qui omnia contra, quam promisisset, fecisset; qui quum se solum bellum gesturum fidem dedisset, aliunde auxilia sibi accersisset: et quum Romanorum copias, quæ suppetias ferrent, accivisset, clam, et illis insciis, cum Theuderícho amicitiam contraxisset. Quæ quum dux Thraciæ et alii, quicumque a Romanorum partibus starent, vidissent, veritos insidias, ad illum accedere aut suas copias ejus copiis conjungere ausos non esse. Nunc etiam si velit cum Theuderícho bellum facere, se polliceri hæc, si victoriam reportarit, illi daturum: auri mille, argenti quadraginta millia librarum, et reditum decem millium aureorum et nuptum illi collocaturum Olybrii filiam, aut aliam ex illustrioribus mulieribus civitatis. Quæ quum dixisset, plerosque eorum, qui missi erant, dignitatibus ornavit, et ipse legatos misit primum quidem Philoxenum, deinde etiam Julianum, si qua ratione possent eum adducere, ut fœdus cum Theuderícho solveret. Quum nihil eum moveret, evocatis militibus bellum suscepit, quos hortatus est, ut bono animo essent: se enim communiter cum illis belli pericula, ubi opus fuerit, aditurum. Hæc quum milites audiissent, imperatorem huic bello interesse statuisse, ita

πέμψας τοὺς στρατιώτας ἐς τὸν πόλεμον ὥρμα, καὶ παρεκάλει θαρσεῖν ὡς αὐτὸς ἐκστρατεύσων καὶ κοινῇ σὺν ἐκείνοις ὅ τι ἂν δέοι πεισόμενος. Οἱ δὲ ὡς ἐπήκουσαν, ὅτι αὐτὸς βασιλεὺς ἐξάγειν ἐθέλοι, οὕτως ἕκαστος αὐτῶν ἠπείγετο ἑαυτὸν ἐπιδεῖξαι βασιλεῖ πολλοῦ ἄξιον ὄντα, ὥστε καὶ οἱ πρότερον τοῖς ἡγεμόσιν αὐτῶν, ἐφ' ᾧ μὴ στρατεύοιντο, ἀργύριον διδόντες πάλιν εἰς τὸ μετέχειν τῆς ἐξόδου παρεῖχον. Καὶ πάντες ἀνθήπτοντο τοῦ πολέμου ὀργῶντες· καὶ τούς τε κατασκόπους τοὺς παρὰ Θευδερίχου πεμφθέντας ἐζώγρησαν, καὶ τῆς τοῦ Βαλαμήρου φυλακῆς μοῖραν ἐλθοῦσαν ἐπὶ τὸ μακρὸν τεῖχος οἱ ἐκεῖ φυλάττοντες διαπρεπῶς ἀπεκρούσαντο. Ἐπεὶ δὲ εἰς τὴν αὐτοῦ φερόμενος ὁ Ζήνων ἀνεχώρησε φύσιν, καὶ ὑπὸ τῆς συμφύτου ἀπεσβέσθη δειλίας, ἐνταῦθα ὀργίζονται καὶ χαλεπῶς ἔφερον, κατὰ συστάσεις τε γινόμενοι ἐμέμφοντο ἀλλήλους τῆς ὅλης ἀτολμίας, εἰ χεῖράς τε ἔχοντες καὶ βαστάζοντες ὅπλα μαλακίας τοιαύτης ἀκούειν ἀνέχονται, δι' ἧς πόλεις ἅπασαι καὶ ἡ πᾶσα Ῥωμαίων ἰσχὺς ἐξαπόλωλε, πάντων ἐπ' ἐξουσίας περικοπτόντων, ἃ βούλοιντο. Τοῦτον ὁ Μαρτινιανὸς συνελόμενος τὸν θροῦν, πέμπει Ζήνωνι λέγων ὅτι δεῖ τὸ στρατόπεδον ὡς τάχιστα διαλύειν, μή τι καὶ νεώτερον συνεστηκότες ἐργάσωνται. Πέμψας οὖν ἐκέλευεν ἀπιέναι ἑκάστους ἐπὶ τὰ χειμάδια, ὡς πρὸς τὸν Θευδέριχον ἐσομένης εἰρήνης. Οἱ [δὲ] τὸν χάρακα ἔλυσαν· καὶ ἀπῆλθον οἱ πλείους τῇ διαλύσει ἀχθόμενοι, καὶ ὅτι θᾶττον αὐτοῖς χωρισθῆναι συνέβη, πρὶν ἄνδρα σκεψαμένους τοῖς κοινοῖς ἐπιστῆσαι, ὃς τῆς παρούσης λύμης ἀνακτᾶσθαι τὴν πολιτείαν ὁπωσοῦν δυνήσεται.

17. (an. 479.)

Exc. De leg. Rom. p. 90. 91: Ὅτι Ζήνων, ἐπεὶ διέλυσε τὴν στρατιάν, πέμπει πρὸς Θευδέριχον, τὴν εἰρήνην συνθέσθαι πρὸς αὐτὸν, ὅπως καὶ δύναιντο. Ἐν δὲ τούτῳ συστρέψας τὴν ἑαυτοῦ δύναμιν ὁ παῖς ὁ Βαλαμήρου ἐπὶ τὰ πρὸς Ῥοδόπην παραγίνεται μέρη, καὶ κατατεινάμενος (κατασινάμενος Val.) τὰ κάλλιστα τῆς χώρας τῶν Θρακῶν ἅπαντα, καὶ εἴ τι ἦν κτηνικὸν ἀφαρπάζει. Ἐξέτριψε δὲ ἅπαν τὸ αὐτόθι γεωργοῦν, κτείνων τε καὶ εἰσπράττων (σπαράττων Bekk.) ὅσα μὴ φέρειν ἠδύναντο (ἠδύνατο em. Bekk.). Θευδέριχος δὲ ταῦτα ἀκούσας γινόμενα, ἥδεσθαι μὲν ἔλεγεν, ὅτι φίλος αὐτῶν καὶ υἱὸς λεγόμενος ταῦτα αὐτοὺς δρῴη, ἄχθεσθαι μέντοι, ὅτι τῆς ἐκείνων ἀνοίας ἐν τοῖς γεωργοῖς βλέπει γινομένην τὴν δίκην, ὧν οὐδὲ φθειρομένων Ζήνωνά γε ἢ Βηρίναν οὐδ' ὁπωσοῦν ἐπιστρέφεσθαι. Ὡς δὲ ἦλθον οἱ πρέσβεις, τίθενται τὴν εἰρήνην ἐφ' ᾧ τε μυρίοις μὲν καὶ τρισχιλίοις ἀνδράσιν, οἷς θέλοι Θευδέριχος, συντάξεις τε καὶ τροφὴν χορηγεῖν βασιλέα, δυοῖν δὲ αὐτὸν σχολαῖν προβάλλεσθαι ἄρχοντα, ἀπολαβεῖν δὲ αὐτοῦ τὴν οὐσίαν, ὅσην πρότερον εἶχεν, λαβεῖν δὲ τὴν ἑτέραν τῶν δύο στρατηγιῶν τῶν περὶ βασιλέα, καὶ ἔχειν τὰς ἀξίας, εἰς ἃς ἤδη προῆκτο ὑπὸ τοῦ Βασιλίσκου. Περὶ δὲ τῶν κηδεστῶν, εἰ μὲν ἐτελεύτησαν, ὡς ἔλεγεν ὁ Ζήνων, μηδὲν εἶναί οἱ πρᾶγμα· εἰ δὲ ζῶσι, λαβόντας ἥνπερ εἶχον οὐσίαν, οἰκεῖν πόλιν, ἣν αὐτὸς δοκιμάσειε Ζήνων. Ταῦτα ὡς συνέδοξε, παύσας τὸν Βαλαμήρου τῆς ἀρχῆς ὁ βασιλεὺς στρατηγὸν ἀντ' ἐκείνου Θευδέριχον ποιεῖται, καὶ χρήματα ἔπεμψεν, ὅσα ἔδει αὐτίκα διανεῖμαι τοῖς Γότθοις.

se ad hoc compararunt, ut talem se unusquisque ostendere studeret, qualem imperator merito suo plurimi faceret. Et tam ardentibus animis ad pugnandum profecti sunt, ut qui antea militiæ vacationem a ducibus pecunia redemerant, pecunias, ut sibi in hostes exeundi potestatem facerent, numerarent. Itaque et exploratores, a Theuderocho præmissos, vivos ceperunt, et cohortem, quæ Valamiri filii custodiam agebat et usque ad longos muros progressa erat, opportune depulerunt. Sed non multo tempore res steterunt, quin Zeno ad pristinam naturam rediret et ad insitam ignaviam delaberetur. Ex quo milites indignati, per turbas coeuntes, sese invicem ignaviæ accusabant, quod manus habentes et arma gestantes tantæ mollitiei, quæ omnes civitates et omnes Romanorum vires pessumdaret, obsequi sustinerent, neque quisquam omnis generis contumeliis abstinuit. Hunc motum quum Martinianus intellexisset, ad Zenonem mittit suadens, ut quam citissime fieri posset, exercitum, ne quid novarum rerum moliretur, dissolveret. Ad quem Zeno remisit, et jussit, ut unusquisque militum, tanquam cum Theudericho pax futura esset, in hiberna concederet. Itaque castra solverunt; quam castrorum solutionem plerique iniquo animo ferentes abierunt: maxime quod discedere cogerentur, antequam virum summæ rerum præfecissent, qui rem publicam ab eversione et interitu vindicare posset.

17. Zeno, exercitu misso facto, mittit ad Theuderichum (Triarii f.), ut pacem inter se, quomodo possent, facerent. Inter hæc (*Theuderichus*) Valamiri filius, contractis copiis suis, ad Rhodopen montem processit et fertilissima quæque Thraciæ loca vastans, omnia pecora rapuit; agricolas agris suis expulit, occidens et corrumpens quæ auferre non poterat. Hæc ubi facta Theuderichus (Triarii f.) audivit, se quidem lætari dixit, eum qui amicus et filius ab iis appellaretur, talia in ipsos perpetrare, tamen moleste ferre, quod videret agricolas ob illorum dementiam plecti et pœnas dare, quos in summam calamitatem redigi nihil morari Zenonem aut Verinam. Ubi vero legati venerunt, pacem fecerunt: ut tredecim hominum millibus, quos Theuderichus (Triarii f.) vellet, imperator stipendia et commeatus præberet: duabus scholis ipse dux præficeretur: ut omnes facultates, quas prius habuerat, illi restituerentur; et ut alterum ex duobus exercitibus, qui circa imperatorem sunt, duceret, et easdem dignitates, quas sub Basilisco obtinuerat, recuperaret. De affinibus, si mortui essent, ut Zeno diceret, nihil amplius negotii esse; si superstites, omnia bona, quæ eorum fuissent, eos recuperaturos, et eam civitatem, quam Zeno arbitratus fuerit, habitaturos esse. Hæc ubi conventa sunt, imperator, abrogato Theudericho, filio Valamiri, magistratu, in ejus locum sufficit Theuderichum, Triarii filium. Et pecunias misit, quæ confestim debebant distribui Gothis.

18. (an. 479.)

Exc. De leg. Rom. p. 78—86: Ὅτι ὁ Βαλαμήρου ὑπὸ τῶν Ῥωμαίων στρατηγῶν πολλοὺς τῶν ἰδίων ἀποβαλών, οὐ μικρὰν ἔχων ὀργὴν τῷ [ἐπὶ τῷ Nieb.] πάθει ἀπέδραμεν, ἀφειδῶς ὅ τι ἐν ποσὶν εὕροι καίων τε καὶ φονεύων, καὶ τὴν πρώτην τῆς Μακεδονίας πόλιν, τοὺς Στόβους, ἐπόρθησε, καὶ τῶν γε στρατιωτῶν τῶν ταύτῃ ἐμφρουρούντων τοὺς ἀντιστάντας ἀπέκτεινεν. Ὡς δὲ τῇ Θεσσαλονίκῃ ἐγγύθεν ἐφεδρεύων ἠγγέλθη ὁ βάρβαρος, αὐτίκα οἱ πολῖται νομίσαντες ἐκ δόλου τὰ ἐν τῇ προτεραίᾳ ἀνεγνῶσθαι γράμματα καὶ τὴν πόλιν βούλεσθαι Ζήνωνά τε καὶ αὐτὸν ἐκείνῳ παραδοῦναι, συστραφέντες ἐν σφίσιν αὐτοῖς τὰς τοῦ Ζήνωνος στήλας καταβάλλουσι πάσας, καὶ αὐτὸν ὁρμήσαντες τὸν ἔπαρχον (ὕπαρχον Nieb.) ἕτοιμοι διασπάσαι ἦσαν. Οἱ δὲ κομισάμενοι πῦρ ἐπὶ τὸ ἀρχεῖον ἐμπιπράναι ἔμελλον, εἰ μὴ ὑποφθάσαντες τά τε ἱερὰ γένη καὶ οἱ ἐν ταῖς ἀξίαις ἐξήρπασάν τε αὐτὸν τῆς ὀργῆς τῆς τοῦ δήμου, καὶ τὸ ἀτακτοῦν λόγοις πραέσι κατέστειλαν, λέγοντες, οὔτε αὐτὸν αἴτιον εἶναι τούτου, οὔτε τὸν βασιλέα τῇ πόλει τι δυσχερὲς ἢ κακὸν βεβουλεῦσθαι, τῆς τε πόλεως χρῆναι ποιήσασθαι φυλακήν, ὅτῳ ἂν ἐθέλωσι καὶ ὃν ἡγοῦνται πιστὸν ἐπιτρέποντες ταύτην. Οἱ δὲ τὰς κλεῖς τῶν πυλῶν ἐκ τοῦ ὑπάρχου λαβόντες τῷ ἀρχιερεῖ ἔδοσαν, καὶ ἀπὸ τῶν ἐνόντων φρουρὰν ἐπενόησαν, ὡς ἠδύναντο, πλείστην, καὶ τὸν στρατηγὸν ἔστεργον. Ἐν δὲ τούτῳ ὁ Ζήνων πυθόμενος τὸν κατέχοντα κίνδυνον, καὶ ἰδών, ὡς, οὐδενὸς βουλομένου μάχεσθαι, ἄριστον εἴη σπονδαῖς ὡς ἐν κακοῖς μετρίαις τῆς τῶν πόλεων φθορᾶς ἐπισχεῖν τὸν βάρβαρον, Ἀρτεμίδωρον πέμπει καὶ Φωκᾶν τὸν ὅτε ἦν στρατηγὸς γραμματέα αὐτῷ τῆς ἀρχῆς ὄντα. Οἱ ἐλθόντες ἔλεγον, ὅτι « Σὲ ὁ βασιλεὺς φίλον ἐποιήσατο, καὶ ἀξίαις, αἵ εἰσι λαμπρόταται Ῥωμαίοις, σεμνῶς ἐπεκόσμησε, καὶ ἄρχειν τῶν μεγίστων ταγμάτων ἐποίησεν, οὐδὲν οἷάπερ ἀνδρὶ ἀπιστήσας βαρβάρῳ. Σὺ δέ, οὐκ ἴσμεν ὅπως, ταῖς τῶν κοινῶν δυσμενῶν ἀπάταις ὑπαχθεὶς τά τε ὑπάρχοντά σοι ἀγαθὰ διέφθειρας, καὶ τῆς εὐδαιμονίας τῆς σῆς ἄλλον ἐποίησας, ὡς οὐκ ἔδει σε (sic Bekk.; ἴδεις vgo), κύριον. Οὐκ ἂν δίκαιος εἴης τῷ βασιλεῖ ἐγκαλῶν, ὧν εἰς ἑαυτὸν ἅμα καὶ εἰς ἐκεῖνον ἐξήμαρτες. Νῦν οὖν ἐπειδὴ σαυτὸν εἰς τοῦτο κατέστησας, ὑπόλοιπόν σοί ἐστιν ἐκ τῆς παρούσης τύχης τῆς τε κατὰ τῶν ἐθνῶν καὶ τῶν πόλεων βλάβης ἐπισχεῖν [ὡς] οἷόν τε, πέμποντα δὲ πρεσβείαν πειρᾶσθαί τι μέτριον παρὰ τοῦ βασιλέως ἀγαθοῦ ὄντος εὑρίσκεσθαι. » Ὁ δὲ πεισθεὶς ἄνδρας μὲν ἐπὶ τὸ Βυζάντιον σὺν αὐτοῖς ἀποπέμπει, αὐτὸς δὲ τοῦ μὲν καίειν ἢ φονεύειν τοὺς ἀνθρώπους ἀνεῖργε τὸ στράτευμα, οὐ μέντοι ἐδύνατο πάντων ὄντας ἀπόρους τὰ γοῦν ἐπιτήδεια ἐκπορίσαι κωλύειν. Καὶ δὴ προϊὼν ἦλθεν ἐπὶ τὴν Ἡράκλειαν τὴν ἐν Μακεδονίᾳ, καὶ τοῦ ἀρχιερέως τοῦ ἐν ταύτῃ [τῇ] πόλει πολλὰ καὶ παντοδαπὰ τῇ στρατιᾷ καὶ αὐτῷ ἀποστείλαντος δῶρα, τήν τε χώραν ἀπαθῆ πᾶσαν διεφύλαξε, καὶ οὐδὲν τοὺς οἰκοῦντας ἐνταῦθα παραλυπῶν ἐκ τῶν ταύτῃ μόρων (μερῶν Hœsch., φόρων Nieb.) τὸ πλῆθος ἐπιεικῶς ἐπειρᾶτο διάγειν. Εἰς δὲ τὸ Βυζάντιον ὡς ἦλθον οἱ

18.

Theuderichus, Valamiri filius, multis suorum a Romanis ducibus cæsis, non parum iracundiæ ob acceptam cladem animo conscivit, et fugiens quicquid ante pedes suos offendit, ussit et necavit, et primam, quæ illi obvia fuit, Macedoniæ urbem, Stobos, evertit, et militum, qui illic in præsidiis erant, omnes, qui resistere audebant, interfecit. Ut vero nuntiatum est, barbarum Thessalonicen petere, statim urbis incolæ ad fraudem faciendam litteras pridie recitatas esse suspicati, et Zenonem ipsumque præfectum habere in animo, urbem barbaro tradere, seditione facta, ejus statuas dejiciunt, et præfectum aggressi, ad ipsum mulcandum parati erant, et prætorium, igne illato, incendissent, nisi ordo sacra procurantium et magistratus prævenientes, populi iræ præfectum subduxissent et furorem plebis blandis verbis compescuissent. Dicebant enim, eum non esse horum malorum causam, neque imperatorem male consultum civitati velle, aut illi adversa cupere. Oportere sane diligentem custodiam civitatis agere, eamque committere cui voluerint quemque sibi fidum esse cognoverint. Itaque claves civitatis a præfecto acceperunt, et archiepiscopo tradiderunt, tum ex iis qui tum temporis in urbe erant, quam diligentissimam potuerunt custodiam instituebant, et duci suo obtemperabant. Interea Zeno quum audiret imminens periculum, et videret, optimum esse, quandoquidem nemo pugnare volebat, conditionibus ut in dubiis rebus æquissimis barbarum ab urbium ruinis et excidiis avertere, Artemidorum mittit et Phocam, qui Zenonis, quum dux erat, scriba fuerat. Hi progressi tali sunt oratione usi: « Te imperator amicum conciliavit, et dignitatibus, quæ sunt apud Romanos clarissimæ, magnifice ornavit, etiam imperare maximis exercitibus dedit, tibi, homini licet barbaro, minime diffidens. Tu vero, nescimus quomodo, communium inimicorum fraude et dolo inductus, in discrimen te fortunasque tuas conjecisti et eas ad alium, ad quem non debebas, detulisti. Et vero haudquaquam jure imperatori imputes ea quæ in te ipsum et in illum deliquisti. Nunc igitur, quoniam eo te redegisti, hoc tibi quantum ad præsentem fortunam reliqui est, ut ab injuria et damnis urbibus et gentibus inferendis, quantum in te erit, temperes, et legationem mittas, qua apud imperatorem, qui bonus est, moderatum quid et æquum obtinere coneris. » Ille vero persuasus, viros quosdam una cum ipsis Byzantium mittit. Et ipse quidem exercitum suum urere et occidere homines vetuit, etsi suos, quum omnium rerum essent egeni, quominus res necessarias sibi compararent, prohibere non potuit. Hinc movens ad Heracleam (Sinticam) Macedoniæ pervenit. Hujus urbis archiepiscopus, quum quam plurima et diversi generis munera ad eum et ejus exercitum misisset, omnem regionem a direptione illæsam conservavit, neque quicquam molestiæ exhibens locorum incolis, copias suas ex reditu hujus regionis alere operam dedit. Legati autem ab eo missi simulatque Byzantium accesserunt, imperatorem monuerunt oportere, quam celer-

παρ' αὐτοῦ σταλέντες πρέσβεις, ἔλεγον ὅτι δέοι ταχέως περὶ πάντων αὐτοκράτορα αὐτῷ πρεσβευτὴν ἀποστεῖλαι, ὡς οὐχ οἵῳ τε πλῆθος ἄπειρον εἴργειν ἐπὶ πλείονα χρόνον τῆς ἀφ' ὧν ἂν δύναιντο βλάβης. Ὁ δὲ Ἀδαμάντιον τὸν Βιβιανοῦ παῖδα, πατρίκιόν τε ὄντα καὶ πολιαρχήσαντα, προσθεὶς αὐτῷ καὶ τιμὴν ὑπατικὴν, ἔπεμψε παραγγείλας, χώραν μὲν αὐτῷ δοῦναι ἐν Παυταλίᾳ, ἣ τῆς μὲν Ἰλλυρικῆς μοίρας ἐστὶν ἐπαρχία, οὐ πολὺ δὲ ἀπέχουσα τῶν εἰσβολῶν τῆς Θρᾴκης, ὅπως, εἴτε Θευδέριχος ὁ Τριαρίου ἐγχειροίη τι κινεῖν, ἐφεδρον ἔχοι αὐτὸν ἐγγύθεν κατ' ἐκείνου, εἴτε αὐτὸς ταράττειν τὰ συγκείμενα θέλοι, ἐν μέσῳ αὐτὸν ἔχων τῶν τε Ἰλλυρικῶν καὶ τῶν Θρᾳκίων δυνάμεων εὐκολώτερον αὐτοῦ περιεῖναι δύναιτο. Εἰ δὲ τροφῶν ἀπορεῖν τῷ στρατεύματι λέγοι τὸν παρόντα ἐνιαυτὸν, ἅτε μήτε ἐν σπόροις μήτε καρποῦ ἐλπίδα ἔχων ἐν Παυταλίᾳ, ἔδωκε λίτρας χρυσίου ἀπιόντι διακοσίας, ἃς ἐκέλευε δόντα τῷ ὑπάρχῳ τῷ ἐκεῖ ποιῆσαι τὴν δαπάνην αὐτοῖς εἰς Παυταλίαν χορηγῆσαι τὴν ἐπαρκοῦσαν. Ἔτι δὲ τοῦ πρεσβευτοῦ ὄντος ἐν Βυζαντίῳ, στρατιῶται συστάντες ἐν Θεσσαλονίκῃ τὸν ὕπαρχον Ἰωάννην προϊόντα φυλάξαντες ξιφήρεις ὥρμησαν· καὶ ὡρίσθη παρὰ τῶν (τοῦ Bekk.) Ζήνωνος Ἀδαμάντιος, καὶ ταῦτα κατέστησεν. Ὁ δὲ Βαλαμήρου, ἐν ᾧ τὰ τῆς Θεσσαλονίκης ἐγένετο, περὶ Ἡράκλειαν ἔμενεν, καὶ ἐπὶ τὴν Ἤπειρον πέμπει πρὸς Σιδιμοῦνδον, ἐκ μὲν τῆς αὐτῆς φυλῆς τὸ ἀνέκαθεν ὄντα, δοκοῦντα δὲ τότε εἶναι Ῥωμαίοις ὑπόσπονδον, καὶ ἐν τῇ κατ' Ἐπίδαμνον Ἠπείρῳ χώραν τε νεμόμενον καὶ εὐδαίμονα κλῆρον, καὶ παρὰ βασιλέως δεχόμενον συντάξεις. Ἀνεψιὸς δὲ ἦν οὗτος Αἰδοΐγγου, Βηρίνης τε μάλιστα ὄντος οἰκειοτάτου καὶ τὴν τῶν λεγομένων δομεστίκων ἀρχὴν ἄρχοντος, μεγάλην τινὰ οὖσαν τῶν περὶ βασιλέα. Πρὸς τοῦτον οὖν ἔπεμπε, τῆς τε παλαιᾶς αὐτὸν συγγενείας ἀναμιμνήσκων, καὶ ἀξιῶν ἐξευρεῖν καὶ συμπρᾶξαι τρόπον, δι' οὗ τῆς τε Ἐπιδάμνου καὶ τῆς ἄλλης Ἠπείρου δυνηθείη κρατήσας στῆναι τῆς πολλῆς πλάνης, καὶ ἱδρύσας ἑαυτὸν ἐν πόλει καὶ τείχεσιν ἐντεῦθεν ὡς ἂν διδῷ δέχεσθαι τὸ συμβαῖνον. Σιδιμοῦνδος δὲ ταῦτα παρ' αὐτοῦ δεξάμενος, καὶ βάρβαρος βαρβάρῳ συνοικεῖν ἢ Ῥωμαίοις ἡγησάμενος κρεῖττον, ἐλθὼν εἰς Ἐπίδαμνον καὶ ἰδίᾳ μετιὼν τῶν πολιτῶν ἕκαστον ὡς δῆθεν κατ' εὔνοιαν συνεβούλευεν αὐτοῖς, ἅ τε ἕκαστος ἔχει, θᾶττον ὑπεκτίθεσθαι, καὶ αὐτοὺς ἢ εἰς νήσους ἢ πόλιν ποι σώζεσθαι λέγων, ὡς βάρβαρος ἐπὶ ταύτην ὥρμηται, καὶ ὅτι τῷ βασιλεῖ ταῦτα δοκοῦντά ἐστι, καὶ ὡς Ἀδαμάντιος ἐπὶ ταῦτα πεμφθείη· κρεῖττον οὖν εἶναι αὐτοῖς, ἕως ἔτι ἄπεστιν, κατὰ πλείονα σχολὴν τὰ κατ' αὐτοὺς διοικήσασθαι. Ταῦτα καὶ τοῖς στρατιώταις [λέγων Nieb.] τοῖς ἐκεῖ φυλάττουσιν, οὖσιν ὡς δισχιλίοις, οἳ καὶ ἀμύνασθαι ἐπιόντα πρός γε τὸ παραχρῆμα ῥᾳδίως ἠδύναντο, ἔπεισεν ὁμοῦ πάντας ἐκλιπεῖν Ἐπίδαμνον, καὶ λέγων καὶ ταράττων, καὶ φήμην ἀεὶ καινὴν πειρώμενος ἐμβάλλειν, καὶ ὅτι βασιλεῖ ἀπεχθήσονται μᾶλλον ἀντιστῆναι θέλοντες, καὶ πρὸς τὸν Βαλαμήρου εὐθέως ἐπέστελλεν, ὡς τάχος ἐπείγεσθαι. Ὁ δὲ τὸ τοῦ Σιδιμούνδου ἐπέμενε δήλωμα, καὶ τὴν αὐτοῦ ἀδελφὴν νόσῳ κατεχομένην, ἐξ ἧς ἐτελεύτησε. Φανερὰν μέντοι τῆς

rime fieri posset, legatum mittere idonea auctoritate instructum. Nec enim in ejus potestate esse, longo tempore tantam militum turbam a damnis pro libidine inferendis continere. Quamobrem imperator misit Adamantium, Viviani filium, patricium et olim urbi præfectum, quem etiam dignitate consulari auxit, jussitque regionem in Pautalia illi assignare, quæ Illyricæ partis est provincia non longo intervallo distans ab ingressu Thraciæ. Quod eo consilio faciebat, ut, si qua Theudérichus, Triarii filius, se commovere susciperet, illum adversarium huic oppositum sciret, atque etiam, si alter pacta violare et pacem turbare vellet, quum inter duos exercitus, Illyricum et Thracium, degeret, eum facilius opprimere posset. Quodsi hoc anno exercitum suum inopia laborare Theuderichus diceret, propterea quod nullum semen terris mandatum esset, neque ullam spem percipiendorum in Pautalia fructuum haberet, dedit Adamantio proficiscenti ducentas auri libras, quas jussit regionis illius præfecto tradere, ut eas ad convehendos in Pautaliam commeatus, qui illis alendis satis essent, impenderet. Quum legatus adhuc esset Byzantii, milites, qui Thessalonicæ in præsidiis erant, Joannem præfectum, qua exiret, observantes gladiis aggressi sunt. Huic negotio finem imposuit Adamantius ex præscripto Zenonis et hæc pacavit. Dum hæc Thessalonicæ gerebantur, Theudericus, Valamiri filius, circa Heracleam commoratus, in Epirum ad Sidimundum mittit. Is, ex eodem genere et majoribus ortus, tunc temporis credebatur Romanorum amicus esse. Etenim regionem circa Epidamnum incolebat, quæ illi ex hereditate opulenta obvenerat, et sub imperatore stipendia merebat. Erat hic Ædoingi patruelis, qui valde familiariter Verina utebatur, et eos, qui domestici vocantur, regebat, quæ dignitas magnam habet in regia auctoritatem. Ad hunc igitur misit, antiquam cognationem in memoriam revocans et orans, ut viam reperiret et efficeret, qua Epidamno et reliquæ Epiri dominatu potiretur, ubi post tot errores consistere posset, et suis rebus urbe et mœnibus firmatis, casus quos fortuna daret, exspectaret. Ut Sidimundus hæc ab illo accepit, barbarus cum barbaro conjungi, quam cum Romanis, satius esse duxit. Itaque Epidamnum venit, et privatim unumquemque civium circumiens, tanquam ipsorum saluti providens, consilium dedit, ut omnia, quæ quisque haberet, exportaret, et se suaque omnia in insulas, aut in aliquam aliam urbem conferret: barbarum enim quam primum Epidamnum invasurum: sic enim imperatorem decrevisse, qui ad eam rem exsequendam Adamantium miserit. Itaque melius esse per otium, dum nondum adesset, rebus suis prospicere. Erant quoque in ea urbe in præsidiis militum duo millia, qui barbari primum impetum repellere potuissent. His quoque multum dicendo et terrorem injiciendo et quotidie novos rumores spargendo persuasit, ut urbem Epidamnum desertam relinquerent. Aiebat enim, eos, si resistere auderent, magis imperatoris voluntati adversaturos. Mox quo celerius Theuderichus accederet, ad eum misit; is circa Heracleam consederat, et quid sibi

καθέδρας πρόφασιν ἐποιεῖτο τὴν τοῦ πρεσβευτοῦ παρὰ Ζήνωνος ἄφιξιν καὶ τὸ βούλεσθαι μαθεῖν ὅπως πρὸς αὐτὸν ἔχει τὰ ἐκ τοῦ βασιλέως. Ἐπεὶ δὲ τὴν ἀδελφὴν μὲν ἀποθανοῦσαν ἔθαψεν, τὰ δὲ παρὰ Σιδιμούνδου ἀπήντησε καλοῦντα, πρὸς τοὺς Ἡρακλειώτας ἐκλιπόντας μὲν τὴν πόλιν, ἐς φρούριον δὲ ἰσχυρὸν ἀνασκευασαμένους, πέμψας ἀπῄτει σῖτον πολύν τινα καὶ οἶνον, ὅπως τῷ στρατῷ ἔχοι ἀπιὼν ἐφόδια. Οἱ δὲ οὐδὲν ἔφασαν αὐτῷ δύνασθαι . . . ἐν τοσαύταις ἡμέραις λέγοντες, ὅσον εἶχον ἐπὶ φρουρίῳ γε μικρῷ δεδαπανῆσθαι. Ὁ δὲ πρὸς ὀργὴν τὰ πλεῖστα τῆς πόλεως ἐμπρήσας, ἀνδρῶν οὔσης ἐρήμου, εὐθὺς ἀπανίσταται. Καὶ κατὰ τὴν δύσοδον καὶ στενὴν ὁδὸν τὴν ἐπὶ τὴν νέαν λεγομένην Ἤπειρον ἀπάγουσαν ἀναστήσας ἤλαυνε, καὶ προπέμπει τοὺς ἱππεῖς τὰ ἄκρα τῇ στρατιᾷ προκαταληψομένους, καὶ ἕως ἀνέλπιστοί εἰσι κατ' ἐκεῖνα χωρήσειν, ἐξ ἐφόδου ἀθρόας ἐκκρούσοντας τὴν φυλακήν, ἥτις ἦν αὐτόθι. Οἱ δὲ ὡς ἀνέβησαν, οἱ ἐπὶ τῷ τειχίῳ φρουροῦντες στρατιῶται τό τε πλῆθος ἰδόντες καὶ πρὸς τὸ αἰφνίδιον αὐτῶν καταπλαγέντες οὔτε ἐς ἀλκὴν ἔτι τραπέσθαι ὑπέμειναν, οὔτε λογισμὸν ἔσχον ἀποζεῦξαι τὸ τείχισμα, ἀλλ' ὥρμησαν φεύγειν, ὑπὸ τῆς ἐκπλήξεως ἀπερίοπτοι πάντων [τῶν] εἰς τὸν τότε καιρὸν ὠφελῆσαι δυναμένων. Οἱ δὲ κατὰ πολλὴν ἐρημίαν προσιόντες ἐχώρουν, ἐπὶ τοῦ στόματος αὐτὸς ὁ Θευδέριχος, Σόας δὲ ὁ μέγιστος τῶν ὑπ' αὐτὸν στρατηγῶν κατὰ τὸ μέσον εἶχε, Θευδιμοῦνδος δὲ ὁ ἕτερος τῶν Βαλαμήρου παίδων ἐπὶ τῆς οὐραγίας. Θευδέριχος μὲν οὖν προκαταβὰς καὶ θαρσῶν, ὡς οὐδεὶς ἦν αὐτοῖς ἐφεπόμενος, τοῖς ἐπὶ τῶν ἁμαξῶν καὶ τοῖς ἄλλοις σκευοφόροις εἶπεν προχωρεῖν· αὐτὸς δὲ ἠπείγετο φθάσαι προκαταλαβὼν ἣν ἂν δύναιτο πόλιν. Καὶ πρὸς μὲν τὴν Λυχνηδὸν ἐπελθὼν ἀπεκρούσθη, ἐπὶ ὀχυροῦ κειμένην καὶ πηγῶν ἔνδον πλήρη, καὶ σίτου προενόντος. Ἀναστὰς δὲ ἐκεῖθεν τήν τε Σκαμπίαν αἱρεῖ, τῶν οἰκητόρων αὐτὴν πάλαι ἐκλελοιπότων, καὶ ἐξ αὐτῆς ὁρμήσας Ἐπίδαμνον λαμβάνει. Ἀδαμάντιος δὲ ταῦτα πυθόμενος προπέμπει τῶν ἱππέων τῶν βασιλείων τινά, οὓς μαγιστριανοὺς καλοῦσι, μεμφόμενός τε αὐτῷ παρὰ τὴν ὑπόσχεσιν τῆς πρεσβείας ποιοῦντι, καὶ κελεύων ἠρεμεῖν καὶ μήτε πλοῖα λαβεῖν, μήτ' ἄλλο τι τῶν παρόντων πλέον νεωτερίσαι, ἕως ἂν αὐτὸς ἔλθῃ· ἀποστεῖλαι δὲ καὶ ἄνδρα, ὅστις τὰ πιστὰ δώσει τῆς μετὰ τὴν πρεσβείαν αὖθις ἀναχωρήσεως καὶ τῆς ὅλης ἀδείας. Ταῦτά τε πρὸς ἐκεῖνον ἐπέστελλε, καὶ αὐτὸς ἄρας ἀπὸ Θεσσαλονίκης ἔρχεται εἰς Ἔδεσσαν, ὅπου ἦν Σαβινιανὸς, σὺν δὲ αὐτῷ καὶ Φιλόξενος. Καὶ τάς τε δέλτους αὐτῷ παρέχουσι, καὶ στρατηγὸν ἀποφαίνουσι, καὶ περὶ τῶν παρόντων εὖ διεβουλεύοντο. Καὶ τὸ μὲν ἐπιχειρεῖν τοῖς βαρβάροις πορευομένοις οὐκ ἀσφαλὲς ἐδόκει, ὀλίγων μὲν συνόντων αὐτῷ Σαβινιανῷ μισθοφόρων οἰκείων, τῆς δὲ δημοσίας στρατιᾶς καὶ τῶν κοινῶν ταγμάτων τῶν μὲν διεσπαρμένων κατὰ πόλεις, τῶν δὲ μετὰ τοῦ στρατηγοῦ Ὀνούλφου (ὁ εὐούλφου vgo) ἀκολουθούντων. Ἐδόκει δὲ πέμπειν ἁπανταχοῦ προστάγματα συγκαλοῦντα τοὺς στρατιώτας, καὶ τὸν στρατηγὸν δηλοῦντα προ-

nuntii a Sidimundo veniret, et propter morbum sororis, quæ paullo post decessit, exspectabat. Suæ autem moræ causam palam legatum esse simulavit, quem ad eum Zeno miserat, quia ex eo, quo animo in se esset imperator, intelligere cuperet. Nec multo post, quum sororem suam mortuam efferret, a Sidimundo nuntius occurrit, qui eum arcesseret. Tum ad Heracleotas, qui urbem reliquerant et se in arcem munitissimam receperant, misit qui peterent magnam frumenti vim et vini, ut discedens viaticum, quod alendo exercitui sufficeret, haberet. Illi autem responderunt, nihil sibi restare commeatuum, quos largiri possent; etenim quos habuissent tot diebus in parvo castello consumpsisse. Ille ira exarsit, et urbis, quæ ab hominibus vacua erat, quam plurima loca incendit, et confestim motis castris, via ardua et angusta, quæ ad Novam Epirum ducebat, perrexit. Tum equites præmittit, qui juga montium prius occuparent, ut, quum nemo suspicari posset, eos per ea loca progressuros, præsidia, si qua essent, impetu derepente facto depellerent. Qui pro mœnibus urbis præsidia agebant, ut multitudinem hostium conspexerunt, subito casu perterriti, neque resistere ausi sunt, neque illis tantum animi et prudentiæ fuit, ut propugnaculum occluderent, sed in fugam conversi præ pavore nihil, quod utile esset, attenderunt. Hostes autem per loca hominibus vacua et deserta progrediebantur. Theuderichus erat inter primos, Soas a Theuderico secundum in exercitu gradum tenebat, et medium agmen ducebat, Theudimundus, alter ex Valamiri filiis, extremum. Theuderichus valde audax et confidens, ut neminem, qui sibi resisteret, obviam fieri vidit, eos, qui apud currus et cetera impedimenta erant, procedere jussit. Ipse præibat, ut quamcunque posset urbem præveniendo caperet. Ad Lychnidum accedens est repulsus. Erat enim difficili loco sita et fontium et scaturigine plena, et convecto prius frumento abundabat. Hinc moveus, Scampiam, quam jamdudum incolæ reliquerant, diruit, et inde progressus impetu facto Epidamnum occupat. Quod ubi cognovit Adamantius, mittit unum ex equitibus imperatoris, qui cum eo expostularet, quod contra id, quod missa legatione promiserat, faceret, et juberet ab incepto desistere neque naves sumere, aut quicquam aliud novarum rerum tentare, donec adventaret : denique virum ad se mittere, qui sibi tuti post peractam legationem reditus et reliquæ securitatis fidem præstaret. Hæc quum ad eum Adamantius mandata dedisset, ipse, Thessalonica relicta, Edessam venit et una cum eo Philoxenus. Erat Edessæ Sabinianus, cui litteras imperatoris reddiderunt quemque ducem crearunt, ceteraque omnia ordine administrarunt. Sed barbaros recedentes persequi minime tutum visum est. Sabiniano enim pauci milites mercenarii ex ejus domesticis et familiaribus aderant. Nam qui publice merebant et ordinariis legionibus adscripti stipendia faciebant, quum per urbes dispersi, tum Onulfum, ducem suum, secuti, abierant. Itaque visum est edicta, quibus milites undique evocarentur, proponere, et ducem legatum, qui ea promulgaret, præmittere. Eo ipso tempore eques ab Adamantio missus reversus, una secum adducens barbarorum sacerdotem,

πέμπειν τὸν πρεσβευτήν. Ἤδη δὲ ὁρμωμένοις ὁ παρὰ τοῦ Ἀδαμαντίου προαπεσταλμένος ἱππεὺς ἀπαντᾷ, τὸν τῶν βαρβάρων ἔχων ἱερέα, ὃν οἱ Χριστιανοὶ καλοῦσι πρεσβύτερον, ὡς πίστιν τῆς ἀδείας αὐτῷ ἐπιθήσοντα. Ἔχοντες οὖν αὐτὸν σὺν αὐτοῖς ἠπείγοντο, καὶ ἀφικνοῦνται εἰς Λυχνηδόν. Τῶν δὲ ἐκ τῆς πόλεως τῶν ἐν ταῖς ἀξίαις (παλαιόπλουτός τε γὰρ αὕτη καὶ εὐδαίμων ἡ πόλις) καὶ τῶν ἄλλων ἀπαντησάντων, εἰσέρχονται ἐνταῦθα. Καὶ ἀποστέλλει πάλιν Ἀδαμάντιος εἰς Ἐπίδαμνον, κελεύων ἢ αὐτὸν τὸν Θευδέριχον εἴς τι τῶν περὶ Λυχνηδὸν χωρίων ἀπαντῆσαι μετ' ὀλίγων διαλεξόμενον αὐτῷ περὶ ὧν ἀπέσταλτο, ἢ εἰ βούλοιτο αὐτὸν ἐλθεῖν εἰς Ἐπίδαμνον, πέμψαι ὁμήρους εἰς Λυχνηδὸν Σόαν τε τὸν αὐτοῦ στρατηγὸν καὶ Δαγίσθεον, φυλαχθησομένους ἕως ἂν αὐτὸς ἐπανέλθῃ. Ὁ δὲ πέμπει μὲν τούτους, ἐκέλευσε δὲ αὐτοὺς περιμεῖναι ἐν Σκαμπίᾳ καὶ προαποστεῖλαι ἄνδρα, ὃς τὸν Σαβινιανὸν ὁρκώσει, ἦ μὴν ἐπανιόντος σώου τοῦ Ἀδαμαντίου καὶ αὐτὸν τοὺς ὁμήρους ἀπαθεῖς ἀποπέμψαι. Ὁ δὲ Σαβινιανὸς οὐκ ἂν ἔφη ὀμεῖσθαι· οὐδὲ γὰρ ἐν τῷ πρόσθεν χρόνῳ ὀμωμοκέναι ἐπ' οὐδενὶ πράγματι, καὶ τὸ πάλαι αὐτῷ δόξαν οὐκ ἂν νῦν καταλύσειν. Καὶ τοῦ Ἀδαμαντίου λέγοντος, ὡς ἀνάγκη συγχωρῆσαι τῷ καιρῷ ἢ ἄπρακτον εἶναι τὴν πρεσβείαν (οὐ γὰρ αὐτὸν ἀπελθεῖν μή τι καὶ ἐνέχυρον τοῦ σώματος λαβόντα), οὐδὲν μᾶλλον ἐπείσθη, ἀλλ' ἐκεῖνον μὲν ἔφη εἰδέναι τὸ ἑαυτῷ πρακτέον, αὐτὸν δὲ οὐδὲν ποιήσειν παρὰ τὸν αὐτοῦ νόμον. Ἐνταῦθα Ἀδαμάντιος καταστὰς εἰς ἄπορον, λαβὼν στρατιώτας διακοσίους, δι' ὄχθων τε ἀβάτων καὶ ὁδοῦ ἀδήλου μὲν τοῖς πολλοῖς, στενῆς δὲ καὶ ἀτριβοῦς καὶ τότε πρῶτον ἵππους, ὡς ἐλέγετο, δεξαμένης, ἀφ' ἑσπέρας ὁρμήσας καὶ κύκλῳ περιελθὼν ἔρχεται εἰς φρούριον Ἐπιδάμνου πλησίον ἐπὶ λόφου ὑψηλοῦ κείμενον καὶ ἄλλως ἄμαχον, ᾧ φάραγξ ὑπέκειτο βαθεῖα, καὶ παρὰ τὴν φάραγγα ποταμὸς βαθὺς ἔρρει. Ἐνταῦθα μεταπέμπεται τὸν Θευδέριχον. Καὶ ὁ μὲν ὑπακούσας ἔρχεται, καὶ τὴν ἄλλην στρατιὰν πόρρω καταστήσας σὺν ὀλίγοις ἱππεῦσι πρὸς τὸν ποταμὸν ἀφικνεῖται. Ἀδαμάντιος δὲ κύκλῳ περὶ τὸν λόφον τάξας στρατιώτας, ὅπως μὴ κύκλωσις παρ' ἐκείνου γένηται, ὑποκαταβὰς εἰς πέτραν, ἀφ' ἧς ἦν ἀκουστὸν, καὶ κελεύσας κἀκείνῳ τοὺς ἄλλους ἀποπέμψαι, μόνος διελέγετο μόνῳ. Καὶ καταστὰς ὁ Θευδέριχος κατηγόρει Ῥωμαίων, ὡς ἐδόκει, δίκαια, λέγων ὅτι « ἐγὼ μὲν ἔξω τῆς ὅλης Θράκης διατρίβειν ᾑρούμην, πόρρω πρὸς τὴν Σκυθίαν, ὅπου μένων οὔτε ἐνοχλεῖν ἐνόμιζον οὐδένα, ἑτοίμως δὲ βασιλεῖ ὑπακούσεσθαι ἐντεῦθεν ἐς ὅ τι προστάξειεν. Ὑμεῖς δὲ καλέσαντες ὡς ἐπὶ τὸν πόλεμον τὸν πρὸς Θευδέριχον, πρῶτον μὲν ὑπέσχεσθε τὸν τῆς Θρᾴκης στρατηγὸν μετὰ τῆς δυνάμεως εὐθύς μοι παρέσεσθαι, ὃς οὐδαμοῦ ἐφάνη, ἔπειτα καὶ Κλαύδιον τὸν τοῦ Γοτθικοῦ ταμίαν σὺν τῷ ξενικῷ ἥξειν, ὃν οὐδὲ αὐτὸν εἶδον, τρίτον καὶ ἡγεμόνας ὁδῶν μοι δεδώκατε, οἳ τὰς εὐπορωτέρας τῶν ὁδῶν ἐάσαντες τὰς εἰς τοὺς πολεμίους φερούσας ἀπήγαγον δι' ὀρθίας ἀτραποῦ καὶ κρημνῶν ἀμφιρρόπων, ἐν οἷς παρὰ μικρὸν ἦλθον, σὺν ἱππεῦσί τε ἰὼν, ὡς εἰκὸς, καὶ ἁμάξαις καὶ στρατοπέδων κατασκευῇ, ἐπιθεμένων ἡμῖν ἄφνω τῶν πολεμίων ἅμα τῷ ἐμῷ πλήθει παντὶ

---

quem Christiani presbyterum vocant, qui tuto Adamantium ad barbarum accedere fide sua interposita juberet, advenerat. Quem Sabinianus et Adamantius secum ducentes protinus discedunt et Lychnidum veniunt. Erat hæc urbs jam olim opulenta et divitiis abundans : cujus magistratus et alii cives obviam illis prodierunt, et eos in eam introduxerunt. Hinc Adamantius denuo Epidamnum mittit, petiitque ut Theuderichus ad se circa Lychnidum cum paucis veniret, et de rebus, de quibus ad eum missus erat, secum colloqueretur, aut si illi videretur, ipsum Epidamnum accessurum, modo Soam, ipsius ducem, et Dagistheum obsides Lychnidum mitteret, qui illic asservarentur, dum salvus et incolumis remitteretur. Hos quidem barbarus mittit, sed Scampiæ subsistere et hominem ad Sabinianum præmittere jussit, qui Sabinianum jurejurando adigere, si salvus et incolumis Adamantius rediret, se quoque salvos et incolumes obsides dimissurum. Sed Sabinianus negavit se juraturum. Nec enim ulla de re antea se jurasse, neque opinionem apud animum suum a tam longo tempore inveteratam depositurum. Quum Adamantius diceret, necesse esse tempori cedere aut legationem irritam fore : nec enim se profecturum, nisi prius aliquod vitæ et salutis suæ pignus accepisset : Sabinianus tamen nihil movebatur. Et illum quidem ait scire, quid sibi facto opus sit, se quidem nihil quicquam contra legem, quam colat, commissurum. Hic quum Adamantius in dubio hæreret, assumptis ducentis militibus, per ripas inaccessas et viam multis incognitam neque antea initam, et quæ tunc primum equites admisisse dicitur, sub vesperam profectus circumeundo pervenit ad castellum Epidamno proximum, in prærupto tumulo situm, cui suberat fossa profunda, in quam altus fluvius influebat. Illuc Theuderichum arcessivit; et ille quidem obtemperans venit, et instructo longe a tergo cetero exercitu, cum paucis equitibus ad fluvium accessit. Adamantius autem, ne ullæ insidiæ tentarentur, undique in orbem circa collem milites collocavit, et descendens in saxum, unde exaudiri posset, et jubens barbarum omnes alios dimittere, solus cum solo est collocutus. Hic quum Theuderichus constitisset Romanos jure, ut videbatur, accusat. « Ego quidem, » inquit, « extra Thraciæ fines Scythiam versus vitam transigere constitueram. Hic mihi manenti et imperatori in omnibus obtemperare parato neminem vexare in mentem veniebat. Vos me ad bellum contra Theuderichum, Triarii filium, evocastis, et primum quidem Thraciæ ducem cum exercitu mihi præsto futurum promisistis : is nullibi gentium apparuit : deinde Claudium, procuratorem stipendii Gothici, cum extero milite adventurum, quem ipsum quoque nusquam vidi. Tertio mihi viarum duces dedistis, qui, tutis et expeditis omissis, per eas, quæ ad hostem ferebant, per prærupta et præcipitia loca me deduxerunt, in quibus parum abfuit, quum cum equitibus et curribus et reliquo castrorum apparatu iter facerem et hostes in me derepente irruerent, quin cum toto exercitu meo funditus interirem. Ex quo necessariam cum illis pactionem facere sum coactus,

ἀπολέσθαι καθάπαξ. Ἐνταῦθα ἀναγκαίαν ἐδιάσθην σύμβασιν πρὸς αὐτοὺς ποιήσασθαι· οἷς χρὴ πολλὴν χάριν ἔχειν, ὅτι ὑφ' ὑμῶν προδοθέντα δυνάμενοι καὶ διαφθεῖραι διέσωσάν γε ὅμως. » Ἀδαμάντιος δὲ τῶν τε τοῦ βασιλέως τιμῶν αὐτὸν ἀνεμίμνησκε, καὶ ὅτι πατρίκιον καὶ στρατηγὸν ποιήσας, ἃ τοῖς πλεῖστα καμοῦσι παρὰ Ῥωμαίοις γέρα ἐστὶ, καὶ τῶν ἄλλων δωρεῶν καὶ πλούτου ἐνέπλησεν, ἀνθ' ὧν ἔδει μηδέποτε πρὸς αὐτὸν ἄλλως πως ἢ πρὸς πατέρα φρονεῖν τε καὶ διατίθεσθαι. Καὶ τὰ τῶν παρ' αὐτοῦ ἐγκλήσεων (ἦν γὰρ οἶμαι ἀληθῆ) διακρούεσθαι ἐπειρᾶτο. Καὶ ὅτι οὐκ ἀνεκτὰ ποιήσειεν ἐν πρεσβείας ἐλπίδι καταλαβὼν τὰ Ῥωμαίων, οἳ καὶ ἀποκεκλεισμένον ἐν Θρᾴκῃ ἔχοντες ὄρεσι καὶ ποταμοῖς καὶ περιβολῇ στρατοπέδων, ὅμως συνεχώρησαν ἑκόντες διεξελθεῖν· οὐ γὰρ ἂν μὴ βουλομένων αὐτὸν ἐκεῖθεν κινηθῆναι, οὐδὲ εἰ δεκαπλασίαν εἶχε δύναμιν τῆς παρούσης. Νῦν τε συμβουλεύειν αὐτῷ μετριώτερον ἑαυτὸν τῷ βασιλεῖ παρέχειν· οὐ γὰρ ἂν δυνηθῆναι τὴν Ῥωμαίων εἰς τέλος ὑπερβάλλειν χεῖρα πανταχόθεν ἐφεστηκότων. Δεῖν οὖν, εἰ αὐτῷ πείθοιτο, ἐκλιπεῖν μὲν τὴν Ἤπειρον καὶ τὰς αὐτόθι πόλεις (οὐδενὶ γὰρ εἶναι φορητὸν πόλεις οὕτω μεγάλας, τῶν οἰκητόρων ἐκβληθέντων, ὑπ' αὐτοῦ κατέχεσθαι), ἐλθεῖν δὲ εἰς τὴν Δαρδανίαν, ἐν ᾗ χώραν εἶναι πολλὴν παρὰ τὰ οἰκούμενα, καλὴν μὲν καὶ εὔγειον, ἐνδεᾶ δὲ οἰκητόρων, ἣν δύναται γεωργῶν ἐν πᾶσιν ἀφθόνοις αὐτοῦ τὴν στρατιὰν διάγειν. Ὁ δὲ Θευδέριχος αὐτὸς μὲν ἐπώμνυε ταῦτα βούλεσθαι, οὐ μέντοι ἀνέξεσθαι αὐτοῦ τὸ πλῆθος, πολλὰ μὲν προτεταλαιπωρηκὸς, μόλις δὲ ἀναπαύσεως νῦν ἐπιλαβόμενον· οὓς οὐ δύνασθαι μήπω ἀναπνεύσαντας ἄγειν μακρὰν οὕτω πορείαν. Ἀλλὰ νῦν μὲν αὐτοὺς ἐᾶν αὐτοῦ ἐπιχειμάσαι, μήτε πρόσω χωροῦντας [ὧν] ἔχουσι πόλεων, μήτε ἐπιφθείροντας· συνθέμενον δὲ περὶ πάντων ἐπὶ τούτοις ἅμα τῷ ἦρι πέμψαι τὸν ἄξοντα ἐπὶ τὴν Δαρδανίαν ἐνδοὺς (ἐπιεικῶς N., ἑτοίμως B.; ἀσμένως?) ἐπακολουθήσοντας. Ἔλεγε δὲ, ὡς ἕτοιμος εἴη τὴν αὐτοῦ κατασκευὴν καὶ τὸ ἄμαχον πλῆθος καταθέμενος ἐν πόλει, ᾗ βούλοιτο βασιλεὺς, καὶ ὁμήρους παρασχὼν τῆς ἁπάσης πίστεως τήν τε μητέρα καὶ ἀδελφὴν, μετὰ ἑξακισχιλίων τῶν μάλιστα μαχίμων ἐλθεῖν ὡς τάχιστα ἐς Θρᾴκην· καὶ ὑπισχνεῖσθαι σὺν τούτοις καὶ τοῖς Ἰλλυριοῖς στρατιώταις καὶ ἄλλοις, ὁπόσους ἂν βασιλεὺς ἀποστείλῃ, τοὺς ἐν τῇ Θρᾴκῃ Γότθους ἀναλώσειν ἅπαντας, ἐφ' ᾧ τε, εἰ τοῦτο ποιήσοι, αὐτόν τε ἀντὶ Θευδερίχου στρατηγὸν γενέσθαι, καὶ εἰσδεχθῆναι εἰς τὴν πόλιν τὸν Ῥωμαϊκὸν πολιτεύσοντα τρόπον· ἕτοιμος δὲ, εἰ προστάξειε βασιλεὺς, καὶ εἰς Δαλματίαν ἀπελθεῖν, ὡς Νέπωτα κατάξων. Ἀδαμάντιος δὲ οὐκ ἔφη κύριος εἶναι οὐδὲν αὐτῷ συνθέσθαι μένοντι ἐν τῇ χώρᾳ, ἀλλὰ δεῖν βασιλέα πρῶτον περὶ τούτων πείθεσθαι. Ἀνοίσειν οὖν ἐκείνῳ, καὶ αὐτὸς ἐπιμενεῖν, ἕως τὴν τοῦ κρατοῦντος διαπύθηται γνώμην. Ἐπὶ τούτοις διελύθησαν ἀπ' ἀλλήλων. Ἐν ὅσῳ δὲ Ἀδαμάντιος ἀμφὶ ταῦτα ἦν, συνεληλύθει μὲν πολλὰ τῶν ταγμάτων εἰς τὴν Λυχνιδὸν κατὰ τὴν τοῦ στρατηγοῦ ἀγγελίαν, λέγει δέ τις τῷ Σαβινιανῷ, ὡς οἱ βάρβαροι καταφρο-

---

Insurrexit adversus Zenonem Theuderichus (*Triarii f.*), natione Gothus; collectisque in Thracia suis copiis, expeditionem suscepit adversus Zenonem. Et quum cuncta quæ obvia erant, usque ad fauces Ponti late vastasset, parum abfuit quin ipsam urbem regiam caperet. Cepissetque omnino, nisi quidam ex ejus familiaribus, donis corrupti, ipsum interficere moliti essent. Itaque ille, cognita suorum malevolentia, retro abscessit. Neque multo post vitam cum morte commutavit. Mortis autem genus quale fuerit, exponam. Hasta amentata ante illius tabernaculum suspensa erat more barbarico. Forte igitur quum corpus exercere vellet, equum sibi adduci jussit. Quumque stratoria auxilio haudquaquam uti soleret, ipse in equum insiliit. Equus vero, utpote indomitus ac ferox, quum Theuderichus ipsum ambabus tibiis nondum amplexus esset, anterioribus pedibus in sublime elatis, posterioribus duntaxat insistere atque ingredi cœpit. Adeo ut Theuderichus cum equo suo certans, ac neque illum freno retrahere ausus, ne retractus supra ipsum caderet, neque in sella firmiter inhærens, hac et illac circumageretur, hastæque cuspidem impelleret : quæ in eum oblique impacta latus ejus vulneravit. Inde igitur in lectum delatus, quum paucos dies supervixisset, ex eo vulnere discessit.

an. 481 (Placidio solo cons.) : *Theodorichus, Triarii f., rex Gothorum, adscitis suis usque ad Anaplum, quarto urbis milliario advenit; nulli tamen Romanorum noxius continuo reversus est. Porro in Illyricum properans, dum inter suorum moventia plaustra progreditur, jacentis super carpentum teli acumine et pavescentis equi sui impulsione fixus transverberatusque interiit.* Cf. Tillemont. VI, p. 499. 505.

Cap. 26. Μετὰ δὲ ταῦτα διενεχθεὶς πρὸς Ζήνωνα Μαρκιανὸς, παῖς μὲν Ἀνθεμίου τοῦ Ῥώμης βασιλεύσαντος, κῆδος δὲ πρὸς Λέοντα τὸν βεβασιλευκότα πρότερον ἐσχηκὼς, ἐπεὶ τὴν νεωτέραν αὐτοῦ θυγατέρα Λεοντίαν ἐσφκίσατο, τυραννεῖν ἐπειρᾶτο· καὶ μάχης ἰσχυρᾶς περὶ τὰ βασίλεια συρραγείσης καὶ πολλῶν ἑκατέρωθεν πεπτωκότων, τρέπει τοὺς ἐναντίους ὁ Μαρκιανὸς, καὶ τῶν βασιλείων ἐγκρατὴς γέγονεν ἂν, εἰ μὴ τὸν καιρὸν παρῆκεν, ἐς αὔριον τὴν πρᾶξιν ἀναβαλλόμενος· ὀξυπετὴς γὰρ ὁ καιρὸς, καὶ παρὰ πόδας μὲν ἰὼν ἴσως ἁλίσκεται· ἐπὰν δὲ τὴν λαβὴν διαδράσοι, μετεωροπορεῖ, γελᾷ τε τοὺς διώκοντας, ἐφικτὸς αὐτοῖς λοιπὸν οὐκ ἀνεχόμενος εἶναι· ὅθεν ἀμέλει οἱ πλάσται καὶ ζωγράφοι κόμην ἔμπροσθεν καθέντες αὐτῷ, τὴν κεφαλὴν ὄπισθεν ἐν χρῷ ξυρῶσιν· εὖ μάλα σοφῶς αἰνιττόμενοι ὡς ὀπισθόπους μὲν τυγχάνων τῷ καθειμένῳ τῆς κόμης ἴσως κρατεῖται, ἐμπροσθόπους δὲ γενόμενος τέλεον διαφεύγει, οὐκ ἔχων ὅτῳ κρατηθείη τῷ διώκοντι. Ὅπερ καὶ ἐπὶ Μαρκιανῷ γέγονε, τὸν μὲν εὔθετον αὐτῷ καιρὸν ἀπολέσαντι, ἐξευρεῖν δὲ τοῦτον λοιπὸν οὐ δυνηθέντι. Ἀνὰ γὰρ τὴν ἑξῆς πρὸς τῶν οἰκείων καταπροδοθεὶς, καὶ μόνος ἀποληφθεὶς πέφευγεν ἀνὰ τὸ τέμενος τῶν ἁγίων ἀποστόλων· ἐκεῖθέν τε πρὸς βίας ἀφελκυσθεὶς, εἰς Καισάρειαν πόλιν (εἰς τὸ Παπουρίου Καστέλλιον Theoph.) τῶν Καππαδοκῶν ἐξοικίζεται. Καί τισι μοναχοῖς συναγελαζόμενος, ὕστερον ἐφωράθη λαθεῖν ἐθέλων. Καὶ πρὸς τοῦ βασιλέως εἰς Ταρσὸν τῆς Κιλικίας ἐκπεμφθεὶς, καὶ τὴν κόμην ἀποθέμενος πρεσβύτερος χειροτονεῖται. Γέγραπται ταῦτα κομψῶς Εὐσταθίῳ τῷ Σύρῳ. Cf. Theophanes p. 196 sq.; qui eodem modo hæc narrat post memoratam necem Theoderichi.

4.

Idem ib. c. 27 : Ὁ αὐτὸς γράφει τὸν Ζήνωνα καὶ Βηρίνῃ τῇ πενθερᾷ μυρίας ἐπιβουλὰς ῥάψαι· μετὰ δὲ ταῦτα καὶ πρὸς τὴν Κιλίκων ἐκπέμψαι χώραν. Ὕστερον δὲ μεταβῆναι ταύτην πρὸς τὸ Παπιρίου λεγόμενον φρούριον, Ἴλλου τυραννήσαντος, αὐτόθι τε τὸν βίον ἐκλιπεῖν. Καὶ τὰ κατὰ Ἴλλουν δὲ γράφει μάλα λογίως ὁ Εὐστάθιος, ὅπως πρὸς τοῦ Ζήνωνος ἐπιβουληθεὶς διέφυγε, καὶ ὅπως ὁ Ζήνων τὸν ἀποσφάξαι τοῦτον προσαχθέντα ἐς θάνατον ἐκδέδωκε, μισθὸν τῆς ἀποτυχίας τὴν τῆς κεφαλῆς ἐκτομὴν αὐτῷ παρασχών· ὃν καὶ στρατηγὸν ὁ Ζήνων τῶν ἑῴων ἀποδείκνυσι δυνάμεων, τὸ λαθεῖν πραγματευόμενος. Ὁ δὲ, Λεόντιον προσεταιρισάμενος, Μάρσον τε οὖν, ἄνδρα δόκιμον, καὶ Παμπρέπιον, ἀνὰ τὰ τῆς ἑῴας γέγονε μέρη. Εἶτα τὴν Λεοντίου ἀνάρρησιν τὴν ἐς Ταρσὸν τῆς Κιλικίας γενομένην· ὅπως τε καὶ οὗτοι τῆς τυραννίδος ἀπώναντο, Θευδερίχου κατ' αὐτῶν ἐκπεμφθέντος, ἀνδρὸς Γότθου τὸ γένος ὑπάρχοντος, παρὰ Ῥωμαίοις τε αὖ ἐπισήμου, μεθ' ἡμεδαπῆς τε καὶ ἀλλοδαποῦς δυνάμεως. Ἀναγράφει μάλα σοφῶς ὁ αὐτὸς Εὐστάθιος καὶ τοὺς δειλαίως ἀνῃρημένους πρὸς Ζήνωνος ἀντὶ τῆς ἐς αὐτὸν εὐνοίας· καὶ

Post hæc Marcianus, filius Anthemii ejus qui Romæ imperavit, affinis autem Leonis, qui ante Zenonem imperium rexerat, cujus etiam filiam natu minorem, Leontiam nomine, uxorem duxerat, a Zenone dissidens, tyrannidem arripere conatus est. Commissaque gravi pugna circa palatium, et plurimis ex utraque parte cæsis, Marcianus adversarios in fugam vertit. Eodemque impetu palatium occupavisset, nisi, re in crastinum diem dilata, opportunitatem e manibus elabi sivisset. Volucris enim est occasio. Et dum ad pedes quidem advolat, forsitan apprehendi potest; ubi vero manus effugerit, in sublime avolat, ridetque eos qui ipsam insequuntur, nec amplius ad eos advolare sustinet. Itaque pictores et statuarii comam ei a fronte dimittunt, et occipitium ad cutem usque radunt : prudenter admodum subindicantes, occasionem quamdiu quidem a tergo imminet, comâ demissâ facile apprehendi posse; quando autem præcedit, penitus effugere, nullam ansam, qua capiatur, præbentem insequentibus. Quod quidem tunc accidit Marciano : qui quum occasionem ipsi oblatam elabi sivisset, eamdem postea recuperare non potuit. Postero enim die a suis proditus, et solus relictus, confugit ad basilicam sanctorum apostolorum. Unde per vim extractus Cæsaream Cappadociæ relegatur. Ibi quum se monachis quibusdam aggregavisset, postea fugam meditari deprehensus est. Quam ob causam ab imperatore Tarsum Ciliciæ deportatus, detonsâ comâ presbyter est ordinatus. Atque hæc quidem ab Eustathio Syro scripta sunt eleganter.

4.

Idem Eustathius scribit Zenonem innumeras insidias adversus Verinam socrum suam struxisse, tandemque eam in Ciliciam relegasse. Postea vero, quum Illus tyrannidem occupasset, Verina in Papirium castrum migravit, ibique excessit e vita. Res præterea Illi ab eodem scriptore elegantissime exponuntur, quemadmodum, quum a Zenone insidiis appetitus fuisset, effugerit; atque Zeno eum quem ad interficiendum Illum submiserat, illo necandum tradiderit, capitis amputationem mercedis loco ei rependens, eo quod conatu excidisset. Illum quoque magistrum Orientalis militiæ renuntiavit, studens ut occultæ essent insidiæ quas illi comparaverat. Illus vero, adscito in societatem Leontio et Marso, viro egregio, ac Pamprepio, ad Orientis partes perrexit. Refert deinde idem Eustathius, quomodo Leontius apud Tarsum Ciliciæ imperator nuncupatus sit; et quem isti tyrannidis suæ fructum perceperint, quum Theudericus, vir natione Gothus, et qui apud Romanos erat illustris, adversus eos missus esset cum exercitu Romanorum simul ac barbarorum. Idem Eustathius ele-

ἔτι γε ὁ Θευδέριχος τῆς ἐπιβουλῆς Ζήνωνος αἰσθόμενος, ἐπὶ τὴν πρεσβυτέραν Ῥώμην ἀναχωρεῖ· τινὲς δέ φασιν ὡς καὶ ὑποθήκῃ Ζήνωνος. Καὶ Ὀδόακρον μάχῃ κρατήσας, ὑφ' ἑαυτὸν τὴν Ῥώμην ποιεῖται, ῥῆγα προσονομάσας ἑαυτόν. Cf. uberem narrationem Theophanis p. 197 sqq. Plura apud Tillemont. VI, p. 509 sqq. 519 sqq.

5.

Idem III, 29 : Τοῦ Ζήνωνος τοίνυν ἄπαιδος τελευτήσαντος ἐπιληψίας νόσῳ μετὰ ἕβδομον καὶ δέκατον ἔτος τῆς αὐτοῦ βασιλείας, ἤλπισε μὲν Λογγῖνος ὁ τούτου ἀδελφὸς εἰς μέγα δυνάμεως προκεχωρηκὼς, τὴν βασιλείαν ἑαυτῷ περιθήσειν· οὐ μὴν τῶν δοκηθέντων ἔτυχεν. Ἡ γὰρ Ἀριάδνη Ἀναστασίῳ τὸν στέφανον περιτίθησιν, οὔπω μὲν ἥκοντι ἐς γερουσίαν, ἐν δὲ τῇ λεγομένῃ τῶν σιλεντιαρίων σχολῇ καταλεγομένῳ. Ἱστορεῖ δὲ οὖν ὁ Εὐστάθιος μετὰ τὴν ἀρχὴν τῆς Διοκλητιανοῦ βασιλείας ἐς τὴν Ζήνωνος τελευτὴν καὶ τὴν ἀνάρρησιν Ἀναστασίου ἔτη διελθεῖν ἑπτὰ καὶ διακόσια· ἀπὸ δὲ τῆς Αὐγούστου μοναρχίας ἔτη δύο καὶ λ' καὶ πεντακόσια πρὸς μησὶν ἑπτά· ἀπὸ δὲ τῆς Ἀλεξάνδρου τοῦ Μακεδόνος ἀρχῆς ἔτη δύο καὶ τριάκοντα καὶ ὀκτακόσια ὁμοίως πρὸς μησὶν ἑπτά· ἐκ δὲ τῆς τῶν Ῥωμαίων καὶ Ῥωμύλου βασιλείας ἔτη δύο καὶ πεντήκοντα [add. καὶ διακόσια] καὶ χίλια καὶ πρός γε μῆνας ἑπτά· ἀπὸ δὲ τῆς ἁλώσεως Τροίας ἔτη ἓξ καὶ ὀγδοήκοντα καὶ ἑξακόσια καὶ χίλια πρὸς μησὶν ἑπτά. Οὗτος ὁ Ἀναστάσιος πατρίδα τὴν Ἐπίδαμνον ἔχων, [ἣ] Δυρράχιον νῦν προσηγόρευται, τήν τε Ζήνωνος βασιλείαν καὶ γαμετὴν τοῦ αὐτοῦ Ζήνωνος, τὴν Ἀριάδνην ἐσοικίζεται· καὶ πρῶτα μὲν Λογγῖνον Ζήνωνος ἀδελφὸν, τὴν τοῦ μαγίστρου ἀρχὴν διέποντα, ὃν ἡγεμόνα τῶν ἐν τῇ αὐλῇ τάξεων οἱ πρόσθεν ἐκάλουν, ἀνὰ τὴν ἐνεγκαμένην ἐκπέμπει· εἶτα δὲ καὶ πολλοὺς ἑτέρους Ἰσαύρους, τοῦτο δῆθεν αἰτήσαντας. Zeno mortuus est an. 491. Anni epocharum, quas Euagrius affert, parum accurate notati. De Longino etc., v. Theophan. p. 210 sq. Tillemont. VI, p. 533 seq. 542 sq. 648 sq.

6.

Idem III, 35 : Οὐκ ἀπὸ δὲ τρόπου (τόπου?) καθ' ἣν ἐτύχομεν προκαταβεβληκότες ὑπόσχεσιν, καὶ τὰ ἕτερα λόγου ἄξια ὑπὸ τοῖς Ἀναστασίου χρόνοις γεγενημένα συνάψαι τῇ ἱστορίᾳ. Λογγῖνος, ὁ Ζήνωνος ὅμαιμος, τὴν ἐνεγκαμένην, ὡς προδεδήλωται (προδεδιήγηται vg.), κατειληφὼς, τὸν πρὸς τὸν αὐτοκράτορα πόλεμον ἀναφανδὸν ἀναζώννυται. Καὶ πολλῶν ἔνθεν τε κἀκεῖθεν συναθροισθέντων δυνάμεων, μεθ' ὧν καὶ Κόνων ἐτύγχανεν ὤν, ἐπίσκοπος τῆς ἐν Ἀπαμείᾳ τῶν Σύρων ἐπαρχίας γεγονὼς, τοῖς Ἰσαύροις ὡς Ἴσαυρος συνεστράτευσε, τέλος ἐπιτίθεται τῷ πολέμῳ, τῶν μὲν Ἰσαύρων τῶν συστρατευσάντων τῷ Λογγίνῳ πανωλεθρίᾳ φθαρέντων, τῶν δὲ κεφαλῶν Λογγίνου καὶ Θεοδώρου πρὸς Ἰωάννου τοῦ Σκύθου σταλεισῶν ἀνὰ τὴν βασιλέως πόλιν· ἃς καὶ ἐν κόντοις περιαρτήσας ὁ βασιλεὺς ἐν ταῖς καλουμέναις Συκαῖς ἀντιπέραν τῆς Κωνσταντίνου κειμέναις ἐπηώρησεν, ἡδὺ θέαμα τοῖς Βυζαντίοις ἀνθ' ὧν κακῶς πρὸς Ζήνωνος καὶ τῶν Ἰσαύρων ἐπεπόνθεσαν. Καὶ ὁ ἕτερος δὲ Λογγῖνος τὸ πολὺ τῆς τυραννίδος συνέχων ὁ ἐπίκλην Σελινούντιος, καὶ Ἴνδης σὺν αὐτῷ, πρὸς Ἰωάννου τοῦ ἐπίκλην κυρτοῦ στέλλονται

---

ganti admodum stylo cædem eorum describit, quos Zeno crudeliter necari jussit, hanc iis mercedem rependens benevolentiæ qua ipsum complexi fuerant : et quomodo Theuderichus, quum Zenonis adversus ipsum insidias comperisset, Romam se contulit. Alii dicunt Zenonis suasu id a Theudericho factum fuisse. Qui conserto prœlio quum Odoacrum superasset, Romam sub potestatem suam redegit, regis nomine sibi assumpto.

5.

Quum Zeno post septimum decimum imperii sui annum ex comitiali morbo absque liberis decessisset, Longinus quidem ejus frater, qui ad magnam potentiam pervenerat, in spem venit se imperium facile occupaturum esse. Sed tamen voti sui haudquaquam compos factus est. Etenim Ariadne coronam imposuit Anastasio, qui, nondum in senatorium ordinem adlectus, in silentiariorum adhuc schola militabat. Porro Eustathius scribit ab exordio imperii Diocletiani ad Zenonis obitum et nuncupationem Anastasii annos fluxisse 207; a principatu autem Augusti annos 532 mensesque septem; ab Alexandri autem Macedonis regno annos 832 et menses septem; a Romanorum et Romuli regno annos 1252 mensesque septem; a Trojæ denique expugnatione annos 1686 cum septem mensibus. Hic Anastasius, ortus ex urbe Epidamno, quæ nunc Dyrrhachium dicitur, imperium simul et Zenonis uxorem Ariadnen accepit. Ac primum quidem Longinum, Zenonis fratrem, qui magistri dignitatem gerebat, quem antiqui præfectum officiorum palatii appellabant, in patriam amandavit. Multis item aliis Isauris, qui ab ipso id petebant, ad suos redeundi copiam fecit.

6.

Non ab re fuerit, si res quoque ceteras, quæ Anastasii temporibus acciderunt, juxta id quod antea polliciti sumus, subtexamus. Longinus, Zenonis frater, quum in patriam suam, sicut antea memoratum est, advenisset, palam adversus imperatorem bellum suscepit. Plurimis igitur collectis utrimque copiis, in quibus erat etiam Conon, Apameæ in Syria olim episcopus, qui una cum Isauris, utpote Isaurus, militabat, bellum tandem hujusmodi exitu terminatum est. Isauri qui una cum Longino militaverant, omnes ad internecionem cæsi; Longini vero ac Theodori capita ab Joanne Scytha Constantinopolin missa sunt. Quæ imperator contis suffixa circumferri et in suburbano Sycensi, quod ex adverso Byzantii situm est, suspendi jussit : quod spectaculum Constantinopolitanis gratissimum fuit, ob mala quæ a Zenone et ab Isauris perpessi fuerant. Alter vero Longinus, cognomento Selinuntius, præcipuum robur tyrannicæ factionis, et cum illo Indes, ab Joanne, cognomento Gibbo, vivi capti sunt, et ad imperatorem Anastasium missi. Quæ res et imperatorem et populum Constan-

τῷ Ἀναστασίῳ ζωγρίαι· ὃ μάλιστα τόν τε βασιλέα τούς τε Βυζαντίους τεθεράπευκε, θριάμβου δίκην ἀνὰ τὰς λεωφόρους τῆς πόλεως ἀνά τε τὴν ἱπποδρομίαν Λογγίνου τε καὶ Ἴνδου περιενεχθέντων, καὶ τῶν ἐκ σιδήρου πεποιημένων ἁλύσεων ἀνὰ τοὺς αὐχένας καὶ τὰς χεῖρας περιβεβλημένων. Ἐντεῦθεν καὶ τὰ καλούμενα πρώην Ἰσαυρικὰ τοῖς βασιλικοῖς ἐνηνέχθη θησαυροῖς· ἦν δὲ ἄρα τοῦτο χρυσίον ἐς ἕκαστον ἔτος τοῖς βαρβάροις χορηγούμενον, πεντακισχιλίας ἕλκον λίτρας. Cf. Theophan. p. 216. 224. Tillemont. l. l. p. 549.

Cap. 36. Ἐπεκώμασαν οὐκ εἰς τὸ συνοῖσον σφίσι κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας καὶ οἱ Σκηνῖται βάρβαροι, τά τε τῆς μέσης τῶν ποταμῶν τά τε τῆς Φοινίκης ἑκατέρας καὶ τὰ Παλαιστίνων ληισάμενοι πράγματα. Οἵπερ κακῶς παρὰ τῶν ἑκασταχοῦ στρατηγούντων παθόντες, ὕστερον τὴν ἡσυχίαν ἤγαγον, πρὸς Ῥωμαίους πασσυδεὶ σπεισάμενοι. Cf. Theophan. p. 217 sq.; Nonnosi Exc. ap. Photium; Tillemont. p. 351.

Cap. 37. Ἀλλὰ καὶ Πέρσαι παρασπονδήσαντες ὑπὸ Καβάδῃ τῷ βασιλεῖ, καὶ τὰ οἰκεῖα καταλελοιπότες ἤθη, πρῶτα μὲν Ἀρμενίοις ἐπεστράτευσαν, καὶ πολίχνιον ἐπίκλην Θεοδοσιούπολιν ἑλόντες, ὡς Ἄμιδαν πόλιν ὀχυρὰν τῆς μέσης τῶν ποταμῶν ἀφικνοῦνται, καὶ ταύτην ἐκπολιορκήσαντες εἷλον. Καὶ αὖθις ὁ Ῥωμαίων βασιλεὺς πολλοῖς ἀνενεώσατο πόνοις. Εἴ τῳ δὲ φίλον λεπτῶς τὰ περὶ τούτων εἰδέναι καὶ τῇ ἀκριβείᾳ πάντων ἐπεξελθεῖν, Εὐσταθίῳ εὖ μάλα σοφῶς μετὰ πολλοῦ τοῦ πόνου καὶ τῆς ἐς ἄγαν κομψείας ἱστόρηταί τε καὶ συγγέγραπται· ὃς μέχρι τῆς γραφῆς ταύτης ἱστορήσας, τοῖς ἀπελθοῦσι συναριθμεῖται, δωδέκατον ἔτος τῆς Ἀναστασίου καταλελοιπὼς βασιλείας. Cf. Theophan. p. 222 sq. Procop. Bell. Pers. I, 7, De ædif. III, 5; Marcellin. Chron. ad an. 502 (Probo et Avieno coss.); Tillemont. p. 560 sq.

7.

Malala p. 398, 11 ed. Bonn.: Ἐπὶ δὲ τῆς αὐτοῦ (Ἀναστασίου) βασιλείας παρελήφθη Ἄμιδα, μητρόπολις ὀχυρὰ πάνυ τῆς Μεσοποταμίας, καὶ Θεοδοσιούπολις, πολέμῳ ληφθεῖσα ὑπὸ Κωάδου, βασιλέως Περσῶν, ἐπελθόντος τοῦ βασιλέως μετὰ δυνάμεως πολλῆς. Ἔλαβε δὲ παραλήπτους ὁ αὐτὸς βασιλεὺς Περσῶν Κωνσταντῖνον, στρατηγὸν Ῥωμαίων δυνατόν, φυλάττοντα τὴν αὐτὴν Θεοδοσιούπολιν, καὶ ἄλλους δὲ πολλούς· οἵτινες καὶ ἐτελεύτησαν ἐν τοῖς Περσικοῖς μέρεσι. Καὶ ἐπεστράτευσε κατὰ Περσῶν ὁ αὐτὸς Ἀναστάσιος βασιλεύς, πέμψας Ἀρεόβινδον τὸν Δαγαλαΐφου υἱόν, στρατηλάτην ἀνατολῆς, τὸν ἄνδρα Ἰουλιάνας, καὶ Πατρίκιον, στρατηλάτην τοῦ μεγάλου πραισέντου, καὶ Ὑπάτην, στρατηλάτην πραισέντου, τὸν υἱὸν Σεκουνδίνου τοῦ πατρικίου, καὶ τὸν πατρίκιον Ἀππίονα, ποιήσας αὐτὸν ἔπαρχον τῶν πραιτωρίων ἀνατολῆς, καὶ πλῆθος ἄπειρον στρατιᾶς μετ' αὐτῶν πεζικῆς καὶ ἱππικῆς δυνάμεως. Καὶ συνέβαλον μετ' ἀλλήλων τὰ ἀμφότερα τάγματα, καὶ ἐσφάγησαν πολλοὶ καὶ ἔπεσον ἐξ ἀμφοτέρων τῶν μερῶν. Περὶ οὗ πολέμου Εὐστάθιος ὁ σοφώτατος χρονογράφος συνεγράψατο· ὅστις καὶ εὐθέως ἐτελεύτησε, μήτε εἰς τέλειον τὴν ἔκθεσιν αὐτοῦ συντάξας.

---

tinopolitanum magnopere recreavit, quum Longinus et Indes, tanquam in triumphali pompa, per vicos urbis et in circo traducerentur, catenas ferreas collo ac manibus circumjectas gestantes. Ex eo tempore munera, quæ vocabantur Isaurica, in principis ærarium inferri cœpere. Id erat aurum, quod barbaris quotannis pendebatur, librarum scilicet quinque millia.

Sed et barbari quos Scenitas vocant, non sine suo ipsorum damno insultarunt imperio Romano, Mesopotamiam et utramque Phœnicen et Palæstinam provincias depopulati. Verum a ducibus Romanis, qui in singulis provinciis erant, gravi clade affecti, postmodum quievere, quum universa gens pacem cum Romanis fecisset.

Persæ quoque, regnante apud ipsos Cabade, fœdus rupere, et, relictis propriis sedibus, primum in Armeniam cum exercitu invaserunt. Quumque oppidulum Theodosiopolin cepissent, Amidam versus, quæ urbs Mesopotamiæ est satis munita, iter fecere. Hanc quoque diuturna obsidione cinctam tandem ceperunt. Sed imperator Romanorum, non sine magno labore, eam postmodo instauravit. Quodsi quis singula accurate cupit cognoscere, et diligentem cunctorum, quæ gesta sunt, narrationem perlegere, is Eustathium legat, qui luculentissimo et summo cum labore maximaque elegantia harum rerum historiam conscripsit. Qui quum usque ad hæc tempora historiam suam perduxisset, excessit e vita, res gestas anno imperii Anastasii duodecimo persecutus.

7.

Anastasio imperante, Persarum rex Coades (*Cabades*), ingenti exercitu instructus, Theodosiopolin atque Amidam, munitissimam Mesopotamiæ metropolin, bello cepit. Constantinum quoque ducem Romanorum fortissimum et urbis Theodosiopolitanæ custodem, cum pluribus aliis captivum abduxit, qui diem suum omnes in Perside obierunt. Imperator itaque Anastasius bellum Persis intulit, in expeditionem hanc missis Areobindo Dagalaiphi filio, Julianæ conjuge et militum in Oriente magistro, Patricio magni Præsentis duce, et Hypate Secundini patricii filio, Præsentis militiæ magistro, et Appione patricio, quem prætorio in Oriente præfectum constituit: horum sub ductu exercitum emisit pedestribus et equestribus copiis instructissimum. Prœlio autem commisso quamplurimi utrimque ceciderunt. Belli autem hujus historiam exorsus est sapientissimus Eustathius chronographus; quam tamen morte præoccupatus ad exitum non perduxit.

HESYCHIUS MILESIUS.

Suidas : Ἡσύχιος Μιλήσιος, υἱὸς Ἡσυχίου δικηγόρου καὶ Φιλοσοφίας, γεγονὼς ἐπὶ Ἀναστασίου βασιλέως. Ἔγραψεν Ὀνοματολόγον ἢ Πίνακα τῶν ἐν παιδείᾳ ὀνομαστῶν, οὗ ἐπιτομή ἐστι τοῦτο τὸ βιβλίον. Καὶ Χρονικὴν ἱστορίαν, ἥντινα διεῖλε εἰς ἓξ διαστήματα (οὕτω γὰρ καλεῖ ἕκαστον βιβλίον), ἐν οἷς ἐμφέρονται αἱ κατὰ καιροὺς πράξεις τῶν Ῥωμαίων βασιλέων καὶ αἱ δυναστεῖαι τῶν κατὰ ἔθνος κρατησάντων τυράννων καὶ τὰ κατὰ τὸ Βυζάντιον πραχθέντα ἕως τῆς βασιλείας Ἀναστασίου, τοῦ ἐπονομαζομένου Δικόρου. Εἰς δὲ τὸν πίνακα τῶν ἐν παιδείᾳ λαμψάντων ἐκκλησιαστικῶν διδασκάλων οὐδενὸς μνημονεύει· ὡς ἐκ τούτων ὑπόνοιαν παρέχειν, μὴ εἶναι αὐτὸν Χριστιανὸν, ἀλλὰ τῆς Ἑλληνικῆς ματαιοπονίας ἀνάπλεων.

Igitur Hesychius, qui a dignitate *Illustris*, Ἰλλούστριος, vocari solet, patriam habuit Miletum, patrem Hesychium, matrem denique, si veteres Suidæ editiones sequimur, *Sophiam*. Verum pro vulgata καὶ Σοφίας optimi Suidæ codices ABVE præbent καὶ φιλοσοφίας. « Nec temere, Bernhardyus ait, præsertim quum in Labbæi Glossis Basil. exstet ὁ Ἰλλούστριος Ἡσύχιος ὁ φιλοσοφήσας τῆς Μιλησίας. Accedit quod Photius item Bibl. cod. 69 posuit Ἡσυχίου καὶ Φιλοσοφίας, ubi libris invitis olim legebatur καὶ Σοφίας. Itaque καὶ Σοφίας repudiavi; quamquam quæ doctrinæ genera memorata fuerint, haud divinare licet. » Mihi vero non doctrinæ genera sed matris nomen commemorari apud Suidam videtur. Eo enim ducit Photius; et in Glossis Bas. facillime emendatur : Φιλοσοφίας τῆς Μιλησίας. Ac quidni apud Romanos, qui nomen Σοφίας in honore habebant, modestius etiam Φιλοσοφίας nomen mulieri inditum sit? — Filium ex uxore Hesychius suscepit Joannem, quem fatum præmaturum patri eripuit (Phot. cod. 69).

Deinde Suidas vixisse Hesychium dicit sub Anastasio; recte procul dubio; sed vixit etiam sub Justino I et Justiniano. Nam Constantinus Porphyrogenitus De them. I, 2 p. 18 Bonn. : Οὔτε γὰρ Προκόπιος, ait, οὔτε Μένανδρος οὔτε Ἡσύχιος Ἰλλούστριος ἐμνημόνευσε τοῦ τοιούτου ὀνόματος (sc. τοῦ θέματος Ἀρμενιακοῦ), οἱ τὰ Χρονικὰ συντάξαντες ἐπὶ τῆς Ἰουστινιανοῦ βασιλείας. Idem etiam inde colligitur, quod Hesychius historias suas usque ad primos annos regni Justinianei deduxit, et probabiliter etiam ultra deducturus fuisset, nisi a scribendo animum avertisset dilecti mors filii. Denique rem conficiunt ea quæ de Triboniano assentatore leguntur in Ὀνοματολόγῳ. Qui quidem Tribonianus quum Ἕλλην καὶ ἄθεος, i. e. *ethnicus et impius*, dicatur, simul hinc liquet Hesychium religione Christianum fuisse. Adde quod inter Sibyllas primam fuisse narrat Chaldæam τὴν περὶ Χριστοῦ προφητεύσασαν. Alia nonnulla, quæ in eandem sententiam interpretanda apud Hesychium occurrunt, collegit Chr. Thorschmidtius in Comment. De Hesychio Milesio *Christiano* (Wittenberg 1716; et repetita in Hesychii Milesii opusculis II, ed. Orellius Lips. 1820, p. 261 sqq.). Temere igitur Suidas ethnicum Hesychium fuisse suspicatur ex eo, quod in Onomatologo sacra miscere profanis auctor noluit.

Scripsit Hesychius Ὀνοματολόγον ἢ πίνακα τῶν ἐν παιδείᾳ ὀνομαστῶν, οὗ ἐπιτομή ἐστι τοῦτο τὸ βιβλίον. « Hæc (Nækius ait in Chœril. fr. p. 34) incredibile quantas turbas dederint. Albertus, ubi Suidæ locum exhibet cum variorum notis, in Prolegg. ad Hesych. Lex. fol. 1, Jo. Vossii verba apponit, quæ si bene intelligo, hæc fuit Vossii sententia, Suidam lexicon illud suum appellare βιβλίον et Epitomen Hesychii Milesii. Meursius mutilum esse censebat Suidam, et ita supplendum : ὀνομαστῶν, Διογένην Λαέρτιον μιμησάμενος, οὗ ἐπιτομὴ κτλ. Quam conjecturam secure repetiit Thorschmidtius in Diss. De Hesychio Milesio. Albertus eam non refutavit, et Küsterus ad Suidam liberum de ea lectori judicium reliquit. A vero proxime abfuit Fabricius B. Gr. VI, p. 222 (*). Breviter

(*) Fabricius l. l. : « Hoc potest ita intelligi, ut duos libros ejusdem argumenti composuerit Hesychius, unum uberiorem, quem Callimachi exemplo inscripserit Πίνακα et alterum qui hodie exstat breviorem Ὀνοματολόγον, qui fuerit prioris veluti epitome. Equidem Meursius putat supplenda esse verba : Διογένην τὸν Λαέρτιον μιμησάμενος, οὗ ἐπιτομή ἐστι τὸ παρὸν βιβλίον. Sed quamquam plurima e Laertio iisdem verbis repetiit, Epitomen tamen Laertii neutiquam præstat, ne dicam codicem nullum Suidæ ms. conjecturæ Meursii audaciori suffragari, et Hesychium multa referre, de quibus in Laertio ne γρῦ. Nonnulla ex Hesychii libello verbotenus Suidas, non tantum in v. Ξάνθος, Ξενοκράτης, Ποτάμων, Φαίδων, sed etiam in Ἀπολλώνιος, Ἀρστέας et aliis quam plurimis locis. » — « Exstat hic libellus mss. Florentiæ in bibl. Laur. Med. cod. XXXVII, nr. 10, et cod. XIV, sæc. XVI, plut. 70 : vid. Bandin. Catal. codd. Gr. II, 569 et 674. In posteriore codice præcedit epistola græca Christophi Rufi ad Cosmum I Mediceum, in qua se recens hunc auctorem e tenebris eruisse testatur. Quam epistolam Bandinus l. l. evulgavit. Montfauconus Bibl. bibl. mss. tres codices bibl. Medic. refert. — Paris. in cod. 3025, nr. 10 bibl. nation. » Harles. — « Prodiit primum græce e bibliotheca Jo. Sambuci, Antwerpiæ an. 1572,8. apud Christophorum Plantinum, subjunctaque ad

loquitur, ut in re nota, Suidas, cujus sententia hoc modo supplenda est : *Hesychius Milesius scripsit* Ὀνοματολόγον ἢ πίνακα, *cujus Epitome est hicce libellus, qui nunc Hesychii Milesii nomine inscribitur.* Innuit autem eundem libellum quem hodie nos habemus. » Sane quidem nos nihil nisi epitomen quandam uberioris operis tenere, eamque negligenter admodum confectam, luce clarius est. Quodsi vero glossas Suidiani lexici cum iis quæ in nostro libello leguntur, contuleris, facile intelligitur Suidam aut integro Hesychii opere usum esse, aut epitomen ante oculos habuisse, eâ, quæ superstes est, ampliorem. In hac sua epitome, opinor, Suidas reperit verba illa quæ immutata in suum lexicon transcripsit : οὗ ἐπιτομή ἐστι τοῦτο τὸ βιβλίον.

Præterea Hesychius Annales scripsit libris (διαστήμασιν) sex, quibus continentur imperatorum Romanorum res variis temporibus gestæ et historiæ principum, qui singulis gentibus imperarunt, item ea quæ Byzantii gesta sunt usque ad imperium Anastasii cognomento Dicori. Sic Suidas refert. Disertius de his exponit Photius, qui etiam tertium Hesychii opus, cujus mentio apud Suidam desideratur, commemorat.

Photius cod. 69 : Ἀνεγνώσθη μοι βιβλίον ἱστορικὸν ὡς ἐν συνόψει κοσμικῆς ἱστορίας (ὁ δὲ συγγραφεὺς Ἡσύχιος ὁ Ἰλλούστριος, Μιλήσιος μὲν ἐκ πατρίδος, παῖς δὲ Ἡσυχίου καὶ Φιλοσοφίας [Σοφίας vgo])· καθ' ὃ καὶ ἡ ἐπιγραφὴ τοῦ βιβλίου μετὰ τοῦ Ἱστορίας Ῥωμαϊκῆς τε καὶ παντοδαπῆς τυγχάνει. Ἄρχεται μὲν οὖν ἀπὸ τῆς τοῦ Βήλου τοῦ Ἀσσυρίων βασιλέως βασιλείας, κάτεισι δὲ μέχρι τῆς τελευτῆς Ἀναστασίου, ὃς Ῥωμαίων γέγονεν αὐτοκράτωρ.

Ἔστι δὲ σύντομος καὶ καλλιεπής· λέξει τε γὰρ ἀνθηρᾷ καὶ εὐσήμῳ κέχρηται, καὶ ἡ συνθήκη τοῦ λόγου κατὰ λόγον αὐτῷ ἡρμοσμένη· κυριολογίᾳ μὲν μάλιστα χαίρων· εἰ δέ που καὶ τρέψοιτο, τῷ τε εὐσήμῳ καὶ ἐμφατικωτάτῳ τῆς λέξεως ἥδυνε μὲν τῇ τροπῇ τὸν ἀκροατήν, οὐδὲν δὲ ἧττον, εἰ μὴ καὶ μᾶλλον, σαφῶς τὸ πρᾶγμα, ἢ εἰ μὴ ἐτέτραπτο, παριστήσατο. Ὑπισχνεῖται δὲ καὶ ἀληθείας εἶναι φροντιστής.

Διαιρεῖται δὲ αὐτῷ τὸ σπούδασμα εἰς τμήματα ἕξ. ὧν τὸ μὲν πρῶτον τμῆμα περιέχει τὰ πρὸ τῶν Τρωϊκῶν, τὸ δὲ δεύτερον τὰ ἀπὸ Ἰλίου ἁλώσεως ἕως τῆς κτίσεως Ῥώμης, τὸ δὲ τρίτον τὰ ἀπὸ τῆς κτίσεως Ῥώμης μέχρις ὅτου Ῥωμαίοις ἡ τῶν ὑπάτων εἰσήχθη ἡγεμονία, καταλύσασι τοὺς βασιλέας κατὰ τὴν ὀγδόην καὶ ἑξηκοστὴν Ὀλυμπιάδα (Ol. 68, 1=508 a. C.)· τὸ δὲ τέταρτον, ἐξ οὗπερ Ῥωμαίων ἡγήσαντο ὕπατοι, ἤτοι ἀπὸ τῆς ὀγδόης καὶ ἑξηκοστῆς Ὀλυμπιάδος μέχρι β' καὶ π' καὶ ρ' Ὀλυμπιάδος, οὗ καὶ ἔληξεν ἡ τοιαύτη ἀρχή, Ἰουλίου τοῦ Καίσαρος μοναρχήσαντος. Τὸ δὲ πέμπτον τμῆμα περιέχει τὰ ἀπὸ τῆς Ἰουλίου τοῦ Καίσαρος μοναρχίας μέχρις ὅτου Βυζάντιον ἐπὶ μέγα δόξης καὶ ἰσχύος ἤρθη, Ὀλυμπιάδος ἑβδόμης καὶ ο' καὶ διακοσιοστῆς ἱσταμένης (329 p. C.). Τὸ δὲ ἕκτον, ἐξ οὗ βασιλέα Κωνσταντινούπολις ηὐτύχησε Κωνσταντῖνον, μέχρι τῆς Ἀναστασίου τελευτῆς (518 p. C.)· ὃν οὗτος ὁ συγγραφεὺς πρᾳότητί τε καὶ ἡμερότητι οὐκ οἶδ' ὅπως πολλῶν ἀποσεμνύνει διενεγκεῖν· οὗ συνέπεσεν ἡ τελευτὴ κατὰ τὴν ἑνδεκάτην ἰνδικτιῶνα, Μάγνου μόνου ὑπατεύοντος (518 p. C.). Ἡ δὲ περιοχὴ τῶν χρόνων χιλίων (δισχιλίων?) καὶ ἐνενήκοντα καὶ ἑκατόν· ἐν οἷς καὶ ἡ συγγραφὴ [τελευτᾷ].

Ἀνεγνώσθη δέ μοι καὶ ἑτέρα τοῦ αὐτοῦ βίβλος, ἐν ᾗ περιείχετο τά τε Ἰουστίνῳ πραχθέντα, ὅπως τε Ἀναστασίου τελευτήσαντος, αὐτὸς ἀνερρήθη· εἶτα καὶ τὴν Ἰουστινιανοῦ, τοῦ μετὰ Ἰουστῖνον, ἔστιν ἀνάρρησιν κατιδεῖν, καὶ τὰς ἄλλας πράξεις μέχρις ἐτῶν τινων (f. τριῶν Bekk.) τῆς αὐτοῦ βασιλείας. Καὶ τὸ λοιπὸν ὁ συγγραφεὺς ἐπεσχέθη, θανάτῳ τοῦ παιδὸς Ἰωάννου τὴν ψυχὴν καιρίαν βληθείς, καὶ τῆς πρὸς τὸ γράφειν ὁρμῆς ἐκκοπείς.

Quod postremo loco Photius commemoravit opus de rebus Justini, penitus interiit. Ex Chronicis vero, quæ usque ad mortem Anastasii pertinebant, præter breviores locos tres vel quattuor, amplius fragmentum servatum est ex initio libri sexti, in quo de Constantinopoli a Constantino condita agens in priorem urbis historiam excurrit, fataque ejus inde ab origine usque ad Constantinum imp. ἐκ τῶν ἀρχαίων ποιητῶν καὶ συγγραφέων recenset. Quæ digressio jam pridem e chronicis Hesychianis avulsa separatimque edita esse videtur. — Primus eam edidit G. Dousa (Heidelberg. 1596, 8), deinde Meursius (Lugd. 1613, 8) e codice Palatino (*),

calcem versio latina Hadriani Junii cum ejus castigationibus, in quibus, ut Hesychium e Laertio, ita vicissim Laertium ex Hesychio subinde emendandum demonstrat. Postea græce et latine prodiit cum Junii versione et notis, novisque H. Stephani animadversionibus ad calcem Diogenis Laertii, ex laudati Stephani officina an. 1594, 8. Illa Laertii editio et cum illa Hesychii libellus recusus est Genevæ ap. Jo. Vignon, 1616, 8. Interim Jo. Meursius Lugdun. Bat. 1613, 8 [et tom. VII Opp. Meursii, Florent. 1746, p. 205 sqq.] Hesychii opuscula atque in his præsentem libellum vulgavit, castigationibusque Junii ac Stephani notas suas addidit. » Fabricius. Novissime Hesychii opuscula cum notis variorum suisque ipsius edidit Orellius (Lips. 1820).

(*) Plura quæ ad bibliographica pertinent vide apud Fabricium B. Gr. l. l. — Codicem Palatin. denuo excussit Bastius in Ep. crit. ad Boissonadium. Ceterum Harles. in Fabricii Bibl. annotat hæc : « *In Cod. Vindob. Cæsar.* CXXVI. est Hesychii Illustris initium sextæ partis Annalium s. Chronici operis, cum inscriptione πάτρια Κωνσταντινουπόλεως, πόθεν ἐκλήθη καὶ πόθεν ὀνομάζεται. De quo copiosus est Kollar. in Supplem. ad Lambecii comm. 729, variaque culpat in Nesselii cap. V Catal. cod. XXXVII. et Forlosiæ

ubi titulus prængitur : Ἡσυχίου Μιλησίου Ἰλλουστρίου πάτρια Κωνσταντινουπόλεως. Præterea fragmenti hujus pars longe major occurrit in Georgii Codini (qui medio sæc. XV vixit) Excerptis De orig. Constant., quorum primum caput inscribitur hunc in modum : Γεωργίου τοῦ Κωδίνου παρεκβολαὶ ἐκ τῆς βίβλου τοῦ Χρονικοῦ περὶ τῶν πατρίων τῆς Κωνσταντινουπόλεως : quod Chronicon vel ipsius Hesychii Milesii fuit, vel serioris auctoris, qui Hesychium exscripserat. Cf. Heynium De Antiq. Byz. Excurs. I (p. 361 sqq. in ed. Orellii).

narratione. Nomen quidem nusquam adscriptum comparet ; ex certissimis tamen vestigiis cognoscitur. Kollar. negat contra Forlosiam illum codicem, seculo XIII vel certe proxime consequenti manu exaratum, a Georgio Codino, captæ a Turcis CSpoli superstite, fuisse interpolatum, tum ostendit, in hoc eodem modo quasdam abesse narratiunculas, quæ in Codini edit. leguntur, modo plura indicari, quæ in exemplo Codini typis vulgato desiderentur. Concludit igitur hanc Hesychianorum annalium partem sextam jam ante Codinum ab incerto quodam sæculi XI scriptore a reliquo annalium corpore resectam fuisse et sub Originum CSpolitanarum epigraphe separatim editam. Quæ de Synodis quibusdam post Hesychii ætatem habitis et de impp. Leon. philosopho ac Romano II vel III addita sunt, ea a scriptore sæc. XI profecta esse monet (conf. Montfauc. in Bibl. biblioth. MSS. de codice Colbertino, T. II, p. 1150). Denique affirmat, id quod superest in Cæsareo codice Hesychianorum annalium, multo esse sincerius, quam illud, quod præscripto Codini nomine vulgatum sit. »

ΙΣΤΟΡΙΑ ΡΩΜΑΙΚΗ ΤΕ ΚΑΙ ΠΑΝΤΟΔΑΠΗ.

1.

ΕΚ ΤΟΥ Ε ΔΙΑΣΤΗΜΑΤΟΣ.

Gloss. verborum juris in Ottonis Thesaur. jur. tom. III, p. 1818 : Παλματίους ἐκούσους, ὁ τοῦ Παλματίου ἵππος. Ὢν δὲ Παλμάτιος οὗτος ἱππεὺς παμπλούσιος διὰ τυραννίδα ἐδημεύθη, περὶ οὗ φησιν ὁ Ἰλλούστριος Ἡσύχιος ὁ φιλοσοφήσας (l. Φιλοσοφίας) τῆς Μιλησίας, ἐν τῷ πέμπτῳ χρονικῷ διαστήματι τῆς Ἱστορίας ταῦτα· « Κατὰ τοὺς χρόνους Οὐαλεριανοῦ ἐν Καισαρείᾳ τῆς Καππαδοκίας Παλμάτιός τις, οἰκίαν ὑπὲρ τὰ βασίλεια κεκτημένος, ἵππων τε ἀγέλαις καὶ τῷ ἄλλῳ πλούτῳ κομῶν, εἰς πολὺ μέρος τῶν μοναρχούντων ἐφικνούμενος, ἀσελγὴς δὲ, εἴ τις ἕτερος, ὡς καὶ ὑπατικοῦ τινὸς Ἰσοαίμου τοὔνομα γαμετὴν Αἰθερίαν καλουμένην ἁρπάσαι καὶ εἰς Σίδην ἐκκομίσαι· * διότι προστατεύων ἐτύγχανε τῆς ἐναντίας τοῦ δήμου μοίρας. »

2.

Constantin. Porphyr. De Them. II, 8 : Καὶ νικήσας ὁ Καῖσαρ τὸν Ἀντώνιον καὶ τὴν Κλεοπάτραν ἔκτισε πόλιν, καλέσας αὐτὴν Νικόπολιν διὰ τὸ ἐκεῖσε ἡττηθῆναι τὸν Ἀντώνιον. Ἀπὸ δὲ τοῦ ἀκρωτηρίου τοῦ καλουμένου Ἀκτίου καὶ τὰς καλουμένας ἰνδικτιῶνας ἐκάλεσεν. Οὕτω γὰρ γράφει Ἡσύχιος ὁ Ἰλλούστριος·

HISTORIA ROMANA ATQUE OMNIGENA.

1.

E LIBRO QUINTO.

Palmatius equus, id est, equus Palmatii. Palmatius ille, eques perdives, ob affectatam tyrannidem bonis exutus est. De eo Hesychius Illustris, Philosophiæ Milesiæ f., in quinto Chronicæ Historiæ libro ita habet : « Valeriani temporibus, Cæsareæ in Cappadocia Palmatius quidam domum possidebat ipsa regia splendidiorem, et equorum gregibus ceterisque divitiis abundabat, adeo ut parum abesset quin ad regium fastigium attingeret. Idem vero, si quis alius, insolentem se gerebat, ut vel consularis viri, cui Isoæmo nomen erat, Ætheriam uxorem raptam in Sidam urbem abduxerit. * Quamobrem factioni populo adversanti patrocinabatur. »

2.

Cæsar quum Antonium et Cleopatram vicisset, urbem condidit, quam Nicopolin nominavit, quod eo loci superatus esset Antonius. Ab Actio autem promontorio Indictiones vocari instituit. Sic enim Hesychius Illustris scribit :

Fr. 2. Cf. Cedrenus p. 327 ed. Paris. (tom. I, p. 573 ed. Bonn.) : Καὶ ἤρξαντο ἀριθμεῖσθαι αἱ Ἰνδικται, ἀρξάμεναι ἀπὸ Αὐγούστου Καίσαρος ἐν ἔτει ιε' τῆς ἀρχῆς αὐτοῦ. Καλεῖται δὲ Ἰνδικτιών, τουτέστιν Ἐνακτιών, ἡ περὶ τὸ Ἄκτιον νίκη. Ἄκτιον δέ ἐστιν ἀκρωτήριον Νικοπόλεως τῆς Ἠπείρου, ἔνθα μαχεσάμενος Αὔγουστος τόν τε Ἀντώνιον καὶ Κλεοπάτραν ἐνίκησε, μοναρχὸς ἀναδειχθεὶς τῷ τότε χρόνῳ. De hoc commento vide Idelerum in *Handbuch der mathem. u. techn. Chronol.*, tom. II, p. 357. Ceterum hæc Hesychius eo Historiarum loco notasse putandus est, quo de instituto secundum indictionum periodos numerandi exposuit. Numerari vero solebant indictiones ab anno 312 (Sept. 1). Hinc retro annum, ad quem origo hujus periodi pertinuerit, Hesychius computavit. Vide notam ad fragm. 4 § 1. Subjungo alterum locum, qui item ad mythologumena chronologica pertinet.

« Ἰνδικτιών, τοῦτ' ἔστιν Ἰνακτιών, ἡ περὶ τὸ Ἄκτιον νίκη. Διὰ τοῦτο ἄρχεται μὲν ἰνδικτιὼν ἀπὸ πρώτης καὶ καταλήγει μέχρι τῆς ιε', καὶ πάλιν ὑποστρέφει καὶ ἄρχεται ἀπὸ πρώτης, διὰ τὸ τὸν Ἀντώνιον συνάρχοντα γενέσθαι Αὐγούστῳ τῷ Καίσαρι μέχρι τοῦ ιε' χρόνου· μετὰ δὲ ταῦτα μόνος ἐκράτησεν Αὔγουστος. »

« *Indictio*, inquit, hoc est *Inactio*, victoria scilicet ad Actium (2 *Sept. an.* 31 *a. C.*). Idcirco indictio incipit a prima et desinit in decima quinta, et deinde rediens iterum incipit a prima, quia Antonius collega fuerat Augusti Cæsaris usque ad annum decimum quintum, post quem solus imperavit Augustus. »

3.

Ἐῶ Καλάνδον Νόννον τε καὶ τὸν Εἰδὸν σὺν τούτῳ,
ὥνπερ τὸ εὐεργέτημα ἡμέραις παρεγράφη.
Ἐν χρόνοις Ἀντωνίνου γὰρ Ῥωμαίων ἡττηθέντων
καὶ συγκλεισθέντων ἐν αὐτῇ τῇ γεραιτέρᾳ Ῥώμῃ,
κινδυνευόντων τε λιμῷ πάντων διαφθαρῆναι,
οὗτοι τὸν δῆμον οἴκοθεν ἔτρεφον τὸν τῆς Ῥώμης,
ἡμέρας ὀκτωκαίδεκα Κάλανδος κατὰ μῆνα,
Νόννος ἡμέρας δὲ ὀκτὼ, τὰς τέσσαρας Εἶδος δέ.
Ἡσύχιος Ἰλλούστριος, Πλούταρχός τε καὶ Δίων
καὶ Διονύσιος ὁμοῦ γράφουσι ταῦτα πάντα.

3.

Mitto Calandum, Nonum nec non Idum,
quorum salutare institutum mensis diebus adscriptum est.
Etenim Antonini temporibus, quum victi Romani
includebantur in ipsa Roma antiquiore,
ac fame perire omnes periclitabantur,
viri illi populum Romanum e re sua cibis sustentabant,
et Calandus quidem per dies octodecim quoque mense,
Nonus autem per octo dies, et per quattuor Idus.
Hesychius Illustris, Plutarchus atque Dio
et Dionysius simul hæc scribunt omnia.

ΕΚ ΤΟΥ ϛ' ΔΙΑΣΤΗΜΑΤΟΣ.

E LIBRO SEXTO.

4.

ΗΣΥΧΙΟΥ ΜΙΛΗΣΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

ΠΑΤΡΙΑ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Δύο καὶ ἑξήκοντα καὶ τριακοσίων ἀπὸ τῆς Αὐγούστου Καίσαρος διεληλυθότων ἐνιαυτῶν τῇ πρεσβυτέρᾳ Ῥώμῃ, καὶ τῶν πραγμάτων αὐτῆς ἤδη πρὸς πέρας ἀφι-

4.

HESYCHII MILESII ILLUSTRIS ORIGINES CONSTANTINOPOLIS.

Annis post Augustum Cæsarem trecentis sexaginta duobus, quum vetus Roma ejusque res jam declinare ad finem cœpissent, Constantinus Constantii filius, qui tum sceptra

---

Fr. 3. Locus est Tzetzæ in Chil. III, 869 sqq. — « Nomini Antonini in codice A. superscriptum Ἀδριανοῦ. » *Kiesslingius*. Dionis, Plutarchi et Dionysii mentio ad ea quæ in præcedentibus Tzetzes narrat, referenda esse videtur.

Fr. 4. § 1. Quæ leguntur § 1 et 2 Codinus hoc loco omittit; postea vero quum ordo narrationis ad Constantini tempora duxisset, iisdem fere verbis apponit (p. 14, 18 ed. Bekker.): Ἐν δὲ τῷ τξδ' ἔτει ἀπὸ Αὐγούστου Καίσαρος μοναρχίας, τῆς πρεσβυτέρας Ῥώμης καὶ τῶν πραγμάτων αὐτῆς ἤδη πρὸς τὸ πέρας ἀφιγμένων, Κωνσταντῖνος ὁ Κωνσταντίου παῖς τῶν σκήπτρων ἐπιλαβόμενος τὴν νέαν ταύτην καὶ περικαλλῆ ἀνέστησε πόλιν, τὴν λεγομένην Κωνσταντίνου. Eadem paucis mutatis Chron. Constantinop., et ex alio Chronico Suidas v. Ἡράκλειος, nisi quod ap. Suidam pro annis 362 ponuntur anni 360, quantum ex edit. Bernhardyana colligere possum. Nam Meursius ad Hesych. Suidiana citans, scribit: δύο δὲ καὶ ἑξήκοντα καὶ τριακοσίων... διεληλυθότων ἐνιαυτῶν. Encænia urbis Constantinus celebravit die XI mensis Maii, regni anno vicesimo quinto (330 p. C.), uti testantur Hesychius § 42, Chronicon Paschal. p. 529 ed. B., Malalas p. 319 ed. B., alii (apud Philostorg. H. E. II, 19, pro η' καὶ κ' ἔτει lege: ε' καὶ κ' ἔτει). Quando fundamenta murorum urbis Imperator jecerit, in nostro quidem fragmento non traditur, sed ex Hesychio, puto, accuratissime tradidit Codinus p. 17, 13 ed. Bekk. Cujus verba quum et Tillemontium (tom. IV, p. 655) in disquisitione de anno quo Nova Roma condita sit, in errorem duxerint, et in novissima etiam Codini editione non sanata sint, apponere liceat. Hæc sunt: Χρὴ δὲ εἰδέναι ὅτι τῷ πεντακισχιλιοστῷ ὀκτακοσιοστῷ τριακοστῷ ἑβδόμῳ (τετάρτῳ cod. C.) ἔτει τοῦ κόσμου τῷ τρίτῳ μηνὶ τῆς δευτέρας ἐπινεμήσεως (I. e. anni 328 p. C.), τῇ εἰκοστῇ ἕκτῃ τοῦ Σεπτεμβρίου μηνὸς ἐν ἡμέρᾳ τετάρτῃ (l. ex cod. C.: τῇ ἡμέρᾳ τετάρτῃ τοῦ Νοεμβρίου μηνὸς), ὄντος τοῦ ἡλίου εἰς τὸ τοῦ τοξότου ζῴδιον (ὡροσκόπει γὰρ καρκῖνος), τῷ πρώτῳ (lege τετάρτῳ) ἔτει τῆς διακοσιοστῆς ἑξηκοστῆς πέμπτης (leg. e cod. C.: ἑβδομηκοστῆς ἕκτης) Ὀλυμπιάδος, ἀπήξαντο τοὺς θεμελίους τῶν δυτικῶν τειχῶν τῆς Κωνσταντινουπόλεως. Καὶ ἐν ἐννέα (l. ἐν ἐννεακαίδεκα) μησὶ τό τε χερσαῖον καὶ παράλιον τεῖχος μετὰ πλείστων οἰκοδομημάτων τῶν ἐν τῇ πόλει δομηθέντων ἀπαρτίσαντες, τῇ ια' τοῦ Μαΐου μηνὸς τὰ ἐγκαίνια τῆς πόλεως γεγονε. — Initio hujus loci perperam legi Σεπτεμβρίου, qui primus, non vero tertius mensis indictionis est, luce clarius est. Ne quid corrigerent editores, impedivisse videntur quæ mox leguntur verba ἐν ἐννέα μησίν: nam revera a Septembre ad Maium novem sunt menses. Sed primum haud credideris novem mensium spatio ista omnia exstructa esse; deinde vero, si recte haberet illud ἐννέα, urbs condita foret anno 329, quæ est indictio *tertia*, dum Noster ponit indictionem *secundam* (δευτέρας ἐπινεμήσεως), sive annum 328; atque sincerum esse suadet auctoritas Chronici Paschalis p. 527, in quo ad eundem annum 328 (Januario et Justo coss.) origines Const. referuntur. Liquet igitur scribendum esse ἐν ιθ' μησί (Nov. 328 — Mai 330); quod quum in ἐν θ' μησί corruptum esset, factum est ut sciolus in antecc. loco Novembris poneret Septembrem. — His præmissis, ad nostrum locum Hesychii redeamus. Quodsi Hesychius annos istos 362 numeravit usque ad *encænia* urbis (330 Mai), numerus explicari nequit. Porro corruptum esse, ob aliorum consensum non est probabile. Itaque usque ad *urbem conditam* (328 Nov.) numerum pertinere statuo. Quod si est, sequitur Augusti imperii initium prœliumque Actiacum referri ad an. 34 a. C. Id quidem falsissimum est; sed erravit hunc errorem Hesychius. Etenim fragm. 2 vidimus *indictionum initium* componi cum prœlio ad Actium et cum initio imperii Augusti. Indictionum vero cycli quindecennales vulgo computantur a primo Sept. an. 312 p. C.; atque ita Hesychium quoque fecisse, inde colligis quod Anastasium obiisse dixit indictione undecima (518 p. C. Vide Phot. in introduct.). Jam vero

γμένων, Κωνσταντῖνος ὁ Κωνσταντίου παῖς ἐπιλαβόμενος τῶν σκήπτρων τὴν νέαν ἀνίστησι Ῥώμην, ἴσην αὐτὴν τῇ πρώτῃ χρηματίζειν προστάξας. Ἤδη μὲν γὰρ καὶ τυράννοις καὶ βασιλεῦσι χρησαμένην πολλάκις, ἀριστοκρατίας τε καὶ δημοκρατίας πολιτευσαμένην τρόπῳ, τέλος ἐπὶ τὸ προκείμενον ἐξενηνοχέναι μέγεθος. (2) Λεκτέον δὲ ἡμῖν, ὅπως τε ἐξ ἀρχῆς γέγονε, καὶ ὑπὸ τίνων ἀπῳκίσθη, ἐκ τῶν ἀρχαίων ποιητῶν καὶ συγγραφέων τὴν ὑπόθεσιν ποιουμένοις.

3. Φασὶ μὲν Ἀργείους πρώτους, χρησάσης αὐτοῖς τῆς Πυθίας οὕτως,

Ὄλβιοι, οἳ κείνην ἱερὴν πόλιν οἰκήσουσιν
ἀκτὴν Θρηικίην τ' ἔνυγρον παρά τε στόμα Πόντου,
ἔνθα δύο σκύλακες πολιὴν λάπτουσι θάλασσαν,
ἔνθ' ἰχθὺς ἔλαφός τε νομὸν βόσκονται ἐς αὐτόν.

πήξασθαι τὰς οἰκήσεις ἐν ἐκείνῳ τῷ χωρίῳ, ἐν ᾧ Κύδαρός τε καὶ Βαρβύσης ποταμοὶ τὰς διεξόδους ποιοῦνται, ὁ μὲν τῶν ἀρκτῴων, ὁ δὲ τῶν ἑσπερίων προρρέοντες, καὶ κατὰ τὸν τῆς λεγομένης Σεμέστρης νύμφης βωμὸν τῇ θαλάσσῃ μιγνύμενοι. (4) Ἐπεὶ οὖν εἰς τὴν εἱμαρμένην ἀφίκοντο, καὶ θυσίαις τοὺς ἐγχωρίους ἐξιλεώσαντο δαίμονας, κόραξ τῆς ἱερουργίας ὑφαρπάσας βραχύ τι μέρος εἰς ἕτερον μετατέθεικε τόπον, ὃς ἔχει τὴν τοῦ Βοσπόρου προσηγορίαν, βουκόλου τὴν τοῦ ὄρνιθος ὑποδείξαντος πτῆσιν, ἀφ' οὗπερ καὶ Βουκόλια ἐκεῖνο τὸ χωρίον ἐκλήθη. (5) Ἕτεροι δὲ Μεγαρεῖς ἱστόρησαν ἀπὸ Νίσου τὸ γένος κατάγοντας, εἴσπλουν ἐν αὐτῷ ποιησαμένους τῷ τόπῳ ὑφ' ἡγεμόνι Βύζαντι, οὗπερ τὴν προσηγορίαν μυθεύουσι τῇ πόλει προστεθῆναι. Ἄλλοι δὲ Σεμέστρης τῆς ἐπιχωρίου νύμφης παῖδά τινα γεγονότα τὸν Βύζαντα ἀναπλάττουσι. (6) Οἱ μὲν οὖν

tenebat, novam condidit Romam, quam eodem quo priorem nomine ac loco esse voluit. Jam enim, quum et tyrannorum et regum imperio sæpius civitas subjecta fuisset, atque aristocratica et democratica rerum publicarum administratione usa esset, tandem ei ad hocce magnitudinis fastigium efferri contigit. (2) Nobis vero, quænam ejus fuerint initia, et a quibus condita sit, ex vetustorum poetarum et historicorum narratione referendum est.

3. Ac fama quidem fert, Argivos primum, quum a Pythia responsum accepissent :

Felices illi, qui urbem istam sacram incolent,
et litus Thracium ad aquosi os Ponti,
ubi catuli duo canum lambunt mare,
ubi piscis cervusque pabulo vescuntur eodem :

suas fixisse sedes eo in loco, in quo Cydarus et Barbyses fluvii, quorum alter ab arcto, alter ab occasu venit, apud aram Semestræ nymphæ mari miscentur. (4) Quum igitur in terram fato ipsis destinatam sacrificio indigenis diis litarent, corvus particulam victimæ surreptam alium in locum deportavit, qui Bosporus nominabatur, pastore volatum avis indicante : unde etiam Bucolia locus ille vocatus est. (5) Alii vero memoriæ prodiderunt Megarenses a Niso genus ducentes, illic appulisse duce Byzante, a quo etiam urbi nomen inditum esse volunt. Alii Semestræ, indigenæ nymphæ, filium Byzantem fingunt. (6) Illi igitur diverse de hac re narrant; nos autem historiæ nostræ lectoribus id, quod

si hinc retro cyclorum initia computaveris, videbis prœlium Actiacum (2 Sept. an. 31), ut cum indictionum cycli initio componeretur, removendum fuisse in an. 34, Sept. 1. — Ceterum de rebus Byzantii et Constantinopolis v. Du Fresne Byzantii veteris origines in Scriptt. Byz. tom. XIV; Gyllius De Bosporo Thracio et De topographia Const. in Gronov. Thes. tom. VI, p. 3087-3342; Anselm. Bandurius Commentat. in Antiqq. Constant. in Scriptt. Byz. tom. XV; Heyzius Antiquitates Byzantinæ in Commentt. Soc. Gotting. 1809; Alex. Falkius De origine Byzantii. Vratislav. 1829. Gibbon. *Hist. of the decline and fall* etc. chap. XVII, not. 2. J. Dallaway. *Constantinople ancient and modern*. London. 1794, 4. Hammer. *Constantinopolis und der Bosporus, örtlich u. geschichtlich beschrieben*. Pesth. 1820. 2 voll. Andreossy *Constantinople et le Bospore*. Paris. 1828. — ἤδη μὲν] ἔδει μὲν conj. Bastius. Excidisse verbum videtur. Post voc. προκείμενον suppleverim συνέβη. — § 2. ὄλβιοι κτλ.] Codinus et Chron. Constantin. nonnisi duos versus postremos exhibent, quorum in priore Chron. C. habet : ἱερὴν μάρπτουσι θάλασσαν (Cf. Hesych. § 32). Apud Stephan. Byz. v. Βυζάντιον ita legitur : Χρησμὸς δ' ἐδόθη ἐρωτησάντων εἰς Δελφοὺς Μεγαρέων τοιοῦτος·

Ὄλβιοι, οἳ κείνην πόλιν ἄνερες οἰκήσουσιν,
ἀκτῆς Θρηικίης ὑγρὸν παρ' ἄκρον στόμα Πόντου,
ἔνθ' ἰχθὺς ἔλαφός τε νομὸν βόσκουσι τὸν αὐτόν·
στέλλειν δ' ὡς ὤκιστα, καὶ εἰς φρένα πάντα λαβόντα.

Καὶ οὕτως ἐκτίσθη ἀπὸ Βύζαντος τοῦ Κεροέσσης, τῆς Ἰοῦς θυγατρὸς καὶ Ποσειδῶνος. [ἢ ὅτι τοῦ στόλου Βύζης ἦν ἡγεμών]· Stephanum exscripsit Eustathius ad Dionys. 803, nisi quod quartum versum omittit. Secundum Stephan. conditores fuisse videntur Megarenses sub duce Argivo. De Argivis Byzantii v. Müller. *Dor.* 1, p. 120. — ἰχθὺς ἔλαφός τε] Quo spectent hæc, liquet e Strabone VII, p. 320. — ἐς αὐτὸν] τὸν αὐτὸν Codinus et Steph.; sed infra § 32 Codinus item habet ἐς αὐτόν. In secundo versu leg. videtur παρὰ τὸ στόμα. — Βαρβύσης] Βαρβύζης Codin.; Βαρβύσσου habes ap. Suidam v. Ἡράκλειος. Βάρνυσσον fluvium dicit Nicephorus Breviar. p. 13. De Barbysio Phidaliæ patre historiam præbet Chronicon Paschal. ad Ol. 243, p. 493 Bonn. Ceterum de fluviis illis v. Gyllius De Bosp. Thrac. II, 3. — Σεμέστρης] Σεμεμήστρης Codinus. — § 4. ἐξιλεώσαντο] ἐξιλάσκοντο Codinus, sicut Hesychius infra § 11. — βραχύ τι] τι om. Codin. — τοῦ Βοσπ.] τοῦ om. Codin. — § 5. Μεγαρεῖς] τοὺς Μ. Codin. De re cf. Scymnus Perieg. 717, Constantin. De them. II, 1. De tempore v. Fischer. tabb. Chronol. ad Ol. 30, 3. 659. — ἀπὸ Νίσου] ἀπὸ νήσου codex; em. Lambecius ad Codinum, ubi codd : ἀπὸ νήσου τῆς νῦν Καταγνίας. — προστεθῆναι] προσγραφῆναι Codin. Quæ sequuntur ἄλλοι... ἀναπλάττουσι om. Codin. — § 6. τοῖς ἐντυγχάνειν ἐθέλουσι] τοῖς θέλουσι Codin., qui deinde om. vocem προσφόρως. Mox v. δε

διαφόροις ἐχρήσαντο λόγοις, ἡμεῖς δὲ πιθανὴν τὴν ἱστορίαν τοῖς ἐντυγχάνειν ἐθέλουσι παραστῆσαι βουλόμενοι ἐκ τῆς Ἰνάχου θυγατρὸς Ἰοῦς τὴν ἀρχὴν προσφόρως ποιούμεθα. Ἰνάχου γὰρ τοῦ Ἀργείων βασιλέως γέγονε θυγάτηρ Ἰώ. Ταύτης [δὲ] τὴν παρθενίαν ἐφύλαττεν Ἄργος, ὃν πολυόμματον λέγουσιν. Ἐπεὶ δὲ Ζεὺς ἐρασθεὶς τῆς κόρης πείθει τὸν Ἑρμῆν δολοφονῆσαι τὸν Ἄργον, λυθείσης αὐτῇ τῆς παρθενίας, εἰς βοῦν μεταβάλλεται. (7) Ἥρα δὲ χολωθεῖσα ἐπὶ τῷ γενομένῳ οἶστρον ἐπιπέμπει τῇ δαμάλει, καὶ διὰ πάσης αὐτὴν ἐλαύνει [τῆς] ξηρᾶς τε καὶ ὑγρᾶς. (8) Ἐπειδὴ δὲ πρὸς τὴν Θρακῶν ἀφίκετο χώραν, ὄνομα μὲν τῷ τόπῳ καταλέλοιπε Βόσπορον, αὐτὴ δὲ πρὸς τὸ καλούμενον Κέρας ἐπανελθοῦσα, καθ' ὃ Κύδαρός τε καὶ Βαρβύσης συμμίσγονται, τοῖς ἐνοικοῦσιν προθεσπίζουσα τὰ ἐσόμενα, παρὰ τὸν Σεμέστρης βωμὸν τὴν λεγομένην Κερόεσσαν ἀπεκύησε κόρην, ἐξ ἧς καὶ Κέρας ὁ τόπος ὠνόμασται. Ἄλλοι δὲ μᾶλλον τῇ θέσει τοῦ χωρίου τοὔνομα προστιθέασιν· οἱ δὲ τῇ τῶν καρπῶν εὐπορίᾳ τὸ τῆς Ἀμαλθείας αἰγὸς κέρας προσαγορεύουσιν. (9) Ἡ τοίνυν Κερόεσσα παρὰ τῇ Σεμέστρῃ νύμφῃ τραφεῖσα καὶ παραδόξῳ μορφῇ λαμπρυνθεῖσα, πολὺ τὰς Θρακικὰς ὑπερέβαλε παρθένους, τῷ τε θαλαττίῳ μιγεῖσα Ποσειδῶνι τίκτει τὸν καλούμενον Βύζαντα, τοὔνομα τοῦτο λαβόντα ἐκ τῆς θρεψάσης αὐτὸν κατὰ τὴν Θράκην νύμφης Βυζίης, ἧς μέχρι καὶ νῦν οἱ πολῖται τῶν ὑδάτων ἀρύονται. (10) Ὡς οὖν ἐπὶ τὴν ἀκμὴν τῆς ἡλικίας ὁ νέος προέβαινε, καὶ τοῖς Θρακίοις ἐνδιέτριβεν ὄρεσι, φοβερὸς πρὸς τοὺς θῆρας καὶ τοὺς βαρβάρους φερόμενος, πρεσβείας ὑπὸ τῶν τοπαρχούντων ἐδέχετο, σύμμαχος αὐτοῖς εἶναι καὶ φίλος προτρεπόμενος. (11) Ὡς οὖν καὶ Μελίας αὐτὸν ὁ τῶν Θρακῶν βασιλεὺς ἐπὶ τὸν τοῦ θηρὸς ἆθλον μετεπέμψατο, καὶ τὰς ἐξ αὐτοῦ δόξας ὁ Βύζας ἀπηνέγκατο, τὸν ὑποταγέντα ταῦρον τῇ ἱερουργίᾳ προσφέρων καὶ τοὺς πατρῴους ἐξιλασκόμενος δαίμονας, κατὰ τὴν τῶν εἰρημένων ποταμῶν σύμμιξιν, ἀετὸς ἀθρόως φανεὶς τὴν καρδίαν ὑφαρπάζει τοῦ θύματος, καὶ κατὰ τὴν ἄκραν τῆς Βοσπορίας ἀκτῆς ἀποπτὰς ἔστη ἀντικρὺ τῆς καλουμένης Χρυσοπόλεως· ἣν Χρύσης ὁ παῖς ἐκ Χρυσηΐδος γεγονὼς Ἀγαμέμνονος, φεύγων τὴν Κλυταιμνήστρας ἐπιβουλὴν μετὰ τὴν τοῦ πατρὸς ἀναίρεσιν, καὶ πρὸς τὴν τῆς Ἰφιγενείας ζήτησιν ἐπειγόμενος, μνῆμα τῆς ἑαυτοῦ ταφῆς τοῖς ἐγχωρίοις κατέλειπεν, φθασάσης αὐτὸν [ἐκεῖ] τῆς τοῦ βίου καταστροφῆς. (12) Ὁ μὲν οὖν Βύζας κατὰ τὴν ἄκραν τῆς Βοσπορίας ἁλὸς διέγραψε πόλιν, Ποσειδῶνος δὲ καὶ Ἀπόλλωνος, ὥς φασι, συνερ-

vero simile est, commemorabimus, ab Io, Inachi filia, ut par est, facientes initium. Inachi enim Argivorum regis filia Io fuit: hujus virginitati Argus, quem multoculum appellant, custos appositus. Postquam vero Juppiter puellæ amore captus Mercurio auctor fuit, ut dolo Argum occideret, imminuta virginitate a Jove in buculam mutatur. (7) Irata vero Jovis facto Juno œstrum illi immittit, agitque per omnes terras tractusque maris. (8) At ubi Thraciam attigit, Bosporum loco nomen reliquit; et ad Ceras, quod appellatur, veniens, ad Cydari et Barbysæ confluentes, ubi futura incolis prædixit, ad Semestræ aram Ceroessam peperit, a qua locus ille Ceras appellatur. Alii nominis causam ad situm loci potius referunt; alii ob fructuum abundantiam Amaltheæ capræ cornu appellant. (9) Hæc Ceroessa apud Semestræ aram educata, quum forma excelleret, et Thracias virgines reliquas longe superaret, a Neptuno marino compressa Byzantem peperit, ita appellatum a nutrice Byzia, nympha, quæ illum in Thracia enutriverat; cujus etiamnum aquas hauriunt cives. (10) Quum igitur ætatis florem juvenis hic attigisset, atque in Thraciæ montibus versaretur, feris pariter barbarisque metuendus, per legatos a loci dominis ad amicitiam societatemque invitatur. (11) Quumque etiam Melias Thraciæ rex ad feræ certamen advocasset, et victoriam cum gloria deportasset Byzas, devictumque taurum diis patriis offerret ad Cydari et Barbysæ, quos dixi, confluentes, apparens derepente aquila, abrepto hostiæ corde, ad extremum Bospori litus avolans, substitit ex adverso Chrysopoleos, quam Agamemnonis e Chryseide filius Chryses, post necem patris Clytæmnestræ insidias fugiens, et Iphigeniæ quærendæ intentus, sepulcri sui monumentum indigenis reliquit, quum mors illic eum occupasset. (12) Ceterum Byzas in extremitate Bosporii maris urbem designavit, et Neptuno ac Apolline, ut fertur, adjuvantibus, mœnia

addidi e Codino. — λυθείσης] e Codin.; λυθείσης δ' codex Hesych. — μεταβάλλεται] μετετράπετο Codin. — § 7. ἐπὶ τῷ γεν.] τῷ γεν. Codin. — αὐτὴν] om. Codin., ex quo addidi v. τῆς. — § 8. ἐπειδὴ δὲ] ἐκεῖ δὲ Codin. — καταλέλοιπε] κατέλιπε Codin. — προθεσπίζουσα] e Codino; προθεσπίζοντες Hesychius. Verba παρὰ τὸν Σ. β. om. Codin. — μᾶλλον] μάλιστα Codin. — εὐπορίᾳ] εὐφορίᾳ Codin. — § 9. παρὰ τῇ Σ. ν.] om. Codin. — τοὔνομα τοῦτο] τοῦτο om. Codin. — Βυζίης] e Codino; Βυζύης codex Hesychii. Innui Borbysem fluvium, qui item Byzantem educasse dicitur, opinatur Lambecius ad Codinum. — § 10. τὴν ἀκμὴν] τῆς ἀκμῆς Codin. — προέβαινε] ἔβαινε Codin. — ὑπὸ τ. τοπ. ἐδέχετο] ἐδέχετο ὑπὸ τῶν τοιούτων Codin. — § 11. ἀποπτὰς ἔστη] e Codino addidit Meursius. — καλουμένης Χρυσ.] καλ. om. Codin. — Ἀγαμέμν.] καὶ Ἀγ. Codin. — τὴν Κλ.] τῆς Κλ. Codin. — τοῖς ἐγχωρ.] τοῖς ἐγχ. τὸ ὄνομα τοῦτο κατέλιπε Codin. — ἐκεῖ] addidi e Codino. — § 12. ἀνοικοδομεῖ] ἀνῳκοδόμει Codin.

γούντων ἀνοικοδομεῖ τὰ τείχη, λόγου (τε) παντὸς κρείττονα μηχανώμενος. (13) Τοὺς γὰρ ἐν αὐτῷ πύργους ἑπτὰ ὄντας ἀντιφθέγγεσθαί τε καὶ διηχεῖν ἀλλήλοις συνήρμοζεν. Εἴποτε γὰρ σάλπιγξ ἢ φωνή τις ἑτέρα τοῖς πύργοις ἐπεφοίτα, ἕτερος ἐξ ἑτέρου τὴν ἠχὼ μετελάμβανε, καὶ τῷ πρὸς τὸ πέρας κειμένῳ παρέπεμπον. (14) Ἀλλὰ μὴν καὶ ἄλλο τι τοῖς ταῦτα συγγράψασιν εἰρημένον οὐ παραλείψομεν. Τὸν γὰρ Ἡρακλέους καλούμενον πύργον τὰ τῶν πολεμίων τοῖς ἐντὸς οὖσι τοῦ τείχους μεταδιδόναι μυστήρια λέγουσι. (15) Μετὰ δὲ τὴν τοῦ τείχους στεφάνην καὶ [τὰ] τεμένη τῶν θεῶν ἀπειργάζετο· Ῥέας μὲν κατὰ τὸν τῆς Βασιλικῆς λεγόμενον τόπον ναόν τε καὶ ἄγαλμα καθιδρύσατο, ὅτι καὶ Τύχαιον τοῖς πολίταις τετίμητο, Ποσειδῶνος δὲ τέμενος πρὸς τῇ θαλάττῃ ἀνήγειρεν, ἔνθα νῦν ὁ τοῦ μάρτυρος Μηνᾶ οἶκος διακεκόσμηται, Ἑκάτης δὲ κατὰ τὸν τοῦ ἱπποδρομίου τόπον, τῶν δὲ Διοσκούρων, Κάστορός τέ φημι καὶ Πολυδεύκους, ἐν τῷ τῆς Σεμέστρης βωμῷ καὶ τῇ τῶν ποταμῶν μίξει, ἐν ᾗ καὶ λύσις τῶν παθῶν τοῖς ἀνθρώποις ἐγίνετο. (16) Ἐγγὺς δὲ τοῦ καλουμένου στρατηγίου Αἴαντός τε καὶ Ἀχιλλέως βωμοὺς ἀνεθήκατο· ἔνθα καὶ [νῦν] τὸ Ἀχιλλέως χρηματίζει λουτρόν. Ἀμφιάρεω δὲ τοῦ ἥρωος ἐν ταῖς λεγομέναις Συκαῖς ᾠκοδόμησεν, αἳ τὴν ἐπωνυμίαν ἐκ τῶν συκοφόρων δένδρων ἐδέξαντο. Ἀνωτέρω δὲ μικρὸν τοῦ Ποσειδῶνος ναοῦ, καὶ τὸ τῆς Ἀφροδίτης προσαγορεύεται τέμενος, Ἀρτέμιδος δὲ [καὶ Ἀθηνᾶς] πρὸς τὸ τῆς Θρᾴκης ὄρος.

17. Ἐπεὶ δὲ ταῦτα πρὸς τὴν αὐτοῦ διῳκήσατο πόλιν, ἐχρῆν λοιπὸν τοὺς ἐπιόντας ἀπωθεῖσθαι βαρβάρους, [καὶ] μάλιστα τὸν Αἷμον, ὃς τῆς Θρᾴκης τύραννος ἦν, καὶ πρὸς αὐτὴν ἧκεν τὴν τοῦ Βύζαντος πόλιν, αὐτόν τε τὸν ἥρωα προκαλούμενος εἰς μάχην, καὶ διαπορθεῖν ἅπαντα προθυμούμενος. [Ὁ δὲ] οὐχ ὑπομείνας τὴν ἔφοδον τοῦ βαρβάρου, μόνος πρὸς μόνον διαγωνίζεται, καὶ καταβάλλει τὸν Αἷμον ἐπὶ τὸν ἐπώνυμον αὐτοῦ λόφον. (18) Ὁ μὲν οὖν Βύζας μετὰ τὴν εἰρημένην νίκην ὡς ἐπὶ τὴν Θρᾴκην ἤλαυνε τοὺς πολεμίους, Ὀδρύσης ὁ τῶν Σκυθῶν βασιλεὺς περαιωθεὶς τὸν Ἴστρον, καὶ πρὸς αὐτὰ διελθὼν τὰ τῆς πόλεως τείχη, ἐπολιόρκει

omni prædicatione excellentiora exstruxit. (13) Septem enim, quæ in iis sunt, turres ita coaptavit, ut loqui inter se et responsare viderentur: quippe si tubæ aut alius aliquis sonus turres illas percuteret, altera alteri sonum ad ultimam usque transmittebant. (14) Est etiam aliud quod ab harum rerum scriptoribus memoriæ proditum minime silentio præteribimus: turrim scilicet, quæ Herculis nuncupatur, hostium arcana civibus prodere solitam narrant. (15) Absoluto muri ambitu, delubra quoque condidit; et Rheæ quidem templum et simulacrum in loco nuncupato Basilicæ erexit, quod etiam ut Fortunæ fanum a civibus colebatur; Neptuni autem templum juxta mare exstruxit, ubi nunc Menæ martyris ædes est; porro Hecates, ubi Hippodromus; Dioscurorum Castoris et Pollucis ad Semestræ aram et fluminum confluentes, ubi etiam a malis liberari hominibus contingebat. (16) Prope Strategium Ajaci et Achilli aras erexit, ubi etiamnum Thermæ Achilleæ, quas vocant, sunt. Præterea Amphiarao heroi in regione Sycæna, quæ a ficubus nomen habet, sacrum dedicavit. Paullo supra Neptuni templum Veneri fanum consecratum, Dianæ autem et Minervæ ad Thraces montem.

17. Urbe sic constituta, supererat ut incurrentes barbaros submoveret, et inprimis Hæmum Thraciæ tyrannum, qui ad ipsam Byzantis urbem progressus, heroe hoc ad pugnam provocato, cuncta vastare decreverat. At Byzas barbarum incursantem indignatus, solusque cum solo congressus in monte cognomine eum prosternit. (18) Post hanc victoriam quum hostes in Thraciam usque Byzas persequeretur, Scytharum rex Odryses, trajecto Istro, ad ipsa mœnia progressus urbem obsedit; cum quo Byzantis uxor, admirabilis illa

—§ 13. ἐν αὐτῷ] ἐν αὐτῇ Codin. Præstaret ἐν αὐτοῖς.—τὴν ἠχὼ] τὸν ἦχον μετεδίδου Codin.—§ 14. τὸν γὰρ κτλ.] Codinus: τὸν γὰρ Ἡρακλέους πύργον ἱστάμενον ἐντὸς τοῦ τείχους τὰ τῶν πολεμίων μεταδιδόναι μυστήρια λόγος ἦν. Cf. fragmentum quod Lambecius e codice Bibl. Reg. exscripsit in not. ad Codin.: Ὅτι Βύζας ὁ τὸ Βυζάντιον κτίσας τὴν πόλιν ἀνήγειρεν τείχεσι μεγάλοις καὶ πύργοις περικαλλέσιν ἑπτά. Ξένον δέ τινα καὶ ἀξιοθαύμαστον οἱ πύργοι οὗτοι τὴν ἐνέργειαν εἶχον. Εἴποτε γάρ, φησί, σάλπιγξ ἢ φωνή τις ἑτέρα, ἀνθρώπου τυχὸν ἢ ἄλλου ζῴου ἢ καὶ λίθου βολῆς, ἑνὸς τῶν ἑπτὰ τούτων πύργων ἐπεγένετο, εὐθὺς εἰς τὸν μετ' αὐτὸν ὁ ἦχος διέβαινε, καὶ καθεξῆς διὰ τῶν ἄλλων μέχρι τοῦ ἐσχάτου παρεπέμπετο καθαρός, οἷος ἐξ ἀρχῆς ἐξεφωνήθη, εἴτε ἔναρθρος εἴτε καὶ ἄναρθρος. Ἀλλὰ καὶ ὁ εἷς τῶν ἑπτὰ τούτων πύργων, ὁ καὶ τοῦ Ἡρακλέος καλούμενος, τὰ τῶν πολεμίων ἔξωθεν μυστήρια, τῶν εἰς πολιορκίαν τυχὸν τῆς πόλεως καθισταμένων, ἔνηχα ἐποίει τοῖς ἐντὸς καὶ ἀκουστά. Ἵδρυται δὲ ὁ πύργος οὗτος ἐν τῷ τῆς ἀκροπόλεως λόφῳ, ὃς νῦν Κυνήγιον ὀνομάζεται —§ 15. [τὰ] suppl. e Codino.—ὅτι καὶ Τ.] ὅπερ τείχειον Codin. — τετίμητο] Codin.; τετίμηται Hes. — Ποσ. δὲ] Bekker. Π. τε Hes. et Codin. — τῶν δὲ Διοσκ.] e Codino. τὸν δὲ Δ. Hes. — φημὶ] om. Codin. — ἐν τῷ τῆς Σεμ. κτλ.] Codinus: ἐν τῇ τῶν ποταμῶν μίξει, ἐν ᾗ καὶ κτλ., missis verbis τῷ τῆς Σ. βωμῷ Hesychius: ἐν ᾧ καί. Sensus sec. Heynium: ubi novas sedes quærentes conditores consederunt. Valde ego dubito. —§ 16. ἀνεθήκατο] ἀνέθηκεν Codin. — νῦν] addidi e Codin.; τὸ τοῦ Ἀχ. Codin. — ἥρωος] ἱερέως Codin. — ᾠκοδόμησεν] ναὸν addit Codin. — μικρὸν] om. Codin. — καὶ τὸ τῆς Ἀφ.] καὶ om. Cod. — Ἀρτέμ. δὲ] e Codino; Ἀ. τε Hesych. — Θρᾴκης ὄρος] Ἀφροδίτης ὄρος Codin. — § 17. αὐτοῦ] ἑαυτοῦ Codin. — ἐχρῆν] e Codino; ἐχρῆν δὲ Hesych. — ἐπιόντας ἀπωθεῖσθαι] ἐπιόντας αὐτῷ ἀπωθῆσαι Codin.—καὶ μαλ.] καὶ addidi e Codino, qui dein et h. l. et infra τὸν Αἵμονα. — Θρᾴκης τύρ. ἦν] τύρ. Θρᾴκης ὢν Codin. — [ὁ δὲ] supplevi. — μόνος] Αἵμονος codd. Codin. — § 18. τοὺς πο-

τοὺς ἔνδον. Πρὸς δν ἡ τοῦ Βύζαντος γυνὴ, ἡ θαυμαστὴ Φιδάλεια, μηδέν τι καταπλαγεῖσα τὸ πλῆθος τῶν πολεμίων, ἀλλὰ τῇ γυναικείᾳ χρησαμένη χειρὶ διηγωνίσατο, σοφισαμένη τὸν βάρβαρον τῇ τῶν δρακόντων συμμαχίᾳ. (19) Ὡς γὰρ τοὺς κατὰ [τὴν] πόλιν ὄφεις εἰς ἕν τι χωρίον συλλαβοῦσα ἐφρούρει, ἀθρόως τοῖς ἐναντίοις ἐμφανεῖσα δίκην βελῶν καὶ ἀκοντίων ἔπεμπε τὰ θηρία, καὶ πλείστους λυμηναμένη τούτῳ τῷ τρόπῳ διέσωσε τὴν πόλιν. Ἐντεῦθεν τοίνυν ἀρχαῖος μῦθος φέρεται, μὴ δεῖν τοὺς κατὰ τὴν πόλιν ἁλισκομένους ἀπολλύειν ὄφεις, ὡς οἷα εὐεργέτας αὐτῆς γενομένους.

20. Οὐ μετὰ πολὺν δὲ χρόνον Στρόμβος ἀνὴρ τοὔνομα, καὶ αὐτὸς ἐκ Κεροέσσης τεχθεὶς, πόλεμον ἐπιφέρει τῷ Βύζαντι, πολλὴν ἐπαγόμενος δύναμιν. Ἀνεκινεῖτο τοίνυν ἅπαντα τὰ Σκυθικὰ γένη· συνέτρεχον δὲ καὶ οἱ τῆς Ἑλλάδος κρατοῦντες καὶ Ῥοδίων οὐκ εὐκαταφρόνητος δύναμις ὅ τε τῆς γείτονος Χαλκηδόνος τοπάρχης Δίνεως, ἐκ Μεγαρέων ἄποικος ἐκεῖσε γενόμενος δέκα καὶ ἐννέα ἔμπροσθεν ἔτεσι τῆς Βύζαντος αὐταρχίας. (21) Χαλκηδὼν δὲ ὠνόμασται τὸ χωρίον, ὡς μέν τινές φασιν, ἀπὸ τοῦ Χαλκηδόνος ποταμοῦ· ὡς δὲ ἕτεροι, ἀπὸ τοῦ παιδὸς Κάλχαντος τοῦ μάντεως, ὕστερον τοῦ Τρωϊκοῦ πολέμου γενομένου· ὡς δὲ ἄλλοι, ἀπὸ Χαλκίδος πόλεως τῆς Εὐβοίας, ἀποίκων ἐκεῖ πεμφθέντων· οὓς δὴ καὶ τυφλοὺς ἀπεκάλεσαν, παρεωρακότας τὸ Βυζάντιον. (22) Ὡς οὖν σὺν πλείοσι ναυσὶν ὁ Δίνεως εἰς συμμαχίαν ἧκε τοῦ Βύζαντος, μὴ δυνηθεὶς προσορμῆσαι τῇ πόλει, ἄρτι τοῦ βασιλέως αὐτῶν Βύζαντος μεταλλάξαντος, καὶ τοῦ δήμου παντὸς ἐν ἀγωνίᾳ τυγχάνοντες, πρὸς τὸν καλούμενον Ἀνάπλουν ἀφίκετο, ἔνθα καὶ διατρίψας Ἑστίας τὸν τόπον ὠνόμασε. (23) Μικρῷ γε μὴν ὕστερον διαβὰς ἐν τῇ πόλει, καὶ τοὺς βαρβάρους ἀπωσάμενος, αὐτὸς ἐστρατήγησε τοῦ δήμου τῶν Βυζαντίων· καθ᾽ οὓς δὴ χρόνους καὶ δρακόντων πλεῖστα γένη ἐπεφοίτησε τῇ πόλει, ὡς τοὺς οἰκοῦντας αὐτὴν διαφθείρεσθαι· οὓς δὴ τῇ τῶν καλουμένων πελαργῶν ὀρνίθων ἐπιφορᾷ διεχρήσαντο, Ποσειδῶνος αὐτοῖς, ὥς φασι, συνεργήσαντος. (24) Οὐ μετὰ πολὺ δὲ καὶ τῶν ὀρνίθων αὐτοῖς ἐναντία φρονούντων καὶ θανάτων αἰτίαν ἐπαγόντων, τούς τε ἁλισκομένους αὐτοῖς ὄφεις πρὸς τὰς τῶν ὑδάτων δεξαμενὰς ἀκοντιζόντων, καὶ τοῖς γε πο-

Phidalia, hostium multitudine inperterrita, muliebri manu decertavit, serpentum auxilio barbarum circumveniens. (19) Angues enim, quos in urbe uno in loco collocatos asservabat, eos subito in hostes sagittarum vel jaculorum instar immisit, et plurimis hoc modo interfectis urbem servavit. Atque hinc etiam antiqua illa fabula fluxit, nefas esse quemquam serpentes in urbe captos, quippe qui ei salute fuerint, occidere.

20. Non longo post tempore Strombus quidam, et ipse Ceroessa genitus, numeroso exercitu adducto bellum Byzanti intulit. Universa itaque Scythica natio commota est : præstantissimi etiam Græcorum, et Rhodiorum non contemnendæ copiæ convenerunt, unaque vicinæ Chalcedonis dominus Dinæus, qui deducta Megaris colonia novemdecim annis ante Byzantis principatum sedem illic sibi elegerat. (21) Chalcedon autem appellata est, ut quidam volunt, a fluvio Chalcedone, sive, ut alii, a Calchantis vatis filio, qui post Trojanum bellum vixit : alii vero a Chalcide Eubœæ urbe, unde missi illo coloni, quos et cæcos appellarunt, quod solum Byzantii non animadvertissent. (22) Ceterum Dinæus cum magna classe suppetiatum Byzanti veniens, quum ad urbem appellere non posset, Byzante ejus rege paullo ante defuncto, et universo populo ea re perturbato, ad Anaplum, quem vocant, pervenit, ibique commoratus Hestiæ loco nomen dedit. (23) Nec multo post urbem ingressus est, et barbaris profligatis, ipse Byzantinorum præturam gessit. Hac tempestate varia serpentum genera urbem infestabant et perniciem civibus afferebant, quos Neptuni ope, ut aiunt, ciconiarum superventu, interfecerunt. (24) Paullo post quum aves quoque inimicum animum induissent, atque mortis causa multis exsisterent, eo quod serpentes quos ceperant in cisternas aquarum jacularentur, et civibus in viis pu-

λεμίους] Codin.; v. πολέμους cod. Hesych. Verba hæc ut a librario assuta ejicienda censet Heynius. — Ὀδρύσης] Χρύσης (et Κροῖσος) δὲ ὁ codd. Codini. — καὶ πρὸς αὐτὰ κτλ.] καὶ πρὸς αὐτὸν διελθὼν ἐπολιόρκει τὰ τῆς πόλεως τείχη. πρὸς ὃν κτλ. Codin. — ἡ θαυμ. Φιδάλεια] om. Codin. Phidaliæ facinus narrat etiam Tzetzes Chil. II, hist. 40. Cf. Stephan. Byz. v. Γυναικόπολις. — μηδέν τι] τι om. Codin. — καταπλαγεῖσα] καταλογισαμένη Codin. — ἀλλὰ] om. Codinus, qui mox διηγωνίζετο. — § 19. ὡς γὰρ τοὺς] Codinus: οὓς γὰρ κατὰ τὴν πόλιν ὄφεις εἰς ἓν τῶν χωρίων συλλαβοῦσα ἐφρούρει, ἀθρόως τοῖς ἐν. ἐπιφανεῖσα καὶ δίκην βελῶν ἀκοντίων κτλ. Vocem τὴν e Codino addidi. — λυμηναμένη] κατολ. Codin. — ὡς οἷα] οἷα Codin. — § 20. ἀνεκινεῖτο] ἐκινεῖτο Codin. — Δίνεως] Δινεώς Codin. h. l. et infra. — δέκα καὶ ἐννέα] *septemdecim* sec. Herodot. IV, 144. — αὐταρχίας] ἐπαρχίας Codini codd. nonnulli. — § 21. ὡς δὲ ἄλλοι] ἄλλοι δὲ Codin. — ἐκεῖ πεμφθέντων] ἐκεῖσε παραπεμφθέντων Codin. — ἀπεκάλεσαν] ἐκαλ. Codin. De re v. Herodot. IV, 144; Strabo VII p. 322; Tacitus Ann. XII, 63. — § 22. ὡς οὖν] ὡς δὲ οὖν Codin. — ἑστίας] ἑστίαν Codin. — § 23. μικρῷ] μικρὸν Codin. — αὐτὸς ἐστρατ.] δεύτερον αὐτὸς ἐστρ. Codin. — καθ᾽ οὓς δὴ] δὴ om. Codin. — ὡς τοὺς κτλ.] καὶ τοὺς οἰκ. αὐτὴ διέφθειρεν Codin. — πελ. ὀρνίθων] ὀρνίθων om. Codin. — § 24. θαν. αἰτίαν] θάνατον ἔτι ἐπαγ. Codin. — αὐτοῖς ὄφεις] αὐτοῖς om. Codin. — ἐπιβαλλόντων] ἐμβαλλομένων Codin.

λίταις ἐν ταῖς λεωφόροις ἀφανῶς ἐπιβαλλόντων, ἐν ἀφασίᾳ διετέλουν. (25) Ἀνὴρ δέ τις τῶν ἐκ Τυάνων τοὔνομα Ἀπολλώνιος ἐκ λίθου ξεστοῦ τρεῖς ἀνεστήσατο πελαργοὺς ἀντιπροσώπως ἀλλήλοιν ὁρῶντας· οἳ καὶ μέχρι τῶνδε διαμένουσι τῶν χρόνων, οὐ συγχωροῦντες ἐπιφοιτῆσαι τῇ πόλει τὸ τῶν πελαργῶν γένος.

26. Ἐπὶ δὲ τοῖς εἰρημένοις Δίνεω τοῦ στρατηγοῦ μεταλλάξαντος, Λέων τὴν τῶν Βυζαντίων ἀριστοκρατίαν ἐδέξατο, ἐφ' οὗπερ Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς, ὁ Ἀμύντου παῖς γεγονὼς, πολλὴν ἐπαγόμενος δύναμιν ἐπολιόρκει τὴν πόλιν, διώρυξί τε καὶ παντοίοις πολεμικοῖς μηχανήμασι τοῖς τείχεσι προσπελάζων. (27) Καὶ δὴ ἂν ταύτην ἐξεῖλε νυκτὸς ἐπιλαβόμενος ἀσελήνου καὶ ὄμβρου καταρραγέντος ἐξαισίου, εἰ μή τις αὐτοῖς τοῦ θείου γέγονε συμμαχία τοὺς κατὰ τὴν πόλιν κύνας πρὸς ὑλακὴν ἀναστήσαντος, καὶ νεφέλας πυρὸς τοῖς ἀρκτῴοις ἐπαγαγόντος μέρεσιν. Ἐξ οὗπερ οἱ δῆμοι διεγερθέντες, καὶ θερμῶς τοῖς πολεμίοις συνενεχθέντες, ἤδη τὴν πόλιν ὑπὸ τῷ Φιλίππῳ γενομένην ἐρρύσαντο, ἀναλαβόντες τοὺς διαφθαρέντας πύργους τοῖς ἐκ τῶν τάφων παρακειμένοις λίθοις, καὶ ἀνυφάναντες τὰς ἐπάλξεις τοῦ τείχους· οὗ δὴ χάριν Τυμβοσύνην τὸ τεῖχος ἐκάλεσαν, λαμπαδηφόρον Ἑκάτης ἀναστήσαντες ἄγαλμα. Αὖθις δὲ πρὸς ναυμαχίας τραπέντες περιφανῶς τοὺς Μακεδόνας ἐνίκησαν. Καὶ τούτῳ τῷ τρόπῳ διαλυθέντος τοῦ πολέμου Φίλιππος παραχωρεῖ Βυζαντίοις.

28. Ἐπειδὴ δὲ καὶ Λέων τὸν βίον μετήλλαξεν, Χάρης ὁ τῶν Ἀθηναίων στρατηγὸς σὺν ναυσὶ τεσσαράκοντα εἰς συμμαχίαν τῶν Βυζαντίων ἐλθὼν πρὸς τὸν κατὰ Φιλίππου πόλεμον, κατέλαβε τὴν ἄκραν τῆς Προποντίδος, ἥτις μεταξὺ κεῖται Χρυσοπόλεως καὶ Χαλκηδόνος, καὶ ἐν ἐκείνῳ προσορμίσας τῷ τόπῳ ἀπόπειραν ἐλάμβανε τοῦ πολέμου. (29) Ἔνθα δὴ τὴν ἑπομένην αὐτῷ γυναῖκα νόσῳ βληθεῖσαν ἀποβαλὼν κατέθηκεν ἐν τάφῳ, ἀναστήσας αὐτῇ βωμὸν καὶ κίονα σύνθετον, ἐν ᾧ δάμαλις δείκνυται ἐκ ξεστοῦ λίθου ἀνακειμένη. Οὕτω γὰρ (μᾶλλον) ἐκείνη τὴν ἐπωνυμίαν ἐκέκλητο, ἥτις διὰ τῶν ἐγγεγραμμένων στίχων μέχρι

bliciis clanculum injicerent, stupore Byzantini perculsi sunt. (25) Sed vir quidam Tyaneus, Apollonius nomine, tres ciconias ex lapide polito, obversa facie se mutuo adspicientes erexit, quæ ad hoc usque tempus durant, neque ciconias in urbem venire permittunt.

26. Post hæc, Dinæo prætore mortuo, Leo summum Byzantii magistratum suscepit; sub quo Philippus Macedonum rex, Amyntæ filius, magnis copiis admotis, urbem obsedit, et cuniculis aliisque machinis bellicis muros aggressus est. (27) Et sane facile eam expugnasset, nocte illuni et immensa pluvia adjuvantibus, nisi quis deus tulisset opem, et canes per urbem ad latratum excitasset, nubesque lucidas ad septemtrionem produxisset. Ea re auscitati cives urbem jam fere a Philippo captam conservarunt, turresque et murorum propugnacula labefactata ex lapidibus sepulcralibus restaurarunt. Ejus rei gratia illum murum Tymbosynen (*Sepulcretum*) cognominarunt, erecta simul lampadifera Hecates statua. Deinde autem ad pugnam navalem se convertentes, illustri clade Macedones affecerunt. Atque hunc in modum finito bello Philippus Byzantiis cessit.

28. Postquam autem Leo quoque excessit e vita, Atheniensium dux cum quadraginta navibus in auxilium Byzantiorum profectus ad bellum contra Philippum, occupavit promontorium Propontidis, quod inter Chalcedonem et Chrysopolim situm est, ibique periculum belli subiit. (29) In eodem loco conjugem, expeditionis comitem, morbo exstinctam sepulturæ tradidit, et aram ei posuit cum columna, in qua *damalis* seu juvenca conspicitur ex lapide polito. Etenim Damalis nomen uxori

— 25 Τυάνων] e Codino; Τυάνης Hesych. Temporum confusionem in hujusmodi auctore noli mirari. Frustra Orellius in § 24 pro οὐ μετὰ πολὺ δὲ scribi voluit μετὰ πολὺ δέ. Ceterum de re cf. Tzetzes Chil. II, hist. 60; Nicephorus Callistus III, 11, et Cedrenus in Chron. — ἀλλήλοιν ὁρ.] ὁρῶντας ἀλλήλους. « Ceterum ad hunc Hesychii et Codini locum illustrandum pertinet fragmentum historicum, quod ex antiquo codice Bibl. Regiæ hic subjunxi: Ὅτι ἐνοχλουμένων ὕστερον τῶν Βυζαντίων ὑπὸ τῶν ὄφεων, διαφθειρόντων αὐτοῖς τὰ ὕδατα, ὁ Τυανεὺς Ἀπολλώνιος ἀπὸ λίθου ξεστοῦ τρεῖς ἀνίστησι πελαργούς, οἵτινες οὐκ ἐῶσιν ἐπιφοιτῆσαι τῇ πόλει πελαργούς· ἐκεῖνοι γὰρ πνίγοντες τὰς ὄφεις πρώην ἠκόντιζον νεκροὺς κατὰ τῶν δεξαμενῶν. » *Lambecius.* Alia de Apollonio Tyanensi a Constantino Byzantium advocato v. in Chron. Constantinop. — § 26. Λέων] Λέων τις τῶν Βυζ. τὴν ἀρ. Codin. Inepte Dinæum in præfectura Leo excepisse dicitur. De re cf. Stephan. Byz. v. Βόσπορος. — ἐφ' οὗπερ] ἐφ' οὗ Codin. — ὁ Ἀμυν.] ὁ om. Cod. — παντοίοις] om. Cod. — § 27. καὶ δὴ ἂν ταύτην ἐξεῖλε] καὶ ταύτην ἂν εἷλε Codin. — κύνας vocem post ἀναστησ. ponit Codinus. — πρὸς... μέρεσιν] πρὸς τοὺς ἀρκτ. ἐπ. τόπους Codin. — διεγερθ.] ἐπεγερθ. Codin. — καὶ θερμῶς... συνενεχθέντες] om. Codin. — ἀνυφάναντες] ἀνοικοδομήσαντες Codin. — Τυμβοσύνην] « Fort. Τυμβοσίνην a violatis sepulcris. » HEYNIUS. — ναυμαχίας] συμμαχίαν cod. Codin. — § 28. ἐπειδὴ δὲ] ἐπεὶ δὲ Cod. — τῶν Βυζ.] τῶν om. Codin. — § 29. ἔνθα] ἔνθεν Hesych.; ἔνθα καὶ τὴν γυναῖκα συνεπομένην ἔχων αὐτῷ Codinus. — σύνθετον] om. Codin. — ἀνακειμένη] om. Codin. — οὕτω γὰρ μᾶλλον κτλ.] Disertius Codinus: οὕτω γὰρ τὴν ἐπωνυμίαν ἐκέκλητο ἐκείνη ἡ γυνὴ τοῦ Χάρητος, ὅπερ καὶ διὰ τῶν ἐγγεγραμμένων ἐκεῖσε στίχων ἀριδήλως ἐμφαίνεται, μέχρι τῶν καθ' ἡμᾶς διασωζομένων χρόνων.

τῶν καθ' ἡμᾶς διασώζεται χρόνων. (30) Εἰσὶ δὲ [οἱ] στίχοι οὗτοι·

30 Ἰναχίης οὐκ εἰμὶ βοὸς τύπος, οὐδ' ἀπ' ἐμεῖο
κλήζεται ἀντωπὸν Βοσπόριον πέλαγος.
Κείνην γὰρ τὸ πάροιθε βαρὺς χόλος ἤλασεν Ἥρης
ἐς Φάρον· ἥδε δ' ἐγὼ Κεκροπίς εἰμι νέκυς.
Εὐνέτις ἦν δὲ Χάρητος, ἔπλων δ', ὅτ' ἔπλωεν ἐκεῖνος
τῇδε, Φιλιππείων ἀντίπαλος σκαφέων.
Βοίδιον οὔνομα δ' ἦεν ἐμοὶ τότε· νῦν δὲ Χάρητος
εὐνέτις ἠπείροις τέρπομαι ἀμφοτέραις.

(31) Τοῦ δὲ Χάρητος εἰς Ἀθήνας ἐκπλεύσαντος, Πρωτόμαχος τὴν στρατηγικὴν ἀρχὴν διαδέχεται· ὃς τοὺς ἐπαναστάντας Θρᾷκας καταδουλώσας τοῖς ὅπλοις, ἐν τῷ καλουμένῳ τῆς πόλεως Μηλίῳ χάλκεα ἀνέθηκε τρόπαια. (32) Κατοιχομένου δὲ καὶ τούτου, Τιμήσιος ἀνὴρ τῶν ἐν Ἀργείοις γραφέντων πρῶτον μὲν κατὰ τὸν Εὔξεινον προσαγορευόμενον πόντον, πρὸς τῷ λεγομένῳ Ἐφεσιάτῃ (ἔνθα ποτὲ Ἐφέσιοι ἀποικίας πέμψαντες, καὶ πόλιν οἰκοδομεῖν πειραθέντες, αὖθις τοῦ Βυζαντίου ὑπήκουσαν λογίου,

Ἔνθα δύο σκύλακες πολιὴν μάρπτουσι θάλασσαν,
Ἔνθ' ἰχθὺς ἔλαφός τε νομὸν βόσκονται ἐς αὐτόν),

ἀντικαταστῆσαι πόλιν ἐπιχειρήσας, καὶ διαμαρτὼν τῆς ἐλπίδος, συνοικίζεται Βυζαντίοις, καὶ στρατηγὸς τοῦ παντὸς ἀναδειχθεὶς δήμου, πᾶσαν ὁμοῦ τὴν πόλιν εἰς τὸ μεῖζον καὶ ὠφέλιμον μετερρύθμισε, νόμους τε περὶ τῶν καθ' ἡμέραν συμβολαίων τιθέμενος, καὶ ἔθη καθιστὰς πολιτικά τε καὶ ἥμερα, δι' ὧν ἀστείους τε καὶ φιλανθρώπους τοὺς πολίτας ἀπέδειξεν, (33) ἱερά τε θεῶν πλεῖστα, τὰ μὲν αὐτὸς ἀνεστήσατο, τὰ δὲ καὶ πρὶν ὄντα ἐπεκόσμησε· τὸν γὰρ πρὸς τῇ ἄκρᾳ τῆς Προποντίδος θαλάσσης κείμενον ναὸν, ὃν Ἰάσων ποτὲ τοῖς δώδεκα θεοῖς καθιέρωσε, κατηρειπωμένον ἀνήγειρε, καὶ τὸν ἐπὶ τῷ Φρίξου λεγομένῳ λιμένι τῆς Ἀρτέμιδος οἶκον ἀνεκαίνισεν. (34) Ἐπὶ δὲ τούτῳ Καλλιάδης στρατηγῶν τοῦ Βυζαντίου, ἄριστά τε πρὸς τοὺς ὀθνείους τε καὶ ἐμφυλίους πολέμους ἀγωνισάμενος, τὸ περιβόητον τοῦ Βύζαντος ἄγαλμα κατὰ τὴν καλουμένην Βασιλικὴν ἀνέθηκε, καὶ ἐπέγραψεν οὕτως·

Τὸν κρατερὸν Βύζαντα καὶ ἱμερτὴν Φιδάλειαν
κίονι κοσμήσας ἄνθετο Καλλιάδης.

35. Ἀλλὰ ταῦτα μὲν καὶ ἀριστοκρατουμένων καὶ δημοκρατουμένων τῶν Βυζαντίων, ἔτι δὲ καὶ τυραννουμένων, κατὰ διαφόρους συμβέβηκε χρόνους. Ὡς δὲ

Charetis erat, ut liquet ex adscriptis hisce versibus, qui adhuc supersunt :

30. Inachiæ non sum signum bovis, haudque vocatur
a me adversum illud Bosporium pelagus.
Hanc etenim prius ira gravis Junonis abegit
usque Pharum ; sed ego mortua sum Cecropis ;
atque Charetis eram conjux, illumque sequebar
nempe Philippeis navibus oppositum.
Bucula dicta fui : conjux nunc grata Charetis
terrarum gemino lætor utroque solo.

31. Quum vero Chares Athenas navigasset, Protomachus præturam excepit; qui quum obturbantes Thraces armis subjugasset, ærea tropæa eo in urbis loco qui Miliarium dicitur statuit. (32) Hoc etiam mortuo Timesius quidam Argivorum civitate adscriptus primum ad Pontum Euxinum in loco nuncupato Ephesiate (ubi quondam Ephesii, colonis eo deductis, urbem ædificare conati, iterum Byzantium illud oraculum audierunt :

Hic, ubi cæruleum lambunt duo flumina pontum,
Piscis ubi cervusque cibo vescuntur eodem),

urbem ex adverso condere incipiens, quum spe excidisset, ad Byzantios se contulit. Universique populi imperator designatus, totam civitatem in melius auctam reformavit, ac leges de quotidianis commerciis promulgavit, et consuetudines instituit civiles, quibus elegantes et humanos cives effecit. (33) Ædes item deorum complures vel exstruxit ipse, vel pridem exstructas exornavit. Nam quod ad Propontidis promontorium est templum, ab Iasone olim diis duodecim consecratum, dejectum restauravit, et in Phrixi portu ædem Dianæ renovavit. (34) Post hunc Calliades, Byzantii prætor, vir bellis domi forisque egregius, celebrem illam et admirandam Byzantis statuam in Basilica posuit, atque sic inscripsit :

Magnanimum Byzantem cum grata Phidalea
erexit junctis Calliades statuis.

35. Et hæc quidem Byzantiis sub optimatum, populi et tyrannorum quoque imperio variis temporibus acciderunt. Postquam vero consulari virtute Romanum imperium

— § 30. οἱ στ.] οἱ addidi e Codino. Epigramma exstat etiam ap. Constantin. Porphyr. De Them. II, 12. V. in Anthol. Steph. III, 12, p. 226. Brunck. Anal. t. III, p. 187. Cf. Heyn. Antiq. Byz. Excurs. III : *De Damalide Charetis conjuge ejusque statua.* — βοίδιον κτλ.] βοίδιον δ' ἤκουον ἐγὼ τότε Codin. — § 31. καταδουλώσας] καταδουλωσάμενος Codin. — Μηλίῳ] ἐν τῷ καλ. Μιλίῳ τόπῳ τῆς πόλεως Codin. — ἀνέθηκε] ἀνέστησε Codin. — § 32. γραφέντων] τραφέντων Codin. — προσαγορευόμενον] om. Codin. — Ἐφεσιάτῃ], « loco in litore Bospori sinistro (Dionys. Byz. p. 17), haud longe a Ponti Euxini ostio, infra Myclæum. » Heyne. Cf. Lambecius in not. ad Codinum. — λογίου] λόγου Codin. — μάρπτουσι] supra § 3 λάπτουσι, uti hoc quoque loco habet Codinus, non duos, sed quattuor versus apponens, quos Hesychius § 3 adscripsit. — ὁμοῦ τὴν πόλιν] sic Codin. ; ὁμ. τὴν μὲν πόλιν Hesych. Particulam τε post νόμους om. Codin. — τε καὶ ἥμερα] om. Codin. — § 33. ἐπεκόσμ.] διεκοσμ. Codin. — καθιέρωσε] καθίδρυσε Cod. — Φρίξου] Φρίξῳ Cod. — τῆς Ἀρτ.] τῆς om. Cod. — κατερικωμένον] Hes. ; κατερειπώμενον Cod. — § 34. στρατηγῶν] στρατηγήσας vel, ut in cod. Vat. στρατηγὸς Cod. — καλουμένην] λεγομένην Cod. — κίονι] Codin. ; εἰν ἑνὶ Hesych. ; ἐνθάδε Codini codex bibl. Valicellanæ. — § 35. ταῦτα μὲν καὶ ἀρ. κτλ.] ταῦτα μὲν ἀρ. τῶν Βυζ. ἔτι δὲ καὶ τυρανν. κτλ. Codin. — ἐπιστασίᾳ] Bekker. in Co-

τῇ τῶν ὑπάτων ἐπιστατείᾳ ἡ Ῥωμαίων ἀρχὴ πάσας ὑπερεβάλετο τὰς δυναστείας, κατεδούλωσε δὲ καὶ τὰ τῶν Ἑλλήνων ἔθνη, εἰκότως αὐτῇ καὶ οἱ Βυζάντιοι πειθόμενοι διετέλουν. (36) Ἐπειδὴ δὲ μετά τινας χρόνους, Σεβήρου βασιλεύσαντος τῆς Ῥώμης, αὐτοὶ τὴν τοῦ τυραννήσαντος τῶν ἑῴων Νίγρου προτιμήσαντες ἐλπίδα, εἰς χεῖρας ἐλθεῖν ἐτόλμησαν πρὸς τὸν αὐτοκράτορα, ἀφαιρεθέντες παρ' αὐτοῦ τῶν πολιτικῶν δικαίων, καὶ τῆς στεφάνης αὐτοῖς καταλυθείσης τοῦ τείχους, Περινθίοις προσετάχθησαν δουλεύειν, τοῖς καλουμένοις Ἡρακλεώταις. (37) Παυσαμένου δὲ τῆς ὀργῆς τοῦ Σεβήρου, αὖθις εἰς μείζονα κόσμον ἐπανῆλθον, λουτρὸν μὲν αὐτοῖς μέγιστον κατὰ τὸν τοῦ Διὸς Ἱππίου βωμὸν ἢ τὸ Ἡρακλέους ἄλσος καλούμενον (ἔνθα τὰς Διομήδους αὐτόν φασι δαμάσαντα ἵππους, Ζεύξιππον τὸν τόπον ὀνομάσαι) πολυτελῶς ἐγείραντος, καὶ τὸν τούτῳ πλησιάζοντα χῶρον τῆς ἱπποδρομίας, τοῖς τοῦ Διὸς ἀνακειμένον κούροις, ἰκρίοις τε καὶ στοαῖς διακοσμήσαντος (ἔνθα καὶ νῦν οἱ καμπτῆρες δηλοῦσι τὰ τῶν ἐφόρων γνωρίσματα διὰ τῶν ἐπικειμένων ᾠῶν τοῖς χαλκοῖς ὀβελίσκοις), ἐπὶ δὲ τούτοις καὶ στρατιωτικὰ τέλη προσνείμαντος. (38) Μέχρι μὲν οὖ περιῆν Σεβῆρος καὶ ὁ τούτου παῖς Ἀντωνῖνος, ἡ πόλις Ἀντωνινία προσηγορεύετο, ἐπειδὴ δὲ τοῖς θείοις τῶν βασιλέων ἀπεδόθη, αὖθις τὸ Βυζάντιον ὠνομάζετο. (39) Κωνσταντίνου δὲ τὸ Ῥωμαϊκὸν κῦρος παρειληφότος καὶ αὐτὴ Κωνσταντινούπολις ἐκλήθη, προθύμως ἀνασχομένη τὴν προσηγορίαν ἀνταλλάξαι τῇ ὑπερβαλλούσῃ τοῦ αὐτοκράτορος φιλοτιμίᾳ, θαυμαστὴν μὲν αὐτὴν ἀπεργασαμένου τῷ κάλλει, πόρρω δὲ μεταγαγόντος τὰ

omnes potestates superavit, redacta jam in servitutem Græcia, merito se quoque illi submiserunt Byzantii. (36) Aliquanto tamen post, imperante Severo, quum ipsi Nigri, qui Orientis imperium invaserat, partes potiores rati, opponere se imperatori ausi essent, ereptis privilegiis, murisque dejectis, Perinthiis sive Heracleotis servire jussi sunt. (37) Sed pacato mox Severo in meliorem rursum formam restituti: quippe balneum ipsis maximum ad Jovis Equestris aram, sive lucum Herculis (qui domitis ibi Diomedis equis Zeuxippo nomen loco dedisse creditur) splendide exstruxit: item vicinum Hippodromum, Dioscuris sacrum, tabulatis ac porticibus exornavit (ubi etiamnum metæ Deorum præsidum exhibent indicia, ova nimirum æneis obeliscis imposita), et assignavit etiam reditus e militari ærario. (38) Et quidem quousque Severus superstes fuit, ejusque filius Antoninus *Caracalla*, urbs Antoninia appellata fuit: postquam vero divis imperatoribus annumerati fuerant, iterum Byzantii nomen accepit. (39) Ubi vero in imperium Constantinus successit, Constantinopolis appellari cœpit, neque invita sane nomen mutavit, insigni imperatoris munificentia; quippe elegantiorem ille reddidit et pulchritudine admirandam, ad Troadenses usque porticus prolatis pomœriis, quæ antea foro ipsi cognomini terminabantur: præ-

---

dino pro vulg. ἐπιστρατείᾳ. — καὶ τὰ τῶν Ἑλλήνων ἔθνη] καὶ Ἕλληνες Codin. — οἱ Βυζ.] οἱ om. Cod. — § 36. ἐπειδὴ δὲ] ἐπεὶ δὲ Cod. — βασιλεύσαντος τῆς Ῥ.] τῆς Ῥ. βασιλεύοντος Cod. — παρ' αὐτοῦ] om. Cod. — αὐτοῖς καταλ.] αὐτῆς τοῦ τείχους κ. Cod. — προσετάχθησαν] ἐτάχθησαν Codin. — παυσαμένου] παυσαμένης Codin. — § 37. αὖθις εἰς μείζ. κτλ.] Codinus: αὖθις τοῦτον ἔσχον εἰς βασιλέα, ὃς καὶ εἰς μείζονα καὶ περιφανῆ κόσμον ἐπανήγαγε τὸ Βυζάντιον. — αὐτοῖς μέγιστον] αὐτοῖς om. Cod. — ἢ] ἤτοι Cod. — ἔνθα κτλ.] Codinus: Λουτρὸν μὲν... ἀνήγειρεν, ἔνθα δὴ καὶ τὰς Διομήδους δαμάσαντες ἵππους Ζεύξιππον τὸν τόπον ὠνόμασαν· καὶ τὸν αὐτοῦ πλησιάζοντα χῶρον τοῦ Ἱπποδρομίου τοῖς τοῦ Δ. ἀ. κ. ἰ. τ. κ. στ. διεκόσμησεν. — ἐπὶ δὲ τούτοις... προσνείμαντος] om. Codinus. — § 38. Ἀντωνινία] Ἀντωνία Hesych.; quod item vulgo legitur ap. Eustath. ad Dion. 803 (p. 253 ed. Bernh.), ubi ad verum proxime accedit cod. K., qui Ἀντωνυμίαν. In numis Severi et Antonini: *Antoneinia Byzantion Sebasta.* Codinus: καὶ μέχρι μὲν οὗ περιῆν ὁ Σεβῆρος, ἀπὸ τούτου παιδὸς Ἀντωνίνου Ἀντωνινία ἡ πόλις κατωνομάζετο. Deinde interponit hæc: Ἀπὸ δὲ τοῦ Βύζαντος μέχρι τοῦ Σεβήρου ἔτη διῆλθον ἑξακόσια ὀγδοήκοντα (πεντήκοντα Vatican.) πέντε. Ἀλλ' ἐπανακτέον τὸν λόγον καὶ διηγητέον, ὅπως Σεβῆρος τοῦ Βυζαντίου ἐκράτησεν. Ἀναστὰς ἐκ Ῥώμης Σεβῆρος, κατείληφε τὸ Βυζάντιον, κρατοῦντος τότε αὐτοῦ Νίγρου, τοῦ υἱοῦ Τιμησίου· καὶ εἰρηνικὰς σπονδὰς μετὰ Νίγρου ποιήσας, εἰσῆλθε μετὰ τῶν μεγιστάνων αὐτοῦ εἰς τὸ Βυζάντιον. Ἐπεὶ δὲ οἱ Βυζάντιοι ὑπὸ Μακεδόνων κακῶς ἐπολιορκοῦντο καὶ ἐλυμαίνοντο, ἐξῆλθεν ὁ Σεβῆρος κατὰ Μακεδόνων, ὑπερμαχῶν Βυζαντίων. Μέλλων δὲ ἐξέρχεσθαι, τὴν ἰδίαν θυγατέρα τῷ τοῦ Νίγρου υἱῷ εἰς γυναῖκα παρέδωκεν· (τὸν γὰρ στρατὸν αὐτοῦ ὁ Σεβῆρος κατέλιπεν ἐν Χρυσοπόλει). Ἐν δὲ τῇ τοῦ γάμου εὐωχίᾳ ἔστησαν ἐπὶ τῆς τραπέζης δύο φιλόσοφοί τινες Ῥωμαῖοι, Φόρτων καὶ Μαρκίων καλούμενοι, καὶ εἶπον πρὸς τοὺς ἐσθίοντας Βυζαντίους· « Ἠγάγομεν χαρὰν ἀκερδῆ καὶ λύπην ἀζήμιον. » Προσκαλεσάμενος δὲ Νίγρος τοὺς φιλοσόφους αὐτοῦ, ἐποίει ἔρευναν περὶ τοῦ ῥήματος· ἀλλ' οὐδεὶς ἠδυνήθη διερμηνεῦσαι αὐτό. Εἷς δέ τις τῶν ἐν τῷ συμποσίῳ ἀνακειμένων, ἀγχίνους πάνυ, ἤδη γεραιός, ἀναλογισάμενος τὸ ἀπόφθεγμα εἶπεν· « Τοῦτό ἐστι ἱππικὸς καὶ ἀγωνιστικὸς ἀγών. » Τότε ὁ Σεβῆρος πρὸς θεραπείαν τοῦ συμπενθεροῦ αὐτοῦ Νίγρου, ἔκτισε δύο λουτρά· ἔσωθεν μὲν τῆς πόλεως καὶ πλησίον τοῦ παλατίου ἕν, τὸ καλούμενον Ζεύξιππον· ἔξωθεν δὲ τῆς πόλεως, τὰ νῦν καλούμενα Καμίνια, λουτρὸν εὐμέγεθες καὶ ἀξιοθαύμαστον· ἐκ δὲ τῆς ὑπερβολῆς τοῦ μεγέθους αὐτοῦ ἐν ἑκάστῃ ἡμέρᾳ δύο χιλιάδες ἐλούοντο. Ἧπτε δὲ τὸ τοιοῦτον λουτρὸν μετὰ τοῦ Μηδικοῦ πυρός. Τὸ δὲ μέχρι τοῦ νῦν σωζόμενον Ἱπποδρόμιον ἐκτίσθη παρ' αὐτοῦ τοῦ Σεβήρου, κήπων ὄντων ἐκεῖσε δύο τινῶν ἀδελφῶν καὶ γυναικὸς χήρας. Μέχρι μὲν οὖν τοῦ χαλκοῦ κίονος τοῦ Τετρακλείσου πεδινὸς ἦν ὁ τόπος, ἀπὸ δὲ τούτου καὶ μέχρι τῆς Σφενδόνης, κρημνοῦ ὄντος, κίονες εὐμεγέθεις καὶ κτίσματα ἀνηγέρθησαν. Ἔνθα δὴ καὶ ἡ ψυχρὰ καλουμένη κιστέρνα ἐστί, διότι πάνυ κρημνώδης ἦν ὁ τόπος. Τὸ δὲ ἓν μέρος τῶν βαθμίδων ἀνεπληρώθη παρ' αὐτοῦ τοῦ Σεβήρου, κατελείφθη δὲ τὸ ἕτερον ἀτελές, διὰ τὸ ἐλθεῖν εἰς αὐτὸν ἀγγελίαν, ὅτι Γάλλοι πορθοῦσι τὴν Ῥώμην, καὶ παραγενέσθαι ἐν αὐτῇ· ᾗ δῆτα καὶ τελευτᾷ νόσῳ ἐπιληψίας, βασιλεύσας χρόνους δεκαεπτά. (Quæ sequuntur apud Codin. usque ad v. ἀνέστησε πόλιν eadem fere habes ap. Hesych. § 1.) Παρῆλθον δὲ χρόνοι ἑξήκοντα καὶ ἐπέκεινα

τείχη κατὰ τοὺς λεγομένους Τρωαδησίους ἐμβόλους, πρότερον αὐτῶν οὐκ ἔξω τῆς ἐπωνύμου ἀγορᾶς τοῦ βασιλέως κειμένων, λουτροῖς τε καὶ ἱεροῖς οἴκοις ἐπιδείξαντος φαιδροτέραν, δίκαιά τε πάντα πρὸς ζῆλον τῆς πρεσβυτέρας Ῥώμης δωρησαμένου, καθὰ καὶ ἐν τῷ Στρατηγίῳ λεγομένῳ φόρῳ, ἔνθα ποτὲ οἱ στρατηγοῦντες τῆς πόλεως ἄνδρες τὰς τιμὰς ὑπεδέχοντο, ἐπὶ λιθίνης ἀνέγραψε στήλης. (40) Καὶ τῆς ἑαυτοῦ μητρὸς [Ἑλένης] ἐπὶ κίονος ἀνέστησεν ἄγαλμα, καὶ τὸν τόπον ὠνόμασεν Αὐγουσταῖον, καὶ τοῖς ἀκολουθήσασιν αὐτῷ ἀπὸ τῆς μεγάλης Ῥώμης συγκλητικοῖς ἐφιλοτιμήσατο οἴκους, οὓς αὐτὸς κατεσκεύασεν ἐκ χρημάτων ἰδίων. (41) Ἐπὶ δὲ τούτῳ, Κωνσταντίου τὴν ἀρχὴν διαδεξαμένου, καὶ ὁ τῶν ὑδάτων ὁλκὸς προσετέθη τῇ πόλει, ἀνέστησαν δὲ αἱ δύο ἁψῖδες πρὸς τῷ καλουμένῳ φόρῳ, καὶ ὁ πορφυροῦς καὶ περίβλεπτος κίων, ἐφ' οὗπερ ἱδρῦσθαι Κωνσταντῖνον ὁρῶμεν, δίκην ἡλίου προλάμποντα τοῖς πολίταις. Ἐπὶ δὲ τούτοις καὶ τοὺς τῆς συγκλήτου βουλῆς ἀνῳκοδόμησεν οἴκους, Σενάτα τούτους ὀνομάσας, καὶ τὴν τῶν βασιλείων αὐλήν. (42) Πάντα δὲ κατὰ τὸν εἰρημένον τρόπον πληρώσας ὁ Κωνσταντῖνος, καὶ τὴν τῶν ἐγκαινίων ἡμέραν κατὰ τὴν ἑνδεκάτην τοῦ Μαΐου μηνὸς ἐπιτελέσας, ἐν ἔτει τῆς βασιλείας αὐτοῦ εἰκοστῷ πέμπτῳ, ἱπποδρόμιον θεωρήσας, διέταξεν οὕτω τὴν ἑαυτοῦ στήλην ἐπὶ τοὺς ἐφεξῆς χρόνους τῇ τῶν γενεθλίων ἡμέρᾳ ὁρᾶσθαι μετὰ τῆς εἰθισμένης τιμῆς τῷ κατὰ καιρὸν βασιλεύοντι καὶ τῷ δήμῳ. Οὕτω μὲν οὖν ἡ Κωνσταντινούπολις πρὸς τόδε τὸ μέγεθος ἐξενήνοχεν, ἐκ διαδοχῆς βασιλευομένη μέχρι τῶν καθ' ἡμᾶς χρόνων. Τέλος.

terea balneis quoque et sacris ædibus illustriorem fecit, juraque omnia ad veteris Romæ formam dedit; idque in foro Strategio, ubi quondam militiæ duces honores meritos accipiebant, in columna lapidea inscriptione testatus est. (40) Matris item Helenæ effigiem in columna constituit, locumque Augusteum appellavit: quin et senatoribus ipsum secutis ædes a se exstructas donavit. (41) Ad hæc Constantino imperante additus urbi est aquæductus, erectique in foro fornices duo, et insignis illa columna purpurea, in qua collocatum Constantinum videmus, solis instar radios civibus spargentem. Ædificata quoque senatorum domicilia, quæ Senata vocantur, et palatii aula. (42) Constantinus vero, omnibus ita peractis et encæniis die undecimo Maii mensis celebratis, anno imperii sui vicesimo quinto, editis circensibus ordinavit, uti deinceps hoc bonore a secuturis imperatoribus populoque, die urbis natali statua sua spectaretur. Et isto modo Constantinopolis ad hanc magnitudinem pervenit, per imperatores alternatim succedentes ad hæc usque tempora gubernata. *Finis.*

5.

(**Follis tributum**) Τοῖς μὲν τοῦ πρωτίστου τέλους ὀκτὼ χρυσίου λίτραι, τοῖς δὲ τοῦ δευτέρου τέσσαρες, καὶ δύο τοῖς τρίτοις, ὥς φησιν Ἡσύχιος ὁ Ἰλλούστριος, ὁ Φιλοσοφίας τῆς Μιλησίας, ἐν τῷ ς' Χρονικῷ διαστήματι τῆς ἱστορίας.

5.

Prima classis eorum, a quibus follis tributum exigebatur, solvebant octo auri litras, secunda litras quattuor, tertia duas litras, ut Hesychius Illustris, Philosophiæ Milesiæ filius, libro sexto Historiæ Chronicæ refert.

ἄχρι τῆς βασιλείας τοῦ μεγάλου Κωνσταντίνου. Ἐν δὲ τῷ τριακοστῷ καὶ ἑξηκοστῷ δευτέρῳ ἔτει ἀπὸ Αὐγούστου Καίσαρος μοναρχίας, τῆς πρεσβυτέρας Ῥώμης καὶ τῶν πραγμάτων αὐτῆς ἤδη πρὸς τὸ πέρας ἀφιγμένων, Κωνσταντῖνος ὁ Κωνσταντίου παῖς, τῶν σκήπτρων ἐπιλαβόμενος, τὴν νέαν ταύτην καὶ περικαλλῆ ἀνέστησε πόλιν, τὴν λεγομένην Κωνσταντίνου. Θαυμαστὴν γὰρ προσεργασάμενος τῷ κάλλει, πόρρωθεν καὶ τὰ τείχη μετέστειλε κατὰ τοὺς Τρωαδικοὺς ἐμβόλους, λουτρά τε καὶ ἱεροὺς δύο οἴκους μεγάλους ἀνήγειρε, καὶ ἐν τῷ Στρατηγίῳ λεγομένῳ φόρῳ, ἔνθα ποτὲ οἱ στρατηγοῦντες τὰς τιμὰς αὐτῶν ἀπεδέχοντο, ἑαυτὸν ἐπὶ λιθίνης ἀνέγραψε στήλης. — § 40 Ἑλένης] e Codino addidi. — ὠνόμασεν] ἐκάλεσεν Cod. — καὶ τοῖς ἀκ.] Codinus: τοῖς τε συνακολουθήσασιν αὐτῷ ἀπὸ Ῥώμης συγκλητικοῖς ἐφιλοτιμήσατο, οἴκους αὐτοῖς δωρησάμενος, οὓς ἐξ ἰδίων ἐδείματο χρημάτων. — § 41. ἐπὶ δὲ τούτῳ κτλ.] Codinus: Ἐπὶ δὲ τούτου καὶ ὁ τῶν ὑδάτων ὁλκὸς προσετέθη τῇ πόλει. — ἀνέστησαν κτλ.] Loci ratio grammatica laborat. Codinus iterum plura interponens ita habet: Ἀνέστησε δὲ καὶ δύο ἁψῖδας πρὸς τὸν καλούμενον φόρον, καὶ ὁ πορφυροῦς καὶ περίβλεπτος κίων ἐφ' οὗπερ ἵδρυται Κωνσταντῖνος, ὃν ὁρῶμεν δίκην ἡλίου τοῖς πολίταις ἐκλάμποντα. Τοῦτο γοῦν τὸ ἄγαλμα κατέπεσεν ἀπὸ τοῦ κίονος, καὶ φόνον τῶν ἐκεῖσε εὑρεθέντων ἀνδρῶν τε καὶ γυναικῶν ὡσεὶ δέκα εἰργάσατο, κατὰ τὴν πέμπτην δηλαδὴ τοῦ Ἀπριλίου μηνός, τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ καὶ ἑξακοσιοστοῦ τεσσαρεσκαιδεκάτου ἔτους, εἰκοστὸν ἔτος ἀγούσης τῆς βασιλείας τοῦ κυρίου Ἀλεξίου τοῦ Κομνηνοῦ. Ὥρα ἦν ὡσεὶ τρίτη, ὅτε γνόφος ἐγένετο καὶ βίαιος νότος ἔπνευσε σφοδρός, τοῦ κομήτου ἀστέρος τοῦ ἀκοντίου κληθέντος τὸν τοιοῦτον τοῦ ἀέρος τάραχον ἐξεργασαμένου, τοῦ φανέντος κατὰ τὴν ἑσπέραν τῆς παρασκευῆς τῆς πρώτης ἑβδομάδος. Οὗτος δὲ τῆς συγκλήτου βουλῆς ἐποίησεν οἴκους, καὶ Σενάτον τὸν τόπον ὠνόμασεν, ἐν οἷς καὶ τὸ τοῦ Δωδωναίου Διὸς ἵσταται ἄγαλμα καὶ δύο τῆς Παλλάδος ἱδρύματα. Deinde alia sequuntur sat multa de ædificiis a Constantino exstructis (p. 16-23 ed. Bekker.), quorum partem haud dubie etiam in Hesychii Chronicis legere erat; verum Codinus aut Hesychiana cum aliis serioribus miscuit, aut omnia sua ex inferioris ævi auctore hausit, qui ipsum Hesychium adhibuerat

Fr. 5. Leguntur hæc in Glossis verborum juris in Ottonis Thes. jur. tom. III, p. 1818, v. Φόλλις, ubi sermo est de Folli tributo, quod a nobilissimis viris, qui ad præturas evecti essent, Constantinus exigi jussit (v. Zosim. II, 38). Eadem paullo post commemorantur iterum.

6.

Ἰστέον δὲ ὅτι ὁ Ἰλλούστριος Ἡσύχιος ὁ Φιλοσοφίας (φιλοσοφήσας vgo) Μιλησίας ἐν τῷ ς´ Χρονικῷ διαστήματι τῆς ἑαυτοῦ ἱστορίας φησὶν οὕτως· « Δημοσίων χωρίων ἀπέδοτο ἐγγὺς ἅπαντα Οὐάλης ὁ βασιλεὺς δεηθεὶς χρημάτων ὑπερφυῶς τῶν βαρβάρων ἕνεκα. Ὅσοις ἂν (l. οὖν) ἦν δυνατὸν ὠνεῖσθαι, τιμήματος ὀλιγοστοῦ κύριοι τούτων κατέστησαν, καταλαπτόσαντες (l. καταλεπτώσαντες) τὴν ἀληθῆ αὐτῶν πρόσοδον χάριτι καὶ προσοδίᾳ (l. προδοσίᾳ) τῶν διαχειριζομένων τὰ δημόσια. Καὶ οἱ μὲν οὐδενὸς καθάπαξ φόρου ἐπιβληθέντος αὐτοῦ (l. αὐτοῖς), ὀλίγῳ τινὶ πλείονος τιμήματος ταῦτα ἐπρίαντο, ὅπερ κτήσεως εἶδος ῥελέβατον λέγουσι οἱ Ῥωμαῖοι· οἱ δὲ παραυτίκα μεῖον ἐν τῷ παρὰ Ῥωμαίοις σαβλο κάνονες *. Ὁ δὲ βασιλεὺς Μαρκιανὸς ἄριστα προὔθηκε τοῖς ὠνησαμένοις ἢ ἀναδοῦναι τὰ χωρία κομισαμένους ταῦτα τιμήματα, ἢ καὶ τὰ χωρία κατέχοντας οὐκ ὀρθῶς ἀποκρυφθεῖσαν ποσότητα τῆς προσόδου τῷ δημοσίῳ συναγαγεῖν. »

6.

Notandum est quod Hesychius, Philosophiæ Milesiæ f., in sexto Chronicæ suæ historiæ libro narrat : « Fundos publicos, ait, fere omnia Valens rex vendiderat, quum barbarorum causa pecuniis egeret quammaxime. Quibus igitur tunc emendi facultas erat, ii pretio minimo in possessionem bonorum illorum venerunt, quum veram reditus ex iis percipiendi summam attenuarent sive gratia administratorum publicorum sive proditione. Et alii quidem hæc, si omni prorsus tributo exonerarentur, paullo majori pretio emerunt : quod possessionis genus *relevatum* Romani vocant : alii autem... Verum Marcianus rex iis qui sic emerant jure merito proposuit, ut aut redderent fundos recepto emptionis pretio, aut, si servare vellent possessiones, justam vectigalis quantitatem contra fas celatam exsolverent. »

7.

ΗΣΥΧΙΟΥ ΜΙΛΗΣΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ

ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΑΙΔΕΙᾼ ΔΙΑΛΑΜΨΑΝΤΩΝ (ΣΟΦΩΝ).

Κυνικὴ ἐκλήθη φιλοσοφία διὰ τὸ ἐν Κυνοσάργει τῷ γυμνασίῳ κατάρξασθαι αὐτῆς τὸν Ἀντισθένην. Ἡ δὲ Περιπατητική, διὰ τὸ ἐν περιπάτῳ ἤτοι κήπῳ κατάρξαι αὐτῆς Ἀριστοτέλην.

Α.

1. Ἀπολλώνιον τὸν Τυανέα κύουσα ἡ μήτηρ, δαίμονα ἐθεάσατο λέγοντα, ὡς αὐτὸς εἴη, ὃν κύει· εἶναι δὲ αὐτὸν Πρωτέα τὸν Αἰγύπτιον, ὅθεν ὑπολῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν.

2. Ἀριστέου τοῦ Προκοννησίου φασὶ τὴν ψυχὴν ἐξιέναι, ὅτε ἐβούλετο, καὶ ἐπανιέναι πάλιν.

3. Αἰσχίνης ὁ τοῦ ἀλλαντοποιοῦ διεβάλλετο ὑπὸ Μενεδήμου τοῦ Ἐρετριέως, ὡς τοὺς πλείστους διαλόγους ὄντας Σωκράτους ὑποβάλλοιτο, λαμβάνων παρὰ Ξανθίππης· ὧν οἱ καλούμενοι ἀκέφαλοι σφόδρα εἰσὶν ἐκλελυμένοι καὶ οὐκ ἐπιφαίνοντες τὴν Σωκρατικὴν

7.

HESYCHII MILESII ILLUSTRIS

DE HIS QUI ERUDITIONE CLARUERUNT LIBER.

Cynica secta nomen adepta est a Cynosarge gymnasio, ubi Antisthenes primus eam orsus est (*Diog.* VI, 13). *Peripatetica* autem dicta est, quod in ambulacro sive horto primus eam condidit Aristoteles.

A.

1. *Apollonium Tyaneum* mater utero ferens, dæmonem dicentem sibi conspexit, se esse quo gravida sit, nimirum Protea Ægyptium : unde factum est ut Protei filius esse crederetur.

2. *Aristeæ* Proconnesii animam quoties vellet ex corpore exiisse et eodem remeasse ferunt.

3. *Æschines* fartoris filius a Menedemo Eretriensi insimulatus fuit, quod dialogos plerosque Socrate auctore scriptos pro suis venditaverit, a Xanthippe scilicet acceptos : inter quos soluti admodum sunt et remissi ii qui ἀκέφαλοι (*exordio carentes*) vocantur, neque Socraticam acrimoniam et

Fr. 6. Ibidem tom. III, p. 1794 v. Ῥελεβάτους ἀγρ. Verba οἱ δὲ παραυτίκα κτλ. quomodo emendanda sint nescio.

§ 1. Ex integriore Hesychii opere vel epitome hausit Suidas : Ἀπολλώνιος Τυανεύς, φιλόσοφος, υἱὸς Ἀπολλωνίου καὶ μητρὸς πολίτιδος τῶν ἐπιφανῶν, ὃν κύουσα ἡ μήτηρ ἐπιστάντα δαίμονα ἐθεάσατο, λέγοντα, ὡς αὐτὸς εἴη ὃν κύει· εἶναι δὲ Πρωτέα τὸν Αἰγύπτιον· ὅθεν ὑπειλῆφθαι αὐτὸν Πρωτέως εἶναι υἱόν. Καὶ ἤκμαζε μὲν ἐπὶ Κλαυδίου καὶ Γαΐου καὶ Νέρωνος καὶ μέχρι Νέρβα, ἐφ' οὗ καὶ μετήλλαξεν. Ἐσιώπησε δὲ κατὰ Πυθαγόραν πέντε ἔτη· εἶτα ἀπῆρεν εἰς Αἴγυπτον, ἔπειτα εἰς Βαβυλῶνα πρὸς τοὺς μάγους, κἀκεῖθεν ἐπὶ τοὺς Ἄραβας, καὶ συνῆξεν ἐκ πάντων τὰ μυρία καὶ περὶ αὐτοῦ θρυλούμενα μαγγανεύματα. Συνέταξε δὲ τοσαῦτα· Τελετὰς ἢ περὶ θυσιῶν, Διαθήκην, Χρησμούς, Ἐπιστολάς, Πυθαγόρου βίον. Εἰς τοῦτον ἔγραψε Φιλόστρατος ὁ Λήμνιος τὸν φιλοσόφῳ πρέποντα βίον. Cum iis quæ in excerpto nostro leguntur, cf. Philostrat. Vit. Ap. I, 4.

§. 2. Hæc quoque plenius Suidas tradit : Ἀριστέας, Δημοχάριδος ἢ Καυστροβίου, Προκοννήσιος, ἐποποιός. Τὰ Ἀριμάσπεια καλούμενα ἔπη· ἔστι δὲ ἱστορία τῶν Ὑπερβορέων Ἀριμασπῶν, βιβλία γ´. Τούτου φασὶ τὴν ψυχὴν ὅτε ἐβούλετο ἐξιέναι καὶ ἐπανιέναι πάλιν. Γέγονε δὲ κατὰ Κροῖσον καὶ Κῦρον, Ὀλυμπιάδι ν´ (ὀγδόῃ cod. V.). Ἔγραψε δὲ οὗτος καὶ καταλογάδην Θεογονίαν, εἰς ἔπη χίλια.

εὐτονίαν. Τοῦτόν φασι δι' ἀπορίαν ἐλθεῖν εἰς Σικελίαν πρὸς Διονύσιον, καὶ ὑπὸ μὲν Πλάτωνος παροφθῆναι, ὑπὸ δ' Ἀριστίππου συσταθῆναι, δόντα τέ τινας τῶν λόγων (διαλόγων Diog.) δῶρα λαβεῖν, ἔπειτ' ἀφικόμενον Ἀθήναζε μὴ τολμᾶν σοφιστεύειν, ἐνευδοκιμούντων (εὐδοκιμ. Diog. e nostro corrigendus) τότε τῶν περὶ Πλάτωνα [καὶ Ἀρίστιππον add. D.], ἐμμίσθους δὲ τὰς ἀκροάσεις ποιεῖσθαι. Τούτου τοὺς διαλόγους καὶ Ἀρίστιππος ὑπώπτευεν. Ἐν γοῦν Μεγάροις ἀναγινώσκοντος αὐτοῦ φασὶ σκῶψαι, εἰπόντα, Πόθεν σοί, ληστά, ταῦτα;

4. Ἀρίστιππος ὁ Κυρηναῖος τὰς ἡδονὰς μὲν μετεδίωκε, πόνῳ δὲ οὐδεμίαν ἀπόλαυσιν ἐθήρα τῶν οὐ παρόντων· ὅθεν ὁ Διογένης βασιλικὸν κύνα αὐτὸν ἐκάλει. Οὗτος ἐρωτηθείς, τί πλέον ἔχουσιν οἱ φιλόσοφοι, ἔφη, « ἂν πάντες οἱ νόμοι ἀναιρεθῶσιν, ὁμοίως βιώσομεν ». Ἀργύριον εἶπε παρὰ τῶν γνωρίμων λαμβάνειν, οὐχ ἵν' αὐτὸς χρῷτο, ἀλλ' ἵν' ἐκεῖνοι εἰδεῖεν, εἰς τίνα δεῖ χρῆσθαι τοῖς ἀργυρίοις. Πρὸς τὸν αἰτιώμενον, ὅτι Σωκράτους ὢν μαθητὴς ἀργύριον λαμβάνει· « Καὶ μάλα, » εἶπε· καὶ γὰρ Σωκράτη, πεμπόντων αὐτῷ τινῶν καὶ σῖτον καὶ οἶνον, ὀλίγα λαμβάνοντα τὰ λοιπὰ ἀποπέμπειν. " Εὐτυχίδῃ δὲ τῷ ἀργυρωνήτῳ. Ἐχρῆτο καὶ Λαΐδι τῇ ἑταίρᾳ. Πρὸς οὖν τοὺς μεμφομένους ἔφη· « Ἔχω Λαΐδα, ἀλλ' οὐκ ἔχομαι, ἐπεὶ τὸ κρατεῖν καὶ μὴ ἡττᾶσθαι ἡδονῶν ἄριστον, οὐ τὸ μὴ χρῆσθαι. » Ἐρωτηθείς, τίνα ἐστὶν ἃ δεῖ (τοὺς D.) καλοὺς παῖδας μανθάνειν, ἔφη· « Οἷς ἄνδρες γενόμενοι χρήσονται. » Τέλος δὲ ἀπέφαινε τὴν λείαν κίνησιν εἰς αἴσθησιν ἀναδιδομένην.

5. Ἀλεξῖνος ὁ Ἠλεῖος διὰ τὸ φιλονεικότατος εἶναι Ἐλεγξῖνος ἐπεκλήθη. Τοῦτόν φασιν, ὡς ἐκ τῆς Ἤλιδος ἀπελθὼν ἐν Ὀλυμπίᾳ φιλοσοφοίη. Τῶν δὲ μαθητῶν αὐτοῦ πυνθανομένων, διὰ τί τῇδε κατοικεῖ, φάναι βούλεσθαι αἵρεσιν συστήσασθαι, ἣν Ὀλυμπικὴν κληθήσεσθαι· τοὺς δὲ καὶ [τοῖς add. D.] ἐφοδίοις θλιβομένους καὶ τὸ χωρίον νοσερὸν καταγνόντας ἀπελθεῖν, καὶ τοῦ λοιποῦ διατρίβειν [ἔρημον add. D.] Ἀλεξῖνον σὺν οἰκέτῃ μόνῳ· ἔπειτα μέντοι νηχόμενον ἐν τῷ Ἀλφειῷ νυχθῆναι καλάμῳ, καὶ [οὕτως add. D.] τελευτῆσαι. Καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

Οὐκ ἄρα μῦθος ἦν ἐκεῖνος εἰκαῖος,
ὡς ἀτυχής τις ἐὼν
τὸν πόδα κολυμβῶν περιέπειρέ πως ἥλῳ.
Καὶ γὰρ ὁ σεμνὸς ἀνήρ,
πρὶν Ἀλφειόν ποτ' ἐκπερᾶν Ἀλεξῖνος
θνῆσκε νυχθεὶς καλάμῳ.

6. Ἀριστοτέλη τὸν Σταγειρίτην φασὶ παιᾶνα εἰς τὸν θλαδίαν Ἑρμείαν ποιήσαντα, ὃς ἦν αὐτοῦ πενθε-

soliditatem produnt. — Hic in Siciliam ad Dionysium venisse dicitur ad levandam egestatem, et a Platone fastiditum, ab Aristippo fuisse commendatum, proque oblatis dialogis aliquot donatum muneribus : postea reducem Athenis non ausum profiteri publice, Platonis tum celebri fama : stipem tamen factitandis privatis lectionibus coegisse. — Dialogos illius Aristippus quoque suspectos habuit : nam quum Megaris eos lectione præiret ille, subsannatum ferunt ac dixisse : Unde tibi ista, plagiarie? (*E Diogene II*, 60. 61. 62.)

Aristippus Cyrenæus voluptates sectabatur quidem, labore tamen quærenda e rebus absentibus oblectamenta non venabatur : qua de causa regium canem appellabat eum Diogenes (*Diog. II*, 66). Interrogatus, quo excellerent philosophi, respondit : Quod eadem qua nunc ratione viveremus, si leges omnes abolerentur (*D. II*, 68). Aiebat a familiaribus se pecuniam accipere, non quo ipse uteretur, sed ut illi discerent in quos usus argento uti conveniat (*D. II*, 72). — Criminanti cuidam, cur ipse unus e Socratis discipulis pecuniam acciperet : « Quidni, inquit, caperem, siquidem Socrates, quum nonnulli frumentum ac vinum ipsi mitterent, paucis sibi reservatis, remittebat reliqua. *Habuit enim ille penuarios Atheniensium principes, ego autem* Eutychidem emptitium servum. » Idem et amica Laide utebatur, quapropter ad objicientem illi Laidis amores, « Habeo, inquit, Laidem, non habeor : nam vincere voluptates neque servire iis laus est, non vero prorsus ab iis abstinere » (*D. II*, 74, 75). Interrogatus, quæ liberalibus pueris sint discenda, respondit : « Quæ viris usui futura sunt » (*D. II*, 80). Finem (bonorum) definiebat esse placidum et æquabilem motum, qui in sensus diffundatur (*D. II*, 86).

5. *Alexinus* Eleus ob nimium altercandi arguendique studium voce allusoria Ἐλεγξῖνος, quasi argutator aut altercator, dictus fuit. Aiunt hunc ex Elide Olympiam immigrasse, ibique philosophiam cœpisse profiteri. Sciscitantibusque discipulis cur ibi sedem cepisset, respondisse, in animo esse sibi sectam condere, quæ Olympiaca vocaretur : at illos viatici inopia afflictos, et locum insalubritate infamem exosos, discessisse, ab eoque tempore Alexinum solum cum famulo ibi substitisse. Fertur postea, dum in Alpheo amne natat, arundinis cuspide læsum, mortem oppetiisse. Exstat in illum hujusmodi epigramma :

Non illa erat fabella vero dissona,
Clavo quod urinator impactum pedem
Oblæderet ; nam canna acuta saucius
Mortem oppetit Alexinus Alpheum innatans (*II*, 109, 110).

6. *Aristoteles* Stagirites memoratur pæana scripsisse ad Hermiam eunuchum, socerum suum, eaque de caussa ju-

§ 4. τὰς ἡδονὰς μὲν μετεδίωκε] Diog. II, 66 : Ἀπέλαυε μὲν γὰρ ἡδονῆς τῶν παρόντων, οὐκ ἐθήρα δὲ πόνῳ τὴν ἀπόλαυσιν τῶν οὐ παρόντων. Suidas v. Ἀρίστιππος : Καὶ τῶν μὲν παρόντων ἀπέλαυε καὶ ἡδονὴν μετεδίωκε, πόνῳ δὲ ἀπόλαυσιν οὐδεμίαν ἐθήρα τῶν οὐ παρόντων. In his integrius Hesychii opus agnoscimus; ac reliqua quoque Suidiana, non e Diogene sed e Nostri Lexico desumpta esse jure statuimus. — Εὐτυχίδῃ δὲ τῷ ἀργ.] Hæc debentur excerptoris negligentiæ. Etenim Diogenes post v. ἀποπέμπειν pergit : « εἶχε γὰρ ταμίας τοὺς πρώτους τῶν Ἀθηναίων, ἐγὼ δ' Εὐτυχίδην ἀργυρώνητον. » Ἐχρῆτο καὶ Λ. κτλ.

ρὸς, καταχριθῆναι πιεῖν ἀκόνιτον, καὶ ἀποθανεῖν. Οὗτος βούλεται διττὸν εἶναι τὸν κατὰ φιλοσοφίαν λόγον, τὸν μὲν πρακτικὸν, τὸν δὲ θεωρητικόν· καὶ τοῦ πρακτικοῦ τόν τε ἠθικὸν καὶ πολιτικὸν, οὗ τά τε περὶ πόλιν καὶ τὰ περὶ οἶκον [ὑπο]γεγράφθαι· τοῦ δὲ θεωρητικοῦ τόν τε φυσικὸν καὶ λογικὸν, οὗ τὸ λογικὸν οὐχ ὁλομερῶς, ἀλλ' ὡς ὄργανον προσηκριβωμένον· καὶ τούτου διττοὺς ὑποθέμενος σκοποὺς, τό τε πιθανὸν καὶ τὸ ἀληθὲς διεσάφησε. Δύο δὲ πρὸς ἑκάτερον δυνάμεσιν ἐχρήσατο, διαλεκτικῇ μὲν καὶ ῥητορικῇ πρὸς τὸ πιθανὸν, ἀναλυτικῇ δὲ καὶ φιλοσοφίᾳ πρὸς τὸ ἀληθὲς, οὔ τι ὑπολειπόμενος οὔτε τῶν πρὸς εὕρεσιν, οὔτε τῶν πρὸς κρίσιν, οὔτε μὴν τῶν πρὸς χρῆσιν. Πρὸς μὲν οὖν τὴν εὕρεσιν τά τε τοπικὰ καὶ μεθοδικὰ παρέδωκε προτάσεων πλῆθος, ἐξ ὧν πρὸς τὰ προβλήματα πιθανῶν ἐπιχειρημάτων οἷόν τε εὐπορεῖν, πρὸς δὲ τὴν κρίσιν τὰ ἀναλυτικὰ πρότερα καὶ ὕστερα. Διὰ μὲν οὖν τῶν προτέρων τὰ λήμματα κρίνεται, διὰ δὲ τῶν ὑστέρων ἡ συναγωγὴ ἐξετάζεται. Πρὸς δὲ τὴν χρῆσιν τά τε ἀγωνιστικὰ καὶ τὰ περὶ ἐρωτήσεως ἐριστικά τε καὶ σοφιστικῶν ἐλέγχων τε καὶ συλλογισμῶν καὶ τῶν ὁμοίων τούτοις. Κριτήριον δὲ τῆς ἀληθείας τῶν μὲν κατὰ φαντασίαν ἐνεργημάτων τὴν αἴσθησιν ἀπεφήνατο, τῶν δὲ ἠθικῶν, τῶν περὶ πόλιν καὶ περὶ οἶκον καὶ περὶ νόμους, τὸν νοῦν. Τέλος δὲ ἓν ἐξέθετο, χρῆσιν ἀρετῆς ἐν βίῳ τελείῳ. Ἔφη δὲ τὴν εὐδαιμονίαν συμπλήρωμα ἐκ τριῶν ἀγαθῶν εἶναι· τῶν περὶ ψυχὴν, ἃ δὴ καὶ πρῶτα τῇ δυνάμει καλεῖ· ἐκ δευτέρων δὲ τῶν περὶ σῶμα, ὑγιείας καὶ ἰσχύος καὶ κάλλους καὶ τῶν παραπλησίων· [ἐκ τρίτων δὲ] τῶν ἐκτὸς, πλούτου καὶ εὐγενείας καὶ δόξης καὶ τῶν ὁμοίων. Τήν τε ἀρετὴν μὴ εἶναι αὐτάρκη πρὸς εὐδαιμονίαν, προσδεῖσθαι γὰρ τῶν τε περὶ σῶμα καὶ τῶν ἐκτὸς ἀγαθῶν, [ὡς] κακοδαιμονήσοντος τοῦ σοφοῦ, κἂν ἐν πόνοις ᾖ, κἂν ἐν πενίᾳ καὶ τοῖς ὁμοίοις. Τὴν μέντοι κακίαν αὐτάρκη πρὸς κακοδαιμονίαν, κἂν ὅτι μάλιστα παρῇ αὐτῇ τὰ ἐκτὸς ἀγαθὰ καὶ τὰ περὶ (τὸ) σῶμα. Τάς τ' ἀρετὰς, ἔφη, μὴ ἀντακολουθεῖν· ἐνδέχεσθαι γὰρ φρόνιμόν τινα καὶ δίκαιον ὄντα ἀκόλαστον καὶ ἀκρατῆ εἶναι. Ἔφη [δὲ] τὸν σοφὸν μὴ εἶναι μὲν ἀπαθῆ, μετριοπαθῆ δέ. Τήν τε φιλίαν ὡρίσατο ἰσότητα εὐνοίας ἀντίστροφον· ταύτης δὲ τὴν μὲν εἶναι ξενικὴν, [τὴν δὲ ἐρωτικὴν,] τὴν δὲ συγγενικήν. Εἶναι δὲ καὶ τὸν ἔρωτα μὴ μόνον συνουσίας, ἀλλὰ καὶ φιλοσοφίας· καὶ ἐρασθήσεσθαι δὲ τὸν σοφὸν καὶ πολιτεύσεσθαι, γαμήσειν τε [μὴν add. D.] καὶ βασιλεῖ συμβιώσειν. Βίων τε τριῶν ὄντων, θεωρητικοῦ, ἡδονικοῦ, πρακτικοῦ, τὸν θεωρητικὸν [προ]έκρινεν. Εὔχρηστα δὲ καὶ τὰ ἐγκύκλια μαθήματα πρὸς ἀρετῆς ἀνάληψιν. Ἔν τε τοῖς φυσικοῖς αἰτιολογικώτατος παρὰ πάντας ἐγένετο, ὥστε καὶ περὶ τῶν ἐλαχίστων [τὰς] αἰτίας ἀποδιδόναι. Τὸν [δὲ] θεὸν ἀσώματον ἀπέφαινεν, ὡς ὁ Πλάτων· διατείνειν δὲ αὐτοῦ τὴν πρόνοιαν μέχρι τῶν οὐρανίων, καὶ εἶναι ἀκίνητον αὐτόν· τὰ δ' ἐπίγεια κατὰ τὴν πρὸς ταῦτα συμπάθειαν κινεῖσθαι (οἰκονομεῖσθαι D.). Εἶναι δὲ

dicum sententiis condemnatus cicutæ poculum hausisse, atque ita occubuisse mortem (*Diog. V*, 5, 6). Docet hic duplicem esse philosophiæ rationem, unam practicam, alteram theoreticam : ad praticam pertinere Ethicen et Politicen, qua in parte tum de publica, tum de familiari re agi; ad theoreticam Physicen Logicenque referri, e quibus Logica non summatim, sed velut omnium disciplinarum instrumentum diligentissime exposita est. Ejus quum geminum finem subjecisset, verisimile ac verum explicuit. Ad utrumque duarum maxime rerum viribus nititur : namque ad verisimile seu probabile oratoria et dialectica, ad verum autem analytica et philosophia usus est, nihil omnino omittens eorum quæ vel ad inventionem, vel ad judicium, vel etiam ad usum pertinerent. Enimvero ad inventionis adminicula topica et methodica tanquam propositionum copiam et multitudinem tradidit, ex quibus ad quæstiones probabilia argumenta elicere affatim licet. Porro ad judicandum analytica priora et posteriora conscripsit, prioribus assumptiones sub judicium vocans, posterioribus compositionis examen agens. Ceterum ad usum pertinent ea quæ sub certamen cadunt, quæque in interrogatione versantur et contentione sophisticorum argumentorum atque syllogismis atque his similibus. Veritatis vero judicium, eorum quidem quæ secundum imaginationem sunt, sensum definivit; moralium vero, ubi de republica ac domestica et ubi de legibus agitur, mentem. Finem autem unum exposuit, virtutis usum in vita perfecta. Felicitatem ait tribus maxime bonis effici, iis nimirum quæ in animo sunt, quæ et prima vi sua appellat; iis quæ ad corpus attinent, ut sunt bona valetudo, robur, pulchritudo ceteraque his similia; atque iis quæ extrinsecus veniunt, divitiis, nobilitate et gloria atque in hunc modum ceteris, quibus tertium locum assignavit. Virtutem ad beatam vitam sibi minime sufficere dixit : quippe corporis bonis exterioribusque indigere. Miserum atque infelicem fore sapientem, sive doloribus afficiatur sive inopia et ceteris hujusmodi incommodis prematur. Vitium autem ad miseriam atque infelicem vitam sufficere, quantumlibet externis corporisque affluat bonis. Virtutes ait non se invicem sequi : fieri enim posse ut prudens quispiam ac justus idemque intemperans atque incontinens sit. Sapientem quidem non omnino perturbationibus vacare, verum perturbari modice dixit. Amicitiam æqualitatem esse definivit mutuæ benevolentiæ. Ejus tres species esse tradidit : esse quippe aliam hospitalem, aliam amatoriam, tertiam cognationis. Amorem non modo congressionis, verum et philosophiæ esse. Amaturum quoque sapientem et accessurum ad rempublicam, ducturumque uxorem et regis consuetudine usurum. Tribus autem generibus vitæ constitutis, primo quod in contemplando, sequenti quod in agendo, et tertio quod in voluptate consistit, quod est in contemplando genus prætulit. Liberales disciplinas ad apprehensionem virtutis multum conferre sensit. In descriptione rerum naturalium præter ceteros maxime in rerum causis perscrutandis versabatur, adeo ut minimarum quarumque rerum reddiderit causas. Deum, sicut et Plato, incorporeum definivit, ejusque providentiam ad cœlestia usque pertingere, ipsum vero immobilem esse : porro terrena omnia ad cœlestium congruen-

ἅπαρ τὰ τέσσαρα στοιχεῖα καὶ ἄλλο πέμπτον, ἐξ οὗ τὰ αἰθέρια συνεστάναι, ἀλλοίαν δὲ αὐτοῦ τὴν κίνησιν εἶναι· κυκλοφορητικὴν γάρ. Καὶ τὴν ψυχὴν [δὲ] ἀσώματον, ἐντελέχειαν οὖσαν τὴν πρώτην· σώματος γὰρ φυσικοῦ καὶ ὀργανικοῦ δυνάμει ζωὴν ἔχοντος. Διττὴ δ' ἐστιν αὕτη κατ' αὐτόν. Λέγει δὲ (τὴν) ἐντελέχειαν, ἧς ἐστιν εἶδός τι ἀσώματον. Ἡ μὲν κατὰ δύναμιν, ὡς ἐν τῷ κηρῷ [ὁ] Ἑρμῆς ἐπιτηδειότητα ἔχων ἐπιδέξασθαι τοὺς χαρακτῆρας, καὶ ὁ ἐν τῷ χαλκῷ ἀνδριάς· καθ' ἕξιν δὲ λέγεται ἐντελέχεια ἡ τοῦ συντετελεσμένου Ἑρμοῦ ἢ ἀνδριάντος. Σώματος δὲ φυσικοῦ, ἐπεὶ τῶν σωμάτων τὰ μέν ἐστι χειρόκμητα, ὡς τὰ ὑπὸ τεχνιτῶν γινόμενα, οἷον πύργος, πλοῖον· τὰ δὲ ὑπὸ φύσεως, ὡς φυτὰ καὶ τὰ τῶν ζώων. Ὀργανικοῦ δὲ εἶπε, τουτέστι πρός τι κατεσκευασμένου, ὡς ἡ ὅρασις πρὸς τὸ ὁρᾶν καὶ [ἡ] ἀκοὴ πρὸς τὸ ἀκούειν· δυνάμει δὲ ζωὴν ἔχοντος, οἷον ἐν ἑαυτῷ. Τὸ δυνάμει δὲ διττόν, [ἢ καθ' ἕξιν] ἢ κατ' ἐνέργειαν· κατ' ἐνέργειαν μέν, ὡς ὁ ἐγρηγορὼς λέγεται ψυχὴν ἔχειν· κατὰ ἕξιν δ', ὡς ὁ καθεύδων. Ἵν' οὖν καὶ οὗτος ὑποπίπτῃ, τὸ δυνάμει προσέθηκεν.

7. Ἀντισθένης ὁ κυνικός, ἁπλοκύων ἐπεκαλεῖτο. Διογένης δὲ Λαέρτιος σκώπτει αὐτὸν ὡς φιλόζωον ἐν ἐπιγράμματι οὕτως ἔχοντι·

Τὸν βίον ἦσθα κύων, Ἀντίσθενες, ὧδε πεφυκὼς
ὥστε δακεῖν κραδίην ῥήμασιν, οὐ στόμασιν.
Ἀλλ' ἔθανες φθισικός. Τάχ' ἐρεῖ τις ἴσως, Τί δὲ τοῦτο;
Πάντως εἰς Ἀΐδην δεῖ τιν' ὁδηγὸν ἔχειν.

Ἤρεσκε δὲ αὐτῷ τάδε· διδακτὴν ἀπεδείκνυε τὴν ἀρετήν· τῶν ἔργων τε εἶναι αὐτήν, μήτε λόγων πλείστων δεομένην μήτε μαθημάτων. Αὐτάρκη τε εἶναι τὸν σοφόν· πάντα γὰρ αὐτοῦ εἶναι τὰ τῶν ἄλλων. Τήν τε ἀδοξίαν ἀγαθὸν καὶ ἴσον τῷ πόνῳ. Καὶ τὸν σοφὸν οὐ κατὰ τοὺς κειμένους νόμους πολιτεύεσθαι, ἀλλὰ κατὰ τὸν τῆς ἀρετῆς. Γαμήσειν τε τεκνοποιίας χάριν, ταῖς εὐφυεστάταις συνιόντα γυναιξί. Καὶ ἐρασθήσεσθαι δέ· μόνον γὰρ εἰδέναι τὸν σοφὸν τίνων δεῖ ἐρᾶν. Τῷ σοφῷ ξένον οὐδέν [οὐδ' ἄπορον D.]. Ἀξιέραστος ὁ ἀγαθός. Οἱ σπουδαῖοι φίλοι. Συμμάχους ποιεῖσθαι τοὺς εὐψύχους ἅμα καὶ δικαίους. Ἀναφαίρετον ὅπλον [ἡ] ἀρετή. Κρεῖττόν ἐστι μετ' ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας [τοὺς] κακούς, ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους [ἀγαθοὺς] μάχεσθαι. Προσέχειν τοῖς ἐχθροῖς· πρῶτοι γὰρ τῶν ἁμαρτημάτων αἰσθάνονται. Τὸν δίκαιον περὶ πλείονος ποιεῖσθαι τοῦ συγγενοῦς. Ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ ἀρετή. Τὰ ἀγαθὰ καλά, τὰ κακὰ αἰσχρά. Τὰ πονηρὰ πάντα νόμιζε ξενικά. Τεῖχος ἀσφαλέστατον φρόνησιν· μήτε γὰρ καταρρεῖν, μήτε προδίδοσθαι. Τείχη κατασκευαστέον ἐν τοῖς αὐτῶν ἀναλώτοις λόγοις (l. λογισμοῖς ex D.).

8. Ἀρκεσίλαος. Οὗτος πρὸς τὸν θρασύτερον διαλεγόμενον νεανίσκον, οὐ λήψεταί τις, ἔφη, τοῦτον ἀστραγαλωτί (ἀστραγαλωτῇ? ἀστραγάλῳ Diog.); Πρὸς [δὲ] τὸν αἰτίαν ἔχοντα περαίνεσθαι, ὡς ἀνήνεγκεν

tiam ordinemque administrari. Præter elementa ista quatuor esse et quintum aliud, ex quo cœlestia consistant, ejusque motum diversum esse, nimirum orbicularem. Animam item incorpoream, primamque esse ἐντελέχειαν sive perfectionem, corporis nempe naturalis et organici potentia vitam habentis. Est autem ea secundum illum duplex. Ἐντελέχειαν vero sive perfectionem appellat, cujus sit species quædam incorporea. Altera ex his quidem secundum potentiam, ut est Mercurius in cera, quæ idonea est ad varias formas excipiendas, itemque in ære statua: secundum habitum vero perfectio dicitur ea quæ est consummatæ ac perfectæ statuæ aut Hermæ. Naturalis autem corporis dixit, quia sunt corpora alia quidem manu et arte elaborata, ut quæ ab artificibus fiunt, puta turris atque navis; alia vero sic a natura prodeunt, ut arbores et animalium corpora. Porro organici dixit, hoc est ad aliquid parati et conditi, ut est ad videndum oculus, aurisque ad audiendum. Potentia autem vitam habentis, in se ipso. Potentia autem duplex est, aut secundum habitum aut secundum actionem: secundum actionem, ut vigilans habere animam dicitur; secundum habitum autem, ut dormiens. Ut igitur et hic sub definitionem caderet, adjecit vocem *potentia* (*Diog. V*, 28-34).

7. *Antisthenes* Cynicus ἁπλοκύων, quasi pure puteque canis, cognominatus est. Diogenes Laertius (VI, 19) in hunc illusit, velut mortis metu retinendæ vitæ cupidiorem, epigrammate quod tale est:

In vita canis acer eras, Antisthenes, ut tu
mordereres verbis, haud tamen ore, homines.
Mortuus es phthisicus; dicet quis forte. Quid ad rem?
Ductore omnino ad limina Ditis opus.

Placita autem ejus hæc sunt: Doceri posse virtutem; virtutem esse operum, neque verbis multis neque disciplinis indigentem; sapientemque sibi ipsi sufficere: ipsius enim esse quæ aliorum sunt omnia; nominis obscuritatem bonum esse et labori simile; sapientem non secundum constitutas leges rem publicam administraturum, sed juxta virtutis normam; ducturumque uxorem procreandorum liberorum causa, formosissimis quibusque congredientem mulieribus; præterea amaturum: solum quippe scire sapientem quænam sint amore dignæ. Sapienti nil novum [nec arduum]; dignus est qui ametur vir bonus; virtute præditi amici; propugnatores faciendos qui animosi et justi sint; virtutem arma esse quæ tolli non possint; præstat cum paucis bonis adversus malos omnes quam cum multis malis adversus paucos bonos pugnare; sollicite observandos inimicos: primi enim peccata sentiunt; justum virum pluris faciendum quam propinquum; viri ac mulieris virtus eadem; bona pulchra, mala esse turpia; prava omnia aliena puta atque peregrina; murum tutissimum prudentiam esse: neque enim decidere neque prodi; mœnia struenda in nostris animi cogitationibus quæ expugnari nequeant (*Diog. VI*, 10. 13).

8. *Arcesilaus*. Hic, adolescente quopiam ferocius quam par esset garriente, « Nemone, inquit, scutica astragalis nodata hunc expugnabit? » Quendam male audientem, tanquam muliebria pateretur, quum objecisset, videri sibi

αὐτῷ, ὅτι οὐ δοκεῖ ἕτερον ἑτέρου μεῖζον εἶναι, ἠρώτησεν, εἰ οὐδὲ τὸ δεκαδάκτυλον τοῦ ἑξαδακτύλου. Πρὸς Ἀλεξίνειόν τινα διαλεκτικὸν μὴ δυνάμενον κατ᾽ ἀξίαν τῶν Ἀλεξίνου τι διηγήσασθαι, τὸ Φιλοξένῳ πρὸς τοὺς πλινθιακοὺς πραχθὲν εἶπεν· ἐκεῖνος γὰρ τὰ αὐτοῦ κακῶς ᾄδοντας τούτους καταλαβὼν, αὐτὸς τὰς πλίνθους αὐτῶν συνεπάτησεν, εἰπών· ὡς ὑμεῖς τὰ ἐμὰ διαφθείρετε, οὕτω κἀγὼ τὰ ὑμέτερα. Ἦν δὲ εὑρεσιλογώτατος ἀπαντῆσαι εὐστόχως, πειστικώτατος δὲ ὑπὲρ ὁντινοῦν· παρὸ καὶ πλείους πρὸς αὐτὸν ἀπήντων εἰς τὴν σχολὴν, καίπερ ὑπ᾽ ὀξύτητος αὐτοῦ ἐπιπληττόμενοι· ἀλλ᾽ ὅμως ἔφερον ἡδέως, καὶ γὰρ ἦν ἀγαθὸς σφόδρα, καὶ ἐλπίδων ὑποπιμπλὰς τοὺς ἀκούοντας, ἔν τε τῷ βίῳ κοινωνικώτατος ἦν, καὶ εὐεργετῆσαι προχειρότατος, καὶ λαθεῖν τὴν χάριν ἀτυφότατος· εἰσελθὼν γοῦν ποτε παρὰ Κτησίβιον νοσοῦντα, καὶ ἰδὼν ἀπορίᾳ θλιβόμενον, κρύφα βαλάντιον ὑπέθηκε τῷ προσκεφαλαίῳ· καὶ ὃς εὑρὼν, « Ἀρκεσιλάου, ἔφη, τὸ παίγνιον. » Καί τινος ἀργυρώματα λαβόντος εἰς ὑποδοχὴν φίλων, καὶ ἀποστεροῦντος, οὐκ ἀπήτησεν οὐδὲ προσεποιήσατο (προσεποιήθη Diog.). Οἱ δέ φασιν ἐπίτηδες χρῆσαι, καὶ ἀποδιδόντος, ἐπεὶ πένης ἦν, χαρίσασθαι. Οὐκ ἐθεράπευε δέ τινα τῶν βασιλέων· διὸ καὶ πρεσβεύων πρὸς Ἀντίγονον ὑπὲρ τῆς πατρίδος, οὐκ ἐπέτυχεν. Ἦν δὲ φιλομειράκιος καὶ καταφερὴς, καὶ ἑταίραις συνῴκει. Καί ποτε τὸν ἐρώμενον αὐτῷ Δημοχάρει ὁμιλοῦντα καταλαβὼν, ὑπ᾽ ἀνεξικακίας παραχωρεῖν ἔφη. Πρὸς Ἀρίδηλον προτείνοντά τι θεώρημα ἐπὶ συμποσίου καὶ ἀξιοῦντα εἰς αὐτὸ λέγειν, εἶπεν· Ἀλλ᾽ αὐτὸ τοῦτο μάλιστα φιλοσοφίας ἴδιον, [τὸ] τὸν καιρὸν ἑκάστων ἐπίστασθαι. Τίμων δὲ ὡς φιλόχλον παίζει, λέγων·

Ὣς εἰπὼν, ὄχλοιο περίστασιν εἰσκατέδυνεν.
Οἱ δέ μιν ἠύτε γλαῦκα πέρι σπίζαι τερατοῦντο,
ἠλέματον δεικνύντες· ὅθ᾽ οὕνεκεν ὀχλοαρέσκης,
οὐ μέγα πρῆγμα, τάλας· τί πλατύνεαι, ἠλίθιος ὥς;

Οὕτω δὲ ἄτυφος ἦν, ὥστε τοῖς μαθηταῖς παρῄνει καὶ ἄλλων ἀκούειν.

9. Ἀρχύτας ὁ Πυθαγορικὸς στρατηγῶν τῶν πολιτῶν οὐδέποτε ἡττήθη, φθονηθεὶς δ᾽ ἅπαξ ἀφῆκε τὴν στρατηγίαν, καὶ οἱ αὐτίκα ἐλήφθησαν.

Ὁ μουσικὸς Ἀρχύτας ὀνειδιζόμενος ἐπὶ τῷ μὴ ἐξακούεσθαι, εἶπε· Τὸ γὰρ ὄργανον ὑπὲρ ἐμοῦ ὀνειδιζόμενον λαλεῖ.

10. Ἀνάξαρχος ὁ Ἀβδηρίτης ἔλεγε μηδὲ αὐτὸ τοῦτο εἰδέναι, ὅτι οὐδὲν οἶδεν.

11. Αἴσωπος, οὐχ ὁ μυθοποιὸς, ἔγραψε περὶ Ἑλένης, ἔνθα φησὶ Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη, ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα.

alterum altero majus non esse, interrogavit, an ne id quidem quod decem digitorum esset, eo quod sex digitorum (*Diog.* IV, 34). Alexinium quendam dialecticum Alexini quædam commode ac pro merito enarrare non valentem, quid Philoxenus adversus lateritios operarios egisset, admonuit. Ille enim, quum carmina sua male cantantes offendisset, lateres illorum conculcare cœpit ac dicere : « Ut vos mea corrumpitis, ita ego vestra dissipabo » (IV, 36). Mire felix exstitit in inveniendo, quo objectis facili et prompta responsione occurreret. Idem præ quovis alio persuadendi quæ vellet facilitate gaudebat : unde factum est ut ad eum audiendum confluerent plurimi, quanquam illius acumine compuncti. Quod tamen illi æquo animo ac libenter tolerabant : erat enim vir egregie bonus, quique auditorum suorum animos spe impleret. Erat illi summa facilitas in communicandis rebus suis, atque ad ferenda beneficia promptus occurrebat : latere quoque gratiam omni studio quærebat, fastum maxime exhorrens. Sic ingressus aliquando ad Ctesibium ægrotum, vidensque eum inopia premi, clanculum marsupium pulvino supposuit : quo ille invento, « Arcesilai, inquit, hic jocus » (IV, 37). Acceperat ab eo quidam ad excipiendos amicos argentea vasa; quæ quum is non redderet, non repetiit ac semper dissimulavit. Aiunt alii de industria hæc eum utenda dedisse, et quum ea ille redderet, quia pauper erat, ei largitum fuisse (IV, 38). Regum neminem magnopere coluit. Sic etiam legatus pro patria ad Antigonum profectus, re infecta rediit. In puerorum amores pronior fuit, et libidini indulgens scortis utebatur. Hic aliquando, quum deprehendisset puerum a se in deliciis habitum (*Cleocharem*) cum Demochare consuesse, cedere se pro sua patientia dixit. Aridelo in cœna quæstionem proponenti, atque ut super eo dissereret, exposcenti : « Atqui, inquit, hoc ipsum philosophiæ proprium inprimis est, scire cujusque rei opportunitatem. » Timon ludit in eum, ut popularis auræ captatorem, his versibus :

Hæc ait et mediæ turbæ sese intulit : illi
ceu fringillæ ululam circum stupuere loquaces
monstrantesque levem : nam tu, vanissime, plebis
supplex captator, quid ob hæc, vesane, ferocis?

Ceterum ita moderatus et fastus fugiens erat, ut discipulos moneret et alios audire (*Diog.* IV, 40, 42).

9. *Archytas* Pythagoricus, quoties civium exercitui præesset, nunquam superatus est : sed postquam semel illum attigit invidia, imperio cessit, ac confestim cives clade affecti sunt (*Diog.* VIII, 82).

Archytas musicus, quum probro ei daretur quod exaudiri non posset, respondit : « At instrumentum pro me decertans loquitur » (*Diog.* VIII, 82).

10. *Anaxarchus* Abderita dixit, se ne id quidem ipsum scire, quod nihil sciret (*Diog.* IX, 58).

11. *Æsopus*, non ille fabulator, de Helena scripsit; in quo opere dicit, Pana vocari piscem cetacei generis, in eoque lapidem asteritem inveniri, qui solis radiis inflammetur, eumque amoris illecebram conciliare.

§ 11. Eadem ex Hesychio Suidas : Αἴσωπος, Μιθριδάτου ἀναγνώστης. Ἔγραψε Περὶ Ἑλένης· ἐν ᾧ φησὶ Πᾶνα ἰχθὺν καλεῖσθαι etc. — φίλτρα. Ἔγραψε καὶ Μιθριδάτου ἐγκώμιον. Eadem de asterite lapide (ex Æsopo) refert Hephæstion. ap. Phot. cod. 190 (Westerm. Mythogr. p. 199) : Πᾶνά φασιν ἰχθὺν εἶναι θαλάσσιον κητώδη, ὅμοιον τῷ Πανὶ κατὰ τὴν ὄψιν. Ἐν τούτῳ λίθον εὑρίσκεσθαι τὸν ἀστερίτην, ὃν εἰς ἥλιον τεθέντα ἀνάπτεσθαι· ποιεῖν δὲ καὶ πρὸς φίλτρον. Τοῦτον δὴ τὸν λίθον εἶχεν Ἑλένη, γλυφὴν ἔχοντα αὐτὸν τὸν ἰχθὺν τὸν Πᾶνα, καὶ ταύτῃ ἐκέχρητο τῇ σφραγῖδι. Cf. Plinius H. N. 37, 9.

B.

12. **Βίων** ὁ Βορυσθενίτης ἔλεγε μὴ εἶναι θεούς· διὸ καί ἐστιν εἰς αὐτὸν ἐπίγραμμα·

Βίωνα, τὸν Βορυσθένης ἔφυσε γῆ Σκύθισσα,
λέγειν ἀκούομεν θεοὺς ὡς οὐδέν εἰσιν ὄντως.
Καὶ μὲν τὸ δόγμα τοῦτ' ἔχων ἔμιμνεν, ἦν ἂν εἰκὸς
λέγειν, φρονεῖν ὅπως δοκεῖ· κακῶς μέν, ἀλλ' ἔδοξε.
Νῦν δ' ἐς νόσον πεσὼν μακρὴν καὶ μὴ θάνῃ δεδοικὼς
ὁ μὴ θεοὺς εἶναι λέγων, ὁ νηὸν οὐδὲ βλέψας,
ὁ πολλὰ χλευάσας βροτούς, ὅσοι θεοῖς ἔθυον,
οὐ μοῦνον ἐσχάρης ὕπερ βωμῶν τε καὶ τραπέζης
κνίσῃ, λίπει, θυλήμασιν θεῶν ἔδαισε ῥῖνας·
οὐδ' εἶπε μοῦνον, Ἤλιτον, σύγγνωτε τοῖς πρίν· ἀλλὰ
καὶ γραῒ δῶκεν εὐμαρῶς τράχηλον εἰς ἐπῳδὴν
καὶ σκυτίσιν βραχίονας πεπεισμένως ἔδησε·
ῥάμνον τε καὶ κλάδον δάφνης ὑπὲρ θύρην ἔθηκεν,
ἅπαντα μᾶλλον ἢ θανεῖν ἕτοιμος ὢν ὑπουργεῖν.
Μωρὸς δ' ὃς ἤθελέν τινος μισθοῦ τὸ θεῖον εἶναι,
ὡς τῶν θεῶν ὄντων ὅταν Βίων θέλῃ νομίζειν.
Τοιγὰρ μάτην φρονῶν, ὅτ' ἦν ἅπας ὁ λέμφος ἄνθραξ,
τὴν χεῖρα τείνας ὧδέ πως, Χαῖρ', εἶπε, χαῖρε, Πλουτεῦ.

Βίων ἄλλος Ἀβδηρίτης ἔγραψεν εἶναί τινας οἰκήσεις, ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν.

B.

12. *Bion* Borysthenites negabat esse deos, in quem propterea scriptum tale exstat epigramma:

Biona, quem Borysthenes in Scythia produxit,
hunc tradidisse accepimus deos nil esse omnino.
Quod si tenuisset fortiter placitum semel, dicturi
eramus: Sentit ut placet: male hercle, at ita placebat.
Nunc vero, in morbum ut incidit longum et mori formidat], non esse qui dicit deos, qui templum nunquam aspexit,] derisor ille mortalium sacris qui numen placant,
non solum super altaribus, focis et sacra mensa
adipe, nidore et thuribus nares deorum implevit,
nec id modo dixit quod solet: Peccavi, veniam date delictis:] sed anui facile præbuit collum sibi excantandum,
obedienter et loris devincienda brachia,
rhamnumque et lauri ramulos super fores posivit,
quidquid velis promptus magis subire quam sepulcrum.
Stolidus vero, ex mercedula qui divos suspendebat,
ac si tunc essent quando eos Bioni esse expediret.
Frustra ergo sapiens iste stips, ut factu'st carbo totus,
sic ferme tendens dexteram, Salve, inquit, Pluto, salve!

Bion alter Abderita in scriptis suis prodidit, esse regiones, ubi semestris nox sit, totidemque mensium dies (*Diog.* IV, 56-58).

Γ.

13. **Γενέθλιος** ὁ Παλαιστῖνος ἐν ἀκροάσει μιᾷ μελέτην ὅλην ἀπεμνημόνευσεν.

G.

13. *Genethlius* Palæstinus declamationem integram semel auditam memoriter recitavit.

Δ.

14. **Δαφίδας** ὁ Τελμισσεὺς πᾶσιν ἐλοιδορεῖτο, μηδὲ αὐτῶν φειδόμενος τῶν θεῶν· διὸ καὶ ἐχθρὸς ἦν Ἀττάλῳ τῷ βασιλεῖ Περγάμου. Οὗτος ἐλθὼν ποτε εἰς Πυθίαν, ἔσκωπτεν εἰς τὸ μαντεῖον καὶ ἐπεγγελῶν ἠρώτα, εἰ τὸν ἵππον εὑρήσοι· ἔχρησε δὲ αὐτῷ εὑρήσειν ταχέως. Ἐκεῖνος δὲ διεθρύλλησε τοῦτο, ὡς οὐδὲ ἦν αὐτῷ ἵππος, οὐδὲ ἀπώλετο. Ἀναχωρήσαντα δὲ συλλαβόμενος Ἄτταλος ἐκέλευσε κρημνισθῆναι. Ὁ δὲ τόπος, ἐν ᾧ τοῦτο ἐγένετο, ἐκαλεῖτο Ἵππος, καὶ ἔγνω πρὸς τῷ θανάτῳ, μὴ ἐψεῦσθαι τὸ λόγιον.

D.

14. *Daphidas* Telmisseus grammaticus nullum non conviciis lacessebat, ne a diis quidem ipsis abstinens; quamobrem Attalo regi Pergami valde invisus fuit. Hic aliquando Pythiam quum adiisset, oraculo illusit, ac per risum sciscitatus, an equum esset inventurus, responsum accepit, non multo post reperturum. Tum ille passim jactavit, equum se neque habuisse neque amisisse. Quum autem revertentem eum Attalus corripuisset et præcipitem dari jussisset eo in loco, qui Equus appellatur, moriturus intellexit oraculum non fuisse mentitum.

15. **Διαγόραν** τὸν Τηλεκλείδου εὐφυᾶ θεασάμενος Δημόκριτος ὁ Ἀβδηρίτης ὠνήσατο αὐτὸν δοῦλον ὄντα μυρίων δραχμῶν, καὶ μαθητὴν ἐποιήσατο. Ὁ δὲ τῇ λυρικῇ ἐπέθετο· ἐπεκλήθη δὲ ἄθεος, [δι]ότι [τοῦτο

15. *Diagoram*, Teleclidis filium, Democritus Abderita egregio ingenio præditum cernens decem millibus drachmarum e servitute redemit, et in discipulorum numerum recepit. Ille vero poesi lyricæ operam dedit. Cognominatus

§ 13. Plenius hæc Suidas: **Γενέθλιος**, Γενεθλίου, Παλαιστῖνος ἐκ Πετρῶν, μαθητὴς Μινουκιανοῦ καὶ Ἀγαπητοῦ, ἀντιπαιδεύσας κατὰ τὰς Ἀθήνας Καλλινίκῳ τῷ διαστήμῳ, δεξιὸς τὴν φύσιν, καὶ ὅλην μελέτην ἀπομνημονεύσας ἐν [suppl. μιᾷ] ἀκροάσει. Τελευτᾷ δὲ νέος ἐτῶν κη'. Ἔγραψε δὲ Λαλιὰς ἤτοι διαλέξεις, καὶ Μελέτας, ὧν ἐστιν Ὁ ἄπολις ἑαυτὸν ἀποκηρύττων μετὰ τὴν τῶν Θηβῶν κατασκαφήν, Προπεμπτικὸν πρὸς τοὺς ἑαυτοῦ ἑταίρους, Δᾳδοῦχον καὶ Ἀσκληπιάδην, Πανηγυρικοὺς [πέντε addit Eudocia]. « Ad hunc Genethlium quasi studiorum sodalem, si Valesius recte conjecit, Menander librum De encomiis misit. » BERNHARDY.

§ 14. Suidas: **Δαφίδας**, Τελμισεύς, γραμματικός, γεγραφὼς Περὶ Ὁμήρου καὶ τῆς αὐτοῦ ποιήσεως ὅτι ἐψεύσατο. Ἀθηναῖοι γὰρ οὐκ ἐστράτευσαν ἐπὶ Ἴλιον. Ἦν δὲ οὗτος λοιδορούμενος παντί, καὶ μέχρις αὐτῶν μὴ φειδόμενος τῶν θεῶν. Καὶ Ἄτταλον μὲν τὸν βασιλέα Περγάμου διὰ τοῦτο ἔχειν αὐτῷ ἐπιβουλεύοντα. Εἰς δὲ τὴν Πυθίαν ἐλθόντα ποτὲ σκώπτειν εἰς τὸ μαντεῖον, καὶ ἐπιγελῶντα ἐρέσθαι, εἰ τὸν ἵππον εὑρήσοι. Χρησθῆναι δὲ αὐτῷ, εὑρήσειν ταχέως. Εἶτα ἐκεῖνον διαθρυλῆσαι τοῦτο, ὅτι μηδὲ ἦν αὐτῷ ἵππος μηδὲ ἀπώλετο. Ἀναχωρήσαντα δὲ συλλαβόμενος Ἄτταλος ἐπέταξε κατακρημνισθῆναι. Ἐν ᾧ δὲ τόπῳ τοῦτο ἐγένετο, ἐκαλεῖτο Ἵππος ὁ τόπος. Καὶ ἔγνω πρὸς τῷ θανάτῳ, μὴ ἐψεῦσθαι τὸ λόγιον. Οὕτως οὖν ἐνυβρίσας κακῶς ἀπώλετο. Cf. Valerius Maximus I, 8, 8; Strabo XIV, p. 647; Jacobs. in Anthol. tom. XIII, p. 881; Cicero De fato c. 3.

§ 15. Suidas: **Διαγόρας**, Τηλεκλείδου ἢ Τηλεκλύτου, Μήλιος, φιλόσοφος καὶ ᾀσμάτων ποιητής· ὃν εὐφυᾶ θεασάμενος

ἐδόξαζεν, ἀφ' οὗ] ὁμότεχνός τις αἰτιαθεὶς ὑπ' αὐτοῦ, ὡς δὴ παιᾶνα ὑφελόμενος, ὃν αὐτὸς ἐποίησεν, ἐξωμόσατο μὴ κεκλοφέναι αὐτόν· μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὐημέρησεν. Ἐντεῦθεν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς Ἀποπυργίζοντας λόγους, ἔκπτωσιν ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης.

16. Διόδωρος Ἰασεύς, ὁ Κρόνος ἐπίκλην, διαλεκτικός, ὃς πρῶτος ἔδοξεν εὑρεῖν τὸν κερατίνην καὶ τὸν ἐγκεκαλυμμένον [λόγον], παρὰ Πτολεμαίῳ τῷ Σωτῆρι διατρίβων, λόγους τινὰς διαλεκτικοὺς ἠρωτήθη πρὸς Στίλπωνος. Καὶ παραχρῆμα μὴ δυνάμενος διαλύσασθαι, ὑπὸ τοῦ βασιλέως τά τε ἄλλα [ἐπ]ετιμήθη, καὶ [δὴ καὶ] Κρόνος ἤκουσεν ἐν σκώμματος μέρει· ἐξελθὼν δὲ τοῦ συμποσίου, καὶ λόγον γράψας περὶ τοῦ προβλήματος, ἀθυμίᾳ τὸν βίον κατέστρεψε. Καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

Κρόνε Διόδωρε, τίς σε δαιμόνων κακῇ
  ἀθυμίῃ ξυνείρυσεν,
ἵν' αὐτὸς αὐτὸν ἐμβάλῃς εἰς Τάρταρον
  Στίλπωνος οὐ λύσας ἔπη
αἰνιγματώδη; τοιγὰρ εὑρέθης Κρόνος
  ἔξωθεν τοῦ ῥῶ κάππα τε.

Περὶ τούτου φησὶ Καλλίμαχος ἐν ἐπιγράμμασι·

. . . . . . αὐτὸς ὁ Μῶμος
ἔγραφεν ἐν τοίχοις, « Ὁ Κρόνος ἐστὶ σοφός ».

17. Δημήτριος ὁ Φαληρεὺς τοσοῦτον ἦν εὐπρεπής, ὡς ὑπό τινων προσαγορευθῆναι Λαμπετὼ καὶ χαριτοβλέφαρος.

18. Δημήτριός τις ἕτερος Ἰξίων ἐπεκλήθη, διότι λεπίδας χρυσᾶς κλέπτων τοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη.

19. Δίδυμος ὁ Ἀλεξανδρεὺς διὰ τὴν πρὸς τὰ βιβλία ἐπιμονὴν Χαλκέντερος ἐπεκλήθη. Φασὶ δὲ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια πεντακόσια βιβλία.

20. Δράκων ὁ νομοθέτης εἰς Αἴγιναν ἐπὶ νομοθεσίαις εὐφημούμενος ὑπὸ τῶν Αἰγινητῶν ἐν τῷ θεάτρῳ ἐπιρριψάντων αὐτῷ ἐπὶ τὴν κεφαλὴν πετάσους πλείονας καὶ χιτῶνας [καὶ ἱμάτια add. Suid.] ἀπεπνίγη.

21. Δημόκριτος ἤσκει ποικίλως δοκιμάζειν τὰς

est Atheus, quod deos rejecit, postquam æmulus quidam artis ab eo insimulatus, quasi carmen ab ipso compositum surripuisset, jurejurando factum erat detestatus, paullo tamen post illud carmen publice recitans laudem sibi paraverat. Qua ægritudine Diagoras scripsit orationes Ἀποπυργίζοντας, quæ demonstrant ab opinione de deo eum descivisse.

16. *Diodorus* Iasensis, Cronus cognominatus, dialecticus, primus putatur invenisse cornutum conclusionis genus et involutum. Hic apud Ptolemæum Soterem commorans quum propositas sibi a Stilpone quasdam quæstiones dialecticas protinus solvere nequivisset, ab rege et aliis modis increpitus et per ignominiam Cronus appellatus est. Egressus igitur e convivio conscriptoque de proposita quæstione libello, ex mœrore obiit. Est in ipsum epigramma in hunc modum :

Crone Diodore, quis deorum te malis
  objecerit doloribus,
dic, ipse ut atrum sponte peteres Tartarum,
  Stilponis abdita haud valens
aperire dicta? Deprehensus es Κρόνος,
  Rho et Kappa demptis literis.

De hoc in Epigrammatibus ita Callimachus lusit :

. . . . . . Parietibus ipse
inscripsit Momus, quod Cronus est sapiens (*Diog.* II, 111, 112).

17. *Demetrius* Phalereus forma fuit tam eximia, ut a nonnullis Λαμπετὼ a nitore formæ, et Χαριτοβλέφαρος a palpebrarum decore et gratia appellaretur (v. *Diog.* V, 16).

18. *Demetrius* alter, cognomento Ixion dictus, quod deprehensus est in furto, quo bracteas aureas Alexandrinæ Junonis simulacro surripere conabatur.

19. *Didymus* Alexandrinus Chalcenterus (*ahenea intestina habens*) cognominatus est quod indefesso labore libris assideret : scripsisse supra ter mille et quingentos libros perhibetur.

20. *Draco* legislator in Æginam profectus, faustisque populi acclamationibus in theatro exceptus ob perlatas leges, multitudine petasorum, tunicarum et vestium in caput ipsius conjectarum suffocatus interiit.

21. *Democritus* variis modis studebat explorare animi

κτλ. uti ap. Hes. usque ad v. ἐποιήσατο. Ὁ δὲ καὶ τῇ λυρικῇ ἐπέθετο, τοῖς χρόνοις ὢν μετὰ (κατὰ Küster.) Πίνδαρον καὶ Βακχυλίδην, Μελανιππίδου δὲ πρεσβύτερος· ἤκμαζε τοίνυν οη' Ὀλυμπιάδι. Ἐπεκλήθη δὲ Ἄθεος διότι τοῦτο ἐδόξαζεν, ἀφ' οὗ τις ὁμότεχνος αἰτιαθεὶς ὑπ' αὐτοῦ ὡς δὴ παιᾶνα ἀφελόμενος (l. ὑφ. ex Hes.), ὃν αὐτὸς πεποιήκει, ἐξωμόσατο μὴ κεκλοφέναι τοῦτον, μικρὸν δὲ ὕστερον ἐπιδειξάμενος αὐτὸν εὐημέρησεν. Ἐντεῦθεν οὖν ὁ Διαγόρας λυπηθεὶς ἔγραψε τοὺς καλουμένους Ἀποπυργίζοντας λόγους, ἀναχώρησιν αὐτοῦ καὶ ἔκπτωσιν (ἔκπτυξιν conj. Hemsterh.) ἔχοντας τῆς περὶ τὸ θεῖον δόξης. Κατοικήσας δὲ Κόρινθον ὁ Διαγόρας, αὐτόθι τὸν βίον κατέστρεψεν.

§ 18. Suidas : Δημήτριος, ὁ ἐπίκλην Ἰξίων, γραμματικός, Ἀδραμυττηνός, γεγονὼς κατὰ τοὺς Αὐγούστου τοῦ Καίσαρος χρόνους· ὃς διέτριψεν ἐν Περγάμῳ. Ἐπεκλήθη δὲ τοῦτο, ὡς μέν τινες, διότι λεπίδας χρυσᾶς κλέπτων τοῦ ἐν Ἀλεξανδρείᾳ τῆς Ἥρας ἀγάλματος ἐφωράθη· ὡς δὲ ἄλλοι, ὅτι ἀπεσύλησεν Εὐριπίδειον Φιλότιμον τὸ δρᾶμα ἔχον τὸν Ἰξίονα· ἕτεροι δέ, ὅτι τῷ διδασκάλῳ Ἀριστάρχῳ ἀντήριστεν, ὥσπερ ὁ Ἰξίων εὐεργετήσασιν αὐτὸν τοῖς θεοῖς ἀχαριστεῖν ἐπεχείρησεν. Ἔγραψε δὲ πολλά, Περὶ τῶν εἰς μι ληγόντων ῥημάτων, καὶ ἄλλα Περὶ ἀντωνυμιῶν, Εἰς Ὅμηρον ἐξήγησιν, Εἰς Ἡσίοδον ὁμοίως. Cf. Diog. L. V, 84.

§ 19. Suidas : Δίδυμος, Διδύμου ταριχοπώλου, γραμματικὸς Ἀριστάρχειος, Ἀλεξανδρεύς, γεγονὼς ἐπὶ Ἀντωνίου καὶ Κικέρωνος, καὶ ἕως Αὐγούστου· Χαλκέντερος κληθεὶς διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν. Φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια καὶ πεντακόσια βιβλία.

§ 20. Suidas : Δράκων, Ἀθηναῖος νομοθέτης. Οὗτος εἰς Αἴγιναν etc. usque ad ἀπεπνίγη· καὶ ἐν αὐτῷ ἐτάφη τῷ θεάτρῳ. Γέγονε δὲ τοῖς χρόνοις κατὰ τοὺς ἑπτὰ σοφούς, ἢ μᾶλλον καὶ πρεσβύτερος. Τῇ γοῦν λθ' Ὀλυμπιάδι τοὺς νόμους ἔθετο γεραιὸς ὢν τοῖς Ἀθηναίοις. Ἔγραψεν Ὑποθήκας εἰς ἔπη τρισχίλια.

φαντασίας, ἐρημάζων ἐνίοτε καὶ τοῖς τάφοις ἐνδιατρίβων. Οὗτος νειμάμενος τὴν οὐσίαν τῷ ἀδελφῷ, καὶ τὴν ἐλάττω μοῖραν ἑλόμενος, τοῖς γυμνοσοφισταῖς συνέμιξε καὶ εἰς Ἰνδίαν ἀπῆρε καὶ Αἰθιοπίαν. Ἐλθὼν (ἀνελθὼν?) δὲ ταπεινότατα διῆγεν, ἅτε τὴν πᾶσαν οὐσίαν καταναλωκώς, ἐτρέφετό τε διὰ τὴν ἀπορίαν ὑπὸ τῆς ἀδελφῆς (l. τοῦ ἀδελφοῦ) Δαμάσου. Ὡς δὲ προειπών τινὰ τῶν μελλόντων ηὐδοκίμησεν, ἐνθέου δόξης παρὰ τοῖς πλείστοις ἠξιώθη. Ἐδόκει δὲ αὐτῷ, ἀρχὰς εἶναι τῶν ὅλων ἀτόμους, καὶ κενὸν, τὰ δ' ἄλλα πάντα νενομίσθαι (δοξάζεσθαι D.)· ἀπείρους τε εἶναι κόσμους, καὶ γεννητοὺς καὶ φθαρτοὺς, μηδέν τε ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, μηδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. Καὶ τὰς ἀτόμους ἀπείρους εἶναι κατὰ μέγεθος καὶ πλῆθος, φέρεσθαι δ' ἐν τῷ ὅλῳ δινουμένας· καὶ οὕτω πάντα τὰ συγκρίματα γεννᾶν πῦρ, ὕδωρ, ἀέρα, γῆν· εἶναι γὰρ καὶ ταῦτα ἐξ ἀτόμων τινῶν συστήματα, ἅπερ εἶναι ἀπαθῆ καὶ ἀναλλοίωτα διὰ τὴν στερρότητα. Τόν τε ἥλιον καὶ τὴν σελήνην ἐκ τοιούτων δι' ὧν (l. δινῶν Steph.; λείων Menag.) καὶ περιφερῶν ὄγκων συγκεκρίσθαι, καὶ τὴν ψυχὴν ὁμοίως, ἣν καὶ νοῦν ταὐτὸν εἶναι. Ὁρᾶν δ' ἡμᾶς κατ' εἰδώλων ἐμπτώσεις, πάντα τε κατ' ἀνάγκην γίνεσθαι, τῆς δίνης αἰτίας οὔσης τῆς γενέσεως πάντων, ἣν ἀνάγκην λέγει. Τέλος δ' εἶναι τὴν εὐθυμίαν, οὐ τὴν αὐτὴν οὖσαν τῇ ἡδονῇ, ὡς ἔνιοι παρακούσαντες ἐξεδέξαντο (ἐξηγήσαντο D.), ἀλλὰ καθ' ἣν γαληνῶς καὶ εὐσταθῶς ἡ ψυχὴ διάγει, ὑπὸ μηδενὸς ταραττομένη φόβου ἢ δεισιδαιμονίας, ἢ ἄλλου τινὸς πάθους. Καλεῖ δὲ αὐτὴν καὶ εὐεστὼ καὶ πολλοῖς ἄλλοις ὀνόμασι. Ποιητὰ δὲ νόμιμα εἶναι, φύσει δὲ ἄτομα καὶ κενά (l. κενόν ex D.).

22. Διογένης ὁ Ἀπολλωνιάτης ἔλεγε στοιχεῖον εἶναι ἀέρα, κόσμους ἀπείρους καὶ κενὸν ἄπειρον, τόν τε ἀέρα πυκνούμενον καὶ ἀραιούμενον γεννητικὸν εἶναι τῶν κόσμων. Οὐδὲν ἐκ τοῦ μὴ ὄντος γίνεσθαι, οὐδὲ εἰς τὸ μὴ ὂν φθείρεσθαι. Τὴν γῆν στρογγύλην, ἐρηρεισμένην ἐν τῷ μέσῳ τὴν σύστασιν εἰληφυῖαν κατὰ τὴν ἐκ τοῦ θερμοῦ περιφορὰν, καὶ πῆξιν ὑπὸ τοῦ ψυχροῦ.

E.

23. Ἐπιμενίδου τοῦ Κρητὸς λόγος, ὡς ἐξήρχετο ἡ ψυχὴ, ὅτε ἠβούλετο, καὶ ὁπόσον ἤθελε καιρὸν, καὶ πάλιν ἐπανήρχετο· τελευτήσαντος δὲ αὐτοῦ, τὸ δέρμα εὑρέθη γράμμασι κατάστικτον.

24. Ἑρμογένης ὁ ῥήτωρ τελευτήσας ἀνετμήθη,

imaginationes, solitarius vivens et in sepulcris degens (*D.* IX, 38). Hic in cernendo hæreditatem cum fratre minorem portionem delegit; qua instructus Indiam adiit et Æthiopiam, et Gymnosophistis se conjunxit (*D.* IX, 35). Inde regressus parcissime vixit, quippe qui rem suam omnem consumpserat, et egestatem subsidio Damasi fratris sustentavit. Ubi vero futura quædam prædixerat sequensque rerum eventus famam ei conciliaverat, divinis jam honoribus dignus a plerisque judicatus est (IX, 39). Sunt autem ejus placita hæc: Principia omnium esse atomos atque inane, cetera cuncta in opinione sita esse. Infinitos esse mundos, generationi et corruptioni obnoxios. Nihil ex eo quod non sit fieri, neque in id quod haudquaquam sit corrumpi. Atomos præterea et magnitudine et numero esse infinitas ferrique in toto ac rotari, atque ita concretiones omnes gignere, ignem, aquam, aerem, terram: quippe et hæc ex atomis quibusdam constare; esseque passioni et immutationi ob firmitatem ac soliditatem minime obnoxia. Solem item et lunam ex hujusmodi lævibus ac rotundis massis esse compositam, animamque similiter, quam idem esse quod mentem dicit. Cernere nos incidentibus in obtutus nostros rerum imaginibus. Cunctaque secundum necessitatem fieri, quum sit vertigo causa generationis omnium, quam necessitatem dicit. Finem vero esse rectum quietumque animi statum, quam εὐθυμίαν vocat, quæ non idem sit quod voluptas, ut quidam male intelligentes acceperunt, verum secundum quam animus magna tranquillitate constantiaque beatus est, dum nullo metu, nulla superstitione aut alia quavis perturbatione agitatur. Eandem vero et εὐεστώ appellat compluribusque aliis nominibus. Jus et fas ab hominibus factum, natura vero esse atomos atque inane (*Diog.* IX, 44. 45).

22. *Diogenes* Apolloniates dixit elementum esse aerem, mundos infinitos et inane infinitum: densatumque aerem ac rarescentem mundos gignere: nihil ex eo quod non sit fieri neque in id quod non sit corrumpi: terram esse rotundam atque in medio infixam, eamque cepisse compagem secundum illam quæ ex calido est circumferentiam, ex frigido concretionem ac soliditatem accepisse (*D.* IX, 57).

E.

23. *Epimenidis* Cretensis anima narratur corpore excessisse, quando et quamdiu ipse voluisset, et denuo reversa esse: mortui pellem literis notatam esse repertam fama est.

24. *Hermogenes* rhetor post obitum dissectus est, ejus-

§ 23. Suidas: Ἐπιμενίδης, Φαίστου ἢ Δοσιάδου ἢ Ἀγιασάρχου (Ἀγησάρχου em. Bernh.) υἱός, καὶ μητρὸς Βλάστας (Βλαίστης Eudoc.), Κρὴς ἀπὸ Κνωσσοῦ, ἐποποιός· οὗ λόγος ὡς ἐξίοι ἡ ψυχὴ ὁπόσον ἤθελε καιρόν, καὶ πάλιν εἰσῄει ἐν τῷ σώματι· τελευτήσαντος δὲ αὐτοῦ, πόρρω χρόνων (π. χρ. om. cod. V.) τὸ δέρμα εὑρῆσθαι γράμμασι κατάστικτον. Γέγονε δὲ ἐπὶ τῆς λ' Ὀλυμπιάδος, ὡς προτερεύειν καὶ τῶν ζ' κληθέντων σοφῶν, ἢ καὶ ἐπ' αὐτῶν γενέσθαι. Ἐκάθηρε γοῦν τὰς Ἀθήνας τοῦ Κυλωνείου ἄγους κατὰ τὴν μδ' (μς' Diog.) Ὀλυμπιάδα, γεραιὸς ὤν. Ἔγραψε δὲ πολλὰ ἐπικῶς καὶ καταλογάδην μυστήριά τινα καὶ καθαρμοὺς καὶ ἄλλα αἰνιγματώδη. Πρὸς τοῦτον γράφει Σόλων ὁ νομοθέτης, μεμφόμενος τῆς πόλεως κάθαρσιν. Οὗτος ἔζησεν ρν' (ρμ' cod. V.) ἔτη, τὰ δὲ ξ' (sic vv. dd. pro vg. ξζ) ἐκαθεύδησεν. Καὶ παροιμία Τὸ Ἐπιμενίδειον δέρμα ἐπὶ τῶν ἀποθέτων.

§ 24. Suidas: Ἑρμογένης, Ταρσεύς, ὁ ἐπίκλην Ξυστήρ, σοφιστής· οὗ ἤκουσε καὶ Μουσώνιος ὁ φιλόσοφος [καὶ Μάρκος ὁ βασιλεύς]. Γέγονε δὲ ἐπὶ Μάρκου τοῦ βασιλέως, εὐφυέστατος, καὶ τῆς ἡλικίας αὐτοῦ ἐνδεεστέρας ὑπαρχούσης μᾶλλον ἢ φρό-

καὶ εὑρέθη ἡ καρδία αὐτοῦ τετριχωμένη, καὶ τῷ μεγέθει πολὺ τῆς ἀνθρωπείας φύσεως ὑπερβάλλουσα.

25. Ἐρατοσθένης διὰ τὸ δευτερεύειν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίζων, Βῆτα ἐκλήθη.

26. Εὐριπίδης κατὰ τὴν ἡμέραν, ἣν ἐνίκων Ἕλληνες Πέρσας ἐν τῇ κατὰ Ξέρξου ναυμαχίᾳ, γεννᾶται, εὐτυχίαν προσημαίνων Ἀθηναίοις.

27. Εὐκλείδης ὁ Μεγαρικὸς μετὰ τὴν τοῦ Σωκράτους τελευτὴν Πλάτωνα καὶ τοὺς λοιποὺς φιλοσόφους ἐδέξατο, δείσαντας τὴν ὠμότητα τῶν τυράννων. Οὗτος ἓν τὸ ἀγαθὸν ἀπεφαίνετο πολλοῖς ὀνόμασι καλούμενον, ὁτὲ μὲν γὰρ φρόνησιν, ὁτὲ δὲ θεόν, καὶ ἄλλοτε νοῦν καὶ τὰ λοιπά. Τὰ δ' ἀντικείμενα τῷ ἀγαθῷ ἀνῄρει, φάσκων μὴ εἶναι. Ταῖς δὲ ὑποδείξεσιν ἐνίστατο, οὐ κατὰ λήμματα, ἀλλὰ κατ' ἐπιφοράν.

28. Ἐπίκουρόν τινες διαβάλλοντες φασὶ πρὸς Πυθοκλέα ὡραῖον ὄντα γράψαι αὐτόν· « Καθεδοῦμαι προσδοκῶν τὴν ἱμερτὴν καὶ ἰσόθεόν σου εἴσοδον. » Καὶ ἐν τῷ Περὶ τέλους οὕτω γράφειν· « Οὐ γὰρ ἔγωγε ἔχω τί νοήσω τἀγαθόν, ἀφαιρῶν μὲν τὰς δι' ἀφροδισίων, ἀφαιρῶν δὲ τὰς διὰ χυλῶν ἡδονάς, καὶ τὰς δι' ἀκροαμάτων [καὶ τὰς διὰ μορφῶν add. Diog.]. » Φασὶ καὶ περὶ Ναυσιφάνους τοῦ μαθητοῦ Πύρρωνος γράφειν αὐτόν· « Ταῦτα ἤγαγεν αὐτὸν εἰς ἔκστασιν τοιαύτην, ὥστε μοι λοιδορεῖσθαι, καὶ ἀποκαλεῖν διδάσκαλον. » Πνεύμονά τε αὐτὸν ἐκάλει, καὶ ἀγράμματον καὶ ἀπατεῶνα καὶ πόρνον. Τούς τε περὶ Πλάτωνα Διονυσοκόλακας, καὶ αὐτὸν Πλάτωνα χρυσοῦν, καὶ Ἀριστοτέλη ἄσωτον· φαγόντα γὰρ τὴν πατρῴαν οὐσίαν στρατεύεσθαι καὶ φαρμακοπωλεῖν· φορμοφόρον τε Πρωταγόραν, καὶ γραφέα Δημοκρίτου, καὶ ἐν κώμαις γράμματα διδάσκειν. Ἡράκλειτόν τε μιμητὴν (l. κυκητὴν ex D.), καὶ Δημόκριτον Ληρόκριτον, καὶ Ἀντίδωρον Σαινίδωρον, τούς τε Κυζικηνοὺς (Κυνικοὺς em. Reines.) ἐχθροὺς τῆς Ἑλλάδος, καὶ τοὺς διαλεκτικοὺς πολυφθονερούς, Πύρρωνά τε ἀμαθῆ καὶ ἀπαίδευτον. Χρύσιππος δὲ ἐζήλου αὐτὸν ἐν πολυγραφίᾳ· ὅθεν αὐτὸν Καρνεάδης παράσιτον τῶν ἐκείνου βιβλίων ἀποκαλεῖ· εἰ γάρ τι γράψαι ὁ Ἐπίκουρος, ἐφιλονείκει τοσοῦτον γράψαι ὁ Χρύσιππος, καὶ διὰ

que cor inventum pilis obsitum, multoque majus quam hominis natura patiatur.

25. *Eratosthenes* Beta cognominatus est, quod summis proximus, in omni disciplinæ genere secundas teneret.

26. *Euripides* diem, quo Græci Persas prœlio navali cum Xerxe commisso profligarunt, natalem habuit, Atheniensibus prosperam fortunam portendens.

25. *Euclides* Megarensis a Socratis nece Platonem et reliquam philosophorum turbam, qui tyrannorum crudelitatem metuebant, in domum suam receptavit. Hic bonum esse unum definivit multis nominibus appellatum: aliquando enim hoc dici prudentiam, quandoque deum, alias mentem vocari et hujusmodi cetera. Quæ bono adversa viderentur sustulit, ea ne esse quidem dicens. Utebatur probationibus, non his quæ per assumptiones, sed quæ per conclusiones fiunt (*Diog.* II, 106).

28. *Epicurum* qui probri insimulant, eum ad Pythoclem formosum adolescentem in hæc verba scripsisse referunt : *Amabilem tuum et divinum sedebo operiens ingressum* (D. X, 5) : item in libro De fine sic scripsisse : *Equidem ignoro, quid de summo bono statuam, si tollam voluptates, quas sapor ministrat, aut Veneris usus offert, aut quibus aures permulcentur* (X, 6). Ferunt eundem de Nausiphane Pyrrhonis discipulo scribere : *Hæc adduxerunt illum in tantam animi insolentiam, ut me maledictis sugillaret vocitaretque se magistrum meum.* Pulmonem quoque ipsum et indoctum et deceptorem et scortum vocabat; Platonis item sectatores Dionysii assentatores, Platonem quoque ipsum aureum; Aristotelem prodigum, qui patrimonio consumpto militasset et medicamenta vendidisset; bajulum Protagoram et scribam Democriti, qui in vicis literas docuisset; Heraclitum quoque turbatorem, Democritum Lerocritum (sive Nugatorem) et Antidorum Sænidorum (sive Donisblandientem); Cynicos inimicos Græciæ et dialecticos nimium invidos; Pyrrhonem quoque indoctum et imperitum appellabat (X, 8). Æmulatus est illum Chrysippus in librorum multitudine; quare eum Carneades parasitum illius librorum dicit : nam si quid Epicurus scriberet, tantundem

---

νησις ὑπερεῖχεν, ἀλλ' οὐκ εἰς μακρὸν ταύτης ἀπήλαυσε· γενόμενος γὰρ περὶ τὰ κδ' ἔτη ἐξέστη τῶν φρενῶν, καὶ ἦν ἀλλοῖος αὐτοῦ, μηδεμιᾶς ἀφορμῆς γενομένης ἢ ἀρρωστίας τοῦ σώματος· ὥστε καὶ τινας ἀποσκώπτειν εἰς τουτονὶ τὸν τρισάθλιον τόδε τὸ λόγιον· Ἑρμογένης ὁ ἐν παισὶ γέρων, ἐν δὲ γέρουσι παῖς. Πλὴν περὶ τὸν ιη' ἢ κ' χρόνον γενόμενος γράφει ταῦτα τὰ βιβλία τὰ γέμοντα θαυμάτων, Τέχνην ῥητορικήν, ἣν μετὰ χεῖρας ἔχουσιν ἅπαντες, Περὶ στάσεων βιβλίον ἕν, Περὶ ἰδεῶν λόγου βιβλία β', Περὶ Κοίλης Συρίας β'. Φιλόστρατος δὲ ὁ Λήμνιος ἐν ταῖς Περὶ τῶν σοφιστῶν ἀναγραφαῖς ταὐτά φησιν Περὶ αὐτοῦ· « Ἑρμογένης δὲ κτλ. (Vide Vit. Sophist. p. 575). » Λέγεται δὲ τοῦτο ὑπό τινων, ὅτι τελευτήσαντος αὐτοῦ ἀνετμήθη καὶ εὑρέθη ἡ καρδία αὐτοῦ τετριχωμένη, καὶ τῷ μεγέθει πολὺ τῆς ἀνθρωπείας φύσεως ὑπερβάλλουσα. Καὶ ταῦτα μὲν τὰ περὶ αὐτοῦ ᾀδόμενα.

§ 25. Suidas. Ἐρατοσθένης, Ἀγλαοῦ· οἱ δὲ Ἀμβροσίου· Κυρηναῖος, μαθητὴς φιλοσόφου Ἀρίστωνος Χίου, γραμματικοῦ δὲ Λυσανίου τοῦ Κυρηναίου καὶ Καλλιμάχου τοῦ ποιητοῦ. Μετεπέμφθη δὲ ἐξ Ἀθηνῶν ὑπὸ τοῦ τρίτου Πτολεμαίου, καὶ διέτριψε μέχρι τοῦ πέμπτου. Διὰ δὲ τὸ δευτερεύειν ἐν παντὶ εἴδει παιδείας τοῖς ἄκροις ἐγγίσαντα Βῆτα (τὰ βήματα codd.) ἐπεκλήθη. Οἱ δὲ καὶ δεύτερον ἢ νέον Πλάτωνα, ἄλλοι Πένταθλον ἐκάλεσαν. Ἐτέχθη δὲ ρκς' Ὀλυμπιάδι, καὶ ἐτελεύτησεν π' ἐτῶν γεγονώς, ἀποσχόμενος τροφῆς διὰ τὸ ἀμβλυώττειν, μαθητὴν ἐπίσημον καταλιπὼν Ἀριστοφάνην τὸν Βυζάντιον· οὗ πάλιν Ἀρίσταρχος. Μαθηταὶ δὲ αὐτοῦ Μνασέας καὶ Μένανδρος καὶ Ἄριστις. Ἔγραψε δὲ φιλόσοφα καὶ ποιήματα καὶ ἱστορίας, Ἀστρονομίαν ἢ Καταστερισμούς (Καταστηρίγμους codd.), Περὶ τῶν κατὰ φιλοσοφίαν αἱρέσεων, Περὶ ἀλυπίας, Διαλόγους πολλοὺς καὶ γραμματικὰ συχνά.

§ 26. Cf. præter ceteros Suidas v. Εὐριπίδης : Ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρός, καὶ ἐτέχθη καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. Quæ cum verbis Nostri minus quam in ceteris locis alia concinunt.

τοῦτο πολλάκις τὰ αὐτὰ γέγραφε καὶ τὸ ἐπελθὸν, καὶ ἀδιόρθωτα εἴασε τῷ ἐπείγεσθαι, καὶ τὰ μαρτύρια τοσαῦτά ἐστιν, ὡς ἐκείνων μόνον γέμειν τὰ βιβλία. Καὶ τοῦτόν φασι τὴν ἀρχὴν γραμματοδιδάσκαλον γεγενῆσθαι, ἔπειτα περιτυχόντα τοῖς Δημοκρίτου βιβλίοις ἐπὶ φιλοσοφίαν ἀΐξαι· διὸ καὶ Τίμων οὕτω λέγει περὶ αὐτοῦ·

Ὕστατος αὖ φυσικῶν καὶ κύντατος ἐκ Σάμου ἐλθὼν
γραμματοδιδασκαλίδης, ἀναγωγότατος ζωόντων.

Νοσήσας δὲ ιδ' ἡμέρας, εἰς πύελον ἐνέβη χαλκῆν κεκραμένην ὕδατι θερμῷ, καὶ αἰτήσας ἄκρατον ἐῤῥόφησε, τοῖς τε φίλοις παραγγείλας τῶν δογμάτων μεμνῆσθαι, ἐτελεύτησε. Καὶ ἔστιν εἰς αὐτὸν ἐπίγραμμα·

Χαίρετε καὶ μέμνησθε τὰ δόγματα, τοῦτ' Ἐπίκουρος
ὕστατον εἶπε φίλοις πρῶτος (οἷσιν D.) ἀποφθίμενος.
Χαλκῆν (l. θερμὴν ex D.) εἰς πύελον γὰρ ἐσήλυθε, καὶ τὸν [ἄκρατον
ἔσπασεν· εἶτ' Ἀΐδην ψυχρὸν ἐπεσπάσατο.

29. Ἐμπεδοκλῆς. Ἄκρωνος τοῦ ἰατροῦ τόπον αἰτοῦντος παρὰ τῆς βουλῆς Ἀκραγαντίνων εἰς κατασκευὴν πατρῴου μνήματος, διὰ τὴν ἐν τοῖς ἰατροῖς ἀκρότητα, παρελθὼν ὁ Ἐμπεδοκλῆς ἐκώλυσε, τά τε ἄλλα περὶ ἰσότητος διαλεχθεὶς, καὶ τοιοῦτόν τι ἐρωτήσας, « Τί δ' ἐπιγράψομεν ἐλεγεῖον; ἢ τοῦτο;

Ἄκρον ἰητρὸν Ἄκρων' Ἀκραγαντῖνον πατρὸς ἄκρου
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης »

Οὗτος ἀποστείλας τὴν νεκρὰν ἄνθρωπον ζῶσαν, καὶ δοξασθεὶς θυσίαν συνετέλει. Παρῆσαν δὲ καὶ τῶν φίλων τινές. Μετὰ δὲ τὴν εὐωχίαν, οἱ μὲν ἄλλοι χωρισθέντες ἀνεπαύσαντο, οἱ μὲν ὑπὸ τοῖς δένδρεσιν, ὡς ἀγροῦ παρακειμένου, οἱ δ' ὅπῃ βούλοιντο· αὐτὸς δὲ ἔμεινεν ἐπὶ τοῦ τόπου, ἐφ' οὗπερ κατεκέκλιτο. Ὡς δ' ἡμέρας γενηθείσης ἐξανέστησαν, οὐχ εὑρέθη μόνος. Ζητουμένου δὲ καὶ τῶν οἰκετῶν ἀνακρινομένων, καὶ φασκόντων μὴ εἰδέναι, εἷς τις ἔφη μέσων νυκτῶν φωνῆς ὑπερμεγέθους ἀκοῦσαι προσκαλουμένης Ἐμπεδοκλέα, εἶτα ἐξαναστάντα ἑωρακέναι φῶς οὐράνιον, ἄλλο δὲ μηδέν. Τῶν δὲ ἐκπλαγέντων ἐνομίσθη δεῖν θύειν αὐτῷ καθάπερ θεῷ. Τὴν ἄπνουν φασὶ τοιοῦτόν τι εἶναι, ὡς τριάκοντα ἡμερῶν τηρεῖν ἄπνουν τὸ σῶμα καὶ ἄσιτον (l. ἄσφυκτον). Οὗτος ὁ Ἐμπεδοκλῆς πολλὰς τῶν πολιτίδων ἀπροίκους οὔσας ἐπροίκισε διὰ τὸν παρόντα πλοῦτον· διὸ καὶ πορφύραν ἀνέλαβε καὶ στρόφιον ἐπέθετο χρυσοῦν, ἔτι τε ἐμβάδας χαλκᾶς καὶ στέμμα Δελφικόν. Κόμη τε ἦν αὐτῷ βαθεῖα. Καὶ παῖδες ἀκόλουθοι, καὶ αὐτὸς ἀεὶ σκυθρωπὸς ἐφ' ἑνὸς σχήματος ἦν. Τοιοῦτος δὴ προῄει, τῶν πολιτῶν ἐντυχόντων καὶ τοῦτο ἀξιωσάντων οἱονεὶ βασιλείας τινὸς παράσημον. Ὕστερον δὲ διά τινα πανήγυριν πορευόμενος ἐφ' ἁμάξης ὡς εἰς Μεσσήνην, ἔπεσε, καὶ τὸν μηρὸν ἐκλάσθη, καὶ νοσήσας ἐκ τούτου ἐτελεύτησεν, ὥς φησι Νεάνθης ὁ Κυζικηνός.

scribere et Chrysippus contendebat. Atque ideo et sæpius eadem scriptis prodidit et quicquid in mentem veniret atque inemendata reliquit propter festinationem, totque testimonia inserit, ut iis solis libri pleni esse videantur (X, 26). Initio literarum elementa docuisse memoratur, postea nactum Democriti scripta, curriculo ad philosophiam transisse : unde Timon sic de illo :

Ultimus ex physicis et pessimu', cui Samus altrix,
grammaticæ doctor, hominumque rudissimu' longe (X, 3).

Quum quattuordecim dies æger decubuisset, labrum æneum calda infusa temperatum ingressus, meri poculum poposcit, hausitque, et præsentibus amicis mandans, ut traditorum dogmatum memores essent, vitam finivit. Exstatque hoc in eum epigramma :

Hoc moriens caris Epicurus dixit amicis :
Dogmatis o memores usque valete mei!
Nam calidam ingressus pelvim prædulce meracum
hausit, deinde subit algida regna Stygis (X, 16).

29. *Empedocles.* Acrone (*quasi dicas* Summone) medico locum sibi ad construendum paternum monumentum a senatu postulante, quod inter medicos arte præcipue excelleret, in medium surrexit Empedocles et fieri prohibuit, atque inter cetera quæ de æqualitate disseruit, ita illum rogare cœpit : « Cujusmodi inscribemus elegos? num hos?

Summonem summum summi patris ex Acragante
hic summus summæ collis habet patriæ (*D.* VIII, 65). »

Iste quum in opinionem hominum irrepsisset ob restitutam vitæ mortuam mulierem, sacrificium fecit. Aderant etiam ex amicis nonnulli. Peracto deinde convivio, ceteri quidem loco paululum digressi, alii sub arboribus (adjacebat ager) se ad quiescendum composuerunt, alii quocumque visum est in loco quieverunt, ipse ubi accubuerat permansit. Mane autem facto e somno excitis ceteris solus ipse repertus non est. Facta autem diligenti inquisitione e servis qui rogabantur negabantque se scire, unus affuit qui diceret se nocte media ingentem exaudisse vocem Empedoclem vocantem, tum vero ubi surrexisset, cœlestem vidisse lucem, nihil aliud. Attonitis rei miraculo omnibus, placuit illi ut deo rem divinam fieri oportere (*D.* VIII, 67). Porro quod de exanimi muliere fertur miraculum, ejusmodi esse perhibent, ut illa triginta diebus absque spiritu pulsusque motu corpus integrum conservaverit (VIII, 61). Empedocles multas puellas populares suas indotatas ex privatis opibus dote locupletavit : propterea etiam purpuram sumpsit et aureo strophio usus fuit, ac crepidas æreas induit, et vittam Delphicam. Capillus illi erat promissus; pueros alebat asseclas, ipse severitatis semper plenus in uno eodemque tenore perseverabat; sic in publicum prodibat, civibus ipsi occursantibus, atque admirantibus hoc tanquam imperii cujusdam insigne. Postremo ad festum solenne dum curru invectus Messanam petit, prolapsus crus perfregit, unde contracto morbo decessit, ut Neanthes Cyzicenus literis consignavit (VIII, 73).

Z.

30. Ζήνωνα τὸν Κιττιέα ἐθαύμαζεν Ἀντίγονος ὁ βασιλεύς· ἐρωτηθεὶς δὲ, διὰ τί θαυμάζει αὐτὸν, « Ὅτι, ἔφη, πολλῶν καὶ μεγάλων δεδομένων αὐτῷ ὑπ' ἐμοῦ οὐδέποτε ἐχαυνώθη οὐδὲ ταπεινὸς ὤφθη. » Οὗτος πρὸς τὸν καλὸν εἰπόντα, ὅτι οὐ δοκεῖ [αὐτῷ] ἐρασθήσεσθαι ὁ σοφὸς, « Οὐδὲν ἀθλιώτερον, ἔφη, ὑμῶν ἔσται τῶν καλῶν, εἰ μὴ ἡμεῖς ἐρασθησόμεθα. » Τούτου λέγοντος, ὡς οὐ λυπηθήσεται ὁ σοφὸς, διάπειραν βουληθεὶς λαβεῖν ὁ βασιλεὺς Ἀντίγονος, ἐποίησεν αὐτῷ πλαστῶς ἀγγελῆναι, ὡς εἴη τὰ χωρία αὐτοῦ πρὸς τῶν πολεμίων ἀφῃρημένα, καὶ ἡ γυνὴ καὶ οἱ παῖδες· τοῦ δὲ σκυθρωπάσαντος, « Ὁρᾷς, ἔφη, ὅτι οὐκ ἔστιν ὁ πλοῦτος ἀδιάφορον. »

31. Ζήνων ὁ Ἐλεάτης ἔλεγε κόσμον εἶναι, κενόν τε μὴ εἶναι· γεγενῆσθαι δὲ τὴν τῶν ὅλων φύσιν ἐκ θερμοῦ καὶ ψυχροῦ καὶ ὑγροῦ καὶ ξηροῦ, λαμβανόντων αὐτῶν εἰς ἄλληλα τὴν μεταβολήν· γένεσίν τε ἀνθρώπων ἐκ γῆς εἶναι, καὶ ψυχὴν κρᾶμα ὑπάρχειν ἐκ τῶν προειρημένων, κατὰ μηδενὸς τούτων ἐπικράτησιν. Τοῦτόν φασι λοιδορούμενον ἀγανακτῆσαι, αἰτιασαμένου δέ τινος φάναι· « Εἰ μὴ λοιδορούμενος προσποιοῦμαι, οὐδὲ ἐπαινούμενος ἡσθήσομαι. »

H.

32. Ἡράκλειτος ὑδέρῳ περιπεσὼν ἔλεγε τοῖς ἰατροῖς, εἴ τις δύναιτο ἔντερα ταπεινῶσαι, ὑγρόν τ' ἐξεράσαι· ἀπειπόντων δὲ, ἔθηκεν ἑαυτὸν εἰς τὸν ἥλιον, καὶ ἐκέλευσε τοὺς παῖδας βολβίτοις καταπλάττειν. Οὕτω δὴ κατατεινόμενος, μὴ δυνηθεὶς ἀποσπάσαι τὰ βόλβιτα, ἔμεινε καὶ διὰ τὴν μεταβολὴν ἀγνοηθεὶς κυνόβρωτος γέγονεν. Οὗτος οὐδενὸς ἤκουσεν, ἀλλ' αὐτὸς ἔφη διζήσασθαι καὶ μαθεῖν πάντα παρ' ἑαυτοῦ. Ἔστι δὲ εἰς αὐτὸν ἐπίγραμμα·

Πολλάκις Ἡράκλειτον ἐθαύμασα, πῶς ποτε τὸ ζῆν
  ὧδε διαντλήσας δύσμορος εἶτ' ἔθανε.
Σῶμα γὰρ ἀρδεύσασα κακὴ νόσος ὕδατι φέγγος
  ἔσβεσεν ἐν βλεφάροις καὶ σκότον ἠγάγετο.

Οὗτος τὴν οἴησιν ἱερὰν νόσον ἔλεγε, καὶ τὴν ὅρασιν ψεύδεσθαι, πῦρ εἶναι στοιχεῖον, καὶ πυρὸς ἀμοιβὴν τὰ πάντα ἀραιώσει καὶ πυκνώσει γινόμενα. Σαφῶς δὲ οὐδὲν ἐκτίθεται. Γίνεσθαί τε πάντα κατ' ἐναντιότητα, καὶ ῥεῖν τὰ ὅλα ποταμοῦ δίκην. Πεπεράνθαι τε τὸ πᾶν, καὶ εἶναι κόσμον ἕνα· γεννᾶσθαί τε αὐτὸν ἐκ πυρὸς, καὶ πάλιν ἐκπυροῦσθαι κατά τινας περιόδους ἐναλλὰξ τὸν σύμπαντα αἰῶνα, καὶ τοῦτο γίνεσθαι καθ' εἱμαρμένην· τῶν δὲ ἐναντίων τὸ μὲν ἐπὶ τὴν γένεσιν ἄγον καλεῖσθαι πόλεμον καὶ ἔριν· τὸ δὲ ἐπὶ τὴν ἐκπύρωσιν, ὁμολογίαν καὶ εἰρήνην. Καὶ τὴν μεταβολὴν, ὁδὸν ἄνω κάτω· τόν τε κόσμον γίνεσθαι κατ' αὐτήν· πυκνούμενον γὰρ τὸ πῦρ ἐξυγραίνεσθαι, συνιστάμενόν τε γίνεσθαι ὕδωρ, πηγνύμενον δὲ τὸ ὕδωρ εἰς γῆν τρέπεσθαι, καὶ ταύ-

Z.

30. *Zenonem Citiensem* admirabatur Antigonus rex, qui, interrogatus cur tantopere illum in honore haberet, « Quod, inquit, quum illi a me multa et magna data sint, nunquam neque elatior factus est neque humilis apparuit (*Diog.* VII, 15). » Cuidam formoso dicenti, sibi non videri amaturum sapientem, « Nihil, ait, vobis formosis esset infelicius, nisi nos in amore essemus (VII, 21). » Hic dicere solebat, in sapientem non cadere mœrorem : cujus dicti constantiam periclitari volens rex Antigonus subornavit qui falso illi nuntiaret agros ipsius ab hostibus direptos, uxorem cum liberis abductam : quem quum rex vultu dejecto mœstum animadvertisset, « Vides', inquit, divitias non esse ex his rebus, quibus neutram in partem moveri debeamus » (VII, 36)!

31. *Zeno Eleates* dicebat, mundum esse, vacuum non esse, universi naturam conflatam esse e calido, frigido, humido et sicco, mutuas operas inter se mutando tradentibus : homines e terra ortum ducere : animam esse miscellam, e prædictis concinnatam, nullo omnium prævalente, aut exsuperante. Aiunt convicio verberatum ira exarsisse : quod quum alius illi vitio vertisset, respondisse : « Si contumelia vexatus id dissimulavero, ne tum quidem, quum laudabor, voluptatem capiam. »

H.

32. *Heraclitus* aqua intercute correptus medicos rogavit, num quis intestina comprimere et humorem exinanire posset : illis infitiantibus, soli ferventi se exposuit, jussis pueris ut se limo bubulo oblinerent : eo pacto expassus porrectusque quum fimum duratum deripere non valeret, permansit, ignoratusque ob insignem mutationem, a canibus laniatus est (*Diog.* IX, 4). Nullius auditor exstitit, seque suo Marte investigasse didicisseque omnia professus est. Exstat in eum tale epigramma :

Mecum Heraclitum mirabar sæpe quod olim
  sic vitam infelix hausit et inde obiit.
Nam malus ossa rigans et aquosus corpora languor,
  exstincto invexit lumine mox tenebras (*D.* IX. 4).

Iste arrogantiam sacrum morbum nominabat : visum dicebat fallacem esse ; ignem elementum esse ignisque vicissitudine constare omnia, tum raritate tum densitate genita. Aperte vero nihil explicat. Fierique omnia per contrarietatem et fluminis in modum omnia fluere. Finitumque esse hoc universum et unum esse mundum : eumque ex igne nasci et rursus per quosdam ambitus conflagrare, idque per vices in perpetuum : id autem fato fieri. Ex his vero quæ contraria sunt id quidem quod ad generationem adducat vocari bellum et contentionem ; quod autem ad conflagrationem, concordiam et pacem. Mutationem quoque viam esse sursum deorsumque ducentem, secundum quam fieri mundum. Densatum quippe ignem liquescere coactumque aquam fieri, concretam vero aquam in humum verti : et

τὴν ὁδὸν εἶναι ἐπὶ τὸ κάτω. Πάλιν τε αὐτὴν τὴν γῆν χεῖσθαι, ἐξ ἧς τὸ ὕδωρ γίνεσθαι, ἐκ δὲ τούτου τὰ λοιπά, σχεδὸν πάντα ἐπὶ τὴν ἀναθυμίασιν ἀνάγων τὴν ἀπὸ τῆς θαλάσσης. Αὕτη δέ ἐστιν ἡ ἐπὶ τὸ ἄνω ὁδός. Γίνεσθαι δὲ ἀναθυμιάσεις ἀπό τε γῆς καὶ θαλάσσης, ἃς μὲν λαμπρὰς καὶ καθαράς, ἃς δὲ σκοτεινάς. Αὔξεσθαι δὲ τὸ μὲν πῦρ ἀπὸ τῶν λαμπρῶν, τὸ δὲ ὑγρὸν ἀπὸ τῶν ἑτέρων. Τὸ δὲ περιέχον ὁποῖόν ἐστιν, οὐ δηλοῖ· εἶναι μέντοι ἐν αὐτῷ σκάφας ἐπεστραμμένας κατὰ κοῖλον πρὸς ἡμᾶς, ἐν αἷς ἀθροιζομένας τὰς λαμπρὰς ἀναθυμιάσεις ἀποτελεῖν φλόγας, ἃς εἶναι τὰ ἄστρα. Λαμπροτάτην δὲ εἶναι τὴν τοῦ ἡλίου φλόγα καὶ θερμοτάτην. Τὰ μὲν γὰρ ἄλλα ἄστρα πλέον ἀπέχειν ἀπὸ τῆς γῆς καὶ διὰ τοῦτο ἧττον λάμπειν καὶ θάλπειν. Τὴν δὲ σελήνην προσγειοτέραν οὖσαν μὴ διὰ τοῦ καθαροῦ φέρεσθαι τόπου. Τὸν μέντοι ἥλιον ἐν διαυγεῖ καὶ ἀμιγεῖ κεῖσθαι, καὶ σύμμετρον ἀφ' ἡμῶν ἔχειν διάστημα· τοιγάρτοι μᾶλλον θερμαίνειν τε καὶ φωτίζειν. Ἐκλείπειν τε καὶ ἥλιον καὶ σελήνην ἄνω στρεφομένων τῶν σκαφῶν. Τούς τε κατὰ μῆνα τῆς σελήνης σχηματισμοὺς γίνεσθαι στρεφομένης ἐν αὐτῇ κατὰ μικρὸν τῆς σκάφης. Ἡμέραν τε καὶ νύκτα γίνεσθαι καὶ μῆνας καὶ ὥρας ἐτείους καὶ ἐνιαυτοὺς ὑετούς τε καὶ πνεύματα καὶ τὰ τούτοις ὅμοια κατὰ τὰς διαφόρους ἀναθυμιάσεις. Τὴν μὲν γὰρ λαμπρὰν ἀναθυμίασιν φλογωθεῖσαν ἐν τῷ κύκλῳ τοῦ ἡλίου, ἡμέραν, τὴν δὲ ἐναντίαν ἐπικρατήσασαν, νύκτα ἀποτελεῖν. Καὶ ἐκ μὲν τοῦ λαμπροῦ τὸ θερμὸν αὐξανόμενον, θέρος ποιεῖν, ἐκ δὲ τοῦ σκοτεινοῦ τὸ ὑγρὸν πλεονάσαν χειμῶνα ἀπεργάζεσθαι. Περὶ δὲ τῆς γῆς οὐδὲν ἀποφαίνεται ὁποία ἐστί. Φέρονται δὲ εἰς αὐτὸν ἐπιγράμματα τάδε·

Ἡράκλειτος ἐγώ· τί μ' ἄνω κάτω ἕλκετ' ἄμουσοι;
οὐχ ὑμῖν ἐπόνουν, τοῖς δ' ἔμ' ἐπισταμένοις.
Εἷς ἐμοὶ ἄνθρωπος τρισμύριοι, οἱ δ' ἀνάριθμοι
οὐδείς. Ταῦτ' αὐδῶ καὶ παρὰ Φερσεφόνῃ.

Αλλο·

Μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλεε βίβλον
τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός·
ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

Λαμπρὸς δὲ [ἐνιότε] ἐν τοῖς συγγράμμασι καὶ σαφής, ὥστε καὶ τὸν νωθέστατον ῥᾳδίως γνῶναι, καὶ δίαρμα ψυχῆς λαβεῖν· ἥ τε βραχύτης καὶ τὸ βάρος τῆς ἑρμηνείας ἀσύγκριτον.

Θ.

33. Θεόδωρος ὁ κληθεὶς ἄθεος, εἶτα θεός, παντάπασιν ἀνῄρει τὰς περὶ θεῶν δόξας. Τέλος δὲ ὑπελάμβανε χαρὰν καὶ λύπην, τὴν μὲν ἐπὶ φρονήσει, τὴν δὲ ἐπὶ ἀφροσύνῃ· ἀγαθὰ δὲ φρόνησιν καὶ δικαιοσύνην, κακὰ δὲ τὰς ἐναντίας ἕξεις· μέσα δὲ ἡδονὴν καὶ πόνον. Ἀνῄρει δὲ καὶ φιλίαν, διὰ τὸ μήτε ἐν ἄφροσιν αὐτὴν εἶναι, μήτε ἐν σοφοῖς. Τοῖς μὲν γὰρ τῆς χρείας ἀναιρεθείσης καὶ τὴν φιλίαν ἐκποδὼν εἶναι· τοὺς δὲ σοφοὺς αὐτάρκεις ὑπάρχοντας μὴ δεῖσθαι φίλων. Ἔλεγε δὲ καὶ εὔ-

hanc esse deorsum ducentem. Humum ipsam denuo liquescere atque ex ea fieri aquam, ex hac autem reliqua : ferme omnia enim ad evaporationem eam refert quæ ex mari fit. Hæc autem sursum ducens via est. Porro evaporationes ex terra fieri et mari, alias quidem lucidas et liquidas, alias vero occultas. A lucidis ignem, a reliquis humorem incrementa capere. Aerem vero cujusmodi sit non significat : esse tamen scaphas per concavum ad nos conversas, in quibus convenientes evaporationes lucidas efficere flammas, quæ sint sidera. Esse autem lucidissimam calidissimamque solis flammam : namque astra cetera a terra remotiora esse atque ideo minus lucere minusque calefacere; lunam, quæ terræ vicinior sit, non per liquidum locum deferri. Solem in suo splendore nulli admixtioni obnoxium durare, et modico a nobis intervallo distare : ex eo igitur magis calefacere atque illustrare. Deficere item solem ac lunam quum scaphæ ad superiora vertantur : menstruasque figuras lunæ fieri, dum ejus sensim vertitur scapha. Diem item ac noctem et menses et tempestates et annos, pluvias et ventos et his similia secundum evaporationes varias fieri. Nam lucidam evaporationem in solis circulo inflammatam diem facere; contrariam vero, ubi obtinuerit, efficere noctem : item ex lumine calorem auctum æstatem efficere; ex tenebris humorem abundantem hiemem operari. De terra cujusmodi sit nihil enuntiat (*Diog.* IX, 8-11). Exstant in eum hæc epigrammata (IX, 16) :

Heraclitus ego : quid me vexatis inepti?
Non vos, sed doctos tam grave quærit opus.
Unus homo est nobis ter mille, sed innumerati
nemo. Vel in Stygiis hæc ego dico locis.

Aliud hocce :

Noli Heraclitum rapido percurrere cursu :
est via difficilis, luce papyrus eget.
At si doctus in hæc te duxerit atria vates,
cuncta videbuntur lucidiora die.

Clare interdum et aperte in suo opere loquitur, ut vel tardissimo cuique facilis sit ad intelligendum idemque animi quandam elationem sentiat : concinnitas quoque stili et gravitas incomparabilis est (IX, 7).

TH.

33. *Theodorus* cognomento dictus ἄθεος (*impius*), postea θεός, opiniones de diis penitus sustulit. Finem bonorum et malorum putabat esse gaudium et mœrorem : alterum constare prudentia, alterum stultitia. Bona esse prudentiam atque justitiam; mala vero contrarios habitus; media voluptatem et dolorem. Sustulit et amicitiam, quod ea neque insipientibus adsit neque sapientibus. In illis enim sublato usu amicitiam quoque evanescere : sapientes vero quum

λογον εἶναι τὸν σπουδαῖον [μὴ] ἐξαγαγεῖν ὑπὲρ τῆς πατρίδος ἑαυτὸν, οὐ γὰρ ἀποβάλλειν τὴν φρόνησιν ἕνεκα τῆς τῶν ἀφρόνων ὠφελείας· εἶναί τε πατρίδα τὸν κόσμον. Καὶ κλέψειν τε καὶ μοιχεύσειν καὶ ἱεροσυλήσειν ἐν καιρῷ· μηδὲν γὰρ τούτων φύσει αἰσχρὸν εἶναι, τῆς ἐπ' αὐτοῖς δόξης αἱρομένης, ἣ σύγκειται ἕνεκα τῆς τῶν ἀφρόνων συνοχῆς. Οὗτος ἐκινδύνευσέ ποτε εἰς Ἄρειον πάγον ἀχθῆναι, εἰ μὴ Δημήτριος ὁ Φαληρεὺς αὐτὸν ἐρρύσατο· οἱ δέ φασι καὶ κώνειον αὐτὸν πιεῖν καταδικασθέντα.

34. Θεόδωρος ἄλλος, Σάμιος, συνεβούλευσεν ἄνθρακας ὑποτεθῆναι τοῖς θεμελίοις τοῦ ἐν Ἐφέσῳ ναοῦ. Καθύγρου γὰρ ὄντος, ἔφη, τοῦ τόπου, τοὺς ἄνθρακας τὸ ξυλῶδες ἀποβαλόντας, αὐτὸ τὸ στερεὸν ἀπαθὲς ἔχειν ὕδατι.

35. Θεόφραστος. Λέγεται εἰς τὴν Θεοφράστου διατριβὴν φοιτᾶν μαθητὰς πρὸς δισχιλίους.

I.

36. Ἵππασος ὁ Μεταποντῖνος ἔλεγε, χρόνον ὡρισμένον εἶναι τῆς τοῦ κόσμου μεταβολῆς, καὶ πεπερασμένον εἶναι τὸ πᾶν καὶ ἀεικίνητον.

K.

37. Καρνεάδου Λίβυος φιλοσόφου τελευτήσαντος, ἡ σελήνη ἐξέλιπε καὶ ὁ ἥλιος ἀμυδρὸς ἐγένετο.

38. Κράτης καὶ Πολέμων οὕτως ἐφιλείτην ἀλλήλω, ὥστε καὶ ζῶντε οὐ μόνον τῶν αὐτῶν ἤστην ἐπιτηδευμάτων, ἀλλὰ καὶ μέχρι σχεδὸν ἀναπνοῆς ἐξωμοιώσθην ἀλλήλοιν, καὶ θανόντε τῆς αὐτῆς ταφῆς κοινωνείτην. Ἔνθεν καὶ Ἀρκεσίλαος μετελθὼν παρὰ Θεοφράστου πρὸς αὐτοὺς, ἔλεγεν, ὡς εἶεν θεοί τινες ἢ λείψανα τῶν ἐκ τοῦ χρυσοῦ γένους. Καὶ γὰρ ἤστην οὐ φιλοδημώδεε, ἀλλ' οἷον Διονυσόδωρόν ποτε τὸν αὐλητὴν φασιν εἰπεῖν, σεμνυνόμενον ἐπὶ τῷ μηδὲν τῶν κρουμάτων αὐτοῦ μήτ' ἐπὶ τριήρους μήτ' ἐπὶ κρήνης ἀκηκοέναι, καθάπερ Ἰσμηνίου.

39. Κράντωρ ὁ Σολεὺς ἐθαύμαζεν Ὅμηρον καὶ Εὐριπίδην, λέγων ἐργῶδες [εἶναι ἐν τῷ κυρίῳ] τραγικῶς καὶ συμπαθῶς γράψαι, καὶ προεφέρετο τὸν στίχον τὸν ἐκ τοῦ Βελλεροφόντου·

Οἴμοι. — Τί δ' οἴμοι; θνητά τοι πεπόνθαμεν.

Ἦν δὲ δεινὸς ὀνοματοποιῆσαι· ποιητοῦ γοῦν τινος σκίφης μεστοὺς εἶναι τοὺς στίχους εἶπε, καὶ τὰς Θεοφράστου θέσεις ὀστρέῳ γεγράφθαι.

40. Κλεάνθης ὁ μαθητὴς Κράτητος τοσοῦτον γέγονε φιλόπονος, ὡς καὶ δεύτερος Ἡρακλῆς προσαγορευθῆναι· μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθοῦ, μεθ' ἡμέραν δὲ τοῖς μαθήμασιν ἐσχόλαζεν, ὅθεν ἐπωνομάσθη Φρεάντλης. Οὗτος τὸ ἀπὸ τοῦ κόπου αὐτοῦ συναχθὲν κέρμα εἰς μέσον ποτὲ ἀγα-

sibi ipsis sufficiant, amicis non indigere. Rationi convenire dicebat prudentem virum non se ipsum pro patria morti objicere: neque enim pro insipientium commodis amittendam esse prudentiam. Esseque patriam mundum. Furto quoque et adulterio et sacrilegio, quum tempestivum erit, usurum sapientem. Nihil quippe horum turpe natura esse, si tollatur vulgaris de iis opinio, quæ ad compescendos stolidos constitit (*D.* II, 86, 97 sq.). Iste aliquando periculum adiit, ut in Areopagum pertraheretur, nisi Demetrius Phalereus eum discrimini exemisset. Sunt qui dicant, illum etiam cicutam hausisse judicio condemnatum (*D.* II, 101).

34. *Theodorus* alter Samius consuluit, ut templi Ephesini fundamentis carbones substernerentur, quod loco uliginoso carbones lignea exuti natura soliditatem acciperent aquis inexpugnabilem (*D.* II, 104).

35. *Theophrastus*. Hujus ludum frequentasse ad bis mille auditores dicuntur (*D.* V, 37).

HI.

36. *Hippasus* Metapontinus dicebat, statum esse interitus mundi tempus, ipsumque universum certis finitum esse terminis, motuque sempiterno cieri (*D.* VIII, 84).

C.

37. *Carneade* Libyco philosopho e vita discedente, luna defecit et sol tenebris obscuratus est (*D.* IV, 64. *Suidas s. v.*).

38. *Crates* Atheniensis et Polemon ita mutuo se invicem amore complexi sunt, ut vivi non iisdem modo studiis dediti essent, verum etiam usque ad extremum pæne spiritum inter se mores conformarent, ac mortui communi sepulcro tumularentur. Unde et Arcesilas a Theophrasto ad eos divertens dicere solebat, illos esse deos quospiam et aurei seculi reliquias: neque enim vulgi applausum quærebant, sed Dionysodori tibicinis similes erant, quem gloriatum accepimus, quod suos modos ad lyram pulsos nemo unquam inaudisset in triremi aut apud fontem, quemadmodum Ismeniæ Thebani (*Diog.* IV, 21. 22).

39. *Crantor* Solensis admiratione Homeri atque Euripidis tenebatur, dicens arduum esse servata communis sermonis lege tragice scribere et affectus movere, proferebatque versiculum hunc ex Bellerophonte:

Eheu! — Quid eheu? humana nos passi sumus.

In fingendis vocabulis mire felix erat; itaque poetæ cujusdam versus blattis refertos esse dixit, et Theophrasti quæstiones testa fuisse exaratas (*D.* IV, 26).

40. *Cleanthes*, Cratetis discipulus, ita ad labores impiger fuit, ut Hercules alter nominaretur: nam quum deesset illi unde victum quæreret, nocturno tempore hauriebat e puteo aquam mercede, interdiu disciplinis gravioribus vacabat; unde pro Cleanthe Phreantles seu puteorum exantlator cognominatus est. Iste, prolata in medium familia-

§ 40. De Cratete Cleanthis magistro nihil habet Laertius. Suidas vero: Κλεάνθης,... μαθητὴς Κράτητος, εἶτα Ζήνωνος. Quæ ex Hesychii Onomatologo petita sunt. V. reliqua ap. Suidam.

γὼν τῶν γνωρίμων, ἔφη· « Κλεάνθης μὲν καὶ ἄλλον Κλεάνθην δύναιτ' ἂν τρέφειν, εἰ βούλοιτο· οἱ δὲ ἔχοντες ὅθεν τρέφονται, παρ' ἑτέρων ἐπιζητοῦσι τὰ ἐπιτήδεια, καίπερ ἀνειμένως φιλοσοφοῦντες. » Εἰπόντος τινὸς, Ἀρκεσίλαον μὴ ποιεῖν τὰ δέοντα, « Παῦσαι, ἔφη, καὶ μὴ ψέγε, εἰ γὰρ καὶ λόγῳ τὸ καθῆκον ἀναιρεῖ, τοῖς γοῦν ἔργοις αὐτὸ τιθεῖ. » Καὶ ὁ Ἀρκεσίλαος, « Οὐ κολακεύομαι, » φησί· πρὸς ὃν Κλεάνθης, « Ναί [σε] κολακεύω, φησὶ, φάμενος ἄλλα μὲν λέγειν, ἕτερα δὲ ποιεῖν. » Ἐρωτῶντός τινος, τί ὑποθήσεται τῷ υἱῷ, ἔφη· « Τὸ τῆς Ἠλέκτρας,

Σίγα, σίγα, λευκὸν (l. λεπτὸν) ἴχνος... »

Σωσίθεον τὸν ποιητὴν ὑβρίσαντα αὐτὸν, καὶ μετανοήσαντα προσήκατο, εἰπὼν ἄτοπον εἶναι, τὸν μὲν Διόνυσον καὶ τὸν Ἡρακλέα φλυαρουμένους ὑπὸ τῶν ποιητῶν μὴ ὀργίζεσθαι, αὐτὸν δ' ἐπὶ τῇ τυχούσῃ βλασφημίᾳ δυσχεραίνειν.

rium cœtum pecunia, quam labore coegerat, « Cleanthes, inquit, si velit, etiam alteri Cleanthi victum ministrare queat, quum hi, quibus abunde est unde alantur, ab aliis adversus vitæ necessaria expetant, quamvis remisse philosophantes. » Quum quidam dixisset, Arcesilaum ab officio discedere, respondit : « Desine maledicere : etsi namque contra officium loquitur, re tamen ipsa illud stabilit. » Tum Arcesilas : « Adulationem, inquit, non recipio. » Subjecit Cleanthes : « Scilicet adulor tibi, qui aliud loqui te, aliud præstare dixi. » Interroganti cuidam, quid potissimum filio inculcaret atque præciperet, illud inquit Electræ :

Sile, sile, tenue vestigium...

Sositheum poetam convicium ipsi ingerentem et pœnitentia ductum recepit in gratiam, dictitans absurdum fore, si, quum Liber pater et Hercules a poetis ludibrio habiti non incandescant, ipse ob levem offensam et maledictum succenseret (*D.* VII, 168. 170-173).

Λ.

41. Λεύκιππος ὁ Ἐλεάτης ἔλεγεν ἄπειρα εἶναι τὰ πάντα, καὶ εἰς ἄλληλα μεταβάλλειν· τό τε πᾶν εἶναι κενὸν, καὶ πλῆρες σωμάτων· τούς τε κόσμους γίνεσθαι, σωμάτων εἰς τὸ κενὸν ἐμπιπτόντων καὶ ἀλλήλοις περιπλεκομένων. Ἔκ τε τῆς κινήσεως κατὰ αὔξησιν γίνεσθαι τὴν τῶν ἀστέρων φύσιν. Φέρεσθαι δὲ τὸν ἥλιον ἐν μείζονι κύκλῳ παρὰ τὴν σελήνην· τὴν γῆν ὀχεῖσθαι περὶ τὸ μέσον δινουμένην· σχῆμά τε αὐτῆς τυμπανοειδὲς εἶναι. Πρῶτός τε ἀτόμους ἀρχὰς ὑπεστήσατο. Τὸ πᾶν ἄπειρόν φησι, τούτου δὲ τὸ μὲν πλῆρες εἶναι, τὸ δὲ κενόν. Καὶ στοιχεῖά φησι κόσμους τε [ἐκ τούτων] ἀπείρους εἶναι, καὶ διαλύεσθαι εἰς ταῦτα. Γίνεσθαι δὲ τοὺς κόσμους οὕτως· φέρεσθαι κατ' ἀποτομὴν ἐκ τῆς ἀπείρου πολλὰ σώματα παντοῖα τοῖς σχήμασιν εἰς μέγα κενὸν, ἅπερ ἀθροισθέντα μίαν ἀπεργάζεσθαι δίνην, καθ' ἣν προσκρούοντα καὶ παντοδαπῶς κυκλούμενα διακρίνεσθαι χωρὶς τὰ ὅμοια πρὸς τὰ ὅμοια· ἰσορρόπων δὲ διὰ τὸ πλῆθος μηκέτι δυναμένων περιφέρεσθαι, τὰ μὲν λεπτὰ χωρεῖν εἰς τὸ ἔξω κενὸν, ὥσπερ διαττόμενα· τὰ δὲ λοιπὰ συμμένειν, καὶ περιπλεκόμενα συγκατατρέχειν ἀλλήλοις, καὶ ποιεῖν πρῶτόν τι σύστημα σφαιροειδές. Τοῦτο δὲ οἷον ὑμένα ὑφίστασθαι, περιέχοντα ἐν ἑαυτῷ παντοῖα σώματα, ὧν κατὰ τὴν τοῦ μέσου ἀντέρεισιν περιδινουμένων, λεπτὸν γίνεσθαι τὸν πέριξ ὑμένα, συρρεόντων ἀεὶ τῶν συνεχῶν κατ' ἐπίψαυσιν τῆς δίνης. Καὶ οὕτω γενέσθαι τὴν γῆν, συμμενόντων τῶν ἐνεχθέντων ἐπὶ τὸ μέσον. Αὐτόν τε πάλιν τὸν περιέχοντα οἷον ὑμένα αὔξεσθαι, κατὰ τὴν ἐπικράτησιν (ἐπέκρυσιν D.) τῶν ἔξωθεν σωμάτων· δίνῃ τε φερόμενον αὐτὸν ὧν ἂν ἐπιψαύσῃ, ταῦτα ἐπικτᾶσθαι· Τούτων δέ τινα συμπλεκόμενα ποιεῖν σύστημα, τὸ μὲν πρῶτον κάθυγρον καὶ πηλῶδες, ξηρανθέντα δὲ καὶ περιφερόμενα σὺν τῇ τοῦ ὅλου δίνῃ, εἶτ' ἐκπυρωθέντα τὴν τῶν ἄστρων ἀποτελέσαι φύσιν. Εἶναι δὲ τὸν τοῦ ἡλίου

L.

41. *Leucippus* Eleates dicebat, cuncta esse infinita, et in se ipsa invicem commutari : item universum inane esse plenumque corporibus. Mundosque fieri corporibus in hoc inane incidentibus et invicem implicatis, atque ex motu secundum illorum incrementa naturam siderum fieri. Solem juxta lunam majorem in orbem ferri : terram vehi ac circa medium verti; figuramque illius tympano similem esse. Primus hic atomos principia esse statuit. Universum quidem infinitum ait : hujus partem plenam esse, partem inanem. Etiam elementa statuit, mundosque ex eis infinitos esse et in illa dilabi atque dissolvi. Gigni vero mundos in hunc modum : ferri per abscissionem ex infinito multa corpora figuris omnigena in magnum vacuum, eaque in unum coacta unam vertiginem efficere, cujus impetu impacta modisque omnibus circumvoluta ita discerni, ut seorsum similia quæ sunt sui similia petant. Ceterum æquilibra quum ob multitudinem minime jam circumferri possint, exilia quidem ad exterius vacuum contendere, quasi cribro excussa; cetera considere et innexa atque in se implicata invicem concurrere, atque ea concursione primum quandam concretionem efficere rotundam. Hanc autem veluti membranam subsistere, continentem in se omnigena corpora : quæ dum secundum medii reluctationem circumvolvuntur, tenuem quæ circa est membranam fieri, confluentibus semper corporibus perpetuis secundum vertiginis attactum : atque ita ortam esse terram, commanentibus quæ semel in medium injecta erant. Ipsumque rursus continentem membranæ instar augeri secundum externorum influentiam corporum : et quum vertigine fertur, quæcumque attigerit ea acquirere. Ex his quædam complicata concretionem facere, primo quidem humidam ac luteam, exsiccata vero et circumacta cum totius vertigine, deinde incensa et ignita siderum efficere naturam. Esse autem solis

κύκλον ἐξώτατον, τὸν δὲ τῆς σελήνης προσγειότατον, τῶν ἄλλων μεταξὺ τούτων ὄντων. Καὶ πάντα μὲν τὰ ἄστρα πυροῦσθαι διὰ τὸ τάχος τῆς φορᾶς, τὸν δὲ ἥλιον καὶ ὑπὸ τῶν ἀστέρων ἐκπυροῦσθαι, τὴν δὲ σελήνην ὀλίγον τοῦ πυρὸς μεταλαμβάνειν. Ἐκλείπειν δὲ ἥλιον καὶ σελήνην *, τῷ κεκλίσθαι τὴν γῆν πρὸς μεσημβρίαν. Τὰ δὲ πρὸς ἄρκτῳ ἀεί τε νίφεσθαι καὶ κατάψυχρα εἶναι καὶ πήγνυσθαι. Τὸν [μὲν] ἥλιον ἐκλείπειν σπανίως, τὴν δὲ σελήνην συνεχῶς, διὰ τὸ ἀνίσους εἶναι τοὺς κύκλους αὐτῶν. Εἶναι δὲ, ὥσπερ γενέσεις κόσμου, οὕτω καὶ αὐξήσεις καὶ φθίσεις [καὶ φθορὰς] κατά τινα ἀνάγκην, ἣν ὁποία ἐστὶν [οὐ] διασαφεῖ.

M.

62. **Μενέδημος** ὁ Ἐρετριεὺς ἀρχιτέκτονος υἱὸς ἦν, [adde e Diog. οἱ δὲ καὶ σκηνογράφον αὐτὸν εἶναί φασιν, καὶ μαθεῖν ἑκάτερα τὸν Μενέδημον]· ὅθεν γράψαντος αὐτοῦ ψήφισμά τι καθήψατό τις Ἀλεξίνειος, εἰπὼν, ὡς οὔτε σκηνὴν οὔτε ψηφίσματα προσήκει τῷ σοφῷ γράφειν. Πεμφθεὶς δὲ φρουρὸς ὑπὸ τῶν Ἐρετριέων εἰς Μέγαρα, ἀνῆλθεν εἰς Ἀκαδημίαν πρὸς Πλάτωνα, καὶ θηραθεὶς κατέλιπε τὴν στρατείαν. Ἦν δὲ σεμνὸς ἱκανῶς, ὅθεν αὐτὸν Κράτης παρῳδῶν φησὶ

Φλιάσιόν τ' Ἀσκληπιάδην, καὶ ταῦρον Ἐρέτρην.

Ὁ δὲ Τίμων οὕτω·

Λῆρον ἀναστήσας ὀφρυωμένος ἀφροσιβόμβαξ.

Οὕτω δ' ἦν σεμνὸς, ὡς Εὐρύλοχον τὸν Κασσανδρέα μετὰ Κλειππίδου Κυζικηνοῦ μειρακίου κληθέντα ὑπ' Ἀντιγόνου, ἀντειπεῖν· φοβεῖσθαι γὰρ, μὴ Μενέδημος αἴσθοιτο· ἦν γὰρ ἐπικόπτης καὶ παρρησιαστής. Ἀντιγόνου συμβουλευομένου, (τί εἴποι,) εἰ ἐπὶ κῶμον ἀφίκοιτο, σιωπήσας τὰ ἄλλα, μόνον ἐκέλευσεν ἀπαγγεῖλαι, ὅτι βασιλέως υἱός ἐστι. Πρὸς τὸν ἀναίσθητον ἀναφέροντά τι αὐτῷ εἰκαίως, ἠρώτησεν, εἰ ἀγρὸν ἔχοι· φήσαντος δὲ καὶ πάμπλειστα κτήματα, « Πορεύου τοίνυν, ἔφη, κἀκείνων ἐπιμελοῦ, μὴ συμβῇ σοι καὶ ταῦτα διαφθεῖραι, καὶ κομψὸν ἰδιώτην ἀποβαλεῖν. » Πρὸς τὸν εἰπόντα πολλὰ τὰ ἀγαθὰ, ἐπύθετο πόσα τὸν ἀριθμὸν, καὶ εἰ νομίζοι πλείω τῶν ἑκατόν. Ἦν δὲ καὶ ἐκκλιτὴς καὶ τὰ τῆς σχολῆς ἀδιάφορος· οὔτε γὰρ τάξιν τινὰ ἦν παρ' αὐτῷ βλέπειν, οὔτε βάθρα κύκλῳ διέκειτο, ἀλλ' οὗ ἂν ἕκαστος ἔτυχε περιπατῶν ἢ καθήμενος ἤκουε, καὶ αὐτοῦ τοῦτον τὸν τρόπον διακειμένου. Κράτητος δέ ποτε περιισταμένου αὐτὸν, καὶ καθαπτομένου εἰς τὸ ὅτι πολιτεύεται, ἐκέλευσέ τισιν εἰς τὸ δεσμωτήριον ἐμβαλεῖν αὐτόν· τὸν δὲ μηδὲν ἧττον τηρεῖν παριόντα καὶ ὑπερκύπτοντα Ἀγαμεμνόνειόν τε καὶ Ἡγησίπολιν ἀποκαλεῖν. Ἦν δέ πως ἠρέμα καὶ δεισιδαιμονέστερος. Σὺν Ἀσκληπιάδῃ γοῦν ποτὲ κατὰ ἄγνοιαν ἐν πανδοκείῳ κρεάτων ῥιπτουμένων φαγὼν, ἐπεὶ μάθοι, ἐναυτία τε καὶ ὠχρία, ἕως Ἀσκληπιάδης ἐπετίμησεν αὐτῷ ὡς οὐδὲν, εἰπὼν, ἠνώχλησεν αὐτῷ τὰ

circulum extimum, lunæ vero terræ proximum, ceteris in medio horum positis. Ac sidera quidem omnia ob celeritatem motus ignescere, solem vero inflammari a sideribus; lunam autem exiguam ignis partem capere. Solem lunamque deficere * quod terra ad meridiem vergat; quæ ad septentrionem sunt nivibus semper urgeri et pruinis algere in glaciemque concrescere. Ac solem quidem raro deficere, lunam vero frequenter, quod sint impares eorum orbes. Porro ut generationes mundi, ita et incrementa esse et diminutiones et corruptiones secundum quandam necessitatem, quæ cujusmodi sit non declarat (*Diog.* IX, 30-33)

M.

62. *Menedemus* Eretriensis architecti filius fuit. Alii tabernas pinxisse referunt, et utrumque didicisse Menedemum. Quocirca quum decretum quoddam tulisset, reprehensus est a quodam de schola Alexini, qui negabat oportere sapientem tabernam pingere (γράφειν) aut plebiscitum. Missus ab Eretriensibus in præsidium Megara, itabat ad Platonem in Academiam, a quo captus a militia destitit (*D.* II, 125). Menedemus insigni gravitate fuit; unde eum Crates parodia ridens ait :

Phliasiumque Asclepiadem taurumque Eretrensem.

Timon autem sic :

Fastoso vultu nugas exorsus inanes.

Erat autem ea severitate, ut Eurylochus Cassandreus ab Antigono ad cœnam vocatus cum Cleippide Cyziceno adolescente recusaverit : metuere enim ne id Menedemus resciret. Erat enim acer in reprehendendo ac liberi oris (II, 126). Consultanti Antigono an comessatum iret, hoc illi solum renuntiari jussit, eum esse regis filium. Stupidum quendam nescio quid nihil ad rem dicentem interrogavit an villam haberet; et quum ille multa se habere prædia dixisset, « Abi igitur, inquit, atque ea cura, ne accidat ut et agri corrumpantur et homo scitus futurus modo a philosophiæ studio abstineat (II, 128). » Dicente quodam multa esse bona, rogat quot numero, et an putet plura esse quam centum (II, 129). Erat deflectens a more parumque satagens rerum quæ ad scholam pertinerent : neque ullum apud illum, ut fieri solet, ordinem vidisses; neque subsellia erant per gyrum disposita, sed quo quisque loco forte deambulabat aut stabat, ibi audiebat, atque idem ipse faciebat (II, 130). Quum ei aliquando Crates convicium faceret et quod ad rempublicam accessisset increparet, eum in carcerem conjici jussit : at ille nihilo minus observabat prætereuntem, et fenestra prospectans Agamemnonis æmulum et Hegesipolim (*civium dominum*) appellitabat. Erat idem paulo religiosior ac pronior in superstitionem. Comederat aliquando cum Asclepiade in caupona carnes projectas imprudens : id quum animadvertisset, nausea pallorque turbabatur, donec illum Asclepiades objurgans non carnes di-

κρέα [ἀλλ' ἡ περὶ τούτων ὑπόνοια]. Ἦν δὲ φιλυπόδοχος, καὶ διὰ τὸ νοσῶδες τῆς Ἐρετρίας πλείω συνάγων συμπόσια. Προσεῖχε δὲ Ὁμήρῳ καὶ τοῖς μελικοῖς, εἶτα Σοφοκλεῖ καὶ Ἀχαιῷ, ᾧ καὶ τὸ δευτερεῖον ἐν τοῖς Σατύροις, Αἰσχύλῳ δὲ τὸ πρωτεῖον ἀπεδίδου. Πρὸς γοῦν τοὺς ἀντιπολιτευομένους ταῦτα προεφέρετο·

Ἡλίσκετ' ἄρα καὶ πρὸς ἀσθενῶν ταχύς,
καὶ πρὸς χελώνης ἀετὸς βραχεῖ χρόνῳ.

Ταῦτα δέ ἐστιν Ἀχαιοῦ ἐκ τῆς σατυρικῆς Ὀμφάλης· ὥστε προσπταίουσιν οἱ λέγοντες, αὐτὸν μηδὲν ἀνεγνωκέναι πλὴν τῆς Εὐριπίδου Μηδείας. Στίλπωνα ἐπαινῶν ἄλλο μὲν οὐδὲν εἶπε, πλὴν ὅτι ἐλευθέριος. Ἐν δὲ ταῖς ζητήσεσιν ὧδε μάχιμος ἦν, ὡς ὑπώπια φέρων ἀπῄει. Οὕτω δὲ ἦσαν οὗτος καὶ Ἀσκληπιάδης φίλοι, ὥστε Ἀρχεπόλιδος τρισχιλίας αὐτοῖς διαγράψαντος, στηριζομένους περὶ τοῦ τίς δεύτερος ἄρῃ, μηδέτερον λαβεῖν. Ἔγημαν δὲ γυναῖκας, Ἀσκληπιάδης μὲν τὴν θυγατέρα, τὴν δὲ μητέρα Μηνέδημος· κἀπειδὴ ἐτελεύτησε τῷ Ἀσκληπιάδῃ τὸ γύναιον, ἔλαβε τὸ τοῦ Μενεδήμου· ἐκεῖνός τε αὖ, ἐπειδὴ προύστη τῆς πολιτείας, πλουσίαν ἔγημεν· ἐπέτρεψε μέντοι τὴν τῆς οἰκίας διοίκησιν τῇ προτέρᾳ γυναικί. Τὰ δὲ συμπόσια οὕτως ἐποιεῖτο· προηρίστα μετὰ δυοῖν ἢ τριῶν ἐς ὃ βραδέως ἦν τῆς ἡμέρας, ἔπειτά τις ἐκάλει τοὺς παραγενομένους, καὶ αὐτοὺς ἤδη δεδειπνηκότας· ὥστε, εἴ τις ἔλθοι θᾶττον, ἀνακάμπτων ἐπυνθάνετο τῶν ἐξιόντων, τί εἴη παρακείμενον, καὶ πῶς ἔχοι τοῦ χρόνου. Εἰ μὲν οὖν λάχανον ἦν ἢ τάριχον, ἀνεχώρουν, εἰ δὲ κρεάδιον, εἰσῄεσαν. Ἦν δὲ τοῦ μὲν θέρους ψίαθος ἐπὶ τῶν κλινῶν, τοῦ δὲ χειμῶνος κώδιον, προσκεφάλαιον δ' αὐτῷ φέρειν ἔδει. Τό τε περιαγόμενον ποτήριον οὐ μεῖζον κοτυλιαίου· τράγημα θέρμος ἢ κύαμος, ἔστι δ' ὅτε καὶ τῶν ὡρίων ἄπιος ἢ ῥοιὰ ἢ ὄχναι (l. ὦχροι) ἢ νὴ Δί' ἰσχάδες. Λυκόφρων δὲ γράψας αὐτοῦ ἐγκώμιον, περὶ τούτου φησίν·

Ὡς ἐκ βραχείας δαιτὸς ἡ βαιὰ κύλιξ
αὐτοῖς κυκλεῖται πρὸς μέτρον, τράγημα δὲ
ὁ σωφρονιστὴς τοῖς φιληκόοις λόγος.

Τοῦτόν φασι τυράννων πολλάκις ἐλευθερῶσαι τὴν πατρίδα· φοιτᾶν γοῦν καὶ πρὸς Ἀντίγονον, καὶ βούλεσθαι ἐλευθερῶσαι πάλιν αὐτήν· τοῦ δὲ μὴ εἴκοντος, ἐπ' ἀθυμίας ἀσιτήσαντα ἑπτὰ ἡμερῶν τὸν βίον μεταλλάξαι.

43. **Μέλισσος** ἔλεγε τὸ πᾶν ἄπειρον εἶναι, καὶ ἀναλλοίωτον καὶ ἀκίνητον καὶ ἓν ὅμοιον ἑαυτῷ καὶ πλῆρες, κίνησίν τε μὴ εἶναι, δοκεῖν δὲ εἶναι. Καὶ περὶ θεῶν ἔλεγε μὴ δεῖν ἀποφαίνεσθαι, μὴ γὰρ εἶναι γνῶσιν αὐτῶν.

ceret ejusce mutationis causam esse, sed præsumptam de illis fatuam opinionem (II, 131 *sq.*). Amabat præterea hospites apud se accipere: et quia parum salubris erat Eretria, convivia sæpe cogebat. Plurimum Homero tribuit et melicis, deinde Sophocli et Achæo, cui in Satyris secundum, ut Æschylo principem locum dedit; unde in adversantes sibi regenda republica hæc jactabat:

Quandoque pernicem capit tardus pede,
aquilamque testudo brevi præverterit.

Sunt autem ex Omphale satyrica Achæi. Quapropter falluntur, qui nihil illum legisse præter unam Euripidis Medeam dictitant (II, 133 *sq.*). Quum Stilponem laudaret, aliud non dixit, quam quod liberalis esset. In quæstionibus adeo vehemens fuit et pugnax, ut cum sugillationibus in facie discederet (II, 136). Tam arcta vero amicitia devincti erant ipse et Asclepiades, ut, quum Archepolis perscripsisset illis tria drachmarum millia, obfirmatis animis, uter secundo loco tolleret, neuter acceperit. Uxores autem duxerant Menedemus matrem, filiam Asclepiades; qua exstincta, Menedemi conjugem hic sibi adjunxit; ille vero, jam reipublicæ præfectus, opulentam duxit, permissa priori uxori rei familiaris administratione. Porro convivia in hunc modum faciebat. Prius ipse cum duobus aut tribus prandebat, dum dies in vesperam vergeret: tum vero vocabat quispiam eos qui advenerant, et ipsos jam cœnatos. Itaque si quis citius venisset, percontabatur exeuntes quid esset appositum et quæ esset diei hora. Et si quidem vel olusculum vel salsamentum quippiam audissent, recedebant; sin vero carnes, ingrediebantur. Lectulis æstate storeas, hieme vervecum pelles superponebat; sed pulvinar sibi quemque afferre oportebat. Poculum quod circumagebatur, cotyla majus non erat. In secunda mensa lupinus sive faba, nonnunquam ex fructibus pira, mala punica, cicera, sive mehercle ficus passæ apponebantur. Lycophron, qui illius encomium conscripsit, de eo sic ait:

Cœna in brevi pusillus admodum calix
in orbem obambulat, tragematum efficit
vicem eruditus sermo cum sodalibus (139. 140).

Aiunt illum patriam a tyrannis non semel liberasse, et ad Antigonum se contulisse, voluisseque illam iterum reddere liberam; sed quum ille flecti non posset, præ animi mœrore, postquam septem dies inediam tolerasset, vita excessisse (143).

43. *Melissus* dicebat universitatis corpus esse infinitum ac mutationis motusque expers, et unum sibi ipsi simile ac plenum: motum non esse, sed videri. De deo nihil esse certo statuendum et asseverandum censebat; nullam enim ejus esse cognitionem (D. IX, 24).

N.

44. Νικόλαος φιλόσοφος, ὁ Δαμασκηνὸς, τοσοῦτον ἠγαπήθη παρὰ τοῦ Αὐγούστου Καίσαρος, ὥστε τοὺς ὑπ' ἐκείνου πεμπομένους πλακοῦντας τῷ Καίσαρι Νικολάους αὐτὸν καλεῖν. Καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον.

45. Νουμήνιος Πυθαγορικὸς φιλόσοφος, ὁ Ἀπαμεὺς, τὴν Πλάτωνος διάνοιαν ἤλεγξεν, ὡς ἐκ τῶν Μωσαϊκῶν βιβλίων τὰ περὶ θεοῦ καὶ κόσμου ἀποσυλήσασαν· διὸ καὶ φησί· « Τί γάρ ἐστι Πλάτων ἢ Μωσῆς ἀττικίζων; »

46. Νέστωρ ἐποποιὸς, ὁ ἐκ Λυκίας, ἔγραψεν Ἰλιάδα λειπογράμματον. Ἔστι γὰρ ἐν τῷ α' μὴ εὑρίσκεσθαι α, καὶ κατὰ ῥαψῳδίαν οὕτω τὸ ἑκάστης ἐκλιμπάνειν στοιχεῖον. Ἐποίησε δὲ καὶ Τρυφιόδωρος Ὀδύσσειαν ὁμοίως αὐτῷ.

Ξ.

47. Ξάνθος, Λυδὸς ἱστορικὸς, ἐν τῇ δευτέρᾳ τῶν Λυδιακῶν ἱστοριῶν φησὶν ὅτι πρῶτος Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις.

48. Ξενοκράτης ὁ φιλόσοφος, πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ τριάκοντα τάλαντα, ἀπέπεμψεν, εἰπὼν βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον. Ἀντιπάτρου ποτὲ ἐλθόντος εἰς Ἀθήνας, καὶ ἀσπασαμένου τοῦτον, οὐ πρότερον ἀντιπροσηγόρευσε, πρὶν ἢ τὸν λόγον, ὃν ἔλεγε, διαπεράνασθαι. Ἀτυφότατος δὲ ὢν, πολλάκις ἑαυτῷ τῆς ἡμέρας ἐμελέτα, καὶ ὥραν μίαν, φασὶν, ἀπένεμε σιωπῇ. Ἀθηναῖοι δ' ὅμως αὐτὸν τοιοῦτον ὄντα ἐπίπρασκόν ποτε, τὸ μετοίκιον ἀτονοῦντα θεῖναι· καὶ αὐτὸν ὠνεῖται Δημήτριος ὁ Φαληρεὺς, καὶ ἑκάτερον ἀποκατέστησε, Ξενοκράτει μὲν τὴν ἐλευθερίαν, Ἀθηναίοις δὲ τὸ μετοίκιον.

49. Ξενοφάνης ὁ Κολοφώνιος ἔλεγε τέσσαρα εἶναι τῶν ὄντων στοιχεῖα, κόσμους δ' ἀπείρους, (οὐ) παραλλάκτους δέ· τὰ νέφη συνίστασθαι, τῆς ἀφ' ἡλίου ἀτμίδος ἀναφερομένης καὶ αἰρούσης αὐτὰ εἰς τὸ περιέχον. Οὐσίαν θεοῦ σφαιροειδῆ, μηδὲν ὅμοιον ἔχουσαν ἀνθρώπῳ· ὅλον δὲ ὁρᾶν καὶ ὅλον ἀκούειν, μὴ μέντοι ἀναπνεῖν. Σύμπαντά τε εἶναι νοῦν καὶ φρόνησιν καὶ ἀΐδιον. Πρῶτός τε ἀπεφήνατο, ὅτι πᾶν τὸ γινόμενον φθαρτόν ἐστι, καὶ ἡ ψυχὴ πνεῦμα. Ἔφη τε καὶ τὰ πολλὰ ἥσσω νοῦ εἶναι. Καὶ τοῖς τυράννοις ἐντυγχάνειν

N.

44. *Nicolaum* philosophum Damascenum tanto amore complexus fuit Augustus Cæsar, ut missas ab eo ad se placentas Nicolaos vocaret : quæ in hunc usque diem durat appellatio.

45. *Numenius* Pythagoricus philosophus, Apamea oriundus, Platonis ingenium perstrinxit, quod veluti plagio subripuerit e Mosaicis libris, quæ de deo et mundo prodidit : eo spectat quod dicit : « Quid enim aliud est Plato, quam Moses atticissans? »

46. *Nestor* Lycius, carminum scriptor, composuit Iliadem certis literis carentem. Nam in primo libro nullum α invenias, atque ita in omnibus libris alphabeti græci ordine distinctis deest sua cuique litera. Similiter Odysseam scripsit Tryphiodorus.

X.

47. *Xanthus*, Lydius historicus, in Lydiacæ historiæ secundo memoriæ prodidit, Gygen, Lydorum regem, primum feminas castrasse, quo illis semper ætate florentibus uteretur.

48. *Xenocrates* philosophus, quum Alexander Macedo misisset illi dono triginta auri talenta, remisit, dictitans regem pecuniis, non autem philosophum opus habere. Antipatro Athenas venienti, ipsumque complexo, non prius sermonis vicem reddidit, quam ille inceptam orationem finivisset. Ipse vero a fastu alienissimus, secum frequenter interdiu meditabatur, horamque unam silentio destinavit (*D.* IV, 11). Tantum tamen virum Athenienses aliquando venumdedere, quum non posset inquilinarium tributum appendere : eum emit Demetrius Phalereus, utrique subveniens, nam Xenocrati reddidit libertatem et Atheniensibus tributum inquilinarium solvit (IV, 14).

49. *Xenophanes* Colophonius quattuor esse rerum elementa dixit, infinitos autem mundos eosdemque mutabiles. Nubes consistere quum vapores a sole excitati sursum feruntur easque in aerem elevant. Dei substantiam rotundam esse et globosam nihilque cum homine habere commune; totum cernere totumque audire, non tamen respirare; denique omnibus suis partibus et mentem esse et prudentiam atque æternitatem. Primusque pronuntiavit quidquid nascatur, idem interire debere; item animam esse spiritum : aiebat etiam pleraque inferiora mente esse. Item tyrannis congrediendum aut minime esse aut suavissime. Empedocle

---

§ 44. Eadem Suidas. V. Nicolai fr. tom. III, p. 313.

§ 45. Suidas : Νουμήνιος, Ἀπαμεὺς ἀπὸ Συρίας, φιλόσοφος Πυθαγόρειος. Οὗτός ἐστιν ὁ τὴν τοῦ Πλάτωνος ἐξελέγξας διάνοιαν, ὡς κτλ. ut apud Nostrum.

§ 46. Suidas : Νέστωρ, Λαρανδεὺς ἐκ Λυκίας, ἐποποιὸς, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σεβήρου τοῦ βασιλέως. Ἰλιάδα λειπογράμματον ἤτοι ἀστοιχείωτον (ὁμοίως δὲ αὐτῷ ὁ Τρυφιόδωρος ἔγραψεν Ὀδύσσειαν)· ἔστι γὰρ ἐν τῇ πρώτῃ μὴ εὑρίσκεσθαι α, καὶ κατὰ ῥαψῳδίαν οὕτως τὸ ἑκάστης ἐκλιμπάνει στοιχεῖον. Μεταμορφώσεις, ὥσπερ καὶ Παρθένιος ὁ Νικαιεὺς, καὶ ἄλλα.

§ 47. Eadem plenius Suidas. V. Xanthi fr. 19, tom. I, p. 40.

§ 48. Quæ in primo segmine leguntur paullo aliter narrat Diogenes IV, 8; Suidas vero s. v. Ξενοκράτης iisdem verbis, quibus Noster utitur.

ἢ ὡς ἥκιστα ἢ ὡς ἥδιστα. Ἐμπεδοκλέους εἰπόντος αὐτῷ, ὅτι ἀνεύρετός ἐστιν ὁ σοφὸς, « Εἰκότως, ἔφη· σοφὸν γὰρ εἶναι δεῖ τὸν ἐπιγνωσόμενον τὸν σοφόν. » Πρῶτος δὲ εἶπεν, ἀκατάληπτα εἶναι τὰ πάντα.

O.

50. Ὅμηρος ἱστορεῖται γενέσθαι τυφλὸς, ὡς μὴ ἡττηθεὶς ἐπιθυμίας, ἣ διὰ τῶν ὀφθαλμῶν ἔρχεται.

Π.

51. Παλαμήδης εὗρε τὸ ζ καὶ π καὶ φ καὶ χ στοιχεῖα.

52. Πίνδαρος ὁ λυρικὸς αἰτήσας τὸ κάλλιστον αὐτῷ δοθῆναι τῶν ἐν τῷ βίῳ, ἀθρόον ἀπέθανεν ἐν θεάτρῳ, ἀνακεκλιμένος εἰς τὰ τοῦ ἐρωμένου αὐτοῦ Θεοξένου γόνατα.

53. Πλάτων ὁ φιλόσοφος λέγεται μὴ γάμον τινὰ μηδὲ ὁμιλίαν σώματος καθάπαξ ἀνέχεσθαι. Φασὶ δὲ, ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ αὐτοῦ ἔγκυος γέγονεν, ἐπιφανέντος αὐτῇ τοῦ Ἀπόλλωνος. Καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. Πλατὺς δὲ ὢν τὰ στέρνα ἢ τὸ μέτωπον Πλάτων προσηγορεύθη. Οἱ δὲ ὡς πλατὺν ἐν λόγοις οὕτω φασὶ κληθῆναι. Τίμων δὲ κωμῳδῶν αὐτὸν ἐν Σίλλοις φησί·

> Τῶν πάντων ἡγεῖτο πλατύστατος, ἀλλ' ἀγορητὴς
> ἡδυεπὴς τέττιξιν ἰσογράφος, οἵ θ' Ἑκαδήμου
> δένδρει ἐφεζόμενοι ὄπα λειριόεσσαν ἱᾶσιν.

Πρότερον γὰρ ἡ Ἀκαδημία τὸ χωρίον Ἑκαδημία ἐκαλεῖτο. Οὗτος μίξιν ἐποιήσατο τῶν τε Ἡρακλειτείων λόγων, Πυθαγορικῶν καὶ Σωκρατικῶν. Τὰ μὲν γὰρ αἰσθητὰ καθ' Ἡράκλειτον, τὰ δὲ νοητὰ κατὰ Πυθαγόραν, τὰ δὲ πολιτικὰ κατὰ Σωκράτην ἐφιλοσόφει. Ὠφέληται δὲ πολλὰ παρ' Ἐπιχάρμου. Φησὶ γὰρ ὁ Ἐπίχαρμος (l. ὁ Ἄλκιμος)· « Λέγουσιν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν, τὰ δ' αὐτὴν καθ' αὑτὴν ἐνθυμεῖσθαι μηδὲν τῷ σώματι χρωμένην· διὸ καὶ τῶν ὄντων τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά. Ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν, ὅτι δεῖ τοὺς συνιδεῖν τὴν τοῦ παντὸς ἀρχὴν ἐπιθυμοῦντας πρῶτον μὲν αὐτὰς καθ' αὑτὰς διελέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα καὶ μονάδα καὶ πλῆθος καὶ μέγεθος καὶ στάσιν καὶ κίνησιν· δεύτερον αὐτὸ καθ' αὑτὸ τὸ καλὸν καὶ ἀγαθὸν καὶ δίκαιον καὶ

dicente ipsi sapientem inveniri non posse, « Recte, inquit : nam sapiens sit necesse est, qui norit explorare sapientem. » Idem primus dixit omnia incomprehensibilia esse (*D.* IX, 19).

HO.

50. *Homerum* tradunt captum oculis fuisse, quia cupiditati quæ per oculos irrepit, non cesserit.

P.

51. *Palamedes* literaria elementa quattuor invenit, ζ, π, φ et χ.

52. *Pindarus* lyricus precatus deos, ut, quod in vita maxime optandum sit, sibi darent, in theatro repentina morte exstinctus est, reclivi capite super amasii Theoxeni genua.

53. *Plato* philosophus dicitur et connubium et venereum congressum in universum respuisse. Ferunt matrem ejus e numine gravidam uterum tulisse, objecto illi Apollinis viso, ac post editum Platonem, tum demum Aristonem maritum cum ea consuetudinem habuisse (Cf. *Diog.* III, 2). Platonis nomen accepit, quod πλατὺς, id est lato vel pectore vel fronte esset : alii inditum nomen reutur ab ubertate sermonis. Timon comice illum traducens in Sillis ait :

> Hos inter dux ille Plato celsissimus ibat,
> cujus ab ore melos manabat, quale Hecademi
> de arbustis lepida modulantur voce cicadæ.

Initio enim Academia locus Hecademia dicebatur (III, 7). Hic Heracliti, Pythagoræ et Socratis rationes commiscuit ; nam quæ sensibus obvia sunt, ex Heracliti sententia tractavit : quæ mente comprehenduntur, secundum Pythagoram explicuit : in politicis et civilibus rebus a Socrate non discessit. Multa ab Epicharmo mutuatus est, ut testatur *Alcimus* (III, 9), qui etiam hæc dicit : « Rerum periti dicunt, animam partim per corpus persentiscere, nimirum videndo audiendoque; partim per se ipsam concipere atque intelligere, nunquam corporis ope usam : ac proinde rerum alias sensibus percipi, alias animo cognosci. Quamobrem Plato dixit, eos, qui universitatis primordia animo complecti desiderant, primum oportere seorsum per se rerum formas, ideas appellant, disjungere atque dispartire, exempli gratia, similitudinem et unitatem, multitudinem et magnitudinem, statum et motum ; secundo loco ipsum per se honestum, bonum et æquum, quæque

---

§ 50. Suidas v. Ὅμηρος p. 1097 ed. Bernh. : Ἐν τῇ νήσῳ τῇ Ἴῳ τέθαπται, τυφλὸς ἐκ παίδων γεγονώς· τὸ δὲ ἀληθὲς, ὅτι οὐχ ἡττήθη ἐπιθυμίας, ἣ διὰ τῶν ὀφθαλμῶν ἄρχεται (ἔρχεται Davis. ex Hes.).

§ 51. Suidas : Παλαμήδης, Ναυπλίου καὶ Κλυμένης, Ἀργεῖος, ἐποποιός. Ἦν δὲ οὗτος ἀνεψιὸς τοῦ βασιλέως Ἀγαμέμνονος πρὸς μητρός. Ἔσχε δὲ εὐφυῶς πρός τε φιλοσοφίαν καὶ ποιητικήν, καὶ εὑρετὴς γέγονε τοῦ Ζ στοιχείου καὶ τοῦ Π (Θ Küster.) καὶ τοῦ Φ καὶ τοῦ Χ, ψήφων τε καὶ πεσσῶν καὶ κύβων καὶ μέτρων καὶ σταθμῶν. Τὰ δὲ ποιήματα αὐτοῦ ἠφανίσθη ὑπὸ τῶν Ἀγαμέμνονος ἀπογόνων διὰ βασκανίαν. Ὑπολαμβάνω δὲ καὶ τὸν ποιητὴν Ὅμηρον αὐτὸ τοῦτο πεπονθέναι, καὶ μηδεμίαν τοῦ ἀνδρὸς τούτου μνήμην ποιήσασθαι.

§ 52. Suidas : Πίνδαρος, Θηβαῖος, Σκοπελίνου υἱὸς, κατὰ δέ τινας Δαϊφάντου· ὃ καὶ μᾶλλον ἀληθές. Ὁ γὰρ Σκοπελίνου ἐστὶν ἀφανέστερος καὶ προσγενὴς Πινδάρου. Τινὲς δὲ καὶ Παγωνίδου ἱστόρησαν αὐτόν. Μαθητὴς δὲ Μύρτιδος γυναικός, γεγονὼς κατὰ τὴν ξε' Ὀλυμπιάδα, κατὰ τὴν Ξέρξου στρατείαν ὢν ἐτῶν μ'. Καὶ ἀδελφὸς μὲν ἦν αὐτῷ ὄνομα Ἐρωτίων, καὶ υἱὸς Διόφαντος (l. Δαΐφαντος)· θυγατέρες δὲ Εὐμητις καὶ Πρωτομάχη. Καὶ συνέβη αὐτῷ τοῦ βίου τελευτὴ κατ' εὐχάς· αἰτήσαντι γὰρ τὸ κάλλιστον etc. ut ap. Nostrum. Post v. γόνατα Suidas addit : ἐτῶν νε'. Sequitur scriptorum catalogus.

τὰ τοιαῦτα ὑποθέσθαι· τρίτον δὲ τῶν ἰδεῶν συνιδεῖν ὅσαι πρὸς ἀλλήλας εἰσίν, οἷον ἐπιστήμην ἢ μέγεθος ἢ δεσποτείαν, ἐνθυμουμένους ὅτι τὰ παρ' ἡμῖν, διὰ τὸ μετέχειν ἐκείνων, ὁμώνυμα ἐκείναις ὑπάρχει· λέγω δέ, οἷον δίκαια μὲν ὅσα τοῦ δικαίου, καλὰ δὲ ὅσα τοῦ καλοῦ. Ἔστι δὲ τῶν εἰδῶν ἓν ἕκαστον ἀΐδιόν τε καὶ νόημα καὶ πρὸς τούτοις ἀπαθές. Διὸ καί φησιν ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι καθάπερ παραδείγματα, τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. Ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει·

Α. Ἆρ' ἔστιν αὔλησίς τι πρᾶγμα; Β. Πάνυ μὲν ὦν.
Α. Ἄνθρωπος ὦν αὔλησίς ἐστιν; Β. Οὐδαμῶς.
Α. Φέρ' ἴδω; τίς αὐλητάς; τίς εἰμέν τοι δοκεῖ;
ἄνθρωπος. Οὐ γάρ; Β. Πάνυ μὲν ὦν. Α. Οὐκ ὦν δοκεῖ
οὕτως ἔχειν τοι καὶ περὶ τὠγαθῶ; τὸ μὲν
ἀγαθὸν τὶ πρᾶγμ' εἶμεν καθ' αὔθ'· ὅστις δέ κα
εἰδῇ μαθὼν τῆν', ἀγαθὸς ἤδη γίγνεται.

Οὗτος ὁ Πλάτων Χαβρίᾳ συνείπετο τῷ στρατηγῷ φεύγοντι θανάτου, μηδενὸς τῶν πολιτῶν τοῦτο πρᾶξαι βουληθέντος. Ὅτε καὶ ἀνιόντι αὐτῷ εἰς τὴν ἀκρόπολιν σὺν τῷ Χαβρίᾳ Κρωβύλος ὁ συκοφάντης ἀπαντήσας φησίν· « Ἄλλῳ συναγορεύσων ἥκεις, ἀγνοῶν ὅτι καὶ σὲ τὸ Σωκράτους κώνειον ἀναμένει; » Ὁ δ' ἔφη· « Καὶ ὅτε ὑπὲρ τῆς πατρίδος ἐστρατευόμην, ὑπέμενον τοὺς κινδύνους, καὶ νῦν ὑπὲρ τοῦ καθήκοντος διὰ φίλον ὑπομενῶ. » Τοιοῦτος δὲ ὢν ὅμως ἐσκώφθη καὶ αὐτὸς ὑπὸ τῶν κωμικῶν. Θεόπομπος γοῦν φησίν·

Ἓν γάρ ἐστιν οὐδὲ ἕν,
τὰ δὲ δύο μόλις ἕν ἐστι, ὥς φησι Πλάτων.

Ἀλλὰ καὶ Ἀναξανδρίδης·

Ὅτε τὰς μορίας ἔτρωγεν ὥσπερ [καὶ] Πλάτων.

Καὶ Τίμων παραγραμματίζων αὐτόν·

Ὡς ἀνέπλαττε Πλάτων πεπλασμένα θαύματα εἰδώς.

Ἄλεξις·

Εἰς καιρὸν ἥκεις, ὡς ἔγωγ' ἀπορουμένη
ἄνω κάτω τε περιπατοῦσ', ὥσπερ Πλάτων,
σοφὸν οὐδέν' εὕρηκ', ἀλλὰ κοπιῶ τὰ σκέλη.

Καὶ πάλιν·

Λέγεις περὶ ὧν οὐκ οἶσθα συγγενῶς τρέχων
Πλάτωνι, καὶ γνώσει λίτρον καὶ κρόμμυον.

Ἄμφις Ἀμφικράτει·

Τὸ δ' ἀγαθόν, ὅ τί ποτ' ἐστίν, οὗ σὺ τυγχάνειν
μέλλεις διὰ ταύτην, ἧττον οἶδα τοῦτ' ἐγώ,
ὦ δέσποτ', ἢ τὸ Πλάτωνος ἀγαθόν.

Ὁ Πλάτων περὶ μὲν ὧν κατείληφεν, ἀποφαίνεται, τὰ δὲ ψευδῆ διελέγχει, περὶ δὲ τῶν ἀδήλων ἐπέχει. Καὶ περὶ μὲν τῶν αὐτῷ δοκούντων ἀποφαίνεται διὰ τεσσάρων προσώπων, Σωκράτους, Τιμαίου, [τοῦ Ἀθηναίου ξένου, τοῦ Ἐλεάτου ξένου]· περὶ δὲ τῶν ψευδῶν ἐλεγχομένους εἰσάγει Θρασύμαχον, Καλλικλέα, Πῶλον, Γοργίαν. Ἔλεγε δέ, τὴν μὲν ψυχὴν ἀρχὴν ἔχειν ἀριθμητικήν, τὸ δὲ σῶμα γεωμετρικήν· ὡρίζετο δὲ αὐ-

ejus generis sunt alia, constituere : tertio cernere, quæ ideæ sub eandem rationem cadant, ut scientiam, aut proceritatem, aut principatum ; idque animo reputare, ea quæ sunt apud nos ex illorum participatione eis æquivoca fieri : verbi gratia, æqua esse, quæ cum æquo, honesta, quæ cum honesto communicent. Est autem unaquaque species æterna et intelligentia omniumque affectionum vacua : propterea dicit ideas exsistere tanquam exemplaria, cetera iis similia esse, velut earum simulacra. De bono igitur et ideis sic Epicharmus loquitur :

A. Tibicinalis ars, resne aliqua est? *B.* Quippeni?
A. Tibicinalis hæc ars, an homo est? *B.* Neutiquam.
A. Videamus : ipsum quid putas tibicinem?
hominem, annon? *B.* Hominem haud dubie. *A.* Nonne existimas
rem sese habere pariter etiam de bono?
nempe ut bonum ipsum res sit : at si quis bonum
istud didicerit, is jam dicatur bonus? (*Diog.* III, 12-14.)

Plato Chabriam ducem capitis accusatum comitabatur, nullo id civium tentare auso. Quo tempore inter ascendendum una cum illo in arcem Athenarum, quum Crobylus quadruplator illi obviam factus istud ingessisset : « Alteri auxiliaturus venis, at nescis, te quoque manere Socratis cicutam : » ipse respondit : « Quum pro patria militarem, pericula sustinui, et quidem nunc in amici gratiam, ne officium deseram, sustinere non verebor » (III, 24). Ejusmodi tamen vir non effugit maledicta et scommata comicorum, inter quos Theopompus :

Unum enimvero ne unum quidem est ;
Imo duo vix sunt unum, quod sentit Plato.

Præterea Anaxandrides :

Quum devorabat oleas, ut solet Plato.

Et Timon ad nomen alludens :

Ut conficta Plato astutus miracula finxit

Item Alexis :

In tempore ipso venisti : ego nam consili
inops sursum deorsum spatians, ut Plato,
nil docti inveni, sed laboro cruribus.

Et iterum :

Loqueris de quibu' nil nosti, plane cursitans
Platonis instar ; cæpam nosces et nitrum.

Amphis in Amphicrate :

Atqui bonum illud quod nancisci cogitas
te posse propter hanc, id ego, here, minu' scio
Platonis istud quam bonum (III, 27).

Plato quæ assecutus et animo complexus fuit, asserit, falsa refutat, de incertis definire supersedet. De iis quæ approbat, per quattuor personas sententiam suam prodit, nempe Socratem, Timæum, Atheniensem hospitem et exterum Eleatem (*D.* III, 52). Mendacio vero convictos inducit Thrasymachum, Calliclem, Polum et Gorgiam. Animum dicebat principium sui habere arithmeticam, corpus

τὴν ἰδέαν τοῦ πάντη διεστῶτος πνεύματος, αὐτοκίνητόν τε εἶναι.

54. **Πύρρων** ὁ Ἠλεῖος Ἀναξάρχῳ συνακολουθῶν, καὶ τοῖς γυμνοσοφισταῖς καὶ τοῖς μάγοις συνέμιξεν. Οὗτος τὸ τῆς ἀκαταληψίας καὶ ἐποχῆς εἶδος εἰσήγαγεν· οὐδὲν γὰρ ἔφασκεν οὔτε καλὸν οὔτε αἰσχρὸν οὔτε δίκαιον οὔτε ἄδικον. Καὶ ὁμοίως ἐπὶ πάντων, μηδὲν εἶναι τῇ ἀληθείᾳ, νόμῳ δὲ καὶ ἔθει πάντα τοὺς ἀνθρώπους πράττειν· οὐ γὰρ μᾶλλον τόδε ἢ τόδε εἶναι ἕκαστον. Φασὶ δὲ αὐτὸν ἐκπατεῖν καὶ ἐρημάζειν, σπανίως ἐπιφαινόμενον τοῖς οἴκοι. Τοῦτο δὲ ποιεῖν ἀκούσαντα Ἰνδοῦ τινὸς ὀνειδίζοντος Ἀναξάρχῳ, ὡς οὐκ ἂν ἕτερόν τινα διδάξαι οὗτος ἀγαθὸν, αὐτὸς αὐλὰς βασιλικὰς θεραπεύων. Ἀεί τε εἶναι ἐν τῷ αὐτῷ καταστήματι· ὥστε, εἰ καί τις αὐτὸν καταλίποι μεταξὺ λέγοντα, αὐτῷ διαπεραίνειν τὸν λόγον. Πολλάκις τε καὶ ἀπεδήμει μηδενὶ προειπὼν, καὶ συνερέμβετο οἷστισιν ἤθελε. Καταληφθείς δέ ποτε αὐτῷ λαλῶν, καὶ ἐρωτηθεὶς τὴν αἰτίαν, ἔφη, μελετᾶν χρηστὸς εἶναι. Ἐν ταῖς ζητήσεσιν ὑπ' οὐδενὸς κατεφρονεῖτο, διὰ τὸ [δι]εξοδικῶς λέγειν, καὶ πρὸς ἐρώτησιν. Οὕτω δ' ὑπὸ τῆς πατρίδος ἐτιμήθη, ὥστε καὶ ἀρχιερεὺς κατέστη, καὶ δι' ἐκεῖνον πᾶσι τοῖς φιλοσόφοις ἀτέλεια ἐψηφίσθη. Εὐσεβῶς καὶ τῇ ἀδελφῇ συνεβίω μαιευούσῃ. Καὶ φέρων εἰς τὴν ἀγορὰν, ἐπίπρασκεν ὀρνίθια, εἰ τύχοι, καὶ χοιρίδια. Καὶ τὰ ἐπὶ τῆς οἰκίας ἐκάθαιρεν ἀδιαφόρως. Καὶ χολήσας τι περὶ τῆς ἀδελφῆς (Φιλίστα ἐκαλεῖτο), πρὸς δὴ τὸν λαβόμενον εἶπεν, ὡς οὐκ ἐν γυναίῳ ἐπίδειξις τῆς ἀδιαφορίας. Καὶ κυνός ποτε ἐπενεχθέντος διασοβηθεὶς εἶπε πρὸς τὸν αἰτιασάμενον, ὡς χαλεπὸν εἴη [ὁλοσχερῶς] ἐκδῦναι τὸν ἄνθρωπον· διαγωνίζεσθαι δὲ πρῶτον μὲν ὡς οἷόν τε τοῖς ἔργοις πρὸς τὰ πράγματα, εἴ γε μὴ, τῷ γε λόγῳ.

55. **Ποτάμωνα** τὸν Μιτυληναῖον ῥήτορα εἰς τὴν πατρίδα ἐπανιόντα ποτὲ ὁ Καῖσαρ Τιβέριος τοιούτοις ἐφωδίαζε γράμμασι· « Ποτάμωνα τὸν Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσει, σκεψάσθω, εἴ μοι δυνήσεται πολεμεῖν. »

Σ.

56. **Σίβυλλα** Ῥωμαϊκὴ λέξις ἐστὶν, ἑρμηνευομένη προφῆτις. Ὅθεν αἱ θήλειαι μάντιδες ἑνὶ ὀνόματι σίβυλλαι ὠνομάζοντο. Γεγόνασι δὲ Σίβυλλαι δέκα, ὧν πρώτη ἡ Χαλδαία ἡ περὶ Χριστοῦ προφητεύσασα. Εἰ δὲ οἱ στίχοι αὐτῆς ἀτελεῖς εὑρίσκονται, καὶ ἄμετροι, οὐκ αὐτῆς ἡ αἰτία, ἀλλὰ τῶν ταχυγράφων, ἀσυμφθασάντων τῇ ῥύμῃ τοῦ λόγου· ἅμα γὰρ τῇ ἐπιπνοίᾳ ἐπέπαυτο ἡ τῶν λεγομένων μνήμη.

57. **Στησίχορος** ὁ λυρικὸς γράψας ψόγον Ἑλένης ἐτυφλώθη· πάλιν δὲ γράψας Ἑλένης ἐγκώμιον, ἀνέβλεψεν. Ἐκλήθη δὲ Στησίχορος, ὡς πρῶτος ἐν κιθαρῳδίᾳ στήσας χορόν· πρότερον γὰρ Τισίας ἐλέγετο.

vero geometriam; definiebatque animam esse formam spiritus quoquo versum distracti, et se suapte vi moventem.

54. *Pyrrho* Eleus Anaxarchi comes cum Gymnosophistis Indis et Magis consuetudinem habuit. Hic legem quandam et formulam invexit incomprehensibilitatis et in dijudicando suspensionis. Negabat quidquam revera esse honestum vel flagitiosum, justum vel injustum: et consimiliter de ceteris: homines tantummodo cuncta agere aut ex legis instituto aut ex consuetudine, disserebat: nihilo enim magis hoc quam illud esse. Prædicant illum solere solitudines et secessus captare, raro domesticis videndum se præbendo, idque fecisse ab eo tempore, quo Indum audierat Anaxarcho exprobrantem objicientemque, quod alium neminem virtutem et bonum doceret, ipse aulas regum colens atque frequentans. Præterea eodem in statu habituque persistere solitum memorant, ut, etiamsi dicentem quis desereret, secum nihilominus inceptum sermonem perageret. Non raro peregrinationem suscipiebat, nemini sui instituti indicium faciens, et quibuscum vellet una vagabatur. Deprehensus quandoque secum loqui, causamque interrogatus, respondit meditari secum, qua ratione vir bonus fiat et aliis utilis. In quæstionibus nemo despectui illum habuit, eo quod oratione pressa, et ad interrogationem accommodata responderet. In patria tanti est habitus, ut pontifex maximus designatus fuerit: atque in ejus gratiam omnibus philosophis immunitas a vectigalibus plebiscito promulgata est. Pie vixit et cum sorore obstetricante. Idem in forum deferebat aviculas, si ita res ferebat, et porcellos. Utensilia domus promiscue tergebat et mundabat. Commotior in sororem, cui Philistæ nomen erat, et ob id reprehensus ab alio dixit: « In muliercula non edendum specimen indifferentiæ. » Irruente olim in eum cane exterritus, ad culpantem dixisse memoratur: « Quam difficile est hominem penitus exuere: contendendum tamen est primum, quam fieri potest, maxime operibus, si id fieri nequeat, saltem ratione. » (*Diog.* IX, 61 *sqq.*).

55. *Potamonem* Mytilenæum rhetorem, patrium solum repetentem, Tiberius Cæsar hujusmodi literis viatici loco instructum dimisit: « Potamonem Lesbonactis filium si quis offendere audebit, consideret secum ille, an mecum suscipere bellum valeat. »

S.

56. *Sibylla* romana vox est, fatidicam mulierem significans, unde vaticinæ feminæ uno nomine Sibyllæ vocantur. Decem autem numero fuere, quarum prima Chaldæa de Christo vaticinata est; cujus si versus aliquot imperfecti et metricis legibus parum constantes inveniuntur, non ipsius id culpa, sed scribarum, qui orationis celeritatem scribendo assequi nequiverunt, quod simul cum cessante inspiratione dictorum memoria intercideret.

57. *Stesichorus* lyricus, quum scripsisset Helenæ vituperium, luminibus orbatus fuit, recepto visu, postquam recantasset, edito Helenæ encomio. Nomen autem Stesichori accepit, quod primus chorum statuerit in cantu ad tibiam, dictus antea Tisias.

§ 55. Eadem plenius Suidas. V. fragm. Potam. tom. III, p. 505.
§ 56. Eadem alio ordine Suidas s. v. Cf. Crameri Anecd. Paris. I, p. 332 sq.
§ 57. Eadem Suidas s. v.

58. Σαπφὼ ἡ Λεσβία δι' ἔρωτα Φάωνος τοῦ Μιτυληναίου ἐκ τοῦ Λευκάτα κατεπόντισεν ἑαυτήν.

59. Σοφοκλῆς ὁ τραγικὸς μέλιττα ἐκαλεῖτο διὰ τὸ ἡδύ.

60. Σώφρων Συρακούσιος, Ἀγαθοκλέους, ἔγραψε καταλογάδην Δωρίδι διαλέκτῳ μίμους ἀνδρείους καὶ γυναικείους. Καί φασι Πλάτωνα τὸν φιλόσοφον ἀεὶ ἐντυγχάνειν αὐτοῖς, ὡς καὶ καθεύδειν ἐπ' αὐτῶν ἐσθ' ὅτε.

61. Στίλπων ὁ Μεγαρεὺς τοσοῦτον εὑρησιλογίᾳ καὶ σοφιστείᾳ προῆγε τοὺς ἄλλους, ὥστε μικροῦ δεῆσαι πᾶσαν τὴν Ἑλλάδα ἀφορῶσαν εἰς αὐτὸν μεγαρίσαι. Ἀπέσπασε μὲν οὖν καὶ ἄλλους πολλούς, Δίφιλον δὲ τὸν Βοσποριανὸν καὶ Μύρμηκα τὸν Ἐξαινέτου, παραγενομένους ὡς ἐλέγξοντας, ζηλωτὰς ἔσχε. Τοῦτον ἀπεδέχετο καὶ Πτολεμαῖος ὁ Σωτήρ· καὶ ἐγκρατὴς Μεγάρων γενόμενος, ἐδίδου τε ἀργύριον αὐτῷ, καὶ παρεκάλει εἰς Αἴγυπτον συμπλεῖν. Ὁ δὲ μέτριον μέν τι τἀργυριδίου προσήκατο, ἀρνησάμενος δὲ τὴν ὁδὸν, μετῆλθεν εἰς Αἴγιναν, ἕως ἐκεῖνος ἀπέπλευσεν. Ἀλλὰ καὶ Δημήτριος ὁ Ἀντιγόνου καταλαβὼν τὰ Μέγαρα, τήν τε οἰκίαν αὐτοῦ φυλαχθῆναι, καὶ πάντα τὰ ἁρπασθέντα προὐνόησεν ἀποδοθῆναι. Ὅτε καὶ βουλομένῳ παρ' αὐτοῦ τῶν ἀπολωλότων ἀναγραφὴν λαβεῖν, ἔφη μηδὲν τῶν ἰδίων ἀπολωλεκέναι· παιδείαν γὰρ μηδένα ἐξενηνοχέναι, τόν τε λόγον ἔχειν καὶ τὴν ἐπιστήμην. Καὶ αὐτῷ διαλεχθεὶς περὶ ἀνθρώπων εὐεργεσίας, οὕτως εἷλεν ὥστε προσέχειν αὐτῷ. Ἦν δὲ ἀληθῶς κομψότατος καὶ ἀφελὴς καὶ ἀνεπίπλαστος πρός τε τὸν ἰδιώτην εὔθετος. Οὗτος ἰδὼν τὸν Κράτητα χειμῶνος συγκεκαυμένον· « Ὦ Κράτης, εἶπε, δοκεῖς μοι χρείαν ἔχειν ἱματίου καινοῦ », ἤτοι νοῦ καὶ ἱματίου. Καὶ ὃς παρῳδήσας εἶπεν εἰς αὐτὸν οὕτω·

Καὶ μὴν Στίλπων' εἰσεῖδον χαλέπ' ἄλγε' ἔχοντα
ἐν Μεγάροις, ὅθι φασὶ Τυφωέος ἔμμεναι εὐνάς.
Ἔνθάδ' ἐρίζεσκεν, πολλοὶ δ' ἀμφ' αὐτὸν ἑταῖροι·
τὴν δ' ἀρετὴν παρὰ γράμμα διώκοντες κατέτριβον.

Οὗτος ὁ Στίλπων γηράσας καὶ νοσήσας οἶνον προσήκατο, ὡς τάχιον ἀποθάνῃ· ὃ καὶ γέγονεν. Οὗτος ἀνῄρει τὰ εἴδη· καὶ ἔλεγε τὸν λέγοντα ἄνθρωπον εἶναι μηδένα· οὔτε γὰρ τόνδε εἶναι οὔτε τόνδε· τί γὰρ μᾶλλον τόνδε ἢ τόνδε; οὐδ' ἄρα τόνδε. Καὶ πάλιν· τὸ λάχανον οὐκ ἔστι τὸ δεικνύμενον· λάχανον γὰρ ἦν πρὸ μυρίων ἐτῶν· οὐκ ἄρα ἐστὶ τοῦτο λάχανον.

T.

62. Τίμαιος Ταυρομενίτης γραοσυλλέκτρια ἐλέγετο, διὰ τὸ τὰ τυχόντα ἀναγράφειν.

58. *Sappho* Lesbia amore Phaonis Mytilenæi ardens de Leucate promontorio in mare præcipitem se dedit.

59. *Sophocles* tragicus apis cognominatus fuit ob carminis suavitatem.

60. *Sophron* Syracusius Agathoclis filius scripsit oratione soluta et Dorica dialecto Mimos masculos et muliebres, quos Platonem semper in manibus habuisse ferunt, illisque interdum etiam indormivisse.

61. *Stilpon* Megarensis inventionis gratia et argutiis in tantum superavit ceteros, ut tantum non omnis Græcia conjectis in eum oculis intenta megarissare cœperit. Avellit itaque ab illis multos discipulos : præterea Diphilum Bosporianum et Myrmecem Exæneti filium ad se venientes arguendi gratia sectatores habuit. Magni eum faciebat etiam Ptolemæus Soter; qui captis Megaris et pecuniam illi misit, et invitavit ut secum in Ægyptum veniret. Ille pecuniæ pauxillum accepit, sed in Ægyptum ire recusans migravit Æginam, donec ille abiisset. Demetrius quoque Antigoni filius quum cepisset Megaram, domum illi servari et quæ direpta essent cuncta restitui curavit. Ubi quum ea quæ amiserit ut scripto sibi traderet moneret, nihil rerum suarum se perdidisse respondit : quippe doctrinam et eruditionem sibi ademisse neminem, reliquamque sibi esse et eloquentiam et disciplinam. Atque illum erga homines beneficentiæ admonuit tanta orationis vi, ut rex illius jam studiosus prorsus auditor fieret. Erat revera festivus, simplex, simulationis nescius, et rudibus accommodatus. Quum vidisset hieme Cratetem frigore adustum, « O Crates, inquit, videris mihi indigere pallio novo (καινοῦ, id est καὶ νοῦ, « pallio et mente »). Unde Crates illum tali parodia lusit :

Atqui ego Stilponem Megaris mala multa ferentem
vidi, ubi monstrosi esse ferunt habitacla Typhœi.
Hic contendebat juvenum comitante caterva,
virtutem absumens verbo tenus assectando.

Porro Stilpon senio confectus morboque implicitus vinum poposcit, quo mors acceleraretur : quod et evenit. Hic tollebat species : et hominem, qui secum disputabat, esse negabat : neque enim qui disputaret hunc esse vel hunc : qui enim hunc magis quam hunc? non igitur hunc. Rursusque, « Olus quod ostenditur non est : olus enim ante mille annos fuit : non est igitur hoc olus. »

T.

62. *Timæus* Tauromenita dictus fuit convicio Anus collectrix, eo quod trivialia conscriberet.

§ 58. Suidas : Σαπφὼ, Λεσβία ἐκ Μιτυλήνης, ψάλτρια. Αὕτη δι' ἔρωτα.... ἑαυτήν. Τινὲς δὲ καὶ ταύτης εἶναι λυρικὴν ἀνέγραψαν ποίησιν.
§ 59. Eadem Suidas s. v., ubi vide reliqua.
§ 60. Eadem Suidas, post voc. Ἀγαθοκλέους addens : καὶ Δαμνασυλλίδος. Τοῖς δὲ χρόνοις ἦν κατὰ Ξέρξην καὶ Εὐριπίδην
§ 62. Eadem Suidas s. v.

63. Τιμόλαος ὁ Λαρισσαῖος ῥήτωρ ἐδιπλασίασε τὴν Ἰλιάδα, παρεμβαλὼν στίχον πρὸς στίχον. Ἔχει δὲ οὕτως·

Μῆνιν ἄειδε, θεὰ, Πηληιάδεω Ἀχιλῆος,
ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης,
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε
μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτος.
Πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί.

64. Τριβωνιανὸς κολακεύων Ἰουστινιανὸν βασιλέα, ἔπειθεν αὐτὸν, ὅτι οὐκ ἀποθανεῖται, ἀλλὰ μετὰ σαρκὸς εἰς οὐρανὸν ἁρπαγήσεται. Ἦν δὲ ὁ Τριβωνιανὸς Ἕλλην καὶ ἄθεος.

65. Τυρταῖόν φασι τὸν ἐλεγειοποιὸν τοῖς μέλεσι χρησάμενον, ὅτε Λακεδαιμόνιοι Μεσσηνίοις ἐπολέμουν, παροτρῦναι Λακεδαιμονίους, καὶ ταύτῃ ἐπικρατεστέρους ποιῆσαι.

66. Τυραννίων ὁ Ἐμισηνὸς (l. Ἀμισηνὸς), Θεόφραστος πρὶν καλούμενος, μετεκλήθη Τυραννίων, ὡς κατατρέχων τῶν ὁμοσχόλων. Οὗτος αἰχμάλωτος ὑπὸ Λουκούλλου ληφθεὶς, καὶ πλούσιος ἐν Ῥώμῃ γενόμενος, ἐκτήσατο βιβλίων ὑπὲρ τὰς τρεῖς μυριάδας.

Υ.

67. Ὑπατία, ἡ Θέωνος θυγάτηρ τοῦ Ἀλεξανδρέως φιλοσόφου, καὶ αὐτὴ φιλόσοφος, διεσπάσθη ὑπὸ Ἀλεξανδρέων, καὶ τὸ σῶμα αὐτῆς ἐνυβρισθὲν καθ' ὅλης τῆς πόλεως διεσπάρη. Τοῦτο δὲ πέπονθε διὰ τὴν ὑπερβάλλουσαν σοφίαν, καὶ μάλιστα εἰς τὰ περὶ ἀστρονομίας.

Φ.

68. Φαίδων Ἠλεῖος, ὁ Σωκράτους μαθητὴς, αἰχμάλωτος ὑπὸ Ἰνδῶν ληφθεὶς, εἶτα πραθεὶς πορνοβοσκῷ τινι, προέστη ὑπ' αὐτοῦ πρὸς ἑταίρησιν ἐν Ἀθήναις. Ἐντυχὼν δὲ Σωκράτει ἐξηγουμένῳ, ἠράσθη τῶν λόγων αὐτοῦ, καὶ αἰτεῖ λύσασθαι. Ὁ δὲ πείθει Ἀλκιβιάδην πρίασθαι αὐτόν· καὶ ἦν τὸ ἐντεῦθεν φιλόσοφος. Οὗτος ἦρξε τῆς ἀπ' αὐτοῦ κληθείσης Ἠλειακῆς αἱρέσεως, ἥτις ὕστερον ὑπὸ Μενεδήμου τοῦ Ἐρετριέως Ἐρετριακὴ προσηγορεύθη.

69. Φερεκύδην τὸν Σύριον (ἔστι δὲ μία τῶν Κυκλάδων νήσων ἡ Σύρα) φασὶν οὐ σχεῖν διδάσκαλον, ἀλλ' ἑαυτὸν ἀσκῆσαι κτησάμενον τὰ Φοινίκων ἀπόκρυφα βιβλία. Οὗτος πρῶτος τὸν περὶ μετεμψυχώσεως λόγον εἰσήνεγκε. Γέγονε δὲ φθειρόβρωτος.

63. *Timolaus* Larissæus, rhetor, congeminavit Iliadem, versum semper versui subjiciens, hoc modo :

Iram, Diva, mihi Pelidæ suggere Achillis,
quam Chrysæ ob natam sumpsit (cui injuria facta),
letalem, quæ mille malis involvit Achivos,
pugnantes dum bella cient ductore carentes,
heroumque animas fortes demisit ad Orcum
Hectoreis manibus, quos hausit missile ferrum.

64. *Tribonianus* Justiniano imperatori adulans persuasit non moriturum ipsum, sed una cum corpore raptum cœlo immigraturum. Erat autem paganus et impius.

65. *Tyrtæum*, elegiacum poetam, carminibus Lacedæmonios, quo tempore cum Messeniis bellum gerebant, animasse, eaque ratione victoriam illis peperisse proditum est.

66. *Tyrannion* Amisenus, prius Theophrastus (ab eloquii divinitate), posterius Tyrannion mutato nomine dictus est, quod condiscipulos exagitaret. Captus fuit a Lucullo, Romæque in magnis divitiis vivens possedit supra tres librorum myriades.

HY.

67. *Hypatia* Theonis Alexandrini philosophi filia et ipsa philosopha, ab Alexandrinis discerpta est, et cadaver ejus contumeliis affectum per totam urbem frustatim sparsum est : quod illi accidit ex invidia orta ob eximiam peritiam, rerum præsertim astronomicarum.

PH.

68. *Phædon* Eleus, Socratis auditor, ab Indis captus, ac lenoni venundatus, ab eo prostitutus Athenis fuit ad stuprum. Is forte in Socratem incidens publice profitentem, disputationibus illis mire affici cœpit, petiitque obnixe, ut redimeretur. Itaque Alcibiadem flexit Socrates, qui eum mercaretur : quo facto jam inde philosophari cœpit. Auspicatus est Eliacam sectam ab ipso nomen adeptam, quæ postea a Menedemo Eretriensi Eretriaca appellata est.

69. *Pherecydes* Syrius (est autem Syra e Cycladibus insulis una) nullo usus fuisse magistro, suoque marte profecisse dicitur, postquam arcana Phœnicum commentaria nactus fuerat. Hic primus opinionem de animorum transmigratione invexit. Absumptus autem est a pediculis.

§ 63. Suidas : Τιμόλαος, Λαρισσαῖος ἐκ Μακεδονίας, ῥήτωρ, Ἀναξιμένους τοῦ Λαμψακηνοῦ μαθητής. Ὃς καὶ ποιητικῶς ἔχων παρενέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον, καὶ ἐπέγραψε τὸ σύνταγμα Τρωικόν. Μῆνιν ἄειδε κτλ.

§ 64. Suidas : Τριβωνιανὸς, Μακεδονιανοῦ, ἀπὸ δικηγόρων τῶν ὑπάρχων. Οὗτος ὁ Τριβωνιανὸς Ἕλλην ὑπῆρχε καὶ ἄθεος καὶ ἀλλότριος κατὰ πάντα τῆς τῶν Χριστιανῶν πίστεως· κόλαξ δὲ καὶ ἀπατεὼν καὶ πείθων Ἰουστινιανὸν τὸν βασιλέα, ὡς ὅτι οὐκ ἀποθανεῖται, ἀλλ' εἰς τοὺς οὐρανοὺς μετὰ σαρκὸς ἀναληφθήσεται. Ἦν δὲ κοιαίστωρ Ἰουστινιανοῦ.

§ 65—69. Eadem Suidas.

70. Φιλήμων ὁ Συρακούσιος ὑπὸ σφοδροῦ γέλωτος ἐτελεύτησεν, ὡς δὴ καὶ Φιλιστίων ὁ Νικαεύς, εἰς ὃν καὶ ἔστι τοῦτο τὸ ἐπίγραμμα·

Ὁ τὸν πολυστένακτον ἀνθρώπων βίον
γέλωτι μίξας Νικαεὺς Φιλιστίων.

Οὗτος ἔγραψε τὸν Φιλόγελων.

71. Φιλίσκον τὸν Μιλήσιον ῥήτορα, πρότερον αὐλητὴν ὄντα παραδοξότατον, Ἰσοκράτης ὁ ῥήτωρ αὐλοτρύπην ἐκάλεσεν.

72. Φιλητᾶς ὁ Κῷος ἰσχνωθεὶς ἐκ τοῦ ζητεῖν τὸν καλούμενον ψευδόμενον λόγον ἀπέθανε.

73. Φίλων ὁ Ἑβραῖος τοσαύτην πρὸς Πλάτωνα ὁμοιότητα ἔσχε κατά τε φράσιν καὶ διάνοιαν, ὡς εἰς παροιμίαν παρ' Ἕλλησι τοῦτο χωρῆσαι· ἢ Πλάτων φιλωνίζει ἢ Φίλων πλατωνίζει.

74. Φιλόστρατος ὁ Λήμνιος, ὁ τὰς Εἰκόνας γράψας, υἱὸς ἦν τοῦ πρώτου σοφιστοῦ Φιλοστράτου Λημνίου. Οὗτος ὁ δεύτερος ἐσοφίστευσεν ἐν Ἀθήναις, εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σεβήρου τοῦ βασιλέως.

X.

75. Χοιρίλος Σάμιος, ποιητής, ἔγραψε τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου, ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα χρυσοῦν ἔλαβε, καὶ σὺν τοῖς Ὁμήρου ἀναγινώσκεσθαι ἐψηφίσθη.

76. Χρύσιππον τὸν φιλόσοφον αἰτιῶνταί τινες προνοεῖν λέγοντα ὅπως ποριστέον τῷ σοφῷ. Φασὶ γάρ, τίνος χάριν ποριστέον αὐτῷ· εἰ μὲν γὰρ τοῦ ζῆν ἕνεκα, ἀδιάφορον τὸ ζῆν· εἰ δὲ ἡδονῆς, καὶ αὐτὴ ἀδιάφορον· εἰ δὲ τῆς ἀρετῆς, αὐτάρκης αὕτη πρὸς εὐδαιμονίαν. Καταγέλαστοι δέ φασι καὶ οἱ τρόποι τοῦ πορισμοῦ, οἷον οἱ ἀπὸ βασιλέως· εἴκειν γὰρ αὐτῷ δεήσει· καὶ οἱ ἀπὸ φιλίας· λήμματος γὰρ ὤνιος ἡ φιλία ἔσται· καὶ οἱ ἀπὸ σοφίας· μισθαρνήσει γὰρ ἡ σοφία. Τοῦτον τὸν Χρύσιππόν φασιν ἧξαι ἐπὶ φιλοσοφίαν, τῆς οὐσίας αὐτοῦ τῆς πατρῴας εἰς τὸ βασιλικὸν ἀναληφθείσης. Τέλος.

70. *Philemon* Syracusanus nimio risu exstinctus est, ut et Philistion Nicæensis, de quo exstat epigramma :

Mortalium ærumnosam vitam miscuit
risu Philistion, Nicæa quem dedit.

Hic scripsit Cachinnatorem.

71. *Philiscus* Milesius rhetor, antea clarus artis gloria tibicen, quem Isocrates orator tibiarum foratorem nuncupabat.

72. *Philetas* Cous quum in inveniendo sophismate quod Pseudomenos vocatur, elaboraret, extenuato corpore obiit.

73. *Philon* Hebræus tantam cum Platone et ingenio et scriptis affinitatem habuit, ut in proverbium abierit apud Græcos : Aut Plato philonissat, aut Philo platonissat.

74. *Philostratus* Lemnius, qui de Imaginibus librum scripsit, filius fuit primi Philostrati, sophistæ Lemnii : docuit Athenis; postea Romæ, imperante Severo.

CH.

75. *Chœrilus* Samius poeta scripsit Atheniensium victoriam de Xerxe, pro cujus poematis singulis versibus aureum staterem dono accepit, decretumque fuit, ut cum Homericis scriptis simul legeretur.

vos docuerint eam quam ex oratione mea capietis utilitatem. Vos igitur fœdus et amicitiam contrahetis cum Romanis; sufficit vero dicere Romanos. Etenim hac sola denominatione reliqua facile intelliguntur. Oportet igitur, quandoquidem vos cum tam potenti gente fœdus initis, neque de rebus parvi momenti consilium habetis, honestissima et utilissima quæque capessere et pro incertis belli certissimum omnibus mortalibus bonum, pacem, amplecti et servare. At ne qua blanda cogitatio vos deludat, tanquam Romanos viceritis, elati, quod Antiochiam et alia quædam ignobilia loca, quæ Romanorum erant, cepistis; in hoc deus felicitatem Romanorum, quæ nimia erat, punivit, neque hominem homini multum præstare debere indicavit. Quodsi quod natura justum est dominaretur, nihil opus esset neque rhetorum neque legum cultu et diligentia, nec concionibus aut orationum ubertate, quæ in his usurpatur. Sponte enim rerum utilitatem sequeremur. Sed quum omnes mortales, quæ sibi placent, justa esse velint: etiam orationis illecebris nobis opus est. Hanc ob causam convenimus, ut unusquisque nostrûm evincat orationis vi et gravitate, se justum esse. Pacem vero bonam esse, bellum autem rem malam, nemo dubitat. Etiamsi, contra id quod vulgo homines opinantur, certum exploratumque haberemus nos victoriam adepturos, opinor tamen, eum, qui vicit, infeliciter agere, quod alterum graviter afflictum videt. Sic igitur vincere quoque molestum est, etsi vinci est molestius. Itaque noster imperator misit nos, ut fœdera vobiscum iniremus, et priores deprecaremur ut bellum deponatis: non quod timeat adversam belli fortunam, sed ne eum præveniatis in pace, quæ nobis tam cara est, petenda. Itaque non amplius foveamus inimicitias nostras, ut tandem aliquando belli curis et molestiis liberemur. Alienum est enim ab omni re publica bene constituta, non providere casus qui in bello accidere possunt. Unusquisque vestrûm, quæso, ante oculos ponat, et apud animum suum contempletur, tanquam præsentes eos qui cum acerbo dolore cadunt; recordetur eorum qui letalia vulnera ostendentes lamentantur, et dominantes incusant, quasi pravo eorum consilio subditi pereant: deinde etiam superstites consideremus, qui a nobis repetunt eos quos in bello amiserunt, forte parentes, forte liberos, utplurimum certe amicissimos quosque aut alium quemvis hominem. Denique animo lustremus viduatas viris domos et infirmissimam ætatem, patribus et matribus orbatam, et passim diffusum per omne cognationis nomen luctum. Nam etsi dederimus, honestum esse mori pro patria, tamen summæ dementiæ est, quum possimus sine periculo terræ altrici gratiam referre, id recusare, quia nobis non idem cum adversariis consecuti esse videmur. Opinor Persidem terram et Romanam, si possint vocem emittere, hoc a nobis postulaturas fuisse. Quare neminem nostrûm pudeat deponere belli onus. Nam prudenter omnia instituendo melius famæ nostræ consulemus, quam bellica virtute. Ne vero quisquam hanc nobis belli non omittendi causam objiciat, quod pulcherrimum

χειρότατα καὶ αὐθαίρετα προσίπτεται τοῖς ἀνθρώποις, τὰ δὲ αὖ βέλτιστα τῶν πράξεων διαδιδράσκει τε καὶ διολισθαίνει καὶ δυσάλωτα πέφυκέ πως. Πᾶν γὰρ ἀγαθὸν εἰρήνη δοκεῖ.... ἐγὼ δὲ κατεπλάγην ἂν ταῖς κομψολογίαις, εἰ μὴ Ῥωμαῖοι μὲν ὑμεῖς, ἡμεῖς δὲ Πέρσαι ἐτυγχάνομεν ὄντες. Μὴ οὖν οἴεσθε περιόδῳ ῥημάτων λήσειν ἡμᾶς, ὁποῖοί τινες καθεστῶτες ἥκετε τευξόμενοι τοῦ συνοίσοντος. Ἐπειδὴ δὲ προβάλλεσθε τὴν εἰρήνην ὥσπερ παραπέτασμα τῆς δειλίας, καὶ ταύτῃ τὸ φανερώτατον τῆς ἀτιμίας ἐπισκιάζειν οἴεσθε, βραχέα διαλεχθείην· οὐ γὰρ σύνηθες ἀνδρὶ Πέρσῃ περιττολογίᾳ διεξιέναι τῶν πραγμάτων τὰ καίρια. Χοσρόης ὁ πάντων ἀνθρώπων, εἴπερ βούλεται, βασιλεὺς, οὔτε τὴν Ἀντιοχείας ἅλωσιν ἐγκαλλώπισμά τι καὶ ἐγκώμιον ἑαυτῷ περιτίθησιν. Εἰ γὰρ καὶ φοβερὸν ὑμῖν καὶ ἐργωδέστατον εἶναι δοκεῖ τὸ παρ' ἡμῶν πραχθὲν, ὅμως ἡμεῖς πάρεργον ἡγούμεθα τὸν ὁντιναοῦν τῶν πολεμίων νικᾶν. Πεπαιδεύμεθα γὰρ ἀκριβῶς τὸ κρατεῖν, καθόσον τὰ λοιπὰ τῶν ἀνθρώπων γένη κρατεῖσθαι μεμαθήκασιν ὑφ' ἡμῶν. Οὔτε μὴν ἑτέρας Ῥωμαϊκῆς πόλεως καταστροφὴ πρὸς ὄγκον ἡμᾶς ἐξαίρει ποτέ· τὸ γὰρ προχειρότατον ἡμῖν οὐ θαυμαστόν. Καὶ ταῦτα μὲν ἀρκέσει πρὸς ἔλεγχον τῆς μάτην ἀπερριμμένης παρ' ὑμῶν ἀδολεσχίας. Ῥωμαῖοι δὲ τὸ σύνηθες πράττουσι, περὶ σπονδῶν πρότεροι διαλεγόμενοι Πέρσαις. Ἡσσηθῆναι (ἡσσηθέντες? N.) πρὸς ἡμῶν νενικήκατε τῷ τάχει, προτερήσαντες τὴν εἰρήνην αἰτεῖν. Καὶ ταύτῃ τὴν ἐν τοῖς πολέμοις ἀδοξίαν ἐπικαλύπτετε, τῷ δῆθεν μὴ ἐφιέμενοι μάχης ἐπιεικεῖς εἶναι δοκεῖν. Ὅπερ ἂν ἡμεῖς, εἴπερ ἐμελλήσατε, καὶ κρατοῦντες ἐπράξαμεν. Ὅμως δεχόμεθα τοὺς λόγους, τὴν εἰρήνην περὶ πλείστου ποιούμεθα. Φρόνημα γὰρ εὐγενὲς τῷ πρέποντι ξυμμεταρυθμίζειν τὰ πράγματα. » Οὕτω δὲ καὶ τοῦ Ζὶχ εἰπόντος, οἱ ἀμφοτέρων ἑρμηνεῖς διασαφηνίσαντες ἐφ' ἑκάτερα μέρη τὰ ῥήματα διδάσκαλοι τῶν νοημάτων ἐγίγνοντο, πλείστων καὶ ἑτέρων ἀπερριμμένων λόγων, νῦν μὲν αὐτοῦ τοῦ χρειώδους χάριν, νῦν δὲ καὶ κόμπου ἕνεκα καὶ τοῦ μὴ δοκεῖν ἧττον ἔχοντας τῆς εἰρήνης ἐφίεσθαι. Πέρσαι μὲν διηνεκεῖς ἠξίουν ἔσεσθαι τὰς σπονδὰς, πρὸς δέ γε καὶ χρυσίον ῥητὸν ἐφ' ἑκάστῳ ἐνιαυτῷ ὑπὲρ τοῦ μὴ κεχρῆσθαι τοῖς ὅπλοις κομίζεσθαι ἀπὸ Ῥωμαίων· καὶ τεσσαράκοντα μὲν ἐτῶν, τὸ γοῦν ἐλάχιστον τριάκοντα, προειληφότας ἐκτὸς συντελεσθησομένων (πᾶν τὸ συντελεσθησόμενον Nieb.) ἐν ἑνὶ ξυναθροισμῷ, οὕτω βούλεσθαι κατατιθέναι τὰ ὅπλα. Ῥωμαῖοι δὲ τοὐναντίον ὀλιγοχρονίους τὰς ξυνθήκας εἶναι ἐβούλοντο, πρὸς τῷ μήτε μὴν κατατιθέναι τι ὑπὲρ τῆς εἰρήνης. Ἀμίλλης δὲ περὶ τούτου ἐπὶ μέγα κινηθείσης καὶ λόγων προελθόντων ἥκιστα ὀλίγων, τέλος ἔδοξεν ὥστε ἐπὶ πεντήκοντα μὲν ἔτη ξυνεστάναι τὴν εἰρήνην, Ῥωμαίοις δὲ ἐπιδοθῆναι τὴν Λαζικήν· στερράς τε εἶναι καὶ ἐρρωμένας τὰς συνθήκας, καὶ κρατεῖν ἑκασταχόσε, τοῦτο μὲν κατὰ τὴν ἕω, τοῦτο δὲ καὶ (κατὰ τὴν) ἐν Ἀρμενίᾳ, ἀλλὰ γὰρ καὶ ἐν αὐτῇ δήπου τῇ Λαζικῇ, οὕτω μέντοι ὡς τριάκοντα χιλιάδας ἐτησίας χρυσίου νομίσματος ἀποφέρεσθαι Πέρσας τῆς εἰρήνης ἕνεκα ἀπὸ Ῥωμαίων. Ἐβεβαιώθη δὲ τοῦτο, ὥστε Ῥωμαίους ἐν ὁμάδι δεκαετίας ποσότητα προπαρασχεῖν οὕτω, παραχρῆμα μὲν ἐνιαυτῶν ἑπτὰ, καὶ

---

illud pacis beneficium haud facile inveniri et comparari possit. Non enim, ut multi existimant, pessima quæque prompte et ultro in sinum hominum advolant, optima diffugiunt, et sese a nobis subtrahunt; tanquam natura ita comparata sint, ut vix apprehendi et teneri possint. Pax enim ex omni parte bonum censetur.... (*Deest initium orationis legati Persarum.*) Ego quidem vestris verborum præstigiis moverer, nisi vos Romani, et nos Persæ essemus. Itaque ne existimetis vestras orationis ambages nos celaturas, vos vestræ utilitatis causa huc venisse. Quemadmodum autem per pacem, quam proponitis, colorem timiditati vestræ quæratis, et ita vestrum dedecus, quod satis undique patet et manifestum est, tegi posse putetis, paucis ostendam. Etenim viro Persæ insolens est, superfluis verborum ambagibus extra propositum egredi et excurrere. Chosroes omnium hominum, si illi lubet, rex, quod Antiochiam ceperit, haud id sibi ornamento et laudi tribuit. Vos quidem, quod gessimus, magnum aliquid, et quod nostri terrorem pariat, existimatis, nos vero non item. Non enim rem operæ pretii ducimus, si qualemcunque hostem devicerimus. Etenim eximie vincere didicimus, quum reliquum hominum genus a nobis vinci didicerit. Neque alterius ex Romanis urbibus expugnatio nos unquam ad altiores spiritus tollet. Hoc enim in nobis minime mirum, quippe quod usitatum et in promptu est. Atque hoc sufficiat ad reprehensionem nugarum, quas frustra effudistis. Romani vero, quod consueverunt, faciunt, qui primi cum Persis de pace colloquium instituunt. Vos alioqui victi in eo vincitis, quod pacis petendæ celeritate prævenitis, et acceptum ex bellis dedecus hac ratione tegitis, et in eo humanitatis laudem affectatis, quod a pugnando abhorretis. Id quidem et nos, si quando tardius mentionem pacis fecissetis, etiam vincentes fecissemus. Itaque et pacem magni æstimamus, et sermones pacis admittimus. Nam generosi animi est, honestatis leges in omnibus rebus sequi. » Hæc Zichus. Interpretes vero amborum legatorum ab utrisque prolata explicantes, ea quæ unaquæque pars sentiebat, exposuerunt, quum in multos quoque alios sermones erupissent, quum utilitatis, tum ornatus causa, et ne propterea quod inferiores essent, pacis desiderio teneri viderentur. Persæ autem pacem continuam esse et certam auri quantitatem, ne armis uterentur, singulis annis accipere volebant. Præterea quadraginta aut ad minus triginta annorum auri præstationem uno cumulo coacervatam sibi dari, ut ab armis discederent, postulabant. Romani contra ad breve tempus fœdera fieri æquum censebant, et quicquam pro pace solvere recusabant. Magno super hoc certamine exorto, quum pluribus verbis inter se disseruissent, tandem decreto sancitum est, ut per quinquaginta annos pax esset; ut Romanis Lazicam Persæ redderent; ut pacis conditiones valerent et ubique observarentur, et per Orientem et per Armeniam et per ipsam quoque Lazicam: sic tamen ut triginta aureorum millia singulis annis pro pace Romani Persis præstarent. De eo quoque convenerunt, ut decem annorum tributum una prius solveretur, ita ut septem annorum summa præsenti pecunia, trium reliquorum annorum, qui restabant ex decem, statim post per-

μετὰ τὴν τῶν ζ' ἐτῶν παραδρομὴν, οὐκ ἐς ἀναβολὴν, κατατιθέναι τῶν λοιπῶν τριῶν ἐτῶν τὴν συντέλειαν· εἶθ' οὕτω καθ' ἕκαστον ἔτος πορίζεσθαι Πέρσας τὸ ὡρισμένον ἐνιαυσιαῖον. Ἔδοξε δὲ καὶ περὶ τοῦ κατασκαφῆναι τὸν μοναστήριον οἶκον τὸν λεγόμενον Σεβανὸν καὶ ἱδρυμένον ἐν τοῖς μεθορίοις, καὶ ἀπολήψεσθαι Ῥωμαίους τὸν τόπον, Ῥωμαίων μὲν καθεστῶτα ἀπ' ἀρχῆς, Περσῶν δὲ παρασπονδησάντων καὶ ἐν κατοχῇ τούτου ἤδη γενομένων, τείχει τε κατησφαλισμένων τὸ ἱλαστήριον. Οἱ δὲ ἀλλὰ γὰρ οὔτε ἐς τέλεον κατέσκαψαν, οὔτε μὴν ἐνεχείρισαν Ῥωμαίοις. Ταῦτά τοι οὐδὲ ἐν ταῖς σπονδαῖς ἐμφέρεται. Ἐστέρχθη δὲ ὥστε τὰς λεγομένας τῇ Λατίνων διαλέκτῳ σάκρας ἐξ ἀμφοῖν τοῖν βασιλέοιν αὐτοῦ ἐπικομισθῆναι, ἐπιβεβαιούσας ἅπαντα, ὅσα πρὸς τοῖν πρέσβεων ἐμπεδωθέντα ἐτύγχανε. Καὶ τοίνυν τὰ τοιάδε ἐστάλη αὐτόθι. Ξυνέβησαν δὲ καὶ ἐς τοῦτο, ὥστε κατὰ μίαν μοῖραν προελθεῖν τὴν καλουμένην σάκραν ἐκ τοῦ Ῥωμαίων βασιλέως, ἐπιψηφιζομένην περὶ τῶν προδοθησομένων χρημάτων τῆς τριετίας μετὰ τὸν ἕβδομον ἐνιαυτὸν, ὡς καταθήσουσι ταῦτα Ῥωμαῖοι Πέρσαις. Ἐχυρώθη [δὲ] ὥστε καὶ ἐκ τοῦ βασιλέως Περσῶν ὁμολογίαν ἐν γράμμασι προελθεῖν, ὡς, ἡνίκα πορίσαιντο Πέρσαι τῶν τριῶν ἐτῶν τὸ ὀφειλόμενον χρυσίον, βασιλεῖ Ῥωμαίων τὸ περὶ τοῦ τοιοῦδε βεβαιωτικὸν ἀναδοθήσεται γράμμα. Ἡ μὲν τοῦ Ῥωμαίου αὐτοκράτορος περὶ τῆς εἰρήνης ὁμολογία, τὴν συνήθη φέρουσα προγραφὴν, γνώριμος ἡμῖν ἐς τὰ μάλιστα τυγχάνει· ἡ δὲ τοῦ Περσῶν βασιλέως γράμμασι μὲν ἐγράφη Περσικοῖς, τῇ δὲ Ἑλληνίδι φωνῇ κατὰ ταῦτα δήπουθεν ἰσχύει τὰ ῥήματα· « Θεῖος, ἀγαθὸς, εἰρηνοπάτριος, ἀρχαῖος Χοσρόης, βασιλεὺς βασιλέων, εὐτυχὴς, εὐσεβὴς, ἀγαθοποιὸς, ᾧτινι οἱ θεοὶ μεγάλην τύχην καὶ μεγάλην βασιλείαν δεδώκασι, γίγας γιγάντων, ὃς ἐκ θεῶν χαρακτηρίζεται, Ἰουστινιανῷ Καίσαρι, ἀδελφῷ ἡμετέρῳ. » Ἡ μὲν οὖν προγραφὴ οὕτω πη ἐδήλου, ἀτὰρ ἡ δύναμις τῶν λεχθέντων τοιάδε ὑπῆρχεν. Εἴποιμι δὲ αὐτήν γε δήπου τῶν λόγων τὴν συνθήκην· ἀναγκαῖον γὰρ ἔγωγε ᾠήθην χρῆσθαι οὐκ ἄλλως, ὡς ἂν μὴ ὑποτοπήσοι τις ἑτέρᾳ φράσει παρατετράφθαι τι τῶν ἀληθῶς ... εἶχεν οὕτω· « Χάριν ἀπονέμομεν τῇ ἀδελφότητι τοῦ Καίσαρος περὶ τῆς χρείας τῆς εἰρήνης τῆς μεταξὺ τούτων τῶν δύο πολιτειῶν. Ἡμεῖς μὲν Ἰεσδεγουσνὰφ, θείῳ κουβικουλαρίῳ, ἐκελεύσαμεν καὶ ἐξουσίαν δεδώκαμεν· ἡ ἀδελφότης τοῦ Καίσαρος Πέτρῳ μαγίστρῳ τῶν Ῥωμαίων καὶ Εὐσεβίῳ ἐκέλευσε καὶ ἐξουσίαν δέδωκε λαλῆσαι καὶ τρακταῖσαι. Καὶ ὁ Ζὶχ καὶ ὁ λεγόμενος παρὰ Ῥωμαίοις μάγιστρος καὶ Εὐσέβιος τὰ περὶ τῆς εἰρήνης κοινῶς ἐλάλησαν καὶ ἐτρακταῖσαν, καὶ ἐτύπωσαν τὴν εἰρήνην πεντήκοντα ἐνιαυτῶν, καὶ ἔγγραφα πάντες ἐσφράγισαν. Ἡμεῖς οὖν [καθ'] ἃ ὁ Ζὶχ καὶ ὁ μάγιστρος τῶν Ῥωμαίων καὶ Εὐσέβιος ἐποίησαν, βεβαίως ἔχομεν τὴν εἰρήνην, καὶ ἐμμένομεν αὐτοῖς. » Οὕτω μὲν ἐπὶ λέξεως εἶχεν. Ὁμοιοτρόπως δὲ καὶ ἡ τοῦ Ῥωμαίων βασιλέως ἐτύγχανεν οὖσα ὁμολογία, ἄνευ τῆς προγραφῆς ἧς εἶχε τὸ βασίλειον γράμμα τὸ Περσικόν. Καὶ ἐν τοιοῖσδε ὁ ξύλλογος διελύθησαν. Ἐν δὲ δὴ ἑτέρᾳ ξυνελεύσει μεγαλαυχοῦντος τοῦ Ζὶχ καὶ ἐπὶ Χοσρόῃ βασιλεῖ κομπολογίᾳ χρωμένου, φάσκοντός τε ὡς ἀμαχώτατός τέ ἐστι καὶ νίκας περιεβάλετο πολλὰς, καὶ ὡς ἐξ οὗ χρόνου τὴν κίδαριν ἀνεδήσατο,

---

actum septennium penderetur; deinde per reliquos singulos annos ex conventione solutio fieret. Actum quoque est de diruenda monastica domo, quæ Sebanus vocatur, ædificata in confinibus, cujus aream Romani acciperent. Etenim ab initio Romanorum fuerat: sed eam Persæ, quum pacem rupissent, occupaverant, et quum in ejus possessione diu fuissent, hanc ædem mœnibus sepserant. Non tamen illi eam funditus demoliti sunt, neque Romanis tradiderunt. Fœdera enim de ea re nihil quicquam continebant. Conventum etiam fuit, ut litteræ, quas sacras Latina lingua vocant, ab utrisque, et ab imperatore et a rege, afferrentur, quibus ratas haberent et confirmarent pacis conditiones, de quibus legati consenserant. Et hæ confestim illuc sunt missæ. Conditionibus quoque adscriptum erat, ut separatim sacra sanctio ab imperatore Romano emitteretur, qua pecunias pensionis trium reliquorum annorum, qui restabant ex decem, se statim exeunte septimo anno Persis numeraturum caveret. Pactum quoque est, ut Persarum rex cautionem interponeret, se, simulatque aurum, quod stipulatus erat, pro tribus annis recepisset, securitatis litteras imperatori Romano traditurum. Et Romani imperatoris pacis ratihabitio solitam præ se ferebat inscriptionem, quæ satis nota est. Persarum vero regis Persica lingua scriptæ verba Græce hæc sonant: « Divinus, bonus, pacificus, summus princeps, Chosroes, rex regum, felix, pius, beneficus, cui dii magnum imperium cum magnis opibus indulserunt, Gigas Gigantum, ad deorum exemplar compositus, Justiniano Cæsari, fratri nostro. » Atque inscriptio erat hujusmodi. Vis autem eorum, quæ comprehensa sunt litteris, talis fuit. Referam ego ipsam verborum structuram et dispositionem. Necessarium enim esse duxi non aliter facere, ne quis suspicaretur ex veritate aliquid a me immutatum. Hæc sic se habent: « Gratias agimus Cæsaris fraternitati pro pace inter ista duo regna constituta. Nos quidem Iesdegusnapho, divino cubiculario nostro, jussimus et potestatem dedimus, id negotii conficere. Fraternitas autem Cæsaris ejus procurationem Petro, Romanorum magistro, et Eusebio commisit, ut de pace colloquium haberent et tractarent. Et quidem Zichus, et qui a Romanis magister dicitur, et Eusebius, re inter se deliberata et perpensa, tractaverunt et in scripta redegerunt pacem in quinquaginta annos Persis et Romanis esse, et quæ scripta sunt, suis sigillis impressis approbaverunt. Itaque nos omnia quæ Zichus et magister Romanorum et Eusebius de pace convenerunt, rata firma valere volumus, et conditionibus dictis stamus. » Et ista quidem ad verbum ita scripta se habebant. Eodem sensu Romanorum imperatoris ratihabitio scripta fuit, sed sine inscriptione illa, quam litteræ regis Persarum habebant. Super his solutum est inter legatos colloquium. Quum denuo ad colloquium venissent et Zichus magnificis verbis jactaret et extolleret Chosroen, et diceret illum invictum esse et multas victorias retulisse, et ab eo tempore, quo cidari

ἀμφὶ τὰ δέκα ἔθνη καταγωνισάμενος κατέστησεν ἐς φόρου ἀπαγωγήν, καὶ ὅτι τὴν τῶν Ἐφθαλιτῶν κατεστρέψατο δύναμιν, καὶ μὲν οὖν βασιλεῖς ἐχειρώσατο πλείστους, καὶ ὡς ἄγανταί τε αὐτὸν καὶ τεθήπασιν οἱ ἐκείνῃ βάρβαροι, καὶ ὡς κατὰ τὸ προσῆκον καὶ οὐκ ἀπεικὸς αὐτῷ ἡ ἐπωνυμία κεκόμψευται τὸ βασιλέα προσαγορεύεσθαι βασιλέων, ταῦτα καὶ τὰ τοιάδε τοῦ Ζὶχ περὶ Χοσρόου μεγαληγορίᾳ χρησαμένου ἐν διηγήματι, ἐξῆλθεν ὁ Πέτρος τοιάνδε ἱστορίαν τινά· ὡς ἐγένετό τις ἐν τοῖς πάλαι τε καὶ ἀνωτάτω χρόνοις βασιλεὺς Αἰγύπτιος, ὄνομα Σέσωστρις, καὶ οὖν γε συμπνεούσης αὐτῷ τῆς τύχης μεγάλα ἐφύσα καὶ ἔθνη μέγιστα καθεῖλεν, ὡς δουλαγωγῆσαι καὶ βασιλεῖς, καὶ ἐπὶ τοσοῦτον ἀρθῆναι ἀλαζονείας, ὡς καὶ ὄχημα χρυσοκόλλητον συμπήξασθαι, καὶ ἀνθ' ὧν ἵππους δέον ἢ ἕτερα ἑλκυστήρια ζῷα, τοὺς δοριαλώτους ἐκείνους βασιλεῖς ὑπαγαγεῖν τῷ ζυγῷ, οὕτω τε διφρευόμενον διὰ τῶν λεωφόρων ἐπιφέρεσθαι (ἐπιφαίνεσθαι conj. B.) τοῖς ὑπηκόοις. Τοῦτο ἐπεὶ ὁσημέραι ἐπετέλει, τῶν τις βασιλέων τὸ ὄχημα ἑλκόντων κατὰ τὸ ἄκρον ἐζευγμένος, συνεχέστατά πως καὶ λεληθότως (πεπηγότως conj. B.) εἰς τοὐπίσω τὸ βλέμμα ἐπιστρέφων, ἐθεᾶτο τὸν τροχὸν κυλινδούμενόν τε καὶ τῇ τῆς κινήσεως συνεχείᾳ ἐν ἑαυτῷ περιελιττόμενον. Ἐποχούμενος δὴ οὖν ὁ Σέσωστρις (ἐπέσκηψε γάρ), « Τί δῆτα, ἔφη, τοῦτο ποιεῖς, ὦ οὗτος; » Ὁ δὲ ἀμοιβαδὸν ἔφη· « Ὦ δέσποτα, ὁρῶν τὸν τροχὸν, ὡς θαμὰ περιδινούμενος οὐκ ἐπὶ τῆς αὐτῆς βάσεως μένει ὧδε, ἀλλὰ γὰρ ἄνω κάτω φερόμενος τὴν ἁρματοτροχίαν ἐργάζεται. » Τοῦτο ἀκηκοὼς ὁ Αἰγύπτιος, καὶ μὲν οὖν τεκμηράμενος, ὡς ὑπαινίττεται τὸ ἀστάθμητόν τε καὶ παλίμβολον τῆς τύχης καὶ ὡς τροχῷ κυλιομένῳ ἔοικε τὰ ἀνθρώπεια, ξυνῆκε, μὴ ἄρα καὶ αὐτὸς χρόνῳ ποτὲ τοιούτῳ προσπταίσῃ δυστυχήματι, τοῦ λοιποῦ τε ἐπαύσατο κατὰ τὸν προλεχθέντα τρόπον ἁρματηλατεῖν· πρὸς τοῖς [τοὺς] δεδουλωμένους οἱ βασιλεῖς ἀφῆκε καὶ ταῖς σφῶν αὐτῶν ἡγεμονίαις ἐνεβίβασεν αὖθις. Ἐνταῦθα Πέτρῳ ἐπαύσατο τῆς ἱστορίας ὁ λόγος, ἐγχαλινώσαντι τὴν τοῦ Ζὶχ περὶ Χοσρόου μεγαληγορίαν. Εἶτα διελέγοντο αὖθις περὶ τῶν πρακτέων. Ἅπαντα μὲν γὰρ, ὡς ἐνῆν, ἀμφίβολα ἐν τάξει καὶ κόσμῳ καθειστήκει. Τὰ οὖν περὶ Σουανίαν ἔτι ἐν μετεώρῳ ὑπῆρχε, καὶ ὑπελέλειπτό σφισι μόνα ἐπ' ἀμφιβόλῳ. Τῷ τοι ἔλεξεν ὧδε Πέτρος· « Πλείστων ἐπαίνων ἄξιός ἐστιν ἀνὴρ, ὃς τέλεια βουλευόμενος τέλειον ἐπιθήσοι ταῖς πράξεσι τὸ πέρας. Εἰ γὰρ ἐλλείπει τι τῶν δεόντων, ἐλλιπὲς οἶμαι καὶ τῷ βουλευομένῳ φρόνημα. Οὐκ εἰκῇ δὲ καὶ μάτην εἴρηται νῦν ἡμῖν ὁ λόγος· πρὸς σὲ δὲ φερόμενος, ὦ Ζὶχ, Ῥωμαίοις τε καὶ Πέρσαις φανήσεται λυσιτελέστερος. Εἴποιμι δέ πως φανερώτερον. Σουανία Ῥωμαίοις ὑπῆρχε, καὶ Ῥωμαῖοι Σουάνοις ἐκέλευον. Ἀμέλει Τζαθίου Σουάνων ἐξηγουμένου Δειτατός (infra Ἐξίσατος) τις Ῥωμαῖος ἀνὴρ τῶν ἐκεῖσε Ῥωμαϊκῶν καταλόγων ἐτύγχανε προεστώς· ἀλλὰ καὶ ἕτεροί τινες Ῥωμαίων ἐν Σουάνοις ἐποιοῦντο τὰς διατριβάς. Δυσμενείας δέ τινος [γενομένης] μεταξὺ τοῦ Λαζῶν βασιλέως καὶ Μαρτίνου τοῦ Ῥωμαίου τηνικαῦτα ἐκεῖσε στρατηγοῦντος, τούτου ἕνεκα ὁ Κόλχος οὐκ ἀπέστειλε Σουάνοις τὸ σύνηθες σιτηρέσιον· ἔθος γὰρ πέμ-

---

redimitus fuisset, decem gentes, cum quibus dimicasset, tributum pendere coegisse, et Ephthalitarum potentiam evertisse, et multos reges subegisse, et omnes illarum terrarum barbaros ipsum colere et venerari, unde jure et merito regis regum appellationem sibi sumeret : quum hæc et hujusmodi Zichus de Chosroe prædicaret, et magnifice loqueretur, Petrus, paulum a proposito digrediens, hanc historiam recitavit. « Erat, inquit, olim priscis temporibus quidam Ægyptiorum rex, nomine Sesostris. Is, quum illi fortunæ aura afflaret, magnos spiritus sumpsit, et potentes gentes domuit, et earum reges captivos fecit, eoque devenit arrogantiæ, ut currum deauratum fabricaret, et equorum et aliorum animalium vecturæ aptorum loco reges illos captivos jugo aptaret. Et ita vectus per vias publicas sese subditis exhibebat. Quæ quum quotidie factitasset, accidit ut quodam die unus ex illis regibus, qui erat summo jugo aptatus, intente et defixe vultum retorquens, spectaret rotam se circumvolventem et continuatione motus in se ipsam revertentem. Quum id Sesostris, qui vehebatur, animadvertisset, eum increpans, « Quid rerum agis? » inquit. « Contemplor, respondit ille, domine, hanc rotam, quæ se alternis frequenter in orbem circumagit, quæ nunquam eodem loco manet, sed fertur modo superius, modo inferius, et ita currus agitationem facit et operatur. » Hæc quum audisset rex Ægyptius, et sentiret illum indicare fortunæ inconstantiam et volubilitatem, quæ semper volvitur, neque eodem loco permanet, et rotæ semper volventi res humanas similes esse : veritus ne ipse posthac in aliquam calamitatem incideret, abstinuit deinceps eo modo, quo diximus, vehi, et præterea reges apud se servitutem servientes in sua regna, ut illic, quemadmodum antea, regnarent, dimisit. » Hic finem accepit Petri sermo historiam recitantis, quo Zichi magniloquentiam repressit. Deinde disseruerunt de his quæ agenda restabant. Cetera enim omnia, quoad ejus fieri potuerat, quæ in controversia fuerant, composita transactaque erant, exceptis quæ ad Suaniam pertinebant, quæ sola in suspenso adhuc et incerta manebant. Itaque Petrus Zicho dixit : « Multis laudibus vir ille dignus est, qui perfecte utilia suadet, eademque perfecte ad exitum perducit. Etenim, si quid in his deest, imbecillitati opinor judicii ejus, qui negotium suscepit, attribuitur. Non immerito neque temere hæc a me habetur oratio, quæ ad te directa, o Ziche, tandem in magnam Romanorum et Persarum utilitatem est redundatura. Dicam ego paullo apertius. Suania ditionis Romanorum fuit, et Suanis Romani imperarunt. Quo tempore autem Tzathius eorum dux erat, Ditatus quidam, Romanus, præerat Romanis militibus, qui illic in præsidiis agebant : tum quoque multi Romani inter Suanos domicilium habebant et commorabantur. Orta quadam inter Lazorum regem et Martinum, Romanorum tunc temporis in his partibus ducem, discordia, Colchus mittere Suanis præstari solitum frumentum recusavit. Mos enim erat mitti a rege Colchorum frumentum. Suani graviter et iniquo animo tulerunt, se

πεσθαι σῖτον ἐκ τοῦ Κόλχων βασιλέως. Διὸ δυσανασχετοῦντες οἱ Σουάνοι τῷ τῶν νενομισμένων στερηθῆναι, κατάδηλον ἐποιήσαντο Πέρσαις, ὡς, εἰ γενήσοιντο αὐτοῦ, Σουανίαν ἐγχειρίσουσιν αὐτοῖς. Ἐν τοσούτῳ Ἐξισάτῳ καὶ τοῖς ἑτέροις ἡγεμόσιν τῶν Ῥωμαϊκῶν ταγμάτων ἔφησαν, ὅτι « Πολυπληθία Περσῶν ἀγγέλλεται χωροῦσα κατὰ Σουάνων, πρὸς ἣν ἀξιόμαχον οὐκ ἔχομεν δύναμιν. Ἀλλὰ τὸ συνοῖσον βουλεύσασθε, ξὺν τοῖς ἐνταῦθα Ῥωμαίων καταλόγοις ὑποχωροῦντες τῇ Μηδικῇ στρατιᾷ. » Τοσούτῳ χρησάμενοι Σουάνοι δόλῳ, καὶ δώροις ἀναπείσαντες τοὺς τῶν καταλόγων ἐπιστάτας, ἀπεβάλοντο παρὰ σφῶν τὴν Ῥωμαίων φυλακήν. Οἱ δὲ Πέρσαι ξὺν τάχει παραγενόμενοι Σουανίαν ἔλαβον. Ληπτέον οὖν ἐντεῦθεν, ὡς καὶ Ῥωμαίων ἀνέκαθεν ὑπῆρχεν, καὶ Ῥωμαίοις ἁρμόζει τήμερον. Εἰ γὰρ δικαιότατα Λαζικῆς κύριοι καθεστήκαμεν, καθὰ δήπουθεν ὑμεῖς ἐψηφίσασθε, Σουανίας τῆς ὑπὸ Λαζικὴν οὐκ ἀπὸ τρόπου δεσπόσομεν. » Ὁ δὲ Σουρήνας ἔφη· « Ἄχθεσθε μᾶλλον Ῥωμαῖοι, ὅτι ἔθνος αὐθαίρετα καὶ ἑκουσίως προσεπέλασεν ἡμῖν. » Ὁ Ζὶχ ὑπολαβὼν ἔφη· « Αὐτόνομοι γεγόνασι Σουάνοι, καὶ οὐ πώποτε τῇ Κόλχων ὑπεκλίθησαν ἀρχῇ. » Αὖθις ὡς τὸν Ζὶχ ἔλεξεν ὁ Πέτρος· « Εἴγε μὴ βούλει, ὦ Ζὶχ, ἐν τοῖς τῆς εἰρήνης συμβολαίοις ὄνομα τὸ Σουανίας ἐγχαράξαι, σήμανον, ὡς ἀποδίδως μοι Λαζικὴν ξὺν τοῖς ὑποτεταγμένοις ἔθνεσιν αὐτῇ. » Ὁ Ζὶχ, « Εἰ τοῦτο, ἔφη, ποιήσω, ἄδειά σοι δοθήσεται καὶ περὶ Ἰβηρίας ἀμφισβητεῖν, κατ' ἐξουσίαν τε εἴποις ἄν, ὡς καὶ αὐτὴ κατήκοος ἐγεγόνει Λαζῶν. » « Ἐν δηλώσει δὲ, » ὁ Πέτρος, « γεγένησαι, ὦ Ζὶχ, ὡς οὐ βούλει πᾶσαν ἡμῖν ἀποδοῦναι Λαζικὴν, ἀλλά τινα μοῖραν αὐτῆς. » Πολλὰ μὲν οὖν καὶ ἕτερα Ῥωμαῖοί τε καὶ Πέρσαι εἰπόντες τε καὶ ἀκηκοότες Σουανίας πέρι, ὅμως οὐ ξυνέβησαν. Δοκεῖ τοιγαροῦν αὐτοῖς περὶ τοῦ τοιοῦδε τὸν βασιλέα ἐπισκοπῆσαι Περσῶν. Καὶ ὅρκῳ ἐπιστώσατο ὁ Ζὶχ, ᾗ νενόμισται Πέρσαις ὀμνύειν, ξυνεπιλαβέσθαι Πέτρῳ ὡς Χοσρόην ἀφικνουμένῳ ἕνεκα Σουανίας. Εἶτα τοῦ Ζὶχ τοὺς περὶ Ἄμβρου τοῦ Ἀλαμουνδάρου τοῦ τῶν Σαρακηνῶν ἡγουμένου κινήσαντος λόγους, φάσκοντός τε, ὅτι γε δήπου καὶ αὐτὸν, ὥσπερ καὶ τὸν πρὸ αὐτοῦ ἡγεμόνα τοῦ Σαρακηνικοῦ, κομίζεσθαι χρεὼν τὰς ἑκατὸν χρυσίου λίτρας, ἀντεῖπεν ὁ Πέτρος, ὥστε « τὸν πρὸ Ἄμβρου ἡγεμόνα δωρεᾷ τινι ἀγράφῳ, ὅσῳ ἂν ἠβούλετο χρυσίῳ καὶ ὁπηνίκα, ὁ καθ' ἡμᾶς ἐφιλοφρονεῖτο δεσπότης. Τοιγαροῦν ἐστέλλετο τῇ ταχυτῆτι τῶν δημοσίων ἵππων ὀχούμενος ἀνὴρ ἀγγελιαφόρος ὡς τὸν Σαρακηνὸν, ἀποκαταστήσων οἱ τὸ ὅπερ ἐτύγχανεν αὐτῷ πεμφθὲν πρὸς τοῦ Ῥωμαίου βασιλέως. Οὕτω τε ἐς τοὔμπαλιν ἐκ τοῦ Σαρακηνοῦ ὡς βασιλέα τὸν ἡμεδαπὸν ἐπέμπετο δωροφορῶν πρεσβευτής. Εἶτα ἀντιδώρῳ αὖθις ἐφιλοφρονεῖτο τὸν Σαρακηνὸν ὁ καθ' ἡμᾶς αὐτοκράτωρ. « Εἰ βούλεται οὖν καὶ Ἄμβρος κατὰ ταῦτα ποιεῖν, εἰ δοκεῖ καὶ τῷ καθ' ἡμᾶς βασιλεῖ »· εἰ δέ γε οὐ βούλεται, κινεῖ τηνάλλως, πρός γε καὶ ἠλιθιώτατα φρονεῖ. Ἀποίσεται γὰρ οὐδὲν ὁτιοῦν. » Τούτων διαμφισβητηθέντων καὶ ἑτέρων, ἐγράφησαν αἱ πεντηκοντούτιδες σπονδαὶ Περσιστὶ καὶ Ἑλληνιστὶ, μετεβλήθη τε τὸ Ἑλληνικὸν εἰς Περσίδα φωνὴν καὶ τὸ Περσικὸν εἰς Ἑλληνίδα. Οἱ δὲ τὰς ξυνθήκας βε-

---

privatos esse his, quæ sibi ex conventione debebantur. Quamobrem significarunt Persis, se, si illuc accederent, eorum manibus Suaniam tradituros. Eodem tempore Exisato et reliquis Romanis ordinum ducibus dixerunt, magnam Persarum manum Suanis bellum inferre nuntiari. Quamobrem quum non idoneas ad resistendum haberent copias, petere ut ipsorum salutis causa cum Romanorum copiis exercitui Persarum obviam irent. Hoc dolo Suani usi, et donis demeriti legionum nostrarum duces, Romanorum præsidium ejecerunt. Persæ autem celeriter accedentes, Suaniam suæ potestatis fecerunt. Hinc facile est intelligere, olim Romanorum juris fuisse Suaniam, hodieque jure illis competere. Nam si optimo jure constituti sumus domini Lazicæ (sic enim et vos jampridem æquum censuistis), non absque ratione Suania, quæ infra Lazicam sita est, in nostrum jus dominiumque cedere debet. » Cui Surenas respondit : « Iniquiori animo et gravius ista fertis, o Romani, quod ea gens sua sponte et ultro sese nostræ potestati permisit. » Zichus ejus verba suscipiens : « Suani suis legibus sunt usi, inquit, neque unquam Colchorum imperio paruerunt. » Tum Petrus : « Si tu, o Ziche, Suaniæ nomen in conventione pacis omitti mavis, hoc tamen commemora, te mihi Lazicam reddere cum gentibus quæ huic regioni subjectæ sunt. » — « Si hoc facio, inquit Zichus, aditus tibi aperietur de Iberia quoque controversiam movere. Nam in tuo arbitrio erit dicere, ipsam quoque subjectam fuisse Lazis. » — « Manifestum est igitur, o Ziche, te nolle nobis integram Lazicam restituere, sed ejus partem. » — Multa etiam alia ultro citroque Persæ et Romani et dixerunt et audierunt de Suania, neque tamen convenire potuerunt. Sed totam rem ad regis Persarum arbitrium rejecerunt, apud quem Zichus se Petro neque studio neque gratia defuturum, quum primum ad Chosroem rediisset, jurejurando, quod apud Persas sacrosanctum habetur, fidem suam obstrinxit. Deinde Zichus sermonem movit de Ambro, Alamundari filio, Saracenorum duce, dixitque illi deberi centum auri libras, et æquum esse ut eas acciperet, sicut et is qui ante Saracenorum dux fuerat. Contra dixit Petrus : « Saracenorum ducem, qui ante Ambrum fuerat, imperator noster libero auri dono nullis litteris obstricto, quando ipsi placebat, ornare solebat. Mittebatur igitur ad Saracenum nuntius, qui, vectus celeritate equorum publicorum, redderet quod illi imperator donatum volebat. Invicem Saracenus per legatum, quem mittebat, imperatorem nostrum donis sibi conciliabat. Tunc iterum imperator vicissim aliqua liberalitate Saracenum sibi devincire studebat. Si Ambrus igitur ita facere decreverit, et imperatori nostro idem placuerit, bene est; sin minus, frustra contendit, et demens est, neque quicquam impetrabit. » Hæc et alia multa quum inter se agitassent, fœderum in quinquaginta annos conditiones sunt perscriptæ Græce et Persice. Deinde Græca in sermonem Persicum, et Persica in Græcum sunt translata. Fœderibus autem scribendis et faciendis affuerunt e Romanis Petrus, dux militum qui circa Im-

ϐαιοῦντες Ῥωμαίων μὲν Πέτρος ὁ τῶν περὶ βασιλέα καταλόγων ἡγεμὼν καὶ Εὐσέβιος καὶ ἕτεροι, Περσῶν δὲ ὁ Ἰεσδεγουσνὰφ καὶ Σουρήνας καὶ ἕτεροι. Τῶν οὖν ἐξ ἑκατέρου μέρους ὁμολογιῶν ἐν συλλαβαῖς ἀναληφθεισῶν, ἀντιπαρεβλήθησαν ἀλλήλαις τῷ ἰσοδυνάμῳ τῶν ἐνθυμημάτων τε καὶ ῥημάτων. Ὅσα δὲ ἐσήμηνε τὰ τῆς εἰρήνης γραμματεῖα, λελέξεται. Καὶ δὴ δόγμα ἐγράφη πρῶτον, ὡς διὰ τῆς στενοπορίας τῆς εἰσόδου τοῦ λεγομένου Χορουτζὼν καὶ τῶν Κασπίων πυλῶν μὴ ἐφεῖναι Πέρσας ἢ Οὔννους ἢ Ἀλανοὺς ἢ ἑτέρους βαρβάρους πάροδον ποιεῖσθαι κατὰ τῆς Ῥωμαίων ἐπικρατείας· μήτε δὲ Ῥωμαίους ἐν αὐτῷ δήπου τῷ χώρῳ, μήτε μὴν ἐν ἄλλοις Μηδικοῖς ὁρίοις στράτευμα στέλλειν κατὰ Περσῶν. Δεύτερον, ὡς ἂν οἱ σύμμαχοι Σαρακηνοὶ ἑκατέρας πολιτείας ἐμμένοιεν καὶ οἱ τοῖς βεβαιωθεῖσι, καὶ μήτε τοὺς Περσῶν κατὰ Ῥωμαίων, μήτε τοὺς Ῥωμαίων ὁπλίζεσθαι κατὰ Περσῶν. Κατὰ τρίτην τάξιν, ὥστε τοὺς ἐμπόρους Ῥωμαίων τε καὶ Περσῶν τῶν ὁποιωνοῦν φορτίων, τούτους δὲ καὶ τοὺς τοιούσδε ποριστὰς κατὰ τὸ ἐξ ἀρχῆς κρατῆσαν ἔθος ἐμπορεύεσθαι διὰ τῶν εἰρημένων δεκατευτηρίων. Δ', ὡς ἂν οἱ πρέσβεις καὶ οἱ τῇ ταχυτῆτι χρώμενοι τῶν δημοσίων ἵππων πρὸς τὰς ἀπαγγελίας, ὁ μὲν ἐς τὰ Ῥωμαίων, ὁ δ' ἐς τὰ Περσῶν ἤδη ἀφικνούμενοι, κατὰ ταύτην τὴν ἀξίαν καὶ τὸ προσῆκον ἕκαστοι τιμηθεῖεν, καὶ τῆς δεούσης τεύξονται ἐπιμελείας· ἀπαλλάττεσθαί τε σφᾶς μὴ χρονοτριβοῦντας· ἀλλὰ γὰρ καὶ τὰς ἐμπορίας, ἃς ἐπιφέρονται, ἀμοιβάζειν ἀκωλύτως τε καὶ ἄνευ συντελείας τινός. Ε' διετυπώθη, ὥστε τοὺς Σαρακηνοὺς καὶ τοὺς ὁποιουσοῦν βαρβάρους ἐμπόρους ἑκατέρας πολιτείας μὴ διὰ ξένων ἀτραπῶν ποιεῖσθαι τὰς πορείας, μᾶλλον μὲν οὖν διὰ τῆς Νισίβεως καὶ τοῦ Δάρας, μήτε μὴν ἄνευ κελεύσεως ἀρχικῆς ἰέναι κατὰ τὴν ἀλλοδαπήν. Εἰ μέντοι παρὰ τὸ δοκοῦν τολμήσωσί τι, ἤγουν, τὸ λεγόμενον, κλεπτοτελωνήσουσιν, ἀνιχνευομένους ὑπὸ τῶν ἐν τοῖς ὁρίοις ἀρχόντων ξὺν τοῖς ὅσα ἐπιφέρονται, εἴτε Ἀσσύρια φορτία εἶεν εἴτε Ῥωμαῖα, παραδίδοσθαι εὐθύνας ὑφέξοντας. Ϛ', ὡς εἴ τινες, ἐν ᾧ χρόνῳ ὁ πόλεμος ξυνειστήκει, ηὐτομόλησαν, τοῦτο μὲν ὡς Πέρσας ἀπὸ Ῥωμαίων, τοῦτο δὲ ἀπὸ Περσῶν ὡς Ῥωμαίους, εἴγε βούλοιντο οἱ προσκεχωρηκότες ἐς τὰ οἴκοι ἐπαναστρέφειν, μὴ γίνεσθαί σφισιν ἐμποδὼν μήτε μὴν κωλύμῃ χρήσασθαί τινι. Τοὺς μέντοι ἐν καιρῷ εἰρήνης αὐτομόλους ἤγουν καταφεύγοντας ἐξ ἑτέρων εἰς ἑτέρους μὴ ὑποδέχεσθαι, ἀλλ' ἐκ παντὸς τρόπου καὶ ἄκοντας ἐγχειρίζεσθαι τοῖς ἐξ ὧν καὶ ἀπέδρασαν. Ζ' μέρος τῶν σπονδῶν, ὥστε τοὺς ἐπεγκαλοῦντας περὶ τοῦ σίνεσθαί τι σφᾶς τοὺς ἀντιπολιτευομένους δίκῃ τέμνεσθαι τὸ φιλονεικούμενον, ἢ δι' ἑαυτῶν τῶν τὴν βλάβην πεπονθότων ἢ δι' οἰκείων ἀνθρώπων ἐν τοῖς μεθορίοις παρὰ τοῖς ἄρχουσιν ἑκατέρας πολιτείας ξυνιόντων· οὕτω δὲ τὸν ζημιώσαντα ἀκέσασθαι τὸ σκάζον. Η', ὥστε τοῦ λοιποῦ μὴ ἐγκαλεῖν Πέρσας Ῥωμαίοις ἕνεκα τοῦ ἐπικτίζεσθαι τὸ Δάρας, ἔδοξε καὶ ἀμφοτέραν πολιτείαν τοῦ λοιποῦ μηδαμῶς ἐπιτειχίζειν, ἤγουν περιοχῇ τινι κατασφαλίζειν τι τῶν ἐν τοῖς ὁροθεσίοις χωρίων, ἵνα μὴ πρόφασις ἐντεῦθεν ἔσοιτο ταραχῆς, καὶ ἐκ τούτου διαλυθήσονται αἱ σπονδαί. Θ', μὴ ἐπιέναι ἢ πολεμεῖν ὑπηκόῳ ἔθνει ἢ χώρᾳ τινὶ ἄλλῃ τοὺς ἑτέρας πολιτείας· μᾶλλον μὲν οὖν ἄνευ βλάβης καὶ κατ' οὐδὲν ὁτιοῦν πημαινομένους ἐν τῷ αὐτῷ μένειν, ὡς ἂν καὶ οἵδε ἀπολαύοιεν τῆς εἰρήνης.

---

peratorem militabant, Eusebius et alii, ex Persis Iesdegusnaph, Surenas et alii. Quum igitur conventiones ab utraque parte litteris mandatæ essent, utramque inter se compararunt, ut verba et sententiæ idem valerent. Quæ autem pacis libelli continerent, dicentur. Primum decretum fuit : ne per angustias ejus introitus, qui Chorutson (*Tzur* ap. Procop.) appellatur, et portas Caspias Persæ aut Hunnos aut Alanos aut alios barbaros in Romanorum fines transire sinerent, neve Romani in ea loca aut in aliam quamcunque partem finium Medicorum exercitum contra Persas mitterent; secundo loco decretum est ut Saraceni, utriusque civitatis socii, eadem pacta servarent, neque hi qui Romanorum partium essent, contra Persas, neque qui Persarum, contra Romanos arma ferrent; tertio capite cavetur ut Romani et Persæ quarumcunquè mercium mercatores et negotiatores secundum veterem morem neque in aliis locis, quam in quibus decimarum solutio est indicta, mercaturas faciant; quarto loco decretum, ut legati et reliqui, qui, quum quid nuntii perferant, equis publicis utantur, tum qui per Romanorum, tum qui per Persarum regiones iter habeant, pro cujusque gradu et dignitate honore afficiantur, et debita cura excipiantur, neque cunctentur, et merces si quas afferant, permutent sine ullo impedimento aut tributi exactione; quinto loco sancitum est, ne mercatores Saraceni aut alii quicumque barbari in amborum regum regionibus per incognitas et minime tritas vias incedant, sed Nisibim aut Daras petant, neque sine jussu principum alienam regionem adeant. Si quid tamen præter quod statutum est audeant, aut, ut dicitur, vectigalia fraudaverint, si deprehendantur ab his qui limitibus præsunt, una cum mercibus quas vehunt, sive sint merces Assyriæ sive Romanæ, pœnas et mulctas a legibus statutas luant; sexto loco decretum est ut his qui, dum bellum erat, sive a Romanis ad Persas, sive a Persis ad Romanos transierunt, si regredi et ad sua redire voluerint, nullum impedimentum aut molestia fiat; sed qui per pacem deinceps aufugient et migrabunt ex alterius ditionis terris, in alterius regionem minime admittantur, sed omni modo etiam inviti reddantur his a quorum dominatu effugerunt; septima pars fœderum fuit, ut, si qui quererentur sibi quid damni illatum esse a contrariæ partis civibus, judicio dirimatur controversia sive per eos ipsos qui injuriam passi sint, sive per certos homines, qui in confiniis apud utriusque partis præfectos conveniant, et ita, qui peccaverit, damno medeatur; octavo capite, ut in posterum Persæ Romanis non succenseant, quod Daras muniant, placuit utramque rem publicam a muniendis locis prope fines sitis porro abstinere, neque ea muris et propugnaculis circumdare, ne inde turbarum occasio nascatur, et fœdera dissolvantur; nono loco placuit neminem invadere aut bello lacessere gentem aut regionem, quæ sub alterutrius imperio sit, sed potius omnes nulla injuria

Γ, ὥστε μὴ πολυπληθίαν στρατοῦ ἐς τὸ Δάρας ἐνιζάνειν, πλὴν ὅση γε ἀρκέσει πρὸς φυλακὴν τοῦ ἄστεος· μήτε δὲ τὸν τῆς ἕω στρατηγὸν κατὰ ταύτην ἐνιδρῦσθαι, τοῦ μὴ ἐκ τοῦ τοιοῦδε ἐπιδρομὰς ἢ βλάβας γίνεσθαι κατὰ Περσῶν. Εἰ δέ γε ἄρα τι τοιοῦτον ξυνενεχθείη, ἐπαγιώθη τὸν ἄρχοντα τοῦ Δάρας διατιθέναι τὸ πλημμεληθέν. Μία πρὸς τῇ δεκάτῃ τῶν σπονδῶν βεβαίωσις, ὥστε, εἰ πόλις ἑτέραν ζημιώσει πόλιν ἢ ὁπωσοῦν διαφθείρει τι τῶν αὐτῆς, μὴ τῷ νόμῳ τοῦ πολέμου μήτε μὴν δυνάμει στρατιωτικῇ, ἄλλως δὲ δόλῳ τινὶ καὶ κλοπῇ — εἰσὶ γὰρ τοιοίδε τινὲς ἀνοσιουργοὶ οἱ ταῦτα πράσσοντες, ὡς ἂν πολέμου ἔσοιτο πρόφασις· ἐβεβαιώθη τοιγαροῦν τὰ τοιουτότροπα ἀναζητεῖν ἐς τὸ ἀκριβές, καὶ ἐπανορθοῦσθαι τοὺς δικαστὰς τοὺς ἐν τοῖς πέρασιν ἑκατέρας πολιτείας ἱδρυμένους. Εἰ δέ γε αὐτοὶ οὐκ ἔσονται ἱκανοὶ ἀναστέλλειν τὰς πρὸς ἀλλήλους τῶν ἀστυγειτόνων φθορὰς, ἐστέρχθη, ὥστε τὴν διαδικασίαν ἀναπέμπεσθαι ὡς τὸν τῆς ἕω στρατηγὸν, ὡς, εἴ γε εἴσω μηνῶν ἓξ μὴ τμηθείη τὰ τῆς ἁμίλλης καὶ ὁ ζημιωθεὶς μὴ λήψεται τὸ ἀπολωλὸς, τὸν ἀδικήσαντα λοιπὸν ἐπὶ ποινῇ ἐς τὸ διπλάσιον τῷ ἠδικημένῳ εἶναι ὑπεύθυνον. Ὡς, εἴ γε μηδὲ οὕτω πέρας ἕξοι, διετυπώθη τὸ πονοῦν μέρος πρεσβείαν στέλλειν ὡς τὸν βασιλέα τοῦ ἠδικηκότος. Εἶτα εἰ μηδὲ ὑπὸ τοῦ βασιλέως γενήσεταί οἱ τὸ ἀποχρῶν καὶ διπλοῦν τὸ ὀφληθὲν ἀναλήψεται κατὰ τὸ ὡρισμένον ἐντὸς ἐνιαυτοῦ, ὅσον ἐπ' ἐκείνῳ τῷ δόγματι διαλελύσθω τὰ τῶν σπονδῶν. Δευτέραν πρὸς τῇ δεκάτῃ μοῖραν τῶν σπονδῶν κατανοήσεις τὰς πρὸς θεὸν ἱκετείας, ἔτι τε καὶ τὰς ἀρὰς, οἷον τῷ μὲν στέργοντι τὴν εἰρήνην εἶναι τὸν θεὸν ἵλεών τε καὶ ξύμμαχον διὰ παντὸς, τῷ δὲ ἀπατηλῷ τῶν τε ἐμπεδωθέντων νεοχμῶσαί τι βουλομένῳ τὸν θεὸν ἔσεσθαι ἀντίπαλόν τε καὶ πολέμιον. Τρίτη πρὸς τῇ δεκάτῃ τῶν νομισθέντων ἰσχὺς, πεντηκοντούτιδας εἶναι τὰς σπονδὰς, ἐρρῶσθαί τε τὰ τῆς εἰρήνης ἐπὶ πεντήκοντα ἐνιαυτοὺς, ἀριθμουμένου τοῦ ἐνιαυτοῦ κατὰ τὸ ἀρχαῖον ἔθος, ἑκάστου ἔτους τῇ τριακοσιοστῇ καὶ ἑξηκοστῇ καὶ πέμπτῃ ἡμέρᾳ περατουμένου. Ἰσχῦσαι δὲ καὶ τοῦτο, καθὰ ἔφην, ὥστε ἐξ ἀμφοῖν ἀποκομισθῆναι συλλαβὰς ἐκεῖσε, δηλούσας ὡς καὶ ἄμφω στέρξαι ταῦτα ἐφ' οἷς ἐβεβαίωσαν οἱ πρέσβεις. Πέρας τε δεξαμένων τῶν συνθηκῶν, ἀντεδόθησαν αἱ λεγόμεναι σάκραι. Τούτων δὲ δοξάντων καὶ ἰσχυροποιηθέντων ἐκτὸς ἐνομίσθη τὰ περὶ τῶν ἐν Περσίδι Χριστιανῶν, ὥστε καὶ νεὼς οἰκοδομεῖν καὶ ἐπιθειάζειν σφᾶς ἀδεῶς, καὶ τοὺς χαριστηρίους ὕμνους, καθὰ νενόμισται ἡμῖν, ἀκωλύτως ἐπιτελεῖν, ἀλλὰ γὰρ μήτε καταναγκάζεσθαι μαγικὴν μετιέναι θρησκείαν, μήτε μὴν θεοκλυτεῖν ἀκουσίως τοὺς παρὰ Μήδοις νενομισμένους θεούς. Καὶ οἱ Χριστιανοὶ δὲ, ὥστε ἥκιστα καὶ οἵδε τολμῷεν μετατιθέναι μάγους ἐς τὴν καθ' ἡμᾶς δόξαν. Ἐκράτησε δὲ ὥστε καὶ τοὺς θνήσκοντας τοῖς Χριστιανοῖς ἐπ' ἐξουσίας εἶναι θάπτειν ἐν τάφοις, ᾗ νενόμισται παρ' ἡμῖν. Τούτων οὕτω προελθόντων καὶ ἐν κόσμῳ καὶ τάξει γενομένων, ἐπεὶ ἀνεδέξαντο οἵ γε ἐς τοῦτο τεταγμένοι τὰς συλλαβὰς τοῖν δυοῖν βιβλίοιν, καὶ ἀπηκρίβωσαν τῷ ἰσορρόπῳ τε καὶ ἰσοδυνάμῳ τῶν ῥημάτων τὰ ἐνθυμήματα, αὐτίκα οἵγε ἰσόγραφα ἕτερα ἐπετέλουν. Καὶ τὰ μὲν κυριώτερα ξυνειληθέντα τε καὶ κατασφαλισθέντα ἐκμαγείοις τε κηρίνοις, ἑτέροις τε οἷς εἰώθασι Πέρσαι χρῆσθαι, καὶ ἐκτυπώμασι δακτυλίων ὑπὸ τῶν πρέσβεων, ἔτι μὴν καὶ ἑρμη-

lacessitos eodem statu manere, ut illis quoque pace frui liceat; decimo loco cautum est ne magna militum manus Daras ultra quam custodiendo oppido satis sit, conveniat, neque dux Orientis circa ea loca commoretur, ne fiant inde excursiones in Persas et damna illis inferantur. Quodsi quid tale contigerit, statutum est ut præfectus Daras oppidi damnum rependat. Undecima fœderis conditio hæc est: Si una civitas alteri detrimento fuerit, et quocumque modo, non legitimo bello, neque exercitus vi, sed dolo et clandestina invasione damnum intulerit (sunt enim multi homines ad hujusmodi facinora perpetranda admodum proclives, quo belli inde occasio oriatur), statutum est ut in ejusmodi injurias diligenter inquiratur, et judices, qui in utriusque regni confiniis juri dicundo sunt præpositi, in eos animadvertant. Qui si coercendis finitimorum dissidiis non sufficiant, sancitur ut disceptatio ad præfectum Orientis transmittatur; qui si intra sex menses concertationes illas non resecuerit, et damno affectus non receperit quod perdidit, eum qui injuriam intulit, obnoxium fore alteri in duplum. Si ne sic quidem res finem acceperit, pars quæ oppressa fuerit legationem mittat ad regem ejus qui vim fecerit, a quo rege damnum si non rependatur, neque duplicem injuriæ restitutionem læsus intra præscriptum anni tempus accipiat, fœdus hoc quidem capite violatum erit. In duodecima fœderum parte videbis ad deum preces, et exsecrationes quoque, scilicet ut deus pacem colenti sit propitius et perpetuus adjutor: contra decipienti et aliquid in conditionibus novare cupienti hostis et inimicus. Tertio et decimo capite additur, quinquagenarias esse pactiones, et in quinquaginta annos durare pacem: annum numerandum esse, secundum morem antiquum, qui terminatur trecentesimo sexagesimo quinto die. Illud quoque obtinere, ut utrimque, sicuti dictum erat, afferrentur litteræ, quæ declararent, utrumque regem approbare ea quæ a legatis gesta transactaque essent. Constitutis igitur pacis conditionibus, mutuo sunt traditæ quæ vocantur sacræ. His ita decretis et confirmatis, separatim pacta sunt interposita de Christianis qui in Perside vivunt, ut illis liceret templa construere, et sine ullo timore sacra peragere, et gratiarum actiones per hymnos deo, sicut apud nos fieri solet, canere, neve cogerentur magicis ceremoniis interesse, aut invitos colere et venerari, qui apud Medos deorum numero habentur. Neque tamen ideo Christiani auderent conari magica sectantes in nostram religionem pertrahere. Obtinuit quoque ut Christianis potestas esset mortuos sepulcris condere, sicuti mos apud nos obtinet. Hæc quum ita rite et ordine gesta administrataque fuissent, litteras hi, quibus ejus rei cura demandata erat, duobus libellis exaratas susceperunt, et earum vim et sensum accurate inter se contulerunt, quarum statim altera exempla confecerunt. Et quidem eæ tabulæ, quibus plenior fides haberetur, diligenter involutæ, et securitatis causa cera et aliis rebus quæ apud Persas

νέων δέκα πρὸς τοῖς δύο, ἓξ μὲν Ῥωμαίων, οὐχ ἧττον δὲ Περσῶν, ἀμοιβαίᾳ τῇ δόσει τὰ τῆς εἰρήνης βιβλία παρέσχοντο ἀλλήλοις. Τὸ μὲν τῇ Περσῶν φωνῇ γεγραμμένον ἐνεχείρισε Πέτρῳ ὁ Ζίχ, καὶ Πέτρος δὲ τῷ Ζίχ τὸ τῇ Ἑλληνίδι· καὶ αὖθις τοῦ Ζίχ τὸ ἰσορροποῦν τῇ Ἑλληνίδι βιβλίον γράμμασι Περσικοῖς διασεσημασμένον, ἄνευ τῆς τῶν ἐκτυπωμάτων ἀσφαλείας, εἰληφότος, [ἐς] τὸ σωθήσεσθαί οἱ τὰς μνήμας, καὶ Πέτρος οὐκ ἄλλως ἐπετέλεσεν ἀμοιβαίως. Εἶτα ἐπὶ τούτοις διελύθησαν, τῶν τε ὁρίων ἄπο ἐγένοντο, καὶ ὁ Ζίχ εἰς τὰ πάτρια ἤθη ἐπορεύετο. Ἀτὰρ ὁ Πέτρος ἔμεινεν αὐτοῦ, ἐπιθειάσων τῇ γενεθλίᾳ ἑορτῇ Χριστοῦ τοῦ θεοῦ· ἤδη γὰρ προσεπέλαζε τῆς ἡμέρας τὸ σέβας. Ἔτι δὲ καὶ τῇ τοῦ θεοῦ ἐπιφανείᾳ τὰ νόμιμα ἁγιστεύσας, μετὰ ταῦτα ἐπέβη τῆς Περσῶν. Καὶ ἐν τοῖσδε πέρας εἰλήφει τὰ τῶν ξυνθηκῶν. Πρὸ δὲ δὴ τῆς ἀναχωρήσεως τῶν πρέσβεων, παραγενομένων τινῶν Περσῶν εἰς τὸ Δάρας, οἷς τὸ τοιόνδε ἐν φροντίσιν ὑπῆρχεν, ἅμα ἐνίοις τῶν ἑρμηνέων καὶ τοῖς τῶν πλαστίγγων ἐπιστάταις, ἀπεκατέστη τοῖς περὶ τὸν Ζίχ τὰ ὀφειλόμενα χρήματα τῶν ζ' ἐνιαυτῶν, ἐφ' οἷς αἱ ξυνθῆκαι προῆλθον. Ὡς δὲ Πέτρος ἀφίκετο πρὸς βασιλέα Περσῶν ἐν τῷ προσαγορευομένῳ Βιθαρμαΐς, διαλεχθησόμενός οἱ περὶ Σουανίας, ἐς τὰ βασίλεια προελθὼν ἔλεξεν ὧδε· « Ἥκομεν, ὦ βασιλεῦ, παρὰ σέ, τὸ μὲν ἐν βεβαίῳ τὴν εἰρήνην ἔχειν εὐτυχήσαντες ἤδη, τὸ δὲ καὶ ὀψὲ γοῦν τευξόμενοι τῶν δικαιοτέρων παρὰ σοῦ μὴ ἀχθησόμενοι. Ὁ γὰρ τὸ παρὸν εὖ διαθεὶς καὶ σχεδιάσας, ὡς εἰπεῖν, τὸ συνοῖσον πῶς οὐχὶ τῶν μελλόντων προμηθεύεται πολλῷ τῷ διαφόρῳ, καθόσον καὶ χρόνῳ τῷ πλείονι; μεγίστου τοίνυν πέφυκε βασιλέως τὸ δύνασθαι μὲν πλέον ἔχειν, μὴ βούλεσθαι δέ· τὸ γὰρ ὑπερβάλλον τῆς ἰσχύος ἐν σώφρονι κολάζεται λογισμῷ. Ἐπεὶ οὖν τὸ ζέον τοῦ πολέμου κατέσβεσται νῦν ἡμῖν καὶ ὥσπερ ἀνεπνεύσαμεν, εἷς δὲ μόνος ὑπολείπεται σπινθὴρ (φημὶ δὲ σπινθῆρα κακῶν τὴν Σουανίαν, ἀπειλοῦσαν ἡμῖν μεγίστην ἔσεσθαι δυσμενείας ἐμπύρωσιν), γενοῦ κώλυμα τῶν δεινῶν, καὶ προκατάπαυσον ἡμῖν ἐλπίδα τῶν κακῶν. Ἐν σοὶ γὰρ τῶν ἀμηχάνων τὸ ἄπορον ἀνεθέμεθα, μηχανησαμένῳ τὰ δέοντα. Μία γάρ τίς ἐστι τελευτάτη τοῦ πολέμου κατάλυσις, τὸ προστεθῆναι καὶ Σουανίαν ἡμῖν, εἴπερ Λαζικῆς κύριοι καθεστήκαμεν. Ὁ γὰρ δεσπόσας τοῦ ἡγεμονικοῦ πῶς οὐχ ἕξει τὸ ὑποβεβηκός; οὔτε γὰρ Λαζοὶ οὔτε μὴν αὐτοὶ Σουάνοι πρὸς ἀμφισβήτησιν ἴοιεν, ὡς οὐχ ὑπήκοος ἡ Σουανία Λαζῶν ἀνέκαθεν ἦν, καὶ ὅτι ψήφῳ τοῦ Λαζῶν βασιλέως ὁ Σουανίας ἄρξων τὸ κῦρος ἐδέχετο. » Ταῦτ' εἰπὼν Πέτρος ἐν γράμμασιν ἐπεδείκνυ Χοσρόῃ παλαιτέρους Λαζῶν βασιλεῖς, καὶ ἄλλους ὑπὸ ἄλλων χειροτονηθέντας Σουάνων βασιλέας. Εἶτα καὶ αὖθις ἔλεξε· « Τοῦ δικαίου τοίνυν ἡμῖν, ὦ βασιλεῦ, καὶ Σουανίαν παρέχοντος, οὐχὶ σὺ προτερήσας ἐν κέρδει σχήσεις ἀμφότερα, καὶ τὸ δόξαι μὴ ἀδικεῖν καὶ τὸ δοκεῖν δωρεῖσθαι τὸ προσῆκον πᾶσιν; οὕτω γὰρ ἂν καὶ ὁ καθ' ἡμᾶς βασιλεὺς [οὐκ] οἴοιτο ἀδικεῖσθαι, εἴγε τὸ οἰκεῖον ὥσπερ δῶρον λήψεται παρ' ὑμῶν, ἐπεὶ καὶ Λαζικὴν οἴεται οὐκ ἄλλως ἔχειν. Διαβεβαιουμένων γὰρ ἡμῶν καὶ ἐναργέστατα δεικνύντων ὡς Ῥωμαίων ἐκ πλείστου χρόνου κτῆμα, ἀντεῖπας αὐτὸς τῷ τοῦ πο-

---

sunt in usu, firmatæ sunt : tum legatorum sigilla annulis impressa, et duodecim interpretum, sex Romanorum et totidem Persarum. Sic mutua traditione inter se sibi pacis tabulas Zichus Petro Persarum lingua scriptas, et Græca Petrus Zicho tradiderunt. Rursus quum Zichus accepisset a Petro aliud illius pactionis exemplum Græca lingua, sed litteris Persicis exaratum, sine ulla sigillorum impressione, quod ad solam rei gestæ memoriam valeret, eadem itidem Petrus a Zicho pari forma accepit. His transactis seorsum alter ab altero procul a confiniis abierunt, et Zichus quidem ad sedes patrias remeavit; sed Petrus illic remansit, ut festum Nativitatis Christi dei (instabat enim veneranda dies) sancte et religiose coleret. Nec multo post illic adhuc Epiphaniæ festum solenni more celebravit; deinde ad Persas profectus est. Et sic quidem pacis transactio ad finem perducta est. Ante profectionem legatorum, quum ex Persis hi, quibus ea res curæ erat, ad Daras accessissent una cum interpretibus et iis qui trutinis præfecti sunt, repræsentatæ sunt quæ Zicho pro septem annorum pensionibus promissæ fuerant pecuniæ. Petrus vero ad regem Persarum accessit in loco qui Bitharmais appellatur, ut de Suania cum illo ageret, et in regiam introductus sic locutus est : « Venimus, o rex, ad te, quum magna ex parte pacis beneficium jam adepti simus, ut in reliquis quoque quanquam sero justitiam a te impetremus; nec nos deceptum iri speramus. Nam qui præsentem rerum statum recte composuit et instantia commoda respexit, quanto magis in futuris providebit, quia et diuturniora sunt? Magni regis est posse quidem plus habere, sed nolle. Quicquid enim potentiæ superat, cohibetur et comprimitur prudenti moderatione. Itaque quum fervens belli inter nos ardor jam deferbuerit et quodammodo respiremus, una scintilla relicta est : Suaniam dico scintillam malorum, quæ minatur nobis maximum inimicitiarum incendium. Sis igitur obstaculo et impedimento gravissimis qui impendent casibus, et restingue malorum imminentium exspectationem. Nos enim dubia et controversa, quæ secare non potuimus, ad te rejecimus, ut quæ convenirent statueres. Unica enim et sola belli prorsus finiendi ratio est, si quidem domini Lazicæ sumus, ut Suaniam quoque nobis restituas. Qui enim dominium assequitur ejus quod imperat, qui fieri potest ut non dominus sit ejus quoque quod alteri paret? Atqui Lazi, sed ne ipsi quidem Suani, minime in dubium revocaverint, Suaniam olim subjectam fuisse Lazicæ, et regi Lazorum jus fuisse arbitrio suo, qui Suaniam regeret, constituere. » Quæ quum diceret Petrus, ex tabulis Chosroem docuit de Lazorum regibus antiquioribus, a quibus reges Suanorum subinde essent creati; deinde sic dicere pergit : « Quum igitur ipsa justitia, o rex, Suaniam nobis attribuat, nonne tu magni facies, prius concedendo utrumque assequi, ut et nemini injuriam intulisse, et omnibus ea quæ debes, largitus esse videaris? Sic enim rex noster minime se læsum esse existimabit, si quod suum est, tanquam dono acceperit, quum et Lazicam non alio modo suam effectam putarit.

λέμου νόμῳ Λαζικὴν οἰκειώσασθαι, καὶ ὅμως, τῷ βούλεσθαι τὴν δίκην ἄτρωτον εἶναι, προυργιαίτερον ἔθου σώφρονα κεκτῆσθαι λογισμὸν ἢ χεῖρα δυνατήν. Τοιγαροῦν ἐποιήσω τὴν οὐκ ἀνάγκην ἀνάγκην, καὶ τῷ γενναίῳ τῆς μεγαλοφροσύνης ἐψηφίσω κατὰ σαυτοῦ, καὶ νικᾶν ἠξίωσας ἡττημένος τοῦ πρέποντος, καὶ ἁπλῶς ἀποκατέστησας ἡμῖν Λαζικὴν ὥσπερ οἰκεῖόν τι κτῆμα μεταθεὶς καὶ τὴν ἐξουσίαν μεταγαγὼν ἐφ' ἡμᾶς. Οὐκ ἄλλως δὲ καὶ περὶ Σουανίας ἀντιβολοῦμεν, τὸ οἰκεῖον προῖκα λαβεῖν· καὶ χάριν δὲ ὁμολογήσειν ἡμᾶς ὑμῖν, τῷ μὴ ἐζημιῶσθαι τὸ οἰκεῖον· ὑμᾶς δὲ τῷ κρείττονι, τῷ δύνασθαι τοσοῦτον ὥστε δωρεῖσθαι δοκεῖν καὶ τὸ μὴ ὑμέτερον. » Καὶ ὁ βασιλεὺς ἔλεξεν ὧδε· « Οὕτω δῆτα ψυχὴν λόγων χηρεύουσαν καὶ τοῦ πείθειν ἔρημον εὑροῦσα ἡ τῆς σοφίας δύναμις, περιφρονοῦσα τὸ ἀσθενὲς καταγωνίζεται, ὥσπερ φάρμακον ἐν ἕλκει προσπλαττόμενον καταβιβρώσκει μὲν τὸ νοσοῦν, συναναζωπυρεῖ δὲ τὴν ὑγείαν τῷ κάμνοντι. Εἰ γὰρ τὸ δίκαιον οὐκ εἶπέ τισιν, εἴ πῃ (εἴποι N.) δὲ τὸ ἁρμόδιον, οὐδὲν ἧττον καὶ οὕτω νικήσει. Τοιγαροῦν ἡ σοφία τούτου ἕνεκα τῆς ἰσχύος τῶν ὅπλων κρατεῖ, ὅτι πολέμου μὲν δύναμις οὐχ οἷά τε πέφυκε τοῦ πρακτέου γενέσθαι (περιγενέσθαι N.), εἰ μή που καὶ ἑαυτὴν αὐτὴ διαχρήσεται, τὸ δὲ τῆς σοφίας ἀσώματον καὶ φρούριον καθέστηκεν ἑαυτῆς· πρός γε καὶ φρουρεῖ τὸν κεκτημένον αὐτήν. Ἐντεῦθεν οὖν οὐδὲ αὐτὸς [σέ], ὦ Ῥωμαίων πρεσβευτά, ὥσπερ εἰκὸς ἐν τοσαύτῃ φιλοσοφίᾳ τεθραμμένον, ἢ περιεῖναι τοῖς ῥήμασι μεμάθηκας, μεμφθείην πρός τινος ἔγωγε μὴ πείθειν μαθών· πλὴν ὡς ἂν οἷός τε ὦ, κἂν εἰ μὴ τοῖς ῥήμασι τηλαυγῶς, ἀλλ' ὅμως τῷ βουλομένῳ τῆς γνώμης, ὡς ἔνεστιν, ἐν φανερῷ προθείην τὸ δίκαιον· δοίημεν, ὡς ἐδικαιολογήσω περὶ Σουανίας, τὴν ἀλήθειαν οὕτως ἔχειν. Λαζικὴν μὲν ἐχειρωσάμην, Σουάνοις δὲ οὐδὲ προσέβαλον, ἢ μόνῃ ἀκοῇ τῷ τὸν Μερμερόην ἡμῖν σημῆναι, ὡς οὐκ ἔστιν ἀξιόλογος οὐδὲ μὴν περιμάχητος ἡ χώρα, οὐδὲ βασιλικῆς ἔργον ἐκστρατείας, ἀλλ' ἓν ὑπάρχει τῶν ἐθνῶν τῶν περὶ τὸν Καύκασον, καὶ ὡς ἔχουσι βασιλίσκον, καὶ ὡς ὁ χῶρός ἐστι Σκυθῶν πάροδος. Ἀπεβίω Μερμερόης, εἶτα ὁ Ναχόεργαν ὑπῆλθε τῇ στρατηγίᾳ. Γέγραφε τοίνυν ἡμῖν καὶ αὐτὸς οὐκ ἄλλως περὶ αὐτῶν, ὅτι τοῦ Καυκάσου τὰς ἀκρωρείας οἰκοῦσι, καὶ ὅτι δῆτα κλῶπές τε καὶ λαφυραγωγοὶ καὶ χαλεπῶν ἔργων καὶ ἀνοσίων καθεστήκασιν ἐργάται. Ἠβουλόμην οὖν κατὰ σφῶν ἐλάσαι στρατείαν, οἱ δὲ κατορρωδήσαντες ἀντὶ Σουάνων ἐγένοντο Πέρσαι. Ὡς εἶναι δῆλον ἐντεῦθεν ἀνήκειν μοι τὴν χώραν, καὶ ἔχειν οὐκ ἀρνοῦμαι. Καὶ τοίνυν δηλοῦσιν ὑπακούοντες ἡμῖν ἀσμενέστατα τῷ καὶ τοῖς δούλοις ἄρχεσθαι τοῖς ἡμῶν. Ἀμέλει καὶ τοῦ Ζίχ ἐν γράμμασι δηλώσαντος, ὡς Ῥωμαῖοι Σουανίαν ἐπιζητοῦσι λαβεῖν, τοσοῦτον πόρρωθεν ᾠήθην ὑμᾶς τοῦ δικαίου φῆσαι, καθόσον οὐ πλησίον ἐγενόμην τοῦ πείθεσθαι τῷ παραλόγῳ τῆς ἀκοῆς. Πλὴν ἡττηθήσομαι τοῦ δυνατοῦ, καθόσον οἰηθείην περιέσεσθαι, μὴ οὐχὶ ταὐτὰ φρονεῖν τῷ καθ' ὑμᾶς βασιλεῖ. » Ταύτας δήπουθεν αὐτὰς ἀπεκύησε

Quum enim asseveranter contenderemus, quod etiam aperte ostendebamus, Lazicam a longo tempore a Romanis possessam fuisse, tu contra eam tibi belli jure propriam effectam dixisti; nihilominus illæsam justitiam esse voluisti, et temperatam habere cogitationem quam manum potentem potius duxisti. Quare, quæ nulla erat necessitas, eam sponte tibi necessitatem imposuisti, et generoso judicio contra te ipsum pronuntiasti : ab honestate te victum esse confessus, plane nobis Lazicam restituisti, et tanquam nostrum proprium patrimonium eam tradens ejus possidendæ potestatem in nos transtulisti; quod et idem de Suania supplices petimus, ut gratis quod nobis proprium est, recipiamus, et ut nos vobis gratias habeamus, quod eo, quod nostrum est, minime nos mulctaveritis : vos autem summo numini, quod tantum potestis, ut etiam quæ vestra non sunt, dono dare videamini. » Rex autem ita respondit : « Equidem sapientiæ vis si offenderit animum ratione destitutum et persuadendi facultate orbatum, quod infirmum et imbecillum est, prosternit et conterit, quemadmodum medicamentum ulceri adhibitum depascitur id quod dolorem facit, et sanitatem restituit ægrotanti. Quamvis enim minime justa sit ea quæ apud hujusmodi hominum genus habetur oratio, si tamen apte et concinne quis dicat, dicendo evincit. Ea de causa sapientia longe armorum vim superat, quod bellica virtus non possit aliquod egregium facinus edere, nisi se ipsam quoque consumat, prudentia autem et suum ipsius præsidium constitutum est, et eum, qui ipsam possidet, salvum et incolumem servat et præstat. Quamobrem nolim hoc mihi vituperio dari, o Romanorum legate, si ego, qui a nemine didici, tibi non persuadeam, qui philosophicis disciplinis adeo innutritus et imbutus fueris, ut oratione superiorem esse didiceris : tamen quantum in me erit, etsi non luculento verborum artificio, ex animi mei sententia quod justum est promam. Demus de Suania te vera dixisse, et ita se rem habere : at Lazicam bello subegi; Suanos nunquam bello appetii. Solo auditu a Mermeroe accepi, qui significavit, regionem non esse dignam nostra cura, neque pro qua certaremus, neque regem decere huic terræ bellum inferre. Sitam esse inter eas gentes, quæ circa Caucasum habitant, habere regulum, et esse transitum Scytharum. Decessit Mermeroes, administrationem exercitus suscepit Nachoergan (*Nachoragan, ap. Agathiam*). Scripsit ille nobis eadem : Suanos juga Caucasi habitare, esse latrones, prædarum abactores et quorumcunque gravium et immanium scelerum patratores. Constituimus adversus illos exercitum mittere, sed subito metu compulsi ex Suanis Persæ facti sunt : unde satis apertum est, hanc regionem in nostra potestate esse, et eam me tenere minime infitior. Nec obscurum est illos nobis lubenti animo parere et a nostris servis regi. Postremo Zichus nos per literas certiores fecit, Romanos repetere Suaniam, in quo tam longe vos ab eo, quod justum erat, discedere existimavi, quantum abfui a fide adhibenda his quæ ad me contra rationem deferebantur. Sed cedam, quantum fieri potest, rerum necessitati, quanquam me victurum esse speraveram, quominus a rege vestro dissentiam. » Has igitur cogitationes e mente sua effudit rex Persarum, et tum paullum quievit disceptatio de Suania. Mox autem, veluti me-

τῷ νῷ τὰς ἐννοίας ὁ Περσῶν βασιλεύς, καὶ ἐν τούτοις ὁ λόγος ἐπέπαυτο πρὸς βραχὺ περὶ Σουανίας αὐτῷ. Καὶ αὖθις, ὥσπερ ἐν μεταξυλογίᾳ τινὶ, περὶ Ἄμβρου τοῦ Ἀλαμουνδάρου τοῦ Σαρακηνοῦ διελεγέσθην ἄμφω, τοῦ βασιλέως οὕτω πως ἀρξαμένου· « Ὁ καθ' ἡμᾶς Ἄμβρος ὁ Σαρακηνὸς οὐχ ἥκιστα ἐπιμέμφεται τῷ Ζίχῳ, καὶ καταβοὴν πεποίηται τἀνδρὸς οὐκ ἐλαχίστην, ἅτε οὐδέν τι ὀνήσαντός γε αὐτὸν, ἡνίκα ἐσπενδόμεθα ὡς ὑμᾶς. » Καὶ ὁ Πέτρος, « Ἐν οὐδενὶ χρόνῳ πώποτε, ἔφη, ῥητόν τι χρυσίον ἐκομίσαντο ἐκ Ῥωμαίων οἱ καθ' ὑμᾶς Σαρακηνοὶ, οὔτε μὴν ἀνάγκῃ τινὶ, οὔτε καθ' ὁμολογίαν τινά· ἀλλὰ δῆτα ὁ πατὴρ Ἄμβρου Ἀλαμούνδαρος ἔστελλε δῶρα τῷ Ῥωμαίων αὐτοκράτορι, καὶ ὅ γε δεχόμενος ἀντεδωρεῖτό γε αὐτόν. Ὅπερ ἐφ' ἑκάστῳ ἐνιαυτῷ τὸ τοιόνδε ἐγίγνετο οὐδαμῶς, ἀλλ' ἔστιν ὅτε καὶ πέντε παρῳχημένων ἐτῶν. Τοῦτο γοῦν διεσώθη τε καὶ διεφυλάχθη Ἀλαμουνδάρῳ τε καὶ ἡμῖν ἐπὶ χρόνον ἥκιστα ὀλίγον. Ἐξεπίσταται δὲ τὸ κρεῖττον, ὅτι οὐχὶ δῆτα ἐρρωμένα φρονῶν ἐς Πέρσας τὰ τοιάδε ἔπρασσεν Ἀλαμούνδαρος. Τοιγαροῦν διεβεβαιοῦτο, ὡς, εἰ καὶ ὑμεῖς πόλεμον κινήσοιτε καθ' ἡμῶν, Ἀλαμουνδάρῳ γε ἄπρακτός τε καὶ ἀνενέργητος ἔσται ἡ μάχαιρα τῆς Ῥωμαίων ἕκατι πολιτείας. Ταῦτα μὲν οὖν ἐπί τινα διέμεινε χρόνον· νῦν δὲ ὁ σὸς μὲν ἀδελφὸς, δεσπότης δὲ ἐμὸς, ἔθετο ἐν νῷ ἐμφρονέστατα οἶμαι, ὦ βασιλεῦ, ἔφη τε, ὡς, εἰ βεβαίως ἔχει τὰ πολιτεύματα τὴν εἰρήνην, τί δήποτε ἄρα λυσιτελήσει μοι τοῦ λοιποῦ ὑπηκόοις τε καὶ δούλοις προσφθέγγεσθαι Περσῶν, ὡς ἂν καταπρόοιντο τῶν κεκτημένων τὰ πράγματα, ἤγουν πορίζειν τι αὐτοῖς ἢ πορίζεσθαι παρὰ σφῶν; » — « Εἰ πρὸ τῆς εἰρήνης, ἔλεξεν ὁ βασιλεὺς, ἑκατέρωθεν ἐστέλλοντο πρεσβεῖαι καὶ ἀμοιβαίοις ἐφιλοφρονεῖσθε δώροις ἀλλήλους, χρῆναι οἶμαι ἄτρωτα εἶναι τὰ ὅσα ἐστέρχθη πρὸ τοῦ. » Ταύταις μὲν οὖν αὐταῖς καὶ περὶ Ἄμβρου ταῖς δικαιολογίαις ἐχρησάσθην, καὶ αὖθις ἀντελογίζοντο περὶ Σουανίας. Ὁ δὲ βασιλεὺς εἶπεν· « Ὁπηνίκα ἔγωγε παρεστησάμην Σκένδεις τε καὶ Σάραπα καὶ Λαζικὴν, ὑμεῖς οὔ φατε ὅτι τηνικαῦτα Σουανίαν ἐν ὑπηκόων εἴχετε μοίρᾳ. Εὔδηλον οὖν ἐντεῦθεν, ὡς οὐκ ἐτύγχανον ὄντες ὑπὸ Λαζούς. Ἦ γὰρ ἂν καὶ αὐτοὶ ξὺν τοῖς κρατοῦσιν ἡμῖν προσεχώρησαν. » Ὁ Πέτρος ἔφη ἀμοιβαδόν· « Τοῦτο οὐ γέγονεν, ἐπεὶ ὁ Σουάνος οὐκ ἀπέστη, καθὰ δήπουθεν οὗ δοῦλος ἦν ὁ Λαζός. Φημὶ δὲ, ὡς τοῦ καθ' ἡμᾶς δούλου ὁ δοῦλος ἀφηνίασεν οὐδαμῶς. » — « Τήμερον, εἶπεν ὁ βασιλεὺς, δέκα ἤδη παρῳχήκασιν ἐνιαυτοὶ, ἐξ οὗ Σουανίαν ἐν κατοχῇ ἐποιησάμην· πρέσβεις πολλάκις ἐδεξάμεθά τε καὶ ἐξεπέμψαμεν ὡς Ῥωμαίους· καὶ τί δῆτα ἐξ ἐκείνου τὸν ὀντιναοῦν οὐ κεκινήκατε λόγον ἕνεκα Σουανίας; » — « Ἐπειδὴ τηνικαῦτα, ἔλεξεν ὁ Πέτρος, καὶ Λαζικῆς κύριος ἐγεγόνεις. Καὶ εἴπερ ἔφην· ὡς δεῖ παραχωρῆσαί μοι Σουανίας, ἀντέλεξας ἄν· τίνος χάριν; καὶ εἴπερ αὖθις ἔφην ἐπεὶ Λαζικῆς ἐστι κατήκοος, ἀπεκρίνω· τίνα γάρ σε γνωρίζομεν Λαζικῆς; καὶ λοιπὸν ἀντερεῖν εἴχομεν τὸ παράπαν οὐδέν. » — « Τοῦτο φῄς, εἶπεν ὁ βασιλεὺς, ὅτι Σουανία Λαζῶν ὑποχείριος ἦν. Εἴπερ ἐν γράμμασιν οἷός τε εἶ τεκμηριῶσαι τὸ τοιόνδε, ἥκιστα ἀποτεύξῃ τοῦ δέοντος. » Καὶ ὁ Πέτρος· « Οὔ τι μελλήσω, ἀναδιδάξω δέ σε τἀληθές. Ἀρχαῖον ἔθος, ὦ δέσποτα, τόδε ἐκράτησε παρὰ Λαζοῖς. Ὁ Σουανίας ἡγεμὼν

---

dio quodam colloquio, rursus de Ambro Saraceno inter eos exortus est sermo. Rex sic incepit : « Qui apud eos est Ambrus, Alamundari filius, Saracenus, non parum Zicho succenset, neque parvam querelam de eo instituit, quod illius rationibus consulere, quum inter nos pacem fecit, praetermisit. » Et Petrus, « Nullo unquam tempore, inquit, Saraceni qui apud vos sunt certam auri summam a Romanis abstulerunt. Nec enim id nostrarum rerum necessitas unquam postulavit, neque nobis cum his quicquam convenerat. Sed pater Ambri, Alamundarus, misit dona ad Romanorum imperatorem : is quum ea accepisset, vicissim eum donis est remuneratus, quod tamen unoquoque anno nequaquam factum est, sed aliquando interpositum est spatium quinquennii. Hoc igitur inter Alamundarum et nos usurpatum et observatum est non brevi tempore. Deus autem novit, Alamundarum hoc fecisse, quum rebus Persicis minime studeret. Conventum enim fuit, si bellum contra nos moveritis, ut Alamundari ensis adversus rem publicam Romanam quiesceret et ab omni bellico opere immunis esset. Hæc igitur aliquo tempore durarunt. Nunc vero frater tuus, meus dominus, o rex, prudenter, opinor, in animum induxit suum, et ait : Si pacem ista duo regna observent, quid mihi porro proderit, subditos et servos Persarum sollicitare, ut dominos suos prodant, et quicquam illis largiri aut ab illis accipere? » — « Si ante pacem, respondit rex, mutuo missæ sunt legationes, et vos invicem donis amice coluistis, existimo inviolata et illæsa permanere debere, quæ inter vos sunt prius constituta. » His igitur, quo suam quisque causam de Ambro tueretur, argumentis usi sunt : deinde rursus inter se de Suania contenderunt, et rex dixit : « Quum occupavi Scendes, Sarapa et Lazicam, vos non dixistis tum Suaniam in ditione habuisse. Ex quo apparet, eam non subjectam fuisse Lazis. Si enim ita se res habuisset, una cum Lazis, quippe qui imperium ejus tenerent, in nostram potestatem venisset. » Petrus contra respondit : « Hoc factum non est, quia Suani a nobis non defecerunt, quemadmodum Lazi, quibus subjecti erant. Hoc igitur affirmo, servos servorum nostrorum nunquam a nobis descivisse. » At rex : « Hodie præterierunt decem anni, ex quo Suaniam occupavimus. Legatos sæpius a vobis excepimus, et ad vos misimus. Cur tandem nullam unquam mentionem de Suania fecistis? » — « Quia, Petrus ait, Lazices dominium eras adeptus. Etenim si te adiissem ut mihi Suaniam cederes, causam, cur id faceres, interrogasses; quam si reddidissem : quia Lazis est subdita : An nescis me Lazicæ dominum effectum esse? respondisses, neque nobis quicquam reliqui fuisset, quod ultra eloqui potuissemus. » — « Ain tu, inquit rex, Suaniam Lazis fuisse subjectam? Hoc si tu tabulis scriptis probare poteris, impetrabis quod justum est. » Et Petrus : « Haud cunctabor. Docebo te verum. Vetus mos, o domine, obtinuit, apud Lazos hicce : quum Suaniæ dux subesset Lazo, inter hos, qui illi tributa pendebant, adscriptus erat.

ὑπηκόους τῷ Λαζῷ, καὶ ἀνάγραπτός οἱ ἐπεφύκει ἐς δασμοφορίαν. Καὶ τοίνυν ἐκομίζετο παρ' αὐτοῦ ὁ Λαζὸς καρποὺς τε μελιττῶν καὶ δέρρεις καὶ ἕτερα ἄττα. Ὁπηνίκα δὲ οὖν ὁ Σουάνος ἄρχων ἀπεβίω, ἐχειροτόνει ὁ τοῖς Λαζοῖς ἐφεστὼς τὸν διαφυλάξοντα τοῦ ἀποιχομένου τὴν ἀρχήν. Ἐν τούτῳ γράμμασιν ἐχρῆτο ὡς τὸν Ῥωμαίων αὐτοκράτορα τῶν ξυμβεβηκότων πέρι· καὶ αὐτὸς ἀντιγράφῳ ἐπιστολῇ ἐνεκελεύετό οἱ ἐκπέμψαι τὰ σύμβολα τῆς τῶν Σουάνων ἡγεμονίας ὅτῳ μὲν βούλοιτο, Σουάνῳ δ' ὅμως ἀνδρί. Τοῦτο τὴν ἰσχὺν ἔλαβεν ἐκ τῶν Θεοδοσίου τοῦ καθ' ἡμᾶς βασιλέως χρόνων μέχρι Περόζου τοῦ ὑμετέρου πάππου καὶ Λέοντος τοῦ καθ' ἡμᾶς. » Εἶτα ἐκ τῆς χλαμύδος ὁ Πέτρος ἐν φανερῷ προκομίζει βιβλίδιόν τι, ἐν ᾧ στοιχηδόν τε καὶ διῃρημένως ἐδηλοῦντο Λαζῶν βασιλεῖς, οἳ Σουάνων ἐχειροτόνησαν ἡγεμόνας. Εἶχε δὲ οὕτω τοῦ γραμματείου ἡ δύναμις, εἰ καὶ μὴ οὕτω τὰ ῥήματα· « Οἵδε Λαζῶν βασιλεῖς, οἵ γε βασιλίσκους ἐπέστησαν Σουάνοις, ἐξ οὗ χρόνου Θεοδόσιος τὸ Ῥωμαίων διήνυσε κράτος καὶ Οὐαράνης τὸ Περσῶν ἄχρι Λέοντος αὐτοκράτορος καὶ Περόζου. » Καὶ διεξελθὼν ὁ Πέτρος ἔφη· « Ἄχρι τούτων ἴσμεν ἐν γράμμασι Λαζῶν τε βασιλεῖς καὶ τοὺς ὅσοι ὑπὸ Λαζοῖς ἄρχοντες ἐγένοντο Σουάνων. » Καὶ ὁ βασιλεύς· « Εἰ ξυγχωρήσομέν σοι τὸ παρὰ σοῦ προκομισθὲν γράμμα ξυναιρόμενον τῇ κατὰ σὲ πολιτείᾳ ἔχειν τὸ πιστὸν, ἆρα καὶ τὰ ἡμέτερα συμβόλαια πιστευθήσονται δικαιότατα; » — « Οἶμαι. » — « Πλὴν, » ἦ δὲ ὁ βασιλεὺς, « ὅπερ ἔφης, ἔχεται πειθοῦς, ὅτι δῆτα οὗτοι οἱ βασιλεῖς οἱ μὲν οὕτως, οἱ δὲ ἄλλως ἐγένοντο. Ἐπειδὴ δὲ νῦν περὶ ἀμφηρίστου διαλεγόμεθα δούλου, εἰ μὲν ἐναργέστατά πως δυνηθείης ἀπορῆναι, ὡς πέφυκε σὸς, λήψῃ γε αὐτόν· εἰ δὲ τὸ τοιόνδε οὐχ οἷόστε εἶ πιστώσασθαι, καὶ ἄλλως βούλεται ὁ Σουάνος ὑποτετάχθαι τῇ Ῥωμαίων ἀρχῇ, ἥκιστα ἔσομαι ἐμποδών. Τούτου περαιτέρω οὐδὲν ὁτιοῦν δυνήσομαι ποιεῖν. » Ὁ δὲ Πέτρος· « Οὐχὶ πεύσῃ, ὦ δέσποτα, πρὸς τοῦ Σουάνου, ὅποι βούλεται εἶναι; ἐξουσιάζει γὰρ αὐτὸς, ὅσον ἐπὶ ταύτῃ γε δήπου τῇ μοίρᾳ. » — « Ἄθρει δὲ, ὁ βασιλεὺς, ὡς οὐ βούλομαι περὶ Σουανίας τῆς χώρας τι πυθέσθαι πρὸς τῶν Σουάνων, ἐπεὶ οὐδὲ ὅσιον οὔτε μὴν ἄλλως δίκαιον (τὴν) περὶ τῆς γῆς αὐτῆς ἐν δούλου κινδυνεύεσθαι κρίσει. » Οἵδε μὲν οὖν οἱ λόγοι προῆλθον ἐξ ἀμφοῖν.

12

Exc. De sent. p. 355-357 : Ὅτι φησὶ Μένανδρος ὁ ἱστορικὸς περὶ Πέτρου τοῦ πρέσβεως καὶ Χοσρόου· « Οἵδε μὲν οὖν οἱ λόγοι προῆλθον ἐξ ἀμφοῖν, καὶ οὐχ ἕτερα νοήματα ἐλέχθη Σουανίας πέρι· οὐδὲ μὴν ἀνθ' ἑτέρων ἑτέραις λέξεσιν ἐχρησάμην, ἢ τὸ χθαμαλώτερόν πως ἐστιν ἢ τῶν λόγων, καθόσον οἷόντε μοι, μετέφρασα ἐς τὸ Ἀττικώτερον. Οὐ γὰρ ἐμοί γε θυμῆρες τὰ εἰρημένα κυρίως καὶ ἐς ἐμὲ ἥκοντα, ὡς οἶμαι, ἐς τὸ ἀκριβὲς, μεταφέρειν ἐς ἑτερολογίαν, καὶ τῷ γλαφυρῷ τῶν ῥημάτων οὐχὶ τὰ ὅσα ἐρρήθη, ἀλλὰ γὰρ τὴν τῆς ῥητορικῆς ἐπιδείκνυσθαι δύναμιν, μάλιστα καὶ περὶ σπονδῶν οὕτω μεγίστοιν δυοῖν βασιλέοιν καὶ πολιτείαιν ποιουμένῳ μοι τὴν ἀπαγγελίαν. Εἰ δέ γε ἄρα βούλεταί τις τὰ ὅσα Περσῶν βασιλεὺς καὶ Πέτρος τηνικαῦτα ἀκριβολογησαμένω ἤστην εἰδέναι, ἀναλεξάσθω ταῦτα ἐκ τῆς αὐτοῦ Πέτρου συναγωγῆς· ἅπαντα γὰρ αὐτῷ

Quamobrem Lazus accipiebat ab ipso fructus, mella, pelles et alia quædam. Quando autem Suaniæ princeps vita excedebat, suffragio ejus, qui Lazis præerat, eligebatur qui in locum defuncti regionis administrationem susciperet. Tunc Lazorum præfectus literis imperatorem certiorem faciebat de his quæ evenerant. Et imperator Lazicæ præfecto per epistolam jubebat ipsum mittere insignia præfecturæ Suaniæ cui vellet, modo Suanus esset. Quod jam a tempore Theodosii, imp. nostri, usque ad Perosem, avum vestrum, et Leonem, qui apud nos imperavit, invaluit. » Deinde e chlamyde Petrus in medium protulit libellum, in quo numerabantur ordine et distincte Lazorum reges, qui Suanis duces elegerant. Hæc autem erat hujus tabulæ vis; verba enim non id expresse continebant : « Hi erant Lazorum reges, qui regulos Suanos constituerunt a tempore quo Theodosius Romanum rexit imperium, et Varanes Persarum, ad Leonem imperatorem et Perosem usque. » Hos postquam Petrus recitaverat, dixit : « Ad hos usque habemus in scriptis Lazorum reges, et omnes qui ab eis Suaniæ præfecti constituti fuerunt. » Et rex : « Si concesserimus, libellum a te exhibitum, qui vestræ rei publicæ causam tuetur, fidem facere, nonne nostris quoque fidem haberi æquissimum est? » — « Opinor. » — « Quare, sicut dicis, inquit rex, hæc res in fide posita est, reges illos, alios sic, alios aliter creatos esse. Sed quoniam de servo inter nos contentio est, qui cujus sit, dubium est : si claris et manifestis argumentis probare potes tuum esse, accipies : sin minus id potes, et Suanus tamen velit Romanorum imperio subesse, non intercedam. Nec est ultra id quicquam, quod facere possim. » Tum Petrus : « Non percontaberis e Suano, o domine, cujus velit esse? hac enim conditione delata se in libertatem assereret. » — « Noli hoc rogare, respondit rex ; non enim in animo habeo, quantum ad regionem Suaniam, quicquam Suanorum voluntati credere. Etenim neque fas neque justum est, de terra ipsa servi judicii periculum subire. » Atque hi inter utrosque habiti sunt sermones.

12.

Menander historicus de Petro legato et de Chosroe sic loquitur : « Hi ergo utrimque habiti sunt sermones, neque aliis sententiis actum est de Suania. Neque enim ego alia aliis verba substitui; neque si quid humilius dictum fuit, id ego conatus sum pro meis viribus in Attici sermonis elegantiam transferre ; neque mihi libuit, quæ proprie dicta sunt, quæque ad me incorrupta, ut arbitror, devenerunt, ea deinde in alia verba convertere : ita ut splendore vocabulorum non singula, quæ reapse dicta fuerunt, sed rhetoricam potius vim repræsentarem; præsertim quum fœdera narrem tantorum duorum regum atque imperiorum. Quodsi quem scire etiam delectat quidquid diserte inter Persarum regem Petrumque actitatum sit, is adeat Petri ipsius commentarios, in quibus cuncta diligenter scripsit, quæ-

ἀναγέγραπται ἐς τὸ ἀκριβὲς ὁπόσα Χοσρόης καὶ πρέσβεις Ῥωμαίων καὶ Περσῶν ἔλεξάν τε καὶ ἤκουσαν, αὐτοῖς τοῖς λόγοις τῶν φθεγξαμένων εἰρημένα, εἴτε κατὰ θωπείαν τινὰ ἐξ ἀμφοῖν τοῖν μεροῖν τυγχάνουσι λεγόμενα, εἴτ' οὖν κατασοβαρευόμενοι σφῶν ἔλεξαν ἅττα ἢ εἰρωνευόμενοι ἢ καὶ ἐπιτωθάζοντες ἢ καὶ ἀποφλαυρίζοντες· καὶ ἁπλῶς ὅσα ἐνῆν καὶ ὅπως περὶ τόσου πράγματος διαλεγομένους τοὺς ἀμφοτέρας πολιτείας ἄνδρας εἰπεῖν, ἐνθένδε ἀναλεκτέον. Τεῦχος γὰρ μέγιστον ἐσότι τῶν τοιῶνδε πεπλήρωται, οἶμαι, ξὺν ἀληθείᾳ λόγων, εἰ μὴ Πέτρῳ κεκόμψευταί τι τῆς αὐτοῦ χάριν εὐκλείας, ὡς ἂν τοῖς μετέπειτα δειχθείη ὡς μάλα ἐμβριθὴς καὶ ἀνάλωτος ἐν τῷ ῥητορεύειν τῷ καταμαλάξαι φρονήματα βαρβαρικὰ σκληρά τε καὶ ὀγκώδη. Ἅπαντα δὴ οὖν ἐν τῇ τούτου βίβλῳ (τ') ἀναλεγόμενος ὁστισοῦν εὑρήσει· οὐ γὰρ ἐμοί γε ὑπῆρχεν ἀναγκαῖον οὐδὲ ἄλλως ἁρμόδιον ἐν ξυγγραφῇ περιττολογίᾳ χρῆσθαι τὸ (τῷ vel τοῦ Bekk.) ἐφ' ἑνὶ κεφαλαίῳ ἐμφιλοχωρεῖν· ὡς, εἴ γε ἅπαντα ἀνεγραψάμην τὰ ὅσα κατ' ἐκείνην γε δήπου φέρεται τὴν διφθέραν, ἀπέχρησέ μοι ἂν ἡ τῶν σπονδῶν ῥαψῳδία ἐς μεγίστης ἱστορίας ὑπόθεσιν. Ἐγὼ δὲ ἐκεῖθεν ἀρυσάμενος ὅ τι χρειῶδες ἐν ὀλίγῳ ἔλεξα. »

13.

Exc. De leg. Rom. p. 147 : Ὅτι οὐδὲν προέβη περὶ τῆς Σουανίας, ἀλλ' ὁ Πέτρος ἄπρακτος ἀνεχώρησε τῶν Μηδικῶν ὁρίων. Ὅμως δ' οὖν ἐσπείσατο Πέρσαις, καὶ κατέθεντο τὸν πόλεμον ἀμφότεραι πολιτεῖαι. Καὶ οἱ μὲν Μῆδοι ἐκ τῆς τῶν Κόλχων γῆς ἐπ' οἶκον ἀνεχώρησαν· ἀτὰρ ἐς τὸ Βυζάντιον ἀφικόμενος ὁ Πέτρος οὐ πολλῷ ὕστερον κατέλυσε τὸν βίον.

14. (565. Justini an. 1.)

Exc. De leg. gent. p. 101-103 : Ὅτι ἐπὶ Ἰουστίνου τοῦ νέου οἱ τῶν Ἀβάρων πρέσβεις παρεγένοντο ἐν Βυζαντίῳ, τὰ συνήθη δῶρα ληψόμενοι, ἅπερ τῷ κατ' αὐτοὺς ἔθνει Ἰουστινιανὸς ὁ πρὸ τοῦ βασιλεὺς ἐδίδου· ἦσαν δὲ καλώδιά τε χρυσῷ διαπεποικιλμένα, ἐς τὸ εἴργειν τι τῶν ἀποδιδρασκόντων ἐπινενοημένα, καὶ κλῖναι ὁμοίως καὶ ἄλλα τινὰ ἐς τὸ ἁβρότερον ἀνειμένα. Τότε δὴ οὖν οἱ πρέσβεις τῶν Ἀβάρων ἐς πεῖραν ἰέναι τοῦ βασιλέως ἐβούλοντο, εἴγε οὐκ ἄλλως [εἴη] δῶρα λαμβάνειν αὐτοῖς, καὶ τῇ Ῥωμαίων ῥᾳθυμίᾳ ἐπεντρυφᾶν, καὶ τὸ ἀμελὲς αὐτῶν οἰκεῖον τίθεσθαι κέρδος. Καὶ δὴ παρὰ βασιλέα φοιτᾶν ἠξίουν. Καὶ οὖν τοῦτο ἐφειμένον αὐτοῖς, ἔτι γε μὴν καὶ διὰ τῶν ἑρμηνέων ὅ τι βούλονται λέγειν, τοιοῖσδε ἐχρήσαντο λόγοις· « Χρεών, ὦ βασιλεῦ, κληρονομοῦντά σε τῆς πατρῴας ἀρχῆς καὶ τοὺς πατρῴους φίλους οὐκ ἄλλως, ἧπερ ὁ πατὴρ ὁ σός, εὖ ποιεῖν, καὶ ταύτῃ φαίνεσθαι μᾶλλον διάδοχον εἶναι τετελευτηκότος τῷ μηδὲν ἐναλλάττειν ὧν ἐκεῖνος ἔπραττε περιών. Οὕτω γὰρ καὶ ἡμεῖς τῆς αὐτῆς ἀνθεξόμεθα γνώμης, καὶ οὐχ ἧττον τὸ τῆς εὐεργεσίας ὄνομα μεταθήσομεν, εἰ σὲ καὶ μετ' ἐκεῖνον εὐεργέτην ἀποκαλέσοιμεν· πρός γε καὶ αἰσχυνθησόμεθα τῷ πεπονθέναι καλῶς μὴ τοῖς ὁμοίοις ἀμείβεσθαι τὸν δεδρακότα. Καὶ γὰρ πατέρα τὸν σὸν δώροις ἡμᾶς φιλοφρονούμενον ἀντεδωρούμεθα τῷ καὶ δυνάμενοι μὴ κατατρέχειν τὴν

cumque Chosroes legatique tum Romanorum tum Persarum locuti sunt vel audierunt, conceptis ipsis loquentium verbis : sive hæc adsentatione quadam utrimque dicta fuerunt, sive serio, sive ironice, sive etiam irridenter et contemtim; atque omnino quæ de re tanta et quomodo dicenda habuerint utriusque imperii viri, ea indidem repetere oportet : est enim volumen maximum, plenum veridicorum, ut puto, sermonum; nisi forte Petrus aliquantulum ostentat se, famæ suæ gratificans, ut nimirum posteritati demonstret, se fuisse prævalidum atque invictum in arte rhetorica ad emoliendos duros atque elatos barbarorum spiritus. Lector igitur omnia eo in libro inveniet. Neque enim mihi necessarium, immo neque concinnum est, scribenti historiam longis sermonibus uti, atque in uno rerum capite tamdiu versari. Nam si omnia referrem, quæ membranis illis continentur, sufficeret fœderis illius tractatus ad copiosissimæ historiæ argumentum. Ego igitur illinc haustis, quæ utiliora esse videntur, breviter rem expedivi. »

13.

Nihil quicquam Petrus de Suania obtinuit, sed infecto negotio a finibus Medorum recessit; pacem tamen cum Persis composuit, et utraque regna bellum deposuerunt, et Medi quidem a Colchorum finibus domum reverterunt. Nec multo post Petrus, quum Byzantium rediisset, mortuus est.

14.

Justino Juniore imperante Avarum legati Byzantium venerunt, ut consueta munera acciperent, quæ Justinianus, qui ante eum imperium tenuerat, conferre erat solitus; erant autem catellæ auro variegatæ, quasi ad vinciendos fugientes comparatæ, lecti et alia quædam ad delicatiorem cultum spectantia. Tunc Avares voluntatis imperatoris periculum facere statuerunt, an forte ab hoc quoque munera capere et, inertia Romanorum decepta, sua sibi commoda inde comparare possent. Itaque imperatoris adeundi sibi potestatem fieri petierunt; quod illis est permissum, quin et per interpretem, quicquid libitum esset, proponere. Hac vero usi sunt oratione : « Oportet, o imperator, te, qui imperium paternum hereditate suscepisti, paternos quoque amicos æque, ac ille, beneficiis augere, teque in eo maxime patris successorem præbere, si nihil eorum, quæ vivus statuit, eo mortuo immutes. Ita fiet ut nos eamdem erga te voluntatem conservemus, neque minus in te beneficentiæ nomen transferamus, te post ipsum auctorem nostrarum fortunarum nuncupantes. Et sane erubesceremus, si a te commodis ornati non eadem tibi retribueremus. Sic enim patrem tuum, qui in nos liberalis et munificus fuerat, remunerati sumus. Etenim quum ejus regiones vastare possemus, non modo abstinuimus, verum etiam, quo nos propensiores erga ipsum ostenderemus, vicinos barbaros

Ῥωμαϊκὴν, ἀλλὰ πλέον ἐνδείκνυσθαί τι. Τοὺς γὰρ ἐκ γειτόνων ὑμῖν βαρβάρους, τὴν Θρᾴκην ἀεὶ περικόπτοντας, ἠφανίσαμεν ἀθρόον, καὶ οὐδεὶς ὁστισοῦν αὐτῶν περιλέλειπται τὰ Θρᾳκῶν ὁρίσματα καταδραμούμενος· δεδίασι γὰρ τῶν Ἀβάρων τὴν δύναμιν φιλίως ἔχουσαν πρὸς τὴν Ῥωμαίων ἀρχήν. Πεπείσμεθα δὴ οὖν, ὡς ἐν τούτῳ μόνῳ καινοτομήσεις ἡμᾶς τῷ πλέον παρέχειν ἡμῖν, ἢ ὁ σὸς ἐδίδου πατήρ· ἀνθ' ὧν καὶ ἡμεῖς ἤπερ ἐκείνῳ γενησόμεθα σοὶ κατὰ τὸ πλέον ὑπεύθυνοι, καὶ μείζονας ἐποφλήσομέν σοι τὰς χάριτας. Πάρεσμεν οὖν ληψόμενοι τὰ κατὰ τὸ εἰωθός. Γνῶθι γὰρ ὡς ἄλλως οὐκ ἔστι δυνατὸν τὸν καθ' ἡμᾶς ἡγεμόνα σοί τε καὶ τῇ Ῥωμαίων εὐνούστατον ἔσεσθαι πολιτείᾳ, εἴ γε μὴ ἐγχειρισθείη πρότερον αὐτῷ τὰ ἐφ' οἷς οὐ κινεῖν ὅπλα κατὰ Ῥωμαίων ἔγνω. » Οἱ μὲν τῶν Ἀβάρων πρέσβεις τοιαῦτα διεξῆλθον, ἐπαμφοτερίζοντες τῇ γνώμῃ· τοῦτο μὲν γὰρ ἐδόκουν ἱκετεύειν, τοῦτο δὲ ἀπειλεῖν. Ὤοντο γὰρ ὡς ταύτῃ δεδίξονταί τε καὶ ἐκφοβήσουσι τὸν βασιλέα, καὶ ὡς ἐκ τούτου ἀναγκασθήσονται Ῥωμαῖοι ὥσπερ ὑπόφοροι εἶναι Ἀβάρων. Ὁ δὲ βασιλεὺς οὐδὲν ἕτερον ἢ ψόφον ἡγησάμενος τῶν Ἀβάρων ῥήματα, ἀντέλεξεν οὕτω· « Προβαλλομένων ὑμῶν σὺν ἱκετείᾳ τὴν μεγαληγορίαν, οἰομένων τε τῇ συγκράσει ταύτῃ τῶν λόγων τὸ σπουδαζόμενον ὑμῖν ἀνύσειν, ἀμφοτέρας, ὡς εἰπεῖν, ἐκπεπτώκατε τῆς ἐλπίδος· οὐδὲ γὰρ ὑποθωπεύοντες ἡμᾶς ἀπατήσετε, οὐδὲ μὴν ἀπειλοῦντες ἐκφοβήσετε. Πλείονα δὲ ὑμῖν ἐγὼ παρέξω τοῦ ἡμετέρου πατρὸς τὸ πέρα τοῦ δέοντος ἐπηρμένους ὑμᾶς τῷ πρέποντι σωφρονίζειν· ὁ γὰρ μεταρρυθμίζων τοὺς ἀτάκτους τῶν λογισμῶν, καὶ ὥσπερ παιδεύων τε καὶ ἀνακόπτων τῆς ἐπ' ὀλέθρῳ τῶν αὐθαδιζομένων ὁρμῆς, ὀφθήσεται κατὰ τὸ μᾶλλον εὐεργέτης ἤπερ ὁ χορηγὸς τῆς τρυφῆς, ὃς φιλεῖν μὲν δοκεῖ, προφάσεως δὲ μικρᾶς ἐπιλαβόμενος τὸν δῆθεν εὐεργετούμενον ἠφάνισεν εὐθέως. Ἄπιτε τοιγαροῦν πλεῖστον πριάμενοι παρ' ἡμῶν κἂν γοῦν ἐν ζῶσι τελεῖν, καὶ ἀντὶ τῶν Ῥωμαϊκῶν χρημάτων τὸν καθ' ἡμᾶς φόβον εἰς σωτηρίαν εἰληφότες. Οὔτε γὰρ δεηθείην ποτὲ τῆς καθ' ὑμᾶς συμμαχίας, οὔτε τι λήψεσθε παρ' ἡμῶν ἢ καθόσον ἡμῖν δοκεῖ, ὥσπερ δουλείας ἔρανον, καὶ οὐχ, ὡς οἴεσθε, φορολογίαν τινά. » Τοιοῦτον ἐπισείσαντος φόβον τοῦ βασιλέως τοῖς πρέσβεσι τῶν Ἀβάρων, κατεγνωκότες ἐκ τῶν εἰρημένων οἱ βάρβαροι, ὡς οὐκ ἀνέξεται σφῶν τῆς πλεονεξίας, καὶ ὡς οὐδὲν αὐτοῖς ἔτι δοθήσεται ὧν ἐκομίζοντο πρὸ τοῦ, καὶ ὡς τὸ λοιπὸν ἀδεῶς οὐκ ἐπιδραμοῦνται τὴν Ῥωμαϊκὴν, ἐν δυσθυμίᾳ τε ἐτύγχανον πολλῇ, καὶ ἀναλογιζόμενοι ἦσαν ὅποι τὰ παρόντα ἐκβήσεται καὶ ὅποι τύχης αὐτοῖς χωρήσοι τὰ πράγματα· οὐδὲ γὰρ μένειν ἐν Βυζαντίῳ ἀνόνητα ἤθελον, οὔτε μὴν ἄπρακτοι ἀπιέναι ἐβούλοντο. Ὅμως δ' οὖν τῶν κακῶν αὐτοῖς αἱρετώτερον ὑπῆρχεν ἀπονοστῆσαι ὡς τοὺς ὁμοφύλους. Καὶ τούτοις ἑνωθέντες ἐς τὴν τῶν Φράγγων χώραν ἀφίκοντο, τοῦ βασιλέως τὴν ἀπολογίαν θαυμάσαντες.

Καλώδια] « Iis autem fasciis seu prandeis Abares comam vinciebant, ut docet historia Miscella lib. 16, unde Corippus in lib. 1 dicit :

colubrimodis Abarum gens nexa capillis.

Porro hæc legatio Avarum introducta est die 7 post inaugurationem Justini Junioris, teste Corippo in lib. 3 :

Septima lux aderat;

et mox,

Thraciam invadentes uno impetu delevimus, neque quisquam eorum postea est inventus, qui Thraciæ fines populationibus vexaret. Metuebant enim Avarum potentiam, qui amicitiam colebant cum Romanis. Persuasum igitur habemus, te nulla alia in re ab iis, quæ a patre statuta sunt, discessurum, nisi in eo, quod nobis majora largiturus sis, quam pater largitus est. Pro quibus et nos multo tibi, quam patri, devinctiores erimus, et tibi multo quoque majores gratias retribuemus. Adsumus igitur, qui consueta munera accipiamus. Nam scito, non aliter fieri posse ut noster dux tibi et Romanorum rei publicæ sit amicus, quam si ea acceperit, quibus receptis contra Romanos arma non movere constituit. » Hæc Avarum legati disseruerunt, et modo se in hanc, modo in aliam partem vertebant : modo precibus agebant, modo minas ingerebant. Existimabant enim se imperatorem perterrefacturos, et ex eo coactum iri Romanos illis quasi tributarios esse. Verum imperator quum nihil aliud quam vanos clamores Avarum orationem esse existimaret, sic respondit : « Vos quidem humiles preces magna cum arrogantia in medium profertis et in spem adducimini, hac sermonis commistione facilius quod cupitis consequi. Sed ex utraque spe, ut verum aperte dicam, excidistis. Nam neque blandimentis me decipietis, neque minis terrebitis. Atque ego multo plura vobis tribuam, quam pater meus : etenim vos ad majores, quam par est, spiritus sublatos ad æquitatem et saniora consilia reducam. Qui enim hominum in exitium voluntarium ruentium turbatos affectus cohibet et obedientes rationi facit, beneficentior est eo, qui sumptus in delicias præbet, et amare videtur, sed minima captata occasione, eum quem beneficio affecit, statim perdit et tollit. Abite igitur, qui magni pretii rem a nobis obtinetis, quod vobis salvis licet vitam peragere, et pecuniarum loco, quas a Romanis accipere vultis, nostri timorem ad salutem vestram reportate. Neque enim nos unquam vestro egebimus auxilio, neque quicquam a nobis accipietis, nisi quantum nobis visum fuerit, idque tanquam mercedem servitutis, non pro tributo, ut vos falso existimatis. » Postquam imperator tantum sui terrorem legatis Avarum incussit, et cognoverunt ex his quæ dixerat, minime eum superbiam ipsorum toleraturum, neque quicquam eorum, quæ prius accipere consueverant, daturum, nec vero ipsos impune posthac incursiones in fines Romanos facturos, in magnam animi anxietatem inciderunt, et secum cogitarunt, quo tandem res casuræ essent et quis futurus esset earum exitus. Nec enim Byzantii, quandoquidem nihil proficere poterant, manendum diutius statuebant, neque re infecta discedere volebant. Tutius tamen visum illis est a Romanis discedere et ad suos se recipere. Sic illi imperatoris responsum admirati conjuncti cum suis in Francorum regionem abierunt.

Legatos Avarum jussos intrare Magister
ante fores sacras divinæ nuntiat Aulæ,
orantes sese vestigia sacra videre
clementis domini: quos voce et mente benigna
imperat acciri.

Reliqua Corippi narratio cum Menandri historia prorsus congruit. »

Ἐς τὴν τῶν Φράγγων χώραν] « Abares post mortem Clotharii in Thuringiam irruperunt, et cum Sigisberto bellum gessere, ut scribit Paulus in Hist. Longobardorum lib. 2, cap. 10, et Gregorius Turonensis lib. 4, quod notandum est contigisse anno primo Justini Junioris. Male ergo Hermannus Contractus anno 561 id refert quinquennio ante Justiniani mortem. » VALESIUS.

15. (565. Justini an. 1.)

Exc. De leg. Rom. p. 147—151: Ὅτι Ἰουστῖνος ὁ ἀνεψιὸς Ἰουστινιανοῦ κατ' ἐκεῖνο καιροῦ Ἰωάννην τὸν Κομεντίολον ἐς τὰ Περσῶν ἤθη ἔστειλε πρεσβευσόμενον. Παρενεγγύησε δέ οἱ ἐκ μὲν τοῦ ἐμφανοῦς ἀνακήρυξιν ποιήσασθαι τῆς αὐτοῦ ἐπὶ τὴν βασιλείαν ἀναγορεύσεως κατὰ τὸ εἰωθὸς Ῥωμαίοις τε καὶ Πέρσαις, ἐν ταὐτῷ δὲ, εἴγε καλέσοι καιρὸς, καὶ ἀμφὶ Σουανίας κινῆσαι λόγους. Ταύτην γὰρ οὔπω Χοσρόης ἀπεκατέστησε Ῥωμαίοις, καίτοι τῆς Λαζικῆς παραχωρήσας, ἧς ὑπήκοος οὖσα ἡ Σουανία ἐτύγχανεν. Ἀλλ' αἱ μὲν πεντηκοντούτιδες σπονδαὶ ἦσαν, ἃς ἔθετο Πέτρος ὁ τῶν περὶ βασιλέα καταλόγων ἡγεμών· τὰ δὲ περὶ Σουανίας ἐπ' ἀμφιβόλῳ ἦν. Ἰουστῖνος δὲ ὁ βασιλεὺς ἐνεκελεύσατο Ἰωάννην, ὡς, εἴγε βούλοιντο Πέρσαι καὶ ὤνιον ἀποδίδοσθαι τὴν χώραν, ἑτοιμότατα φῆσαι ἔχειν. Ἡ γὰρ Σουανία ἀξιόλογος μὲν οὐδαμῶς, ὅμως δὲ ἐπιτηδείως ἔχουσα θέσεως ἐς τὰ μάλιστα ὀνίνησι τὴν Ῥωμαίων ἀρχὴν τῷ μὴ δι' αὐτῆς ἐπιτιθεμένους Πέρσας τὰ τῶν Κόλχων ὅρια λυμαίνεσθαι. Ἰωάννης οὖν ἐκ Βυζαντίου ἄρας, καὶ ὡς τάχιστα τὴν πορείαν ἀνύσας, ἐν ταῖς κατὰ τὴν πάροδον πόλεσι τῶν ἀναγκαίων φροντίδα θέμενος πολλὴν, τοῦτο προειρημένον αὐτῷ ἐκ βασιλέως, ἀφίκετο εἰς τὸ Δάρας. Ἐνταῦθα τὸν κατὰ πόλιν ὁλκὸν τοῦ ὕδατος ἐπεσκεύασε καὶ ὑδροχοεῖα ἐπενόησε, καὶ μὲν οὖν ἄλλα ἄττα τῶν ἐν ἄστει ἀναγκαίων εἰργάσατο. Διήγαγε δὲ αὐτοῦ ἡμέρας δέκα τῷ τὴν (τοὺς conj. N.) ἐν τῇ Νισίβει τῇ πόλει πανηγυρίζειν τε καὶ ἄγειν ἑορτὴν, κἀκ τούτου τὴν πρεσβείαν μὴ ὑποδέξασθαι. Ὁ δὲ Ἰωάννης δεχθεὶς μετὰ τὴν ἑορτὴν τὴν Φουρδίγαν προσαγορευομένην, ὅ ἐστιν Ἑλληνιστὶ νεκυία, ἐκ τῶν ἐν τῇ Νισίβει ἀρχόντων ἐξεπέμφθη σὺν τῇ νομιζομένῃ τιμῇ πρεσβεύειν ἐς τὰ βασίλεια Περσῶν· καὶ ἅπαντα, ὧν ἕνεκα ἔσταλτο, ἐν δέοντι καταστησάμενος, ἐν τούτοις ὑπῆρχεν. Ὁ δὲ Χοσρόης ἐν μιᾷ τῶν ἡμερῶν τῶν Σαρακηνῶν πέρι αὐτῷ ἐκίνησε λόγους. Τὰ γὰρ Σαρακηνικὰ φῦλα μυριάδες ταῦτα, καὶ τὸ πλεῖστον αὐτῶν ἐρημονόμοι εἰσὶ καὶ ἀδέσποτοι· καὶ [τὰ] μὲν οὖν τῆς Ῥωμαίων, ἐστὶν ἃ καὶ τῆς Περσῶν ὑπήκοα πολιτείας. Οὕτω δὲ διακεκριμένων αὐτῶν, Ἰουστινιανὸς, μεγαλόφρων ἀνὴρ καὶ βασιλικώτατος, τοὺς μηδίζοντας Σαρακηνῶν δώροις ἐδεξιοῦτο κρατούσης εἰρήνης. Ὁ δὲ Ἰουστῖνος, ἐμβριθής τε ὢν καὶ βαρβάρων φρονήματι ἥκιστα ὑποχαλῶν, ἐν οὐδενὶ λόγῳ ἐποιήσατο τοὺς ὅσοι ἐμήδιζον τῶν Σαρακηνῶν. Οἱ δὲ (πλεονεκτικώτατον γὰρ τὸ φῦλον) ἀποκοπὴν τοῦτο ἡγησάμενοι τῷ βασιλεῖ ἐνέκειντο Περσῶν μὴ περιιδεῖν αὐτοὺς αὐτῷ ἀνακειμένους. Τῷ τοι ἄρα καὶ Πέτρου ἐκεῖσε πρεσβευσα-

15.

Justinus minor, Justiniani nepos, illo tempore misit Joannem Comentiolum in Persiam, ut legatione fungeretur. Mandavit ei, ut ad speciem quidem pro more inter Romanos et Persas recepto nuntiaret, Justino imperium delatum: simul autem, si se offerret occasio, in sermonem de Suania incideret. Nondum enim eam juri Romanorum Chosroes cesserat, quamvis Suania ditioni Lazicæ subjecta esset, quæ ipsa Romanis tradita erat. Fœdera quidem, quæ in quinquagesimum annum Petrus, magister officiorum, pepigerat, observabantur: sed quoad Suaniam res adhuc in suspenso remanserant. Justinus vero imperator Joanni in mandatis dederat, si Persæ illam regionem vendere vellent, ut se paratum esse diceret. Erat Suania non ipsa quidem magni momenti aut pretii, sed situ valde commodo et apto, ut magnum adjumentum afferret ad arcendos Persas ab invadendis Colchorum finibus. Itaque Joannes Byzantio profectus, quum rebus urbium, per quas iter illi erat, ut ab imperatore præscriptum fuerat, multa cura et diligentia subvenisset, ad Daras pervenit. Illic aquæ ductum reficiendum curavit, et aquæ receptacula condidit, et alia quædam opera necessaria exstruxit. Ibi per decem dies est commoratus, tantisper dum Nisibi festum celebraretur et perageretur. Hæc causa erat, cur legatio admitti non poterat. Festo peracto, quod apud eos Furdigan dicitur, feralia diceres (*Menandrum errare suspicor. Certe Fardschane Persis Ptochodocheum significat.* Nieb.), exceptus Joannes a primoribus Nisibis cum solenni honore ad exsequendam legationem in regiam Persarum est dimissus. Is eo accessit, et omnibus, quorum causa missus fuit, rite peractis, responsum manebat. Chosroes autem quadam die sermonem movit de Saracenis. Gentes enim Saracenicæ innumeræ sunt, quarum maxima pars per deserta pascentes et sine domino vagantur, aliæ Romanorum, aliæ Persarum imperio parent. Ita divisæ quum essent, Justinianus, magni judicii vir, et qui magnum usum regiæ administrationis habebat, Saracenos, qui in Medorum partibus erant, per pacem donis prosecutus fuerat. Sed Justinus, vir gravis et constans neque quidquam barbarorum superbiæ cedens, Saracenos, qui Persis favebant, contemptui habuit, et nihili fecit. At illi (est enim gens avidissima) quum tanquam quod suum esset, sibi eripi existimarent, Persarum regem, ne se ad sua genua prostratos contemneret, supplices orarunt. Itaque Chosroes, quum Petrus apud eum legatum ageret, Romanos Saracenis debitum solvere æquum censebat. Deinde quum Joannes ad eum accessisset, iisdem verbis est usus. Saraceni enim asseverabant, se ob eam causam, ut quietem agerent, neque Romanorum terris infesti essent, eas pecu-

μένου, ὥσπερ τοῖς Σαρακηνοῖς ὑπευθύνους ὄντας Ῥωμαίους ἔλεγε δεῖν ὁ Χοσρόης ἀποδίδοσθαί σφισι τὸ χρέος. Εἶτα καὶ Ἰωάννου αὐτόσε ἀφικομένου τοῖς αὐτοῖς ἐχρήσατο ῥήμασι. Διισχυρίζοντο γάρ πως οἱ Σαρακηνοὶ, ὡς ὑπὲρ τοῦ εἰρήνην ἄγειν καὶ μὴ καταθέειν τὴν Ῥωμαίων τὰ τοιαῦτα ἐκομίζοντο χρήματα, ἐντεῦθέν τε ἐβιάζοντο τὴν τοῦ πράγματος φύσιν. Ὁ δὲ Ἰωάννης, ὡς ἑώρα σφᾶς οὐ κατὰ τὸ δέον τὸ ἐπίκλημα ποιουμένους, εἶπεν· « Εἰ μὲν ἕτερός τις, καὶ οὐχὶ Χοσρόης ὁ πάνυ, ξυνεπελαμβάνετο τοῖς ἀδίκως ἐπεγκαλοῦσι Σαρακηνοῖς, ἧττον ἂν ὑπῆρχε δεινόν. Τοσοῦτον δὲ βασιλέα Περσῶν, περὶ πλείστου ποιούμενον τὰ μὴ ἐναντία τῆς τῶν πραγμάτων φύσεως, προσθήσω δὲ καὶ τὰ Ῥωμαίων ἀσπαζόμενον, συνηγοροῦντα τοῖς ἐθέλουσιν ἀδικεῖν θαυμάσαιμι λίαν καὶ ὑπερεκπλαγείην. Ὅμως δὲ ῥαθυμίᾳ τὸν νοῦν οὐκ ἐπιτρέψω, Ῥωμαῖος πεφυκὼς, ἀναδιδάξω δὲ τὸ πᾶν, καίτοι τοῦ βασιλέως οὐ δεομένου διδασκαλίας, ἀλλ' ἐν εἰδόσι τῆς διηγήσεως προϊούσης. Ὁ γὰρ προεγνωκὼς ἤδη τὰ ὅσα τῷ δικαίῳ ξυνᾴδει, ταῦτα πάλιν ἀναδιδαχθεὶς ἐπιρρώσει τῷ ἀδεκάστῳ τὸ συνειδός. Πέτρος μὲν γὰρ ὁ πρὸ ἡμῶν πρεσβευτὴς, ὃς ἔναγχος παραγενόμενος ἐβεβαίωσε τὰ τῆς εἰρήνης, ἐμπειρίᾳ λόγων καὶ δεινότητι πειθοῦς καὶ τὰ περὶ τῶν νῦν ἐπεγκαλούντων Σαρακηνῶν, καὶ ἕτερα ὅσα διημφισβητήθη, οἷος ἐγένετο παρακρούσασθαι. Ἐγὼ δὲ ῥητορεύειν τε καὶ πείθειν ἠσκημένος οὐδαμῶς, ὅμως τῷ (πρὸς τῷ Nieb.) περιεῖναι τῇ δίκῃ τῶν Σαρακηνῶν ἕξω πρὸς ὑμῶν, τῷ (τὸ Nieb.) μὴ στέργειν ὑμᾶς ἀντὶ Ῥωμαίων Σαρακηνοὺς, καὶ ταῦτα τοὺς ἀδικωτάτους, καὶ ἀντὶ τοῦ συνοίσοντος τοῖς καθ' ἡμᾶς (ὑμᾶς Bekk.) πολιτεύμασι τὸ ἀξύμφορον. Οἱ καθ' ὑμᾶς γὰρ Σαρακηνοὶ (ὅταν δὲ λέγω Σαρακηνοὺς, ἀναλογίζεσθε, ὦ Μῆδοι, τὸ ἀλλόκοτόν τε καὶ παλίμβολον τοῦ ἔθνους), οὗτοι δῆτα οὖν πρὸς βασιλέως Ἰουστινιανοῦ δῶρα μὲν λαμβάνειν εἰώθεισαν, τὸ δὲ ἔθος αὐτοῖς τῷ τοῦ παρέχοντος ἐβεβαιοῦτο βουλήματι. Ὑπερηδόμενος γὰρ τῇ εἰρήνῃ, καὶ οἷς οὐκ ἐχρῆν τὸ μεγαλόδωρον ἐπεδείκνυτο. Καὶ μᾶλλον ἐκαίνιζεν ἑκουσίως φιλανθρωπίας ὑπερβολῇ πρὸς τὸ μὴ ἀναγκαῖον τὰ πράγματα, ἤπερ ἀκουσίως, εἰ θέμις εἰπεῖν, ἐποιεῖτο τῶν ἀναγκαίων τὴν σύστασιν. Μαρτύριον δέ μοι σαφέστατον τοῦ δῶρα τοὺς Σαρακηνοὺς, καὶ οὐχ ὡς ὑπὲρ σπονδῶν, ὥς φασι, κομίζεσθαι τὰ τοιαῦτα χρήματα, καὶ αὐτοὺς ἀντιδωροφορεῖν τὸν καθ' ἡμᾶς βασιλέα. Καὶ πρὸς ταῦτα μὲν οἶμαι μηδ' ὁντιναοῦν ἀντερεῖν. Εἰ δὲ καὶ δοίημεν, ὡς Ἰουστινιανὸς αὐτοὺς κατὰ ξυνθήκας ἐφιλοφρονεῖτο τοῖς χρήμασι, συνεμετρήθη τῷ βίῳ τοῦ δωρουμένου βασιλέως καὶ συνανεπαύσατο τούτου τῇ τελευτῇ τὸ δωρούμενον. Οὐ γὰρ ἑνὸς ἀνδρὸς ἔθει (φημὶ δὲ τὸ πλέον) καὶ νόμῳ μὴ λυσιτελοῦντι, καὶ εἰ πέφυκε βασιλεὺς ὁ τὸ ἔθος ἰσχυροποιήσας ἤγουν νομοθετήσας, πολιτεία καταδικασθήσεταί ποτε. Ἡμεῖς δὲ τοσοῦτον ἀπέχομεν τοῦ διδόναι τι τὸ λοιπὸν Σαρακηνοῖς, καθόσον Ἰουστινιανὸς μὲν καὶ πρὸς τοὺς βαρβάρους ἠπιώτατος, ὁ δὲ νῦν Ῥωμαίων αὐτοκράτωρ πρὸς πάντας εἶναι βούλεται φοβερώτατος. Οὐ χρεὼν οὖν ταῦτα τοὺς Σαρακηνοὺς ὀνειροπολεῖν· οὐ γάρ τι τοιοῦτον ὁ καθ' ἡμᾶς βασιλεὺς ἕλοιτο ποιεῖν. Εὐκτὸν δὲ ὑμῖν γενήσεται τὸ τὴν εἰρήνην αὐτὸν ἐθέλειν ἐρρῶσθαι, καὶ μὴ οἴεσθαί γε αὐτὸν ἔλαττον ἔχειν Ῥωμαίους ἐν ταῖς ἤδη γεγενημέναις σπονδαῖς. Ταύτῃ γὰρ ἀνέξεται μὴ ὅπλα κινεῖν. » Οὐ-

---

nias accipere, et hac ratione in causa defendenda maxime nitebantur. Itaque Joannes, ut vidit Saracenos, præterquam quod fas erat, criminari et accusare Romanos, dixit : « Si quis alios quam Chosroes Saracenorum causam, qui Romanos injuste criminantur, tueretur, minus id quidem grave et molestum esset. Persarum vero tantum regem, qui quæ rerum naturæ consentanea sunt, plurimi facit, addam etiam, qui bene de Romanis rebus sentit, consentire his qui volunt injusta facere, simul et admirarer et quererer : sed animum non socordiæ dabo : Romanus enim sum : et docebo omnia ; tametsi regem doceri minime necesse est, sed ad haud inscios narratio mea convertitur. Qui enim semel ea, quæ justitiæ et æquitati sunt consentanea, cognovit, si eadem iterum docetur, immutata veritate perspecta, conscientiam suam firmabit. Petro quidem, qui ante me legatus fuit et pacem stabilivit, facile fuit, quum eloquentia et persuadendi vi polleret, ea quæ nunc objiciuntur de Saracenis, et reliqua, quæcumque adhuc controversa erant, diluere et refutare. Ego vero, qui nunquam eloquentiæ et persuadendi arti operam dedi, tamen et causæ nostræ æquitate Saracenos vincam, et hoc saltem a vobis impetrabo, ut ne Romanis Saracenos, omnium mortalium injustissimos, neque vestræ utilitati manifesta incommoda præferatis. Qui enim apud vos sunt Saraceni (quum Saracenos dico, animo perpendite, o Medi, gentis perfidiam et inconstantiam), dona quidem ab imp. Justiniano accipere consueverant, sed hæc consuetudo liberalitate ejus, qui dabat, invaluit. Quum enim pace magnopere lætaretur, se liberalem erga eos quoque, quos non oportebat, exhibebat, et eo tempore liberalitatis modum sponte sua, quum minime opus erat, excedere maluit, quam ut invitus, si dicere fas est, necessitati rerum cederet. Sed manifestissimum argumentum ejus rei, quod pecunias non ex conventione, ut dicunt, sed dono acceperunt, illud est, quod illi vicissim imperatorem nostrum muneribus coluerunt. Neque quemquam istis contradicturum puto. Quodsi concederemus, imperatorem Justinianum ex conventione illis pecunias largitum, hæc conventio spatio vitæ ejus, qui pecunias solveret, esset terminata et circumscripta, et morte ejus donatio finem accepisset. Neque unius hominis consuetudine aut lege minime utili (dico autem ut plurimum), licet rex ipse sit, qui hanc consuetudinem aut legem constituerit, tota gens aut res publica teneri debet. Nos vero eo magis abest ut quicquam dono dare Saracenis velimus, quod quantum imperator Justinianus erga barbaros benignus et beneficus fuit, is, qui nunc Romanis imperat, tanto magis constituit se cunctis præbere formidandum. Itaque non oportet Saracenos hæc sibi somnia fingere. Nunquam enim imperator hæc facere sustinebit. Vobis autem optandum est ut pacem servare in animum suum inducat, neque existimet fœderum conventiones in aliqua re Romanorum majestatem lædere et minuere. Si enim id existima-

τες μὲν οὖν οὕτως ἔλεξε. Καὶ περὶ μὲν τῶν Σαρακηνῶν τὸ λοιπὸν οὐδεμία τις ἐφέρετο μνήμη. Ἐπιτηρήσας δὲ τῷ δοκεῖν οὐκ ἐργωδῶς ἀμφὶ Σουανίας ἀπέρριψε λόγους, ὡς δέον ὑπὸ Ῥωμαίους αὐτὴν καθεστάναι, εἴ γε καὶ Λαζικῆς ἐπελάβοντο ἐννομώτατα αὐτοί. Ὁ δὲ Περσῶν βασιλεὺς τοὺς περὶ Σουανίας μὲν λόγους ἔδοξε παραδέχεσθαι, χρῆναι δὲ αὐτὸν ἔφη περὶ ταύτης ἅμα τοῖς ἐν τέλει τῶν Μήδων βουλεύσασθαι. Μετὰ ταῦτα δ' Ἰωάννης λόγους προσήγαγε τῷ Ζὶχ τῷ καὶ Ἰεσδεγουσνὰφ, καὶ μὲν οὖν ἑτέροις τισὶ τῶν παρὰ Πέρσαις ἡγεμόνων. Οἱ δὲ ἔλεξαν, ὡς ἑτοιμότατα ἔχοιεν Σουανίας παραχωρῆσαι Ῥωμαίοις, οὕτω μέντοι ἐφ' ᾧ χρήματα λήψεσθαι καὶ ὤνιον θέσθαι τὴν ἀπαλλαγήν. Καὶ πρός γε συνθήκας ἄλλας τινὰς δεῖν ἔφασκον γενέσθαι, αἰσχράς τε καὶ ἀναξίας τῆς Ῥωμαίων ἀρχῆς, καὶ βεβαιούσας οὐδαμῶς τὴν περὶ βασιλέως Ἰουστίνου κρατήσασαν δόξαν, ὡς ἔστι μάλα ἐμβριθής τε καὶ κατηκριβωμένος. Ἰωάννης δὲ τὰ τοιάδε ἀκηκοὼς, καὶ οὐ σφόδρα τῆς τοῦ αὐτοκράτορος στοχαζόμενος γνώμης, ἀβουλότατα διεπράξατο· ἔστειλε γὰρ παρὰ Σουάνους, τὸν σφῶν βασιλέα βουλόμενος δεξιώσασθαι, δελεάσαντος οὖν αὐτὸν ἐς τοῦτο ἀτοπίας ἐλθεῖν αὐτοῦ Χοσρόου, ἐσκήπτετο δὲ τὸ τοιόνδε καὶ ἐμηχανᾶτο, ὅπως ἔσοιτό γε αὐτῷ ἐς δικαιολογίαν τινὰ, ὡς αὐτοὶ Σουάνοι, καίτοι προτραπέντες, οὐκ ἀνάσχετα ποιοῦνται Ῥωμαίοις ὑπακούειν. Ἐξηπίστατο γὰρ ὅτι οὖν ὤνησαν οἱ πρὸς Ἰωάννου σταλέντες. Μετὰ ταῦτα ἐπηγγείλατο Χοσρόης στέλλειν πρεσβευτὴν ὡς βασιλέα Ῥωμαίων, τὸν ταῦτα ἅπαντα ἐν δέοντι καταστησόμενον· καὶ ἀνέζευξεν Ἰωάννης ἐς τὸ Βυζάντιον.

16.

Ibidem p. 151 : Ὅτι Ἰουστῖνος ὁ βασιλεὺς ἐπεὶ ἐπύθετο, ὡς ἐν Σουανίᾳ εἴη πέμψας, καὶ ὅτι τοῖς Ῥωμαίων οὐ προσέθεντο Σουάνοι, ἐχαλέπαινεν, οἷα εἰκός. Καὶ παραπρεσβείας ἐκρίνετο Ἰωάννης, ἅτε οὐ πρὸς τὸ συνοῖσον τῇ πολιτείᾳ διαπραξάμενος. Οὐδὲ γὰρ χρῆναι αὐτὸν ἔφασκε στεῖλαι, εἴγε μὴ τοῦτο ἐνεκελεύσατο ὁ βασιλεὺς, κἀκ τούτου δοῦναι πρόφασιν Πέρσαις τὸ ἀδίκημα ξυσκιάζειν, καὶ προφέρειν λόγους, ὡς αὐτοὶ Σουάνοι ἀπηνήναντο τὰ Ῥωμαίων· ἀλλ' οὐδὲ ἐν ἀρχῇ τὴν τοιαύτην προσδέξασθαι πρόκλησιν, ἢ Σουάνους προτρέψασθαι εἶναι ὑπὸ Ῥωμαίους, ἢ τούτου γε ἕνεκα πρεσβευτὴν ἐν Βυζαντίῳ γενέσθαι. Οὐδέτερον γὰρ ἐξ ἀμφοῖν εὐπρεπὲς εἶναι τῇ πολιτείᾳ ἡγήσατο. Ἰωάννην οὖν περιφρονήσας ὁ αὐτοκράτωρ ἐν τῇ τῶν ἀνεπιτηδείων ἔταξε μοίρᾳ, ἐγνωμάτευσε δὲ ὅπως τὰ ἡμαρτημένα εὖ διαθείη.

17. (an. 566; Justini 2.)

Exc. De leg. gent. p. 103 — 106 : Ὅτι ἠγγέλθη Ἰουστίνῳ, ὡς ἐκ τῆς Περσῶν ἐπικρατείας ἐξώρμησεν ὁ Ζὶχ πρεσβευσόμενός τε καὶ διαλεχθησόμενος περὶ Σουάνων, ἐν ταὐτῷ καὶ φιλοφροσύνης ῥήματα ἀποκομίσων βασιλεῖ, ἔτι τε καὶ τὰ ἐφ' οἷς Ῥωμαῖοι προσεγκαλοῦσιν εὖ διαθησόμενος. Ὁ δὲ Ἰουστῖνος ἐν βουλῇ ἐποιεῖτο ἢ μὴ προσδέξασθαι τὴν πρεσβείαν, ἢ προσδεχόμενον εἰδέναι τὸν Ζὶχ, ὡς τὰ κατὰ νοῦν αὐτῷ ἀνυσθήσεται οὐδαμῶς. Καὶ δὴ ξυγκροτηθείσης αὐτῷ ἐκκλησίας, δοκεῖ κατάδηλον γενέσθαι ἔτι ὁδοιποροῦντι

ret, ab armis inferendis non abstineret. » Atque hic ad hunc modum est locutus, neque deinceps ulla mentio de Saracenis est facta. Observato deinde tempore, ne de industria agere videretur, Suaniæ mentionem injecit; nimirum quum Lazica optimo jure restituta esset, oportere quoque ipsam Suaniam Romanorum potestati permitti. Visus est autem Persarum rex sermones de Suania excipere, et sibi amplius de ea re cum principibus Medorum deliberandum dixit. Nec multo post Joannes colloquium habuit cum Zicho, qui etiam Iesdegusnaph nominabatur, et reliquis Persarum primoribus. Illi quidem dixerunt, paratos se esse Romanis cedere Suaniam hac conditione, ut pretium ejus acciperent et ejus cessionem venderent, multasque alias conventiones in medium proponebant turpes et indignas Romani imperii majestate, et quæ minime existimationi, quam Justinus adeptus erat, consentiebant. Gravis enim et elati animi vir, et qui omnia diligenter perpenderet, habebatur. Quæ quum Joannes audiisset, neque satis ad ea, quæ imperator illi præceperat, advertisset, imprudenter fecit, et ad Suanos misit, qui regem eorum salutarent ejusque gratiam conciliarent. Eo absurditatis eum pellexerat Chosroes, qui callide hoc commentus ita instituit, ut haberet quod quasi jure suo diceret, Suanos ipsos quamvis rogatos Romanis parere recusasse. Noverat enim, quantum qui a Joanne missi fuerant, efficerent. Nec multo post Chosroes pollicitus est, se legatum ad Romanorum imperatorem missurum esse, qui hæc omnia componeret, et reversus est Joannes Byzantium.

16.

Justinus imperator ubi accepit, Joannem legatos in Suaniam misisse, Suanos autem se non imperio Romanorum subjecisse, graviter molesteque tulit, et Joannem legationis non ex utilitate rei publicæ gestæ condemnavit. Nec enim se inscio, aut non jubente, debuisse mittere et ex hoc occasionem Persis præbere, qua suam injustitiam tegerent, et palam prædicarent, Suanos ipsos Romanorum imperium detrectasse. Nec enim hanc ab imperio suscepisse provinciam, ut aut Suanis suaderet ut se Romanis subderent, aut hujus rei gratia Byzantium legatus veniret. Neutrum enim imperio Romano dignum esse existimabat. Itaque Joannem imperator a se abalienatum dimisit et eorum numero habuit, qui minime commodi suis rebus essent: tum excogitavit, qua ratione inconsulte facta in melius corrigeret.

17.

Justino nuntiatum est a Persarum imperio Zichum legatum ad se missum esse, qui de Suanis ageret, Persarumque erga imperatorem benevolentiam testificaretur, et ea, de quibus Romani quererentur, amice componeret. Justinus vero aut minime legationem admittere, aut, si admitteret, Zicho significare constituit, nequaquam rem optatam exitum habituram. Et accedente senatus auctoritate censuit, ut Joannes per litteras Zicho adhuc iter peragenti palam faceret, imperatorem in nullo eorum, quæ speraret, assensurum. Quo facto, Timotheo, ex numero eorum, qui jam

τῷ Ζὶχ διὰ συλλαβῶν Ἰωάννου, ὡς τὸ παράπαν οὐδὲν τῶν δοκηθέντων προσεδέξατο ὁ βασιλεύς. Τούτου γενομένου, τὸ γράμμα ἐνεχειρίσθη Τιμοθέῳ τῶν ἅμα Ἰωάννῃ γενομένων ἐνὶ κατὰ δὴ τὴν Περσῶν πρὸ τοῦ. Καὶ οὖν Τιμοθέῳ ἐνεκελεύσατο βασιλεὺς ῥήματα μὲν δῆθεν τῆς ἐς Ῥωμαίους φιλίας ἀποκομίσαι βασιλεῖ τῶν Περσῶν, ὑπαντιάζοντι δὲ, ὥσπερ εἰκὸς, τῷ πρεσβευτῇ ἐπιδεῖξαι τὴν Ἰωάννου ἐπιστολὴν, ὡς ἂν ἔσοιτο ἐξεπιστάμενος ὁ Ζὶχ καὶ σαφέστατα προγινώσκων τὴν βασιλέως βουλήν. Τιμόθεος οὖν, τοῦτο ἐπιτετραμμένον αὐτῷ, παρεγένετο ἐν τοῖς ὁρίοις. Γνοὺς δὲ, ὡς οὔπω πάρεστιν ὁ Περσῶν πρεσβευτὴς, ἐπορεύετο ὅ γε αὐτίκα πρὸς Χοσρόην. Ξυμβὰν δὲ οὕτω, τοῦ Ζὶχ δι' ἑτέρας ἀτραποῦ ἐς τὴν Νίσιβιν ἀφικομένου, ἐκεῖ τε διατρίψαντος τῷ διατεθῆναι τὸ σῶμα ἀρρώστως, ἐν τοσούτῳ Τιμόθεος πρὸς τοῦ Περσῶν βασιλέως ἀφεθεὶς, ἐπεὶ κατέλαβε τὸν Ζὶχ ἐπανερχόμενος κατὰ δὴ τὴν Νίσιβιν ἔτι νοσώδη, τά τε γραφέντα οἱ πρὸς Ἰωάννου ἐνεχείρισεν *. Ὁ δὲ καταμαθὼν ὡς ἐς τοὐναντίον αὐτῷ τῶν ἐλπισθέντων ἡ ὁδὸς γίνεται καὶ ὡς οὐκ αἰσίως οἱ προβήσεται τὰ τῆς πρεσβείας, δυσθυμίᾳ περιπεσὼν καὶ τῇ νόσῳ κάτοχος ὢν κατέστρεψε τὸν βίον. Καὶ μὲν δὴ καὶ Ἰωάννην αὐτίκα συνέβη τεθνάναι. Μετὰ ταῦτα ἀγγέλλεται ἐν Βυζαντίῳ, ὡς ἕτερος ἥξει πρεσβευτὴς ὁ προσαγορευόμενος Μεβώδης. Οὗτος ἐς τὴν βασιλίδα ἐπορεύετο ἐξογκούμενος καὶ μάλα βρενθυόμενος, καὶ ἐλπίδα ἔχων, ὡς περὶ Σουανίας αὐτῷ κινηθήσονται λόγοι καὶ ὅτι Πέρσας ἀρέσκουσαι γενήσονται ξυνθῆκαι. Τοιαύτῃ διανοίᾳ ἐπηρμένος ἐν Βυζαντίῳ ἥει, αὐθαδέστερον ἢ κατὰ πρεσβευτὴν θέμενος τοῖς κατὰ τὴν ὁδοιπορίαν. Παραγενομένου δὲ (βασιλεὺς γὰρ ᾔδει, ἐπέπυστο Μεβώδου τῆς ἀλαζονείας πέρι, καὶ ὁποῖα ἄττα ἐλπίζων τὴν ἄφιξιν ἐποιήσατο), τὰς μὲν ἐκ βασιλέως Περσῶν ἔδοξε δέχεσθαι προσρήσεις κατὰ τὸν εἰωθότα θεσμὸν, περιεφρόνησε δὲ ὅμως τὸν Μεβώδη καὶ ἀπεφλαύριζε μηδὲ τὴν οἱανοῦν συνουσίαν ὡς αὐτὸν ποιούμενος. Ὡς δὲ ἐς τοὐναντίον ἤπερ ἐβούλετο τὰ τῆς πρεσβείας οἱ ἐχώρει, καὶ τὸ παράπαν οὐδὲν αὐτῷ ἔλεξε περὶ Σουανίας ὁ βασιλεὺς, ἔπειτα ἐξελιπάρει ὁ Μεβώδης τοὺς ἅμα οἱ Σαρακηνοὺς ἐς λόγους ἰέναι τῷ αὐτοκράτορι. Εἵποντο γὰρ ἀμφὶ τοὺς τεσσαράκοντα οἰκείῳ τινὶ πρεσβευτῇ ταττόμενοι. Ὁ γὰρ τῶν Σαρακηνῶν φύλαρχος Ἄμβρος ἐκπέμψας ὑπῆρχε καὶ ὅ γε ξὺν τῷ Μεβώδῃ πρεσβείαν διαλεχθησομένους περὶ ὧν χρημάτων πρὸς Ἰουστινιανοῦ ἐκομίζοντο. Μεβώδης οὖν τοῦ σκοποῦ τοῦ περὶ Σουανίας ἁμαρτὼν, ὡς ἂν μὴ πάντῃ ἄπρακτος ἀναχωρήσοι, ἐπιμελέστατά πως ἠντιβόλει τῆς ὡς βασιλέα τυχεῖν εἰσόδου τοὺς Σαρακηνούς. Καὶ τοίνυν ὑπολαβὼν ὁ αὐτοκράτωρ, « Τί γὰρ δῆτα, » ἔφη, « βούλονται οἱ καθ' ὑμᾶς Σαρακηνοί; » Ὡς δὲ ἐγκείμενον ἑώρα, κατένευσε μόνῳ εἰσιέναι τῷ ἐκείνων πρεσβευτῇ. Ἠπίστατο γὰρ, ὡς ἀπαυθαδιαζόμενος οὐκ ἂν ἕλοιτο ἄνευ τῶν ἑπομένων ὡς βασιλέα φοιτῆσαι, ἀλλ' ὥσπερ ἡνίκα παρὰ Ἰουστινιανὸν ξὺν ἅπασι τοῖς ἅμα αὐτοῖς τῶν Σαρακηνῶν οἱ πρέσβεις ἐγίνοντο, καὶ τὸν οὕτω βούλεσθαι τὸ σύνηθες διασώζοντα ποιήσειν. Ἐντεῦθέν τε εὐπρόσωπον ᾤετο ἕξειν αἰτίαν, ὡς αὐτὸς μὲν τὰ ἁρμόδια βασιλεῖ διεπράξατο, ὁ δὲ Σαρακηνὸς ἥκιστα ἔγνω τὰ δέοντα· εἶτα κατὰ δὴ τοῦ βαρβάρου ἀντιστραφήσεται τὸ ἐπίκλημα. Καὶ οὐκ (ἂν) ἄλλως

antea cum Joanne in Perside fuerant, literæ traditæ sunt. Jusserat imperator Timotheo, ut regi Persarum ob significationem in se benevolentiæ gratias ageret, literas vero Joannis legato, quem obvium in itinere, sicut itineris ratio ferebat, habiturus esset, traderet, ut Zichus exploratam perspectamque imperatoris voluntatem haberet. Hæc ubi Timotheo sunt imperata, ad limites contendit. Illic quum cognovisset nondum advenisse Persarum legatum, confestim ad Chosroem est profectus. Forte enim contigerat ut Zichus alia via Nisibim diverteret, ibique valetudinis causa detineretur. Interea Timotheus a Persarum rege dimissus rediens Nisibi Zichum adhuc ægrotantem assecutus, ei Joannis literas tradidit. Is quum intellexisset, iter suum haud prospere cedere, neque ex voto legationem peractum iri, animo cecidit, et ex morbo, quo detinebatur, vitam morte commutavit. Nec multo post Joannes quoque mortuus est. Post hæc Byzantium nuntiatur, advenire alium legatum, Mebodem nomine. Is vana confidentia inflatus in regiam pervenit magnam spem habens, sermonem motum iri de Suania, seque fœdus ex Persarum sententia facturum. Hac cogitatione elatus, dum Byzantium iter habet, arrogantius, quam legatum decebat, erga omnes, quibuscum convenit, se gessit. Ut venit, imperator, qui hominis arrogantiam et importunitatem, et quorum obtinendorum spe iter instituisset, jam didicerat, gratulationes a Persarum rege benigne, ut mos erat, excepit. Sed Mebodem imperator contemptui habuit, neque illi ullum familiaritatis signum exhibuit. Sic illi præter spem legatio cessit, neque ullum omnino verbum imperator de Suania fecit. Deinde Mebodes magnopere petiit, ut Saracenis, qui cum eo erant, imperatorem adeundi potestas esset. Erant enim in ejus comitatu circiter quadraginta proprio legato parentes. Miserat scilicet cum Mebode Ambrus, Saracenorum phylarchus, et ipse legatos, qui de pecuniis, quas a Justiniano impetraverant, agerent. Itaque quum Mebodes, quantum ad Suaniam attinebat, spe sua excidisset, ne nulla re obtenta discederet, cura omni contendit, ut Saracenorum legati aditum ad imperatorem nanciscerentur. De ea re quum Mebodis orationem imperator excepisset, « Quid nobis volunt, inquit, Saraceni? » ut instantem vidit, concessit eorum legato, ut solus ad se accederet. Neque enim legatum, qui superbior erat, toleraturum existimabat, ut remotis comitibus in imperatoris conspectum veniret: sed quemadmodum quondam imperatorem Justinianum eorum legati cum omnibus comitibus suis adiissent, hunc quoque pertinacius in eo persistiturum esse, ut mos solitus observaretur. Qua in re imperator se optimi juris speciem præ se laturum esse speravit, quod ipse quæ imperatorem decerent, fecisset, Saracenus autem minime, quæ fieri oportuisset, intellexisset: se igitur omnem culpam in barbarum conjecturum. Neque aliter res cecidit quam suspicatus fuerat imperator. Etenim Saracenus haud decorum sibi esse existimans, so-

ἀπίδῃ, ᾗ βασιλεὺς ἐστοχάσατο. Ὁ γὰρ δὴ Σαρακηνὸς ἀπρεπὲς εἶναι τὸ παρεῖναί οἱ μόνῳ ὡς βασιλέα ὑποτοπήσας, καὶ τὸ κρατῆσαν δῆθεν καταλύειν οὐχ αἱρετέον αὐτῷ, ἀπηνήνατο τὴν ἐς βασιλέα πάροδον. Τότε ὁ βασιλεὺς τὸν μὲν Σαρακηνὸν τελεώτατα περιεφρόνησεν, ὁ δὲ ἐς τὸν Μεβώδη παρήγαγε τὰς αἰτίας. Ὁ δὲ τῶν Περσῶν πρεσβευτής, « Ὦ δέσποτα, » ἔλεξεν, « οὐ πάρειμι συνεπαμύνων, εἴγε ὁ Σαρακηνὸς ἐπλημμέλησέ τι, ἄλλως δὲ ἀκουσόμενος, ὅπως, εἰ μὲν ἁρμόδια τῷ δικαίῳ λέγοι, μὴ περιόψομαι, εἰ δέ γε ἐς τοὐναντίον ὀφθήσεται ἀδίκως ἐπεγκαλῶν, αὐτὸς ἐγὼ καταδιαιτήσω τοῦ Σαρακηνοῦ. » Ὁ βασιλεὺς ἐπιτωθάζων· « Ἥκεις, ὡς ἔοικεν, οὐχὶ πρεσβευσόμενος, ἀλλὰ δικάσων. » Ὁ Μεβώδης αὐτίκα ὅ γε τῷ πληκτικῷ τοῦ λόγου συγχέας τὸ πρόσωπον ἐφοινίττετο. Τοιγαροῦν παραχρῆμα τὸν αὐτοκράτορα προσειπὼν ἧπερ θέμις, οὕτως ἀνεχώρησεν. Ὀλίγαις δὲ ὕστερον ἡμέραις αὖθις ἐς τὰ βασίλεια παρελθὼν παρῃτεῖτο λιπαρῶς περὶ τῆς τῶν Σαρακηνῶν εἰσόδου. Τοῦ δὲ βασιλέως ἀνανεύοντος, οὐχ ὅσιον ἔφασκεν εἶναι μὴ τὰ ὅσα ἐπετέλει πρὸ τοῦ παρὰ Ῥωμαίους πρεσβευόμενος ὁ Ζὶχ, καὶ ἐμὲ αὖθις ἐπιτελεῖν. « Οἱ γὰρ καθ' ἡμᾶς Σαρακηνοὶ ἅμα αὐτῷ παρὰ βασιλέα ἐγίνοντο. Δεῖ οὖν καὶ ἐμὲ τῶν ἴσων ἐκείνῳ ἀπολαύειν, ὡς ἂν μὴ ὥσπερ λελωβημέναι ὦσιν αἱ μεταξὺ Ῥωμαίων τε καὶ Περσῶν συνθῆκαι. » Ὁ βασιλεὺς πρὸς ταῦτα ὀργίλως ἔχων· « Τί οὖν, εἰ καὶ πεφώραται ὁ Ζὶχ ἐπὶ μοιχείᾳ καὶ ἑτέρῳ ὅτῳ πλημμελήματι τῶν ἀνηκέστων ἁλούς, καὶ σοὶ κατ' ἴχνος ἐκείνῳ ἰτέα; ἢ οὐ ξυναισθάνῃ βασιλεῖ Ῥωμαίων καὶ Ἰουστίνῳ διαλεγόμενος; » Τότε κατορρωδήσας ὁ Μεβώδης, περιδεής τε γενόμενος, πρηνὴς ἔκειτο ἐπ' ἐδάφους, πρὸς ἄρνησίν τε καταφεύγων καὶ ἀναινόμενος εἰρῆσθαί οἱ τὰ τοιάδε. Τοιαύτῃ ἀπολογίᾳ χρωμένου, ὁ αὐτοκράτωρ ἔδοξεν ὑπάγεσθαι τῇ πειθοῖ, ἔλεξέ τε· « Ἔοικεν οὖν ὁ ἑρμηνεὺς ἡμῖν ἕτερα ἀνθ' ἑτέρων φράσαι. Εἰ τοίνυν οὐδὲν λέλεκταί σοι παρὰ τὸ προσῆκον, ἴσθι τὸ ἐπίκλημα ἀπονιψάμενος. » Οὕτως ὁ βασιλεὺς ἑκοντὶ ἀποπροσποιησάμενος τὰ λεχθέντα πρὸς αὐτοῦ εἰδέναι, τῶν εἰρημένων τὴν ἄγνοιαν ὑπεκρίνετο, καὶ δὴ ἐς τὸ ἠπιώτερον μετηνέχθη, ὡς ἂν μὴ θρασύτερός τε καὶ κατὰ τὸ μᾶλλον ὑψαγόρας ἔσοιτο ὁ Μεβώδης τῷ ἐς ἔννοιαν ἔχειν συνειδέναι τὸν αὐτοκράτορα τῇ τῶν ῥημάτων τραχύτητι. Οὕτω δὴ οὖν τοῦ βασιλέως παρακρουσαμένου τὴν ὑπόνοιαν, « Οἰμωζέτω, » ἦ δὲ ὁ Μεβώδης, « καὶ τὰ Σαρακηνικὰ φῦλα ἅπαντα καὶ Ἄμβρος αὐτὸς καὶ ἡ πρεσβεία ἡ κατ' αὐτούς· ἐμοὶ γὰρ σιγὴ ἔσοιτο ἕκατί τε αὐτῶν, οὐδ' εἴποιμί τι λοιπόν. » Τούτων οὕτω κεκινημένων, πλεῖστα μὲν καὶ ἄλλα ὁ βασιλεὺς τὸν Σαρακηνὸν εἶπε κακῶς, καὶ ὡς μεταβολεύς τε καὶ παλιγκάπηλος ἥκοι. Πρὸς τοῖς δ' ἔφασκεν, ὡς οὐχ οἷός τε πέφυκε λήσειν, ὅτου ἕνεκα βασιλεῖ ἐντευξόμενος ἀφίκετο. « Φησὶ γάρ, ὡς ἐθέλοι τὰ συνήθη χρήματα κομίσασθαι πρὸς ἡμῶν, ἀνθ' ὧν οἶμαι κομιεῖται ξυμφορὰς ὁ κατάρατός τε καὶ ἀπολούμενος. Γελοιῶδες γάρ, εἰ Σαρακηνῶν ἔθνει, καὶ ταῦτα νομάδων, Ῥωμαῖοί γε ὄντες τεταξόμεθα ἐς φόρων ἀπαγωγήν. » Ὁ Μεβώδης, « Εἶεν, » ἔφη, « ὦ δέσποτα· εἰ καὶ ἄπρακτον, ὅμως ἀπόπεμψον αὐτόν. » Ὁ βασιλεύς· « Καὶ εἰ μὴ παρεγένετο, ὅσον τό γε ἐφ' ἡμῖν, ἀλλ' οὖν ἀπίτω. » « Καὶ ἐμὲ ξὺν αὐτῷ κέλευσον, » ἦ δὲ ὁ Μεβώδης. Εἰς τέλος ἐλθούσης

---

lum sine ullo comitatu ad imperatorem accedere, neque a more, qui jamdudum obtinuerat, sibi recedendum esse ratus, imperatoris aditum renuit. Tunc imperator valde despexit Saracenum; de qua re quum apud Mebodem questus esset, Persarum legatus imperatori dixit: « Ego quidem, domine, adsum, haud defensionem suscepturus Saraceni, si in aliquo deliquerit, sed rem cogniturus, ut, si verum ad me detulerit, causam ejus non deseram; sin injuria accusasse apparebit, ego ipsum condemnem. » Cui imperator mordens: « Venisti igitur non legationis munus obiturus, sed judicis officio functurus. » At Mebodes acerba et mordaci imperatoris responsione confusus erubuit vultu, atque confestim imperatore, sicut fas erat, salutato, recessit. Paucis post diebus iterum Mebodes imperatorem adiit, et suppliciter postulavit, Saracenum ad eum introduci, et imperatore abnuente, minime justum esse, dixit Mebodes, sibi non eadem perficere licere, quæ Zichus ante se legatus perfecisset. « Nam nostra memoria, inquit, Saraceni ad imperatorem una cum ipso accesserunt. Itaque oportet me iisdem frui, quibus ille, ne in aliquo inter Romanos et Persas induciæ sint quodammodo violatæ. » Ad quæ imperator iracundia percitus: « Si igitur Zichus in adulterio aut aliquo alio gravi crimine deprehensus esset, tu illius vestigiis tibi insistendum putares? Annon sentis, te cum Romanorum imperatore et Justino sermonem habere? » Tum consternatus Mebodes præ pavore pronus in terram se ad ejus pedes prostravit et ad mendacia confugiens negavit, a se talia prolata fuisse. Qua excusatione quum uteretur, imperator fidem habere videbatur, et dixit: « Videtur igitur interpres nobis alia pro aliis suggessisse. Itaque si nihil a te dictum est ab officio et decoro alienum, scito te crimen purgasse. » Ad hunc modum imperator sponte ea quæ dicta fuerant, quum eorum ignorationem simularet, dissimulatione transegit, et ad animi æquitatem est delapsus, ne forte Mebodes in posterum fieret audacior aut verbis elatior, quum recordaretur, imperatorem sermonis ejus impudentiam animadvertisse. Itaque quum sic imperator quod sensit, repressisset, Mebodes exclamavit: « Abeant in malam rem et Saracenicæ gentes omnes et Ambrus ipse et legatio eorum: mihi vero de ipsis silentium sit neque quidquam in posterum dicam. » Quæ quum dixisset, imperator quoque maledicta in Saracenum conjecit, eumque institorem et cauponem appellavit. Ad hæc dixit, se silentio præterire non posse, qua de causa imperatoris congressum tantopere concupisset. « Scilicet dicit se a nobis solitas pecunias accipere velle, pro quibus calamitates, opinor, scelestus et improbus feret. Ridiculum enim esset, si nos Romani tributum Saracenicis gentibus iisque nomadibus penderemus. » Tum Mebodes, « Esto, inquit, o domine; at tu illum, licet re infecta, dimitte. » Et imperator, « Quamvis melius non venisset, quantum in me est, abeat tamen. » « Et me quoque jube, inquit Mebodes, cum

τῆς πρεσβείας ἐν τούτοις, τόν τε Περσῶν πρεσβευτὴν καὶ τοὺς Σαρακηνοὺς ὁ βασιλεὺς ἅμα ἀφῆκεν ἐς τὰ πάτρια ἤθη ἀπονοστήσοντας. Οὕτω δὲ ἀπεσιγήθη ἅπαντα τῇ τοῦ αὐτοκράτορος νουνεχείᾳ τὰ ὅσα Ἰωάννης ἐπὶ τῇ πρεσβείᾳ διεπράξατο οὐ κατὰ τὸ προσῆκον. Ὡς δὲ οἱ Σαρακηνοὶ ἔνδον τῆς ἑαυτῶν ἐγένοντο, ἀπήγγειλάν τε τῷ Ἄμβρῳ τὴν τοῦ βασιλέως βουλὴν περὶ τοὺς μηδίζοντας τῶν Σαρακηνῶν, τότε ὁ Ἄμβρος Καμβώσῃ (Καβώσῃ mgo) τῷ ἀδελφῷ, ὃς Ἀλαμουνδάρῳ τῷ τῶν ὑπὸ Ῥωμαίους Σαρακηνῶν ἡγουμένῳ ἀντικαθιστάμενος ἦν, σημαίνει καταδραμεῖν τὴν Ἀλαμουνδάρου γῆν. Ἥδε δὲ ἡ γῆ ὑπὸ Ἀραβίαν τελεῖ.

18. (568. Justini an. 4.)

Ibidem p. 106—108 : Ὅτι ἀρχομένου τοῦ τετάρτου ἔτους τῆς Ἰουστίνου βασιλείας πρεσβεία τῶν Τούρκων ἀφίκετο ἐν Βυζαντίῳ. Ὡς γὰρ τὰ τῶν Τούρκων ἐπὶ μέγα ἤρθη, οἱ Σογδαῖται οἱ πρὸ τοῦ μὲν Ἐφθαλιτῶν, τηνικαῦτα δὲ Τούρκων κατήκοοι, τοῦ σφῶν βασιλέως ἐδέοντο πρεσβείαν στεῖλαι ὡς Πέρσας, ὡς ἂν ἐκεῖσε ἀπιόντες οἱ Σογδαῖται ὤνιον παράσχοιντο τὴν μέταξαν τοῖς Μήδοις. Καὶ οὖν πείθεται ὁ Διζάβουλος, ἀφίησί τε πρεσβευσομένους Σογδαΐτας. Ἐξηγεῖται δὲ τῆς πρεσβείας Μανιάχ. Ἀφικόμενοι δὴ οὖν παρὰ βασιλέα Περσῶν ἐδέοντο τῆς μετάξης πέρι, ὅπως ἄνευ τινὸς κωλύμης αὐτοῖς προέλθοι ἐπ' αὐτῇ τὰ τῆς ἐμπορίας. Ὁ δὲ Περσῶν βασιλεὺς (οὐδαμῶς γὰρ αὐτῷ ἤρεσκε τὰ τοιάδε, ὡς ἂν μὴ ἐνθένδε ἄδεια ἔσοιτο Τούρκοις τοῖς Περσῶν ἐμβατεύειν ὁρίοις) ἀνεβάλετο ἐς τὸ αὔριον. Καὶ μὲν οὖν αὖθις ἀναβολῇ ἐχρῆτο πάλιν ἑτέρᾳ. Ὡς δὲ ἄλλοτε ἄλλως τὸ παρὸν ἀπεκρούετο, τῶν Σογδαϊτῶν ἐκλιπαρούντων τε καὶ ἐγκειμένων, τότε Χοσρόης ἐκκλησιάσας ἀνελογίζετο. Καὶ οὖν ὁ Κάτουλφος ἐκεῖνος ὁ Ἐφθαλίτης, ὃς διὰ τὴν ἐκ τοῦ κατ' αὐτὸν βασιλέως γεγενημένην βιαίαν μῖξιν τῇ γυναικὶ προὔδωκε τὸ ὁμόφυλον τοῖς Τούρκοις, οὗτος γοῦν (μετανάστης γὰρ ἐν τῷ μεταξὺ ἐγεγόνει τοῦ χρόνου καὶ ἐμήδιζεν ἤδη) παρῄνεσε βασιλεῖ τῶν Περσῶν τὴν μέταξαν οὐδαμῶς ἀποπέμψασθαι, ἀλλὰ γὰρ καὶ ὠνήσασθαι καὶ τὰ ὑπὲρ αὐτῆς μὲν καταθέσθαι τιμήματα, θεωμένων δὲ αὐτῶν τῶν πρέσβεων ταύτην ἀφανίσαι πυρί, ὡς ἂν μήτε ἀδικεῖν δόξῃ, μήτε μὴν βούλεσθαι χρῆσθαι τῇ ἐκ Τούρκων μετάξῃ. Καὶ ἡ μὲν μέταξα ἐπυρπολήθη· αὐτοὶ δὲ ἐς τὰ πάτρια ἤθη ἀνεχώρησαν, τῷ γεγενημένῳ ἥκιστα χαίροντες. Ἐπειδὴ δὲ τῷ Διζαβούλῳ τὰ ξυγκυρήσαντα ἔφρασαν, αὐτίκα ὅ γε καὶ ἑτέρᾳ πρεσβείᾳ ἐχρῆτο ὡς Πέρσας, φιλοποιήσασθαι τὴν κατὰ σφᾶς πολιτείαν βουλόμενος. Ἐπεὶ δὲ ἡ Τούρκων πρεσβεία αὖθις ἀφῖκτο, ὁ βασιλεὺς ἅμα τοῖς ἐν τέλει Περσῶν καὶ τῷ Κατούλφῳ ἐγνωμάτευε, πάντῃ ἀξύμφορον εἶναι Πέρσαις φιλίαν θέσθαι ὡς Τούρκους· τὸ γὰρ Σκυθικὸν εἶναι παλίμβολον. Ταύτῃ τοι καὶ παρενεγύησε δηλητηρίῳ φαρμάκῳ ἐνίους διαφθαρῆναι τῶν πρέσβεων, ὅπως ἀπείποιεν τῆς ἐκεῖσε μετέπειτα παρουσίας. Καὶ δὴ οἱ πλεῖστοι τῶν πρεσβευσαμένων Τούρκων τῇ περὶ τὴν ἐδωδὴν μίξει τῶν ἀναιρετικῶν φαρμάκων αὐτοῦ που τὸν βίον κατέλυσαν, πλὴν τριῶν ἢ τεσσάρων. Θροῦς δὲ ἐφοίτησε Πέρσαις, ὡς διώλοντο τῷ πνιγηρῷ τῶν Περσῶν αὐχμῷ τῶν Τούρκων οἱ πρέσβεις, ἅτε τῆς αὐτῶν χώρας θαμὰ νιφετῷ παλυνομένης, καὶ ἀδύνατον ὂν αὐτοῖς ἄνευ κρυμώδους καταστήματος βιοτεύειν. Ταύτῃ τοι καὶ ἄλλως ὑποτοπήσαντες, οἵ γε τὴν ἐπιβουλὴν διέφυγον, οὕτω ξυμβὰν εἰς τὴν πατρῴαν ἐπανελθόντες τὰ ἅπερ οἱ Πέρσαι καὶ οἳ διεψιθύρισαν ταῦτα.

ipso abire. » In his finivit legatio. Itaque Persarum legatum et Saracenos ad sua redituros imperator dimisit. Atque ita imperatoris prudentia pacata sunt et emendata omnia, quæ Joannes in sua legatione perperam egerat. Ut vero Saraceni domum reverterunt, consilium imperatoris de Saracenis, qui Medorum partibus adhærebant, Ambro retulerunt. Tunc Ambrus Camboso fratri, qui Alamanduro, Saracenorum partes Romanas foventium duci, erat oppositus, mandavit, ut Alamanduri terram, quæ Arabiæ contermina erat, excursionibus vexaret.

18.

Initio quarti anni imperii Justini legatio Turcorum Byzantium accessit. Ut enim Turci opibus et potentia creverunt, Sogdaitæ, qui prius quidem Ephthalitarum, tunc vero Turcorum subditi erant, a rege suo precibus contenderunt, ut legationem ad Persas mitteret, quo Sogdaitis eo proficiscentibus sericum venum exponere apud Medos liceret. Dizabulus eorum precibus obtemperans permisit Sogdaitis legationem mittere, cujus princeps fuit Maniach. Profecti igitur ad Persarum regem precati sunt, ut liberum illis esset sine ullo impedimento apud ipsos serici commercium. At Persarum rex, cui minime hoc gratum erat, ne impune illis esset Persarum fines ingredi, responsum distulit in crastinum, deinde alia atque alia dilatione iterum usus est. Quum diem ex die traxisset, et obnixe Sogdaitæ peterent et urgerent, Chosroes, consilio convocato, deliberavit. Catulfus autem ille Ephthalites, qui propter stuprum a rege uxori suæ per vim illatum gentem Turcis prodiderat et deinde ad Medorum partes transierat, hortatus est Persarum regem, sericum minime prætermitteret, sed empto eo, pretium traderet; tum autem ante oculos legatorum illud in ignem injiceret, ne injuste agere, neve Turcorum serico uti velle videretur. Et sericum quidem igni crematum est, legati vero haud læti ad proprias sedes remearunt. Deinde quum Dizabulo, quæ decreta fuerant, renuntiassent, is confestim alia legatione ad Persas usus est, qua rei publicæ suæ eos conciliare studebat. Ubi vero iterum legatio a Turcis advenit, Persarum rex una cum primoribus Persarum et Catulfo censuit, minime e re Persarum esse, amicitiam jungere cum Turcis. Omne enim Scythicum genus perfidum et mutabile. Quin etiam jussit, veneficio tolli nonnullos legatorum, ut in posterum aversarentur ad suas regiones accessum. Sic evenit ut fere omnes legati, exceptis tribus aut quattuor, mixto cibis letali veneno, sint perempti. Rumor ex eo inter Persas dissipatus est, Turcorum legatos nimis calido et sicco terræ Persidis situ periisse, quia, quum Turcorum regio crebris nivibus contecta sit, non nisi in frigida aeris temperie vivere possent. Quin

Ὅμως ὁ Διζάβουλος (ἀγχίνους γάρ τις καὶ δεινός) οὐκ ἠγνόησε τὸ πραχθὲν, ᾠήθη δὲ, ὅπερ καὶ ἦν, ὡς ἐδολοφονήθησαν οἱ πρέσβεις. Ἔνθεν τοιγαροῦν ἡ δυσμένεια ἤρξατο Περσῶν τε καὶ Τούρκων. Καὶ λαβόμενος ὁ Μανιὰχ, ὃς τῶν Σογδαϊτῶν προεστήκει, τοιοῦδε καιροῦ ξυμβουλεύει τῷ Διζαβούλῳ, ἄμεινον εἶναι Τούρκοις ἀσπάσασθαι τὰ Ῥωμαίων, καὶ παρ' αὐτοὺς ὤνιον ἀποκομίζειν τὴν μέταξαν, ὥς γε καὶ κατὰ τὸ πλέον τῶν ἄλλων ἀνθρώπων χρωμένους. Ἑτοιμότατα δὲ ἔχειν ἔφη ὁ Μανιὰχ καὶ αὐτὸς συναπαίρειν τοῖς πρέσβεσι τῶν Τούρκων· καὶ ὡς ταύτῃ φίλοι ἔσονται Ῥωμαῖοί τε καὶ Τοῦρκοι. Τούτοις δήπου κατανεύσας τοῖς ῥήμασιν ὁ Διζάβουλος ἐκπέμπει αὐτόν τε καὶ ἑτέρους τινὰς ὡς βασιλέα Ῥωμαίων πρεσβευσομένους, προσρήσεις τε ἀποκομιοῦντας καὶ δῶρα μετάξης, οὐκ ὀλίγον τι χρῆμα, καὶ συλλαβάς τινας. Τοιάσδε τινὰς ἐπιστολὰς ἐπιφερόμενος ὁ Μανιὰχ ἀπήρξατο τῆς ὁδοιπορίας. Καὶ δὴ ἐς τὰ μάλιστα πολλὴν διανύσας ἀτραπὸν, χώρους τε διελθὼν ἐσότι πλείστους, ὄρη τε μέγιστά καὶ ἀγχινεφῆ καὶ πεδία καὶ νάπας, λίμνας τε καὶ ποταμοὺς, εἶτα τὸν Καύκασον αὐτὸν τὸ ὄρος ὑπερελθὼν, τὸ τελευταῖον ἀφίκετο ἐς Βυζάντιον. Καὶ τοίνυν εἰς τὰ βασίλεια παρελθὼν καὶ παρὰ βασιλέα γενόμενος ἅπαντα ἔπραξε τὰ ὅσα ἕπεται τῷ τῆς φιλίας θεσμῷ, τό τε γράμμα καὶ τὰ δῶρα ἐνεχείρισε τοῖς ἐς τοῦτο ἀνειμένοις, καὶ ἐδεῖτο μὴ ἀνονήτους αὐτῷ γενέσθαι τοὺς τῆς ὁδοιπορίας ἱδρῶτας. Ἀτὰρ ὁ βασιλεὺς ἀναλεξάμενος διὰ τῶν ἑρμηνέων τὸ γράμμα τὸ Σκυθικὸν ἀσμενέστατα προσήκατο τὴν πρεσβείαν. Τοιγαροῦν ἤρετο τοὺς πρέσβεις περὶ τῆς τῶν Τούρκων ἡγεμονίας τε καὶ χώρας. Οἱ δέ γε ἔφασαν τέτταρας αὐτοῖς εἶναι ἡγεμονίας· τὸ δέ γε κράτος τοῦ ξύμπαντος ἔθνους ἀνεῖσθαι μόνῳ τῷ Διζαβούλῳ. Πρός γε ἔλεξαν, ὡς παρεστήσαντο καὶ Ἐφθαλίτας μέχρι καὶ ἐς φόρου ἀπαγωγήν. « Πᾶσαν οὖν, » ἔφη ὁ αὐτοκράτωρ, « τὴν τῶν Ἐφθαλιτῶν ἐκποιήσασθαι (ἰδιοποιήσασθε vel ᾠκειώσασθε Bekk.) δύναμιν. » « Πάνυ μὲν οὖν, » ἔλεξαν οἱ πρέσβεις. Αὖθις ὁ βασιλεύς· « Κατὰ πόλεις ἢ που ἄρα κατὰ κώμας ᾤκουν οἱ Ἐφθαλῖται; » Οἱ πρέσβεις· « Ἀστικοί, ὦ δέσποτα, τὸ φῦλον. » « Εὔδηλον οὖν, ἦ δὲ ὁ βασιλεὺς, ὡς ἐκείνων δήπου τῶν πόλεων κύριοι καθεστήκατε. » « Καὶ μάλα, » ἔφασαν. Ὁ βασιλεύς· « Ἆρα ἡμᾶς ἀναδιδάξατε ὅση τῶν Ἀβάρων πληθὺς τῆς τῶν Τούρκων ἀφηνίασεν ἐπικρατείας, καὶ εἴ τινες ἔτι παρ' ὑμῖν; » « Εἰσὶ μὲν, ὦ βασιλεῦ, οἵ γε τὰ ἡμέτερα στέργουσιν ἔτι· τοὺς δὲ δήπουθεν ἀποδράσαντας οἶμαι ἀμφὶ τὰς εἴκοσιν εἶναι χιλιάδας. » Εἶτα ἐπαριθμησάμενοι οἱ πρέσβεις ἔθνη κατήκοα Τούρκων, τὸ λοιπὸν ἠντιβόλουν αὐτοκράτορα εἰρήνην τε ξυνεστάναι καὶ ὁμαιχμίαν Ῥωμαίοις τε καὶ Τούρκοις. Προσετίθεσαν δὲ, ὡς καὶ ἑτοιμότατα ἔχουσι καταπολεμῆσαι τῆς Ῥωμαίων ἐπικρατείας τὸ δυσμενὲς, ὁπόσον ἐς τὴν κατ' αὐτοὺς ἀγελάζονται ἤπειρον. Ἐπὶ τούτοις ἅμα τῷ λέξαι τὼ χεῖρε ὑψοῦ ἀνατείνας ὁ Μανιὰχ οἵ τε ξὺν αὐτῷ ὅρκῳ ἐπιστώσαντο μεγίστῳ, ἦ μὴν ὀρθογνώμονι διανοίᾳ ταῦτα εἰρῆσθαι. Πρός γε καὶ κατέχεον ἀρὰς σφίσιν αὐτοῖς, ἔτι γε μὴν καὶ τῷ Διζαβούλῳ, ἀλλὰ γὰρ καὶ παντὶ τῷ ἔθνει, εἴ γε οὐχὶ τὰ ἐπηγγελμένα ἀληθῆ τε εἴη καὶ πρακτέα. Οὕτω μὲν οὖν τὸ φῦλον οἱ Τοῦρκοι φίλοι ἐγένοντο Ῥωμαίοις, καὶ τῇ καθ' ἡμᾶς οὐχὶ ἄλλως ἐφοίτησαν πολιτείᾳ.

et illi qui insidias evaserant, quamvis aliter suspicarentur, eandem, quæ per Persidem percrebuerat, famam quoque apud suos divulgarunt. Sed Dizabulus, homo callidus et versutus, quæ patrata erant, non ignorabat. Credebat enim, sicut erat, legatos dolo necatos esse. Hinc inimicitiæ Turcorum et Persarum originem ceperunt. Et hanc occasionem Maniach, qui Sogdaitis præerat, arripiens, Dizabulo persuasit, utilius esse Turcis Romanos colere, et eorum amicitiam amplecti, et ad illos serici commercium transferre, qui illud in frequentiori usu haberent quam reliqui homines, seque paratissimum esse dicebat Maniach una cum legatis Turcorum ad eam legationem proficisci, ut Romani et Turci hac conditione fierent amici. His verbis Dizabulus accensus mittit ipsum et quosdam alios, qui legationem obirent apud imperatorem Romanum, eique gratulationes et dona serici non parvi pretii una cum literis deferrent. Hanc epistolam ferens Maniach in viam se dedit. Quum longum itineris spatium confecisset multasque regiones peragrasset, montes præruptos et undique nivibus coopertos, loca plana et silvosa, paludes et flumina, deinde Caucasum superasset, Byzantium pervenit, et in regiam introductus ad imperatorem accessit. Hic omnia executus est, quæ inter socias gentes observari solent, et literas et dona in manus tradidit eorum, quorum hoc officium erat, et precatus est, ne sibi irriti fierent tam longi itineris sudores. Imperator autem, ubi legit per interpretem literas Scythice scriptas, legationem lubenti animo admisit. Itaque legatos percunctatus est de Turcorum principatu et regione: illi vero responderunt, quattuor apud eos præfecturas, sed summum totius gentis imperium penes solum Dizabulum esse. Ad hæc dixerunt subegisse Ephthalitas eosque tributum pendere coegisse. « Omnis igitur, inquit imperator, a vobis est eversa Ephthalitarum potentia? » Annuentibus legatis, imperator rogavit: « Utrum in urbibus, an vicatim habitabant Ephthalitæ? » « Gens, o domine, urbes colit. » « Ergo, subjecit imperator, manifestum est, vos omnium urbium, quæ illorum fuerunt, factos esse dominos. » « Sic est, imperator, » dixerunt. « Sed nos docete, quanta sit Avarum multitudo, quæ vestri imperii frenum excussit, et num pars etiamnum vobis subjecta sit. » « Sunt qui nostro imperio adhuc pareant. Qui vero a nobis defecerunt, arbitror esse circiter viginti millia. » Postremo imperatori dinumerarunt gentes Turcis subditas. Deinde ab eo, ut pax et armorum societas Romanis et Turcis esset, petierunt. Addiderunt, se paratissimos esse, pugnare contra omnes qui Romanæ dominationi infesti, eos prope ipsorum fines bello appeterent. Hæc simulatque pronuntiarunt, Maniach, manibus in cœlum sublatis, et qui cum ipso erant, jurejurando maximo, sese ex animi sui sententia bona fide hæc omnia dicere et promittere affirmarunt; nisi ea vera es-

19. (an. 568.)

Exc. De leg. Rom. p. 151. 152 : Ὅτι τῶν Τούρκων, τῶν Σακῶν καλουμένων τὸ πάλαι, πρεσβείας ποιησαμένων πρὸς Ἰουστῖνον περὶ εἰρήνης, ἐν βουλῇ ἐποιήσατο ὁ βασιλεὺς ἐκπέμψαι πρεσβείαν ὡς Τούρκους. Καὶ δὴ Ζημάρχῳ τῷ Κίλικι ἔλεγε παρασκευάζεσθαι ἐπὶ τούτῳ, ὃς τῶν πρὸς ἕω πόλεων τηνικαῦτα ὑπῆρχε στρατηγός. Ἐπεὶ οὖν ἅπαντα αὐτῷ τὰ ὅσα πρὸς μακρὰν ὁδὸν ἐξηρτυμένα ἦν, ἡνίκα πρὸς τὸ πέρας ἠνύετο τῆς Ἰουστίνου βασιλείας τὸ τέταρτον ἔτος, τῷ δευτέρῳ ἐνιαυτῷ τῆς πεντεκαιδεκαετηρίδος περιφορᾶς, περὶ τὰ προοίμια τοῦ παρὰ Λατίνοις Αὐγούστου μηνὸς, ὁ μὲν Ζήμαρχος ἀπῆρεν ἐκ Βυζαντίου ξὺν αὐτῷ Μανιάχῳ καὶ τοῖς ἀμφ' αὐτόν.

20. (an. 568.)

Ibid. p. 152-154 : Ὅτι πολλῶν ἡμερῶν ὁδὸν διανύσαντες οἱ περὶ Ζήμαρχον, ἐπειδὴ παρῆσαν ἐν τοῖς τῶν Σογδαϊτῶν τόποις, ὁπηνίκα τῶν ἵππων ἀπέβησαν, τῶν Τούρκων ἔνιοι (ὡς ἔοικεν, ἐς τοῦτο ἀνειμένοι) ὤνιόν σφισι προΐσχοντο σίδηρον, οἶμαι τῷ ποιήσασθαι ἔνδειξίν τινα ὡς μέταλλα αὐτοῖς ὑπάρχει σιδήρου. Λέγεται γὰρ ὡς παρ' αὐτοῖς οὐκ εὐπόριστόν τι χρῆμα ὁ σίδηρος· ταύτῃ ἔνεστι τεκμηριῶσαι, ὡς ὑπαινιττόμενοι ἔχειν γῆν σιδηροφόρον τῷ τοιῷδε ἐχρήσαντο κόμπῳ. Ἕτεροι δέ τινες τοῦ φύλου τὸ κατὰ σφᾶς αὐτοὺς ἀναφανέντες, οὓς εἶναι ἔλεγον τῶν ἀπαισίων ἐλατῆρας, ἀγχοῦ ἦλθον τῶν περὶ Ζήμαρχον. Καὶ τοίνυν ἅπαντα ὅσα [ἐπεφέροντο (*) φορτία ἀράμενοι, ἔθεσαν ἐν μέσῳ. Εἶτα τοῖς τοῦ λιβάνου κλάδοις πῦρ ἀνάψαντες, τῇ Σκυθικῇ φωνῇ βάρβαρα] ἄττα ῥήματα ὑπεψιθύριζον, ἐπιπαταγοῦντες δὲ κώδωνί τινι καὶ τυμπάνῳ ὕπερθεν τοῦ φόρτου περιέφερον τὸ φυλλῶδες τοῦ λιβάνου τῇ φλογὶ λακιζόμενον, καὶ ἅμα γινόμενοι μανιώδεις καὶ ἐμβριμούμενοι τὰ πονηρὰ ἀπελαύνειν ἐδόκουν· οὕτω γὰρ ἀποτρόπαιοί τινες εἶναι καὶ ἀλεξίκακοι ἐδόκουν. Ἀποδιοπομπησάμενοι δὴ οὖν, ὡς ᾤοντο, τὰ δυσχερῆ, Ζήμαρχόν τε αὐτὸν δι' αὐτῆς παρήγαγον τῆς φλογός· ὧδέ τε ἔδοξαν καὶ σφᾶς ἀφαγνίζειν. Τούτων δὲ ταύτῃ γεγενημένων, ἔπειτα ἐπορεύοντο ξὺν τοῖς ἐς τὸ τοιόνδε τεταγμένοις, ἵνα ὁ Χαγάνος αὐτὸς ἦν, ἐν ὄρει τινὶ λεγομένῳ Ἐκτὰγ, ὡς ἂν εἴποι χρυσοῦν ὄρος Ἕλλην ἀνήρ. Καὶ τοίνυν αὐτοῦ ἀφικόμενοι, ὅπῃ τηνικαῦτα τῷ Διζαβούλῳ ἦσαν αἱ διατριβαὶ, κατὰ δὴ κοιλάδα τινὰ τοῦ προσαγορευομένου χρυσοῦ ὄρους· ἐπεὶ οὖν οἱ περὶ Ζήμαρχον ἐκεῖσε ἐφοίτησαν, μετάκλητοι γενόμενοι παραχρῆμα τοῦ Διζαβούλου ἦλθον ἐς ὄψιν. Ἦν δὲ ἄρα ἔνδον σκηνῆς, καθῆστο δὲ ἐπὶ διτρόχου καθέδρας χρυσῆς, ἑλκομένης, ὁπηνίκα ἔδει, ὑφ' ἵππου ἑνός. Προσειπόντες δὲ τὸν βάρβαρον, ὡς ἔθος αὐτοῖς, τὰ δῶρα προΐσχοντο. Καὶ τοίνυν οἷς γε τοῦτο ἐν φροντίσιν ἦν ὑπεδέξαντο. Ἀτὰρ ὁ Ζήμαρχος, « Σοὶ δῆτα, ἔφη, ὦ τοσούτων ἐθνῶν ἡγεμὼν, ὁ καθ' ἡμᾶς βασιλεὺς ὁ μέγας, ἀγγελοφόρῳ χρησάμενος ἐμοὶ, ἐσήμηνεν εἶναι ἐσαεὶ τὴν τύχην αἰσίαν τε καὶ ἀγαθὴν, ἐν ἡδονῇ ποιουμένῳ σοι τὰ Ῥωμαίων, καὶ πρός γε φιλοφρονουμένῳ ἡμᾶς. Ἔστω δέ σοι κρατεῖν ἀεὶ τῶν δυσμενῶν καὶ λαφυραγωγεῖν τὸ πολέμιον. Ἀπέστω δὲ βασκανία τις ὡς πορρωτάτω ἡμῶν, οἵα τε οὖσα διαρρηγνύναι τοὺς τῆς φιλίας θεσμούς. Ἐπιτήδεια ἔμοιγε τῶν Τούρκων τὰ φῦλα, καὶ ὅσα κατήκοα Τούρκων· ἕξετε δὲ τὴν (τὰ Nieb.) καθ'

(*) Inclusa ex Suida v. φορτία supplevit Toup. I, p. 552.

sent, aut si scientes fallerent, neque ea observarent, sibi ipsis et ipsi Dizabulo totique genti diras sunt imprecati. Ad hunc modum gens Turcica Romanis amica est facta.

19.

Justinus, quum Turci, qui Sacæ antiquitus vocabantur, legatos ad eum de pace misissent, consilium cepit legationem quoque ad eos mittere. Itaque Zemarcho Cilici, qui tunc temporis erat præfectus urbium Orientis, jussit ut ad eam se præpararet. Is quum necessaria ad tam longum iter comparasset, circa finem quarti anni imperii Justini, exacto secundo quindecennalis periodi anno, initio mensis qui Latinis vocatur Augustus, profectus Byzantio, viam ingressus est una cum Maniacho et suis comitibus.

20.

Multorum dierum itinere peragrato, Zemarchus et qui cum eo erant, quum in regionem Sogdaitarum pervenissent, ut ex equis descenderunt, obvios habuerunt ex Turcis nonnullos, ad id missos, qui ferrum vendendum offerrent, opinor, ut indicarent, apud eos reperiri ferri fodinas. Ferebatur enim ferrum apud eos esse rem minime paratu facilem. Ea de causa hoc commento usi sunt, ut ostenderent, in sua regione ferri fodinas esse. Alii quoque homines ex eadem gente se ipsos sponte exhibuerunt, quos dicebant esse averruncos. Hi quum ad Zemarchum accessissent, sarcinis depositis, thuris folia incenderunt, Scythicaque lingua nescio quae verba susurrarunt, et tintinnabulis atque tympanis resonantes, ramum thuris igne cum strepitu laceratum circumferebant, et furore perciti frementesque, dæmones depellere videri volebant. Adversa igitur, ut existimabant, alio aversuri, Zemarchum ipsum per flammam duxerunt, quo ritu se ipsos quoque lustrasse sibi videbantur. His ita confectis, deducentibus quibus hoc munus incumbebat, ad locum ubi erat Chaganus, in monte qui vocatur apud ipsos Ectag, montem aureum diceres, profecti sunt. In hujus convalle tum temporis erat Dizabuli domicilium. Illuc quum venissent, vocati statim ad Chaganum accesserunt. Is vero intra tentorium suum sedebat in sella duabus rotis suffulta, quæ, si opus esset, uno equo trahebatur. Quem quum salutassent, munera, ut mos est, protulerunt, quæ hi, quibus hoc mandatum erat, susceperunt. Tum Zemarchus : « Tibi, inquit, o tot gentium dux, quia Romanos diligis, et eorum te secundæ res delectant, noster magnus imperator, me internuntio, precatur, ut in perpetuum felix sis, faustaque fortuna utaris. Detur tibi inimicos semper superare, et prædas agere ex hostibus. Invidia autem quam longissime a nobis absit, quæ amicitias dissolvere potest. Equidem Turcos et gentes illis subditas necessariorum loco habeo : et vos eodem erga nos animo

ἡμᾶς καὶ ὑμεῖς οὐκ ἄλλως. » Τοιαῦτα ἄττα ἔλεξεν ὁ Ζήμαρχος· ὁ δὲ δὴ Διζάβουλος καὶ αὐτὸς προσρήσεσιν ἐχρήσατο ὁμοίαις. Εἶτα τὸ λοιπὸν ἐτράπησαν ἐς θοίνην, καὶ πανημερίᾳ (πανημέριοι Bekk.) εὐωχούμενοι διετέλουν ἐν αὐτῇ δήπου τῇ σκηνῇ. Κατεσκεύαστο δὲ αὐτῷ ἐξ ὑφασμάτων σηρικῶν τε καὶ διαπεποικιλμένων τοῖς χρώμασιν εὐτέχνως. Οἴνῳ μὲν οὖν ἐχρήσαντο, οὐχ ὁμοίῳ δὲ τῷ παρ' ἡμῖν ἐκθλιβομένῳ ἐκ τῆς ἀμπέλου· οὐ γὰρ δὴ ἀμπελοφόρος αὐτοῖς ἡ γῆ, οὐδὲ μὴν ἐγχωριάζει παρ' αὐτοῖς τὸ τοιόνδε γένος· ἑτέρου δέ τινος βαρβαρικοῦ ἐνεφορήθησαν γλεύκους. Καὶ ἀνεχώρησαν, ὅποι αὐτοῖς ἡ κατάλυσις ἦν. Εἶτα ἐς τὸ αὔριον ἐν ἑτέρᾳ τινὶ καλύβῃ ξυνῆλθον, ἠμφιεσμένῃ δὲ καὶ καταπεποικιλμένῃ οὐκ ἄλλως ἐξ ἱματίων σηρικῶν· ἔνθα καὶ ἀγάλματα διάφορα τῇ μορφῇ εἱστήκει. Ὁ δὲ Διζάβουλος ἐνίζανεν ἐπὶ κλίνης τινὸς, ὅλης ἐκ χρυσοῦ. Κατὰ δὲ δὴ τὸ μέσον τοῦ ἐνδιαιτήματος κάλπεις τε χρυσαῖ καὶ περιραντήρια, ἔτι τε πίθοι χρυσοῖ. Θοινησάμενοι δ' οὖν καὶ αὖθις, καὶ τὰ ὅσα ἐχρῆν ἐν πότῳ εἰπόντες τε καὶ ἀκηκοότες, ἀνεχώρησαν. Τῇ ἑξῆς ἐν ἑτέρᾳ ἐγένοντο διαίτῃ, ἔνθα ξύλινοι κίονες ἦσάν τινες, ἐνδεδυμένοι χρυσῷ, χρυσήλατός τε κλίνη ὁμοίως, ἥντινά γε δήπου καὶ τάωνες χρυσοῖ τέτταρες ᾐώρουν. Κατὰ δὲ δὴ τὸ ἐμπρόσθιον τῆς διαίτης ἐπὶ πολὺ παρατέτακτο ἅμαξαι, ἐν αἷς πολύ τι χρῆμα ἀργύρου ἐπῆν, δίσκοι τε καὶ κανᾶ· οὐ μὴν ἀλλὰ καὶ τετραπόδων ἰνδάλματα πλεῖστα, καὶ αὐτά γε δήπουθεν ἀργυροποίητα, οὐδέν τι ἀποδέοντα τῶν παρ' ἡμῖν. Τοῦτο μὲν οὖν τῷ τῶν Τούρκων ἡγεμόνι ἔνεστι χλιδῆς. Τῶν δὲ περὶ Ζήμαρχον ἔτι ἐκεῖσε ἐνδιατριβόντων, ἔδοξε τῷ Διζαβούλῳ, ὥστε αὐτὸν μὲν Ζήμαρχον ἅμα εἴκοσι θεραπευταῖς τε καὶ ὀπαδοῖς ἕπεσθαί οἱ ἐκστρατευομένῳ κατὰ Περσῶν, τοὺς δὲ ἄλλους Ῥωμαίους ἐπαναστρέφοντας κατὰ δὴ τὴν χώραν τῶν Χολιατῶν ἀναμένειν τὴν Ζημάρχου ἐπάνοδον. Καὶ δὴ ὅς (τῷ) προὔδη, δώροις τε φιλοφρονησάμενος αὐτοὺς ἀφῆκε· τὸν δὲ Ζήμαρχον καὶ θεραπαίνῃ ἐτίμησε δοριαλώτῳ, ἡ δὲ ἦν ἐκ τῶν λεγομένων Χερχίς. Καὶ ὁ Ζήμαρχος σὺν τῷ Διζαβούλῳ ἐπορεύετο μαχησομένῳ Πέρσαις. Ἐν ταύτῃ δήπου τῇ πορείᾳ γενόμενοι, ἐν χώρῳ τινὶ καταλυσάντων αὐτῶν ἐπικαλουμένῳ Τάλας ὑπαντιάζει τῷ Διζαβούλῳ Περσῶν πρεσβευτής. Καὶ τοίνυν ξυνεκάλεσε παρ' αὐτῷ ἑστιασομένους τούς τε Ῥωμαίων καὶ Περσῶν πρέσβεις. Καὶ δὴ παραγενομένων αὐτῶν, τοὺς Ῥωμαίους ὁ Διζάβουλος ἐν τιμῇ πλείονι ἐποιήσατο, ὡς καὶ κατὰ τὴν ἐπικυδεστέραν ἀνακλῖναι στιβάδα. Πρός γε καὶ πλεῖστα ἐπιμεμφόμενος ἦν τοὺς Πέρσας, ἅτε δὴ πρὸς αὐτῶν ἄδικα πεπονθὼς, καὶ ὡς τούτου ἕνεκα ἔρχεται πολεμήσων. Ὁ δὲ Περσῶν πρεσβευτὴς, τοῦ Διζαβούλου συντονώτερον ἐπεγκαλοῦντος, περιφρονήσας τὸν νόμον τῆς σιωπῆς τὸν ἰσχύοντα παρ' αὐτοῖς ἐν ταῖς ἑστιάσεσιν, ἐπιτροχάδην ἤρξατο διαλέγεσθαι, τοῦ Διζαβούλου γενναίως τὰ ἐπικλήματα ἀπωθούμενος, ὡς καὶ θαυμάσαι τοὺς παρόντας τὸ ὑπερβάλλον τῆς αὐτοῦ ὀργῆς, ὡς παρ' οὐδὲν θέμενος τὸν νόμον πολλοῖς τε καὶ ἀκολάστοις ἐχρήσατο. Ἐν τούτοις ἀπαλλαγέντων, ὁ μὲν Διζάβουλος παρεσκευάζετο τὴν ἐπὶ Πέρσας. Τῷ τοι ἄρα τοὺς ἀμφὶ Ζήμαρχον μετακαλεσάμενος, καὶ ὡς ἐνῆν, πρὸς τοὺς Ῥωμαίους φιλίαν ἐμπεδώσας, ἀφῆκεν αὖθις ἀπονοστήσοντας, ἕτερον πρεσβευτὴν αὐτοῖς συναποστείλας τῷ τὸν πρότερον λεγόμενον Μανιὰχ τεθνάναι. Ἦν δὲ ἐπίκλησις τῷ μετ' ἐκεῖνον πρεσβευτῇ Ταγμὰ

---

eritis. » Quum Zemarchus hujusmodi orationem habuisset, Dizabulus ad eandem sententiam respondit. Inde se ad convivium converterunt, et quod reliquum fuit diei in eodem tentorio genio indulgentes transegerunt. Erat autem illud tentorium instructum sericis tapetibus, affabre per colores variegatis. Vinum præbitum quidem illis est, non autem id genus quod ex uvis exprimitur: neque enim eorum regio vitium ferax est, neque hujus generis potu uti assueti sunt; sed alio barbaricæ potionis genere, ad musti similitudinem factæ satiati, ad hospitium, quo diverterant, redierunt. Postridie etiam in alio tugurio convenerunt, quod erat simili tapetum sericorum genere adornatum, et in quo effigies varia forma cernebantur. Sedebat autem ipse Dizabulus in lecto, qui totus erat ex auro confectus, et in medio conclavis erant urnæ, aquiminaria et dolia aurea. Postquam iterum convivati erant, et inter potandum quæ convivio conveniebant dixerant et audierant, discesserunt. Postridie in alio tentorio convenerunt, in quo erant columnæ ligneæ, auro involutæ; auratum etiam cubile, quattuor pavonibus aureis fultum. Ad vestibulum ejus loci, ubi commorabatur, disposita erant plaustra, quibus inerat multa argentea supellex, disci et lances, et plurimæ statuæ animalium argento elaboratæ, quæ venustate et elegantia non concedebant nostris. Eo usque opulentia ducis Turcorum processit. Quum Zemarchus et qui cum eo erant illic moram traherent, placuit Dizabulo ut se proficiscentem contra Persas Zemarchus sequeretur cum viginti ex suis, qui illi ministrarent; interea reliqui Romanorum ejus reditum in Choliatarum regione opperirentur. Atque is eos in discessu muneribus donatos a se dimisit. Zemarchum quoque honoravit captiva concubina, ex his quæ Cherchis dicuntur. Ita Zemarchus cum Dizabulo bellum cum Persis gesturo profectus est. Iter emensi, in loco qui dicitur Talas consederunt. Hic obviam venit Dizabulo Persarum legatus, quem una cum Romanorum legato ad cœnam invitavit. Ad eam quum accessissent, multo plus honoris detulit Dizabulus Romanis quam Persicis legatis, et Romanorum legatum honoratiore loco accumbere jussit. Quin etiam multum de Persis est questus, tanquam ab his multa injusta passus esset, quæ ut bello et armis vindicaret, venerat. Quum Dizabulus acerbius inveheretur, Persarum legatus legem silentii apud ipsos in conviviis observari solitam transgressus, summatim cœpit disserere et magno animo Dizabuli criminationes refutavit, ut qui aderant mirarentur eum in tam violentam iram exardescere, ut, nulla habita legis ratione, multis intemperantibus verbis uteretur. Post hæc quum discessissent, Dizabulus in Persas contendit. Et Zemarcho et ejus comitibus ad se vocatis, ubi amicitiam cum Romanis confirmarat, eos, ut ad sua redirent, missos fecit. Cum his quoque alium a se ad Ro-

αὐτῷ, ἀξίωμα δὲ Ταρχάν. Οὗτος δὴ οὖν ἐστάλη ὑπὸ Διζαβούλου ὡς Ῥωμαίους πρεσβευσόμενος. Καὶ μὲν οὖν σὺν αὐτῷ ὁ τοῦ ἤδη ἀποιχομένου παῖς, φημὶ δὴ τοῦ Μανιάχ, κομιδῆ μειράκιον, ὅμως δὲ τὸ πατρῷον διαδεξάμενος γέρας, ἔτι μὴν καὶ τὴν μετὰ τὸν Ταγμὰ Ταρχὰν κληρωσάμενος ἀξίαν· οἶμαι δὲ τῷ ἐπιτηδειότατόν τε καὶ εὐνούστατον γενέσθαι τῷ Διζαβούλῳ τὸν Μανιὰχ τοῦ πατρῴου τὸν παῖδα τυχεῖν ἀξιώματος. Ἐπεὶ οὖν ὁ Διζάβουλος διαφῆκε τοὺς περὶ Ζήμαρχον, ἐπικαταλαμβάνουσι τοὺς πρότερον ἀφεθέντας Ῥωμαίων, οὗ ἦν ξυντεθειμένον αὐτοῖς, καὶ τοίνυν ἐν τῷ αὐτῷ γενόμενοι τῆς ἐς τὰ οἰκεῖα ὁδοιπορίας ἀπήρξαντο. Καὶ δὴ καταλελοιπότες τὴν πρωτεύουσαν πόλιν τῶν Χολιατῶν, διὰ φρουρίων ἐπορεύοντο.

21. (568.)

Exc. De leg. gent. p. 108. 109: Ὅτι διαθρυλληθὲν κατὰ τὴν Τουρκίαν, ὅσοι ἀγχίθυροι ἦσαν, ὡς Ῥωμαίων ἐνδημοῦσι πρέσβεις καὶ ὡς πορεύονται τὴν ἐπὶ τὸ Βυζάντιον ἅμα πρεσβείᾳ Τούρκων, ὁ τῶν ἐκείνῃ ἐθνῶν ἡγεμὼν ἐδήλωσε τῷ Διζαβούλῳ ξὺν ἱκετείᾳ, ὡς ἂν καὶ αὐτὸς ἐκ τοῦ σφετέρου τινὰς ἀποστεῖλαι ἔθνους ἐπὶ θέαν τῆς Ῥωμαϊκῆς πολιτείας. Καὶ τοίνυν ὁ Διζάβουλος ἐφίετο. Καὶ ἕτεροι δὲ προεστῶτες ἐθνῶν ταὐτὰ ἐζήτουν· ὁ δὲ οὐδενὶ ξυνεχώρησε τῶν πάντων, ἢ μόνον τῷ τῶν Χλιατῶν ἡγεμόνι. Καὶ οὖν καὶ τοῦτον παρειληφότες οἱ Ῥωμαῖοι διὰ τοῦ λεγομένου ποταμοῦ Ὤηχ*, καὶ ἀτραπὸν διανύσαντες οὐδαμῶς ὀλίγην, ἐγένοντο κατὰ δὴ τὴν λίμνην τὴν ἄπλετον ἐκείνην καὶ εὐρεῖαν. Ἐνταῦθα ὁ Ζήμαρχος ἐνδιατρίψας ἡμέρας τρεῖς στέλλει Γεώργιον, ὃς ἀνεῖτο ἐς τὴν τῶν ἐπιτομωτέρων συλλαβῶν ἀπαγγελίαν, προδηλώσοντα τῷ βασιλεῖ τὴν σφῶν αὐτῶν ἐκ Τούρκων ἐπάνοδον. Καὶ οὖν ὁ Γεώργιος ἅμα Τούρκοις δέκα πρὸς τοῖς δύο ἀπήρξατο τῆς ἐπὶ τὸ Βυζάντιον ὁδοῦ, ἀνύδρου τε μάλα οὔσης καὶ πάντῃ ἐρήμου, ὅμως δ' οὖν ἐπιτομωτέρας. Ὁ δὲ Ζήμαρχος κατὰ δὴ τὸ ψαμαθῶδες τῆς λίμνης παροδεύων ἐπὶ ἡμέρας δέκα καὶ δύο, δυσβάτους τέ τινας χώρους παραμειψάμενος, ἐγένετο κατὰ τὰ ῥεῖθρα τοῦ Ἴχ, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸν Δαΐχ, καὶ διὰ λιμνῶν ἑτέρων αὖθις ἐς τὸν Ἀττίλαν· πάλιν ὡς Οὐγούρους, οἳ δὴ καὶ σφισιν ἀπήγγειλαν, ὡς εἰς τὰ περὶ τὸν Κωφῆνα ποταμὸν ἐς τὰ λάσια τέσσαρες χιλιάδες Περσῶν ἐπιτηροῦσι προλελοχισμένοι, ὡς ἂν χειρώσονται παριόντας αὐτούς. Ταύτῃ τοι ὁ τῶν Οὐγούρων ἡγούμενος, ὃς διέσωζεν ἐκεῖσε τοῦ Διζαβούλου τὸ κράτος, πληρώσας ὕδατος ἀσκοὺς παρέσχετο τοῖς περὶ Ζήμαρχον, ὡς ἂν ἔχοιεν ὅθεν ὑδρεύσοιντο διὰ τῆς ἀνύδρου ἰόντες. Εὗρον δὲ καὶ λίμνην, καὶ παραμειψάμενοι τὸ μέγα τοῦτο ὑδροστάσιον ἀφίκοντο ἐς ἐκείνας τὰς λίμνας, ἐν αἷς ἐπιμιγνύμενος ἀπόλλυται ὁ Κωφὴν ποταμός. Ἐξ ἐκείνου δὴ τοῦ χώρου πέμπουσι διοπτῆρας προδιασκεψομένους, εἴγε ὡς ἀληθῶς οἱ Πέρσαι ἐνεδρεύουσιν· οἳ δὴ ἀνιχνεύσαντες ἀπήγγειλαν μηδένα ἰδεῖν. Ὅμως ξὺν μεγίστῳ φόβῳ ἀφίκοντο ἐς Ἀλανίαν, κατὰ τὸ μᾶλλον δεδιότες τὸ φῦλον τῶν Ὀρομουσχῶν.

22.

Ibidem p. 109. 110: Ὅτι γενόμενοι ἐν Ἀλανίᾳ παρὰ Σαρώδιον τὸν ἐκείνων ἡγεμόνα, καὶ ἅμα τοῖς ἑπομένοις Τούρκοις ἐσφοιτῆσαι βουλόμενοι, ὁ Σαρώδιος τὸν μὲν Ζήμαρχον καὶ τοὺς ἑπομένους ἐδέξατο

---

manos legatum misit, quia Maniach, de quo supra diximus, vita excesserat. Huic legato nomen erat Tagma, dignitas vero Tarchan. Hic igitur ut legationem apud Romanos obiret, a Dizabulo missus est, et una cum eo Maniach ejus, qui nuper mortuus erat, filius admodum adolescens. Is patri in magistratu successerat, et dignitate proxime ad Tagma Tarchan accessit. Ideo, puto, hic honor puero obtigit, quia pater ejus Dizabulo carissimus et fidelissimus fuerat. Dimissus a Dizabulo Zemarchus, assumptis his ex Romanis, quos certo loco consistere jusserat quum primum conjuncti erant, viæ se commiserunt, et Choliatarum primaria urbe relicta, per castella iter direxerunt.

21.

Postquam fama ad finitimas Turciæ gentes pervenerat, legatos Romanorum advenisse, eosque una cum Turcorum legatis Byzantium redire, ejus regionis dux Dizabulum supplex oravit, ut reipublicæ Romanæ visendæ gratia sibi quoque legatos mittere liceret. Quod Dizabulus non recusavit. Sed quum aliarum quoque gentium duces idem peterent, nulli alii quam soli Chliatarum (*Choliatarum* fr. 20) duci concessit. Itaque hunc etiam Romani assumentes, trajecto flumine Oich (*Iaxarte*), haud breve viæ spatium emensi, ad illam ingentem et latam paludem (*Aral*) pervenerunt. Hic Zemarchus tres dies commoratus, mittit Georgium, cui munus breviores epistolas perferendi delatum erat, ut imperatori legatorum a Turcis reditum significaret. Georgius igitur cum duodecim Turcis desertam quidem et inaquosam, sed breviorem viam Byzantium versus ingressus est. Zemarchus autem per arenosa paludis iter faciens per duodecim dies, loca prærupta prætergressus, attigit ripas non solum fluminis Ichi (*Iembæ*), sed etiam Daichi (*Iaik*) et rursus per alias paludes ad Attilam (*Volgam. Ethel*) pervenit, inde ad Uguros, qui Romanos monuerunt, in densis et arboribus consitis locis circa Cophenem (*Cuphan*) flumen latere in insidiis collocata Persarum quattuor millia, qui prætereuntes eos captivos facerent. Ugurorum dux, qui illic ex auctoritate Dizabuli imperium habebat, utres aqua implevit et præbuit Zemarcho et ejus comitibus, ut, quum per deserta irent, haberent unde aquarentur. Invenerunt et paludem, et magnum illud stagnum prætergressi, pervenerunt ad eas paludes, in quas immixtus Cophen amnis sese effundit. Ex eo loco mittunt qui explorarent, an verum esset, Persas in insidiis esse. Hi iisdem totam regionem perscrutati renuntiarunt, se neminem vidisse. Nihilo secius in Alaniam magna cum trepidatione, propterea quod metuebant gentem Oromuschorum, properarunt.

22.

Quum in Alaniam pervenissent, et Sarodium, Alanorum ducem, una cum Turcis adire vellent, Sarodius quidem Zemarchum et qui cum eo erant benigne et comiter exce-

ἀσμένως, τοὺς δὲ δὴ πρέσβεις τῶν Τούρκων ἔφασκε μὴ πρότερον τῆς ὡς αὐτὸν εἰσόδου τυχεῖν, ἢ καταθεμένους τὰ ὅπλα. Τοιγάρτοι καὶ ἅμιλλα αὐτοῖς ἐγένετο περὶ τούτου ἐπὶ ἡμέρας τρεῖς, καὶ Ζήμαρχος ἦν τῶν φιλονεικουμένων διαιτητής. Τέλος ἀποθέμενοι τὰ ὅπλα οἱ Τοῦρκοι, ὡς Σαρωδίῳ ἐδόκει, ὡς αὐτὸν ἐσεφοίτησαν. Ὁ δὲ δὴ Σαρώδιος παρενεγύησε τοῖς περὶ Ζήμαρχον διὰ τῆς τῶν Μινδιμιανῶν ἀτραποῦ ἥκιστα ἰέναι, τῷ κατὰ τὴν Σουανίαν τοὺς Πέρσας ἐνεδρεύειν· ἄμεινον δὲ εἶναι διὰ τῆς λεγομένης Δαρεινῆς ἀτραποῦ οἴκοι ἀποχωρεῖν. Ταῦτα ἐπεὶ ἔγνω ὁ Ζήμαρχος, διὰ τῆς Μινδιμιανῆς ἔστειλεν ἀχθοφόρους δέκα μέταξαν ἐπιφερομένους, ἀπατήσοντας Πέρσας τῷ προεκπεμφθῆναι τὴν μέταξαν καὶ προτερῆσαι τῇ ὁδῷ, ἐκ τούτου τε ὑποτοπῆσαι ὡς ἐς τὸ αὔριον παρέσται καὶ Ζήμαρχος. Καὶ οἱ μὲν ἀχθοφόροι ᾤχοντο ἀπιόντες, ὁ Ζήμαρχος δὲ διὰ τῆς Δαρεινῆς παρεγένετο ἐς Ἀψιλίαν, τῇ Μινδιμιανῇ χαίρειν εἰπὼν, ἐς τὰ εὐώνυμά τε ἐάσας αὐτὴν, ᾗ ἐπίδοξοι ἦσαν ἐπιθήσεσθαι οἱ Πέρσαι. Καὶ ἧκεν ἐς τὸ Ῥογατόριον, (εἶτα) κατὰ δὴ τὸν Εὔξεινον Πόντον, εἶτα ναυτιλίᾳ χρησάμενος ἐς Φᾶσιν ποταμόν· πάλιν ἐς Τραπεζοῦντα· οὕτω τε δημοσίῳ ἵππῳ ἐς Βυζάντιον παρὰ βασιλέα εἰσελθὼν ἔφρασε τὸ πᾶν. Ζημάρχῳ μὲν οὖν ἐν τοιοῖσδε ἔληξεν ἡ πορεία καὶ ἀποπορεία ἐπὶ Τούρκους.

23.

Ibidem p. 110 : Ὅτι Ἀβάρων καὶ Φράγκων σπεισαμένων πρὸς ἀλλήλους, καὶ τῆς εἰρήνης ἐμπεδώτατα ἐχούσης, ἐσήμηνεν ὁ Βαϊανὸς Σιγισβέρτῳ τῷ τῶν Φράγκων ἡγεμόνι οἷα λιμῷ πιεζομένης αὐτῷ τῆς στρατιᾶς, καὶ ὡς χρεὼν εἴη βασιλέα καθεστῶτα, καὶ πρός γε αὐτόχθονα, μὴ περιιδεῖν στράτευμα ἔνσπονδον. Ἔφασκε δὲ, ὡς, εἴγε ἐπιρρώσει τῶν Ἀβάρων τὸ στράτευμα τοῖς ἀναγκαίοις, οὐ πλέον ἢ τρεῖς ἡμέρας αὐτοῦ ἐνδιατρίψει, εἶτα ἀπαλλαγήσεται. Ταῦτα ἐπειδὴ ἀπήγγελτο τῷ Σιγισβέρτῳ, παραχρῆμα ὅ γε ἄλευρά τε ἔστειλε τοῖς Ἀβάροις καὶ ὄσπρια καὶ ὄϊς καὶ βόας.

De fœdere Francorum Avarumque v. Gregor. Tur. IV, 23.

24.

Ibid. : Ὅτι Ἀλβούϊος ὁ τῶν Λογγιβάρδων μόναρχος (οὐ γὰρ αὐτῷ ἀπέληγεν ἡ πρὸς Κονιμοῦνδον ἀπέχθεια, ἀλλ' ἐκ παντὸς τρόπου ᾤετο δεῖν καταστρέψασθαι τὴν τῶν Γηπαίδων ἐπικράτειαν) ταύτῃ τοι πρέσβεις ἐξέπεμψεν ὡς τὸν Βαϊανὸν, ἐς ὁμαιχμίαν παρακαλῶν. Παραγενομένων δὲ τῶν πρέσβεων, ἠντιβόλουν μὴ περιιδεῖν σφᾶς ὑπὸ Γηπαίδων τὰ ἀνήκεστα πεπονθότας, μάλιστα καὶ Ῥωμαίων τῶν ἄγαν ἐχθίστων Ἀβάροις συμμαχούντων τοῖς Γήπαισιν. Ἐδίδασκον δὲ, ὡς οὐ κατὰ τοσοῦτον πρὸς Γήπαιδας τὸν πόλεμον ἀναρριψωσι, καθόσον Ἰουστίνῳ μαχήσονται, βασιλεῖ τῷ τῶν Ἀβάρων ἔθνει ἐς τὰ μάλιστα δυσμενεστάτῳ γε ὄντι, ὃς παρωσάμενος τὰς Ἰουστινιανοῦ τοῦ μητραδέλφου σπονδὰς πρὸς Ἀβάρους ἐκ πολλοῦ γεγενημένας τῶν εἰωθότων ἐστέρησε. Προσετίθησαν δὲ, ὡς, εἴ γε ἔσοιντο ἅμα Λογγιβάρδοις, ἀκαταμάχητοι γενήσονταί πως, καὶ ὡς καταστρεφόμενοι Γήπαιδας τοῦ τε πλούτου σφῶν, ἔτι γε μὴν καὶ τῆς ἐκείνων κοινῇ κρατήσουσι χώρας, καὶ ὡς ἡ Σκυθία τὸ λοιπὸν αὐτοῖς εὐημεροῦσί γε ἐς ἀεὶ, καὶ μὲν οὖν ἡ Θρᾴκη αὐτὴ ἔσται εὐεπίβατος, καὶ ἁπλῶς ξὺν οὐδενὶ πόνῳ ἐκ γειτόνων ὁρμώμενοι τὴν Ῥωμαίων καταδραμοῦνται, καὶ ὡς ἄχρις αὐτοῦ γε δή που τοῦ Βυζαντίου

pit, sed Turcorum legatos prius, quam arma deposuissent, in suum conspectum venire noluit. Maximo igitur inter ipsos super hac re orto et continuato per tres dies certamine, dissidentium arbiter fuit Zemarchus. Tandem, armis depositis, ut Sarodio placuerat, eum adierunt. Sarodius autem monuit Zemarchum, ne per Mindimianos (*Misimianos* sec. Agath.) iter faceret, propterea quod Persæ circa Suaniam in insidiis essent: consultius faceret, si per Darinen iret. His cognitis, Zemarchus per Mindimianam decem equos misit, serico onustos, qui Persas fallerent, quasi sericum præmissum esset, et ipsi præirent, unde conjicerent, Zemarchum crastino die secuturum. Et hi quidem profecti sunt. Zemarchus vero per Darinen in Apsiliam venit, Mindimiana ad lævam relicta (hac enim parte suspicio erat Persas insidias struere), et Rogatorium accessit, ad Pontum Euxinum, deinde navibus usus usque ad Phasin, tum Trapezuntem pervenit, unde equo publico Byzantium ad imperatorem delatus, illi omnia narravit. Hic igitur profectio et reditus Zemarchi finem accepit.

23.

Quum Avares et Franci fœdera invicem sanxissent et pax firma inter eos esset, Baianus, Avarum dux, significavit Sigisberto, Francorum duci, suum exercitum commeatus inopia laborare: decere eum, qui rex esset et inter suos, minime negligere exercitum sibi fœdere conjunctum. Promittebat autem, si exercitum Avarum necessariis rebus recreasset, se tertio die castra moturum, neque diutius in his locis commoraturum. Hæc ubi Sigisberto sunt nuntiata, statim farinam, legumina, oves et boves ad Avares misit.

24.

Alboinus, Longobardorum rex, inimicitias, quas cum Cunimundo, Gepidarum rege, exercebat, minime deponebat, sed quacumque ratione Gepidarum opes sibi evertendas ducebat. Itaque legatos ad Baianum misit, quibus eum ad armorum societatem adhortaretur. Legati quum advenissent, precibus cum Baiano agebant, ne se contemneret, qui nefanda omnia a Gepidis passi essent, præsertim quum etiam Romani, Avarum genti quam infestissimi, Gepidas bello juvassent. Neque tam in Gepidas bello ferri dicebant, quam contra Justinum pugnare cuperent, regem Avarum genti inimicissimum, qui fœdera cum Justiniano, ejus avunculo, jam pridem transacta pro nihilo habens Avares consuetis muneribus privaret. Adjecit, si cum Longobardis se conjungerent, fore ut invicti essent, et, Gepidis exterminatis, eorum opibus et regione communiter potirentur. Tum pacatis et conjunctis ipsis facile fore Scythiam et ipsam Thraciam occupare, et ex vicinis locis moventes minimo negotio Romanorum regiones armis percurrere et Byzan-

θλάσουσιν. Ἔφασκον δὲ οἱ τῶν Λογγιβάρδων πρέσβεις, ὡς καὶ συνοίσει τοῖς Ἀβάροις τὴν πρὸς Ῥωμαίους ἀσπάσασθαι μάχην· ἢ γὰρ ἂν ἐκεῖνοι προτερήσουσι, καὶ ἐκ παντὸς τρόπου καθελοῦσι τὴν Ἀβάρων δύναμιν, ὅπου καὶ γῆς τυγχάνουσιν ὄντες.

Τῶν Ῥωμαίων συμμαχούντων τοῖς Γήπαισιν] « Quum Gepidæ a Longobardis gravissima clade affecti fuissent, ad Justinum imp. confugerant, qui Baduarium generum iis auxilio misit, ut scribit Theophylactus VI, 10. De hoc Baduario loquitur Corippus in lib. III :

dispositorque novus sacræ Baduarius aulæ
successor soceri, factus mox Curopalates.

Idem postea prœlio victus a Longobardis, obiit in Italia, anno decimo Justini, ut scribit Abbas Biclariensis in Chronico. » Valesius.

25.

Ibidem p. 111 : Ὅτι ὁ Βαϊανὸς τοὺς τῶν Λογγιβάρδων πρέσβεις δεξάμενος ἐδόκει τούτους περιφρονεῖν, τῷ βούλεσθαί γε αὐτὸς κερδαλεώτερον θέσθαι ὡς αὐτοὺς τὴν συμμαχίαν, καὶ πῇ μὲν τὸ μὴ δύνασθαι, πῇ δὲ τὸ δύνασθαι μὲν προΐσχετο, μὴ βούλεσθαι δέ. Ξυνελόντα δὲ εἰπεῖν, ἅπαντα τρόπον ἀπάτης τοῖς δεομένοις ἐπισείσας ἔδοξε μὲν πείθεσθαι μόλις, οὐκ ἄλλως δὲ ἢ [εἰ] τὸ δεκατημόριον τῶν τετραπόδων ἁπάντων, ὅσα παρὰ Λογγιβάρδοις ὑπῆρχεν, αὐτίκα κομίσαιντο, καὶ ὡς, εἰ γένοιντο καθυπέρτεροι, ἥμισυ μὲν τῆς λείας ἕξουσιν αὐτοί, τὴν δὲ τῶν Γηπαίδων χώραν εἰς τέλεον. Ἃ δὴ καὶ ἐγένετο. Καὶ ἐχώρουν Γήπαισι πολεμήσοντες. Ἐπειδὴ δὲ ἐπύθετο Κονιμοῦνδος, λέγεται δείσας, ὡς καὶ αὖθις παρὰ βασιλέα Ἰουστῖνον ἔπεμψε πρέσβεις, καὶ ὡς οὐδὲν ἧττον, ἢ πρότερον, ξυνεπιλαβέσθαι οἱ τοῦ κινδύνου ἱκέτευε, καὶ πάλιν τὸ Σίρμιον καὶ τὴν εἴσω Δράου ποταμοῦ χώραν ἐπηγγέλλετο δώσειν, αἰδώς τε αὐτὸν οὐκ εἶχεν ἤδη περὶ τῶν αὐτῶν ὀμωμοκότα ἅπαξ καὶ τοῖς ὅρκοις οὐχὶ ἐγκαρτερήσαντα. Διὸ δὴ καὶ βασιλεὺς Ἰουστῖνος εὖ εἰδώς τε καὶ τεκμαιρόμενος τοῖς φθάσασιν, ὡς Κονιμούνδῳ ἔνεστι πίστεως οὐδὲν ὁτιοῦν, ἀνήνασθαι μὲν οὔ τι ᾤετο χρῆναι τὴν ξυμμαχίαν, ἀναβολῇ δὲ ὅμως παρεκρούσατο τοῦ βαρβάρου τὴν αἴτησιν· ἔφη γάρ, ὡς διεσκεδασμένα τὰ Ῥωμαϊκὰ ὑπάρχει στρατεύματα, ξὺν σπουδῇ δὲ ὡς οἷόν τέ ἐστιν ἀθροίσας αὐτίκα ἐκπέμψοι. Ἀκήκοα δὲ περὶ Κονιμούνδου καὶ τοιάδε, ἐμοὶ δὲ οὐ πιστά· λίαν γὰρ ἀναιδὲς ὑπῆρχε τὸν παρασπονδήσαντα περὶ τῶν αὐτῶν δεῖσθαι καὶ πάλιν. Λέγεται δὲ ὡς καὶ Λογγίβαρδοι τηνικαῦτα ἐπρεσβεύσαντο παρὰ Ἰουστῖνον, καὶ ὅτι Γήπαιδας τῆς ὡς Ῥωμαίους ἀγνωμοσύνης πλεῖστα ὅσα κατηγορήσαντες, τὴν ἐκ Ῥωμαίων μὲν θηρώμενοι συμμαχίαν ἤνυσαν οὐδέν, κατεπράξαντο δὲ ὅμως πρὸς τοῦ βασιλέως μηδὲ ἑτέρους τῆς Ῥωμαίων ἀπολαῦσαι ἐπικουρίας.

26. (an. 568.)

Ibidem p. 111 : Ὅτι Βαϊανὸς ὁ τῶν Ἀβάρων ἡγούμενος, ἐν ᾧ χρόνῳ τὸ Σίρμιον ἠβούλετο πολιορκήσειν, Βιταλιανόν τε τὸν ἑρμηνέα καὶ Κομιτᾶν εἶχεν ἐν δεσμοῖς. Ἄμφω γὰρ τὼ ἄνδρε τούτω Ἰουστῖνος ὁ βασιλεὺς ἤδη στείλας ὑπῆρχεν ὡς αὐτόν, αἰτήσοντας αὐτοῦ, ὡς ἂν ἄττα διαλεχθείη (ἄττα ἐγκαλοίη διαλ. conj. N.) γε αὐτοῖς. Ὁ δὲ παρὰ τὸν κοινὸν τῶν πρέσβεων θεσμὸν εἶχεν ἐν δεσμοῖς.

27. (an. 568.)

Ibidem p. 111-114 : Ὅτι ὁ Βαϊανὸς μετὰ τὴν

---

lium usque ferri. Dixerunt quoque Longobardorum legati, Avaribus expedire Romanos ultro bello petere : alioquin enim illos præventuros, et quoquo terrarum Avares constiterint, eos persecuturos et quacumque ratione deleturos.

25.

Baianus legatos quidem Longobardorum excepit, sed eos parvi facere decrevit, ut ea ratione conditionibus, quæ suis rationibus utiles essent, ad armorum societatem secum contrahendam pelliceret. Et modo se non posse, modo posse, jactabat, sed nolle. Quumque se precantes omni fraudis genere, ut breviter dicam, concussisset, tandem eorum petitioni assentiri videbatur, sed non alia conditione, quam si decimam partem quadrupedum, quæ tunc temporis apud Longobardos essent, confestim acciperet, si superiores evaderent, dimidium manubiarum et tota Gepidarum regio ejus juri cederet. Atque hæc quum ita conventa essent, bellum inferre Gepidis deinceps instituerunt. Quæ ubi Conimundus intellexit, dicitur timore perculsus legatos iterum misisse ad Justinum imperatorem, et eum esse obtestatus, ut non minus, quam antea, in partem periculi veniret. Tum rursus, se illi Sirmium et omnem regionem quæ intra Dravum fluvium est, concessurum esse pollicitus est. Neque pudore afficiebatur, quod idem jam semel jurasset, neque jurejurando stetisset. Ex quo quum imperator perspiceret et conjiceret ex his quæ evenerant, nihil inesse Conimundo fidei, minime quidem illi denegandum auxilium, sed dilatione et procrastinatione petitionem ejus ducendam existimavit. Respondit enim, per varias provincias dispersos esse Romanorum exercitus : cum celeritate et studio illos coacturum et quam citissime suppetias missurum. Hæc quoque mihi de Conimundo audita; sed minime verisimilia videntur. Mihi enim satis impudens videtur is qui, quum fœdera ruperit, eadem rursus petit. Dicitur vero, non solum tunc temporis Longobardos legatos ad Justinum misisse, sed quavis ratione eos Gepidas apud Romanos ingrati erga illos animi insimulatos esse, quo magis ipsi auxilio digni viderentur; sed nihil profecerunt. Hoc tamen ab imperatore consecuti sunt, ut neutra gens a Romanis auxiliis juvaretur.

26.

Baianus, quo tempore de obsidendo Sirmio cogitabat, Vitalianum interpretem et Comitam in vincula conjecit. Hos autem duos viros Justinus imperator dudum ad illum miserat, ut aditum ad colloquendum cum illo de quibusdam rebus peterent. Is autem contra fas et commune jus gentium eos in vinculis habuit.

27.

Baianus post murorum oppugnationem misit qui de pace agerent. Nonnulli ex his qui Sirmii erant, ad sum-

τειχομαχίαν στέλλει τινὰς ἀμφὶ τῆς εἰρήνης διαλεχθησομένους. Ἔνιοι δὲ τῶν ἐν Σιρμίῳ ἀνὰ τὸ ἠλίβατον τοῦ βαλανείου, ὃ δῆτα τῷ δήμῳ ἐτύγχανεν ἀνειμένον, ἐπὶ κατασκοπῇ τῶν πολεμίων κατὰ τὸ σύνηθες ἐνιζάνοντες, καὶ ἐν ἀπόπτῳ καραδοκοῦντές τε καὶ θεώμενοι εἴ που ἐπήλυσις ἔσται βαρβαρικὴ, ὡς κατενόησαν τοὺς τῶν Ἀβάρων ἀγγελιαφόρους ἤδη προσιόντας, τῷ μήκει τῆς ἀτραποῦ ἀποπλανηθέντες καὶ οὔπω κατεγνωκότες τὸ ἀκριβὲς ὑπετόπησαν εἶναι πληθὺν Ἀβαρικὴν, ἐδήλωσάν τε αὐτίκα, καὶ τὸ σημεῖον καθεῖλον. Ὁ δὲ Βῶνος πρὸς τοῦτο δυσχεράνας σαφέστερον ἔσπευσε καταμαθεῖν τἀληθές. Γνοὺς δὲ ὀλίγους εἶναι τοὺς Ἀβάρους καὶ βούλεσθαί οἱ ἐπικηρυκεύσασθαι, ἐξέπεμψε καὶ αὐτὸς τοὺς ποιησομένους τὰς καταλλαγὰς ἐς τὰ ἔξω τοῦ τείχους. Ἔτι γὰρ ἐκ τοῦ ἕλκους περιώδυνος ἦν, καὶ ὁ Θεόδωρος ὁ ἰατρὸς οὐκ εἴα τὸν στρατίαρχον ἐν φανερῷ γίνεσθαι τοῖς ἐναντίοις. Εἰκὸς γὰρ μηδὲ [εἰδέναι] ἔφασκε τοὺς πολεμίους ὡς ἐβλήθη. Εἰ δὲ τοῦτο κατάδηλον ἔσται αὐτοῖς, τότε ἀνάγκη μὴ ὑποκρύπτειν, ὡς ἂν μὴ ὑπόνοια γένηταί σφισι τοῦ ἀποβεβιωκέναι αὐτόν. Οἱ δὲ, ἐπεὶ ἕτεροι περὶ τῆς εἰρήνης ἦλθον διαλεχθησόμενοι καὶ οὐχὶ αὐτὸς, ὑπενόησαν ὡς διώλετο ὁ στρατηγὸς, καὶ αὐτῷ ἐθέλειν ἔφασκον ἐν συνουσίᾳ γενέσθαι. Τότε ὁ Θεόδωρος, τοῦ συνοίσοντος εὖ μάλιστα στοχασάμενος, ἔλεξεν ὡς τὸ λοιπὸν οὐ χρεὼν ἀποκρύπτεσθαι τὸν στρατηγὸν, μᾶλλον μὲν οὖν ἐς τὰ ἔξω ἰέναι τῆς πόλεως καὶ ἐς ὄψιν γίνεσθαι τῶν βαρβάρων. Καὶ φαρμάκῳ τινὶ τὸ ἕλκος περιστείλας ἀφίησιν αὐτόν. Καὶ δὴ προελθὼν ὁ Βῶνος, ἀγχοῦ τε τῶν βαρβάρων γενόμενος, ἐφάνη σφίσι. Τότε οἱ πρέσβεις τοιάδε ἀμοιβαίῳ τῷ λόγῳ

ἔφασαν· « Ταῦτα ἡμῖν, ὦ Ῥωμαῖοι, διαλεχθῆνα
ὑμᾶς ὁ τῶν Ἀβάρων ἐκέλευσε δεσπότης· μή μοι
ψιν τινὰ ποιήσασθαι πόλεμον ἀραμένῳ· ὑμεῖ
πρῶτοι τὴν αἰτίαν τοῦ πολέμου δεδώκατε. Πολλο
πόνοις ὁμιλήσας, καὶ ἀποδημίας οὐχ ἥκιστα πε
μενος, μόλις ἐχειρωσάμην ταύτην τὴν χώραν, καὶ
ἀφείλεσθέ μοι βιαίως αὐτήν. Πρὸς τοῖς καὶ τὸν Ο
δαδον τῷ τῶν δορυαλώτων ἀνήκοντά μοι νόμῳ
λαβόντες. Ἀλλὰ γὰρ ὕβρεις ἐς τὰ μάλιστα τ
ὁ καθ' ὑμᾶς κατέχεέ μοι βασιλεὺς, οὐ μόνον
ἢ δὶς, ἀλλὰ καὶ πολλάκις· τῶν δεόντων τε οὐδὲν
λήθη διαπράξασθαι. Εἰ τοίνυν τοιαῦτα πρὸς ὑμῶν
χημένος τοῖς ὅπλοις ἐχρησάμην, οὐδαμῶς ὑπ
μεμπτέος. Καὶ νῦν οὖν εἴ γε βούλεσθε περὶ σπ
τε καὶ εἰρήνης ἡμῖν θέσθαι λόγους, ἑτοιμότατα ἔχ
ἐν ὑμῖν τε κείσθω προτιμῆσαι τὸ συνοῖσον καὶ τ
ρηναῖα πρὸ τοῦ πολέμου ἑλέσθαι. » Πρὸς ταῦτα
κρίνατο ὁ Βῶνος· « Πρότερον μὲν ἡμεῖς οὐκ ἤρξ
πολέμου· οὐδὲ γὰρ καθ' ὑμῶν ἠλάσαμεν. Ἐς τα
τίον μὲν οὖν σὺ κατὰ τῆς Ῥωμαίων ἤλασας, Ϳ
δὲ, ὅτι καὶ ὁ βασιλεὺς ἐν βουλῇ ἐποιήσατο χρήμα
ἐπιδοῦναι· τοιγαροῦν καὶ παρέσχε τοῖς κατὰ σὲ
σβεσιν. Ἐπεὶ δὲ κατενόησεν αὐθαδιαζόμενον καὶ
αὐτὴν δή που τὴν βαρβαρικὴν ἀλαζονείαν ἐξογκού
ῥήματά τε ὑπερήφανα σημαίνοντα καὶ τῆς σῆς
μεως καθυπέρτερα, τηνικαῦτα καὶ αὐτὸς ἅτε ἀγ
ἐπετέλεσε τὰ οἰκεῖα. Καὶ τὸ νῦν δὲ ἔχον, ἡμ
ἐστιν ὡς βασιλέα στεῖλαι οὓς ἂν σὺ βουληθείης πρ
τοὺς βεβαιώσοντας τὰ περὶ τῆς εἰρήνης. Μηδὲ γ
ἡμῖν εἶναι νόμιζε κἂν γοῦν φθέγξασθαί τι, μήτι γ

mum fastigium balnei, quod populi usui erat destinatum, ad speculandos hostes, ut moris est, ascenderunt. Hi ex specula circumspicientes, si qua barbari eruptionem facerent, adverterunt Avarum nuntios, qui jam se in viam dederant. Hos quum, ob longinquitatem itineris, errantes certo dignoscere non possent, suspicati sunt, esse ex hostium exercitu. Itaque illico signo dato adventum eorum nuntiaverunt. At Bonus, quum illi in dubio hæreret animus, re diligentius explorata, cognovit barbaros esse parvo numero, et pacis conditiones esse laturos. Itaque et ipse misit qui extra muros cum illis colloquia sererent. Decumbebat enim ex vulnere, neque illi per Theodorum medicum licebat hostibus obviam ire. Neque enim hostes eum vulneratum esse scire suspicabatur. Quodsi vero id rescissent, tum non amplius illi latendum esse dixit, ne suspicionem injiceret, ducem e vivis excessisse. Sed hostes ubi viderunt alios, qui de pace disceptarent, venire, suspicati sunt ducem periisse. Itaque colloquium coram eo fieri velle dixerunt. Tunc Theodorus, qui quod utile foret, præcipue spectabat, dixit non jam tempus postulare, ut dux domi in occulto se contineret, sed potius, ut extra civitatem prodiret, et in conspectum barbarorum veniret. Itaque vulnere unguento illito, Bonus a medico dimissus cum barbaris convenit. Tunc legati mutuo sermone hujusmodi verbis sunt usi : « Avarum dominus, o Romani, apud vos hæc proponere jussit. Ne illi succenseretis, si contra vos

bellum suscepit. Etenim priores bello causam de
Multis exhaustis laboribus et non minoribus itineru
tigationibus toleratis vix istam, inquit, regionem cep
quum mihi illam vi eripuistis. Præterea Usdebadum, q
captivorum dominio meo cesserat, mihi ereptum ret
Multas quoque alias acerbas contumelias in me effuc
perator vester, neque id semel atque iterum, sed sæ
neque quicquam eorum, quæ justa erant et æquitat
sentanea, voluit. Itaque si tot tantisque injuriis et d
a vobis affectus et lacessitus, armis sum usus, in null
reprehendendus. Quodsi vultis nunc etiam de fœd
pace nobiscum verba facere, prompto animo id faci
Vestri igitur arbitrii est, quod expedit, præoptare,
cem bello præponere. » Ad quæ Bonus respondit : « I
quidem nos minime bellum occepimus, aut in vos g
sumus : e contrario tu prior in Romanos irruisti.
etiam imperator dona tibi mittere animum induxit,
legatis ad te missis mandavit. Sed quum te audacior
ctum cerneret, et ultra barbaricam insolentiam vana
elatum et tumentem, ita ut illi verba arrogantiora,
tuas vires excedentia, denuntiares : nimirum prod
cautus rebus suis prospexit. Et ut nunc sunt res, no
est ad imperatorem legatos, quos tibi videbitur, m
qui de pace conveniant. Nec enim existimes velim, in
potestate esse quicquam aliter, quam imperator pr
ceperit, dicere aut facere. » Hæc ubi Bonus dixit, rec

ἑτέρως [ἢ] καθὰ βασιλεῖ τῷ ἡμετέρῳ δοκεῖ διαπράξασθαι. » Ταῦτα Βώνου εἰρηκότος, εὖ ἔχειν ἔδοξε τῷ Βαϊανῷ τὰ ῥήματα. Ἐσήμανε δὲ αὖθις· « Ἐπειδὴ τὰ ἐς ὁμαιχμίαν ἑπόμενά μοι ἔθνη αἰσχύνομαι, αἰδώς τέ με ἔχει, εἴ γε πάντῃ ἄπρακτος ἐνθένδε ἀναχωρήσω, μηδέν τι ὀνήσας ἐμαυτόν· ὡς ἂν μὴ οὖν δόξω μάτην πεποιηκέναι καὶ ἀκερδῆ τὴν ἐπιχείρησιν, βραχέα μοί τινα πέμψατε δῶρα. Καὶ γὰρ ἐν τῇ Σκυθίᾳ περαιωθεὶς οὐδὲν ὁτιοῦν ἐκομισάμην, καὶ τῶν ἀδυνάτων ἐστὶ κἀντεῦθεν ἥκιστα ὠφεληθέντα με ἀπελεύσεσθαι. » Βώνῳ δὲ τῷ στρατηγῷ καὶ τοῖς ὅσοι γε ἀμφ' αὐτόν (ἦν δὲ ὁ τῆς πόλεως μέγιστος ἱερεύς) ἔδοξεν εὔλογον μὲν εἶναι τὸ προτεινόμενον· οὐδὲ γὰρ πλεῖστα ἐβούλετο κομίσασθαι, ἀλλ' ἄχρι δίσκου ἑνὸς ἀργυροποιήτου καὶ ὀλίγου χρυσίου, ἔτι γε μὴν καὶ ἀμπεχονίου Σκυθίου (σηρικοῦ conj. Bekk.)· πλὴν ἐδεδίεσαν οἱ περὶ Βῶνον ἰδιοβουλῆσαι καὶ οὐχὶ γνώμῃ τοῦ αὐτοκράτορος ἅπαντα διαπράξασθαι. Ἀντεσήμαναν τοιγαροῦν αὐτῷ, ὡς « νῦν ἔχομεν βασιλέα φοβερόν τε καὶ ἐμβριθέστατον, καὶ οὐκ ἀνεξόμεθα οὐδὲ ὅσα οἷόν τε ἐστὶ διαλαθεῖν αὐτὸν ἐπιτελέσαι αὐθαιρέτως, ἄλλως τε καὶ ἡμεῖς, ἅτε ἐν στρατεύματι τυγχάνοντες, οὐκ ἐπιφερόμεθα χρημάτων περιουσίαν ἢ μόνον στρατιωτικὴν ἐφεστρίδα, ἥν γε δή που καὶ περιβεβλήμεθα, ἔτι τε τὰ ὅπλα. Δωροφορῆσαι δὴ οὖν τῷ τῶν Ἀβάρων ἡγουμένῳ ἐξ ὧν ἐνταῦθα ἥκομεν ἔχοντες εὐτελῶν, ἄθρει, ὦ Χάγανε, μὴ καὶ ὕβρις πέφυκέ τις. Ἀξιότιμον δέ, καθὰ ἔφην, ὧδε οὐκ ἔχομεν· τὰ γὰρ τιμαλφέστερα τῶν ἐφοδίων ἡμῖν ἐν ἑτέροις ὑπάρχουσι τόποις καὶ ὡς πορρωτάτω ἡμῶν. Εἰ οὖν ὁ καθ' ἡμᾶς αὐτοκράτωρ φιλοφρονήσεταί σοι δώροις, οὐκ ὀκνήσομεν δή που καὶ ἡμεῖς γεγηθότες τε καὶ τῷ βασιλεῖ ἑπόμενοι ταῦτα διαπράξασθαι, καθόσον οἷοί τε ἐσμέν, ὥσπερ φίλῳ προσφερόμενοι καὶ ὁμοδούλῳ. » Πρὸς ταῦτα ἀγανακτήσας ὁ Βαϊανὸς σὺν ὅρκῳ ἠπείλησεν, ἦ μὴν στράτευμα ἐκπέμψειν τὴν Ῥωμαίων ἐπιδραμούμενον. Καὶ δὴ τοῦ στρατηγοῦ κατάδηλον αὐτῷ πεποιηκότος, ὡς ἐξέσται μέν οἱ ποιεῖν ὅσα ἂν δυνήσοιτο, εἰδέναι δέ, ὡς οὐ πάντως ἐπ' ἀγαθῷ τῶν στελλομένων ἔσται ἡ ἐπιδρομή, αὐτὸς ἔφη ὅτι « Τοιούτους ἐπαφήσω τῇ Ῥωμαϊκῇ, ὡς, εἰ καὶ συμβαίη γέ σφισι θανάτῳ ἁλῶναι, ἀλλ' ἐμοί γε μὴ γενέσθαι συναίσθησιν. » Καὶ δὴ παρεκελεύσατο δέκα χιλιάδας τῶν Κοντριγούρων λεγομένων Οὔννων διαβῆναι τὸν Σάον ποταμὸν καὶ δῃῶσαι τὰ ἐπὶ Δαλματίαν, αὐτὸς δὲ ξὺν πάσῃ τῇ κατ' αὐτὸν πληθύϊ διελθὼν τὸν Ἴστρον ἐς τὰ τῶν Γηπαίδων διέτριβεν ὅρια.

28. (an. 568.)

Exc. De leg. Rom. p. 154—156 : Ὅτι ὁ Βαϊανὸς ὁ τῶν Ἀβάρων ἡγεμὼν ἐν βουλῇ ἐποιήσατο πρεσβεύσασθαι καὶ περὶ σπονδῶν λόγους προσαγαγεῖν. Τὸν δὲ Βιταλιανὸν ἐζήτει χρυσίον οἱ παρασχεῖν, ὡς ἂν μὴ λεηλασίᾳ χρήσοιτο κατὰ δὴ τὸν τῆς ἐκεχειρίας καιρόν. Ὁ δὲ Ἰοβουλήδας, καὶ εἰληφὼς ἐκ τοῦ τῆς Ἰλλυρίδος ὑπάρχου νομίσματα οὐ μεῖον ἢ ὀκτακόσια, παρέσχετο τῷ Βαϊανῷ. Ταύτῃ τοι καὶ ἔστειλε τὸν Ταργίτιον ὁ τῶν Ἀβάρων ἡγούμενος, ξὺν τῷ καὶ Βιταλιανὸν τὸν ἑρμηνέα, τῷ βασιλεῖ λέξοντας ὥστε τὸ Σίρμιόν οἱ ἐνδοθῆναι, καὶ τὰ συνήθη χρήματα, ἃ Κουτρίγουροι καὶ Οὐτίγουροι πρὸς Ἰουστινιανοῦ ἐκομίζοντο βασιλέως,

---

dem eum et justa dixisse Baianus censuit; sed hæc subjecit : « Sane ego propter gentes, quæ me ad bellum secutæ sunt, verecundia ducor, si nulla re effecta recedere, neque quicquam operæ pretii fecisse videar. Ne igitur videar frustra tantum laboris pertulisse et sine ullo emolumento expeditionem suscepisse, parva munuscula ad me mittite. Etenim e Scythia huc transmittens, nihil quicquam mecum extuli neque mihi, si nihil rei, quod me juvet, percepero, hinc excedere licet. » Bono quidem duci et ceteris, qui cum eo erant, inter quos erat supremus urbis sacerdos, visum est, Baianum justa et rationi consentanea proponere. Nec enim immoderata munera Baianus sibi dari petebat, solum unam pateram ex argento factam, nec multum auri, præter hæc togulam Scythicam. Verum Bonus et qui ei adstabant aliquid proprio consilio inconsulto imperatore facere timebant. Itaque Baiano contra respondit : « Habemus nunc imperatorem, qui facile ad iracundiam adducitur; quare ne ea quidem, quæ fortasse eum laterent, nostra sponte et proprio animi judicio facere sustinebimus. Præterea quum in castris degamus, pecunias in numerato minime habemus, neque quicquam nobiscum ferimus nisi castrensem supellectilem, et ea quibus induimur, atque arma. Denique Avarum duci ex iis, quibus modice instructi huc venimus, dona offerre vide, o Chagane, ne injuria et ignominia aliqua sit : nam nihil tanto honore digni habemus. Pretiosiora enim viaticorum nostrorum sunt in aliis locis et longe a nobis remotis posita. Quodsi vos imperator noster muneribus demereri voluerit, non cunctabimur, tibi et nobis gratulantes, et imperatoris jussa facere, et omne, quoad ejus fieri poterit, quod tibi conducet, exsequi, tanquam amici et ejus, qui una nobiscum uni domino paret, utilitatibus inservientes. » Ob hæc indignatus Baianus jurans minatus est, se immissurum exercitum in Romanorum ditionis regiones, qui populationes faceret. Ad quæ quum dux palam prædicaret, illi quidem licere omnia, quæ posset, aggredi et tentare, sed persuasum habere, fore ut istæ excursiones his, qui in eas mitterentur, non bene verterent, respondit, se tales missurum, qui si perierint, damnum nullum ex eorum exitio ad ejus sensum esset perventurum. Itaque jussit dena millia Hunnorum, qui Contriguri (*Cutriguri fr.* 28. *Cotriguri* Agath.) dicebantur, trajicere Saum et vastare Dalmatiam. Ipse vero cum omni suo exercitu, transmisso Istro, in finibus Gepidarum substitit.

28.

Baianum, Avarum ducem, voluntas coegit legatos ad Romanos mittere, qui de fœderibus verba facerent. A Vitaliano etiam sibi aurum dari petiit, ut a prædis agendis per inducias abstineret. Iobulidas, acceptis a præfecto Illyrici nummis non minus octingentis, ea Baiano tradidit. Quamobrem Avarum dux misit Targitium, qui una cum Vitaliano interprete imperatori denuntiarent, ut Sirmium et pecunias, quas Cotriguri et Utiguri a Justiniano accipere

εἶτα δὴ αὐτοῦ ἄμφω τὼ φύλω τούτω καθελόντος· πρὸς τοῖς καὶ Οὐσδίβαδον τὸν Γήπαιδα. Ἔφασκε γὰρ τοὺς Γήπαιδας ἅπαντας αὐτῷ ἀνήκειν, ἅτε δὴ καὶ αὐτοὺς πρὸς αὐτοῦ καταπολεμηθέντας. Ἀφικομένων δὴ οὖν τῶν πρέσβεων κατὰ δὴ τὴν βασιλίδα πόλιν, παρελθόντων τε ὡς τὸν αὐτοκράτορα, ἔφη ὁ Ταργίτης· « Ὦ βασιλεῦ, πάρειμι σταλεὶς ὑπὸ τοῦ σοῦ παιδός· πατὴρ γὰρ αὐτὸς ἀληθῶς Βαϊανοῦ τοῦ καθ' ἡμᾶς δεσπότου. Πέποιθα δὴ οὖν, ὡς ἐπιδείξασθαι προθυμηθείης τὴν περὶ τὸν παῖδα στοργὴν τῷ διδόναι τὰ τοῦ παιδός. Οὕτω τοίνυν ἐχόντων ἡμῶν, τάχα δὲ σοῦ καὶ ἡμῶν, ἆρα οὐχὶ παραχωρήσεις αὐτῷ τῶν γερῶν; οὐ γὰρ ἐς ἀλλότριον οὔτε μὴν πολέμιόν τινα τὰ διδόμενα μεταθήσοις σχεδόν· οὐδὲ μεταβήσεται τῶν παρεχομένων ἡ κυριότης, ἢ πάλιν εἰς σὲ ἀναδραμεῖται διὰ τοῦ παιδὸς, εἴγε παράσχοις αὐτῷ τὰ ἐφ' οἷς ἥκω, τήν τε πόλιν τὸ Σίρμιον καὶ τὰ χρήματα κατ' ἔτος, ὅσα βασιλεὺς Ἰουστινιανὸς τοῖς Κουτριγούροις καὶ Οὐτιγούροις ἐδίδου (οἱ), Βαϊανοῦ τήμερον δεσπόζοντος τούτων γε δήπου τῶν ἐθνῶν· ἔτι καὶ Οὐσδίβαδον τὸν Γήπαιδα καὶ τοὺς περὶ αὐτόν· οὐδὲ γὰρ περὶ τούτων ἀντερεῖ τις, ὡς οὐχὶ πεφύκασιν ἀνδράποδα Βαϊανοῦ. » Ταῦτα ὁ Ταργίτης ἔλεξεν. Ἀτὰρ ὁ βασιλεύς· « Οὐ πρεσβευσόμενος ἥκεις, ὡς ἔοικεν, ὦ Ταργῖτα· μᾶλλον μὲν οὖν πρὸς ἀγνοοῦντας ἡμᾶς τεκμηριώσασθαι βουλόμενος τῶν Ἀβάρων τοὺς τρόπους. Εἰ γὰρ, ὡς φατε, δοίημεν ὑμῖν τὰ ὅσα τοῖς πρώην Οὔννοις, οἴκτῳ μᾶλλον καὶ οὐ φόβῳ, τῷ μὴ ἐθέλειν αἷμα ἐκχεῖν, Ἰουστινιανὸς ἐδίδου, γελοῖόν γε ἂν εἴη, * καὶ οἷς τὸ φιλάνθρωπον ἀπο-

νέμειν δεῖ, καὶ οἷς ἀντιτάττεσθαι φανῶμεν οἱ
ὁπότε οἱ δείλαιοι Κουτρίγουροί τε καὶ Οὐτίγου
διαβεβαιοῦσθε πρὸς ἡμῶν κομίζεσθαι χρήματα
μὲν φυγόντες ἡμᾶς, τοῦτο δὲ πεπτωκότες ὑ
τυγχάνουσιν ἄρδην ἠφανισμένοι. Τί οὖν παρά
ὑμῖν τὰ τῶν ἡσσωμένων; ἀλλ' οὐ τῇ φύσει ξυνᾳ
πραγμάτων καὶ κρατεῖν ἅμα, καὶ ὑπὲρ τῶν κι
μένων ἑτέροις χρήματα καταθεῖναι. Οὐ γὰρ ἀ
εἰ φανείημεν ἅπαξ τοῦ τὰ δέοντα φρονεῖν ἐστερ
ἀλλὰ γὰρ καὶ εἰς συνήθειαν ἕλκειν τὴν ἀφ
οἴεσθε δεῖν; τί οὖν ποιοῦμεν τὸν Οὐσδίβαδον
ἀποδοίημεν; οὐχ οὕτω πεφύκαμεν ἠλίθιοι, ὡ
ἡμέτερα καταπροέσθαι, καὶ ταῦτα βαρβάροις
μαινομένοις τῇ καθ' ἡμᾶς πολιτείᾳ. Ὁ γὰρ πρ
τὸ βασίλειον ἀναδεδεγμένος κράτος Γήπαιδας ἐι
ὄντας εἰσεποιήσατο, καὶ χώραν αὐτοῖς ἀπένε
περὶ τὸ Σίρμιον, εἶτα καὶ πολέμου κινηθέντος
ὡς Λογγοβάρδους, ὥσπερ εἰκὸς, ξυνεπιλαβόμ
κινδύνου τοῖς οἰκείοις. Καὶ ἂν ἐκράτουν οἱ Γήπι
Ῥωμαίων χειρὶ, εἴγε μὴ ἀνδραποδώδεις ὤφθη
τῷ τῆς γνώμης δολερῷ τοὺς εὐεργέτας ἐλύπησα
ὧν ἐπιβουλεύσαντας ἡμῖν ἀσύγγνωστα οὐ Ῥ
ἔδοξε μετελθεῖν τοὺς ἀγνωμονήσαντας, οἷς ἐν
ἀντιτιθέναι τὰς τιμωρίας ἰσορρόπους τοῖς πλη
μασι, μᾶλλον μὲν οὖν περιιδεῖν, ὡς ἂν ὑφ' ἑτέρ
παντελὲς διαφθαρήσοιντο. Εἰ τοίνυν ἄλλως ο
ταῦτα, ἐπείπερ ἡμεῖς ἐπεγκαλεῖν ἄξιοι καθεστ
ὅτι τοὺς ἡμῖν ἀνήκοντας ἔχετε Γήπαιδας, ἀντέστ
καθ' ἡμῶν τὰ τῶν ἐγκλημάτων. Ὑμεῖς μὲν γ

soliti erant, quia utramque gentem subegerat, illi traderet, et præterea Usdibadum etiam Gepidam. Dicebat enim, omnes Gepidas in suum jus dominiumque venisse, quia eos devicerat. Itaque legati ubi in regiam urbem ad imperatorem venerunt, Targites sic eum est affatus: « O imperator, adsum a tuo filio missus. Tu enim vere pater es Baiani, ejus qui apud nos dominatur. Confido igitur, te affectum paternum exhibiturum esse filio in eo, quod reddes ea quæ filii sunt. Quum igitur nos hoc animo simus, et fortasse tu æque ac nos, nonne tu illi sua præmia præbebis? Quod si feceris, ea non in extraneum, neque in hostem contuleris, neque earum rerum mutabitur dominium. Etenim rursus ad te redibit per filium, si ea indulseris, quæ a te petitum venio. Scilicet Sirmium et pecunias, quotannis quas dabat imperator Justinianus Utiguris et Cotriguris, quum Baianus hodie dominium sit adeptus harum omnium gentium; deinde Usdibadum et ejus comites sibi tradi poscit. Nec enim Usdibadum quisquam negarit factum esse Baiani mancipium. » Hæc Targites; cui imperator: « Tu quidem, ut videtur, minime, ut legationem faceres, venisti; sed magis, ut mores Avarum, antea nobis penitus ignotos, cognitos perspectosque efficeres. Si enim, ut dicitis, concesserimus vobis ea, quæ nuper Justinianus, commiseratione potius quam terrore adductus, quia ab effundendo sanguine abstinere volebat, Hunnis largitus est, ridicula res sane erit, * si etiam liberalitatem et humanitatem in eos exercere oporteat, contra quos in acie stare, nemo est qui nos non viderit,

quando miseri Cotriguri et Utiguri, quos affir
nobis accepisse pecunias, modo fugientes, modo
nostro exercitu sunt ad internecionem usque del
igitur vobis largiemur bona eorum, quos vicimus? H
abhorret a communi sensu, simul et vincere, et
quos viceris, bona aliis tribuere. Nonne satis est,
visi sumus prudentia destituti? An censetis impru
nobis etiam ad consuetudinem trahendam esse? Qui
de Usdibado faciemus? vobisne eum reddemus? no
adeo dementes et stolidi, ut nostra profundamus,
in barbaros et eos, qui nostræ rei publicæ gravi
intulerunt. Qui enim imperatoriam majestatem a
administravit, Gepidas vagantes excepit, et illis r
circa Sirmium, quam incolerent, distribuit. Deind
inter ipsos et Longobardos bello, sociis nostris, ut p
opem tulimus, et Romanorum auxilio Gepidæ vi
nisi servilem animum prodidissent. Nam mala me
nefactoribus suis infesti fuerunt, et pro beneficii
collatis insidias, in quo nulla venia digni sunt, nobis
runt; Romanis tamen minime visum est homines l
persequi, qui nunquam dignas pœnas pro peccat
possunt; sed potius pati, ut ab aliis funditus everte
Quum igitur non aliter se res habeant, si nobis jure d
conqueri licet, quod eos, qui nostri optimo jure f
possideatis, nunc a vobis eadem in nos retorquent
enim Usdibadum, nos Gepidas, qui reliqui sunt,
repetimus. Etenim nos Romani ab initio et ab or

Οὐσδίβαδον, ἡμεῖς δὲ καὶ τοὺς Γήπαιδας ὑμᾶς τοὺς λοιποὺς εἰσπράξοιμεν. Ῥωμαῖοι γὰρ ἄνωθέν τε καὶ ἐξ ἀρχῆς σωφρονίζειν ἐτάχθημεν τὸ ἀνόητον, οὐ μὴν ἀνόητοί τινες εἶναι νομίζεσθαι. Ἀλλὰ τὸ Σίρμιον ἐγχειρίσωμεν βαρβάροις; οὐκ ἀρκέσει γὰρ ὑμῖν τὸ περιεῖναι μέχρις ὅπλα κινεῖν οὐ βούλοιντο Ῥωμαῖοι. Ἀλλ' ἐρεῖς, ὦ Ταργῖτα, ὅτι διαβήσεται Ἴστρον ὁ Χαγάνος, ἔτι γε μὴν καὶ τὸν Ἕβρον· καὶ ὅτι τὰς ἐπὶ Θράκης αὐτοβοεὶ παραστήσεται πόλεις. Ἀλλὰ προφθάσουσιν αἱ Ῥωμαϊκαὶ δυνάμεις, καὶ τῆς ἐλπίδος αὐτὸν ἀφαιρήσονται, καὶ μᾶλλον αὐτοὶ σκευαγωγήσουσι τὰ Ἀβάρων. Καὶ οὐ παυσόμεθα καταβάλλοντές τε καὶ χειρούμενοι, ἕως ἂν ἀφυβρίσῃ τὸ βάρβαρον. Λυσιτελήσει δὲ Ῥωμαίοις ἀντὶ τῆς εἰρήνης ὁ πόλεμος. Ἀβάρων γὰρ τῶν νομάδων τε καὶ ἐπηλύδων καθιστάναι φίλους τῆς ὡς αὐτοὺς δυσμενείας βαρύτερον, ἄλλως τε καὶ φιλίας ὑπούλου καθεστώσης. Κρεῖσσον ἐν τοῖς σώμασι καὶ οὐχὶ ταῖς ψυχαῖς φέρειν τὰ τραύματα. Πρὸς ταῦτα, ὦ Ταργῖτα, καὶ τόξα καὶ ἵπποι καὶ μυρίαι δυνάμεις ὁπλιτῶν ἔστωσαν ἐν παρασκευῇ· οὐ γὰρ ἡσυχία τοῦ συνοίσοντος αἱρετώτερον.» Τοσαῦτα εἰπὼν ὁ αὐτοκράτωρ, μεγαληγορίᾳ τε χρησάμενος πολλῇ, τῶν Ἀβάρων ἀφῆκε τοὺς πρέσβεις, πρότερον Βώνῳ τῷ στρατηγῷ ἐν γράμμασι πλεῖστα ἐπιμεμψάμενος, ὅτι γε ὅλως ὡς αὐτὸν τοιάδε προϊσχομένους ἔστειλεν ἐς Βυζάντιον· πρός γε καὶ σημήνας ἔργου ἔχεσθαι καὶ πάντα τὰ πολεμιστήρια ὄργανα ἐπισκευάζειν, σαφῶς ἐπιστάμενον, ὡς ξυγκροτηθήσεται ὁ πρὸς Ἀβάρους πόλεμος καὶ μάλα αὐτίκα. Καὶ δὴ ὁ Βῶνος, ἐπεὶ τὸ βασίλειον ἀνελέξατο γράμμα, τὰ πρὸς τὸν πόλεμον ἐξηρτύετο.

29. (an. 568 s. 569.)

Exc. De leg. gent. p. 114 : Ὅτι αὖθις ἦλθε Ταργίτιος βουλόμενος πρεσβεύσασθαι ὡς βασιλέα, ἐκεῖνά τε ἔφη τῷ βασιλεῖ καὶ ἤκουσε πρὸς αὐτοῦ ἅπερ καὶ ἄλλοτε. Τήν τε γὰρ πόλιν τὸ Σίρμιον ἐβούλετο πρὸς Ῥωμαίων κομίσασθαι, ἅτε οἰκεῖον ὂν αὐτῷ κτῆμα ἐξότε τὰ τῶν Γηπαίδων ὑπ' αὐτοῦ διέφθαρτο πράγματα· ἔτι τε καὶ χρήματα, ἅπερ Ἰουστῖνος (l. Ἰουστινιανὸς) τοῖς Οὔννοις ἐφ' ἑκάστῳ ἐνιαυτῷ ἐδίδου· καὶ, οἷα μηδὲν εἰληφότων αὐτῶν ἐκ τῶν παρῳχημένων ἐτῶν, ἅπαντα ὁμοῦ Ταργίτιος εἰσπράττειν ἠξίου, οὕτω τε λοιπὸν τὰς ἐνιαυσιαίας συντάξεις ἐρρωμένας κατατιθέναι Ῥωμαίοις. Πρός γε καὶ τὸν Οὐσδήβαδον ἐξῄτει οἷα προσήκοντα τῷ τῶν δορυλήπτων αὐτῷ θεσμῷ. Καὶ ἕτερα δέ τινα προεβάλλετο ὁ Ταργίτιος ὑπερηφανίας ἀνάπλεα, ὧν οὐδένα λόγον ἐποιεῖτο ὁ βασιλεὺς, ἀλλὰ γὰρ τά τε λεγόμενα πρὸς αὐτοῦ ἀπεφλαύριζε, καὶ μὲν οὖν βασιλικῶς ἐχρῆτο τοῖς ῥήμασιν. Ἐπὶ τούτοις οὖν διάφοροι πρεσβεῖαι φοιτήσασαι, ὡς διηνύσθη πλέον οὐδὲν, διαφῆκε τὸν Ταργίτιον ὁ βασιλεὺς, εἰρηκὼς αὐτῷ στέλλειν ἐκεῖσε Τιβέριον αὐτοκράτορα στρατηγὸν, περὶ τοῦ παντὸς διαλεχθησόμενον καὶ βεβαιώσοντα τὰ ἕκαστα.

30.

Exc. De sent. p. 357. 358 : Ὅτι ἐν ταῖς εὐπραγίαις τῶν δυσμενῶν διπλασιάζεσθαι πέφυκε τὸ ἔχθος.

Ὅτι τὸ εὐτυχεῖν οὓς οὐκ ἐχρῆν ὑπόθεσις γίνεται τοῦ μὴ τὰ δέοντα φρονεῖν τοῖς μὴ λογισμῷ βεβηκότι χρωμένοις τῇ τύχῃ.

---

minum memoria imprudentes coercere officium nostrum duximus, non ipsi imprudentes habebamur. Nosne Sirmium barbaris trademus? Non igitur satis vobis superesse videtur, quousque Romanis nondum arma ferre placuit? Sed ais, o Targita, Chaganum Istrum trajecturum et Hebrum quoque, et Thraciæ urbes primo impetu occupaturum. At prævenient et occurrent Romanorum copiæ, et eum spe depellent sua, imo agent et rapient quæ Avarum sunt. Neque grassari et prædas agere cessabimus, dum barbari superbient; et certe longe Romanis utilius bellum quam pax. Etenim cum Avaribus et Nomadibus et advenis amicitiam tenere gravius et acerbius est, quam eos hostium numero habere. Nam subdola est eorum amicitia, et præstat vulnera corpore, quam animo, gerere. Quamobrem, o Targita, et arcus et equi et infinitæ copiæ armatorum in apparatu erunt. Nec enim quies utilitate potior.» Hæc quum imperator alto spiritu dixisset, Avarum legatos dimisit. Prius tamen Bonum ducem per literas magnopere increpavit, quod ad se illos legatos, qui talia proponerent, Byzantium misisset. Ad hæc illum monuit, quia certus erat, quamprimum bellum contra Avares erupturum esse, ut omni opera et studio bellicas machinas præpararet. Et Bonus, lectis imperatoris literis, omnia, quæ ad bellum pertinebant, diligenter curavit.

29.

Venit denuo Targitius, ut legatione fungeretur apud imperatorem. Eadem vero dixit imperatori, et audivit ab imperatore, quæ et antea. Petebat enim a Romanis sibi tradi Sirmium oppidum, tanquam esset sua privata et domestica possessio, quia ab ipso Gepidarum res essent eversæ; tum etiam pecunias, quas Justinus (*Justinianus*) Hunnis quotannis pendebat, postulabat, et quasi superioribus annis nihil accepissent, omnes simul Targitius sibi persolvi volebat, et ita in posterum annua cum Romanis fœdera se rata habiturum dixit. Usdibadum quoque poscebat, tanquam qui suus captivitatis jure et lege esset. Plurima alia etiam in medium proferebat Targitius, insolentiæ et superbiæ plena, quorum omnium imperator nullam rationem habuit, sed elusit et contempsit, et verbis imperatoriam majestatem decentibus est usus. Denique quum per diversas et multas legationes super his commeantes nihil quicquam effectum esset, Targitium dimisit imperator, et illi dixit, se illuc missurum Tiberium, qui summum in exercitu habebat imperium, qui de omnibus rebus ageret, et singula pacaret et firmaret.

30.

Sicubi res prospere eveniunt, tunc malevolorum odium duplicari solet.

Indignorum hominum felicitas in causa est, quominus illi congruos spiritus mente agitent, qui non satis firmo animo fortunam suam ferunt.

῞Οτι φιλοτάραχον χρῆμα ὁ δῆμος, καὶ φύσις αὐτῷ ἡ προπέτεια.

῞Οτι χαλεπὸν ἀμελούμενον τὸ χρῆμα (ἀμελούμενος παραχρῆμα conj. **Bekk.**) καὶ δυσκαταγώνιστον ἐμφύλιος πόλεμος.

῞Οτι ἀνδρείας ἐπίδειξις προερχομένη κατὰ τῶν φύσει δυσμενῶν καὶ οὐ κατὰ τῶν ὁμοδιαίτων ἐνδοξότερον τίθησι τὸν ἐπιδεικνύμενον.

῞Οτι οἱ Γότθοι παντελῶς ὑπὸ Ῥωμαίων ἡττήθησαν. Καὶ ἐγώ γε τὰ τοιάδε ἄγαμαι οὐδαμῶς· χρόνῳ γὰρ συμμορφοῦσθαι πέφυκε τὰ ἀνθρώπεια, εὕροις τε σχεδὸν ἅπασαν (ἂν πᾶσαν **Bekk.**) ἱστορίαν τῶν τοιῶνδε χαλεπῶν ἀνάπλεων, γένη τε μέγιστα καὶ πόλεις νῦν μὲν ἐς ἄγαν εὐημερήσαντα, νῦν δὲ ἐς τὸ μὴ εἶναι κατολισθήσαντα παντελῶς. Ταῦτα μὲν οὖν καὶ τοιάδε ἡ περιφορὰ νεοχμοῦσα τοῦ χρόνου καὶ πρὸ τοῦ ἐπεδείξατο, καὶ μὴν ἐπιδείξεται αὖθις, καὶ ἐπιδεικνυμένη οὐ παύσεται, ἔστ' ἂν ἄνθρωποί τε ὦσι καὶ μάχαι.

῞Οτι μέχρι τοσούτου δέον πονεῖν, ἄχρι τῆς ἐκ τῶν πόνων ὠφελίας ἐν ἀπολαύσει καθεστάναι δύναιτό τις· ὁ γὰρ μὴ οὕτω βιοτεύων, εἰ καὶ πλέον ἔσχε τῶν ἄλλων, ἧττον ἔχει τῶν ἀγαθῶν.

῞Οτι ὁ ξὺν τῇ δυνάμει τῶν πέλας νικήσας οὐδὲν ἧττον ὥσπερ νενικηκόσι τοῖς ἡσσημένοις παραχωρήσει μεγαλαυχεῖν τῷ πρὸς διττὴν αὐτοὺς ἀγωνίζεσθαι δύναμιν.

῞Οτι κινδύνων ἐλπὶς ἄνευ κινδύνων τίθησι τὸν ἐλπίζοντα τῷ προησφαλίσθαι τῶν δυσχερῶν τῇ δοκήσει τὰ πράγματα. Πολλάκις γὰρ καὶ τό γ' ἀληθὲς ἐν ὑπονοίᾳ γενόμενον ἀσφαλές.

῞Οτι καὶ αὖθις ὁ τῶν Ἀβάρων ἡγούμενος ταῖς πρώην ἐχρήσατο ἀπειλαῖς. Καὶ ἐπειδὴ κομπάζων καὶ μεγαλορρήμων ἐσότι ὑπάρχων οἷόστε οὐκ ἐγένετο ἐκδειμα[...] τοὺς Ῥωμαίους· οὗτοι γὰρ δὴ πρὸς οἷς οὐκ ὀρρω[...] αὐτοῖς ἐνέσκηψε, ἀλλὰ γὰρ καὶ ἀπεφλαύριζον κ[...] ριεφρόνουν τὸν βάρβαρον, οὐ μὴν ἀλλὰ καὶ κομ[...] στέραις ἐχρῶντο ταῖς ἀντιλογίαις.

῞Οτι μεμίσηται τυραννίς, καὶ ἀντίπαλος εἶ[...] **Bekk.**] ὁ τυραννούμενος.

31.

Suidas : Ἐπιδουπῆσαι, ἐπικτυπῆσαι... [...]νανδρος· « Οἱ δὲ Ἄβαροι κατὰ τὴν τοῦ πολέμου [...] ἐβούλοντο ἦχον ἐγεῖραι ξυμμιγῆ τε καὶ ἄγριον, (οὖν) ξὺν τῷ ἀλαλάγματι ἐπιδουπῆσαι τοῖς τυμπ[...] ὅπως ἂν ἐς τοσοῦτον αὐτοῖς ὁ κτύπος ἐξαρθείη, [...] ταπλῆξαί τε καὶ δεδίξασθαι τὸ Ῥωμαϊκόν· ταῦτ[...] προέγνω ὁ Βῶνος, προαφηγήσατο τοῖς στρατι[...] ὥστε αὐτοὺς τῷ ἀθρόῳ μὴ καταπλαγῆναι, ἀλλὰ [...]νατυποῦντας ὅπερ ἔμελλεν ἔσεσθαι ἐθίζεσθαι τῇ δ[...] καὶ τῷ μήπω παρόντι πρὸς τὸ ἐσόμενον· καὶ [...] αἴσθοιντο τὸν πάταγον τῶν τυμπάνων, ἀντιπα[...] καὶ αὐτοὺς ταῖς ἀσπίσι, καὶ ἐπαλαλάζειν τὸ ἐνι[...] καὶ παιανίζειν, καὶ τοῖς ὑδροχόοις ἀγγείοις ξ[...] οῦσιν ἐπικτυπεῖν. » Partem horum repetit v. [...]ξασθαι.

Suidas : Ἀνάρροπον. Μένανδρος· « Κατιόντ[...] Ἀβάρων κατ' ὀλίγους, οἱ στρατηγοὶ γνώμῃ ἐχ[...] παραχρῆμα ἐπιθέσθαι σφίσι, κὰκ τούτου ἀνάρ[...] τιθέναι τὴν τῶν Ἀβάρων κατάβασιν. »

32. (an. 570. Justini an. 6.)

Exc. De leg. gent. p. 114 : ῞Οτι ἄλλα τε [...] αἴτια ἐγένοντο τοῦ πολέμου Ῥωμαίων τε καὶ Π[...] τὸ δὲ μᾶλλον ἀναπτερῶσαν Ἰουστῖνον ὃ κινῆσαι[...]

Populus tumultuandi amans est et natura sua temerarius.

Incuria difficile et vix superabile bellum civile.

Ea demum fortitudo facit hominem inclytum, quæ adversus naturales hostes, non quæ contra cives exseritur.

Gothi a Romanis penitus domiti fuerunt. Neque ego id miror : nam æque, ut tempus, res humanæ mutabiles sunt. Cunctam vero propemodum historiam gravium hujusmodi casuum plenam invenies, et quidem maximas gentes urbesque modo felicissimas, modo ad nihilum redactas. Hæc et similia, inquam, temporis circumactio ac perpetua novitas tum ante nos demonstravit, tum et deinceps, donec hominum genus erit et bellandi usus, spectanda exhibebit.

Eatenus laborandum est, quatenus laborum utilitate frui quis potest : nisi enim ita vivit, is etiamsi ceteros superaverit, ubertate tamen verorum bonorum inferior est.

Qui finitimorum viribus adjutus vicit, is occasionem præbebit victis, ac si essent victores, gloriandi, quasi ipsi contra vires duplo suis majores pugnaverint.

Periculorum exspectatio extra periculum exspectantem collocat; propterea quod suspicione malorum rebus suis cavet : sæpe enim id etiam, quod reapse impendet, si suspicione præoccupetur, tuto cavemus.

Avarum dux prædictas denuo minas intentavit : neque tamen jactantia tumidisque verbis Romanos territare potuit. Porro hi, nullo timore correpti, non solum barbaru[...] temnebant ac flocci faciebant, sed ultro etiam jact[...]bus responsis non temperabant.

Tyrannis invisa est, semperque inimicus, qui ty[...]dem patitur.

31.

Avares sub initium prœlii dissonum et horridu[...] morem tollere, et cum fremitu bellico tympana q[...] pulsare statuerant, ut inopino illo vehementique s[...] Romanos percellerent ac territarent. At Bonus id [...]gnitum militibus jam prædixerat, ne re subitanea co[...]narentur; sed opinione præcipientes id quod futuru[...] assuescerent ei quod nondum acciderat : et ubi str[...] tympanorum audissent, ipsi quoque vicissim scutis c[...]parent, et pæana canerent, et situlis ligneis inter se [...] strepitum ederent.

Quum Avares manipulatim descenderent, visum e[...]bus illico eos aggredi, atque ita retrogradam efficer[...]rum incursionem.

32.

Multæ quidem aliæ belli causæ inter Romanos et [...] exstiterunt, maxime vero Turcorum gens impulit in[...]torem, ut contra Persas arma moveret. Etenim Tur[...]diam invaserant et depopulati erant. Itaque Justinum

κινῆσαν conj. Nieb.) κατὰ Περσῶν τὸ ἔθνος οἱ Τοῦρκοι ἐγένοντο. Οἵδε γὰρ ἐσβάλλοντες ἐς τὴν Μηδικὴν τῆς τε γῆς ἔτεμον, ἔστειλαν δὲ καὶ ὡς Ἰουστῖνον πρεσβείαν ἐφ' ᾧ συνεκπολεμῶσαί γε αὐτὸν Πέρσαις, κοινῇ τε καθελεῖν ἐξαιτοῦντες ἀμφοτέρων τοὺς δυσμενεῖς, καὶ [τὰ] τῶν Τούρκων μᾶλλον ἀσπάσασθαι· οὕτω γὰρ ἂν τῇ μὲν Ῥωμαίων, τῇ δὲ Τούρκων ἐπιθεμένων ἐν μέσῳ τὰ Περσῶν διαφθαρῆναι. Ταύταις ταῖς ἐλπίσιν ἐπηρμένος Ἰουστῖνος ῥᾳδίως ᾤετο τὴν Περσῶν καταστρέψεσθαι δύναμιν καὶ ἐς τὸ μὴ εἶναι ξυνελάσειν. Καὶ οὖν, ὡς οἷόν τε ἦν, ἐν βεβαίῳ ἕξειν αὐτοῦ τὴν πρὸς Τούρκους φιλίαν ἅπαντα παρεσκευάζετο.

33. (an. 570.)

Ibidem p. 114. 115 : Ὅτι αὖθις οἱ Ἄβαροι πρεσβείαν ἔστειλαν ὡς Ῥωμαίους, καὶ περὶ ὧν πολλάκις, περὶ τῶν αὐτῶν ἐπρεσβεύοντο. Ὡς δὲ οὐδὲν ὑπήκουον οἱ Ῥωμαῖοι (οὐ γὰρ Ἰουστῖνον τὸν αὐτοκράτορα ἤρεσκε), τὸ τελευταῖον τοῦ Ἀψὶχ ἐς πρεσβείαν ἐληλυθότος, ξυνήρεσε Τιβερίῳ καὶ τοῖς περὶ τὸν Ἀψὶχ παρασχεθῆναι γῆν τοὺς Ῥωμαίους, ἵνα κατοικίζεσθαι μέλλοιεν οἱ Ἄβαροι, εἴ γε τῶν παρά σφισιν ἀρχόντων λήψονται τοὺς παῖδας ὁμηρεύσοντας. Καὶ οὖν τὰ τοιάδε Τιβέριος ἐσήμηνε βασιλεῖ. Ἀλλὰ γὰρ τῷ αὐτοκράτορι οὔ τι ἐδόκει τοῖς πράγμασι τῶν Ῥωμαίων εἶναι λυσιτελές· οὐκ ἄλλως δὲ εἰρηνεύσειν ἔφασκεν, εἴ γε μὴ αὐτοῦ δῆτα τοῦ Ἀβάρων ἡγουμένου λάβοι τῶν παίδων τινὰς ἐς ὁμήρους. Τιβερίῳ δὲ οὐ ταὐτὰ ἐδόκει· ἐγνωμάτευε γάρ, ὡς, εἴ γε τῶν παρὰ Σκύθαις ἀρχόντων λήψονται τοὺς παῖδας, οἷα εἰκός, βουλευομένου τοῦ Χαγάνου τὰ ξυντεθειμένα παρώσασθαι, οὐ συγχωρήσειν τῶν ὁμηρευόντων τοὺς πατέρας. Τιβέριος μὲν τοιᾶσδε ὑπῆρχε γνώμης, βασιλεῖ δὲ οὐχ οὕτως ἐδόκει· ἀλλὰ γὰρ δή που καὶ ἐνεμέσιζε τοῖς Ῥωμαίων στρατιάρχαις τὸν πόλεμον ἀναβαλλομένοις, συλλαβαῖς τε ἐχρῆτο ὡς αὐτοὺς διαγορευούσαις, ὡς δέοι τοῖς βαρβάροις ἐνδείκνυσθαι, ὅτι γε δή που Ῥωμαίοις οὐχὶ ἐς τὸ ἁβροδίαιτον ὁ βίος ..., ἄλλως δὲ ὡς φιλοπόλεμοί τέ εἰσι καὶ φερέπονοι. Ἐπεὶ δὲ τὰ τῆς ἔριδος ἐνίκα καὶ ὁ πόλεμος ἠπειλεῖτο, Τιβέριος ἐσήμηνε Βώνῳ ἐν γράμμασι φυλάξασθαι τὰς διαβάσεις τοῦ ποταμοῦ.

34. (an. 570.)

Ibidem p. 115 : Ὅτι μετὰ τὴν νίκην τῶν Ἀβάρων, ἡττηθέντος Τιβερίου τοῦ στρατηγοῦ, μετὰ τὰς ξυνθήκας συνήρεσε πρεσβεύσασθαι ὡς τὸν Ῥωμαίων αὐτοκράτορα. Καὶ δὴ Τιβέριος ξυναπέστειλε τῇ πρεσβείᾳ Δαμιανὸν ταξίαρχον, ἐσήμηνέ τε τῷ βασιλεῖ ἅπαντα τὰ ξυνενεχθέντα, καὶ περὶ ὧν βούλεται τὸ Ἀβαρικόν. Καὶ ἐσπείσαντο τελέως Ῥωμαῖοί τε καὶ Ἄβαροι.

35.

Ibidem p. 115 : Ὅτι τῶν Ἀβάρων σπεισαμένων καὶ ἐς τὰ οἰκεῖα ἀπερχομένων, οἱ Σκαμάρεις ἐγχωρίως ὀνομαζόμενοι ἐνεδρεύσαντες ἀφείλοντο ἵππους τε καὶ ἄργυρον καὶ ἑτέραν ἀποσκευήν. Τούτων ἕνεκα πρεσβείαν ἔστειλαν αὖθις ὡς Τιβέριον, τῶν κεκλοφότων πέρι ἐπιμεμφόμενοι, ἔτι καὶ τὰ ἀφαιρεθέντα ἀνακομίσασθαι βουλόμενοι. Καὶ δὴ ἀνερευνηθέντες οἱ τὴν κλοπὴν εἰργασμένοι ἐν φανερῷ τε γενόμενοι, μοῖράν τινα ἀπεκατέστησε τοῖς Ἀβάροις.

35 a.

Exc. De sent. p. 359—361 : Ὅτι τῇ κακηγορίᾳ

---

legatione, ut bellum Persis secum inferret, quo communibus hostibus exitio essent, sollicitabant. Etenim ex una parte Romanis, ex altera Turcis ingruentibus, Persas, qui in medio constituti essent, facile opprimi posse. Harum rerum fiducia elatus Justinus, facile fore existimabat, ut Persarum potentiam everteret et ad interitum adduceret. Itaque quantum in illo erat, omnia curabat, quo sibi Turcorum amicitiam fidam et tutam conservaret.

33.

Avares legationem de iisdem rebus, de quibus sæpius antea, ad Romanos miserunt, cui legationi quum Romani minime aures præberent (nondum enim Justino placuerat), tandem Apsicho legationem obeunte, Tiberius et Apsich in ea sententia constiterunt, ut Avaribus Romani terram, in qua habitarent, darent, si obsides filios eorum, qui apud ipsos imperia gerebant, acciperent. Quæ Tiberius imperatori significavit. Quod tamen minime rationibus Romanorum conducere imperator censuit, neque aliter se pacem facturum dixit, nisi aliquos ex liberis ipsius ducis Avarum obsides acciperet. Tiberio vero non ista probabantur. Sic enim judicabat, si aliquos liberos eorum, qui apud Scythas imperitabant, obsides haberet, fore ut, si Chaganus a pace recedere vellet, patres eorum, qui apud Romanos obsides essent, id non permitterent. Tiberii igitur hæc erat sententia. Sed imperatori pacem omnino minime faciendam videbatur. Quinimo ipsis exercituum ducibus succensuit, quod bellum gerere cunctarentur, literis quoque eos admonuit, oportere ut barbaris ostenderent, Romanorum mores non in mollitiem et inertiam degenerasse, sed se laborum patientes et belli cupidos esse. Ubi vero discordia prævaluit et bellum jam instabat, Tiberius literis Bonum admonuit, ut diligentem fluvii custodiam faceret.

34.

Tiberio victo, et victoria politis Avaribus, conventum est legationem per inducias ad imperatorem mitti. Ad quam Tiberius Damianum, ordinis ductorem, misit, qui illum eorum, quæ contigerant et quæ Avares vellent, certiorem faceret. Tandem fœdus inter Romanos et Avares est factum.

35.

Fœdere inito, quum Avares ad sua redirent, Scamares patrio nomine dicti, ex insidiis illis vim fecerunt, et equos, argentum et reliquam supellectilem eripuerunt. Quapropter legationem ad Tiberium miserunt, quæ de rebus ablatis quereretur et rapta repeteret. Et deprehensis qui latrocinium fecerant, et in apertum adductis, partem aliquam Avaribus restituit.

35 a.

Maledicentia, quæ aliorum miseriis gaudere solet, impigre grassatur et perscrutatur. Sic etiam in hunc officium

ἔνεστιν ὡς τὰ πολλὰ ἐπιχαιρεκάκῳ οὔσῃ ἀόκνως περινοστεῖν τε καὶ ὑπευρύνεσθαι (ὑπερευνᾶσθαι?). Τὸ ἑαυτῆς οὖν ἐπιτελοῦσα ἐφόιτου [ἐφοίτα c. B.] ψιθυρίζουσα κατὰ τούτου. Ἐπεὶ δὲ ἐνεφώλευε τοῖς ὠσὶ, τὸ ἀστάθμητόν τε καὶ ἀλλόκοτον τούτου ἐκτραγῳδοῦσα, οἱ . . . . ὑπήκοον [οἱ κατὰ τὴν Περσῶν Ἀρμενίαν καὶ Ἰβηρίαν ὑπήκοοι conj. Nieb.] ἤχθοντο, καὶ περιέφερον ἐν στόματι τὸν ἡγεμόνα ἅτε ἀνοσιουργόν.

Ὅτι ὁ ἱστορικός φησι Μένανδρος περὶ Ἰσαοζίτου τοῦ ἐν Περσίδι σταυρωθέντος, τραγῳδίαν θέμενος καὶ τὸν ἄνδρα ἐσότι ἀγασθείς· « Ἐν νῷ ἐβαλόμην, ὡς καὶ ἄξιον τῷ τοῦ θεοῦ θεραπευτῇ τῷ βαρβάρῳ ἐν ἑξαμέτρῳ ἐπίγραμμα λέξαι. Καὶ δὴ λέλεκταί μοι ἐπίγραμμα ὧδε (*)·

Ἦν πάρος ἐν Πέρσῃσιν ἐγὼ μάγος Ἰσαοζίτης
 εἰς ὀλοὴν ἀπάτην ἐλπίδας ἐκκρεμάσας.
Εὖτε δὲ πυρσὸς ἔδαπτεν ἐμὴν πόλιν, ἦλθον ἀρήξαι,
 ἦλθε δὲ καὶ Χριστοῦ πανσθενέος θεράπων.
Κείνῳ δ' ἐσβέσθη δύναμις φλογὸς, ἀλλὰ καὶ ἔμπης
 νικηθεὶς νίκην ἤνυσα θειοτέρην. »

Ὅτι ὁ αὐτὸς Ἰσαοζίτης, παραινούντων αὐτὸν ἐσταυρωμένον ὄντα ἐς τὰ πάτρια μεταθεῖναι νόμιμα καὶ σώζεσθαι, ἔφη μεταμελεῖσθαι οὐχ ὅτι ἐς τοῦτο ἔγνω σωτηρίας ἐλθεῖν, ἀλλ' ὅτι ἔγνω ὀψέ. Ταῦτα ἔλεγε γλιχόμενος κατὰ τὸ ἀπαραίτητόν τε καὶ καρτερὸν τῶν οὐρανίων ἐκ . . διὰ παλαιῶν στεφάνων τὰ ἀκήρατα ἀνακεῖσθαι νικητήρια, καὶ ἠξίου τὸ βραχὺ καὶ ἀνόνητον τοῦ βίου δοκεῖν τίθεσθαι ἐπὶ ρη . . δια . . ες ἀεί.

Ὅτι ἡ εἰς τὰ μέγιστα τῶν ἐγχειρημάτων ὁρμὴ πλέον πέφυκε τὸ ἀναχαιτίζον τοῦ παρορμῶντος ἔχειν, ἄλλως τε καὶ ἢν αὖθις * ὦσιν οἱ ἐς προῦπτον κίνδυνον ἐθέλοντες ἀφιέναι.

(*) « Hoc epigramma editum est in Anthologia Gr. tom. I, p. 27, ubi hominis nomen scribitur Ἰσβοζήτης. » Niebuhr.

Ὅτι περὶ Προκοπίου τοῦ ἱστορικοῦ καὶ ἰ
φησὶν ὁ Μένανδρος· « Οὐ γὰρ ἐμοί γε δυνατὸν
ἄλλως πέφυκε θυμῆρες, τοσαύτῃ λόγων ἀ
ἐμαυτοῦ θρυαλλίδα ἀντανασχεῖν. Ἀρκέσει ὃ
μικροῖς πάγκαλον δεῖσθαι (« Ita legebam.
τοῖς ἐμαυτοῦ, καὶ τῷ Ἀσκραίῳ [ἕπεσθαι] κα
θιόν τινα καὶ παράφρονα εἶναι φάσκοντι τὸ
κρείττονας ἁμιλλώμενον. » Sic.

Ὅτι μετὰ τὴν τῶν Ἀβάρων η [ἧτταν conj
. . . . τὴν . . . . ὁ τῶν Ἀβάρων . .

. . μον ἐπενεγκεῖν ἐτόλμησε . . . γράμματ
διφ[θέρας Nieb.]

εἰσίν· ὅθεν ἀναλεγόμενοι γνω . . . .
χωτάτῳ ἐς τὰ φῦλα . . Τιβέριον δὲ φάναι ἀ
. . . . . εἶναι ἐπιτήδειον.

Primus locus, si recte Niebuhrius conj
Persarmeniis est, qui, quum a cultu re
Christianæ prohiberentur, Surenam pr
necarunt, et a Persis ad Romanos defece
p. C.). V. Euagrius V, 7; Menander fr.
eodem loco petita fuerint quæ de nece I
Christiani sequuntur. Reliqua quo pe
minus patet. Quæ post hæc in Exc. De s
guntur, eadem habes in Exc. De leg. fragm

36. (571. Justini an. 7.)

Exc. De leg. gent. p. 115—117 : Ὅτι το
του ἔτους ἀνυσθέντος τῶν πεντηκοντουτίδων σ
μετὰ τὴν σφαγὴν Σουρήνα, ἐν τούτῳ ὁ Περσῶ
λεὺς στέλλει Σεβόχθην, ἄνδρα Πέρσην, ἐς πρ
ὡς Ἰουστῖνον τὸν βασιλέα, τῶν ἐν Περσαρμ
ξυνενεχθέντων ἄγνοιαν δῆθεν ὑποκρινόμενος, ἀ
τὸ συντεταγμένον Ῥωμαίους κατατιθέναι χρυσ
λόμενος, εἶτα δὴ τῆς δεκαετίας περαιωθείσης,
χρήματα ὑφ' ἓν ἐκομίσατο, εἶτα ἐμπεδώτατα ξυν

---

suum exsequens circumibat insusurrans criminationes. Postquam vero aures hominum insedit, inconstantiam et iniquitatem ejus supra modum incusans, (*qui Persarmeniam et Iberiam incolebant*,) oderant ac veluti scelestum differebant sermonibus ducem *Surenam*.

Ait historicus Menander de Isaozita apud Persas in crucem acto, tragœdiæ in modum hominis fatum lugens et admirans : « Eidem destinaveram epigramma, prout famulo Dei, quamquam barbaro, dignum erat, inscribere. Est autem epigramma hoc :

Eram olim inter Persas magus ego Isaozita,
 Qui perniciosa in fraude spem collocaveram.
Quumque urbem meam ignis corripuit, veni auxiliaturus ;
 Venitque simul Christi invicti famulus.
Ille sane vim igneam exstinxit ; sed tamen ego
 Victus victoriam retuli diviniorem. »

Idem Isaozita, quum quidam hortarentur eum cruci jam affixum, ut ad patria sacra revertens fatum supremum declinaret, pœnitere se ait, non quod salutis adoptandæ consilium cepisset, sed quod sero cepisset. Hæc aiebat cupiens per suam firmitatem atque constantiam cœlestes

coronas adipisci. . . et brevem hanc et inutilem vita
æstimare videri volebat.

Magna ausa animum potius reprimere quam
solent ; idque præcipue si * sint, qui ad apertum di
hominem impellunt.

De Procopio historico et juridico ait Menander :
mihi possibile est, neque alioquin animo destina
contra tantum eloquentiæ splendorem exiguam me
delam attollam. Satis erit mihi tenuitas mea ; Asc
poeta audiens ero, qui cum potioribus certantem
insimulat atque dementiæ. »

36.

Exacto decimo quinquaginta annorum induciarun
post Surenæ (*Persarmeniæ præfecti*) cædem, Pe
rex Sebochthen, virum Persam, legatum ad Ju
imperatorem mittit. Ille quidem ignorationem eoru
in Persarmenia gesta erant, fingebat, sed quum dece
præterissent, quorum tributa in unam collata,
soluta, deinceps Romanos aurum, de quo conve
solvere, ut fœderibus scriptum erat, et pacem c

τὴν εἰρήνην, καθά που ἐνεγέγραπτο ἐν ταῖς ξυνθήκαις. Σφόδρα γὰρ ἐν ἀρχαῖς ἐτάραξε Χοσρόην αἰσθόμενον, ὡς βασιλεὺς Ῥωμαίων πρὸς πόλεμον ὥρμα τὰ εἰρηναῖα παρωσάμενος. Ἐδεδοίκει τε, μή πως ἐκ μεγάλης παρασκευῆς ἐπιθοῖτό τε αὐτῷ. Καὶ ἄλλως οὐχ ἥκιστα φροντίδα ἐτίθετο, εἰς ἔσχατον γῆρας ἐληλακὼς καὶ ἤδη ἐκλελυμένος ταῖς ὁρμαῖς τοῦ πολέμου, ὥστε ἐρρῶσθαι τὰ εἰρηναῖα, καὶ ὥσπερ ἀμέλει πατρῷον κτῆμα τοῖς γε αὐτοῦ παισὶ ἀσάλευτά τε καὶ ἄτρωτα καταλιπεῖν. Σεβόχθην μὲν οὖν Ἰουστῖνος φοιτήσαντα ἐς τὸν βασιλέα οὔ τι μάλα προσίετο, ἐπεὶ καὶ ἄλλως, ἡνίκα εἰσῆλθε κατὰ δὴ τὸ εἰωθὸς τὸν αὐτοκράτορα προσκυνήσων, χαμαὶ ῥίψαντος ἑαυτὸν, οὕτω ξυμβὰν, ὁ πῖλος δς ἐπὶ τῇ κεφαλῇ κατὰ τὸ νενομισμένον Πέρσαις ἐπέκειτο, ἐς τοὔδαφος ἔπεσε. Τούτῳ αἰσίῳ τινὶ συμβόλῳ χρησάμενοι οἱ ἐν τέλει καὶ ὁ δῆμος ταῖς κολακείαις τὸν βασιλέα ἐπτέρωσαν, ὡς ὅσον οὔπω ὑποπεσεῖται αὐτῷ ἡ Περσίς. Τῷ τοι ἄρα Ἰουστῖνος ἐπηρμένος ἦν ταῖς ἐλπίσι καὶ μετεωρίζετο τῇ διανοίᾳ, τὰ κατὰ νοῦν ῥᾷστα ἐκβήσεσθαι οἰόμενος. Σεβόχθην δὴ οὖν ἀγγείλαντα ἐφ' οἷς παρεγένετο, ὁ βασιλεὺς περιεφρόνησέ γε αὐτὸν, καὶ ἐν οὐδενὶ λόγῳ ἐποιεῖτο τὸν ἄνδρα. Ἔφη τοιγαροῦν ὡς αὐτὸν, ὡς ἡ φιλότης χρήμασι βεβαιουμένη οὐκ ἀγαθή· αἰσχρὰ γὰρ καὶ ἀνδραποδώδης ὠνητή τε ἡ τοιάδε. Φιλίαν δὲ τὴν ἰσόρροπόν τε καὶ οὐχὶ κερδαλέαν ὁρίζεσθαι, ἐν ᾗ καὶ τὸ βέβαιον πέπηγε φύσει τινί. Πρὸς τοῖσδε ἀνεπυνθάνετό γε πρὸς αὐτοῦ, μή τι καὶ περὶ τῆς κατὰ σφᾶς Ἀρμενίας βούλοιτο διαλέγεσθαι. Σεβόχθης δὴ οὖν ἀπεκρίνατο, ἀκηκοέναι μὲν τὸν αὐτοῦ βασιλέα, ὡς ἀνὰ τὰ ἐκείνῃ βραχεῖά τις ἐγένετο ταραχὴ, στεῖλαι δὲ ὅμως τινὰ τὸν δυνάμενον ἐν κόσμῳ θέσθαι τὰ γεγενημένα καὶ τὸν θόρυβον καταπαύσοντα. Ἰουστῖνος δὲ Περσαρμενίους προφανέστατα ἔφη εἰσδέξασθαι Περσῶν ἀποχωρήσαντας, καὶ οὐ περιόψεσθαι σφᾶς ἀδικουμένους, οἷα δὴ ὁμογνώμονας τὰ εἰς θεόν. Σεβόχθης δὴ οὖν ἐν Πέρσαις ἀγχίνους [τε] ἅμα καὶ νομίζων τὰ περὶ τὸ θεῖον οὐκ ἄλλως ἢ καθὰ νομίζουσι Χριστιανοὶ, ἐπιμελέστατά πως ἐδεῖτο τοῦ βασιλέως Ἰουστίνου μὴ κινῆσαί τι τῶν ἐν κόσμῳ, ἐν νῷ τε βαλέσθαι τὸν πόλεμον, οὕτως ἄδηλον πρᾶγμα καὶ οὔτε ἐπὶ ῥητοῖς εἰωθότα χωρεῖν. Καὶ ὅτι δὴ, εἴγε οὕτω τύχοι, καὶ κρατούντων Ῥωμαίων, ἐς τοὐναντίον αὐτοῖς περισταίη τὰ τῆς νίκης. Ἐσιόντες γὰρ ἐς τὴν Περσῶν καὶ ἐπὶ μικρότατον (μακρότατον conj. Nieb.) ὁδοιπορίας ἐλαύνοντες εὑρήσουσιν ἅπαντάς γε δή που περὶ τὸ θεῖον οὐκ ἄλλως, ἧπερ αὐτὸν, ἐσπουδακότας· ὡς, εἴγε ἕλοιντο τοὺς τοιούσδε ἀποκτιννύναι, οὐδὲν ἧττον αὐτοὶ πάλιν ἡττηθήσονται. Οὐ δῆτα οὖν χρεὼν κατὰ Χριστιανῶν τοὺς ὁμοδόξους θήγειν τὰ ξίφη. Ἀλλὰ γὰρ τοῖς οὕτω λίαν ὁμαλοῖς τε καὶ ἐπιεικέσι λόγοις Ἰουστῖνος οὐκ ᾤετο χρῆναι ἔσεσθαι πειθήνιος. Ἔφη δὲ, ὡς, εἴγε παραθείη δάκτυλον ἕνα, κινηθήσεται, καὶ ὡς ἐς τὴν Περσῶν ἐλάσοι· θαρρεῖν τε, ὡς, εἰ πρὸς πόλεμον ὁρμήσοι, καθελεῖ τε Χοσρόην καὶ αὐτὸς βασιλέα χειροτονήσοι Πέρσαις. Οὕτω τοίνυν ὑπερόρια εἰπὼν ἀπέπεμψε Σεβόχθην.

« Post hunc locum sequuntur in vulg. duo ex Simocatta petita, et lemma ἐκ τῆς β' βίβλου, quod ad eundem pertinet. » NIEBUHR.

---

petebat. Nam quum initio Chosroes suspicaretur, Romanorum imperatorem a conditionibus pacis recedentem ad bellum ferri, valde perturbatus fuerat. Verebatur enim, ne ex improviso imperator cum magno apparatu se bello aggrederetur. Et omnino illi maxime curæ erat, quum jam ad extremam senectutem pervenisset, et bellorum consilia omisisset, pacem inviolatam servare, et nullis bellis interturbatam et impeditam regni paterni possessionem liberis suis relinquere. Imperator autem Sebochthen ad se venientem non magni faciebat, præsertim quum accidisset, simulatque ingressus est ad imperatorem, ut moris erat, venerans, et ad pedes ejus humi procubuit, ut pileus, quem in capite, ut Persarum leges ferunt, gestabat, in terram caderet. Hoc omine principes viri et cetera turba, tanquam divinitus immisso, usi et fœda adulatione imperatorem extollere, et dicere, fore ut Persis brevi ei submitteretur. Hac cogitatione mente elatus Justinus in spem adducebatur, omnia, quæ animo volvebat, ad optatum exitum perventura. Itaque quum Sebochthes ea, quorum causa venerat, renuntiaret, imperator eum contempsit et nullo numero habuit, dixitque amicitiam pecuniis contractam haud probari. Turpem enim et servilem esse, quippe quæ pretio empta esset. Amicitiam autem, cujus ratio constans et natura bene fundata esset, æqualem, non quæstu comparatam definiri. Deinde ex ipso quæsivit, numquid vellet de his, quæ in Armenia, quæ eorum juris erat, contigerant, disserere. Et ille quidem regem suum accepisse respondit, exortum quendam in illa provincia tumultum, levem et exiguum; ad eum sedandum misisse qui comprimeret et res pristino statui restitueret. Justinus vero palam dixit, se Persarmenios, qui a Persis defecissent, in fidem tutelamque suam recepisse, neque si quis eos injuria afficeret, neglecturum, quippe qui eadem, quæ ipse, de religione sentirent. Sebochthes autem, qui apud Persas prudentia excellebat, quum eandem, quam Christiani, de religione opinionem haberet, etiam atque etiam vehementer Justinum orabat, ne ea, quæ se bene haberent, moveret, et ut animum induceret, bellum esse rem valde incertam neque certis legibus fluere. Quodsi forte fortuna contingeret, ut Romani victoria potirentur, ipsam victoriam fortasse in contrarium casuram. Etenim qui Persarum regionem vel longissimo itinere cognoverint, eos compertum habere, omnes non alio ritu religionem, quam ipse colat, colere et amplecti. Hos si occidere susceperint, nihilominus postea ipsis inferiores fore. Proinde injuste eos contra homines eadem cum Christianis religione utentes enses esse stricturos. His tam æquis et lenibus sermonibus Justinus minime sibi acquiescendum existimavit, sed dixit, etiamsi unum digitum apponeret, se expeditionem suscepturum et Persidem invasurum. Confidere se, si in bellum eruperit, Chosroem de medio sublaturum, et regem Persis daturum. Ad hunc modum insolenter locutus, Sebochthen missum fecit.

36 a.

Suidas : Οὐ μέλον αὐτῷ· οὐ φροντιστέον. Μένανδρος· « Ταύτῃ τοι καὶ τῆς Νισίβιος πολιορκίας οὐ μέλον αὐτῷ. » De Nisibi a Marciano, qui an. 572 dux Orientis constitutus est, obsessa, v. Theophan. Byz. ap. Phot. et Eugr. V, 8.

37. (575. Justini an. 11.)

Exc. De leg. gent. p. 118. 119 : Ὅτι ἐπεὶ Ἰουστῖνος τὰς φρένας παρεκόπη καὶ Τιβέριον ἀνεδείξατο διοικεῖν τῆς πολιτείας τὰ πράγματα, ἐν ἀπόρῳ ἦσαν αὐτός τε Τιβέριος καὶ ἡ βασιλὶς Σοφία ὅπως διάθοιντο τὰ τῶν πολέμων. Ἀλλὰ γὰρ ἔλυσε τὸ ἄπορον σφῶν βασιλεὺς ὁ Περσῶν ὡς τὸν Ῥωμαίων αὐτοκράτορα στείλας Ἰάκωβον, ὃς τὰ Περσικὰ ῥήματα τῇ Ἑλληνίδι φωνῇ διασαφηνίζειν ἠπίστατο. Συννοήσας γὰρ ὡς εἰς ἔσχατον νῦν ἐλπίδος οἱ Ῥωμαῖοι κατολισθήσαντες ἥδιστον μὲν ἂν ἔχοιεν ἐπὶ ταῖς οἱαισοῦν ξυνθήκαις διαλῦσαι τὸν πόλεμον, οὐ μὴν θαρρήσειαν πρεσβείαν τινὰ στεῖλαι διὰ τὸ οὐκ εὐπρόσωπον εἶναι τὸν ἀρξάμενον πολέμου ἀπάρξασθαι καὶ ἱκετείας· προτερήσας οὖν ὁ Περσῶν βασιλεὺς τὴν αἰσχύνην προανεῖλε, καὶ τῷ κατεπτηχότι τῆς γνώμης αὐτῶν ἐπενόησε πρόφασιν, ὡς ἂν ἔλθοιεν ἐς λόγους αἰτησόμενοι μεθ' ἱκετηρίας εἰρήνην. Στέλλει τοίνυν Ἰάκωβον, ἄμεινόν πως βουλευσάμενος, ὡς οὐ πώποτε ἂν εὐκλεέστερον Πέρσαι τὸν πρὸς Ῥωμαίους κατάθοιντο πόλεμον· τοσαῦτα γὰρ ἐνδώσειν Ῥωμαίους, ὅσα ἂν ἐθελήσωσι Πέρσαι αὐτοί. Ἡ δὲ σταλεῖσα πρὸς αὐτοῦ ὡς Ἰουστῖνον ἐπιστολὴ οὔτε τῆς ἡλικίας ἦν τοῦ Περσῶν βασιλέως, μειρακιώδης οὖσα παντοίως, οὔτε δὲ ἄλλου τινὸς οἶμαι ἐμφρο-
νεστάτου. Ἕτερον γὰρ τὸν ὁντινοῦν ἀπαυθ
οὐκ ἀπὸ τρόπου ἦν· ἐκεῖνον μέντοι οὐ βρε
ἴσως ἐχρῆν, οὐδὲ ὑψαγόραν τινὰ εἶναι καὶ ἀπει
Ἡ γὰρ ἐπιστολὴ ὕβρεώς τε μεστὴ καὶ ὀνειδι
μεμεθυσμένων ῥημάτων ὑπῆρχε. Καὶ ἡ μὲν
ὑπερηφανίας τε ἦν καὶ ἀλαζονείας πλήρης· ε
δ' οὖν Ἰάκωβος, οὐ μὴν ὡς Ἰουστῖνον, ἅτε
τυγχάνοντα, ἀλλὰ γὰρ ὡς τὴν βασιλίδα, ἐπ
ξὺν Τιβερίῳ ἅπαντα ἔπραττεν. Ἀναλεξαμέν
τὰ γράμματα ἐπηγγείλατο καὶ αὐτὴ στελ
πρεσβευσόμενον ὡς βασιλέα Περσῶν καὶ ἀ
ὁπωσοῦν κεκινημένων διαλεχθησόμενον. Σ
δ' οὖν Ζαχαρίας, ἐν τοῖς βασιλείοις κατατα
ἰατροῖς, ἐπιφερόμενος γράμμα ἐκ τῆς βασιλίδ

(38. an. 575.)

ΕΚ ΤΟΥ Ϛ' ΛΟΓΟΥ.

Exc. De leg. Rom. p. 157 : Ὅτι ἡ βασ
φία Ἰουστίνου [Ζαχαρίαν] πρέσβυν στέλλει
Περσῶν βασιλέα Χοσρόην, ἐν τοῖς βασιλείοις
κατατεταγμένον. Καὶ οὗτος μὲν αὐτοῦ ἀφι
τεσσαρακονταπέντε χιλιάδας χρυσοῦ νομίσμα
ρασχὼν, τίθεται τὰς ξυνθήκας ἀνὰ τὴν ἕω ἐνια
ὡς ἂν ἔσοιτο ἐκεχειρία. Ἐν τοσούτῳ γὰρ ἔφασ
λήσεσθαι πρὸς τῆς βασιλίδος μέγιστον πρεσβευ
τελεώτερά πως περὶ ἁπάντων διαλεχθησόμε
μὴν καὶ τὸν πόλεμον διαλύσοντα, τυχὸν ἐν μ
τοῦ Ῥωμαίων βασιλέως μεταβαλόντος ἐς τὸ ἐρρ
Οὕτω μὲν τὰς ἐπ' ἐνιαυτὸν ποιησάμενος σπονδ
τῆς κατὰ τὴν ἕω Ῥωμαίων ἐπικρατείας, οὐ
περὶ τῆς ἐν Ἀρμενίᾳ, καταθέμενος δήπουθεν αἱ

---

36 a.

Hac de causa quum Nisibis urbis obsidio ipsi curæ non esset.

37.

Quum Justinus mentis imbecillitate laboraret et Tiberium reipublicæ administrandæ præfecisset, Tiberius et regina incerti erant, quid de rebus bellicis statuerent; sed dubitationem exemit Persarum rex, qui Jacobum legatum ad Romanorum imperatorem misit. Is Persica verba Græce exprimere noverat. Nam Persarum rex, Romanorum res in ultimum discrimen adductas esse ratus, et nihil jucundius et opportunius illis contingere posse, quam quibusvis conditionibus bellum pace finire, cujus rei gratia tamen eos puderet legationem mittere, quod indecorum existimarent, eum qui bellum suscepisset, initium supplicandi facere, hunc pudorem præveniendo sustulit. Et quoniam consternati animo erant, rationem et occasionem excogitavit, ut per speciem colloquii pacem supplices orarent. Itaque mittit Jacobum, Persas nunquam gloriosius bellum contra Romanos deponere posse existimans, quia Romani omnia, quæ Persæ voluerint, essent concessuri. Atque hæc missa per Jacobum ad Justinum epistola neque ætati regis Persarum accommodata erat (nam puerilem in modum con-
scripta erat), neque alterius opinor viri prudenti
fuit. Alium enim quempiam insolentem esse, non
fuisset, sed illum minime superbire aut audacius lo
bat. Epistola illa contumeliæ et probri et verborum
tium plena fuit. Itaque etiamsi epistola arrogantiæ
temptus plena esset, tamen introductus est Jacol
quidem ad Justinum, qui gravi morbo afflictus era
reginam, quæ omnia imperii negotia cum Tiberio
Lecta epistola, regina respondit, se quoque missu
gatum ad regem Persarum, qui de omnibus, de quil
ipsos controversia mota erat, ageret. Itaque mittitu
rias, inter imperatoris medicos adscriptus, qui tali
reginæ.

38.

E LIBRO SEXTO.

Imperatrix Sophia (*Zachariam*) Justini legatu
ad Chosroen, Persarum regem, ex medicis impera
ubi ad Persas accessit, quadraginta quinque milli
rum dedit et inducias annuas per Orientem fecit, i
ut dicebat, dum ab imperatrice maximus legatus
tur, qui de omnibus rebus accuratius ageret et bell
imponeret, si forte etiam interea accideret, ut
convalesceret. Itaque in Oriente, qua Romanis pare

μόνου ἕνεκα με' χιλιάδας χρυσῶν νομισμάτων, ἐπανῆκεν. Ἐμπεδωθέντων δὲ ἄρα τῶν τοιούτων, Εὐσέβιος ὁ στρατηγὸς ἐς Βυζάντιον μεταστέλλεται.

39. (576. Justini an. 12.)

Ibidem p. 157 : Ὅτι δὴ στέλλεται κατὰ τὴν Περσῶν χώραν πρεσβευτὴς Τραϊανὸς, ἐν τοῖς βασιλείοις πατράσι τελῶν καὶ τὴν λεγομένην τοῦ Κοιαίστορος διέπων ἀρχὴν, ἣν οἶμαι ἐκ τοῦ ἀναζητεῖν ὧδε λελέχθαι Ῥωμαίοις. Ξυνεκπεστάλη δὲ καὶ Ζαχαρίας, οὗ ἔναγχος ἐμνήσθην, ἐφ' ᾧ, εἰ μὲν οἷοίτ' ἔσονται, ἅμα ἐμπεδῶσι κατὰ τήν τε ἑῴαν καὶ τὴν Ἀρμενίαν ἐντὸς τριῶν ἐνιαυτῶν ἐκεχειρίαν. Ἐν τοσούτῳ ξυνέλθοιεν ἐξ ἑκατέρας πολιτείας ἐν τοῖς ὁρίοις, οἱ διαλύσουσι τὰ ἀμφίβολα, βουλεύσαιντό τε καὶ τρόπῳ τῷ καταθήσουσι τὰ ὅπλα ἐς τέλεον· εἰ δέ γε μὴ οὕτω προχωροίη, τοῖς γοῦν πρὸς ἥλιον οἰκοῦσιν τὴν τοιάνδε ἐκεχειρίαν παντὶ τρόπῳ ποιήσασθαι. Παραγενόμενοι τοίνυν οἱ πρέσβεις πρὸς βασιλέα Περσῶν, ἐς ἐκκλησίαν τε καταστάντες, ἐλεξάτην τοιάδε. (Ζήτει ἐν τῷ Περὶ δημηγοριῶν.) — Πολλῶν δὲ κεκινημένων λόγων, καὶ τῶν μὲν Περσῶν μακροτέραν ποιεῖσθαι τὴν εἰρήνην ἱεμένων, ἄχρι δὲ πέντε ἐνιαυτῶν βεβαιοῦν τὴν ἐκεχειρίαν, τῶν δὲ Ῥωμαίων τριετηρίδας εἶναι βουλομένων τὰς σπονδὰς, τέλος οὐκ ἴσχυσαν οἱ πρέσβεις, καθὰ ἐπετέτραπτο, σφᾶς ποιήσασθαι τὰς συνθήκας· ἐπὶ [δὲ] πέντε ἐνιαυτοὺς εἶναι ἐρρωμένας συνήρεσεν ἀμφοτέρᾳ πολιτείᾳ, κατὰ δὴ τὴν ἕω μόνον, τριάκοντά τε χιλιάδας νομισμάτων χρυσῶν κατατιθέναι Ῥωμαίους ἔτει ἑκάστῳ. Ξυνήρεσε δὲ τὰ τοιάδε, εἰ βασιλεὺς ὁ Ῥωμαίων ἐπιψηφίσοιτο.

40.

Ibid. p. 157. 158 : Ὅτι ἐπειδὴ Τιβερίῳ ἤδη τὰ τῆς πολιτείας περιεκέχυτο πράγματα, Τραϊανός τε καὶ Ζαχαρίας τῷ πρέσβει ὡς αὐτὸν ἐγεγράφεσαν μὴ βούλεσθαι Πέρσας ἄχρι τριῶν ἐτῶν ποιήσασθαι τὰς ξυνθήκας, πενταετηρίδας δὲ εἶναι μᾶλλον. Καὶ οὐκ ἐπινεύσας (οὐ γὰρ αὐτὸν ἤρεσκε μακροτέραν ποιεῖσθαι τὴν ἐκεχειρίαν) ἐσήμαινεν ὡς αὐτοὺς μάλιστα μὲν ἄχρι δύο ἐνιαυτῶν τὰς τοιάσδε βεβαιῶσαι σπονδάς· εἰ δέ γε ἀδύνατα ἔχοιεν, περαιτέρω μὴ ἀνέξεσθαι ἢ τριετίας. Σταλείσης δὴ οὖν (ὡς) τοῖς πρέσβεσι τῆς τοιᾶσδε ἐπιστολῆς, καὶ δὴ ἀναλεξαμένων ὅ τι ἐδήλου τὸ γράμμα, Μεβώδου ἐπὶ τούτῳ ἀφικομένου ἐν τοῖς ἀμφὶ τὸ Δάρας ὁρίοις, αἰσθανομένου τε ὡς ταῖς ἤδη ὑπὸ Τραϊανοῦ καὶ Ζαχαρίου δοκιμασθείσαις σπονδαῖς οὐ στέργουσι Ῥωμαῖοι, ἐπαφίησι τὸν Ταχόσδρω κατὰ τῆς Ῥωμαίων ἐπικρατείας. Καὶ δς ἀθρόον ἐπιδραμὼν ἐνέπρησε τὰ ὅσα πλησιόχωρα τοῦ Δάρας, ἕως ἐπείσθη Μεβώδης δέξασθαι τὰς τριάκοντα χιλιάδας τῶν χρυσῶν νομισμάτων ἀν' ἔτος τῆς τριετηρίδος ἕνεκα εἰρήνης, ἐφ' ᾧ ἐν τοσούτῳ τοὺς ἄρχοντας ἑκατέρας πολιτείας εἰς ἓν ξυνιόντας βουλεύσασθαι ὅπως δὴ τὰ ὅπλα καθαθέσθαι τελέως. Προνοίᾳ δὲ δή τινι στοχαζόμενος τοῦ συνοίσοντος, τὰ τοιάδε ἐπετέλει ὁ Καῖσαρ· ἠπίστατο γὰρ, ὡς ἄχρι ἐνιαυτῶν τριῶν ἀποχρῶσα αὐτῷ ἔσται ἡ παρασκευὴ Πέρσαις τε ἀξιόμαχος ἀναφανήσεται. Ξυνησθάνοντο δὲ καὶ Πέρσαι τῆς τοιᾶσδε προμηθείας τοῦ Καίσαρος, ὡς οὐδενὸς ἑτέρου ἕνεκα γίνεται αὐτῷ ἀναβολὴ ἢ προορωμένῳ τοῦ μέλλοντος, ὅπως ἐς τὸ δέον αὐτῷ προπαρασκευασθήσοιντο αἱ δυνάμεις. Κατεφρόνουν δὲ

---

cepta tamen Armenia, per annum ut ab armis cessaretur, est statutum. Quum igitur hujus rei tantummodo consequendæ gratia quadraginta quinque aureorum millia numerasset, rediit. Et his transactis Eusebius dux Byzantium arcessitur.

39.

Mittitur deinde in Persarum regionem legatus Trajanus, inter patricios ascriptus, qui quæstoris magistratu fungebatur, quem a quærendo a Romanis sic dictum esse puto. Missus est una quoque Zacharias, cujus antea meminimus, ut, si possent, trium annorum inducias per Orientem et Armeniam facerent, tantisper dum alii ex utroque regno in finibus convenirent, qui controversias dirimerent et consilium haberent, qua ratione in perpetuum arma deponerent : si hoc minime succederet, induciæ saltem tanti temporis pro his, qui ad Orientem incolunt, omni ratione obtinerent. Legati ubi ad regem Persarum accesserunt, in concionem vocati hæc dixerunt. (*Quære in Exc. De concionibus.*) — Multis ultro citroque motis sermonibus Persæ in quinquennium inducias, Romani per triennium tantum valere volebant. Postremo legati Romanorum, sicut ipsis mandatum erat, in eo non perstiterunt, ut trium annorum induciæ fierent ; sed in quinquennium inducias esse placuit utrique civitati tantummodo per Orientem, ob quas quotannis Romani triginta millia aureorum penderent ; quæ pacta tamen non alia conditione, nisi ea imperator suffragio suo comprobasset, rata forent.

40.

Ut Tiberius negotiorum administrationem jam susceperat, Trajanus et Zacharias legati ad eum rescripserunt, Persas nolle ad tres annos, sed ad quinque inducias pacisci. Quæ quum non approbasset (nec enim ei in tam longum tempus inducias facere placebat), mandavit ut in duos annos paciscerentur; sin id non obtinere possent, nihil ad tres annos adjicerent. Missa est igitur hæc ad legatos epistola, et quum ea, quæ continebat, legissent, Mebodes, qui ad responsum accipiendum ad fines Daras venerat, satis intellexit, Romanos inducias, quas Trajanus et Zacharias fecerant, non approbare. Itaque Tachosdronem immisit, qui terras ditionis Romanorum subito invasit, et propinqua loca Daras igne vastavit. Sed fide Mebodi data, illi numeratum iri quotannis per tres annos triginta millia aureorum pro induciis, statutum est, ut interea principes viri utriusque regni in unum convenirent, et aliqua ratione firmam pacem constituerent. Id utile suis rationibus fore Cæsar existimabat, et providentia quadam faciebat : confidebat enim, se intra tres annos idoneas copias coacturum, quibus se satis munitum et instructum ad Persis resistendum ostenderet, ut etiam ex æquo cum eis pugnare posset. Præsenserant et Persæ hanc imperatoris providentiam,

ὅμως τῶν Ῥωμαίων, ἅτε ἀναμαχήσασθαι οὐ δυναμένων, εἰ καὶ πλείων αὐτοῖς ἐνδοθείη χρόνος. Ἐπεὶ οὖν ἀνακωχὴ ἐγεγόνει ἀνὰ τὴν ἕω, μετενήνεκτο δὲ ἅπας ἐπὶ τὴν Ἀρμενίαν ὁ θόρυβος, ἄλλου ἄλλα αὐτῆς διακληρωσαμένων, ἦρος ἀρχομένου συνέστη πόλεμος.

Ex hoc loco quædam excerpsit Suidas, non nominato auctore, v. Δοκιμάσας : « Μαθὼν ὡς ταῖς ἤδη ὑπὸ Ζαχαρίου δοκιμασθείσαις σπονδαῖς οὐ στέργουσι Ῥωμαῖοι, ἐπαφίησι τὸν Ταγχοσδρὼ κατὰ τῆς Ῥωμαίων ἐπικρατείας. »

41.

Ibidem pag. 158—160 : Ὅτι ὁ Τιβέριος ὁ Καῖσαρ στέλλει Θεόδωρον τὸν Βάκχου πρεσβευσόμενον ὡς βασιλέα Περσῶν, τῷ δοκεῖν μὲν ὁμολογήσοντα χάριτας ἀνθ' ὧν τὸν μέγιστον Ῥωμαίων πρεσβευτὴν ἐς τὰ μάλιστα ἐτίμησε Τραϊανὸν, ἡνίκα ἐναγχός γε δήπου τὴν δι' αὐτοῦ ἐδέξατο πρεσβείαν, ἔκπαλαι τὸ τοιόνδε νομισθὲν ὡς ἀμφοτέρας πολιτείας, ὥστε μετὰ τοὺς μεγάλους πρέσβεις στέλλεσθαι ἑτέρους ἥσσονας τῆς τῶν μεγίστων πρέσβεων ἀποδοχῆς τε ἕκατι καὶ φιλοφροσύνης. Ἅμα δὲ ἐνετείλατό οἱ διαλεχθῆναι, ὡς ἑτοιμότατα ἔχοι, κατὰ τὸ ἤδη ἐμπεδωθὲν, ἐν τοῖς ὁρίοις τῆς ἕω στεῖλαι τοὺς Ῥωμαίων ἄρχοντας γνωματεύσοντας ξὺν τοῖς ὑπ' αὐτοῦ ἐκπεμφθησομένοις ἡγεμόσι Περσῶν ἀμφὶ τῆς εἰρήνης καὶ τὰ ἀμφίβολα διευκρινήσοντας. Θεόδωρον μὲν αὐτοῦ ἀφικόμενον, βασιλεὺς ὁ Περσῶν καταλέλοιπεν ἐν τῇ Δάρας τῇ πόλει τούς τε τὸν ἄνδρα ἄξοντας, ἐγκελευσάμενος, ἔνθα ἂν μάθοιεν τὸν βασιλέα εἶναι, ἐπικαταλαβεῖν, ὡς ἂν μὴ τὰ εἰθισμένα ἐπὶ πρεσβευτῇ πράσσων

ἀναβολῇ χρήσοιτό τινι. Ἅμα γὰρ ἠβούλετο
μοις ὁμιλεῖν καὶ δέχεσθαι τὴν πρεσβείαν·
ἐκφοβήσειν ᾤετο ἐς τὰ μάλιστα Ῥωμαίους. Τ
τὴν ὁδοιπορίαν διανύσας διὰ τοῦ λεγομένου
κλίματος καὶ τοῦ Μαρεπτικῶν ἀφίκετο ἐν Ι
νίᾳ, οὐκ οἰομένων τῶν Ῥωμαίων οὕτω γε δήπ
ἥξειν αὐτόν. Εἰωθότων γὰρ τῶν Περσῶν ἐν
προσθεν χρόνοις ἀμφὶ τὸ πέρας τοῦ τὴν ἐ
Αὐγούστου κληρωσαμένου μηνὸς ἀναφαίνεσ
δὴ τῆς Περσῶν Ἀρμενίας καὶ τηνικαῦτα τὸ
συγκροτεῖν, προτερήσας αὐτὸς εἰσήρρησεν αὐτ
ηνέχθη τοιγαροῦν ἅπαξ προκατειλημμένους
στερήσαντας τοὺς Ῥωμαίους δι' ὅλου τοῦ ἔτ
ὁτιοῦν σφᾶς διαπράξασθαι ἐν καιρῷ. Οὔτ
στράτευμα ξυνήθροιστο τὸ Ῥωμαϊκὸν, ἀλ
περὶ Κοῦρσον καὶ Θεόδωρον τοὺς στρατιώτας
γοὺς Β.), ἐπειδὴ αὐτοῖς ἀπήγγελτο, ὡς νεμ
ἀγανακτεῖ ὁ Καῖσαρ, ὅτι δὴ ἐσβαλόντες ἐν
μὴ ἀνέστησαν ἅπαντας Σαβείρους τε καὶ Ἀ
ἀλλ' ὅτι ὁμήροις πεποιθότες ἐξεχώρησαν· κατ
τε ἐξ αὐτῆς τῆς πείρας, τῷ ἀφηνιάσαι αὐ
Ῥωμαίων τὸν Σαβεῖρα, ὡς οὐ κατὰ τὸ δέο
χεσαν, παρώφθη τε ὑπὸ σφῶν τὸ συνοῖσο
ἀμέλει ἐκ μεταμελείας αὖθις ἐλάσαντες ἐν Ἀ
(πρεσβείας) ἦγον τοὺς Σαβείρους τε καὶ Ἀ
πανοικίᾳ σφᾶς μετοικίζοντες ἐς τὰ τῇδε τ
ποταμοῦ, ὡς λοιπὸν ἐν τῇ Ῥωμαϊκῇ διαιτᾶσθ
Ἔτι οὖν Θεόδωρός τε καὶ Κοῦρσος ἐν τούτοι
λημμένοι ἐτύγχανον. Εἶτα ἐγκαλεσαμένου τοῦ
Ἰουστινιανὸν τὸν τῆς ἕω στρατηγὸν μεταφοι

---

quod nulla alia ratione tantopere de hac dilatione impetranda laboraret, quam ut per id temporis spatium idoneas copias præpararet. Contemnebant tamen Persæ Romanos, tanquam qui adversum se in acie stare et pugnando pares esse non possent, etiamsi longius tempus iis indulsissent. Quamobrem postquam belli cessatio ad tempus rata per Orientem fuit, omnis motus in Armeniam est translatus, et quum alius aliud munus in illa regione obiret, ineunte vere bellum est exortum.

41.

Tiberius Theodorum, Bacchi filium, legatum ad regem Persarum mittit, specie quidem gratias agendi causa, quod Trajanum, nobilissimum Romanorum legatum, summo honore affecisset, quum paulo ante legationem ejus accepisset. Jam diu enim in more erat apud utrumque principem, post magnos legatos mittere alios minores, qui gratiam agerent ob priores legatos benigne receptos, et amicitiam testificarentur. Huic autem simul præceperat, ut regi exponeret, se esse paratum (jam enim id convenerat) mittere in fines utriusque ditionis viros nobiles, qui de pace cum his, quos ipse eo ad id mitteret, agerent et controversias dirimerent. Quum Theodorus ad Daras accessisset, Persarum rex ibi reliquerat qui eum eo deducerent, ubi regem commorari comperissent, ne, ulla re, quæ legato præstari solebat, omissa, moram illi faceret. Volebat enim simul bellum gerere et legationem excipere : sic enim se

Romanis terrorem injecturum esse sperabat. Qu
quum iter per regionem, quæ Arestorum et Mar
dicitur, fecisset, in Persarmeniam pervenit, ino
Romanis, qui tam cito eo illum perventurum
credidissent. Solebant enim Persæ antea circa fin
qui Latinis vocatur Augustus, in Persarmenia ap
inde ad bellum accingi : nunc autem Chosroes
accessit. Accidit autem ut Romani semel præve
tardius rebus suis prospexissent, nihil toto illius a
feliciter et opportune gererent. Nec enim exercit
norum collectus erat; sed militibus, qui sub Curs
doro merebant, nuntiatum erat, imperatorem ir
propterea quod in Albaniam irruentes, Sabiros e
non penitus sustulissent et exterminassent, sed
confisi discessissent : quod quam imprudenter
ipsos ex eventu cognitum habere : etenim conf
biri a Romanis defecerant. Itaque rebus tam ma
pœnitentia commoti, rursus in Albaniam impetum
et legationibus Sabiros et Albanos suis sedibus ex
ripas Cyri amnis collocarunt, ut in posterum in
rum ditionis regionibus habitarent. Quibus rebus p
dum Cursus et Theodorus adhuc occupantur, C
stinianum, Orientis ducem, proficisci et in Arm
gerendo præesse jussit. Nihilominus neque Justinia
quia hoc illi serius Cæsar significarat, neque rei b
gerendæ opportunitate usus fuerat. Ad hæc auri d

ἐν Ἀρμενίᾳ γενέσθαι αὐτὸν ἡγησόμενον τοῦ πολέμου, οὐδὲν ἧττον καὶ Ἰουστινιανὸς οὔπω παρῆν, τῷ σημῆναι τοῦτο αὐτῷ τὸν Καίσαρα ὀψὲ καὶ οὐκ ἐν καιρῷ τοῖς πράγμασι χρήσασθαι, πρός γε καὶ τῆς συνήθους διανομῆς τοῦ χρυσίου τοῖς ἑῴοις καταλόγοις γεγενημένης οὐκ ἐπικαίρως, ἀλλὰ δῆτα ἐφυστερησάσης. Ἐπ' ἀδείας οὖν οὕτω πως καὶ ἀκονιτὶ ἐλάσαντος ἐν Περσαρμενίᾳ Χοσρόου, μηδενός οἱ ἀντικαθισταμένου, οἱ μὲν δασμοφόροι τῆς ἥττονος Ἀρμενίας οὔτε ἐχρήσαντο φυγῇ, ἐκλελοιπότες τοὺς ἀγροὺς οἵγε, ἀλλὰ γὰρ καὶ τὰ ὅσα ἐπιτήδεια ξυνεκόμιζον τῷ στρατῷ. Προβαίνοντι δὲ Χοσρόῃ ἀνὰ τὰ πρόσω οἱ ἐν τῷ κλίματι Μακραβανδῶν καὶ Ταραννῶν ἥκιστα ἔμενον, ὡς μηδένα πάμπαν, μήτε ἄνθρωπον μήτε μὴν ὑποζύγιόν τι ὀφθῆναι. Ἅτε γὰρ πολεμίου βασιλέως ἐπελθόντος ἀπέδρασε πᾶν τὸ γεηπονοῦν, καὶ πάντῃ τὰ ἐκείνῃ ἐχήρευεν ἀνθρώπων· ἀλλὰ καὶ γηράσαι βοολόμενον (ἀγοράσαι βουλομένων ?), μηδέν τι τῶν πάντων ζῴων [ἦν] ἐντυχεῖν. Ἐν τούτῳ καὶ Θεόδωρος ὁ Βάκχου ἐφοίτησεν ὡς αὐτὸν, ἐδέξατό τε τὸν ἄνδρα καὶ ξυνόμιλός οἱ ἐγένετο ἡμερώτατά πως, τὸν μὲν Καίσαρα δι' εὐφημίας ἄγων, φάσκων τε ἀσπάζεσθαι τὴν ὡς αὐτὸν εἰρήνην τε καὶ φιλοφροσύνην· μηδὲ γὰρ γεγονέναι τῆς ἔχθρας (λύσεως conj. Nieb.) τῶν σπονδῶν αἴτιον· Ἰουστῖνον [δὲ] τὸν βασιλέα ἐς τοὐναντίον λέγων κακῶς. Εἶτα ἐς τὰ πρόσω ἤλαυνε διὰ τῆς καλουμένης Βαδιανῆς, ἑπομένου οἱ καὶ Θεοδώρου· ἐσβάλλει τε εἰς τὴν Ῥωμαίων Ἀρμενίαν κατὰ Θεοδοσιούπολιν, λήγοντος ἤδη τοῦ ἔαρος· ὥστε κατὰ ταὐτὸν ξυνενεχθῆναι τούς τε ἀγγελιαφόρους ἀφικέσθαι ἐν Βυζαντίῳ τοὺς δηλώσοντας, ὡς ἀπροσδόκητα ἐπέστη τῇ Ῥωμαίων Ἀρμενίᾳ βασιλεὺς ὁ Περσῶν καὶ ὅσον οὔπω προσενεχθήσεται Θεοδοσιουπόλει, καὶ αὐτὸν ἐκεῖσε παρεῖναι. Ἐπεὶ οὖν ἐγένετο αὐτοῦ, ἐστρατοπεδεύσατο ἐς τὸ Ἀραβησσῶν ἐπικεκλημένον χωρίον, ἀμφὶ τὸ μεσημβρινὸν κλίμα τοῦ ἄστεος, τὸ δὲ δὴ Ῥωμαίων στράτευμα, αὐτό γε δήπου τὸ συναθροισθὲν, ὡς πρὸς ἄρκτον περὶ τὸ κλίμα τὸ καλούμενον * συναγόμενον, ἐς ὑπώρειάν τινα ὄρους. Ἀτὰρ ὁ Χοσρόης αὐτοῦ περὶ Θεοδοσιούπολιν, ἐπ' ὄψεσι Θεοδόρου, ἐξέταττε τὰς ἱππικὰς δυνάμεις, ἐς λόχους τε καὶ φάλαγγας διακρίνων τε καὶ μετακοσμῶν. Καὶ αὐτὸς τὸν ἵππον διελαύνων ἐνδεικνύμενος ἦν, οἷα δὴ οὐκ ἐκ προνοίας τινὸς, ὡς ἔτι ἔρρωται αὐτῷ καὶ σφριγᾷ τὸ σῶμα. Διενοεῖτο δέ πως Θεοδοσιούπολιν ἐκπολιορκῆσαι· ἔννοια γάρ οἱ ἐσεφοίτησε μὴ οἷόν τε ἔσεσθαι ἂν ἄλλως τὴν Περσῶν Ἀρμενίαν ἀνακτήσασθαι καὶ Ἰβηρίαν, εἰ μή που ὀχυρωτάτην ἐσότι Ῥωμαίων χειρώσοιτο πόλιν, ἐκεῖσέ τε καθεζούμενος ἀνασώσεται τὴν ἐς τοὐπίσω λοιπὸν ἐγκαταλελειμμένην Περσαρμενίαν τε καὶ Ἰβηρίαν. Τοιγαροῦν ἀναμφιβόλως εἶχε Θεοδοσιούπολιν αἱρήσειν. Ὥστε ὑποφαίνων τε καὶ αἰνιττόμενος, ὡς ἁλώσεταί γε αὐτῷ πάντως ἡ πόλις, ἤρετο Θεόδωρον ὁποία δὴ κατὰ τὸ μᾶλλον ἀνάλωτος εἶναι δοκεῖ πόλις, τὸ Δάρας ἢ δῆτα ἡ Θεοδοσιούπολις; ὡς, εἴγε οὕτως ἀσφαλεστάτην, ἐδήλου δὲ τὸ Δάρας, ἐξεῖλε, πόσῳ μᾶλλον τὴν οὐχ οὕτως ἰσχυρὰν παραστήσοιτο Θεοδοσιούπολιν. Θεόδωρος μὲν οὖν ἀπεκρίνατο ἐμφρονέστατά πως, ἀνάλωτον εἶναι ἐκείνην φήσας τὴν πόλιν τὴν ἐσαεὶ φρουρουμένην ὑπὸ θεοῦ. Ὁ δὲ βασιλεὺς

quod orientalibus exercitibus debebatur, non suo tempore, sed tardius facta fuerat. Itaque Chosroes Persarmeniam liber ab omni metu sine ulla difficultate occupavit, quum nemo inventus esset, qui illi resisteret. Neque minoris Armeniæ incolæ, qui Romanis vectigales erant, fugam ceperunt, neque agros dereliquerunt, sed commeatus exercitui subministrarunt. Sed quum Chosroes ulterius progrederetur, qui in regione Macrabandorum et Tarannorum habitabant, minime manebant, ut nemo mortalium, neque vero etiam ullum animal vecturæ aptum in his locis conspiceretur. Quum enim rex hostiliter irrumperet, omnes agricolæ aufugerunt et omnia late hominibus vacua erant, neque, etiamsi pretio emere vellent, nihil vivi reperire poterant. Interea Theodorus, Bacchi filius, venit ad eum; is hominem benigne excepit, et cum eo familiariter conversatus de *Tiberio* Cæsare bene locutus est, seque cum illo et pacem et amicitiam cupere dixit: nec enim eum inimicitiarum, quæ ex violato fœdere ortæ erant, auctorem esse; Justinum autem imperatorem sermonibus male habebat. Deinde ulterius per Vadianam progressus est, et eum sequebatur Theodorus. Vere jam exacto, Armeniam, quæ Romanis parebat et Theodosiopoli proxima erat, invasit: quo factum est ut eodem tempore nuntii Byzantium pervenirent qui Persarum regem Armeniam, qua Romani dominabantur, ex improviso adortum, Theodosiopolin usque penetrasse nuntiarent; et ipse in his locis esset. Eo quum advenisset, e regione oppidi ad meridiem sita quæ Arabessorum vocatur, castra posuit: Romanorum vero exercitus, quantum militum cogi potuit, septentrionali parte in regione * vocata, in radice cujusdam montis constitutus est. Ceterum Chosroes in conspectu Theodori equitatum in aciem eduxit, quem in turmas et phalangas divisit, et ipse, equo conscenso, quasi id inopinato et casu, non de industria faceret, quam valido adhuc et vigenti corpore esset, ostentabat. Sperabat autem, Theodosiopolin se aliquo modo expugnare posse: hæc enim cogitatio illius animo occurrebat, se non alia ratione Persarmeniam et Iberiam posse sibi subjicere, quam si unam ex Romanis urbibus eamque munitissimam caperet, in qua belli sedem constituens, quod Persarmeniæ et Iberiæ post tergum esset, tueretur. Nec enim illi dubium erat se Theodosiopolin expugnaturum. Idque indicans et jactans, se illam omni modo capturum, Theodorum interrogavit, quæ illi urbs expugnatu difficilior videretur, Daras, an Theodosiopolis? Quibus verbis significare volebat, quum Daras, oppidum munitissimum, cepisset, quanto magis Theodosiopolin, quæ non æque munita erat, caperet. Theodorus autem valde prudenter respondit: eam demum urbem esse inexpugnabilem, quam deus in suam custodiam tutelamque in perpetuum recepisset. At Persarum rex, priusquam Theodorum a se dimitteret, satis perspexit, urbem iis rebus omnibus, quæ ad resistendum hostibus necessariæ erant, egregie paratam esse. Quum autem multa interea contigissent, Theodorum Persarum rex Byzantium rediturum dimisit. Literis Cæsar

ὁ Περσῶν, πρὶν ἢ Θεόδωρον πρὸς αὐτοῦ ἀφεθῆναι, ὡς ἐγένετο ἀγχοῦ Θεοδοσιουπόλεως, κατενόησε τὴν πόλιν εὖ μάλα καὶ ὡς ἀληθῶς ἐς τὰ πολέμια παρεσκευασμένην. Καὶ τινων μεταξὺ γενομένων ἀφίησι βασιλεὺς ὁ Περσῶν Θεόδωρον ἐς Βυζάντιον ἐλευσόμενον, ἐν γράμμασι μὲν κατάδηλον ποιήσας τῷ Καίσαρι, ὡς ἥδεται καὶ αὐτὸς τῇ εἰρήνῃ, καὶ ὡς, εἰ πρὶν ἐκστρατεύοι ἀφίκετο Θεόδωρος, οὐδὲ ἐξετάξατο ἂν αὐτὸς οὐδέ γε ἐκίνησε τὰς δυνάμεις. Νῦν δὲ ἀκλεὲς αὐτῷ εἶναι δοκεῖ ἐκστρατευσαμένῳ ἤδη διαλῦσαι τὸ στράτευμα· τοὺς γὰρ ἀνθρώπους ἢ τοῦ κερδαλέου γε ἕκατι ἢ δόξης ὀρεγομένους ἅπαντα πράσσειν. Ἐπηγγέλλετο δὲ, ὡς ἀπονοστήσας ἐς τὰ οἰκεῖα ἐκπέμψοι τοὺς ἐπιτηδείους αὐτῷ ἄρχοντας ἐν τοῖς ὁρίοις τῆς ἕω, διαλεχθησομένους τε καὶ διαθήσοντας τὰ περὶ τῆς εἰρήνης ἅμα τοῖς ἐκπεμφθησομένοις Ῥωμαίων ἡγεμόσιν. Ταῦτα μὲν οὖν ἐσήμηνε τῷ Καίσαρι. Ἐκλιπαροῦντος δὲ αὐτὸν Θεοδώρου ὥστε ἐπισχεῖν τὴν εἰσβολὴν, ἔδοξεν ἐπινεύειν, εἴ γε ἄχρι λ' ἡμερῶν ἀγγελία φοιτήσοι ὡς αὐτὸν σταλεῖσα ἐκ τοῦ Καίσαρος τὰ δέοντα βουλευσαμένου. Ἐπειδὴ δὲ Θεόδωρον ἀφῆκεν, ὡς ἔγνω μήτε ἐξ ἐφόδου τὴν Θεοδοσιούπολιν οἷόντε ὂν αὐτῷ ἐξελεῖν, μήτε γε μὴν πολιορκίᾳ τε καὶ μηχανήμασιν ἔσεσθαί οἱ ἐς τὸ λυσιτελὲς ἀποπειραθῆναι τοῦ τείχους (ξυνελεύσεσθαι γὰρ ἐν τοσούτῳ τὰς Ῥωμαϊκὰς δυνάμεις), καὶ δὴ ἀφῆκε τὴν Θεοδοσιούπολιν.

42. (576; Justini an. 12.)

Exc. De leg. p. 119: Ὅτι ἐπὶ Τιβερίου Καίσαρος οἱ τῶν Ῥωμαίων στρατηγοὶ εἰσβολὴν ἐς Ἀλβανίαν ποιησάμενοι, καὶ ὁμήρους λαβόντες Σαβείρων καὶ ἄλλων ἐθνῶν, ἧκον ἐς Βυζάντιον. Ἀφικομένο Βυζαντίῳ τοὺς πρέσβεις τῶν ἐνδεδωκότων Ἀλανῶν τε καὶ Σαβείρων ὁ Καῖσαρ δέχεται ἐ καὶ πάνυ φιλανθρώπως· πυθόμενός τε παρ' ὁπόσα χρήματα αὐτοῖς ἐδίδου ὁ Περσῶν βα δεδωκώς τε ἐξουσίαν σφίσιν ἐς ὅσον ἠβούλοντο τῇ ψευδολογίᾳ τὸ χρῆμα καὶ τῷ κόμπῳ τἀληθὲς λῦψαι, « Διπλάσια τούτων ἔγωγε παρέξω, » ἔφη τε ἐν τέλει ὑμῶν, πρὸς δὲ δὴ καὶ ὑμῖν αὐτοῖς. τούτοις ἥσθησάν τε οἱ βάρβαροι, καὶ ἐδόκουν εἰδέναι τῷ κρείττονι ἀνθ' ὧν ὑπήκοοι Ῥωμαί νοντο. Ἤγγελον δὲ, ὡς ὁ Ἀβεὶρ ἀπέστη οὐκ ἐς μ ὀλίγα τε φροντίσας τῶν ὁμήρων Πέρσαις προ Τοῖς μὲν οὖν πρέσβεσιν αὖθις ἐν συνουσίᾳ γε ὁ Καῖσαρ τὰ ὅσα ἁρμόδια διελέχθη, καὶ ἔφη προσχωροῦντας αὐτῷ ἑκοντὶ μάλα εὐεργετήσει δέ γε οὐ βουλομένους καὶ ἄκοντας ἄξειν ὑπὸ τὴν χεῖρα βίᾳ καὶ δυνάμει.

43. (576.)

ΕΚ ΤΟΥ Η' ΛΟΓΟΥ (*).

Exc. De leg. Rom. p. 164—164: Ὅτι δεύτερον ἔτος τῆς Τιβερίου Καίσαρος ἡγεμονίας, πρότερον ἢ τάδε ξυνενεχθῆναι τὰ περὶ Χοσρόην σβεία ἐστάλη αὖθις ἀπὸ Ῥωμαίων ὡς Τούρκους λεντίνου ἐς τοῦτο χειροτονηθέντος· εἷς δὲ οὗτ βασιλείων ξιφηφόρων. Καὶ οὖν ἐπεὶ αὐτῷ ἐ

(*) « Errorem in numero libri esse apparet, siquic gatio ad Turcas anno secundo Tiberii Cæsaris, su Justino, missa est. » Niebuhr.

significavit, se quoque pace delectari, et si antequam exercitum comparasset, Theodorus advenisset, neque ipsum in aciem descensurum fuisse, neque copias educturum. Nunc quoniam cum exercitu moverit, sibi dedecori fore, si exercitum solvat et missum faciat. Omnia enim mortales facere aut quæstus gratia, aut quo sibi gloriam quærant. Promisit autem, simulatque domum revertisset, se missurum in fines Orientis ex principibus sibi necessitudine conjunctis, qui cum primariis viris ex Romanis, quos Cæsar ejus rei gratia delegaret, de his, quæ ad pacem facerent, inter se disceptarent et statuerent. Hæc igitur ad Cæsarem misit. Quum vero Theodorus eum suppliciter oraret ut ab incursionibus abstineret, id quidem concedendum censuit, si intra quadraginta dies nuntius ad se a Cæsare veniret, qui illum, quid suæ voluntatis esset, certiorem faceret. Dimisso Theodoro, ut cognovit in sua potestate minime situm esse improvisa invasione Theodosiopolin capere, neque si obsidione aut machinis muros tentaret, quicquam profecturum esse (Romanorum enim copias inter id temporis spatium conventuros), ab obsidione Theodosiopolis discessit.

42.

Sub Tiberio Cæsare Romanorum duces, impetu in Albaniam facto, obsidibus a Sabiris et aliis gentibus acceptis, Byzantium venerunt. Eo quum legati Alanorum et Sabirorum venissent, qui se Romanis dederant, Cæsar eos benigne et humaniter excepit. Quum autem ex eorum verbis a quantas pecunias illis Persarum rex largitus fuisse potestate, quantum vellent oratione rem exaggerare rum dicendo obscurare, « Duplo majora præmia vol giar, inquit, non solum viris in dignitate constitut etiam unicuique vestrûm. » Hæc barbaris lætitiam ruat, et visi sunt deo gratiam habere, quod subjec essent Romanis. Retulerunt autem, Abirem (*Sab* paullo ante defecisse et, nulla obsidum habita ration Persis se conjunxisse. Deinde Cæsar cum legatis cong quæ apta videbantur, disseruit et dixit, erga eos, qui in ejus potestatem venirent, se liberalem futurum, s qui se suæ potestati submittere recusarent, vi et suo imperio parere coacturum.

43.

EX LIBRO OCTAVO.

Secundo Tiberii Cæsaris imperii anno, paulo ante ea, quæ de Chosroe narravimus, gererentur, legatio missa est a Romanis ad Turcos. Valentinus (is erat ex imperatoris satellitibus) ad id muneris est delectus, ubi illi demandatum fuit, cum his, qui eum comitab profectus est. Una quoque centum sex Turcos assu

ἡ πρᾶξις, ἄρας ᾤχετο ξὺν τοῖς κατ' αὐτὸν ὀπαδοῖς, ἔτι γε μὴν καὶ Τούρκοις ἑκατὸν πρὸς τοῖς ἕξ. Ἐνεδήμουν γὰρ τηνικαῦτα Τοῦρκοι κατὰ τὸ Βυζάντιον ἤδη ἐκ πολλοῦ ὑπὸ τοῦ σφετέρου ἄλλοτε ἄλλοι ἐκπεμφθέντες ἔθνους. Ἐνίους μὲν γὰρ αὐτῶν Ἀναγκάστης ἐνταῦθα ἐπεκόμισεν, ἐς πρεσβείαν ἐκεῖσε ἀφικόμενος· τινὲς δὲ ἅμα Εὐτυχίῳ τὴν ἄφιξιν ἐποιήσαντο κατὰ τὴν βασιλίδα πόλιν· ἄλλοι δὲ ἐτύγχανον κατὰ τὸ Βυζάντιον διατρίβοντες μετ' αὐτοῦ δῆτα Οὐαλεντίνου πρότερον ἀφιγμένοι (δὶς γὰρ Οὐαλεντῖνος ἐπρεσβεύσατο ὡς Τούρκους), ἄλλοι δὲ σὺν Ἡρωδιανῷ, ὁμοίως δὲ καὶ ἅμα Παύλῳ τῷ Κίλικι, ὡς ἐξ ἁπάντων τούτων ξυναθροισθῆναι Σκύθας ἄνδρας ἐκ τοῦ φύλου τῶν ἐπιλεγομένων Τούρκων ἓξ πρὸς τοῖς ρ'. Οὓς δὴ ἅπαντας ἀναλαβὼν Οὐαλεντῖνος ἀπῆρε τοῦ βασιλείου ἄστεος. Χρησάμενος δὲ ταῖς ταχυπλόοις τῶν ὁλκάδων, διά τε Σινώπης καὶ Χερσῶνος (ἥ ἐστιν ἄντικρυ ἡ Ἰὸν (*), τοῦ ἡλίου ἀνατολῶν πέφυκεν ἱδρυμένη), οὐ μὴν ἀλλὰ καὶ Ἀπατούρας, ἔτι τε καὶ διὰ φύλων. Κατὰ δὴ τῆς ψαμαθῶδες τῆς ...... παρέθει τὰ ὄρη τῆς Ταυρικῆς τὰ νεύοντα ἐπὶ μεσημβρίαν. Ἐκεῖνα δὴ οὖν τὰ ἐκ τῶν λιμναίων ὑδάτων περιθεόμενα πεδία οἵ γε ἀμφὶ Οὐαλεντῖνον ἱππασάμενοι, καὶ ἑτέρους δὲ πλείστους δονακώδεις τε καὶ λοχμώδεις, ἔτι τε καὶ ὑδατώδεις διεληλυθότες χώρους, οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς λεγομένης Ἀκκάγας (ὄνομα δὲ γυναικὸς ἀρχούσης τῶν ἀνὰ τὰ ἐκείνῃ Σκυθῶν, χειροτονηθείσης τηνικαῦτα ἐς τοῦτο ὑπὸ Ἀναγαίου, ὃς ἐκράτει τοῦ φύλου τῶν Οὐτιγούρων), ὡς δὲ ξύμπαν εἰπεῖν, πολλαῖς ἀτραποῖς ὁμιλήσαντες καὶ δυσχωρίαις, παρεγένοντο ἔνθα τὰ πολεμικὰ σύμβολα τοῦ Τουρξάνθου ἐτύγχανεν ὄντα· οὗτος δὲ εἷς τῶν παρὰ Τούρκοις ἡγεμόνων. Ἐν ὀκτὼ γὰρ μοίραις διεδάσαντο τὰ ἐκείνῃ ἅπαντα, οἷς γε τοῦ φύλου τῶν Τούρκων ἔλαχε προεστάναι. Ἀρσίλας δὲ ὄνομα τῷ παλαιτέρῳ μονάρχῳ Τούρκων. Ὁ γοῦν Οὐαλεντῖνος παρὰ τὸν Τούρξανθον ἀφικόμενος, ὃς πρὸ τῶν ἄλλων ἡγεμόνων ὑπαντιάζων ἐτύγχανε τοῖς ἐκεῖσε παραγενομένοις, εἶτα συνησθῆναι φράσας τῷ Καίσαρι Ῥωμαίων. Ἐς τοῦτο γὰρ ἀφῖκτο ἐκεῖσε, προσφθεγξόμενος τοὺς προεστῶτας τοῦ φύλου τῶν Τούρκων, Τιβερίου ἤδη ἐς τὸ τῶν Καισάρων ἀναβεβηκότος κράτος· πρὸς τοῖς καὶ ὡς ἂν ἡ φιλοφροσύνη οὐχ ἧττον ἐν βεβαίῳ ἔσοιτο καὶ αἱ μεταξὺ Ῥωμαίων τε καὶ Τούρκων προελθοῦσαι σπονδαί, ἃς ἔθετο Διλζίβουλός τε καὶ Ἰουστῖνος ὁ βασιλεύς, Ζημάρχου πρώτου ἐκεῖσε φοιτήσαντος, ἡνίκα ἐσήμανεν (*) ὁ Διλζίβουλος, ὡς Ῥωμαίων φίλος οὐχ ἧττον καὶ αὐτῷ ἐπιτήδειος καὶ δυσμενὴς ὁμοίως, καὶ ὅπως τὰ τοιάδε ἄτρωτά τε καὶ ἀπερίσπαστα μένοι. Τῷ τοι ἄρα ἐπειδὴ τηνικαῦτα Ῥωμαῖοι Πέρσας ἐπολέμουν, ἐπὶ τῇ προσρήσει ἔφη Οὐαλεντῖνος, δέον εἶναι ἐν καιρῷ καὶ αὐτὸν ἐπιθέσθαι Πέρσαις. Ταῦτα πρεσβεύοντος αὐτίκα ὁ Τούρξανθος, « Ἆρα οὖν οὐχὶ ὑμεῖς, » ἔφη, « οὗτοι ἐκεῖνοί ἐστε Ῥωμαῖοι, δέκα μὲν γλώσσαις, μιᾷ δὲ χρώμενοι ἀπάτῃ; » Καὶ ἅμα λέγων ἐπέβυσε τοῖς δέκα δακτύλοις τὸ στόμα τὸ ἑαυτοῦ. Εἶτα ἔλεξεν αὖθις· « Ὥσπερ νῦν ἐπὶ τῷ κατ' ἐμὲ στόματι δακτυ-

(*) « Locum fractum et fœdissime depravatum, ita ut ab Hœschelio editus est, relinquere cogor : nihil enim de Apatura et Phylis, locisve, quorum nomina in has formas mutari potuissent, equidem invenio. De Chersone tamen suspicor scriptum fuisse : ἥ ἐστιν ἀντικρὺ Σινώπης [καὶ τῶν τοῦ Ἴστρου στομάτων πρὸς τῶν ἰσημερινῶν] τοῦ ἡλίου κ. τ. λ. » NIEBUHR. Lenius corrigas : ἧς ἐστιν ἀντικρὺ Ἠιὼν, [ἥτις ἐπὶ τῶν] τοῦ ἡλίου ἀν. κτλ. De Eione penins. e regione Chersonesi Tracheæ sita v. Plin. VI, 6. *Apatura* sita est prope Phanagoriam; v. Hecatæus fr. 165; Strabo XI, p. 757; Plinius VI, 6, 6. Deinde scripserim : ἔτι τε καὶ διὰ Σινδῶν.

(*) Ἐσήμηνεν Suidas v. Προσρήσεσι et Σιλζίβουλος (sic), qui ex hoc loco nonnulla affert.

Turci enim Byzantii jamdudum consederant, a sua gente alii alia de causa missi. Nonnullos Anancastes, quum illuc ad legationem profectus esset, secum adduxerat. Alii cum Eutychio ad imperatoriam urbem accesserant; alii circa Byzantium commorabantur, qui cum ipso Valentino prius venerant. Bis enim Valentinus legatus ad Turcos est profectus. Erant et alii, qui cum Herodiano et cum Paulo Cilice illuc devenerant. Ex his omnibus igitur collegit centum sex Turcos, et a regia urbe citis navibus profectus est per Sinopen et Chersonem (cujus e regione orientem versus sita est Eion) et Apaturam et Sindicam. Hinc.... Tauricæ montes, qui ad meridiem vergunt, prætervectus est. Inde Valentinus campos, circa quos stagnantes aquæ decurrebant, equis perequitavit, et alios plures arundinosos, fruticosos et palustres locos superavit. Regionem quoque, quæ dicitur Accagas peragravit (est autem nomen mulieris quæ illius partis Scythis imperabat, suffragio Anagæi, qui Utiguris præerat, regnum adepta), et ut breviter dicam, multa et difficilia itinera emensi, ad ea loca pervenerunt, ubi Turxanthi bellicæ stationes erant. Erat hic unus ex Turcorum ducibus : etenim in octo partes regnum diviserant qui Turcorum principatum tenebant seniori autem Turcorum duci nomen erat Arsilas. Itaque Valentinus ad Turxanthum accessit, qui primus Turcorum ducum obvius factus erat venientibus, eumque gaudere jussit novo Romanorum Cæsare creato : idcirco enim venerat, ut Turcorum duces salutaret, Tiberio ad Cæsarum potentiam evecto; ad hæc, ut non minor inter eos benevolentia esset, et fœdera eadem valerent, quæ inter Dilzibulum (i. q. *Dizabulum*) et Justinum per Zemarchum, qui primus ad eos venerat, pacta conventaque fuerant. Dilzibulus enim Romanorum amicos sibi quoque amicos fore, et hostes itidem, idque immutatum et firmum esse pronuntiaverat. Quare quum Romani eo ipso tempore bellum cum Persis gererent, Valentinus oratione sua ostendit, oportere illum quoque, quum tempus opportunum venerit, Persas bello aggredi. Hæc legato dicente, confestim Turxanthus, « Num, inquit, vos estis illi Romani, qui decem quidem linguis, sed una fraude utimini? » Hæc simul ut dixit, decem digitos in os suum conjecit, deinde rursus sic est locutus : « Ut meo ori decem meos digitos nunc admoveo, ita et vos Romani pluribus et variis utimini linguis, quibus modo me, modo eos, qui mea mancipia sunt, Uarchonitas, decipitis. Et sane omnino omnes gentes verborum illecebris et

λοί εἰσι δέκα, ὡσαύτως δὲ καὶ ὑμεῖς οἱ Ῥωμαῖοι πλείοσι κέχρησθε γλώσσαις· καὶ ταύτῃ μὲν ἐμὲ ἀπατᾶτε, τῇ δὲ ἄλλῃ τὰ κατ' ἐμὲ ἀνδράποδα τοὺς Οὐαρχωνίτας. Καὶ ἁπλῶς ἅπαντα τὰ ἔθνη, ῥημάτων τε ποικιλίᾳ καὶ τῷ δολερῷ τῆς διανοίας, εἰρωνευόμενοί τε καὶ ὑποθωπεύοντες αὐτὰ μὲν ὥσπερ ἐπὶ κεφαλὴν ὠσθέντα τῇ βλάβῃ περιφρονεῖτε, ὑμῖν δὲ αὐτοῖς τὸ λυσιτελὲς ἐκπορίζετε. Ἀλλὰ γὰρ καὶ ὑμεῖς οἱ πρέσβεις ἠμφιεσμένοι τὸ ψεῦδος ἥκετε ὡς ἐμὲ, καὶ ὁ στείλας ὑμᾶς οὐχ ἥκιστα πέφυκεν ἀπατεών. Καὶ ὑμᾶς μὲν διαχειρίσομαι παραχρῆμα καὶ οὐκ ἐς ἀναβολήν· ὀθνεῖον γάρ τι καὶ ἔκφυλον ψεύδεσθαι Τούρκῳ ἀνδρί. Ὁ δὲ καθ' ὑμᾶς βασιλεὺς ἐκτίσει μοι δίκας ἐν δέοντι, ἐμοὶ μὲν φιλίας ἐχόμενα διαλεγόμενος, τοῖς δὲ δὴ Οὐαρχωνίταις τοῖς ἡμετέροις δούλοις (ἐδήλου δὲ τοὺς Ἀβάρους) ἀποδρᾶσασι τοὺς δεσπότας γενόμενος ἔνσπονδος. Οἱ μὲν Οὐαρχωνῖται, ἅτε κατήκοοι Τούρκων, ἡνίκα βούλομαι, ὡς ἐμὲ ἥξουσι· καὶ εἴγε τὴν κατ' ἐμὲ ἱππείαν ἐσαθρήσουσι μάστιγα ὡς αὐτοὺς ἐκπεμφθεῖσαν, ἐς τὰ κατώτατα φεύξονται τῆς γῆς· ἀντιβλέποντες δὲ ἡμῖν, ὡς εἰκὸς, οὐ φονευθήσονται ξίφεσι, μᾶλλον μὲν οὖν ταῖς ὁπλαῖς καταπατηθήσονται τῶν ἡμετέρων ἵππων, καὶ δίκην ἀπολοῦνται μυρμήκων. Καὶ περὶ μὲν τῶν Οὐαρχωνιτῶν ταῦτα ὑμῖν ἐν βεβαίῳ. Ὑμεῖς δὲ, ὦ Ῥωμαῖοι, τί δῆτα ἄρα τοὺς κατ' ἐμὲ πρέσβεις διὰ τοῦ Καυκάσου ὁδοιποροῦντας ἐπὶ τὸ Βυζάντιον ἄγετε, ὡς ἐμὲ φάσκοντες μὴ εἶναι ἑτέραν ἀτραπὸν, δι' ἧς αὐτοῖς ἔσται ἡ πορεία; ταῦτα δὲ ἐπιτελεῖτε, ὡς ἀπείποιμι διὰ τὰς δυσχωρίας ἐπιθέσθαι τῇ Ῥωμαίων ἐπικρατείᾳ. Πλὴν ἔγωγε ἐξεπίσταμαι μάλα ἀκριβῶς ὅποι τε ὁ Δάναπρις ποταμὸς, οὐ μὴν ἀλλὰ καὶ ὁ Ἴστρος ἔνθα καταρρεῖ, καὶ ἵνα ὁ Ἕβρος, ὁπόθεν τε ἐπεραιώθησαν ἐς τὴν Ῥωμαϊκὴν τὸ ἡμέτερον δουλικὸν οἱ Οὐαρχωνῖται. Οὐκ ἀγνοῶ τὴν καθ' ὑμᾶς δύναμιν. Ἐμοὶ γὰρ ὑποκέκλιται πᾶσα ἡ γῆ, ἀρχομένη μὲν ἐκ τῶν τοῦ ἡλίου πρώτων ἀκτίνων, καταλήγουσα δὲ ἐς τὰ πέρατα τῆς ἑσπέρας. Ἐσαθρήσατε, ὦ δείλαιοι, τὰ Ἀλανικὰ ἔθνη, ἔτι γε μὴν καὶ τὰ φῦλα τῶν Οὐτιγούρων, οἵ γε ἐπὶ πολὺ θαρραλέοι τέ τινες ὄντες καὶ τῇ οἰκείᾳ πίσυνοι δυνάμει ἀντετάξαντο μὲν τῷ ἀκαταμαχήτῳ τῶν Τούρκων, οὐκ ἀπώναντο δὲ τῶν ἐλπίδων. Ταύτῃ τοι καὶ ὑπακούουσιν ἡμῖν, καὶ ἐν μοίρᾳ καθεστήκασι δούλου. » Τοσαῦτα μὲν οὖν τῷ Τουρξάνθῳ ἐκεκόμπαστο· ὑψαγόρας γάρ τις ἀνὴρ καὶ ἀλαζονείᾳ χαίρων. Ὁ δὲ Οὐαλεντῖνος ἀκηκοὼς ἔλεξεν ὧδε· « Εἰ μὴ χαλεπώτατόν πως καὶ ἀνιαρὸν ὑπῆρχεν, ὦ Τούρκων ἡγεμὼν, καὶ παντὸς ὀλεθριώτερον θανάτου τὸ τεθνάναι ἡμᾶς ὑπὸ σοῦ, ζῶσαν δὲ παρὰ πᾶσιν ἀνθρώποις τὴν κακηγορίαν περινοστεῖν· καὶ τοῦτο δὴ μὴ πώποτε πραχθὲν, καινοτομούμενον ὑπὸ σοῦ, τῇ πράξει τὴν μαρτυρίαν διασαφηνίζειν ἔμελλεν, ὡς ἀπέκτεινας ἄνδρας πρέσβεις, καὶ τὸ τῇ ἀκοῇ καὶ μόνῃ φοβερὸν ἔργῳ δειχθήσεται φοβερώτερον· εὐξαίμην ἂν τῷ κατὰ σὲ ξίφει τήμερον τὴν τελευταίαν ἰδεῖν, τοῦτο μὲν ψευδολογίᾳ χαίρειν ἀκηκοὼς τὸν κατ' ἐμὲ βασιλέα, τοῦτο δὲ ψευδομένους αὐτῷ τοὺς πρέσβεις. Διὸ δὴ ἐκλιπαροῦμεν πρᾳότερον ἡμῖν προσβλέψαι, καὶ ὑποχαλᾶν τῆς ὀργῆς, καὶ τὸ λίαν ὀξύθυμον φιλανθρώπῳ καταμαλάττειν, ἔτι γε μὴν τῷ κοινῷ τῶν πρέσβεων πείθεσθαι νόμῳ. Εἰρήνης γάρ ἐσμεν ἐργάται, καὶ πραγμάτων ὁσίων ταμίαι καθεστήκαμεν. Ἄλλως τε δεῖ σὲ καὶ τῆς πατρῴας κληρονομοῦντα γῆς τε καὶ τύχης καὶ τοὺς πατρῴους

---

ingenii versutia demulcetis et deluditis; deinde eas, ubi damnis afflicti sunt, negligitis, et ipsi partis eorum labore commodis fruimini; et vos quoque legati undique fraude et dolo succincti ad me venitis, et nihilo secius is, qui vos ad me mittit, fraudulenter et insidiose mecum agit. Ego vero vos statim interficiam, neque cunctabor: inusitatum enim et a gente nostra alienum, ut homo Turcus mentiatur et fallat. Qui autem apud vos regnat, mihi debitas persolvet pœnas. Dum enim mecum amica verba loquitur, fœdera iniit cum Uarchonitis, servis nostris (indicabat autem Avares), qui a dominis suis aufugerunt. Et Uarchonitæ quidem, tanquam Turcorum subditi, quum voluero, ad me redibunt, et si flagellum meum, quo equos impello, conspexerint, aufugient et in interiora terræ se abdent: si consistere ausi fuerint, cædentur, ut par est, non gladiis, sed formicarum instar conterentur unguibus equitatus nostri; de Uarchonitis igitur res sunt in tuto. Vos autem, Romani, quid est quod legatos meos per Caucasum iter Byzantium instituere jubetis, et dicitis aliam viam non esse? Id vero facitis, ut propter itineris difficultatem ab invadendis Romanorum finibus absistam. Sed ego probe scio, qua Danapris fluvius, qua Ister, qua Hebrus fluat, qua transierint in Romanorum ditionem Uarchonitæ, servi nostri, ut ipsam invaderent. Neque ego sum nescius vestrarum virium. Omnis enim terra inde a primis solis radiis usque ad ultimos occidentis terminos mihi paret: vobis, o miseri, ob oculos ponite Alanorum gentem atque Utigurorum. Hi insigni fortitudine et audacia præditi et domesticis copiis freti contra invictam Turcorum gentem acie congressi, nihil quicquam eorum, quæ speraverant, consecuti sunt, sed nobis parent, nostrorumque servorum numero habentur. » Hæc Turxanthus cum magno fastu jactavit et effudit; erat enim homo vanæ gloriæ cupidus: cui Valentinus ita respondit: « Nisi gravissimum foret et maxime nefandum, o Turcorum dux, et qualibet morte perniciosius, nos a te occidi, ex quo nunquam interitura apud omnes homines te maneret infamia, et quo facto tu facinus nunquam antea commissum ausus, si legatos necares, re ipsa omnibus notum testatumque relinqueres, quod auditu ipso horrendum, facto longe horribilius et detestabilius appareret; ego hic ense tuo trajectus optarem extremum diem videre, quum audio a te dici, tum imperatorem nostrum mendacio delectari, tum nos legatos ejus. Itaque te supplices oramus atque obtestamur, ut nos benignis oculis intuearis, et tuæ iræ modum faciens, acerbiorem animi tui motum æquitate et humanitate mitiges et places, et legi, quæ sacrosanctos legatos esse constituit, pareas. Sumus enim pacis ministri et sanctis rebus dispensandis præsumus. Atque etiam quum tui patris morte ejus regni et omnium fortunarum hereditas ad te pervenerit, paternos quoque amicos, tanquam paternam possessionem,

διαδέχεσθαι φίλους, καὶ ὥσπερ ἡγεῖσθαι καὶ αὐτοὺς κτῆμα πατρῷον εἶναι, ὁπότε καὶ Διλζίβουλος ὁ πατὴρ ὁ σὸς, αὐθαίρετα προσδραμὼν τῇ καθ' ἡμᾶς πολιτείᾳ, τὸ φιλορώμαιος μᾶλλον ἢ φιλοπέρσης [εἶναι] ἠσπάσατο. Μεμένηκε τοιγαροῦν ὑμῖν τὰ (τοῦ) καθ' ἡμᾶς ἄχρι καὶ νῦν ἄφθαρτά τε καὶ ἀσάλευτα, καὶ δὴ τῆς αὐτῆς ἐχόμενοι φιλοφροσύνης διατελοῦμεν ἡμεῖς. Οὐκ ἄλλως δὲ καὶ τὰ καθ' ὑμᾶς, εὖ οἶδα, τῷ βεβαίῳ στήσεται· ὀρθότατα γὰρ διάνοια προσφερομένη πρὸς τὸν πέλας, καὶ μὴ ἐκτραπεῖσα τοῦ πρέποντος, οὐκ ἀγνωμονηθήσεται τῷ ἀδήλῳ τῆς ψυχῆς (τύχης em. Bekk.) ἀνταλλάγματι. » Οὕτω δὲ Οὐαλεντίνου εἰρηκότος, ὁ Τούρξανθος ἔφη ὡς « Δέον ὑμᾶς ἐνταῦθα ἀφιγμένους, ὦ Ῥωμαῖοι, ἐν μεγίστῳ τε πένθει εὑρόντας ἐμὲ (ἀρτιθανὴς γάρ μοι Διλζίβουλος ὁ πατήρ) καταχαράττειν τὰ πρόσωπα ταῖς μαχαίραις, ἑπομένους τῷ παρ' ἡμῖν ἐπὶ τοῖς τεθνεῶσιν ἰσχύοντι νόμῳ. » Καὶ δὴ αὐτίκα Οὐαλεντῖνος, καὶ ὅσοι γε αὐτῷ ἐπηκολούθησαν, τοῖς αὐτῶν ξιφειδίοις διεχαράξαντο τὰς σφᾶς αὐτῶν παρειάς. Τότε δὲ ἐν μιᾷ τῶν πενθίμων ἡμέρᾳ τέτταρας δορυαλώτους Οὔννους δεσμώτας ἀγαγὼν κατοιχομένῳ ἤδη τῷ πατρὶ (δόχια δὲ τῇ οἰκείᾳ γλώττῃ προσαγορεύουσι τὰ ἐπὶ τοῖς τεθνεῶσι νόμιμα), τούτους δὴ οὖν τοὺς δειλαίους ἐς μέσον ἀγαγὼν ἅμα τοῖς πατρῴοις ἵπποις, τῇ βαρβάρῳ ἐνεκελεύετο φωνῇ ἐκεῖσε ἀπιοῦσιν ἀναγγεῖλαι Διλζιβούλῳ τῷ πατρὶ, ὁπόσην αὐτῷ . . . . Ἐπειδὴ δὲ τὰ τῆς πατρῴας ταφῆς ἐπετέλεσεν ὁ Τούρξανθος, ἕτερα πλεῖστα ὅσα διαλεχθεὶς Οὐαλεντίνῳ, εἶτα ἀφῆκεν ἐς τοὺς ἐνδοτέρω ἡγεμόνας Τούρκων, ἔτι τε καὶ ὡς τὸν αὐτοῦ ὅμαιμον, τὸν λεγόμενον Τάρδου, ποιούμενον τὰς διαίτας κατὰ δὴ τὸ Ἐκτὲλ ὄρος· δύναται δὲ τὸ Ἐκτὲλ χρυσοῦν. Ἐκεῖσε τοίνυν κατὰ τὸ Ἐκτὲλ ὄρος ἀπιόντος Οὐαλεντίνου, ἠπείλησεν ὁ Τούρξανθος ἦ μὴν αὐτίκα ἐκπολιορκήσειν τὸν Βόσπορον ἀρξαμένων *. Τοιγαροῦν παραχρῆμα ὅγε σὺν πλείστῃ δυνάμει Τούρκων ἐξέπεμψε τὸν Βώχανον καθαιρήσοντα Βόσπορον, Ἀναγαίου ἤδη περὶ τὰ ἐκεῖσε στρατοπεδευομένου σὺν ἑτέρᾳ δυνάμει Τούρκων.

44.

Exc De sent. p. 361 : Ὅτι ὀρθότατα διάνοια προσφερομένη πρὸς τὸν πέλας καὶ μὴ ἐκτραπεῖσα τοῦ πρέποντος, οὐκ ἀγνωμονηθήσεται τῷ ἀδήλῳ τῆς ψυχῆς (τύχης Bekk.) ἀνταλλάγματι.

Ὅτι ἐλπίδι τοῦ νικᾶν τοῦ πλείονος ὀρεγόμενος, τῆς ἀδήλου ῥοπῆς ἀναλογισάμενος τὸ σφαλερὸν, ἕξει τὴν αὐτοῦ δόκησιν ἀβουλίας ὑπόθεσιν.

Ὅτι οἱ ἄνθρωποι οὐ καθ' αὐτοὺς ἀδικοῦνται μόνον, ἀλλὰ συναδικοῦνται καὶ φίλων, ὡς εἰκὸς, ὑφ' ἑτέρων πασχόντων κακῶς.

Ὅτι οὐχ ὅστις ἀντεπιβουλεύει τοῦ δικαίου κατόπιν ὀφθήσεται, ἀλλ' ὃς ἐπιβουλεύει τῶν χαλεπῶν ὑπόθεσις γίνεται.

Ὅτι ἀφιλοπρωτεία μόνη καὶ φθόνου κατάλυσις τὰ καιριώτατα συνιστᾷ.

Ὅτι τὸ εὔδαιμον οὐκ ἐξ αὐτομάτου τινὸς ἐπιρρεῖ, ἀλλ' ὅτι τῆς ἀληθοῦς εὐτυχίας οἱ πόνοι γονεῖς· ὅθεν καὶ ἡδυτέρα τις ἡ ἐκ τῶν πόνων ἀπόλαυσις.

Primam sententiam modo legimus in fragm. 43. De reliquis nihil quæro.

45

Exc. De leg. Rom. p. 164 : Ὅτι ἐν ᾧ ἡ πόλις (καὶ) ὁ Βόσπορος ἥλω, οἱ πρέσβεις ἔτυχον παρὰ Τούρκοις οἱ

---

tibi ex ejus successione obvenisse existimes oportet. Etenim pater tuus sponte sua ad nostræ reipublicæ amicitiam accurrens, magis Romanorum amicus, quam Persarum esse cupiebat. Itaque et vobis fœdera nobiscum ad hoc usque tempus inviolata manebant, et nos in eadem benevolentiæ voluntate perstamus. Vos quoque in nos eodem animo perseveraturos esse confidimus. Nam vera animi probitas, quæ nunquam ab honesto aberravit, non propter incertam aliquam fortunæ mutationem fidem fallet. » Hæc Valentinus. Respondit Turxanthus : « Quandoquidem, o Romani, inquit, huc venientes me in maximo luctu constitutum offendistis (nuper enim pater meus est mortuus), oportebat vos facies vestras gladiis deradere, et legi, quæ apud nos in justis mortuorum invaluit, obtemperare. » Tum confestim Valentinus et omnes, qui cum eo erant, gladiolis genas suas lacerarunt. Uno etiam ex luctus diebus quattuor captivos Hunnos vinctos adducens, patri mortuo (dochia eorum lingua vocant, quæ in justis mortuorum observari apud eos solent) illos, inquam, miseros in medium proferens una cum paternis equis, barbara voce jussit hinc abeuntes patri suo renuntiare, quantam ipsi . . . Funere patris curato, Turxanthus multos alios sermones habuit cum Valentino, et eum dimisit in interiora dominatus Turcorum, et ad Tardu, consanguineum suum. Is sedes suas habebat in monte Ectel; Ectel autem significat aureus. Eo quum Valentinus proficisceretur, ei minatus est Turxanthus, se quam primum Bosporum expugnaturum. Et revera Bochanum statim cum valida Turcorum manu miserat, qui Bosporum caperet. Præterea Anagæus jam dudum cum alio Turcorum exercitu castra in his locis habebat.

44.

Qui spe victoriæ animum ad plura cupienda adjicit, is si incertorum eventuum lubricitatem secum reputet, falsa de se ipso opinione ad prava consilia ducetur.

Homines non in propria tantum persona læduntur, verum etiam in aliena, quum amici nostri videlicet ab aliquo injuriam patiuntur.

Non qui insidias pari astu repellit, justitiam deserere videtur; sed qui prior insidiatur, is mali causa est.

Sola ambitionis fuga et invidiæ omissio res deploratissimas corrigunt.

Felicitas haud a cæco eventu fluit, sed reapse bonæ fortunæ parentes labores sunt. Quare et suavior est post exantlatum laborem voluptas.

45.

Dum Bosporus oppidum caperetur, erant Romanorum

τῶν Ῥωμαίων, κἀκ τούτου γέγονε δῆλον, ὡς Τοῦρκοι ἐξεπολεμήθησαν Ῥωμαίοις. Τῷ τοι ἄρα καὶ τοὺς σταλέντας, ἐν οἷς Οὐαλεντῖνος ὑπῆρχε, κατέσχεν ὁ Τούρξανθος, ἐφυβρίζων τε ἐς αὐτοὺς καὶ ἀποφενακίζων, καὶ τὰ ἄλλα κακῶς χρώμενος, εἶτα οὕτως ἀφῆκεν.

46. (577. Justini an. 13.)

Exc. De leg. gent. p. 119—120 : Ὅτι τῶν στρατηγῶν δῃούντων τὴν Περσῶν Ἀρμενίαν, ἐν τούτῳ παρεγένετο Ναδώης, ἐς τὴν λεγομένην σμικρὰν χειροτονηθεὶς πρεσβείαν, πρὸς Χοσρόου ἐκπεμφθείς· ὃς τῆς διὰ Θεοδώρου τοῦ Βάκχου πρεσβείας ἔδοξεν ἀμοιβαίαν ἀποκομίζειν ἐκ τοῦ Χοσρόου ἀγγελίαν, κυρίως δὲ ὡς ἑτοιμότατα ἔχοι καὶ αὐτὸς στεῖλαι τοὺς ἄρχοντας κατὰ δὴ τὰ ὅρια τῆς ἕω, ὡς ἂν ἐν τῷ αὐτῷ γενόμενοι τοῖς ἐκ Ῥωμαίων ἐκπεμφθησομένοις σκοπήσοιέν τε καὶ διασκέψοιντο ὅπως χρὴ τὰ ὅπλα καταθέσθαι. Ἀνακρινομένου τούτου πρώτου τίς ἄρα πολιτεία τῆς λύσεως τῶν πεντηκοντουτίδων σπονδῶν αἰτία ἐγένετο; ᾧτινί γε δή που ἐμφρονέστατά πως ἀπεκρίνατο ὁ Καῖσαρ, ὡς πρεσβυτέρῳ τυγχάνοντι βασιλεῖ Περσῶν αὐτὸς ἔτι νέος ὤν, καὶ ὅσον ἐπὶ τῇ ἀκμῇ τῆς ἡλικίας Χοσρόου παῖς καθεστώς, ἕτοιμος εἴη ἐφ' ὅπερ ἂν ἐκεῖνος ἡγήσοιτο ἕπεσθαί οἱ, καὶ, εἴτε τὰ ξίφη βούλοιτο εἴτε τὴν ἡσυχίαν, ἀκολουθήσειν. Ἀποπέμψας οὖν ἐπὶ τοιοῖσδε τὸν Ναδώην ὁ Καῖσαρ οὐκ ἐς μακρὰν καὶ αὐτὸς ἔστειλε κατὰ τὴν ἑῴαν τοὺς εὖ διαθήσοντας τὰ ἀμφίβολα, ἐς ταὐτὸν συνελευσομένους τοῖς Περσῶν ἡγεμόσιν. Ἦσαν δὲ οἱ σταλέντες Θεόδωρος ὁ Πέτρου, ὃς τῶν ἐν τῇ αὐλῇ καταλόγων πρὸ τούτου γενόμενος ἡγεμὼν τηνικαῦτα τῶν βασιλεῖ ἀνειμένων προειστήκει θησαυρῶν, οὓς γε ἀπὸ τῆς δαψιλείας τῇ Ῥωμαίων προσαγορεύονται φωνῇ (Λαργοὺς γὰρ οἱ Λατῖνοι τὸ δαψιλὲς [τοὺς δαψιλεῖς Nieb.] ὀνομάζουσιν), Ἰωάννης τε καὶ Πέτρος, ἄμφω τῇ τῶν ὑπάτων τετιμημένοι ἀξίᾳ, πρός γε καὶ Ζαχαρίας ἐν τοῖς βασιλείοις καταταττόμενος ἰατροῖς. Οἱ δὴ γενόμενοι ἐς Κωνσταντίναν πόλιν, τὴν μεταξὺ τῶν ποταμῶν, ἀνέμενον ἐλευσόμενον ἐκ τοῦ Χοσρόου ἐς τὰ περὶ Νίσιβιν καὶ τὸ Δάρας Μεβώδην τὸν Σανναχοερύγαν, ᾧ δὴ τὸ κῦρος τῶν περὶ τὴν εἰρήνην ἐπέθηκε Χοσρόης. Κατ' αὐτὸν δὲ τὸν χρόνον καὶ Ἀστέριος, εἷς τῶν βασιλείων διαιτητῶν, οὓς δὴ ἀντιγραφέας ἀποκαλέσοις, δορυάλωτος ὢν ἀνῃρέθη ὑπὸ Χοσρόου, φωραθεὶς ὡς κρύβδην ἐγγεγράφει βασιλεῖ τῶν Ῥωμαίων ἐπιθέσθαι κεκακωμένοις νῦν Πέρσαις. Μεβώδου δὲ ἀφικομένου ἐν τοῖς ὁρίοις ἅμιλλα μέν τις γέγονε πρότερον αὐτῷ τε καὶ τοῖς ἀμφὶ Θεοδώρῳ καὶ Ζαχαρίᾳ περὶ τοῦ ὅποι δέον ποιήσασθαι τὴν ξυνέλευσιν. Ῥωμαῖοι μὲν γὰρ ἠξίουν ἐν τοῖς τελοῦσιν ἐπὶ τὸ Δάρας χωρίοις, οἷα δὴ οἰκείοις καθεστῶσι, ξυγκροτεῖσθαι τὴν ἐκκλησίαν· ἀτὰρ οἱ Πέρσαι ἔφασκον, ἐπεὶ ἡ πόλις αὐτοῖς τῷ θεσμῷ τοῦ πολέμου ὑπεκλίθη, οὐκ ἀπὸ τρόπου, καὶ τὰ ὅσα γε ὑπὸ τὴν πόλιν ἁρμόζειν αὐτοῖς, καὶ οὐ δέον ἐκεῖσε ξυνιέναι, οἷα μὴ καθεστώτων ὁροθεσίων. Μετὰ γοῦν ταῦτα, οὕτω δοκοῦν ἀμφοτέροις τοῖς μέρεσι, ξυνῆλθον ἐν τῷ δὴ λεγομένῳ Ἀθραήλων· πρὸς τοῖς καὶ οἱ ἐπιχώριοι ἄρχοντες πολιτείας ἀμφοτέρας. Καὶ τοίνυν προὐτίθεσαν ἅς γε δήπουθεν ᾤοντο κατ' ἀλλήλων τὰς πολιτείας ἔχειν αἰτίας, ὡς τῆς ἑτέρας τὴν ἑτέραν ἄδικά τε καὶ οὐχ ὅσια εἰργασμένης, παρασπονδησάσης τε καὶ πόλεμον ἄδικον ἑλομένης. Πλείστων δὲ ὅσων ῥημάτων ἐξ ἀμφοῖν τοῖν μεροῖν, ὥς πῃ ἔτυχεν, ἐρριμμένων, χύδην τε

---

legati apud Turcos; ex eo inde tempore Turci adversum Romanos aperte bellum gerebant. Eos igitur, qui missi fuerant, inter quos erat et Valentinus, Turxanthus retinuit, neque prius dimisit, quam omni ludibrii genere eos illuserat et exagitaverat.

46.

Dum Romanorum duces Persarum Armeniam populationibus vexarent, advenit Nadoes electus et a Chosroe missus ad minorem, quam vocant, legationem obeundam. Hunc responsum ferre ad legationem Theodori Bacchi filii jussit Chosroes, et nominatim nuntiare Romanis, sese paratum esse mittere primarios viros ad fines Orientis, ut cum his, quos Romani mitterent, prospicerent et viderent, qua ratione arma deponerent. Quum ille primum quæreret, quænam causa et ratio fuerit quinquaginta annorum inducias violandi : prudenter Cæsar respondit, se quidem regem Persarum, qui senior esset, quippe qui, se adhuc puero, in flore ætatis suæ constitutus foret, secuturum, et sive arma, sive pacem vellet, utrum elegisset, gratum acceptumque habiturum. His dictis Cæsar Nadoem dimisit, nec multo post delegavit ad partes Orientis, qui controversias componerent et cum Persarum principibus convenirent. Fuerunt vero qui missi sunt a Romanis Theodorus, Petri filius, ante dux numerariorum, tunc temporis thesaurorum comes, quos largitiones Romana lingua vocant (largos enim eos, qui liberalius sua profundunt, Latini vocant), Joannes et Petrus ambo consulatus dignitate ornati : præterea Zacharias in regiorum medicorum numerum relatus. Hi vero ubi in Constantinam urbem in Mesopotamia sitam advenerunt, Mebodem Sannachoerygam, qui a Chosroe in loca circa Nisibin et Daras missus erat, exspectarunt. Huic enim plenam pacis confirmandæ auctoritatem Chosroes commiserat. Eodem fere tempore Chosroes Asterium (is erat unus ex imperatoris judicibus, quos contrascribas vocaveris) occidit, quia deprehensus est, dum captivus esset, clam literas scripsisse ad imperatorem Romanorum, ut, dum res Persarum afflictæ essent, eos adoriretur. Mebodes quum ad limites accessisset, certamen illi cum Theodoro et Zacharia inprimis fuit, quo in loco convenirent. Romani petebant, conventum agi in finitimis Daras locis, quippe quæ sua essent. Contra Persæ dicebant, quandoquidem ea urbs jure belli Romanis subjecta esset, non a verisimilitudine alienum esse, omnem regionem circa illam eorum partibus adhærere, neque illic ad colloquium convenire oportere, quia minime regio illa esset inter limitaneas censenda. Post hæc, sic enim utrisque visum, ad colloquendum convenerunt in loco qui dicitur Athraelon, et cum illis quoque utriusque reipublicæ principes, qui eas regiones incolebant. Illic in medium proposuerunt, quas ultro citroque existimabant habere se mutuo accusandi causas, quæ alter populus alteri

περιουσῶν τῶν δικαιολογιῶν τῷ ἕκαστον ἐθέλειν τῇ κατ' αὐτὸν πολιτείᾳ, οἷα εἰκὸς, εὐνούστατον ἑαυτὸν ἀποφῆναι, τέλος ἐς δημηγορίαν πρῶτοι Ῥωμαῖοι κατέστησαν.

47. (577. 578.)

Ibidem p. 120—124 : Ὅτι οἱ πρέσβεις ξυνελθόντες τε καὶ εἰς ἓν γενόμενοι κατὰ δὴ τὰ ὅρια τῆς ἕω ἐξ ἀμφοτέρας πολιτείας, τὴν εἰρήνην ὅπως βεβαιωθῆναι δέον διασκεψόμενοι, γλαφυρά τε καὶ ποικίλα ῥήματα ἕκαστοι ἀπορρίψαντες, εἰπόντες τε καὶ ἀκηκοότες τὰ ὅσα χρεὼν, τυχὸν καὶ τὰ ὅσα μὴ χρεὼν, τέλος ξυνῆκαν οἱ πρέσβεις περὶ μὲν τοῦ διαρραγῆναι τὰς σπονδὰς τίς αἴτιος καὶ οὔ, τὸ τοιόνδε σιγηθῆναι, διερευνῆσαι δὲ τρόπον, ὅτῳ ἐμπεδωθήσεται τὰ εἰρηναῖα τοῦ λοιποῦ καὶ αἱ ἀμφήριστοι πολιτεῖαι κατάθοιντο τὰ ὅπλα. Εὐθὺς οὖν Μεβώδου κατὰ τὰς πρώην ξυνθήκας, αἳ ξυνέστησαν ἐπὶ τοῦ αὐτοκράτορος Ἰουστινιανοῦ, τὰς τριάκοντα χιλιάδας τῶν νομισμάτων φήσαντος χρῆναι τοὺς Ῥωμαίους τῇ πολιτείᾳ Περσῶν κατατιθέναι ἀν' ἔτος, ἔτι γε μὴν ἀποχωρῆσαι Περσαρμενίας τε καὶ Ἰβηρίας, πρὸς δέ γε καὶ αὐτοὺς τοὺς ὅσοι γε αἴτιοι τῆς ἀποστασίας ἀποδοθῆναι βασιλεῖ τῶν Περσῶν χρησομένῳ σφίσι ταῖς προσηκούσαις φωναῖς (ποιναῖς Bekk.). Τοσαῦτα τοῦ Μεβώδου κατατείναντος, οἱ τῶν Ῥωμαίων πρέσβεις, τὸ τοιόνδε ἐκ τοῦ Καίσαρος παρεγγυηθὲν αὐτοῖς, αὐτίκα οἵ γε τοῦτο αὐτὸ οὐδὲ τοὔνομα προσίεσθαι ἔφασαν τῆς εἰρήνης, εἴπερ ἐπὶ συντελείᾳ τινὶ καὶ ἅτε ἐς φόρου ἀπαγωγὴν Πέρσαι ἐλπίζοιεν Ῥωμαίους ἕξειν τοῦ λοιποῦ· μηδὲ γὰρ ἀνέξεσθαι τοῦ τοιοῦδε τὸν Καίσαρά τι παρασχέσθαι, μήτε μὴν ὥσπερ ἀμέλει ὠνιόν τι χρῆμα πρίασθαι τὴν εἰρήνην. Οὕτω δὴ γὰρ εἰ ἔσοιτο, οὔτι εἶναι μόνιμον οὐδὲ βεβαίαν. Χρῆναι τοίνυν Ῥωμαίων ἔλεγον οἱ πρέσβεις πρότερον τοῦ τοιοῦδε ἀπειπεῖν, οὕτω τε ἐφ' οἷς δέοι τὰ τῆς εἰρήνης προϊέναι διασκέψασθαι. Καὶ αὖθις ἕκατι τοῦ τοιοῦδε τερθρείας λόγων ἀπερριμμένης πολλῆς ἐξ ἀμφοῖν τοῖν μεροῖν, καὶ οὐχ ὑποχαλώντων ἐν ἀρχῇ τῶν Περσῶν, ἀλλ' ἢ τὰς ἀνέκαθεν τριάκοντα χιλιάδας τοῦ χρυσοῦ νομίσματος ἢ προσάπαξ ὡς χρὴ μέγα τι καταθέσθαι δικαιολογουμένων, τὸ τελευταῖον ἔδοξεν ὁ Μεβώδης ἐπιδεικνύναι δῆθεν αὐτοῖς ἐκ τοῦ κατ' αὐτὸν βασιλέως γράμμα ἄρτι σταλὲν, ἐν ᾧ περιείχετο, ὡς χάριν τῆς πρὸς Καίσαρα φιλίας ἀνέξοιτο καὶ χρημάτων ἐκτὸς ἐξ ἰσοτιμίας ἀναρρῶσαι τὴν εἰρήνην. Τοῦτο ἐπεί (οἱ) κατὰ τὴν βασιλίδα διεθρυλλήθη πόλιν, ἅπαντες ἀνεπτερώθησάν τε, καὶ ἐδόκουν οἵ τε ἐν τέλει καὶ ὅσος ἕτερος ὅμιλος ἤδη ἀργήσειν τὰ ξίφη καὶ ἐμπεδώτατα καθέξειν τὴν εἰρήνην, ἐπεὶ ὁ Καῖσαρ Περσαρμενίας τε καὶ δὴ Ἰβηρίας αὐτῆς ἑτοιμότατα εἶχε παραχωρῆσαι Πέρσαις, σαφέστατα ἐξεπιστάμενος ὡς οὐ πώποτε ἐνδώσοιεν τοσαύτης ἐστερημένοι χώρας, οὐδέ γε εἰ τελέως κατολισθήσοι καὶ ἐξίτηλα ἔσοιτο τὰ πράγματα Περσῶν. Τοὺς μέντοι γενεάρχας Περσαρμενίων, ἀλλὰ γὰρ καὶ τοὺς τῷ γένει σφῶν ἡνωμένους, καὶ ἁπλῶς τὸν ὁντιναοῦν οἵ γε αὐτομολήσαντες ἦσαν ὡς Ῥωμαίους, οὔτε ἐκδώσειν· ἀλλ' οὐδὲ ἑτέρως ἐμπεδώσειν ἔφασκε τὴν εἰρήνην, εἴ γε μὴ ἄδεια ἔσοιτο τοῖς βουλομένοις Περσαρμενίων τε καὶ Ἰβήρων, τὴν σφετέραν ἐκλιπόντας, ἀνασκευάσασθαι ἐς τὴν Ῥωμαίων. Λόγον γὰρ οὐχ ἥκιστα ἐποιεῖτο πολὺν ὁ Καῖσαρ τῶν ὁμωμοσμένων ὑπὸ Ἰουστινιανοῦ (l. Ἰουστίνου) τοῦ βασιλέως τοῖς

---

damna intulisset aut bellum facere præoccupasset. Itaque quum utrique plures sermones super hac re jactassent, et unusquisque abunde, quo se suæ patriæ, ut decebat, amantem et studiosum ostenderet, justas rationes, quibus eam tueretur et defenderet, attulisset, tandem primi Romani concionem apud conventum habuerunt.

47.

Legati convenientes et in unum congressi ad fines Orientis ab utroque regno, ut dispicerent, quomodo pacem firmam facerent, lubrica et ambigua verba utrimque emiserunt, et quæ dici oportuit, dixerunt et audierunt, et forte quæ minime dici debuerunt. Tandem illud disquirere supersederunt, utri populo fœderis violatio attribuenda esset, et rationem investigare conati sunt, quomodo in posterum pax firmis conventionibus stabiliretur, et inimicæ gentes ab armis discederent. Statim Mebodes suggessit, æquum esse, Romanos pendere Persarum reipublicæ quotannis triginta millia aureorum. Sic enim conventionibus cautum esse, quæ tempore Justiniani imperatoris factæ erant. Præterea Persarmenia et Iberia cederent, et omnes defectionis auctores regi Persarum redderent, quos merita morte afficeret. Hæc et alia hujusmodi Mebode proponente, Romanorum legati secundum Cæsaris mandata contra disseruerunt, et confestim responderunt, se hoc ne pro nomine quidem pacis admittere, si cum tributi pensitatione Persæ sperarent in posterum Romanos sibi obnoxios constituere. Nec enim Cæsarem quicquam pendere, neque pacem, tanquam rem venalem, emere velle, quæ, si ita contingeret, non diu permaneret, neque firma foret. Oportere igitur inprimis totum hunc sermonem omittere, tum demum, quibus conditionibus pax vincienda sit, advertere. Rursus super his quum utræque partes in multas altercationes erupissent, et Persæ minime cederent, sed obnixe contenderent, justum esse, Romanos aut constitutum triginta millium aureorum tributum quotannis pendere, aut semel magnam aliquam pecuniæ summam, tandem Mebodi Romanis literas Persarum regis nuper ad se scriptas ostendere placuit, quibus se propter Cæsaris amicitiam etiam nulla pecuniarum habita ratione æquis conditionibus pacem facturum esse indicavit. Hujus rei fama simulatque ad regiam urbem perlata est, omnes lætati sunt et senatus et plebs, eamque animo opinionem præceperunt, tempus advenisse, quo ensibus quietem indicerent, et firmiter pacem colerent : maxime quum Cæsar Persarmeniam et Iberiam Persis cedere paratus esset. Sic enim statuebat, Persas, etiamsi eorum res perditæ forent et ad nihilum redactæ, nunquam quieturos, quamdiu his tantis regionibus privarentur. Principes tamen Persarmeniorum, et qui illis genere conjuncti erant, et omnes qui a Persis ad Romanos confugissent, nullo modo tradendos esse statuit : imo non alia

Περσαρμενίοις καὶ τοῖς μεταχωρήσασιν Ἰβήρων. Ὀμωμόκει γὰρ ὁ βασιλεὺς, ὡς καθόσον οἷόντέ ἐστιν αὐτῷ, ἅπαντα ἀνακινήσειν τρόπον, ὡς ἂν καὶ αὐτήν γε δήπου τὴν θρεψαμένην σφᾶς ποιήσεται ὑποχείριον· εἰ δέ γε ἄχρι τέλους οὔτι ἔσοιτο δυνατὸς πρὸς τὸν πόλεμον ἀνθέξειν, ἀλλὰ τοὺς αἰτίους τῆς ἀποστάσεως καὶ τοὺς τῷ αἵματί σφισι προσήκοντας, ξυνελόντα δὲ εἰπεῖν τοὺς ὅσοι βούλονται Ῥωμαϊκῆς μετασχεῖν πολιτείας, οὐ πώποτε ποιήσεσθαι ἐκδότους. Ἐδόκει δὲ καὶ βασιλεὺς ὁ Περσῶν ἥδεσθαι ἐπὶ τοῖσδε, ὡς ἂν Ῥωμαῖοι μὲν ἐκστήσοιντο τῆς Περσαρμενίας τε καὶ Ἰβηρίας, ἐξουσίαν δὲ αὐτὸς προσνέμοι, ὅποι ἐθέλουσιν οἱ τῇδε οἰκήτορες ἰέναι, οὔτι ἀπὸ τρόπου γε οἶμαι. Ἠπίστατο γὰρ, πλὴν ὀλιγίστων τῶν ἐν τέλει, οἳ τῆς ἀποστάσεως ἦρξαν, ὡς οὐδεὶς Περσαρμενίων καὶ Ἰβήρων, πόθῳ τῆς θρεψαμένης ὃς φύσει τοῖς ἀνθρώποις ἐνιζάνει τε καὶ προσπέπηγεν, ἀνασκευάσοιτο ἐς τὴν ὀθνείαν. Ἄλλως τε καὶ ἅμα ἤλπιζε, τοῦ πολέμου λωφήσαντος ἐν δέοντι θέσθαι τὰ Περσαρμενίας τε καὶ Ἰβηρίας· αἵδε γὰρ αὐτῷ αἱ χῶραι πάμφοροί τε ὑπῆρχον, καὶ πλεῖστα ἐσότι ἐδασμοφόρουν. Τοιγαροῦν διὰ ταῦτα ἠρέσκετο βασιλεὺς Περσῶν ἐπὶ τοῖσδε τὸν πόλεμον καταθέσθαι. Προσῆλθε δὲ τῷ Καίσαρι διανοεῖσθαι, ὡς ἂν τὸ λοιπὸν μηδεμία ὑπολείποιτο τοῦ πολέμου αἰτία, τῆς Περσαρμενίας τε καὶ Ἰβηρίας ἕκατι τὴν πόλιν τὸ Δάρας παρὰ σφῶν ἀντιλήψεσθαι, ἥκιστα μὲν τοῦ κερδαλέου χάριν· οὐ γὰρ δή τι τὸ Δάρας ἡ πόλις ἐς ἕτερόν τι ὀνησιφόρος ἢ τῷ ἀσφαλέστατα ἔχειν καὶ τῆς ὑπὸ Ῥωμαίους ἑῴας ὥσπερ τι ἔρυμα προβεβλῆσθαι. Ἅμα οὖν τὸ ἀτύχημα ἀκέσασθαι βουλόμενος τῷ ἀπειληφέναι Ῥωμαίους τὰ οἰκεῖα, ἅμα δὲ καὶ μηδένα σπινθῆρα τοῦ πολέμου καταλιπεῖν ἐθέλων, ἔγνω ἀνασώσασθαι τὸ Δάρας ἢ χρήμασιν ἤγουν ἑτέρῳ τρόπῳ τινί. Περὶ μὲν οὖν τοῦ χρῆναι ἐξ ἰσοτιμίας τὴν εἰρήνην προελθεῖν, πρὶν ἢ διακριθῆναι τὸν ἐν Ἀρμενίᾳ πόλεμον ἐδόκει καὶ ξυνέθεντο Πέρσαι. Μελλόντων δὲ ὅσον οὔπω παραχωρῆσαι Ῥωμαίοις καὶ τοῦ Δάρας ἢ οὐδενὸς ἤγουν ὀλιγίστης χρυσίου ποσότητος, εὔδηλον ὂν (δηλονότι Bekk.) πρότερον ἀφισταμένων Ῥωμαίων Περσαρμενίας καὶ Ἰβηρίας, ἐν ᾧ τὰ τοιάδε οἱ ἐξ ἑκατέρων διαλεγόμενοι (διαλέγονται em. Bekk.) πρέσβεις, γέγονε τὰ (ἡ B.) κατὰ τὴν Ἀρμενίαν ξυμπλοκὴν (ξυμπλοκὴ B.), ἐν ᾗ προσπταίσαντες οἱ Ῥωμαῖοι μεγάλως παρὰ πολὺ τῆς ἐλπίδος ἐς τὸ ἧττον ὠλίσθησαν. Διὸ δὴ τῶν Περσῶν ταῖς εὐπραγίαις ἐπηρμένων, ὁ σφῶν βασιλεὺς ἔφασκεν ὅλως περὶ τὸ τὴν πόλιν τὸ Δάρας ἐνδοῦναι Ῥωμαίοις μὴ ἐνδέξασθαι λόγον τινά. Αὐτὸς μὲν γὰρ κατὰ τὸν κοινὸν τοῦ πολέμου θεσμὸν βίᾳ καὶ δυνάμει ἐξελεῖν καὶ προσκτήσασθαι τὸ Δάρας ἀπισχυρίζετο· τοὺς δέ γε Ῥωμαίους Περσαρμενίαν τε καὶ Ἰβηρίαν ἀποστῆσαι παρασπονδήσαντας, πρὸς δέ γε καὶ ἀφηνιάσαντας τοὺς ταύτῃ οἰκοῦντας ἀπὸ Περσῶν ὑποδέξασθαι. Καὶ τοίνυν αὖθις ὁ βάρβαρος θρασύς τε καὶ ὑψαύχην ἦν, καὶ μὲν οὖν ἐπὶ τοῖς ξυνενεχθεῖσιν ἐβρενθύετο μέγα. Ἠπείλει τε καὶ πρὸ τοῦ πέρατος τῶν τριῶν ἐτῶν τῆς ἤδη ξυνεστώσης ἐκεχειρίας, ἧς ἐντὸς ἐδόκει τὴν εἰρήνην ἀνὰ τὴν ἕω ἐρρῶσθαι, τὰ ὅπλα κινήσειν, καὶ κατ' αὐτήν γε δήπου τὴν πρὸς ἥλιον ἀνίσχοντα χώραν ξυγκροτήσειν τὸν πόλεμον, πρότερον κατατιθέμενον Ῥωμαίοις τὸ ὑπὲρ τῆς τοιαύτης ἀνακωχῆς δεδομένον χρυσίον, ἡνίκα Ζαχαρίας

condilione pacem servandam, nisi liberum sit Persarmeniis et Iberis, qui suam patriam reliquerint, ad Romanorum partes transire. Etenim Tiberius Cæsar maximi merito faciebat ea sacramenta quæ ab imperatore Justino præstita erant Persarmeniis et Iberis, qui ad Romanos defecerant. Juraverat enim imperator omni ope se annisurum, ut terram quæ ipsos aluerat, suæ ditionis efficeret. Quodsi rem illam exsequi et bello finem imponere non posset, auctores tamen defectionis eorumque propinquos, et generaliter eos qui Romanæ reipublicæ participes esse vellent, se nunquam Persis dediturum. Grata et jucunda res Persarum regi contigit, Romanos Armenia et Iberia cedere, modo harum regionum incolis, quo vellent ire habitatum, potestatem faceret. Nec sine ratione, meo quidem judicio. Satis enim noverat, paucis exceptis ex principibus, qui defectionis ad Romanos auctores fuerant, fore ut reliqui amore et desiderio terræ altricis capti (hoc enim natura omnibus innatum est) minime ad exteros demigrarent. In spem etiam adducebatur, bello posito in commodiorem statum res Persarmeniæ et Iberiæ redactum iri. Nam hæ regiones erant fœcundæ et omnium, quæ ad vitam necessaria sunt, feraces, unde ampla tributa et vectigalia colligi poterant. Itaque Persarum regi placuit his conditionibus a bello discedere. Ad hæc, ne qua in posterum restaret belli causa, Cæsari venit in mentem cogitare, ut pro Persarmenia et Iberia oppidum Daras a Persis vicissim acciperet: non quod in eo oppido quaestum faceret; nam nihil aliud utilitatis hoc oppidum præbet, quam quod munitissimum est propugnaculi loco Orientali Romani imperii parti: sed hoc adversis Romanorum rebus solatio esse voluit, quod sua recuperarent, simul et nullam belli scintillam relinquere cupiebat. Ea de causa Daras recipere aut pecuniis aut alio quovis modo studebat. Pacem igitur facere æquis conditionibus, antequam bello in Armenia decertaretur, jubebat, et assentiebantur Persæ. Sed quum Persæ jam in eo essent ut Romanis oppidum Daras cederent, aut nulla aut quantulacumque accepta pecuniæ summa, simulac constaret Romanos Armenia et Iberia excessisse: dum hæc legati inter se disceptant, pugnatum est in Armenia, in qua pugna multum sua spe excidentes Romani in cladem delapsi sunt. Itaque quum Persæ ex secundis suis rebus spiritus sumpsissent, rex eorum dixit, se nunquam passurum, ullam mentionem de oppido Daras Romanis dedendo fieri, quod vi et virtute ex communi belli lege cepisset et obtinuisset. Romanos vero contra fœdera Persarmeniam et Iberiam ad defectionem excitasse, et earum regionum incolas, qui a Persis deficiebant, tueri et suscipere. Itaque barbarum secundæ res, quæ illi evenerant, superbiorem et ferociorem reddebant. Minabatur etiam, antequam tres anni elaberentur, quibus induciæ tunc temporis durabant, intra quos pacem fieri per Orientem placuerat, fore ut arma moveret, imo et bellum in Occidentales regiones

ὁ ἰατρὸς καὶ τόδε ἐμπεδώσας ὑπῆρχεν. Ἔφασκε δὲ τὰ χρήματα ἀποδώσειν κατὰ τοσοῦτον, καθόσον ἐνέλιπε τῇ τριετίᾳ· εἶτα οὕτως πολέμου ἀπάρξεσθαι αὖθις. Ταύτην οὖν Μεβώδου οἷα δὴ ἐκ βασιλέως Περσῶν ἀπαγγείλαντος τὴν γνώμην, οἱ τῶν Ῥωμαίων ἄρχοντες παραβήσεσθαι μὲν οἷδε τὰς ξυνθήκας ἥκιστα ἔλεγον· οὐδὲ γὰρ ξυντετάχθαι ἐν ταῖς ἐξεῖναι θατέρῳ βουλομένῳ τῶν μερῶν ἢ τοῦ χρυσίου παντὸς ἤγουν μοίρας τινὸς ὡς τὴν παρασχόμενον ἀναδραμούσης διαρρηγνύναι τὰς σπονδάς. Ὅμως δ' οὖν περὶ τούτων αὖθις ἐν ἀπορρήτῳ ἀλλήλοις Μεβώδης τε καὶ Ζαχαρίας ἐν τῷ αὐτῷ ξυνερχομένω διελεγέσθην, ἐκοινολογοῦντό τε, καὶ προυτίθεσαν τὰ ὅσα ἄμφω τὼ ἄνδρε ᾤοντο χρῆναι εἰρῆσθαι· ἐπειρῶντό τε ἕτερος ἑτέρου, ὅπως ξυνέλθοιεν ἐς καταλλαγὰς αἱ πολιτεῖαι. Καὶ Μεβώδης μὲν ἰσχυρότατά πως ἀπομνύμενος ἦν, ὡς βούλεται τῷ Καίσαρι χρησιμώτατα ἐξειπεῖν * αἰτήσασθαι, καὶ μὲν δὴ ἐπιτηδειότατος εἶναί οἱ· Ζαχαρίας δὲ [ἤρετο], εἰ οἷόντε εἴη λαθραιότατα καὶ ἥκιστα ἐξεπισταμένου τινὸς ὑπὲρ τῆς πόλεως τοῦ Δάρας ῥητόν τι παρασχέσθαι χρυσίον. Ζαχαρίας δὲ ἔφασκε τὰ τοιάδε, ἐπιτετραμμένον αὐτῷ πρὸς τοῦ Καίσαρος, οὐκ ἐς τὸ ἐμφανές, οὐδὲ μὴν ἑτέρου ἐξεπισταμένου τινὸς, ἢ Μαυρικίου τοῦ Παύλου, τὰ μάλιστα εὐνούστατα ὡς τὸν Καίσαρα ἔχοντος, ὃς ἐν τῷ τότε τὸν βασίλειον ἰθύνειν ἐκληρώσατο λόγον· ὥστε ἀμέλει μηδὲ πρὸς τῶν βασιλείων γραφέων τὰ περὶ τοῦ τοιοῦδε γεγράφθαι, τῷ μάλα ἐν παραβύστῳ εἶναι τὰ βεβουλευμένα τῷ Καίσαρι. Γράφει δ' οὖν Ζαχαρίας, ὡς εἴποις σὺ (Ζαχαρίᾳ, ὡς, εἰ λέγοι σοι Nieb.) Μεβώδης λύτρα δῆθεν τοῦ Δάρας τὸν βασιλέα κομίσασθαι Περσῶν, αὐτῷ πεισθήσεται ὁ Καῖσαρ τὰ χρήματα καταθήσειν, καὶ δὴ οὐκ ἐς ἀναβολήν. Ταῦτα τοίνυν Ζαχαρίου, εἰ καὶ μὴ ἀναφανδὸν, ὑπαινιττομένου δὲ ὅμως τῷ Μεβώδῃ, οὐδὲν ὅγε ἔφασκε περὶ τούτου ἐπιτετράφθαι πρὸς τοῦ βασιλέως Περσῶν, οὐδὲ μὴν ἀνέξεσθαι ὅλως ἐπὶ χρήμασι μεταθεῖναι τὸ Δάρας. Διεβεβαιοῦτο [δὲ] ἔμπης, καὶ ὅρκοις τισὶν ἐπετίθει τὸ πιστὸν, ὡς νῦν εἰ προέλθοιεν αἱ ξυνθῆκαι, ὕστερον αἰτοῦντι τῷ Καίσαρι δώσειν ὥσπερ ἐξαίρετόν τι δῶρον τὸν βασιλέα Περσῶν τὴν πόλιν. Πρόδηλος οὖν ἦν ἐντεῦθεν μὴ ἐρρωμένα φρονῶν τῇ Ῥωμαίων ἀρχῇ, ἀλλὰ πόρρω τῆς ἀληθείας φθεγγόμενος, βουλόμενός τε Ῥωμαίους μὲν ἀμαχητὶ ὑπαναχωρῆσαι τῆς Περσαρμενίας καὶ Ἰβηρίας, τελευταῖον δὲ ἀμφὶ τοῦ Δάρας αἰτεῖν καὶ τῶν ἐπηγγελμένων ἥκιστα τυγχάνειν, εἶτα τὴν ἐν ὑστέρῳ βουλὴν, καθὰ δήπου τὸ περιφερόμενον ἐκεῖνό φησι, μὴ ἔχειν ἰσχὺν, ὥσπερ καὶ Σουανίας πέρι ἐν τῷ πρώτῳ ἠπατήθη Πέτρος ὑπὸ τοῦ Ζίχ. Ὁμοίως οὖν καὶ ὁ Μεβώδης ἠβούλετο δράσειν. Ἐπεὶ δὲ ἑώρα Ζαχαρίαν ἐσότι ἐμφρονέστατον καὶ οὐχ οἷόντε ὂν αὐτῷ παρακρούσασθαι τὸν ἄνδρα, ὁ δὲ τὴν ἑτέραν ἐτράπετο, ὡς ἂν τρόπῳ τῇ (τῳ B.) ἀπάτῃ περιέλθοι τοὺς Ῥωμαίους. Ἐπὶ χρόνον γάρ τινα ξυνῄει ἐς ταὐτὸ τοῖς ἀμφὶ Ζαχαρίαν, ἐλπίσι (ἐλπίδα B.) ὑποστρωννὺς, ὡς ἔσοιτο εἰρήνη καὶ ὡς ἐπινεύσοι ὁ Περσῶν βασιλεὺς ἐνδοῦναι Ῥωμαίοις τὸ Δάρας, ταύτῃ οἰόμενος ἐκλύσειν τὴν εἰς τὸν πόλεμον προθυμίαν τοῦ Καίσαρος. Καὶ οὖν ἐν τοιοῖσδε τριβομένου τοῦ χρόνου, καὶ τῶν ἐξ ἑκατέρας πολιτείας πρέσβεων περὶ ταῦτα ἐνησχολημένων, οὕτω τε φερομένου τοῦ ἑῴου πολέμου ἐπ' ἀδήλοις, κατὰ δὲ τὸ τέταρτον ἔτος Τιβερίου Κωνσταντίνου Καίσαρος βασιλείας ἐν τῇ Θράκῃ ξυνηνέχθη τὸ Σκλαβηνῶν

---

inferret : sed prius aurum, quod Romani pro induciis impetrandis, quas Zacharias pepigerat, pependerant, ad rationem ejus temporis, quod de triennio superesset, restituturum, et ita se bellum renovaturum. Hanc quum regis Persarum sententiam esse Mebodes renuntiaret, Romanorum principes, se quidem minime inducias et fœdera transgressuros esse dixerunt : nec pactum esse, ut liceret alteri partium, restituto omni auro aut aliqua ejus parte, fœdera rumpere. De hac re tamen secreto Mebodes et Zacharias ibidem convenientes collocuti disseruerunt. Deinde hi duo viri, communicato consilio, inter se proposuerunt, quæ ad eam rem pertinere existimaverunt. Tum etiam alter alterum percunctatus est, quibus conditionibus inter utramque gentem pax et concordia esset. Et Mebodes asseveranter affirmavit, sibi in animo esse, quæ maxime Cæsari expedirent proponere, et illi quam maxime morem gerere. Zacharias autem rogavit, an fieri posset, ut aurum, si quod esset conventum pro civitate Daras, clam omnibus et nemine id resciente solveretur. Zacharias dixit hoc, quia a Cæsare hoc mandatum occultissime sibi creditum erat, neque ullo alio conscio, quam Mauricio, Pauli filio, qui Cæsari bene ex animo cupiebat, et tunc temporis principis rationes curabat, ut ne ullus quidem imperatoris scribarum quicquam de ea re scriptum haberet, quo Cæsaris consilia secretiora essent. Itaque scripsit ad Zachariam, si ipsi Mebodes polliceretur, regem Persarum accepturum pecunias pro redemptione urbis Daras, Cæsarem nulla mora interposita pecuniam numeraturum esse. Hæc quum non aperte quidem, sed obscurioribus verbis Zacharias Mebodi indicaret, respondit Mebodes, nihil sibi a rege Persarum de ea re mandatum, neque omnino regem Daras pro pecuniis restitui passurum esse. Nihilominus tamen conventa res est et quibusdam juramentis fides præstita : si conventiones, ut tunc se habebant, manerent, regem deinceps Cæsari petenti Daras tanquam peculiare donum traditurum. Qua in re satis apparebat, eum minime salutaria Romano imperio sentire, et quæ a vero abhorrebant, dicere. Nam eo tendebat, ut Romani sine ulla pugna Persarmenia et Iberia excederent : deinde sibi Daras tradi peterent, quod minime obtinerent, nimirum quia quæ in posteriori colloquio constituta essent, tritissima illa excusandi formula, nullam vim haberent : sicut et prius de Suania Petrus deceptus fuerat a Zicho. Idem quoque Mebodes volebat facere. Ubi vero vidit Zachariam cautiorem esse, neque se posse hominem quo volebat pertrahere, alia aggressus est via, ut aliquo modo fraude Romanos circumveniret. Itaque paullo post Zachariam convenit et spem ei subdidit, pacem futuram, et regem Persarum consensurum Daras reddere, eo consilio, ut Cæsaris alacritas et belli cupiditas languesceret. Dum in istis sermonibus legati utriusque gentis occupati tempus terunt,

ἔθνος μέχρι που χιλιάδων ἑκατὸν Θράκην καὶ ἄλλα πολλὰ ληΐσασθαι.

48. (578.)

Exc. De leg. Rom. p. 164. 165: Ὅτι κεραϊζομένης τῆς Ἑλλάδος ὑπὸ Σκλαβηνῶν καὶ ἁπανταχόσε ἀλλεπαλλήλων αὐτῇ ἐπηρτημένων τῶν κινδύνων, ὁ Τιβέριος οὐδαμῶς δύναμιν ἀξιόμαχον ἔχων οὐδὲ πρὸς μίαν μοῖραν τῶν ἀντιπάλων, μή τί γε καὶ πρὸς πᾶσαν (πάντας B.), οὔτε μὴν οἷόστε ὢν πολέμοις σφισὶν ὑπαντιάζειν τῷ ἀνὰ τοὺς ἑῴους πολέμους τὰς Ῥωμαίων τετράφθαι δυνάμεις, πρεσβεύεται ὡς Βαϊανὸν τὸν ἡγεμόνα τῶν Ἀβάρων, τηνικαῦτα οὐ δυσμενῶς ἔχοντα πρὸς Ῥωμαίους, ἄλλως δὲ τῇ καθ' ἡμᾶς πολιτείᾳ χαίρειν ἐθέλοντα δῆθεν εὐθὺς ἐκ προοιμίων τῆς αὐτοῦ Τιβερίου βασιλείας. Ταύτῃ τοι καὶ πείθει γε αὐτὸν κατὰ Σκλαβηνῶν ἄρασθαι πόλεμον, ὡς ἂν ὁπόσοι τὴν Ῥωμαίων δῃοῦσι, τοῖς οἰκείοις ἀνθελκόμενοι κακοῖς, ἐπαρκέσαι τε βουλόμενοι τῇ πατρῴᾳ κατὰ τὸ μᾶλλον, παύσαιντο μὲν τοῦ τὴν Ῥωμαϊκὴν ληηλατεῖν, οἱ δὲ περὶ τῆς οἰκείας τὸν κίνδυνον ἀναδέξονται. Τοῦ Καίσαρος τοίνυν τὴν τοιάνδε ὡς αὐτὸν στείλαντος πρεσβείαν, οὔτι ἠπείθησεν ὁ Βαϊανός. Ἐκπέμπεται δ' οὖν ἐπὶ τούτῳ Ἰωάννης, ὃς δὴ τῶν νήσων διήνυε τὴν ἀρχὴν τηνικαῦτα καὶ τὰς Ἰλλυρίδας ἰθύνειν ἔλαχε πόλεις. Οὗτος παραγενόμενος ἐν Παιονίᾳ τῇ χώρᾳ, μετήγαγεν ἐς τὴν Ῥωμαίων αὐτόν τε τὸν Βαϊανὸν καὶ τὰς τῶν Ἀβάρων δυνάμεις, ἐν ταῖς δὴ λεγομέναις ὁλκάσι μακραῖς τὰ βαρβαρικὰ διαβιβάσας πλήθη. Καὶ λέγεται ἀμφὶ τὰς ξ' χιλιάδας ἱππέων θωρακοφόρων ἐς τὴν Ῥωμαίων διαπορθμευθῆναι. Ἐνθένδε αὖθις διὰ τῆς Ἰλλυριῶν διαγαγὼν, εἶτα ἐς τὴν Σκυθῶν ἀφικόμενος, ἔμπαλιν διελθεῖν παρεσκεύασε τὸν Ἴστρον ἐν ταῖς καλουμέναις ἀμφιπρύμνοις τῶν νεῶν. Ἐπειδὴ δὲ ἐπεραιώθη ἐς τὸ καταντικρὺ τοῦ ῥείθρου, παραχρῆμα τάς τε κώμας ἐνεπίμπρα τῶν Σκλαβηνῶν καὶ ἐσίνετο τοὺς ἀγροὺς, ἦγέ τε καὶ ἔφερεν ἅπαντα, οὐδενός πω τῶν ἐκεῖσε βαρβάρων θαρρήσαντός οἱ ἐς χεῖρας ἐλθεῖν, ἐς τὰ λάσια δὲ καὶ κατηρεφῆ τῆς ὕλης καταπεφευγότων. Ἡ δὲ τῶν Ἀβάρων κίνησις κατὰ Σκλαβηνῶν [ἐγίνετο] οὔτι γε μόνον τῆς τοῦ Καίσαρος ἕνεκα πρεσβείας καὶ τῷ βούλεσθαι τὸν Βαϊανὸν Ῥωμαίοις ἐκτῖσαι χάριν ἀνθ' ὧν ἐς τὰ μάλιστα ἐφιλοφρονεῖτό γε αὐτὸν ὁ Καῖσαρ, ἀλλ' ὅτι γε αὐτῷ καὶ ἔχθιστοι ὑπῆρχον ἰδίας ἕκατι δυσμενείας. Ἔστειλε γὰρ ὡς αὐτὸν Δαυρέντιον καὶ τοὺς ὅσοι ἐν τέλει τοῦ ἔθνους ὁ τῶν Ἀβάρων ἡγούμενος, σφᾶς τε ὑπακούειν κελεύων Ἀβάροις, καὶ ἐς φόρου ἀπαγωγὴν ἔσεσθαι ἀναγράπτους. Δαυρίτας δὲ καὶ οἵ γε ξὺν αὐτῷ ἡγεμόνες, « Καὶ τίς ἄρα, ἔφασαν, οὗτος πέφυκεν ἀνθρώπων, καὶ ταῖς τοῦ ἡλίου θέρεται ἀκτῖσιν, ὃς τὴν καθ' ἡμᾶς ὑπήκοον ποιήσεται δύναμιν; κρατεῖν γὰρ ἡμεῖς τῆς ἀλλοτρίας εἰώθαμεν, καὶ οὐχ ἕτεροι τῆς ἡμεδαπῆς. Καὶ ταῦτα ἡμῖν ἐν βεβαίῳ, μέχρι πόλεμοί τε ὦσι καὶ ξίφη. » Οὕτως ἀπαυθαδισαμένων τῶν Σκλαβηνῶν, οὐκ ἄλλως καὶ οἱ Ἄβαροι διετέλουν χρώμενοι μεγαληγορίαις. Εἶτα ἐκ τούτου προπηλακισμοὶ καὶ ὕβρεις. Καὶ ἅτε βάρβαροι, τῷ σκληρά τε καὶ ὀγκώδη φρονήματα ἔχειν, τὴν ὡς ἀλλήλους ἀνεσόβησαν ἔριν. Καὶ οἱ Σκλαβηνοὶ τὸ σφῶν αὐτῶν ὀργίλον οὐχ οἷοίτε ὄντες ἐγχαλινῶσαι τοὺς ἐκεῖσε ἀφιγμένους πρέσβεις ἀναιροῦσιν, ὡς ἑτέρωθεν ἀμέλει ἔκπυστα γενέσθαι ταῦτα Βαϊανῷ. Τοῦτο τοιγαροῦν κατὰ Σκλαβηνῶν ἐπίκλημα ποιούμενος ἐκ πολλοῦ ὁ Βαϊανὸς, καὶ ὑποκρύφιον ἔχων

Intereaque bellum in Oriente in suspenso fuit, circa quartum imperii Cæsaris Tiberii Constantini annum centum fere millia Sclavorum in Thraciam irruperunt atque hanc multasque alias regiones prædati sunt.

48.

Quum a Sclavinis Græcia vastaretur, et undique alia ex aliis pericula imminerent, neque Tiberius satis copiarum haberet, quibus ne unam quidem partem hostium, nedum conjunctas eorum vires sustineret, neque ullo modo hostibus obviam ire posset, propterea quod Romanorum vires ad Orientis bellum conversæ erant, legatum misit ad Baianum, Avarum ducem. Is tunc temporis non erat erga Romanos male animatus, imo quo tempore primum Tiberius imperium suscepit, jure rei publicæ nostræ frui cupiebat. Huic igitur persuasit, ut cum Sclavinis bellum susciperet, quo illi, qui Romanorum terras invaserant, ad sua defendenda propriis malis revocarentur, et quum patriæ suæ opitulari potius ducerent, rapinas agere ex Romanæ ditionis terris desinerent. Hac igitur legatione ad Baianum a Cæsare decreta, ei nequaquam non obtemperavit. Ad ea procuranda Joannes mittitur. Huic tunc insularum, quæ in eo tractu erant, præfectura et Illyricarum urbium administratio erat demandata. Is quum Pæoniam accessisset, Baianum et Avarum copias, longis navigiis flumine trajecto, in Romanorum fines traduxit. Sexaginta fere equitum armatorum millia transiisse dicuntur: quæ ubi huc perduxerat, ea rursus per Illyricum Scythiam versus iter facere, et iterum Istrum navigiis, quæ utrinque puppim habebant, transvehi jussit. Baianus, in ulteriorem fluminis ripam transgressus, confestim vicos et pagos Sclavinorum igni ferroque vastavit, et quum nemo barbarorum auderet cum illo manus conserere (etenim in silvas et cavernas aufugerant), omnia, quæ potuit, rapuit. Atque huic Avarum in Sclavinos eruptioni non solum Cæsaris legatio causam dedit, aut quod Baianus Romanis gratiam referre vellet, quod eum Cæsar liberalitate prosecutus fuerat, sed etiam eum privatæ inimicitiæ movebant, quia Baianus Sclavinis vehementer erat infensus. Miserat enim Avarum dux ad Daurentium, Sclavinorum ducem, et eos qui apud gentem auctoritatem habebant, ut Avaribus dicto audientes essent, et eorum numero se adscribi sinerent, qui tributa illis pendebant. At Dauritas et gentis principes: « Quis hominum, inquiunt, est? num quis solis radiis tepescit, qui nostram potentiam possit sibi subigere et domare? Aliorum enim regionis dominatum acquirere solemus, non alii nostræ; hoc nobis certum manet, donec erunt bella et enses. » Ad hunc modum superbe et arroganter loquentibus Sclavinis, non minori superbia et arrogantia erga eos Avares sunt usi. Hinc in probra et convicia itum, et ut barbarorum est ferox et impotens ingenium, in rixas et contentiones inter se præcipi-

ὡς αὐτοὺς τὸ ἔχθος, καὶ ἄλλως ἀσχάλλων, ὅτι αὐτῷ ὑπήκοοι οὐκ ἐγένοντο, μή τί γε πρὸς αὐτῶν καὶ τὰ ἀνήκεστα πεπονθέναι, καὶ ἅμα μὲν χάριν εἰδέναι βουλόμενος τῷ Καίσαρι, ἅμα καὶ πολυχρήματον τὴν χώραν εὑρήσειν οἰόμενος, ἅτε ἐκ πολλοῦ τῆς Ῥωμαίων ὑπὸ Σκλαβηνῶν.... [πεπορθημένης], τῆς δὲ κατ' αὐτοὺς γῆς πρὸς ἑτέρου τινὸς πάντων ἐθνῶν οὐδαμῶς.

49. (578.)

Exc. De leg gent. p. 124: Ὅτι ὁ Καῖσαρ ἔστειλε κατὰ τὴν Ἰταλίαν χρυσίον συχνόν, ἄχρι κεντηναρίων τριάκοντα, ἅτινά γε δήπου Παμφρόνιος ὄνομα, ἀξίωμα βασιλέως πατὴρ, ἐκομίσατο ἐκ τῆς πρεσβυτέρας Ῥώμης, κατὰ δὴ τὴν βασιλίδα τηνικαῦτα ἀφιγμένος ἐπὶ τούτῳ, ἐφ' ᾧ δεήσεις τῷ Καίσαρι προσαγαγεῖν τῇ Ἰταλίᾳ ἐκτετρυχωμένῃ ταῖς τῶν Λογγιβάρδων ἐπιδρομαῖς ἐπαμῦναι. Ὁ δὲ Καῖσαρ, ἐπεὶ αὐτῷ ὁ πόλεμος ὁ Περσικὸς ἅπαντα ἦν καὶ ἐνέκειτό γε ὅλος, ἐκεῖσε στρατιὰν οὐχ οἷός τε ἦν ἐκπέμπειν. Οὐδὲ μὴν ἅμα τῇ ἕῳ καὶ κατὰ τὴν ἑσπέραν πολεμητέα γε αὐτῷ εἶναι ἐδόκει. Χρήματα δὲ ἄλλως ἐπέδωκε Παμφρονίῳ, ἐφ' ᾧ τινας τῶν ἡγεμόνων τοῦ Λογγιβάρδων ἔθνους, εἴ πως γε ἔσται αὐτῷ δυνατὰ, πείσοι τοῦ κέρδους ἱμείραντας μεταβαλέσθαι ὡς Ῥωμαίους ξὺν τῇ κατ' αὐτοὺς δυνάμει, καὶ τοῦτο μὲν τῇ Ἰταλίᾳ μὴ ἐνοχλεῖν, τοῦτο δὲ καὶ κατὰ τὴν ἕω πολεμησείοντας καὶ τῇ Ῥωμαίων ἐπικρατείᾳ ἐπικουρῆσαι. Ἀπειθούντων δὲ τῶν Λογγιβάρδων, οἷα εἰκὸς, τὴν ἑτέραν ἰέναι, καί τινας τῶν Φραγγικῶν ἡγεμόνων διὰ τῆς τῶν χρημάτων ἐπιδόσεως ἑταιρίσασθαι, καὶ ταύτῃ γε λεῆναί τε καὶ ἐκτρίψαι τῶν Λογγιβάρδων τὴν δύναμιν.

50. (578.)

Exc. De leg. Rom. p. 165. 166: Ὅτι ἡνίκα Τραϊανὸς καὶ Ζαχαρίας ὁ βασίλειος ἰατρὸς τὰς σπονδὰς ἐτίθεντο, παρ' ἕκαστον τηνικαῦτα τῶν ὁπωσοῦν προϊόντων λόγων ἢ καὶ γραφομένων ἐν ταῖς ξυνθήκαις, εἴγε Τραϊανὸς ἢ Ζαχαρίας, ἐφ' οἷς οἱ Πέρσαι ἔπρασσον, οἵγε οὐκ ἠβούλοντο ξυνομολογεῖν, Μεβώδου τηνικαῦτα ἢ σιωπᾶν καὶ μόνον τὸ προσταττόμενον δέχεσθαι κελεύοντος, ἢ τουτονὶ τὸν ἄνδρα ἀπειλοῦντος αὐτοῖς ἐπαφήσειν, καὶ ἅμα τῷ λόγῳ ἐπιδεικνύντος τὸν Ταναχοσρὼ (l. Τανχοσδρὼ) τηνικαῦτα τοῖς ὁρίοις ἐφεστηκότα τῆς ἑῴας, καὶ δὴ τέλος ἐπαφέντος, καὶ πλείστας ὅσας κώμας τε καὶ ἀγροὺς ἐμπρήσαντος, ἕως οἵ γε ἀμφὶ Τραϊανὸν αὐτοὶ τὸ χρυσίον ἧκον κομίζοντες τῶν σπονδῶν. Καὶ τοσαύτῃ δήπου χρησαμένου κατὰ Ῥωμαίων ὕβρει Μεβώδου, ὡς μηδὲ ἀξιῶσαι τὰ εἰρηναῖα χρήματα ἐν τοῖς μεθορίοις κομίσασθαι, ἐγκελεύσασθαι δὲ Ῥωμαίοις ἐς τὴν Νίσιβιν ἀποσῶσαι, ἕτερά τε οὐκ ἀνεκτὰ περὶ τὴν τοῦ χρυσίου παράληψιν καταυθαδισαμένου τε καὶ ἐπεντρυφήσαντος αὐτοῖς· ὕστερον δὲ ἐς τοῦτο αὐτὸ περιελθεῖν καὶ δεηθήσεσθαι Ῥωμαίους Χοσρόης ἐλπίσας, εἴγε καταπροτερήσοι τὸν τῆς ἐφόδου καιρὸν τῶν σπονδῶν ἀφροντιστήσας, ἢ καὶ δράσειν ἴσως τι μέγα, καὶ καταπλαγέντα τὸν Καίσαρα τελέως τῆς Περσῶν Ἀρμενίας τε καὶ Ἰβηρίας καὶ τῶν ἐκείνῃ χωρίων ἀποστήσεσθαι, παρὰ πολὺ τὴν τῆς ἕω δῄωσιν τῆς Περσαρμε-

---

tes ferri. Sclavini quum iræ moderari nequirent, legatos, qui ad se venerant, occiderunt, quod ipsum per alios Baianus resciit. Quum igitur a multo inde tempore hoc haberet quod illis objiceret, reconditum odium in pectore gerebat, atque adeo, quia imperata facere noluerant, moleste ferebat, præterquam quod summam injuriam ab illis acceperat; tum quoque Cæsari gratificari volebat. Accedebat quod multum auri se in eorum regione reperturum sperabat, quia Sclavini vicinas Romanorum terras sæpe vastaverant, ipsorum autem fines a nulla alia gente unquam infestati erant.

49.

Cæsar misit in Italiam magnam auri vim ad triginta centenaria, quæ Pamphronius nomine, dignitate patricius, a vetere Roma ad imperatorem attulerat. Is tunc ad regiam venerat, ut precibus a Cæsare impetraret, ut Italiam a Longobardorum excursionibus oppressam in libertatem vindicaret. Cæsar vero, cui omnia præ bello Persico nullius momenti erant, quippe qui totus in illud incumberet, exercitum mittere non potuit, neque bellum in Oriente et in Occidente simul sibi gerendum statuit. Sed pecunias dedit Pamphronio, quibus, si qua posset, aliquos Longobardorum commoveret, ut ad Romanos transirent una cum eorum exercitu, et Italiam minime turbarent. Quod efficerent, si in Orientem arma vertere vellent et Romanis auxilium ferre. Si Longobardi renuerent, ut verisimile erat, aliam viam eum ingredi jussit, et Francorum ducum aliquos mercede sibi socios adjungere, et hac ratione Longobardorum potentiam labefactare et infringere.

50.

Trajanus et Zacharias, imperatoris medicus, quum de induciis componendis agerent, neque ullam conditionum earum, quæ tum a Persis verbis aut scripto paciscendi causa proponebantur, sive Trajanus sive Zacharias probarent, Mebobes tandem aut silere eos et præscripta accipere jussit, aut se hunc hominem (demonstrabat autem Tanchosdrum) immissurum minatus est, qui tum prope fines Orientis, qua Romanis parebat, constitutus erat. Postremo immissus Tanchosdrus, plurimos vicos incendit, et agros populatus est, donec Trajanus ipse cum comitibus advenit, qui aurum pro fœderibus afferrent. Et Mebodes tanta erga Romanos usus est contumelia, ut non dignaretur pecunias pro fœderibus conventas in limitibus accipere, sed juberet Romanos ipsorum periculo Nisibim deportare, multaque alia non toleranda in exactione pecuniæ erga Romanos superbe et contumeliose se gerens commisit. Chosroes enim in spem adducebatur, si, neglecto fœdere, opportune incursionem facere auderet, fore ut eodem quoque postea res recideret, et Romani supplicarent, aut si forte aliquod egregium facinus ederet, Cæsarem perterrefaceret, qui tandem Persarmenia et Iberia et locis finitimis cederet, et pluris vastationem Orientis Persarmeniorum et Iberorum cessione faceret. Certior etiam Chosroes factus erat, Cæsarem quam maximum præparare exercitum, et jam navigia

νίων τε καὶ Ἰβήρων προσχωρήσεως ἡγούμενον· ἅμα δὲ καὶ ἐπέπυστο Χοσρόης παρασκευάζειν στρατιὰν ἐς τὰ μάλιστα πολλὴν τὸν Καίσαρα, καὶ ἤδη στέλλειν κατὰ τὴν ἑῴαν ἱππαγωγοὺς ὁλκάδας· ὀλίγῳ πρότερον ἢ αἱ τριετηρίδες σπονδαὶ τελευτήσεσθαι ἔμελλον, πρὸ ἡμερῶν δήπου τεσσαράκοντα ἐπαφίησι κατὰ τῆς Ῥωμαίων γῆς τῆς ἐκ τῶν ὁρίων τοῦ Δάρας ἐς τὴν μέσην τῶν ποταμῶν στρατιὰν ἱππικὴν, ἀμφὶ τὰς εἴκοσι χιλιάδας, ἧς περὶ τὰς δώδεκα μὲν ἦσαν Πέρσαι, θυρεοφόροι τε καὶ ἱπποτοξόται, Σαρακηνοὶ δὲ καὶ Σαβεῖροι.... [ὧν ξυμπάντων ἦρχον οἱ suppl. Nieb.] σὺν τοῖς Ῥωμαίων ἄρχουσι περὶ τοῦ πῶς δεῖ προελθεῖν τὴν ἐν γένει ὀρεινὴν [εἰρήνην? Nieb.] διασκεπτόμενοι. Ὃ δὴ καὶ μάλιστα ἀλαζονείας τε καὶ ἀναισχυντίας οὐ μικρὰν προσῆψε τῷ Χοσρόῃ δόξαν, τάς τε ξυνθήκας οὕτω πως ἀναιδῆν οὐκ ὀκνήσαντι ξυγχέαι, καὶ ταῦτα ὀλίγης πρὸς τὸ πέρας αὐτῷ ἐνδαψιλευομένης παραδρομῆς ἡμερῶν· καὶ ὅτι γε τὸν αὐτὸν, ἅτε δὴ ἐπεγγελῶν Ῥωμαίοις, ἅμα τε καὶ περὶ εἰρήνης διαλεχθησόμενον ἐν τοῖς ὁρίοις ἐχειροτόνησεν καὶ ἅμα ἐν τοῖς αὐτοῖς χωρίοις, ἐν αὐταῖς ὡς εἰπεῖν ταῖς ἡμέραις πολέμου τε καὶ ταραχῆς καὶ σπονδῶν συγχύσεως αἴτιον. Τοῦτον δὴ οὖν τὸν Μεβώδη βουλευμάτων τε ἡγούμενον καὶ τοῦ παντὸς ἔχοντα κῦρος ὁπλίσας ἐξέπεμψε· πρός γε καὶ Σαπώην τὸν Μεαιράνου (Μαιράνου fr. 52), ἀνδρὸς οὐκ ἀγεννοῦς ἀπενεγκάμενον δόξαν.

51. (578.)

Exc. De leg. gent. p. 125 : Ὅτι οἱ Μῆδοι δεδιότες τὴν τῶν Ῥωμαίων εἰσβολὴν κατὰ τῆς Περσῶν ὅσον οὔπω ἐσομένην, καὶ ἐπανιόντες τὸ λεγόμενον Θαυνάριος φρούριον, χηρεῦον Ῥωμαϊκῆς ἐπικουρίας, ἐν κατοχῇ ἐποιήσαντο· καὶ ἐπ' οἴκου ἀνεχώρησαν, μηδὲν τὸ παράπαν τῆς ἀναισχύντου τῶν σπονδῶν ξυγχύσεως ἄξιόν τι πορισάμενοι, μήτε μὴν μέγα τι Ῥωμαίους βλάψαντες, ὡς ὑπωπτεύθησαν τὴν ὀργήν.

52. (578.)

Ibidem p. 125 : Ὅτι Ταχοσδρὼ (l. Τανχοσδρὼ) σαφῶς ἐξεπιστάμενος καὶ αὐτὸς τὴν Χοσρόου βουλὴν, ὡς Μεβώδης ἀναπτερώσας αὐτὸν εἴη μὴ μεῖναι τὸ πέρας τῶν τριετηρίδων σπονδῶν, αἵ γε ἀμφὶ τῆς ἕω ἐμπεδωθεῖσαι ἐτύγχανον, καὶ ὅτι οὕτω δοκοῦν αὐτῷ ἀναμφιβόλως ἐμβαλεῖν αὐτόν τε Μεβώδην καὶ Σαπώην τὸν Μαιράνου κατὰ τῆς πρὸς τὴν ἕω τῶν Ῥωμαίων ἐπικρατείας, εἴτε προστεταγμένον οἱ τοιάδε ἐκ Χοσρόου, εἴτε καὶ αὐτομάτως τοῦτο σκοπῶν ἐφ' ἑαυτοῦ, ὥσπερ ἀμέλει δευτέραν ἀφεὶς ἄγκυραν, ἐκτραπεὶς ἀπὸ τοῦ Κιθαρίζων ὥρμησε καὶ αὐτὸς κατὰ τῆς Ῥωμαίων ἐν ἀνατολῇ χώρας ἀπὸ τῶν Ἀρμενίας ἐμβολῶν, διπλῆν ἐκεῖσε τὴν ταραχὴν ποιησόμενος.

53. (578.)

Suidas v. Ἐμβριθῆ νοῦν : Μένανδρος· « Ὁ δὲ Τανχοσδρὼ, ὁ τοῦ Χοσρόου στρατηγὸς, οὐχὶ ἐλέφαντάς τε καὶ ἀγροίκων ὅμιλον καὶ ἕτερα ἄττα φόβητρα, κόμπῳ μὲν ἁρμόδια, ἐνεργὰ δὲ καὶ ἐμβριθῆ οὐδαμῶς, ἀλλὰ τοὺς μαχιμωτάτους τε καὶ εὐοπλοτάτους ἀγείρας, πλήθους τε ἀγεννοῦς ἀντάλλαγμα τοὺς τὰ πολέμια δεινοὺς ἀποκρίνας. » Καὶ αὖθις· « Ἑστάναι τε ἐμβριθέστατα καὶ ἐπαμύνειν τῇ πόλει. »

Eadem repetuntur v. Τανχοσδρὼ, ubi glossam delevit Bernhardyus. Ceterum num ad hunc potissimum Historiæ locum hæc pertineant, nescio.

54. (579. Tiberii an. 2.)

Exc. De leg. Rom. p. 166–168 : Ὅτι ὁ Τιβέριος

---

ad equites transvehendos in Orientem mittere. Itaque paulio antequam triennales induciæ finituræ essent, quadraginta fere dies, Chosroes ex finitimis locis Daras immittit in mediam regionem fluviorum viginti millia equitum, quorum duodecim millia erant Persæ scutiferi et sagittarii; Saraceni autem et Sabiri... cum ducibus Romanorum.... dispicientes. Hoc autem non parvam attulit Chosroi vanæ gloriæ et impudentiæ apud omnes opinionem, quod inducias, tametsi pauci admodum dies usque ad exitum restabant, impudenter violare non est cunctatus. Accedebat quod, quasi Romanos irridens, eundem delegerat, qui in confiniis cum iis de pace ageret, quique in iisdem locis eodem tempore et belli et tumultus et violandarum induciarum auctor esset. Is erat Mebodes, dux et auctor omnium eorum consiliorum. Hunc, qui summam omnium rerum haberet auctoritatem, cum exercitu misit, et una cum ipso Sapoem, Meærani filium qui magnam virtutis laudem reportaverat.

51.

Persæ, veriti ne Romani in fines suos irrumperent, Thaunarium castellum, nudatum præsidio Romanorum, invadentes, occuparunt et domum reverterunt, quum nihil dignum tam turpi fœderis violatione fecissent, et minime tanta damna, quanta initio sibi proposuerunt, Romanis intulissent.

52.

Quum Tanchosdro quoque Chosrois consilia rescivisset, Mebodem Chosroem in eam mentem impulisse, ut non exspectaret diem qua finiebant triennales induciæ quæ in Oriente conventæ fuerant, et illum imperasse Mebodi et Sapoæ, Mærani filio, invadere Romanorum ditionem in Oriente, ipse, sive hoc mandatum fuerat a Chosroe, sive sua sponte apud se eandem rem animo volvisset, tanquam scilicet secundam ancoram jaciens, a Citharizôn castello egressus, in Romanorum ditionis regiones, quæ ad Orientem erant, impetum fecit, circa Armeniæ aditus duplicem tumultum et terrorem oblaturus.

53.

« Tanchosdro autem, Chosrois copiarum dux, non elephantas turbamque rusticorum, et hujus generis terriculamenta, ad ostentationem quidem apta, vim autem et efficaciam nullam habentia collegit, sed viros bellicosos et egregie armatos, selectis his, qui in re bellica excellerent imbellis multitudinis loco. » — Et alibi : « Gradu stare firmissimo et urbem fortiter defendere. »

54.

Tiberius addidit decreto aliud deo maxime gratum. Multos enim Persas Romanorum captivos, præcipue ex pri-

καὶ ἕτερόν τι προστίθησι τῷ δεδογμένῳ, καὶ ἐς τὰ μάλιστα θεῷ κεχαρισμένον. Πολλοὺς γὰρ τῶν παρὰ Ῥωμαίοις δορυκτήτων Περσῶν, μάλιστα τοὺς ἐν τέλει, ὧν ἔνιοι καὶ τῷ βασιλείῳ γένει ξυνημμένοι ἦσαν, ἔστειλε Χοσρόῃ δωροφορήσας. Εἶτα πρέσβεις ἐπὶ τῷ τοιῷδε ἐξέπεμψε Ζαχαρίαν τε αὖθις, τὸν βασίλειον ἰατρὸν, ἅτε πολλάκις χρησιμώτατά τε καὶ εὐνούστατα ἐξυπηρετησάμενον ταῖς κατὰ τὸν πόλεμον τοῦτον πρεσβείαις. Τοῦτον δὴ οὖν τὸν ἄνδρα τῇ λεγομένῃ ἀπὸ ἐπάρχων ἀξίᾳ διακοσμήσας ἐχειροτόνησε καὶ πάλιν, καὶ δὴ πρεσβευσόμενον ἀφῆκεν, οἷα δὴ καὶ αὐτοῦ Ζαχαρίου τὴν πρεσβείαν ταύτην γενέσθαι ξυνωθήσαντος· σὺν τῷ καὶ Θεόδωρόν τινα, ἕνα τῶν βασιλείων μαχαιροφόρων, ἀξίωμα καὶ αὐτῷ στρατηγοῦ περιθείς. Τούτω τὼ ἄνδρε πρεσβευσομένω ἀπονείμας Χοσρόῃ ἐξέπεμψεν, ἔγραψέ τε ἐπιεικείας ἀνάπλεα ῥήματα. Ὁ δὲ νοῦς τῆς ἐπιστολῆς· « Ἐγὼ καὶ βούλομαι τὴν εἰρήνην καὶ διὰ τὸ θεόσδοτον οὖσαν ἀσπάζομαι· καὶ ὥσπερ φύσει τινὶ προσιζάνει μοι τὰ τῆς φιλίας ὑμῶν. Τοιγαροῦν ἑτοίμως ἔχω τῆς Περσαρμενίας τε πάσης ἀφίστασθαι καὶ Ἰβηρίας, οὐ μὴν τῶν βουλομένων ἡμῖν ὑπακούειν Περσῶν Ἀρμενίας τε καὶ Ἰβήρων. Ἀναδίδωμι δὲ καὶ τὸ Ἀφουμῶν φρούριον, καὶ τῆς Ἀρζανηνῆς ὑμῖν παραχωρήσω, τὸ Δάρας μόνον ἀντὶ τοσούτων ἀνακομιζόμενος πρὸς ὑμῶν. » Ταῦτα Τιβέριος ὁ αὐτοκράτωρ Χοσρόῃ σημήνας, ἐφῆκε Ζαχαρίᾳ τε καὶ Θεοδώρῳ καὶ μεγίστων πρέσβεων ἔχειν ἰσχὺν καὶ τὴν εἰρήνην ὡς ἂν οἷοίτε ἔσοιντο διατιθέναι. Μετὰ ταῦτα τῆς ὁδοιπορίας ἔτι σχομένω, σταλέντε ἄνδρε οὕτω παρασχὸν, καὶ Χοσρόης ὁ Περσῶν βασιλεὺς καταπλαγεὶς τοῖς ξυμβεβηκόσι, προφθάσας ἐκπέμπει ὡς τὸν Ῥωμαίων αὐτοκράτορα πρεσβευτὴν, καὶ ἀφικνεῖται χειμῶνος ἀρχομένου ἤδη ὃς ἐπὶ τῇ πρεσβείᾳ ἐχειροτονήθη Πέρσης ἀνὴρ, τοὔνομα Φερογδάθης, οὐχ ἧττον καὶ αὐτὸς φιλανθρωποτάτους ἐν ἐπιστολῇ διακομίζων λόγους πρὸς τοῦ Περσῶν βασιλέως, ἐν ᾗ ἐγέγραπτο ὧδε· « Εἰ μὲν τὸ δίκαιον ποιῆσαι βουληθείης, ὦ Ῥωμαίων βασιλεῦ, καλῶς ἂν πράξοις τούς τε τὴν ἀποστασίαν τῆς Περσαρμενίας βουλεύσαντας γενεάρχας ἐκδιδοὺς ἡμῖν ὑφέξοντας ποινὰς, ἐν τοῖς ὁρίοις τε τῆς Περσῶν τε καὶ Ῥωμαίων ἀναρτηθησομένους· διδοὺς δὲ καὶ τὴν ἐντεῦθεν συμβᾶσαν ζημίαν Πέρσαις. Εἰ δὲ πρὸς ταῦτα ἐναντίως ἔχεις, πρᾶξαι τὸ φίλοις πρέπον· τοῦτο δέ ἐστι ξυνδραμεῖν ἐν τοῖς ὁρίοις αὖθις τοὺς ἑκατέρας ἄρχοντας πολιτείας, τὰ τῆς εἰρήνης, ὡς ἂν δύναιντο, μεταξὺ (τῶν) ἀλλήλων διαθησομένους· ἐφ᾽ ᾧ δὲ τὰ τοιαῦτα προελθεῖν, ἀνακωχὴν γενέσθαι τινά. » Ὧδε μὲν οὖν καὶ ἡ Χοσρόου ἐδήλου ἐπιστολή· πλείστων δὲ ἡμερῶν κατὰ τὴν βασιλίδα πόλιν διαγενομένων ἐν ταῖς ἐν μέσῳ συνουσίαις Τιβερίου τοῦ βασιλέως καὶ Φερογδάθου τοῦ Περσῶν πρεσβευτοῦ, γράφεται μὲν ἀπιοῦσιν ἐπὶ τὴν πρεσβείαν Ζαχαρίᾳ τε καὶ Θεοδώρῳ τοῖς πρέσβεσιν ἐνδιατρίψαι κατὰ τὴν ἕω, καὶ οὔ τι μάλα ἐν σπουδῇ θέσθαι δηλῶσαι σφῶν αὐτῶν τὴν παρουσίαν βασιλεῖ τῶν Περσῶν, πρὶν ἢ ἐκ τῆς βασιλίδος ἀφεθείη Φερογδάθης ὁ Περσῶν πρεσβευτής. Προελθόντων δὲ καὶ κεκινημένων ἐσότι πλείστων λόγων, ἐκπέμπει τὸν Φερογδάθην ὁ βασιλεὺς ἐπὶ τούτοις, οἷς δὴ καὶ πρὸ τοῦ ἐγεγράφει διὰ τῶν Ῥωμαίων πρέσβεων. Ἐκεχειρίαν δὲ οὔτι ᾤετο δεῖν ἐπὶ μήκιστον χρόνον ἐνδιδόναι Πέρσαις· ἀποχρῆν γὰρ ἔφασκε τῷ βουλομένῳ τὴν εἰρήνην καὶ μὴ διὰ τῆς τοῦ χρόνου πλείονος ἀπάτης προμηθευο-

mariis viris, quorum numero erant nonnulli ex regio genere orti, dono dedit Chosroi. Deinde legatos ad hæc misit, inter eos Zachariam iterum, regium medicum. Hic plures et admodum Romanorum rebus utiles legationes in hoc bello fecerat. Itaque eum ad hanc legationem imperator elegit, et dignitate exconsulis ornatum ad illam obeundam dimisit, quod et ipse Zacharias legatos mittendos esse inprimis admonuerat, una quoque Theodorum quendam ex imperatoris satellitibus, quem ad ducis dignitatem extulit. Hos igitur duos viros, quibus hanc legationem attribuit, ad Chosroem misit, ad quem literas quoque humanitatis plenas scripsit. Sententia hujus epistolæ hæc fere erat : « Ego pacem opto, et a deo datam colo, et tamquam naturali quodam instinctu ad vestram amicitiam feror. Itaque paratus sum, omnem Persarmeniam et Iberiam vobis concedere, præter eos Persarmenios sive Iberos, qui nobis parere malint. Restituo et Afumum castellum, et Arzanene vobis cedo, modo oppidum Daras pro his omnibus a vobis obtineam. » Hæc Tiberius imperator per Zachariam et Theodorum, quibus maximorum legatorum potestatem dedit, Chosroi literis significavit. His etiam pacem pro arbitrio, ut res ferrent, facere permisit. Et illis quidem, dum adhuc iter faciebant, accidit ut Chosroes quoque, Persarum rex, iis quæ illi contra sententiam evenerant, perculsus, propere ad Romanorum imperatorem legatum mitteret, qui jam hieme ineunte profectus erat. Is erat vir Persa, qui ad hanc legationem fuit delectus, nomine Pherogdates, et a Persarum rege ad imperatorem literas non minus humanas et officiosas detulit. Hæ sic se habebant : « Siquidem rem justam facere velles, imperator Romanorum, recte quidem te gereres, si Persarmenios genearchas defectionis auctores nobis traderes, ut meritas pœnas mihi darent, et in finibus Persarum et Romanorum suspenderentur ; et si damna Persis illata rependeres. Si ista improbas, amicis officia debita ne deneges. Hoc feceris, si dederis operam ut utriusque rei publicæ primarii viri in confiniis conveniant, et pacem, si fieri possit, inter utramque gentem statuant et stabiliant. Quæ ut ad exitum perducantur, oportet belli intermissionem fieri. » Atque hæc epistola Chosrois continebantur. Dum Pherogdates, Persarum regis legatus, in regia urbe cum Tiberio imperatore plures dies transigit, Zachariæ et Theodoro, qui in legationem profecti erant, per literas significatur, ut in Oriente subsistant, neque suum adventum Persarum regi indicare festinent, priusquam a regia urbe Pherogdates sit dimissus. Tandem imperator Pherogdaten dimittit, quum multos cum illo habuisset sermones de his quæ prius ad Romanorum legatos scripserat. Inducias in longissimum tempus Persis concedendas esse non putabat. Sufficere enim duorum aut trium mensium spatium ei qui bona fide pacem tueri instituisset, neque per fraudem

μένῳ παρασκευῆς ἀφορμὴν, καὶ δύο μηνῶν ἢ τριῶν παραδρομήν. Καὶ οὖν ἀπῆρεν ἐπὶ τοῖς τοιοῖσδε ὁ Φερογδάθης ἐκ τοῦ Βυζαντίου.

55. (579.)

Ibidem p. 168—171: Ὅτι Ῥωμαῖοι καὶ Πέρσαι ξυνεστήσαντο ἂν τὴν εἰρήνην, εἰ μὴ Χοσρόης ᾤχετο ἐξ ἀνθρώπων καὶ Ὁρμίσδας ὁ Χοσρόου, ἀνοσιουργὸς ὄντως ἀνὴρ, τὴν κίδαριν ἀνεδήσατο. Οἶμαι μὲν οὖν ἔγωγε οὐκ ἄλλως, πλὴν ἀλλὰ καὶ ὡς ἐκυρώθη, ἅτε Χοσρόου ἔτι περιόντος, Ζαχαρίαν τε καὶ Θεόδωρον ἐσφοιτῆσαι ἐς τὴν Περσῶν πρεσβευσομένους. Οὔποι γὰρ τὴν τῶν Σύρων παραμετψάμενοι ἦσαν, καὶ οὐδὲν ὅ τι τῆς Ῥωμαίων ἐνηλλάγη πρεσβείας. Διὸ καὶ ἐκ βασιλέως αὐτοῖς γράμματα ἐστάλη ἔχεσθαι τῆς ὁδοιπορίας ἐπὶ τοῖς αὐτοῖς· γνῶναι μὲν γὰρ ἐν μέσῳ τὴν Χοσρόου τελευτὴν, ὅμως δὲ καὶ πρὸς τὸν ἐκείνου παῖδα οὐκ ἄλλως φρονεῖν, ἑτοίμως δὲ ἔχειν τὸν πόλεμον ἐπὶ τοῖς ἤδη Χοσρόῃ γραφεῖσι καταλῦσαι· ἔτι γε μὴν καὶ τοὺς ἀφεθέντας αἰχμαλώτους ὡς ἂν ἐγχειρίσωσι τῷ Περσῶν βασιλεῖ. Προσημήναντες τοίνυν οἱ Ῥωμαίων πρέσβεις σὺν πολλῇ τε τιμῇ καὶ εὐφημίᾳ κατὰ τὴν Νίσιβιν ἐγένοντο· ἐν θαύματί τε μεγίστῳ ἐποιοῦντο Πέρσαι τὴν Ῥωμαίων ἀμφὶ τοὺς δοριαλώτους φιλανθρωπίαν. Ἐν τούτῳ δὲ καὶ Τιβέριος ὁ αὐτοκράτωρ στέλλει αὖθις, τοῦ ἦρος ἀρχομένου, Μαυρίκιον κατὰ τὴν πρὸς ἀνίσχοντα ἥλιον ἀποκαραδοκήσοντα τὸ ἐσόμενον, ἐγκελευσάμενός οἱ, πρὸς ὅπερ ἂν ὁ Περσῶν βασιλεὺς τραπῇ, ὑπαντιάζειν τε καὶ παρασκευάζεσθαι πρὸς ἑκατέραν τῶν πραγμάτων ῥοπήν. Καὶ ὁ μὲν, καθὰ βασιλεῖ ἐδόκει, ἀνὰ τὴν ἕω ἔμενε, τὸ πρακτέον ἐπιτηρῶν· προϊόντων δὲ τῶν πρέσβεων ἐς τὰ ἤθη Περσῶν, ἐπειγομένων τε θεάσασθαι τὸν ἄρτι τῷ βασιλείῳ θρόνῳ ἐπιβεβηκότα, οἰομένων τε ἐς τὰ μάλιστα τεύξεσθαι τιμῆς, οὐ μὴν ἀλλὰ καὶ τῶν σπουδαζομένων οὔτε (οὐδενὸς Nieb.) ἀποτεύξεσθαι (οἷα μετὰ τοσαύτην νίκην πράους τε καὶ πάσης αὐθαδείας ἀπηλλαγμένους τοῦ Ῥωμαίων βασιλέως ἐπικομιζόμενοι λόγους· καὶ ὡς οὐ μόνον ἄχρι ῥημάτων αὐτῷ τὸ φιλάνθρωπον, μᾶλλον μὲν οὖν ἔργοις ἐπιδεικνυμένου, τῷ τοσούτους δοριαλώτους τοῖς Πέρσαις αὐτοὺς ἐπαναγαγεῖν), τούτων ἐλπιζόντων γε αὐτῶν κυρῆσαι ἀναμφιβόλως, ἐς τοὐναντίον ξυνέβη ἅπαν. Πρῶτον μὲν γὰρ κατὰ μέσον τῆς ὁδοιπορίας τῶν τις παρὰ Πέρσαις τοῖς βασιλικοῖς τε καὶ δημοσίοις πράγμασιν ἐξυπηρετουμένων (οὓς, εἴ τις τῇ Λατίνων χρήσοιτο φωνῇ, ἀσηκρῆτις προσαγορεύσειεν) ὑπαντιάσας ἤρετο σφᾶς ὅ τι βούλοιντό τε καὶ ὅ τι ἥκοιεν, καὶ ὁποίαν ἀποκομίζοιεν ἀγγελίαν. Ἀλλὰ τούτῳ μὲν οἵγε ἀμφὶ Ζαχαρίαν τε καὶ Θεόδωρον ὧδε ἀπεκρίναντο, ὡς τὰ τοιάδε τῷ παρὰ Πέρσαις μαγίστρῳ (καθὰ τοῦτον καλοῦσι Ῥωμαῖοι) ῥητέον, καὶ οὐχὶ αὐτῷ. Ταῦτα εἰπόντες εἴχοντο τῆς ὁδοῦ. Ἐξ ἐκείνου ἧκεν ἕτερός τις ἐκ Περσῶν, ὃς ἔτριβε τὴν ὁδοιπορίαν αὐτοῖς καὶ διαμέλλειν ἐποίει, βραδυτῆτος χρώμενος ἐπινοίαις, ἰέναι τε ἐς τὰ πρόσω μὴ συγχωρῶν. Σταθμοῖς τε γὰρ πλησιαιτέροις καὶ παρασάγγαις ὀλίγοις ἐχρῆτο, ἄλλοτε ἄλλους χώρους περιφέρων τε καὶ ἀποπλανῶν, κἀκ τούτου τὰ κάκιστά σφισι προεδήλου, καὶ ἐδείκνυ τῇ περὶ τὴν ὁδοιπορίαν πλάνῃ οὐδέν τι φιλοφροσύνης ἐχόμενον ἢ τῆς προσηκούσης αἰδοῦς πρέσβεσιν. Ἦν δὲ τὸ πραττόμε-

---

longioris temporis apparatus faciendi occasionem quæreret. His ita confectis discessit a Byzantio Pherogdates.

55.

Romani et Persæ sane pacem fecissent, nisi Chosroes ex hominum numero sublatus, et Hormisdas, ejus filius, ferocis ingenii vir, cidari redimitus fuisset. Ceterum non aliter, quam ut decretum erat, tanquam adhuc superstite Chosroe, Zachariam et Theodorum puto Persiam intrasse, legationem obituros. Etenim tunc temporis nondum Syriam transgressi erant, neque quicquam ideo ex eorum legatione mutatum est. Itaque literæ ab imperatore illis redditæ sunt, ut continuarent iter: sibi quidem nuntiatum esse, inter id temporis Chosroem mortem obiisse; verumtamen, se esse eodem in filium animo, et paratum, secundum ea quæ a Chosroe scripta erant, a bello discedere; neque propterea omitterent Persas captivos, libertate donatos, in manus regis Persarum tradere. Itaque Romanorum legati, nuntiis præmissis, cum honore et faustis acclamationibus Nisibim pervenerunt. Et Persæ quidem Romanorum erga captivos humanitatem magnopere sunt admirati. Interea Tiberius imperator, vere ineunte, rursus misit Mauricium in orientalem imperii partem, qui, quod eveniret, exspectaret, et illi imperavit, ut regi Persarum, quocumque se verteret, occurreret: et in quamcunque partem res caderent, ad omnes casus se præpararet. Et ille quidem, ut rex præceperat, in Oriente substitit, et observabat quid facto opus esset. Quum igitur legati in Persidem venissent, Persarum regem, qui recenter in regium solium ascenderat, salutare magnopere cupiebant, et spem habebant, sibi non solum multum honoris et humanitatis impertitum iri, sed etiam, quæ peterent, sese impetraturos. Etenim post tam insignem victoriam sermones afferebant ab imperatore Romano comitate et humanitate plenos et ab omni insolentia remotos. Neque vero solum se verbis comem et benignum præbebat imperator, verum etiam re ipsa, quum tot captivos Persis restitueret. Et ex eo putabant fore ut, quæ sperabant, sine controversia consequerentur. Sed universa res in contrarium vertit. Primum enim unus ex his qui regi in negotiis et regiis et publicis ministerium præbent, quos Latini a secretis vocant, obvium se media via legatis tulit, et eos est percunctatus, quid vellent, qua de causa venirent, et quid nuntii afferrent. Huic Zacharias et Theodorus responderunt, id non illi, sed magistro (ut loquuntur Romani) dicendum. Hæc ubi dixerant, viam perrexerunt. Post hunc alius quoque ex Persis venit, qui peregrinationem illis impediebat: tardius enim de industria incedebat, et eos cunctari faciebat, neque ulterius progredi sinebat; propiores stationes eligebat et paucas parasangas conficiebat, et ex aliis locis in alia loca huc illuc errantes et palantes traducebat: et in eo se illis male cupere satis indicabat. Etenim eos nulla humanitate colebat, et nulla habita ratione obser-

νον ἐξ ἐπιβουλῆς τε καὶ μελέτης, ὥστε ἐπισχεῖν σφᾶς ὅσον ἂν χρόνον οἷοίτε ὦσιν, ἐν τούτῳ τὴν κατὰ δύναμιν ποιησομένους τοῦ πολέμου παρασκευήν, τὰ ἐπιτήδειά τε συναθροίσοντας ἀποτεθησόμενα κατὰ δὴ τὸ ὅσον οὔπω ἀναγκαῖον ἐς Νίσιβίν τε καὶ τὸ Δάρας τὰς πόλεις, ἔτι γε μὴν καὶ τὰ πέραν τοῦ Τίγριδος ποταμοῦ καὶ τὰ τῇδε φρούρια ἀνάπλεα θέσθαι τῶν ἐδωδίμων ὡς ἀκρίδος οὕτω ξυμβὰν καταδηλησαμένης τοὺς ἐκείνῃ καρπούς, καὶ ἅμα ἐρημωθέντων κατὰ τὴν προλαβοῦσαν Ῥωμαίων ἐπιδρομὴν ἁπάντων τῶν κατὰ ταῦτα χωρίων, λιμοῦ τε σφοδροτάτου τοῖς ἐκεῖσε ἐνσκήψαντος, πρὸς δέ γε ἐφ' ᾧ καὶ στρατολογῆσαι, ἅτε πολεμησείοντος ἐς τὸ ἐμβριθὲς τοῦ βασιλέως Περσῶν. Ἐπεὶ δὲ ταῦτα αὐτοῖς ἐξεβούλευτο, μόλις μετὰ πλείστας ὅσας ἡμέρας ἐδόθη τοῖς πρέσβεσιν ἐς τὰ βασίλεια ἐσφοιτῆσαι. Καὶ τὰ μὲν πρῶτα, καθὰ τῇ συνηθείᾳ ἐδόκει, θοινησάμενοι καὶ τὸ ἐκ βασιλέως γράμμα ἐγχειρίσαντες, πρός γε καὶ τοὺς δοριαλώτους ἀποδεδωκότες, ἐνθένδε ἀνεχώρησαν, φιλοφροσύνης μηδὲν ὁτιοῦν εὑρηκότες. Τῇ δὲ ὑστεραίᾳ ὁ παρὰ Πέρσαις τῆς αὐλῆς ἡγεμὼν καὶ Μεβώδης ἐπυνθανέσθην τὴν δύναμιν τῆς πρεσβείας. Τῶν δὲ εἰπόντων, ὅτι δὴ περὶ εἰρήνης ἥκοιεν πρεσβευσόμενοι, αὐτίκα οἵγε οὐ δὴ προσίεντο τοὺς περὶ τούτων αὐτῶν λόγους, φάσκοντες οὐκ ἐπιτετράφθαι τι τοιοῦτον, ἀλλὰ συλλαβὰς ἀποδόντας ἀντιλαβεῖν χρῆναι, καὶ ὡς θᾶττόν γε δήπου τῆς Περσῶν ἀπαλλαγῆναι. Ἐν φανερῷ τοίνυν ποιησαμένων τὴν ἐφιεῖσαν αὐτοῖς τοῦτο κέλευσιν, ἔγνωσαν ἐν βραχεῖ, ὅ τι δύναται ἡ ἐπιστολὴ τοῦ Ῥωμαίων αὐτοκράτορος, καὶ τὴν ἄφιξιν τῆς πρεσβείας ἅπασαν, ὡς ἕτοιμος εἴη κατασβεννύναι τὰ ἐκ τοῦ πολέμου χαλεπά, καὶ τὴν περιμάχητον αὐτοῖς Ἀρμενίαν ἅπασαν ἀμαχητὶ ἐνδοῦναι, παραχωρῆσαι δέ σφισι καὶ Ἀρζανηνῆς, ἀντιχαριζόμενος τοῦ Δάρας τὸ Ἀφουμῶν φρούριον. Ἐδέξατο μὲν οὖν καὶ αὖθις αὐτοὺς βασιλεὺς ὁ Περσῶν, τραχύτητι δὲ χρώμενος πρὸς ἕκαστα τῶν φιλανθρώπως γεγραμμένων οὔτε ἀποστήσεσθαι ἔφη πώποτε τοῦ Δάρας, οὐ μᾶλλόν γε ἢ τῆς Νισίβιος ἢ Σηγγάρων, ἅπερ καὶ αὐτὰ ἐκ Ῥωμαίων ἀπισχυρίζετο ἔχειν Πέρσας, οὔτε μὴν ἐλαττώσειν τι τῶν πατρῴων κτημάτων, ἀλλ' εἰ μὲν οἷόντε ἐστίν, ἐς αὔξησιν αὐτὰ ἐνεγκεῖν, εἰ δὲ μή, ἀλλὰ γὰρ καταλελειμμένα φυλάξειν. Χοσρόην μὲν γὰρ τὸν πατέρα ἔφη, ὅς, εἴγε περιῆν, ἴσως τὸ τοιόνδε ἔπραξεν ἂν καὶ τὸ Δάρας ἀφῆκε Ῥωμαίοις. Τῷ γὰρ προσκτησαμένῳ τι καὶ τοῦτο ἀποβεβληκότι οὐχ οὕτως αἰσχρόν· αἰσχύνη δὲ ὁμοίως ἅπασιν ἀνθρώποις καταπροέσθαι τὰ πατρῷα. Ταῦτα εἰρηκώς, διὰ Μεβώδου πάλιν αὐτοῖς ἐποίησε κατάδηλον ὡς « ἐπὶ τίνι μέγα φρονοῦντες ἀξιοῦσι πρὸς ἡμῶν ἀνακομίζεσθαι τὸ Δάρας; ποῖον νενικηκότες πόλεμον; ποίοις ἐγκαλλωπιζόμενοι τροπαίοις; ποῖ δῆτα καθυπέρτεροι γενόμενοι Περσῶν; ἀλλ' ὅτι ἀπειρίας δραξάμενοι τοῦ Ταχοσδρὼ (Ταγχ.), καὶ περιαγαγόντες αὐτὸν ἐς ἄλλοτε ἄλλους χώρους, ἐπειδὴ περιπλανωμένου ἐξ Ἀρμενίας ἐκείνου εἰς Ἀρζανηνὴν καὶ ἀπὸ Ἀρζανηνῆς ἐς Ἀρμενίαν ἄδειαν ἔσχον οἱ Ῥωμαῖοι καταδραμεῖν τὴν ἕω Περσῶν· τῷ τοι ἄρα βρενθύονται ἴσως καὶ μεγαλαυχοῦσιν, ὑποτοποῦντες ἐν ἐλάττονι μοίρᾳ τὰ ἡμέτερα κεῖσθαι. Ἴστωσαν οὖν, ἔφη, Ῥωμαῖοι, ὡς οὐδὲ ἄλλως ἀνέξομαι τῆς εἰρήνης, εἰ μή πω κατατιθέναι μέλλοιεν καὶ τὰ ὅσα πρὸς βασιλέως Ἰουστινιανοῦ ἐκομιζόμεθα χρήματα ἀν' ἔτος. »

---

vantiæ, quæ legatis debetur, viarum erroribus fatigabat. Et id quidem Persæ data opera et præmeditato consilio faciebant, quo legatos morarentur et quam diutissime detinerent, ut maximum interea belli apparatum facerent, et copias frumenti ad quamvis necessitatis occasionem paratas in urbibus Nisibi et Daras congererent, atque etiam ultra Tigrim amnem castella necessariis copiis implerent; quia locustæ in illis regionibus omnes agrorum fruges consumpserant, et proximis Romanorum incursionibus agri desolati permanserant. Itaque acerbissima fames instabat, præsertim quum rex Persarum ad grave bellum suscipiendum exercitus pararet. Quum Persæ hoc consilii cepissent, vix post multos dies permissum est legatis, in regiam pedem inferre. Et primum quidem, ut moris est, sunt convivio excepti; quo facto, postquam literas ab imperatore tradidissent et captivos reddidissent, quum eos Persæ nullo liberali et benigno sermone dignati essent, discesserunt. Postridie aulæ apud Persas præfectus et Mebodes eos interrogaverunt, quæ esset ipsorum legationis potestas. Quum legati respondissent, se, ut de pace agerent, venisse, nullos de ea re sermones Persæ admiserunt, nihil ejusmodi sibi demandatum esse, dicentes. Itaque literas eos proferre, et vicissim accipere, et quam primum a Persarum finibus excedere jusserunt. Et quum legati mandata sua exhibuissent, Persæ omnia, quorum causa legatio decreta esset, cognoverunt: ut imperator paratus esset, mala ex bello orta sopire et Armeniam, de qua tot certamina fuissent, sine prœlio eorum juris et potestatis facere; quin et Arzanene cedere, et pro Daras oppido Afumorum castellum illis tradere. Denuo Persarum rex legatos excepit, et ad ea quæ imperator ad illum perhumane scripserat, acerbe admodum et arroganter respondit, se nunquam urbe Daras cessurum non magis, quam Nisibi aut Singaris, quas urbes a Romanis per vim captas haberent Persæ, neque quicquam ex possessionibus, quas illi pater reliquerit, se diminuturum, sed potius, si non auctiores faciat, saltem quantum in se esset, intacta conservaturum. « Pater Chosroes, inquit, si vixisset, fortasse eo descendisset, et Daras Romanis restituisset. Ei enim, qui ipse imperii fines protendit, parta rursus amittere, non tam turpe est. Pudori autem est omnibus hominibus paterna profligare. » Hæc ubi dixerat, rursus per Mebodem alia fere hujusmodi suggessit: Quanam de causa elati Romani Daras ab ipsis recipere poscant, qua victoria potiti, quibus tropæis se jactantes? ubi denique superiores Persis evaserunt? Imperitia quidem et imprudentia Tanchosdri res bene gesserunt; dum ipsum ex una regione in aliam circumagunt, et modo ex Armenia in Arzanenen, modo ex Arzanene in Armeniam excurrere cogitur, regionem Persarum, quæ est ad Orientem, depopulati sunt. Hoc est fortasse, quod magnos spiritus gerunt, quo superbiunt, existimantes deteriore conditione res nostras prostratas jacere. « Sciant Romani, inquit, me non

Τοσαύτῃ μεγαληγορίᾳ χρησαμένου Ὁρμίσδα, μόλις ἀφείθησαν Ζαχαρίας τε καὶ Θεόδωρος, ἄχρι τριῶν ἤδη φθινόντων μηνῶν ἐκεῖσε ἐνδιατρίψαντες, πάντων δὲ τῶν δυσχερῶν ἐς πεῖραν ἐλθόντες· καὶ γὰρ οὐδὲ ὅσον ἀέρα καθαρὸν ἀναπνεῦσαι, οὐ μὴν προκύψαι ἐκ τοῦ τέγους, ἵνα ἐνδιαιτώμενοι ἦσαν, ξυνεχώρουν οἷς ἡ φυλακὴ τῶν πρέσβεων ἀνειμένη ἐτύγχανε· τό τε δωμάτιον αὐτὸ ζοφῶδές τε ἦν καὶ διάπνευτον (ἀδιάπνευστον Nieb.) καὶ ὥρᾳ θέρους ἐς τὰ μάλιστα ἀναρμόδιον, ὡς δοκεῖν εἶναι τὸ χρῆμα εἱρκτήν. Τοῖς τοιοῖσδε τοίνυν δεινοῖς ἐκτετριμμένους διαφῆκαν, πολλῷ δυσκολώτερον αὖθις πρὸς τὴν ἐπάνοδον αὐτοῖς χρησάμενοι, ὡς μήτε τῶν ἀναγκαίων ἐς τὸ ἀποχρῶν σφισι μεταδιδόναι, τρίβειν τε τὸν χρόνον καὶ μακροτέραν αὐτοῖς τὴν πορείαν ἐργάζεσθαι. Μιᾶς γὰρ ἡμέρας ὁδὸν σφᾶς ἀγαγόντες ἐπὶ τὰ πρόσω, τῇ ἐφεξῆς δι' ἑτέρας ἀτραποῦ ἐς τοὔμπαλιν ἐπανῆγον, ἕως πολλῶν ἀνιαρῶν αὐτοὺς ἀναπλήσαντες, ὡς καὶ ἑκάτερον ἀμέλει νόσῳ βαρυτάτῃ περιπεσεῖν, ἐξώθησαν (ἐξώσθησαν? Hœsch.) τῆς Περσῶν. Ἀφικομένης δὲ ταύτης τῆς ἀγγελίας παρὰ βασιλέα Ῥωμαίων καὶ παρὰ τὴν πάντων ἐλπίδα προσπεσούσης (οὐ γὰρ ᾠήθη πώποτε Πέρσας ἐπὶ σμικροῖς οὕτω καὶ λίαν συμμέτροις τὴν εἰρήνην μὴ προσδέξασθαι), Μαυρικίῳ μὲν εἰκότως ἐσήμαινεν ἔχεσθαι τοῦ πολέμου κατὰ τὸν προχωροῦντα τρόπον, καὶ τὰ ἄλλα περιεσκόπει, ὡς ἂν ἀμηγέπη οἷόστε ἔσοιτο βοηθῆσαι τοῖς πράγμασιν. Οἱ (Τῷ Bekk.) δὲ τὰ μὲν ἄλλα οὐκ εἶχε κακῶς τὸ στράτευμα· καὶ γὰρ τὴν διανομὴν τῶν χρημάτων ἐπεποίητο.

56. (579.)

Suidas v. **Μαυρίκιος**: Οὗτος δὲ προχειρίζεται στρατηγὸς τῆς ἑῴας ὑπὸ Τιβερίου Καίσαρος. Ὁ Μαυρίκιος ἐν πολέμοις μὲν καὶ ἀγῶσιν οὐκ ἦν ἐντεθραμμένος, ἔμφρων δὲ ἄλλως καὶ ἐμβριθὴς καὶ κατηκριβωμένος, ξυγκεράσας τε ἐν ἑαυτῷ ἄμφω τὰ ἐναντίως ἔχοντα ἀλλήλοις, ὄγκον φρονήματος καὶ πρᾳότητα, πάσης ὑπεροψίας τε καὶ ὀφρύος ἐλευθέραν. Τοιοῦτον δή τινα τὸν Μαυρίκιον ὄντα ἡ τῶν πραγμάτων ἡγεμονία παραλαβοῦσα, ἀνέδειξέ πως εὐκλεέστερον τῇ πείρᾳ.

Nonnulla horum repetuntur v. Ὄγκος. Menandri locum esse conjecit Valesius.

57. (580. Tiberii. an. 3.)

Exc. De leg. gent. p. 125. 156: Ὅτι πολιορκούντων Ῥωμαίων τὸ Χλωμάρων, καὶ προσβολὰς ἐν κύκλῳ ποιουμένων, τάς τε ἑλεπόλεις μηχανὰς περιστησάντων, πρὸς δέ γε καὶ ὑπονόμους ἔνερθεν ὑπορυττόντων ἐς τὸ ἀφανὲς, στέλλει Βιγγάνης ὡς Μαυρίκιον τόν (τε) τοῦ φρουρίου ἀρχιερέα· Χριστιανοὶ γὰρ ἦσαν οἱ τῆς Ἀρζανηνῆς ἅπαντες. Ταύτῃ τοι, ὡς αἰδοῦς ἀξιωθησόμενον πρὸς Ῥωμαίων Χριστιανῶν ὄντων τὸν προεστῶτα τῶν ἱερῶν τοῦ Χριστοῦ, ἱκετεύειν ἐπέτρεψε τῷ μυσταγωγῷ, εἰληφότας ὁπόσος ἦν αὐτοῖς χρυσός τε καὶ ἄργυρος ἀπαναστῆναι καὶ μὴ πέρα πονεῖν. Οὔτε γὰρ ἐνδώσειν ποτὲ, Βιγγάνου τὸν ἥλιον ὁρῶντος, τοὺς ὅσοι γε ἐς τὸ Χλωμάρων εἰσὶ Ῥωμαίοις ἑαυτούς· προσμενόντων τε τῇ πολιορκίᾳ Χριστιανῶν ἔσεσθαι τὸ διαφθειρόμενον πλῆθος, καὶ ἀσεβήσειν Ῥωμαίους πρὸς θεὸν περιορῶντας ἀναιτίως τοὺς ἔνδον ἀπολλυμένους. Ταῦτα Βιγγά-

alijs conditionibus pacem fieri permissurum, quam si persolvant omnes pecunias quas Justinianus singulis annis nobis pendere erat solitus. » Hac insolenti oratione Hormisda uso, vix tribus demum post mensibus elapsis, Zacharias et Theodorus difficillima et gravia quæque experiendo perpessi, missionem obtinuerunt. Neque enim purum aera haurire, neque libere ex tecto, sub quo diversabantur, in apertum exire eorum custodiæ præpositi permittebant. Domus vero, in qua habitabant, erat obscurior, et quum in eam aura nulla perflaret, æstate inprimis valde molesta erat; denique re vera domus carcer esse videbatur. His igitur malis et incommodis attritos et confectos multo graviora in reditu passuros dimisit. Nam nec illis rerum necessariarum copiam, quoad satis esset, administrabant, diem de die ducebant, et longioribus itineribus eos fatigabant. Etenim quam viam uno die confecerant, eam postridie retro eos ducebant, donec multis ærumnis conflictati, ita ut uterque in gravissimum morbum incideret, tandem Perside excesserunt. Cujus rei nuntius quum ad imperatorem afferretur, et præter omnem exspectationem illi accideret (non enim existimaverat, quum Romani ita faciles et moderatos se præbuissent, fore ut Persæ a pace abhorrerent), jure et merito Mauricio præcepit, ut bellum strenuo pararet, et cetera omnia ita instituit, ut omni modo suis rebus consuleret. Neque vero exercitus quoad cetera male habebat. Stipendia enim persoluta fuerant.

56.

Mauricius a Tiberio Cæsare dux copiarum per Orientem constitutus est: non ille quidem in bellis atque certaminibus innutritus, sed prudens vir et gravis et accuratus. Qui duas res maxime inter se contrarias in se conjunxit, summam animi magnitudinem et mansuetudinem arrogantia et supercilio plane vacuam. Talis quum esset Mauricius natura, ipsa experientia longe gloriosiorem eum demonstravit.

57.

Quum Romani Chlomaron oppidum obsiderent et armatis hominibus cingerent, et machinas, quibus urbes capiuntur, admoverent, cuniculi quoque subterranei in occulto subter terram ducerentur, Biganes misit urbis Episcopum (erant enim Christiani omnes incolæ Arzanenæ), quem Romanos, quia Christiani erant, majore reverentia et honore excepturos, tanquam sacrorum antistitem, existimavit, ad Mauricium, eumque orare jussit, ut accepto quicquid apud obsessos erat auri et argenti, Romani obsidionem solverent, neque ultra in vanum laborarent. Neque enim unquam, quamdiu Bigani solem intueri liceret, Christianos, qui in oppido essent, Romanis sese tradituros. Quodsi obsidionem continuarent, fore ut Christianorum multitudo periret. Ex quo fieret ut Romani impii erga deum essent, qui Christianos, qui intra oppidum essent, sine ulla sua

-της ἀδήλου. Μαυρίκιος δὲ πολλά τε καὶ ἐπαγωγὰ τῷ ἱερεῖ διαλεχθεὶς καὶ τοῖς ἅμα αὐτῷ πρὸς ἱκετείαν ἀφικομένοις, πίστεις τε εὐνοίας πρὸς τοῦ ἱερέως εἰληφὼς, ἀπαγγέλλειν ἐκέλευσε Βιγγάνῃ, ὡς, εἴπερ ἑαυτὸν ἐνδώσει Ῥωμαίοις, ἀξιώματός τε μείζονος ἤπερ ἐφ' οὗ νῦν ἐστι παρὰ Πέρσαις ἀξιωθήσεται πρὸς Ῥωμαίων, κτήσεώς τε διπλασίας καὶ ἄλλης εὐπορίας γενήσεται κύριος. Καὶ ἕτερα δὲ, ὁπόσα ἦν ἐφολκὰ, εἰπὼν ἀφίησιν αὖθις ἔνδον τοῦ φρουρίου γενέσθαι τὸν ἱερέα καὶ τοὺς ξὺν αὐτῷ. Ἀλλὰ γὰρ ὁ Βιγγάνης εὐνούστατα ἔχων ὡς βασιλέα Περσῶν καὶ ἐς τὴν κατ' αὐτὸν πολιτείαν, ἔτι γε μὴν τῷ χώρῳ πίσυνος, ἥκιστα ταῖς μεγίσταις ὑποσχέσεσι Μαυρικίου τὰ ὦτα ὑπέσχε, καὶ ταῦτα βάρβαρος ὢν οὐκ ἀφηνίασε τοῦ πρέποντος, τὴν δὲ ἐξ ἀρχῆς δουλείαν τιμιωτέραν ἡγήσατο πλούτου. Στέλλει δὲ αὖθις τὰ ἐς ἁγιστείαν τοῦ θεοῦ ἀνειμένα, περιρραντήριά τε καὶ ἐκπώματα καὶ ἄλλα ὅσα τιμαλφέστατα σκεύη, ὡς Μαυρίκιον, καθάπερ ἀμέλει λύτρα τούτου τοῦ φρουρίου ταῦτα ὑποδέχεσθαι ἀντιβολῶν, τὴν πολιορκίαν καταλύσοντα. Ἀτὰρ ὁ στρατηγὸς ἐπειδὴ ταῦτα ἐθεάσατο, οὐ προσήκατο, καίτοι ἐρίτιμα τυγχάνοντα· ἥξειν γὰρ ἔφασκεν οὐ τὰ ἱερὰ σκυλεύσων οὔτε μὴν Χριστῷ μαχησόμενος, ἀλλὰ σὺν Χριστῷ πολεμήσων, καὶ μᾶλλον ἐξαιρησόμενος τοὺς ὁμοδόξους πρὸς τῶν οὐκ ὀρθὰ φρονούντων Περσῶν. Εἶτα ἐν ἀπορρήτῳ ἔλεξε τῷ ἱερουργῷ ὅσα ἐχρῆν, συνεχώρησέ τε αὖθις εἴσω γενέσθαι τοῦ φρουρίου. Ὡς δὲ ἐπανῆκε τὸ τελευταῖον ὁ ἱερεὺς ὁ βάρβαρος, καὶ οὐδὲν ὁτιοῦν ἐς τὸ ἰθὺ τῆς γνώμης ἐφθέγξατο, ἐς τοὐναντίον μὲν οὖν τὰ Περσῶν ἐπεφώρατο ἀσπαζόμενος, ξυλλαμβάνεται μὲν ὅγε καὶ οἱ ξὺν αὐτῷ, αὖθις δὲ ἐγκελευσαμένου τοῦ στρατηγοῦ, εἴχοντο τῆς πολιορκίας οἱ Ῥωμαῖοι.

58.

Suidas v. Ἀπετάφρευον : Μένανδρος· « Οἱ Ῥωμαῖοι γὰρ οὐκ ἀπετάφρευον τὸ πρότερον, οὔτε μὴν ἐν ἐπιστήμῃ πάμπαν τὸ τοιόνδε εἶχον πρότερον, ἢ Μαυρίκιον τὸν Παύλου ἡγήσασθαι τοῦ ἑῴου πολέμου· ἐπειδὴ δὲ (ὅτε) τὴν στρατηγίαν εἶχεν ἡγεμονεύουσαν αὐτῷ τῆς ἐπὶ τὴν βασιλείαν ἀτραποῦ, τὸ τοιόνδε ῥαθυμίᾳ παροφθὲν ἐς τὸ δέον ἐπανήγαγε. Ῥωμαίοις γὰρ μὴ βουλομένοις ἦν τὸ χρῆμα, καὶ εἰς λήθην κατώλισθεν· πόνος γὰρ ὄκνῳ πολέμιος. »

59.

Exc. De sent. p. 362. 363 : Ὅτι ὡς ἔοικε, πρὶν ἢ Μαυρίκιον ἡγεμονεῦσαι τοῦ στρατοῦ, τὰ κατὰ τῶν δασμοφορούντων ἀδικήματα ἔσφηλε Ῥωμαίους. Ταύτῃ τοι κατά τινα θεήλατον ὀργὴν τὰ δοκηθέντα οὐκ ἐτελέσθη, ἀλλὰ γὰρ καὶ ἀπέσκηψεν εἰς τοὐναντίον. Φιλεῖ γάρ πως τὸ θεῖον ἄδικα πεπραχόσιν οὔτ' οἰομένοις τὰς ποινὰς ἐπιφέρειν, ὡς ἂν τῷ παραλόγῳ τῶν ἀποβάντων σωφρονίζοιντο πλέον.

Ἀφεστηκότος γὰρ ἔτι τοῦ τῶν πολεμίων στρατοῦ καὶ τὸ πλῆθος τῆς Ῥωμαϊκῆς [δυνάμεως] δεδιότος, καιροφυλακοῦντος δὲ εἴ πῃ διασπασθεῖεν καὶ δώσοιεν αὐτοὶ τῆς καθ' ἑαυτῶν ἐφόδου καιρὸν ἀσύμφορον· ἔδοξε δέ τισι τοὺς ἅμα πάντας ἀπροσμάχους νομιζομένους, τού-

---

culpa misere perire paterentur. Hæc Biganes prædicavit. At Mauricius, quum comiter multa cum episcopo esset collocutus, et cum his, qui una ad exorandos Romanos venerant, bona fide utrinque jurejurando firmata, eum renuntiare jussit Bigani, si se Romanis traderet, in majore honore eum apud Romanos futurum, quam nunc apud Persas sit, et possessionem duplo ampliorem et omnium rerum affluentiam nacturum; pluraque alia, quibus illum alliceret, dictitans, dimisit sacerdotem et eos qui cum eo erant, ut in urbem reverterentur. Sed Biganis summa erat erga regem et rem publicam Persarum voluntas, et magna loci fiducia. Itaque quamvis barbarus esset, maximis Mauricii pollicitationibus minime aures præbuit, neque ab honesto recessit. Justam enim et legitimam servitutem erga eum, qui regno præerat, longe divitiis honorificentiorem duxit. Quamobrem iterum aquiminaria et pocula et alia pretiosiora vasa, quæ dei cultui inserviebant, ad Mauricium misit, orans, ut ea pro oppidi redemptione sumeret et ab obsidione desisteret. Sed dux ubi hæc vidit, quamvis magni pretii essent, tamen contempsit. Illuc enim dixit se venisse, non ut sacra expilaret, aut Christo bellum faceret, sed potius ut Christo opitulante et favente bellum gereret, et recta de fide sentientes contra Persas, qui a vera dei cognitione aberrarent, tueretur. Deinde quædam secreto cum sacerdote, quæ ad negotium, quod inter eos tractabatur, pertinebant, collocutus, concessit, ut rursus in oppidum rediret. Postremo ut rursus sacerdos exiit nihil quicquam, quod ex re esset, afferens, sed aperte Persarum rebus faveret, ipse et qui cum eo erant jussu ducis in vincula conjecti sunt. Romani vero obsidionem continuarunt.

58.

Romani antea castra sua fossis non muniebant, nec rei ejus rationem ullo modo norant, priusquam Mauricius, Pauli filius, in Oriente belli dux constitueretur. Ille vero postquam ad ducatum est evectus, quæ postea ipsi viam ad imperium munivit, rem prædictam per socordiam jamdiu intermissam in usum revocavit. Romani enim laborem ejusmodi defugiebant, remque oblivioni tradiderant. Labor enim ignaviæ inimicus est.

59.

Antequam Mauricius ductaret exercitum, injuriæ, ut arbitror, adversus stipendiarios populos rem Romanam labefactaverant. Eam ob rem atque ob cœlestem nescio quam iram suscepta consilia successu caruerunt, immo contrarium exitum nacta sunt. Solet enim numen iniquis nec opinantibus pœnas infligere, ut subitis casibus modestiores reddantur.

Nam quum adhuc hostilis procul esset exercitus, copiarumque Romanarum numerum pertimesceret, atque idoneum tempus exspectaret, dum hæ fortasse dispergerentur, atque incursioni hostili cum ipsorum damno patescerent; visum est nonnullis optimum fore, si, qui conjunctim in-

τους κατὰ τὴν πολεμίαν διαιρεθέντας εὐεπιχειρήτους ποιῆσαι.

Ὅτι εἰπὼν περὶ [τῶν] ὀκτακοσίων λευκῶν ἵππων τῶν ὑπὸ Ἀζαρέφθου ἁλόντων καὶ ἐς θρίαμβον ἀχθέντων, φησὶν ὁ ἱστορικὸς Μένανδρος· « Ταῦτα μὲν ἡ ἀβουλία καὶ ἡ καταφρόνησις ἡλίκα κατεργάζονται κακὰ παραστῆσαι βουλομένῳ λέλεκται, καὶ ὡς ὁ θεὸς, ἡνίκα ἂν οὐ ξυνεπιλαμβάνηται, καὶ τὰ δοκοῦντα εὖ βεβουλεῦσθαι περιάγεται ἐς τοὐναντίον, καὶ ὡς ἄγαν χαλεπὸν καὶ πολιτείαν διαφθεῖραι δυνάμενον τὸ τῶν ὑπηκόων ἀνήκοον. Μαυρίκιος μὲν γὰρ ὁ τῶν Ῥωμαίων στρατηγὸς εὖ βεβουλευμένος, καὶ καθ' ὅσον οἷόν τε ἦν ἀνθρώπῳ προέγνω τὰς ἀδήλους τῶν πράξεων ἀποβάσεις, τῇ δὲ τῶν ἄλλων στρατηγῶν ἀκοσμίᾳ τὸ (τῷ Bekk.) μὴ φυλάξαι τὰ πρὸς αὐτοῦ εἰρημένα τε καὶ παρεγγυηθέντα ἐς ἔσχατον κινδύνου τὰ Ῥωμαίων ἤλασε πράγματα. Καὶ οὐχ ἡ σταλεῖσα μὲν πρὸς τοῦ ἡγεμόνος κατά τε τὸ Δούβιον καὶ Ἰβηρίαν ταῦτα ἐδυστύχησε στρατιὰ μόνον, αὐτὸς δὲ ὁ Μαυρίκιος ἀπαθὴς κακῶν ἔμεινεν, [ἀλλὰ] κἀκεῖνος εἰς τελευταίας διωλίσθησεν ἐλπίδας, ὅμως διεσώθη μόγις. »

Ὅτι ἡ τῶν προσδοκηθέντων ἀνάγκη τὸν προσδοκῶντα ῥᾳθυμότερον διατίθησιν.

60. (580.)

Exc. De leg. Rom. p. 171—174 : Ὅτι παρεσκευάζετο ὁ Τιβέριος διαλῦσαι τὸν πρὸς Πέρσας πόλεμον. Τοιγαροῦν οὕτως ἀρέσαντα βασιλεῖ, ἀφίησιν ἐπὶ τούτῳ Ζαχαρίαν ἐν τοῖς Ῥωμαίων τε καὶ Περσῶν μεθορίοις πρεσβευσόμενον καὶ αὖθις· ὃν δὴ καὶ πολλάκις ἐπὶ ταῖς τοιαύταις ἐχειροτόνησε χρείαις. Ὁ δὲ ἀφικόμενος, καὶ δῆλον καταστήσας ἐφ' ᾧ ἐποιήσατο ὡς Πέρσας τὴν ἄφιξιν, ὁ μὲν ὑπῆρχεν ἐν τούτοις, βασιλεὺς δὲ Περσῶν ἐκπέμπει Ἀνδίγαν. Οὗτος δὲ ἀνὴρ κατὰ τοσοῦτον ἐχέφρων τε ἦν καὶ πράγμασι πλείστοις ὁμιλήσας, καθόσον τε αὐτῷ ἐπὶ μακρότατον καὶ τὰ τοῦ χρόνου ξυνέβαινεν ἐπισφραγίζοντι τῷ πάνυ γηραλέῳ τὸ νουνεχές. Ἐπειδὴ δὲ συνηλθέτην ἀγχοῦ τῆς πόλεως τοῦ Δάρας, ξὺν τοῖς καὶ οἱ τῶν ἐκείνῃ πόλεων Ῥωμαίων τε καὶ Περσῶν ἡγεμόνες, οἱ μὲν δὴ ἐξηρτύοντο ἕκαστοι διαλεχθησόμενοι περὶ τοῦ ὅπως δέον καταθέσθαι τὸν πόλεμον· ὁ δέ γε τῶν μεθορίων λεγόμενος προτίκτωρ (δηλοῖ δὲ παρὰ Ῥωμαίοις τὸν ἐς τοῦτο καταλεγόμενον ἀξίας, τὸν βασίλειον προσκεπαστήν,) οὗτος δὴ οὖν κατεσκεύασε καλύβας, ἐν αἷς ἔμελλον ἑκατέρας πολιτείας πρέσβεις τὰ εἰρημένα διασκέπτεσθαι· τοῦτο γὰρ τὸ λειτούργημα ἄνωθέν τε καὶ ἐξ ἀρχῆς τῷ προτίκτορι ἐπιτέτραπται. Παρασκευασθέντων οὖν τῶν τοιῶνδε ἐνδιαιτημάτων, καὶ γενομένων ἐν τῷ αὐτῷ τοῦ Ἀνδίγαν τε καὶ Ζαχαρίου καὶ τῶν τῆς περιοικίδος ἀρχόντων, τοῦ μὲν Ἀνδίγαν τὴν συνέλευσιν ποιουμένου ἐκ τοῦ Δάρας, Ζαχαρίου δὲ ἐκ τοῦ Μάρδις, καὶ αὖθις οὐχ ἧττον ταῖς αὐταῖς χρωμένων δικαιολογίαις, αἷσπερ καὶ ἐν ταῖς προτέραις πρεσβείαις· καὶ τῶν μὲν Περσῶν βουλομένων κομίζεσθαι ἀπὸ Ῥωμαίων τὰ ὅσαπερ ἐκ πλείστου χρόνου εἰώθεσαν χρήματα τοῦ διομολογηθέντος ἐπὶ τῶν Ἰουστινιανοῦ χρόνων, πρὸς τούτοις ἔχειν καὶ τὸ Δάρας· τῶν δὲ δὴ Ῥωμαίων ἐξεναντίας ἀπισχυριζομένων ὥστε μηδὲν κατατιθέναι μήτε μὴν ὥσπερ τιμήματός τινος πρίασθαι τὴν εἰρήνην, ἀλλὰ γὰρ καὶ ἀνασώσασθαι ἀπὸ Περσῶν τὸ Δάρας, ἀντάλλαγμα μέντοι παρέχοντας τὴν ἐξ ἀρχῆς Περσαρμενίαν τε καὶ Ἀρζανηνὴν, ἄνευ τῶν

---

victi essent, eos per hostilem agrum palantes periculis irretirent.

Postquam narravit de octingentis albis equis ab Azarephtho captis atque in triumpho ductis, Menander historicus ait : « Quanta quidem mala a stultis consiliis et negligentia manaverint, intelligentibus satis demonstratum est : quodque deus, nisi in partibus nostris sit, ea quoque, quæ recte excogitata videntur, in contrarium vertat : et quod gravis sit ac pessumdandæ rei publicæ idonea subditorum inobedientia. Mauricius enim, Romanorum dux, quamquam consilio præstans, et quantum homini licet, incertos rerum exitus prævidens; tamen ducum ceterorum incomposito ordine, qui ejus dicta et monita neglexerunt, res Romanas in extremum discrimen adduxit. Neque solum exercitus, quem dux in Dubium et Iberiam miserat, rem improspere egit, ita tamen, ut Mauricius incolumis esset ; verum et ipse in summis terroribus fuit, atque ægre vitam servavit. »

Quum ea quæ impendent, vitari nequeunt, tunc ille qui rem fatalem exspectat, audacior fit.

60.

Tiberius bellum contra Persas finire in animo habebat. Itaque, hoc consilio capto, iterum Zachariam elegit, quem ad limites Romanorum et Persarum legaret. Jam enim et sæpius antea ejus opera in hujusmodi rebus usus fuerat. Is quum advenisset, quaque de causa ad Persas profectus esset, exposuisset, ipse in iis locis manebat, et Persarum rex Andigan eodem mittit. Hic vir erat admodum prudens, et multorum negotiorum peritissimus, quia diuturnum temporis spatium (erat enim ætate longe provectus) senectute ipsa sapientiam ejus firmaverat. Postquam autem ad Daras convenerunt, et cum his urbium tam earum, quæ Romanis, quam earum, quæ Persis parebant, primarii viri : utrique in ea disquisitione versati sunt, quomodo bello finis imponi posset. Ille, qui confinium protector erat (sic Romani eum appellant, qui ad dignitatem præfecti regii electus est), ille, inquam, tentoria præparanda curavit (hoc enim munus est illius magistratus a primis inde temporibus), sub quibus ab utraque re publica missi convenirent et colloquerentur. Itaque istic præparatis diversoriis, quum in illis Andigan et Zacharias et principes confinium viri congressi essent (eo enim Andigan ex Daras, et Zacharias ex Mardis oppido venerant), iisdem rursus rationibus jus suum ab utraque parte defenderunt, quibus in superioribus colloquiis erant usi. Volebant enim Persæ a multo tempore pecunias, quas soliti erant ex conventione et pacto temporibus Justiniani inito, a Romanis accipere, et præterea retinere Daras. Romani vero contra, ne quid pecuniarum darent, pugnabant; neve quasi pœna et mulcta quadam pacem redimere viderentur. Daras quoque recuperare

ἀμφοτέρας χώρας οἰκητόρων τῶν ὅσοι τῇ Ῥωμαίων προσεχώρησαν πολιτείᾳ, — πλείστων οὖν, ὥσπερ εἰκὸς, ἐπὶ τηλίκῳ πράγματι προενηνεγμένων λόγων καὶ ἥκιστα εἰς ἔργον ἀχθέντων, μήτε μὴν τῇ συμφωνίᾳ ἀμφοῖν τοῖν μεροῖν ξυμβαινόντων ἀλλήλοις, τὸν Ἀνδίγαν παρακρούσασθαι Ζαχαρίαν ὑποτοπήσαντα ἐφ' ᾧ θέσθαι συνθήκας οὐκ ἐς τὸ εὐπρεπὲς, ἀλλὰ γὰρ πάντῃ ἀσυμφόρους τῇ Ῥωμαίων ἀρχῇ, φάναι λέγεται τοιάδε· « Τείχη καὶ πύλαι, καὶ εἴτι τοιοῦτον, ὦ ἄνδρες, φυλακτήριον, φυλάττειν μὲν, ὡς εἰκὸς, δυνήσεται καὶ πόλιν καὶ πολιτείαν ὅλην. Ἐν οἷς δὲ τυγχάνουσιν οἱ τούτοις περιπεφραγμένοι, κρύπτειν [οὐ] ῥᾴδιον. Φήμη γὰρ ἀεὶ χειροῦται τὰ πράγματα, καὶ τὰ δοκοῦντά πως ἄδηλα καθιστάναι προτίθησι ταῖς ἀκοαῖς, ὥσπερ ἐπ' ἀγορᾶς ἐν φανερῷ τῷ βουλομένῳ πρίασθαι ὤνια. Τοιγαροῦν καὶ ἡμεῖς ἐξεπιστάμεθα τὴν Ῥωμαίων ἀρχὴν πολέμοις ἀντερείδουσαν πλείστοις, καὶ πολλαχόσε τῆς οἰκουμένης ὅπλα κινοῦσαν καὶ τῇ δυνάμει μεμερισμένην σχεδὸν ἐφ' ἑκάστῳ βαρβάρῳ γένει, καὶ τὴν καθ' ἡμᾶς πολιτείαν οὐκ ἀπὸ τρόπου Ῥωμαῖοι γινώσκουσι μηδενὶ τῶν πάντων ἀνθρώπων νῦν πολεμοῦσαν ἢ Ῥωμαίοις μόνοις. Ὡς οὖν ὑμῶν μὲν πολλοῖς ἔθνεσι μαχομένων, ἡμῶν δὲ μόνοις ὑμῖν, οὕτω καὶ τὰς ξυνθήκας ἀνάγκη διατιθέναι. Βέβαιον γὰρ ἂν γένοιτο Ῥωμαίοις τε τὸ περιεῖναι καὶ πρὸς πολλὰ διαγωνιζομένοις ἔθνη καὶ πρὸς μίαν τῶν Περσῶν πολιτείαν, καθάπερ καὶ ἡμῖν ἐν βεβαίῳ γενήσεται τὸ κρατεῖν πρὸς οὐδένα τῶν ἄλλων ἢ πρὸς Ῥωμαίους μόνους ἔχουσι τὴν διαφορὰν, καὶ τῷ πρὸς ἕνα καὶ τὸν αὐτὸν παρατάττεσθαι πόλεμον. » Ταῦτα ἐκεῖ ἔλεξεν ὁ Ἀνδίγαν, ἀκηκοότα Ζαχαρίαν λέγεται ὑπομειδιᾶσαι καὶ ὧδε εἰπεῖν· « Εὖ σοι γένοιτο, ὦ Ἀνδίγαν, καὶ Πέρσῃ πεφυκότι καὶ μαρτυροῦντι Ῥωμαίοις τῆς ἀνδρείας καὶ παρατρώσαντι τὴν ἀλήθειαν οὐδαμῶς. Εἰ γὰρ μὴ, ὡς ἔφης, ἡ Ῥωμαίων περιεσπᾶτο δύναμις, καὶ τὴν πολυχειρίαν τοῦ κατ' αὐτὴν στρατοῦ κατὰ πολλὰ τῆς οἰκουμένης ἐξέτεινεν ἔθνη, καὶ ὡς ἐγεφύρωσε τῇ δυνάμει τὴν θάλατταν καὶ τὰς ἠπείρους ἔζευξε τῷ πανταχοῦ παρεῖναί τε καὶ περιεῖναι, τί ἂν οἴει πεπονθέναι Πέρσας ἢ ἐπὶ πόσον ἀντισχεῖν τῷδε τῷ πολέμῳ; Οἶμαι μὲν οὖν ἔγωγε καὐτό γε δήπου τοὔνομα συμφθαρῆναι Πέρσαις, καὶ μόνῳ νικῆσαι τῷ μηδέποτε φέρεσθαι τῇ μνήμῃ. » Τούτων Ζαχαρίᾳ εἰρημένων ὁ Ἀνδίγαν τῇ σιγῇ ἐδήλωσε τὸ νενικῆσθαι τῷ λόγῳ. Τοιαῦτα μὲν οὖν ἄμφω διελεγέσθην. Ἐν τοσούτῳ δὲ ὁ Ταχοσδρὼ, Περσῶν στρατηγὸς, ἅμα τῇ Περσικῇ στρατιᾷ ἐς τὰ ἱππάσιμα τὰ περὶ τὴν Νίσιβιν ἐστρατοπεδεύετο κατὰ τὸν Μυγδόνιον ποταμόν. Μαυρίκιος δὲ χαρακώσας ὑπῆρχε τὰς ἀμφ' αὐτὸν δυνάμεις ἐν τῷ δὴ λεγομένῳ Μονόκαρτον, ἐν ἀγχιθύρῳ Κωνσταντίνης τῆς πόλεως. Ἔστι γὰρ δήπου τὰ περὶ τὸ Μονόκαρτον ἅπαντα ἔνυδρά τε καὶ ἱππόβοτα καὶ στρατῷ ἐνσκηνήσασθαι ἀγαθά. Οὕτω μὲν οὗτοι ἀπεταφρεύοντο. Ἀτὰρ ὁ Ἀνδίγαν ἔτι ξυνεστώσης τῆς ἐκκλησίας ἐχρᾶτο καὶ πτοίαις τισὶ καὶ φενακισμοῖς, Ζαχαρίᾳ ὑποδηλῶν, ὡς αὐτὸς εἴη μόνος ὁ διακωλύων τὸν Ταχοσδρὼ τὴν Ῥωμαϊκὴν γῆν κατασεῖσαι ἅπασαν. Τυχὸν γὰρ, ἐν ᾧ διαλεγόμενος ἦν, ἀνεφαίνετό τις τούτων δὴ τῶν ἐς τάχος ἱππαζομένων τε καὶ τὰς ἀγγελίας τῷ τάχει τῶν ἵππων διακομιζόντων, πλαττόμενος ἐκ τοῦ Ταχοσδρὼ ἐστάλθαι. Καὶ δὴ τὸν Ἀνδίγαν ἰδίᾳ λαμβάνων ἐνεχείριζέ οἱ ἐπιστολὴν, ἐν

cupiebant, et eam Persarmenia et Arzanene commutare volebant, modo earum provinciarum incolæ, qui se ad reipublicæ Romanæ auctoritatem contulissent, ea deditione non continerentur. Quum multi de ea re sermones habiti essent, neque ulla res ad finem pervenisset, quia neutiquam partes inter se conveniebant : Andigan in Zachariam, qui illum pacis conditiones minime honestas, imo Romanorum rebus ex omni parte damnosas et inutiles ferre suspicatus erat, his verbis invectus esse fertur : « Mœnia et portæ et aliud, o viri, munimentum poterit quidem et urbem et universam rem publicam tueri : sed qua conditione ii se habeant, qui inclusi continentur, non facile occultari potest. Fama enim in omnibus rebus dominatur, et vel ea, quæ abscondita esse videbantur hominum auribus, sicut merces in foro emptoribus, exponit. Quamobrem et nos certe scimus, Romanum imperium cum multis populis bello contendere, et per plerasque terræ oras arma circumferre. Ex quo fit ut ejus copiæ late dispersæ sint adversus unumquodque fere barbarorum genus. At vero Romani sciunt nostrum imperium, non sine ratione, cum nullo alio hominum genere, quam cum Romanis, bellum gerere. Itaque quoniam vos cum multis gentibus bello decertatis, nobis autem cum vobis solis bellum est, ad hunc modum etiam induciæ faciendæ sunt. Nam Romani se victuros esse confidunt, etiam cum multis nationibus, et contra unum Persarum imperium bellum gerentes, sicut nobis certa explorataque erit victoria, quandoquidem cum nullis aliis, quam cum solis Romanis, nobis erit certamen ; et contra unum eundemque hostem unum idemque bellum instruemus. » Quæ quum Andigan dicentem Zacharias audiisset, dicitur subrisisse et ita locutus : « Bene tibi sit, o Andigan, homini in Persia nato, qui fortitudinis et virtutis testimonium Romanis præbes, neque a veritate aberras. Nisi enim, ut dicis, Romani ingentem multitudinem suorum exercituum ad tam multas gentes terræ extendissent, et copiis, tanquam ponte, mare junxissent, et omnes terras præsenti imperio continuissent ; quid existimas Persas passuros, aut quamdiu hoc bello tolerando pares futuros fuisse? Jam nunc ipsum nomen Persicum cum Persis interiturum eosque nulla alia re, quam æterna oblivione, victuros fuisse. » Hæc ubi dicta sunt a Zacharia, Andigan satis silentio indicavit, se dicendo a Zacharia superatum. Dum autem inter se colloquerentur, Tachosdrus, Persarum dux, cum exercitu Persico castra habebat ad Mygdonium amnem, circa Nisibim in campis equestri pugnæ et alendo equitatui perquam opportunis. Mauricius vero vallo continebat suos milites in loco quem vocant Monocartum, prope portas urbis Constantinæ. Sunt enim omnia loca circa Monocartum aquosa et equorum pastioni commoda, et exercitui sub pellibus habendo apta. Ad hunc modum illi se fossa et vallo munierant. Ceterum Andigan, dum adhuc in concilio essent, exterrere Zachariam et deludere est aggressus :

ἢ ἐνεφέρετο, ὡς Ταχοσδρῶ δῆθεν γεγραφότος, οἷα ἀκαθέκτου οὔσης τῆς Περσῶν στρατιᾶς, μάλα τε ὁρμώσης μὲν δὴ ἐμβαλεῖν ἐς τὴν Ῥωμαϊκήν. Τοιαῦτα ψευδομένης τῆς ἐπιστολῆς, συνεψεύδετο τοῖς γεγραμμένοις καὶ ὁ κονιορτὸς, ὃς τῷ ἀγγελιαφόρῳ, ἅτε ἄρτι ἀφιγμένῳ ἐκ τῆς ὁδοιπορίας, συμπεπλασμένος τε καὶ ἐνιζάνων πολὺς περὶ τὴν κόμην ὑπῆρχεν. Ἅμα δὲ καὶ ὁ Ἀνδίγαν διαλεγόμενος τῷ ἤθει ὑπεκρίνετο, καὶ τῇ ἄλλῃ κινήσει τοῦ σώματος ὑπεφαίνετο οἷα μὴ ἐφιέμενος πολέμου. Τὸ μετὰ ταῦτα κατὰ δὴ τὸν ξύλλογον ἑαυτὸν ἀναμιγνὺς, καὶ ἔφασκε Ζαχαρίᾳ, ὡς ἐνοχλοῖτο ὑπὸ τοῦ Ταχοσδρῶ καὶ ὡς ἐσήμηνέν οἱ, τὴν προθυμίαν τοῦ στρατοῦ εἶναι ἀφόρητον, ἐγχαλινοῦσθαί τε ἀδύνατον, τοῦτο μὲν ἐν πολλαῖς μυριάσι ξυνισταμένης τῆς Περσικῆς δυνάμεως, τοῦτο δὲ καὶ ἐς τὰ μάλιστα ἱεμένης τὴν Ῥωμαίων ἅπασαν καὶ δὴ παραυτίκα πυρπολήσειν· καὶ ὡς, εἰ μὲν Ῥωμαῖοι ἕλοιντο, καθ' ὃν ἂν βούλοιντο τρόπον Πέρσαι, ἐμπεδῶσαι τὰς σπονδὰς, ἀφέξεσθαι τῶν ὅπλων· εἰ δέ γε οὐ βούλοιντο, ξυγχωρήσειν αὐτῷ ἐμβαλεῖν παραχρῆμα ἐς τὴν ἑῴαν Ῥωμαίων· οὐδὲ γὰρ ἀνθέξειν αὐτοὺς κἂν γοῦν τὸν κτύπον τῶν φαρετρῶν τοῦ Περσικοῦ ἀκούσεσθαι πλήθους. Ἄλλως τε δὲ δεδιέναι τὴν τοῦ κατ' αὐτοὺς βασιλέως ὀργὴν ἐς χρόνον τοσόνδε ἀναβαλλομένους τὸν πόλεμον. Οὕτω μὲν οὖν ὁ Ἀνδίγαν δολερώτατά τε καὶ ἀλαζονικώτατα τῷ κόμπῳ χρησάμενος τῶν ῥημάτων, ἐπλάττετο ἑκόντι μὴ προσίεσθαι τοῦ πολέμου τὸ αὐτεξούσιον. Συνεὶς δὲ καὶ Ζαχαρίας τὸ ἀπατηλὸν τῶν εἰρημένων, καὶ τὴν κομπολογίαν παραπέτασμα εἶναι τοῦ ψεύδους, « Ὦ Ἀνδίγαν, ἔφη, οὐκ ἐν τῷ ἀπατᾶν τὸ ἐχέφρον δηλοῦται, μάλιστα τοῦ ἀπατωμένου ξυνειδότος. Ἢ γὰρ οἴει με μὴ ἐξεπίστασθαι, ὡς πλάσματά ἐστι τὰ ὑπὸ Περσῶν πρασσόμενά τε καὶ λεγόμενα, καὶ οὐδὲν ἕτερον ἢ δόκησις καὶ ἀποσκιάσματα καὶ φενακισμοί; καὶ ὡς σὺ αὐτὸς ἅπαντα ταῦτα ἐδραματούργησας, ἐννοῶν ἐκφοβήσειν Ῥωμαίους; ὡς ἂν οὖν βούλει καὶ ἀρεστόν σοι εἴη, ἐφίημι ποιεῖν. Πλὴν εὖ ἴσθι, ὡς ἐν ἀρχαῖς τοῦδε τοῦ πολέμου Ῥωμαίοις τε ὁπλοφορεῖν φορτικώτατόν τι ἐφαίνετο· ὥστε ἀμέλει καὶ ἱκετείαις χρώμεθα ὡς ὑμᾶς, μὴ ἀναγκασθῆναι σφᾶς ἐπιλαβέσθαι ὅπλων. Κατὰ τοσοῦτον γὰρ ἐς τὸ ἀπόλεμον ἐπιρρεπέστατα εἶχον, ὡς καὶ ἄχρις Ἀπαμείας ἐλάσαι Πέρσας, καὶ μὲν οὖν ἄχρι αὐτῆς γε δήπου Ἀντιοχείας. Ὑμῶν τε πρὸς ταῦτα μὴ ὑποχαλασάντων, ἀφ' οὗ ἠσπάσαντο Ῥωμαῖοι τὸ ἐθελοκίνδυνον, οἶμαι μὴ ἀγνοεῖν Πέρσας, ὡς οὐδὲ μέχρις αὐτῶν τῶν μεθορίων ἀναιμωτὶ οἷοι ἐγένεσθε ἀφικέσθαι. Νῦν γοῦν πεπαιδευμένων ἀκριβῶς Ῥωμαίων τὸν πόλεμον, θαρραλέοι τέ ἐσμεν καὶ εὐέλπιδες, ὡς, εἴγε κινήσοι ὁ Ταχοσδρῶ, ὑπαντιάσειν οἱ ἐν αὐτοῖς γε δήπου τοῖς ὁρίοις δόρυ Ῥωμαϊκὸν εὖ μάλα τεθηγμένον, διατιτρᾶν τὰς λαπάρας οἷόντε ὂν αὐτοῦ. Ὡς οὖν εὖ ἐξεπισταμένων Ῥωμαίων τοὺς Περσῶν δόλους, πρᾶττε οὕτω. » Τούτων οὖν καὶ ἑτέρων πλείστων εἰρημένων μὲν, μάτην δὲ ὅμως (προῆλθε γὰρ οὐδὲν ὁτιοῦν), τότε Μαυρικίῳ ἐν γράμμασι δηλοῖ Ζαχαρίας ἀφικέσθαι ἐς τὰ πρὸ Κωνσταντίνης πεδία, οἷα δὴ ἐκεῖσε τὸν πόλεμον ξυγκροτή-

se enim solum impedimento fuisse prædicabat, quominus Tachosdrus omnes Romanorum agros igni ferroque proscinderet. Tum forte eodem tempore, quo cum illo verba faciebat, ex composito in eorum conspectum venit unus ex his, quorum sunt partes citis equis adequitare, et nuntios equorum velocitate perferre, qui se a Tachosdro missum fingebat. Is Andigan secreto abducit, et epistolam, tanquam a Tachosdro scriptam, tradit. Hac continebatur, exercitum Persarum minime contineri posse, quin Romanorum terras invadat et in eas impetum faciat. Huic mendaci epistolæ et his, quæ in illa scripta erant, congruebat pulvis, qui nuntio, tanquam recens de via adventanti, ex fictione capillis multus inerat. Andigan quoque cum nuntio disserens, vultum componebat, et omni corporis motu simulabat, se minime bellum appetere. Et paullo post quum ad colloquium rediisset, Zachariæ dixit, sibi molesta esse quæ a Tachosdro nuntiarentur: etenim per literas significare, incredibilem esse Persici exercitus ad pugnandum alacritatem, quæ nullo modo comprimi posset. Constare Persarum aciem multis hominum millibus, quibus nihil aliud sit in animo, quam in Romanorum fines impetum facere, eosque igni ferroque vastare; illos quidem armis temperaturos, si Romani ea conditione, qua Persæ voluerint, fœdera fecerint. Sin recusarint, se illis permissurum, ut Romanos ad Orientem aggrederentur. Quod si accidat, Romanos ne auditu quidem ipso strepitum pharetrarum Persicæ multitudinis sustenturos esse. Ni faciant, timere ne in se iram regis sui commoveant, quod tanto tempore distulerint bellum gerere. Ad hunc modum Andigan doloso et magniloquo verborum fastu utens, simulabat minime se volente bellum fieri, quod sponte erupturum esset. Quum autem Zacharias satis intelligeret fraudem quæ suberat his quæ Andigan dixerat, et exquisito verborum ornatu quæri colorem et prætextum mendacio, « O Andigan, inquit, non in decipiendo prudentia declaratur, maxime si is qui decipitur, id quod agitur intelligat. Num enim existimas me ignorare, ista omnia, quæ Persæ dicunt et faciunt, esse res fictas, neque aliud, quam simulationem et artes et tectas fraudes, quas tu ipse commentus es, ut Romanos perterrefacias? Sed non faciam, mihi crede, quod voles et tibi libitum erit. At tu scito, initio quidem hujus belli Romanis grave et durum fuisse ad arma gestanda devenire. Etenim vos deprecati sumus, ne eo rem adduceretis, ut nos arma capere cogeretis. Tunc enim Romani ad cessationem a bello propense ferebantur, ut Apameam, immo et Antiochiam usque Persæ cum manu militari progressi sint. Quum autem Romani, vobis non cedentibus, sponte periculum subirent, scire vos opinor, vos non sine sanguine ne ad fines quidem pervenire potuisse. Nunc enim artes bellicas necessario edocti, audaciores facti sumus, et spe ducimur, si se commoverit Tachosdrus, obviam ejus conatibus in ipsis confinibus ituram Romanorum acutam hastam, quæ latus ejus facile transfigat. Quare sic age, ut memineris, Romanos probe nosse Persarum dolos. » Hos et plures hujusmodi inter se habuerunt sermones, sed frustra; nihil enim inde est consecutum. Tum Zacharias Mauricium per

σοντι. Ὡσαύτως δὲ καὶ ὁ Ταγχοσδρὼ κινήσας τὰ Περσικὰ στρατεύματα ἐπαγόμενος ἧκει ἐς τὰ περὶ Κωνσταντίνην.

61.

Exc. De sent. p. 363. 364 : Ὅτι φήμη ἀεὶ χειροῦται τὰ πράγματα, καὶ τὰ δοκοῦντά πως ἄδηλα [καθεσ]τάναι προτίθησι ταῖς ἀκοαῖς, ὥσπερ ἐπ' ἀγορᾶς ἐν φανερῷ τῷ βουλομένῳ πρίασθαι ὤν[ια].

... ἠλλάξατο τοῦ πονεῖν βίον τινὰ α.... μενόντων φησὶ καὶ τοῦ ἐνδοξοτέρου τὸ ἄδοξον.

Ὅτι οὐκ ἐν ῥώμῃ σώματος, ἀλλ' ἐν ἀνδρίᾳ ψυχῆς ἡ τοῦ πολέμου ῥοπὴ κινδυνεύεται.

Ὅτι οὐδὲν οὕτω ῥᾳστώνης ἢ τρυφῆς καὶ ἀναπαύλης ὡς κίνδυνοι καὶ πόνοι καθέστηκεν αἴτιον· πόνοι μὲν γὰρ τῶν προκτηθέντων ἀπόλαυσιν, ὥσπερ ταμεῖόν τι τῆς εὐκλείας καθεστήκασι· τρυφὴ δὲ ἄνευ τοῦ προπαιδεύεσθαι παντὸς (πάντοις B.) τοῦ κάκιστα ζῆν ἡγεμών· ἔστι δὲ (ἔστιν ὅτε B.) καὶ αὐτοῦ τοῦ ζῆν μετὰ τῆς ἀδοξίας ἀπαλλαγή.

Ὅτι Ταγχοσδρὼ ἐβλήθη ὑπό τινος ὀλεθρίαν τινὰ πληγήν. Καὶ ἐμοί γε οὐκ ἀπότροπον (ἀπὸ τρόπου B.) φαίνεται τὸ τοιόνδε γενέσθαι· ἐργάτις γὰρ τῶν τοιούτων ἡ τύχη. Πολλοὶ γὰρ πολλάκις τῶν λίαν εὐδοκίμων ἐσφάλησαν, καὶ φύσει τινὶ τὰ παράδοξα τῷ ἀνθρωπείῳ συμπεριφέρεται γένει.

Ὅτι Μαυρίκιος ἡττηθεὶς ὑπὸ Περσῶν μεγίστῃ κατείχετο ἀνίᾳ· οἷς γὰρ παρεν ... τι ἀποβαίνει· καὶ ἐν μὲν τῷ καιρῷ τῆς πράξεως ἀνθέλκονται τῇ τοῦ περισσεύεσθαι ἀνάγκῃ, παραπάσης (παραπτάσης Class.) δὲ τῆς τιμῆς τοῦ ἔργου ἐν ἡσυχίᾳ γενόμενοι τὸ λοιπὸν ἀθυμότατα διατελοῦσιν ἄρα λογιζόμενοι... Primum hujus fragm. locum modo legimus in fragm. 60.

62. (580.)

Exc. De leg. gent. p. 126 : Ὅτι Ἰταλία ἐπὶ (ὑπὸ N.) τῶν Λογγιβάρδων σχεδὸν ἅπασα ἐπεπόρθητο. Διὸ δὴ καὶ ἐκ τῆς συγκλήτου βουλῆς τῆς πρεσβυτέρας Ῥώμης ἅμα ἱερεῦσιν ἐκ τοῦ προεστῶτος ἐν Ῥώμῃ τῶν ἱερῶν πεμφθέντων τινῶν, παρεγένοντο πρεσβευόμενοι ὡς τὸν αὐτοκράτορα, τοῖς ἐκεῖσε μέρεσιν ἐπαρκέσαι. Ἀλλ' ὁ Περσικὸς πόλεμος ἐν Ἀρμενίᾳ τε κατὰ ταὐτὸν καὶ ἐς τὰ περὶ τὴν ἑῴαν ξυνεστηκώς τε καὶ οὐκ ἀπολήγων, μᾶλλον μὲν οὖν ἐπὶ τὰ μείζονα δυσχερῆ ἐκτεινόμενος, οὐδεμίαν ἀξιόλογον συνεχώρησε στρατιάν τε τὸν αὐτοκράτορα, οὐδὲ μὴν ἀποχρῶσαν τοῖς ἐκεῖσε πράγμασι δύναμιν στεῖλαι. Ὅμως δὲ καὶ ἐκ τῶν παρόντων τε καὶ ἐνδεχομένων στράτευμα ξυναγείρας ἔστελλεν ὁ βασιλεύς· καὶ τὴν ἄλλην ἐτίθετο ἐπιμέλειάν τε καὶ σπουδήν, εἴ πώς τινας τῶν ἡγουμένων τοῦ Λογγιβάρδων ἔθνους δεξιώσηται δώροις ὑποπείθων καὶ μεγίστας ἐπαγγελλόμενος χάριτας. Ἤδη τε πλεῖστοι τῶν δυνατῶν μετετίθεντο ὡς Ῥωμαίους, τὴν ἐκ τοῦ αὐτοκράτορος ὠφέλειαν προσδεχόμενοι.

63. (580.)

Ibidem p. 126—129 : Ὅτι Βαιανὸς ὁ τῶν Ἀβάρων Χαγάνος οὐδεμιᾶς ἀφορμῆς ἢ σκήψεως λαβόμενος, οὐδὲ ψευδῆ γοῦν κατὰ Ῥωμαίων αἰτίαν ἀξιώσας τινὰ συνθεῖναι, ἀλλὰ γὰρ καὶ κατὰ τόδε ὁμοίως τὸ ἔτος Ταργίτιον πρὸς βασιλέα στεῖλας, ὡς τὰ συνταχθέντα κομίσαιτο τῶν χρημάτων (ὀγδοήκοντα δὲ χιλιάδες

---

literas monuit, ut in planitiem, quæ est ad Constantinam, descenderet, et prœlium committeret. Similiter Tachosdrus movens cum omnibus Persarum copiis, eas ad Constantinam adduxit.

61.

Fama in omnibus rebus dominatur, et vel ea, quæ abscondita esse videbantur hominum auribus, sicut merces in foro emptoribus, exponit.

Laborem commutavit cum vita .... et decus cum dedecore.

Belli cardo non in corporum robore, sed in animorum fortitudine vertitur.

Nihil æque, ut pericula ac labores, quietis et deliciarum et otii facultatem comparat. Et quidem labores ipsam acquisitorum bonorum voluptatem, ceu præclara custodia, conservant. Nam voluptas, quæ disciplina non regitur, pessimæ vitæ dux est : quin adeo vitam quoque ipsam turpiter eripit.

Tanchosdrus ab incerto homine letale vulnus accepit : quæ res mihi haud insolita videtur; talium quippe casuum fortuna operatrix est : multi enim clari homines ab ignobilibus interempti fuerunt. Casus enim admirabiles et vulgo inopini naturam humanam comitantur.

Mauricius a Persis victus, in magno versabatur mœrore... Nam in ipso actionis momento vincendi necessitate abripiuntur : sed ubi laus victoriæ avolavit, in desidiam incidunt et animum despondent.

62.

Italia tota fere a Longobardis est eversa et diruta. Itaque nonnulli ex senatu veteris Romæ cum quibusdam sacerdotibus, quos qui summæ sacrorum præerat delegaverat, ad imperatorem legati venerunt, orantes ut his partibus subveniret. Sed Persicum bellum hoc tempore in Armenia et in Oriente erat, quod non modo non intermittebat, immo in ardentiorem contentionem ingravescebat. Eo factum est ut imperator nullas idoneas copias, quæ illarum partium rebus sublevandis sufficerent, mitteret. Verumtamen delecto, ut res tulit, habito, exercitum, quem potuit, misit, atque etiam omne studium et diligentiam adhibuit, quo Longobardorum duces donis demereretur, quos magna illis præmia retributurus, ad suas partes traduceret. Itaque plerique ex Longobardorum principibus, largitione imperatoris accepta, ad Romanos defecerunt.

63.

Baianus, Avarum Chaganus, eodem anno Targitium ad imperatorem, qui præstari solita stipendia exigeret, misit (erant autem octoginta millia nummorum, quæ quotannis pendebantur), et ubi cum reliquis mercibus, quas emerat, et cum auro ad illum redierat, barbarus, nulla occasione aut causa conficta, ne falsam quidem accusationem in Ro-

ὑπῆρχον εἰς ἔτος ἕκαστον νομισμάτων), ἐπειδὴ τόν τε ἄλλον φόρτον, ὃν ἐκ τῶν χρημάτων ἐνετορεύσατο, καὶ τὸ χρυσίον ἔχων ἐπανῆκεν ὡς αὐτὸν, ἐκεῖνος ἀναισχυντότατα καὶ βαρβαρώτατα ἄφνω παραλύσας τὰς συνθήκας, ἃς πρὸς Τιβέριον τῆς Καίσαρος ἐπιβάντα τύχης εὐθὺς ἐν ἀρχαῖς ἐποιήσατο, καὶ πανστρατιᾷ κινήσας, ἀφικνεῖται κατὰ δὴ τὸν Σάον ποταμὸν, μεταξὺ Σιρμίου πόλεως καὶ Σιγγηδόνος, καὶ γεφυροῦν ἐπεχείρει τὸν ῥοῦν, ἐπιβουλεύων μὲν Σιρμίῳ τῇ πόλει καὶ παραστήσασθαι ταύτην βουλόμενος· δείσας δὲ, μὴ διακωλυθείη πρὸς τῶν Ῥωμαίων τῶν ἐπιφυλαττόντων ἐν Σιγγηδόνι καὶ τὴν ἐκ πολλοῦ τοῦ χρόνου πεῖράν τε καὶ ἐπιστήμην ἐν ταῖς τοῦ ποταμοῦ ναυσὶν ὑπειδόμενος, βουλόμενός τε πρὸ τοῦ τὴν βουλὴν ἐς τὸ φανερὸν ἐκπεσεῖν τὸ ἐγχείρημα τελεώσασθαι, πλοῖα συναγείρας κατὰ τὴν ἄνω Παννονίαν εἰς τὸν Ἴστρον πολλὰ βαρέα, καὶ οὐ κατὰ λόγον τῆς ναυπηγικῆς τέχνης, ὅμως ἐκ τῶν ἐνόντων μακρὰς συμπηξάμενος στρατιώτιδας ναῦς, καὶ πολλοὺς ἐν αὐταῖς ἐπιβιβάσας ὁπλίτας ἐρέτας τε, οὐ κατὰ κόσμον ἀλλὰ βαρβαρικῶς τε καὶ ἀνωμάλως ταῖς κώπαις τύπτοντας τὸ ὕδωρ, κινήσας ἀθρόον, ταῖς τε ἐπακτρίσι τὸν ποταμὸν, καὶ αὐτὸς μετὰ πάσης τῆς Ἀβάρων στρατιᾶς πεζῇ διὰ τῆς Σιρμιανῆς πορευόμενος νήσου, παραγίνεται κατὰ τὸν Σάον ποταμόν. Διαταραχθέντων δὲ τῶν ἐν ταῖς πόλεσι ταύταις Ῥωμαίων καὶ τὸ ἐγχείρημα συννοησάντων, τοῦ τε ἐν Σιγγηδόνι στρατηγοῦ, Σήθου τοὔνομα, στείλαντος πρὸς τὸν Χαγάνον, καὶ ἐπερωτῶντος ὅ τι δὴ καὶ βουλόμενος, εἰρήνης βεβαίας τε καὶ φιλίας συνεστώσης αὐτῷ τε καὶ Ῥωμαίοις, πρὸς τὸν Σάον ἀφίκετο ποταμόν. ἅμα δὲ λέγοντος, ὡς οὐ περιόψεται γεφυροῦν ἐπιχειροῦντος αὐτοῦ τὸν ποταμὸν, οὐκ ἐπιτρέποντος ὅλως τοῦ αὐτοκράτορος· οὐ κατὰ Ῥωμαίων τι μηχανώμενος ἔφη βούλεσθαι πηγνύναι τὴν γέφυραν, ἄλλως δὲ κατὰ Σκλαβηνῶν χωρεῖν, καὶ διαπεραιούμενος τὸν Σάον ἐπιβαίνων τε ἐς τὴν * Ῥώμην αὖθις τὸν Ἴστρον διαβήσεσθαι κατ' αὐτῶν, πλοίων αὐτῷ πολλῶν παρὰ τῶν (τοῦ Bekk.) Ῥωμαίων αὐτοκράτορος ἐς τὴν διάβασιν παρασκευαζομένων. Τοῦτο γὰρ δὴ καὶ πρότερον πρὸς χάριν τοῦ Ῥωμαίων βασιλέως πρᾶξαι, καὶ πολλὰς αἰχμαλώτων μυριάδας ἐκ τῆς Ῥωμαίων γῆς Σκλαβηνοῖς δεδουλωμένων ἐλευθέρας αὖθις Ῥωμαίοις ἀποδοῦναι. Νῦν δὲ ὑβρίσθαι μὲν ἔλεγε πρὸς αὐτῶν οὐ βουλομένων τὸ συνταχθὲν τηνικαῦτα τέλος παρὰ σφῶν καθ' ἕκαστον ἔτος ἐπ' αὐτὸν κατατιθέναι· καὶ πρέσβεις δὲ Ἀβάρων σταλέντας πρὸς αὐτῶν ἀνῃρῆσθαι. Διὰ ταῦτά τε ἥκειν ἐς τὸν Σάον, καὶ ἐπὶ τούτῳ πρέσβεις ἐκέλευσε δέξασθαι παρ' αὐτοῦ τὸν Σῆθον σταλησομένους δι' αὐτοῦ ὡς τὸν αὐτοκράτορα, καὶ αἰτήσοντας παρασκευάσαι κατὰ τὸν Ἴστρον αὐτῷ τὰ πλοῖα διαπεραιοῦσθαι μέλλοντι κατὰ Σκλαβηνῶν. Ὀμνύειν τε ἔλεγεν ἔχειν ἑτοίμως τοὺς νομιζομένους μεγίστους παρά τε Ἀβάροις καὶ Ῥωμαίοις ὅρκους, ὡς οὐδεμίαν τινὰ κατὰ Ῥωμαίων ἢ κατὰ τῆς Σιρμίου πόλεως μηχανώμενος βλάβην, ἀλλ' ἐπὶ τῇ τοῦ ἔθνους τῶν Σκλαβηνῶν ἐφόδῳ τὴν γέφυραν βούλοιτο πήξασθαι. Ταῦτα οὐ πιστὰ μὲν οὔτε Σήθῳ αὐτῷ οὔτε τοῖς ἐν Σιγγηδόνι ἐδόκει Ῥωμαίοις. Ὅμως δὲ οὔτε παρασκευὴν ἱκανὴν ἔχειν οἰόμενοι, στρατιωτῶν τε ὀλίγων αὐτοῖς παρόντων καὶ δρομάδων νεῶν πολλῶν οὐ παρουσῶν, οἷα τῆς κινήσεως ταύτης ἐξαίφνης τε καὶ ἀπροσδοκήτως γενομένης· ἅμα τε τοῦ Χαγάνου διαπειλεῖν ἀρξαμένου καὶ διαμαρτύρασθαι, ὡς αὐτὸς μὲν ταῖς πρὸς Ῥωμαίους συντεθει-

---

manos comminisci dignatus, impudentissime, qui barbaris mos est, fœdera, quæ cum Tiberio initio ejus imperio fecerat, rupit, et cum omni exercitu movens ad Savum fluvium inter Sirmium oppidum (hoc ex insidiis capere cogitabat) et Singedonem castra ponit, et fluvium ponte jungere suscipit. Quum autem timeret ne a Romanis impediretur, qui Singedone in præsidiis erant, maxime quod multum usum et scientiam navium fluminis habebant; consilium suum, antequam in vulgus innotesceret, executurus, multa vectoria graviaque navigia in Istro per superiorem Pannoniam coegit, ex quibus, quæcumque nancisci potuit, non quidem ad artis navium ædificandarum rationem, tamen naves ea magnitudine, ut ad bellum aptæ essent, exstruxit, et eas hominibus armatis et remigibus instruxit, qui barbarum in morem inconditis ictibus aquam verberabant. Ita simul classe magno motu flumine devecta, cum omnibus Avarum pedestribus copiis per Sirmianam insulam cursum tenuit, et ad Saum fluvium pervenit. Hoc conspecto apparatu, Romani, qui in urbibus in ea parte sitis habitabant, vehementer sunt perturbati. Erat Sethus Singedone præfectus. Is ad Chaganum misit, qui ex ipso quæreret, quoniam pax et amicitia illi cum Romanis esset, quid sibi vellet, quod ad Saum venisset, quem si ponte jungere inconsulto imperatore tentaret, non passurus esset. Ille, non ut quicquam mali Romanis machinaretur, pontem se struere ait, sed ut contra Sclavinos expeditionem susciperet: se transmisso Sao, et finibus Romanorum percursis, rursus Istrum trajecturum, multis ad trajectionem ab imperatore Romanorum impetratis navibus. Idem se jam antea in gratiam Romanorum imperatoris fecisse, et multa Romanorum millia, qui in servitutem a Sclavinis redacti fuissent, libertate donata, Romanis restituisse. Nunc vero dicebat, se a Sclavinis injuria affectum, quia nollent tributum quotannis illo tempore indictum sibi solvere, tum etiam quia Avarum legatos a se missos sustulissent, et eam esse causam cur ad Saum accessisset. Itaque Sethum excipere jussit legatos, quos ad imperatorem mittebat, qui peterent ut sibi in Sclavinos trajecturo naves per Istrum præpararet. Adjecit, se per ea quæ et apud Romanos et Avares sanctissima habentur, paratum jurare, se nullum damnum cogitare aut Romanis aut oppido Sirmio inferre, sed tantum, quo sibi aditum ad Sclavinos patefaciat, pontem facere instituisse. His quidem Sethus et Romani, qui Singedone erant, minime fidebant: sed se idoneo exercitu instructos, aut militibus (paucos enim habebant) aut navibus velocibus minime satis paratos esse cogitabant. Hic enim motus de improviso et præter spem acciderat. Præterea Chaganus minitari cœpit et testificari, se solum conventis inter se et Romanos pacis conditionibus stare, et quoniam in communes suos et Romanorum hostes pergat, minime se

μέναις αὐτῷ περὶ τῆς εἰρήνης ἐμμένοι συνθήκαις, κατὰ δὲ τῶν ἑαυτοῦ τε καὶ Ῥωμαίων πολεμίων Σκλαβηνῶν χωρῶν οὐκ ἀφίξεται τοῦ ἔργου τῆς γεφυρώσεως· εἰ δέ τις θαρρήσοι Ῥωμαίων ἓν γοῦν ἀφεῖναι βέλος κατὰ τῶν ἐπιχειρούντων πηγνύναι τὴν γέφυραν, γινώσκειν αὐτούς, ὡς αὐτοὶ τῆς αἰτίας τῆς τῶν σπονδῶν ἤρξαντο καταλύσεως, καὶ τὸ ἐντεῦθεν, ἅτε ἐκπολεμώσαντας αὐτοὺς τὸ Ἀβάρων ἔθνος, μὴ μέμφεσθαι, ὅ τι ἂν παρ' αὐτῶν ἡ Ῥωμαίων ἡγεμονία πάθῃ. Ταῦτα δείσαντες οἱ ἐν Σιγγηδόνι τοὺς ὅρκους γοῦν αὐτὸν ὀμνύναι προεκαλοῦντο. Καὶ ὃς παραυτίκα τούς τε Ἀβαρικοὺς ὤμνυεν ὅρκους, ξίφος σπασάμενος καὶ ἐπαρασάμενος ἑαυτῷ τε καὶ τῷ Ἀβάρων ἔθνει παντί, ὡς, εἰ κατὰ Ῥωμαίων τι μηχανώμενος γεφυροῦν βουλεύοιτο τὸν Σάον, ὑπὸ ξίφους μὲν αὐτόν τε καὶ τὸ Ἀβάρων ἅπαν ἀναλωθείη φῦλον, τὸν δὲ οὐρανὸν ἄνωθεν αὐτοῖς καὶ τὸν ἐπὶ τοῦ οὐρανοῦ θεὸν πῦρ ἐπαφήσειν, καὶ τὰ πέριξ ὄρη καὶ τὰς ὕλας αὐτοῖς ἐπιπεσεῖσθαι, καὶ τὸν Σάον ποταμὸν ὑπερβλύσαντα συγκαλύψειν αὐτούς. Τοιαῦτα βαρβαρικῶς ἀπομοσάμενος ὁ Χαγάνος, « Νῦν, ἔφη, καὶ τοὺς Ῥωμαίους ὅρκους ὀμνύναι βούλομαι. » Καὶ ἅμα ᾔτει παρ' αὐτῶν, τί δὴ πιστόν τε καὶ σεβάσμιον ἔχειν νομίζοιεν, καθ' οὗ τοὺς ὀμνύντας τὴν τοῦ θεοῦ μῆνιν, ἢν ἐπιορκοῖεν, οὐκ ἐκφεύξεσθαι. Παραχρῆμα οὖν ὁ τῆς Σιγγηδόνος πόλεως τὴν ἀρχιερωσύνην διέπων τὰς θεσπεσίας βίβλους αὐτῷ διὰ τῶν ἐν μέσῳ τὰς ἀγγελίας διακομιζόντων [ἐνεχείρισε]. Καὶ ὃς, δολερώτατά πως ἐπικρυψάμενος τὸν νοῦν, ἀνίσταταί τε ἐκ τῆς καθέδρας, καὶ σὺν φόβῳ δῆθεν πολλῷ καὶ σεβάσματι ταῦτα προσποιησάμενος δέχεσθαι, καὶ προσκυνήσας προθυμότατα, ὄμνυσι κατὰ τοῦ λαλήσαντος τὰ ἐν ταῖς ἁγίαις διφθέραις ῥήματα θεοῦ, μηδὲν [τῶν] εἰρημένων παρ' αὐτοῦ διαψεύσεσθαι. Δέχεται τοιγαροῦν ὁ Σῆθος τοὺς παρ' αὐτοῦ πρέσβεις, καὶ ἀποστέλλει εἰς τὴν βασιλίδα Τιβερίῳ τῷ αὐτοκράτορι. Ἕως δὲ οἵ τε πρέσβεις τὴν [εἰς τὴν] βασιλεύουσαν πόλιν ὁδὸν διήνυον, καὶ ὁ αὐτοκράτωρ ἔμελλε ταῦτα ἀκούσεσθαι, ὁ Χαγάνος ἐν μέσῳ διαμελλήσας οὐδέν, πάσῃ σπουδῇ καὶ πολυχειρίᾳ, συμπάσης αὐτῷ τῆς Ἀβάρων, ὡς εἰπεῖν, στρατιᾶς συμπονούσης, ἐγεφύρου τὸν ποταμόν, θεῖναι (πέρας ἐπιθεῖναι Nieb.) βουλόμενος πρὶν ἢ ὁ αὐτοκράτωρ αὐτοῦ συννοήσας τὸ βούλευμα διακωλύειν αὐτὸν ἐκ τῶν ἐνόντων ἐπιχειρήσοι.

64.

Ibidem p. 129—131 : Ὅτι ἀφικομένων τῶν πρέσβεων τῶν Ἀβάρων εἰς τὴν βασιλίδα, καὶ αἰτούντων τὸν αὐτοκράτορα παρασκευάσαι τὰς ναῦς τῷ Χαγάνῳ καὶ τῇ στρατιᾷ τῶν Ἀβάρων ἐς τὸν Ἴστρον διαβησομένῃ κατὰ Σκλαβηνῶν (θαρροῦντα γὰρ ἤδη τὸν Χαγάνον ἐς τὴν φιλίαν τὴν αὐτοῦ τὴν γέφυράν τε ἐς τὸν Σάον ἐργάζεσθαι ποταμόν, καὶ βούλεσθαι τοὺς κοινοὺς ἐχθροὺς αὐτοῦ τε καὶ Ῥωμαίων Σκλαβηνοὺς ἐκτρίψαι), ταῦτα ἀπαγγειλάντων εὐθὺς μὲν τὸ ἐπιχείρημα καὶ τὴν ἔννοιαν τοῦ Χαγάνου διέγνω σαφῶς ὁ αὐτοκράτωρ, ὡς τὴν πόλιν τὸ Σίρμιον ἐξελεῖν βουλόμενος ἐργάζοιτο τὴν γέφυραν, ἀποκωλῦσαι βουλόμενος τὴν τῶν ἀναγκαίων εἰσκομιδὴν, ὅπως λιμῷ παραστήσοιτο τὴν πόλιν. Οὐ γὰρ ἦν ἀποχρώσας δαπάνας ἐς αὐτὴν προαποθέμενος, τῇ συνεστώσῃ πρὸς Ἀβάρους εἰρήνῃ θαρρῶν. Ἀπορῶν δὲ στρατιᾶς, οὔ τι λέγοι πρὸς τὴν

---

opus pontis construendi intermissurum. Quodsi quis Romanorum audeat vel unum telum conjicere in eos qui ponti ædificando manum admoverent, ab ipsis fœderum violandorum initium factum esse, meminisse eos jussit, et quum ipsi Avares in bellum impulissent, si quid inde Romanorum res publica detrimenti ceperit, de eo queri vetuit. Hoc veriti Romani qui Singedone erant, Chaganum ad jusjurandum provocarunt. Itaque confestim Avarico ritu jusjurandum ad hunc modum præstitit. Ense educto, sibi et Avarum genti dira est imprecatus, si quid mali comminisceretur Romanis in eo, quod pontem super Sao flumine facere susceperit, ut ipse et universa gens ad internecionem usque ferro periret, cœlum ex alto super ipsis, et Deus, qui in cœlo est, ignem immitteret, silvæ et montes casu et ruina illos obtererent, et Saus fluvius inundatione eos submergeret. Hæc ubi barbaro more Chaganus emisit, « Nunc ego, inquit, jusjurandum Romanorum jurare volo. Tum quæsivit ex ipsis, quid esset quod sanctum et religiosum ducerent, per quod jurantes, si fallerent, dei iram minime evitaturos crederent. Tum qui in Singedone urbe summam sacrorum potestatem habebat, statim sancta Biblia per internuntios tradi jussit. Et ille quidem occultans ea quæ mente volvebat, multo cum tremore et magna cum reverentia se ea suscipere simulans, procedit e cathedra, et alacri animo in genua provolutus, juravit per deum, qui sacrorum librorum verba emisisset, se in nullo eorum, quæ dixisset, mentiri et fallere. Itaque Sethus admisit legatos ab eo missos, et ad imperatorem Tiberium in regiam urbem transmisit. Dum legati iter peragunt, et imperator eos admittere parat, Chaganus interea opus non intermisit, sed omni cura, studio et diligentia, toto Avarum exercitu in eam rem incumbente, pontem super Sao flumine absolvit. Etenim perficere opus statuerat, antequam ea res ad imperatoris cognitionem veniret, ne, si resciret, ædificationem disturbare tentaret.

64.

Itaque profecti Avarum legati in regiam urbem, ab imperatore petierunt, ut naves præpararet Chagano et Avarum exercitui, quibus Istro trajecto in Sclavinos moverent. Etenim Chaganum, fidentem amicitia quæ illi cum Romanis erat, jam pontem struere super Sao flumine propositumque habere, communes suos hostes et Romanorum conterere et labefactare. Hæc legatis nuntiantibus, statim aperte imperator cognovit conatum et mentem Chagani. Quum enim oppido Sirmio potiri cuperet, pontem fecerat, ut oppidi incolas omnium rerum commeatu intercluderet et fame ad deditionem compelleret. Nam quum imperator minime paci cum Avaribus compositæ diffideret, in urbem commeatus ad obsidionem tolerandam idoneos invehi non curaverat. Præterea copias, non dico quæ satis essent ad resistendum Avaribus, sed ne minimas quidem omnino habebat. Etenim omnes exercitus, quos conscripserat,

Ἀβάρων δύναμιν ἀντιταξομένης, ἀλλ' οὐδὲ ὀλιγίστης ὅλως ὑπαρχούσης αὐτῷ, πάντων τῶν στρατιωτικῶν καταλόγων ἐς τὸν πρὸς Πέρσας πόλεμον ἐν Ἀρμενίᾳ τε καὶ τῇ μέσῃ τῶν ποταμῶν ἐνησχολημένων, ἀπεπροσποιεῖτο δῆθεν ὡς οὐ συννοήσας τὸ βουλευθὲν τῷ Χαγάνῳ. Ἔφασκε δὴ βούλεσθαι μὲν καὶ αὐτὸς κατὰ Σκλαβηνῶν αὐτοὺς χωρῆσαι, πολλὰ τῆς Ῥωμαίων ἐπικρατείας δῃούντων· οὐκ εἶναι δὲ τῆς ἐπιχειρήσεως τὸν καιρὸν Ἀβάροις συμφέροντα, Τούρκων ἤδη περὶ Χερσῶνα ἐστρατοπεδευμένων καὶ ταχεῖαν αἴσθησιν αὐτῶν, ἢν τὸν Ἴστρον διαπεραιωθῶσι, δεξομένων. Ἀλλὰ ἐπισχεῖν γὰρ νῦν εἶναι καλὸν αὐτούς, καὶ ὑπερβαλέσθαι τὴν ἐπιχείρησιν. Αὐτὸς δὲ οὐ πολλοῦ τὴν διάνοιαν γνώσεσθαι Τούρκων, ὅποι δὴ καὶ τῆς ἐφόδου τὴν ἔννοιαν ἔχοιεν, καὶ ταύτην δήλην ποιήσειν τῷ Χαγάνῳ. Ταῦτα οὐκ ἔλαθε τὸν Ἀβάρων πρεσβευτὴν ἐξεπίτηδες πρὸς τοῦ βασιλέως συμπεπλασμένα, καὶ ὡς τὸν ἀπὸ Τούρκων αὐτοῖς προβαλλόμενος φόβον ἐφέξειν ἤλπιζε τῆς ἐπινοίας αὐτούς. Ἔδοξε δ' οὖν πείθεσθαι, καὶ συνετίθετο πάντως ἐπισχήσειν τὸν Χαγάνον. Ἦν δὲ οὗτος ὁ μάλιστα ἐνάγων αὐτὸν ἀεὶ καὶ παροτρύνων ἐς τὸν κατὰ Ῥωμαίων πόλεμον. Καὶ οὗτος μὲν δῶρα, ἐφ' οἷς ὑπέσχετο, πολλὰ κομισάμενος ἐξώρμησε τῆς βασιλίδος· καὶ συνέβη κατὰ τὴν Ἰλλυριῶν αὐτὸν διοδεύοντα μετὰ τῶν προπεμπόντων ὀλίγων Ῥωμαίων πρὸς τῶν κατατρεχόντων τὴν χώραν Σκλαβηνῶν ἀναιρεθῆναι. Οὐ πολλαὶ δὲ διέδραμον ἡμέραι, καὶ παραυτίκα ἕτερος ἧκεν ἐκ τοῦ Χαγάνου σταλεὶς ἐς τὴν βασιλίδα πρεσβευτής, Σόλαχος τοὔνομα, ὃς εἰσόδου πρὸς βασιλέα τυχὼν φανερώτατα ἤδη καὶ μετὰ γυμνῆς τῆς ἀναιδείας ἔφη ὧδε· « Ὡς ὁ Σάος μὲν ἤδη διαπέφρακται ποταμὸς γεφυρωθείς, ἠλίθιόν τι νομίζω διαβεβαιοῦσθαι· τὸ γὰρ προδηλότατον ἐν εἰδόσι λέγειν ψόγος τῷ λέγοντι· καὶ οὐδεμία μηχανὴ Ῥωμαίους ἐπαρκέσαι Σιρμίῳ τῇ πόλει, μήτε τροφῆς μήτε μὴν ἑτέρας τινὸς βοηθείας διὰ τοῦ ποταμοῦ τὸ λοιπὸν ἐς αὐτὴν ἐσπλευσομένης, πλὴν εἰ μὴ τοσαύτη Ῥωμαίων ἀφίκοιτο πληθύς, ὡς δυνάμει καὶ βίᾳ τήν τε τῶν Ἀβάρων ἀπελάσαι στρατιὰν καὶ διαλῦσαι τὴν γέφυραν. » Χρῆναι γοῦν τὸν αὐτοκράτορα μηδαμῶς ἐκπολεμῶσαι μιᾶς ἕνεκα πόλεως εὐτελοῦς, μᾶλλον δὲ χύτρας (ταύτῃ γὰρ αὐτῇ δήπουθεν ἐχρήσατο τῇ λέξει), Ἀβάρους τε καὶ τὸν τῶν Ἀβάρων Χαγάνον· ἀλλ' ἐξαγαγόντα σώους ἅπαντας τοὺς ἐν αὐτῇ στρατιώτας τε καὶ οἰκήτορας, οὐ μὴν ἀλλὰ καὶ ὅσα ἐστὶν αὐτοῖς τῶν φέρεσθαι δυναμένων κτημάτων, παραχωρῆσαι τῷ Χαγάνῳ τῆς πόλεως, γυμνῆς τε καὶ ἐρήμου τὸ λοιπὸν καθεστώσης. Δεδοικέναι γὰρ αὐτόν, μὴ νῦν μὲν ταῖς τῆς εἰρήνης ἐμμένειν προσποιοῖντο Ῥωμαῖοι συνθήκαις, μέχρι τὸν κατὰ Περσῶν διαθεῖντο πόλεμον, διαθέμενοι δὲ μετέπειτα πανστρατιᾷ κατὰ Ἀβάρων χωρήσοιεν, ἑτοιμότατον ἐπιτείχισμα ταύτην γε δήπου τὴν πόλιν ἔχοντες κατ' αὐτῶν, καὶ οὔτε ποταμῷ μεταξὺ μεγίστῳ οὔτε μὴν ἑτέρᾳ τινὶ δυσχωρίᾳ παντελῶς διειργόμενοι. Σαφές τε εἶναι καὶ φανερώτατον, ὡς οὐκ ἐπὶ καλῷ τῷ Ἀβάρων, εἰρήνης τῷ αὐτοκράτορι πρὸς αὐτοὺς σταθερᾶς συνεστώσης, τηλικαῦτα περὶ τὴν πόλιν τὸ Σίρμιον ᾠκοδομήσατο τείχη. Χαίρειν μὲν γὰρ ἔφασκε τὸν Χαγάνον καὶ ἐπὶ τοῖς καθ' ἕκαστον ἔτος στελλομένοις αὐτῷ παρὰ βασιλέως δώροις· καλὸν γὰρ ὑπάρχειν κτῆμα καὶ χρυσὸν καὶ ἄργυρον καὶ μὲν οὖν ἐσθῆτα σηρικήν· ἁπάντων δ' οὖν ἀξιοκτητότερον εἶναι τούτων καὶ τιμιώ-

---

Persico bello in Armenia et Mesopotamia occupati erant. Quæ tamen omnia dissimulabat, tanquam non intelligeret quo Chaganus tenderet. Itaque imperator respondit, se quoque velle Sclavinos, quoniam plerasque Romanorum regiones prædati fuerant et latrociniis vexaverant, bello persequi. Sed tunc temporis non opportunum esse Avaribus eam expeditionem suscipere, quia Turci jam circa Chersonem agerent, et si illi Istrum trajicerent, celeriter ejus rei nuntios accepturi essent. Itaque commodius illis esse supersedere et differre expeditionem in aliud tempus. Quid velint Turci et qua parte progressuri sint, se brevi cogniturum, de quibus omnibus Chaganum certiorem facturum. Hæc non latebat Avarum legatum, e re nata ab imperatore conficta, qui objecto Turcorum metu Chaganum abducere ab incepto opere sperabat. Sed idem se sentire simulavit, et promisit se effecturum ut ab ea mente Chaganus desisteret. Itaque legatus, qui præcipue Chaganum ad bellum Romanis inferendum impulerat, amplissimis donis acceptis, quæ pro mercede postulaverat, e regia urbe proficiscitur. Sed quum per Illyrium iter faceret cum paucis Romanis ad eum tutandum præmissis, a Sclavinis, excursiones in eas partes facientibus, occisus est. Non multis interjectis diebus, ecce alter legatus venit a Chagano in regiam urbem, Solachus nomine, qui apertissima et nuda impudentia ita locutus est : « Ponte junctum fluvium Saum, supervacuum existimo affirmare. Manifesta enim is, qui probe scienti narrat, vituperatione dignus est. Neque vero ulla arte Romani Sirmium oppidum ab obsidione liberare, neque commeatum, aut aliam ullam rem, quæ obsessis levamento sit, flumine in urbem invehere possunt, nisi tantam multitudinem illuc mittant, quæ vi et fortitudine possit Avarum exercitum ab obsidione depellere et pontem dejicere. Itaque imperatorem consultius facturum, si pro una minime opulenta urbe, magis pro una olla (ea enim dictione usus fuerat), non bellum in Avares et Avarum Chaganum susciperet, sed si contentus educere salvos et incolumes omnes milites Romanos et urbis incolas una cum suis rebus, quicquid earum efferre potuerint, urbem nudam et desertam Chagano cederet. Hunc enim veritum esse, ne Romani stare pacis conditionibus in animo haberent tantisper dum bellum, quod cum Persis gererent, confecerint, eoque confecto, omnibus viribus in Avares impetum facere, quum hanc urbem promptissimum adversus ipsos propugnaculum haberent, neque interjecto fluvio maximo aut alia loci difficultate impedirentur. Ceterum perspicuum et apertum esse, imperatorem commodi Avarum nullam habuisse rationem, qui, etiam pace constituta, oppidum Sirmium validioribus mœnibus cinxerit. Frui quidem Chaganum donis quæ singulis annis acciplat ab imperatore; nam magni pretii bona esse aurum, ar-

τερον τὴν ψυχὴν, περὶ ἧς φοβούμενον αὐτὸν καὶ ἀναλογιζόμενον ὡς τὰ πολλὰ τῶν εἰς τὸν φθάσαντα χρόνον κατ' ἐκείνην δήπου τὴν χώραν ἐπελθόντων ἐθνῶν τοιούτοις δώροις Ῥωμαῖοι προκαλέσαντες, τέλος ἐς καιρὸν ἐπιθέμενοι πανωλεθρίᾳ διέφθειραν, οὐκ ἀποστήσεσθαι τῆς ἐπιχειρήσεως, οὐ δώροις, οὐκ ἐπαγγελίαις, οὐχ ἑτέρῳ τινὶ τῶν πάντων, πρὶν ἂν τὴν πόλιν τὸ Σίρμιον χειρωσάμενος τὴν Σιρμιανὴν ἅπασαν οἰκειώσηται νῆσον, ἣν δικαιότατα καὶ προσήκειν αὐτῷ Γηπαίδων πρότερον κτῆμα γενομένην, αὐτῶν δὲ ὑπὸ Ἀβάρων πολεμηθέντων (καταπ. N.), ὡς ἐντεῦθεν καὶ τὰ κτήματα κατὰ τὸ εἰκὸς αὐτῷ μᾶλλον καὶ οὐ Ῥωμαίοις ἁρμόζειν. Ταῦτα ἐτάραξε μὲν, καὶ τὴν διάνοιαν δεινῶς ὑπό τε ὀργῆς καὶ λύπης συνέχεε τοῦ αὐτοκράτορος· τοῖς εἰκόσι δὲ, ὡς ἐνῆν, λόγοις καὶ αὐτὸς χρησάμενος ἀντέλεξεν ὧδε· « ὡς οὔτε δυνάμει καὶ ἀνδρείᾳ χειρὸς οὔτε σοφίᾳ περιῆλθεν ἡμᾶς ὁ Χαγάνος, ἀλλὰ εἰρήνας τε καὶ συνθήκας καὶ θεὸν τὸν ὁμοθέντα καθυβρίσας, παντί που δῆλον. Πλέον δὲ ὅμως οὐδὲ αὐτῷ τὴν ἀπιστίαν οἶμαι παρέξειν· θᾶττον γὰρ ἂν αὐτῷ μίαν τῶν θυγατέρων κατεγγυήσω, δυοῖν ὑπαρχουσῶν, ἢ τὸ Σίρμιον τὴν πόλιν ἑκὼν παραδώσω. Εἰ δέ γε δυνάμει καὶ βίᾳ ταύτην ἐξέλοι, καὶ οὕτω τὸν ὑβρισμένον παρ' αὐτοῦ θεὸν ἔκδικον ἀναμένων αὐτὸς ἥκιστά τι καταπροέσθαι τῆς Ῥωμαίων πολιτείας ἐννοηθείην ποτέ. » Ἐπὶ τούτοις τὸν πρεσβευτὴν ἀποπεμψάμενος, παρεσκευάζετο ἐκ τῶν ἐνόντων τῇ πόλει ἀμύνειν, στρατιὰν μὲν, ὡς ἔφθην εἰρηκὼς, οὐδὲ βραχεῖάν τινα ἔχων, στρατηγοὺς δὲ καὶ ἡγεμόνας καὶ λοχαγοὺς στέλλων, τοὺς μὲν διὰ τῆς Ἰλλυριῶν, τοὺς δὲ διὰ Δαλματίας, ὡς ἂν τὴν πόλιν διὰ φρουρᾶς ἔχοιεν.

65.

Ibidem p. 131. 132 : Ὅτι Θέογνις ἐπεὶ ἐν Κασίᾳ καὶ Καρβωναρίᾳ ταῖς νήσοις ἐγένετο, λόγων αὐτῷ κινηθέντων περὶ σπονδῶν, προσεδέξατο. Παραγενομένου τε τοῦ Βαϊανοῦ καὶ τοῦ ἵππου ἀποβεβηκότος, τεθείσης οἱ καθέδρας χρυσῆς ἐνιζάνει αὐτοῦ, ἐκ διαλίθων ὑφασμάτων σκευασθείσης αὐτῷ ὥσπερ καλύβης τινός. Ἀλλὰ γὰρ καὶ ὥσπερ ἀντ' ἐρύματος πρὸ τῶν στέρνων αὐτῷ καὶ τοῦ προσώπου προὐβάλλοντο θυρεούς, διὰ τὸ μὴ ἐκτοξεῦσαι Ῥωμαίους τυχὸν οὕτω δὴ ἀθρόον ἐς αὐτόν. Ἀτὰρ οἵ γε ἀμφὶ Θέογνιν παραγενόμενοι, βραχύ τι ἀφεστῶτες τοῦ χωρίου, ἵνα ὁ Βαϊανὸς ἐφεζόμενος ἦν, διελέγετο (δι' Bekk.) ἑρμηνέων Οὔννων τὰς πίστεις διεσαφηνίζοντο περὶ σπονδῶν. Καὶ ὁ μὲν Βαϊανὸς ἔφασκε δεῖν ὑπείκειν οἱ Ῥωμαίους ἀμαχητὶ τοῦ Σιρμίου, οἷα δὴ τὸ λοιπὸν μηδεμιᾶς ὑπολελειμμένης μηχανῆς ἐς τὸ μὴ ἁλῶναι τὸ ἄστυ. Πρὸς τῷ καὶ [σπάνει supp. Nieb.] τῶν ἀναγκαίων θᾶττον ὑποβληθήσεσθαι (ἀποκλεισθήσεσθαι conj. Bekk.), τοῦτο μὲν ἐξ ἀμφοῖν τοῖν μεροῖν κεκωλυμένης αὐτῇ τῆς σιτοπομπίας, τοῦτο δὲ καὶ τῆς τῶν Ἀβάρων δυνάμεως τῷ πολέμῳ μὴ ὑποχαλώσης, ἄχρις οὗ ὑποχείριον ποιήσοιντο τὴν πόλιν. Προὐβάλλετο δὲ καί τινα εὐπρόσωπον αἰτίαν τοῦ ἱμείρειν δεσπόσαι τοῦ ἄστεως, διὰ τὸ μὴ αὐτομόλους ἐκ τῆς Ἀβαρικῆς στρατιᾶς, ἀγχιθύρου οὔσης τῆς πόλεως, ἑαυτοὺς ἐνδιδόναι Ῥωμαίοις. Τούτων οἱ διαλεγομένων, ἀντεῖπε Θέογνις, ὡς πρῶτον μὲν οὐδὲ αὐτὸς ἐνδώσει τῷ πολέμῳ πρότερον ἢ τὸ Ἀβαρικὸν ἐνδοῦναι· ἄλλως τε μὴ ἐλπίζειν τὸν Βαϊανὸν τοιούτους εὑρήσειν Ῥωμαίους, ὁποίους καὶ βούλεται. Ταῦτα αὐτῶν

---

gentum et sericam vestem, sed carissimum et pretiosissimum omnium bonorum esse vitam, cui quum timeret, et animo repeteret, Romanos multas gentes in his locis donis et muneribus ad se accivisse et pertraxisse, quas deinde tempore procedente subegerint et funditus everterint, neque donis, neque promissis, neque ulla alia re illum moveri posse, ut desistat ab incepto, neque quieturum donec urbem ceperit, et omnem Sirmianam insulam propriam sibi fecerit. Seque jure id facere, quia Gepidarum prius hæc insula fuerit, quorum res et urbes justius Avares sibi vindicare possent, qui eos devicerint, quam Romani. » Hæc imperatorem valde perturbarunt, et graviter ejus mentem ira et dolore perculerunt, tamen idonea et ipse, quantum potuit, oratione usus ita respondit : « Neque copiis, neque fortitudine manus, neque prudentia nos Chaganus circumvenit, sed eum pacem et deum, per quem juravit, deludisse, omnibus manifestum est. Nihilominus illi perfidiam parum profuturam esse spero. Sed potius unam ex filiabus, quas duas habeo, illi desponderem, quam Sirmium oppidum volens traderem. Quod si vi expugnarit, ego deum ultorem exspectans, cujus numen violavit, imperio Romano me non defuisse existimabo. » Tum dimisso legato, urbi suppetias ferre, quoad potuit, paravit. Etenim, ut superius dixi, nullas habebat copias : itaque exercituum præfectos, duces et turmarum ductores, hos per Illyrium, alios per Dalmatiam mittit, ut urbem, quoad fieri posset, custodirent.

65.

Theognis ubi in Casiam et Carbonariam insulas pervenit, sermones ad se, ut fœdera fierent, delatos excepit : itaque Baianus advenit, et de equo descendens, in sella aurea consedit, quæ stragulis gemmis ornatis in formam tentorii comparata erat. Ante pectus illius et vultum propugnaculi modo erat objectum scutum, ne a Romanis forte in eum tela jaculantibus appeteretur. Etenim qui cum Theogni erant, non longo intervallo distabant a loco ubi Baianus sedebat : itaque Hunni interpretes clara voce fidem datam de induciis pronuntiarunt. Tum Baianus dixit, oportere Romanos illi sine pugna Sirmium cedere, quia nihil illis opis jam reliqui esset, quominus oppidum caperetur. Nam, præterquam quod urbem res necessariæ deficerent, impedita ab utraque parte frumenti invectione, etiam Avarum multitudinem nullis laboribus defatigatum iri, usque dum urbem suæ potestati subjiciant. Proposuit etiam aliquam verisimilem causam, cur desideraret urbis dominium adipisci, ne transfugæ ex Avarico exercitu, quia urbs esset illis contermina, ad Romanos receptum haberent. Quum hæc ad hunc modum locuti essent, contra respondit Theognis, se non prius a bello recessurum, quam Avaricus exercitus cesserit, neque alia conditione Baianum sperare

καὶ τὰ τοιαῦτα ἀποφηναμένων, καὶ ξυμφωνησάντων οὐδαμῶς πρὸς εἰρήνην, διαρρήδην Θέογνις ἀπειρηκὼς τῶν σπονδῶν ἔφη ὡς τὸν Βαϊανὸν ἀναχωρεῖν τε αὐτὸν καὶ πρὸς πολέμου παράταξιν ἐξοπλίζεσθαι, ἅτε αὔριον καὶ οὐκ ἐς ἀναβολὴν ἀναρρήξοντος αὐτοῦ τὴν μάχην. Ἐπὶ τούτοις ἀπηλλάγησαν.

66. (581.)

Exc. De leg. Rom. p. 174. 175: Ὅτι ἐπὶ τρεῖς ἡμέρας (ἐνιαυτοὺς N.) πόλεμος Ῥωμαίοις καὶ Ἀβάροις συνεκροτήθη, μηδεμιᾶς δυνάμεως Ῥωμαϊκῆς κατὰ τὴν πρὸς Δαλματίᾳ γέφυραν ἐπιφανείσης, καίτοι σαθρότατα ἐχουσαν. Ἀλλὰ γὰρ καὶ ὁ Ἀψὶχ καὶ τὸ κατ' αὐτὸν Ἀβαρικὸν αὐτοῦ ἐφεδρεύοντες πρότερον τοσαύτην καταφρόνησιν ἐπεδείξαντο κατὰ Ῥωμαίων, ὥστε μετενεχθῆναι σφᾶς κατὰ δὴ τὴν ἑτέραν γέφυραν, ἄλλην τε δύναμιν προστεθῆναι τῇ δυνάμει Βαϊανοῦ. Πιεζομένων τοιγαροῦν [τῶν] ἐν τῷ Σιρμίῳ λιμῷ μεγίστῳ, ἤδη τε ἀπτομένων ἀθεμίτων τροφῶν τῷ ἐστερῆσθαι τῶν ἀναγκαίων καὶ γεγεφυρῶσθαι τὴν διάβασιν τοῦ Σαοῦ, καὶ Σολομῶνος [τοῦ] τηνικαῦτα προεστῶτος τοῦ Σιρμίου ἐκμελέστατά πως διατελοῦντος, καὶ μηδὲν ὁτιοῦν στρατηγίας ἐχόμενον ἐπιδεικνυμένου· πρός γε καὶ τῶν τῆς πόλεως ἀπειρηκότων τοῖς χαλεποῖς, ὀλοφυρομένων τε καὶ ἐς τὰς ἐσχάτας ἐλπίδας ἐξωλισθηκότων, καταμεμφομένων τε τοῖς Ῥωμαίων ἡγεμόσι, Θεόγνιδός τε αὐτοῦ ὀλιγοχειρίαν νοσοῦντος: ταῦτα [ἐπεὶ] Τιβέριος ὁ βασιλεὺς κατέμαθεν, αἱρετώτερον ἡγησάμενος μὴ συναιχμαλωτισθῆναι τῇ πόλει τῶν οἰκητόρων τὸν ὅμιλον, ἐν γράμμασι κελεύει Θεόγνιδι καταλῦσαι τὸν πόλεμον ἐπὶ σπονδαῖς, ὡς ὑπεξελθεῖν παμπληθεὶ τοὺς τῇδε οἰκοῦντας, μηδὲν ἐπιφερομένους τῶν οἰκείων ἢ μόνον τὸ ζῆν καὶ παρασχὸν οὕτω περιβόλαιον ἕν. Καὶ δὴ συνέβησαν ἐπὶ ταῖς τοιαῖσδε ξυνθήκαις, καὶ τὰ τοῦ πολέμου ἐλώφησεν, ἐφ' ᾧ παραχωρῆσαι μὲν Ῥωμαίους Ἀβάροις τῆς πόλεως, Ἀβάρους δὲ Ῥωμαίοις τοῦ ἐν τῇ πόλει πλήθους, ἄνευ τῶν ὅσα ἑκάστῳ ἐν περιουσίᾳ ὑπῆρχεν. Ἐπεζήτει δὲ ὁ Χαγάνος καὶ τριῶν ἐτῶν παρῳχημένων χρυσίον, ὧν οὐκ εἰλήφει τι κατὰ τὸ σύνηθες, τῶν παρεχομένων αὐτῷ ὑπὲρ τοῦ μὴ χρῆσθαι ὅπλοις. Ἦσαν δὲ τὰ εἰρηναῖα χρήματα ἑκάστῳ ἔτει ἀμφὶ χιλιάδας ὀγδοήκοντα χρυσίου νομισμάτων. Ἔτι γε μὴν καὶ ἕνα τινὰ τῶν ὑπ' αὐτῷ τεταγμένων, ὃς προσεχώρησε τῇ Ῥωμαίων πολιτείᾳ, καθὰ λέγεται, τῇ γυναικὶ τοῦ Βαϊανοῦ ἐς ἀφροδίσια συνελθών. Ταύτῃ τοι κατάδηλον ἐποίησε Θεόγνιδι ἐκδοθῆναί οἱ τὸν αὐτόμολον· ἢ γὰρ ἂν ἄλλως μὴ ἀνέξεσθαι ἰδεῖν ἐς σπονδάς. Ὁ δέ γε ἀντεσήμηνεν, ὡς ἡ γῆ τοῦ Ῥωμαίων βασιλέως μεγίστη τέ ἐστι καὶ ἄπλετος, καὶ ὡς δυσεύρετόν τι φυγὰς ἀνὴρ ἐν αὐτῇ ἀλώμενος, τυχὸν δὲ ὅτι καὶ ὀλέθρῳ ἥλω. Πρὸς ταῦτα ἀντέλεξεν ὁ Βαϊανὸς ὀμνύναι τοὺς Ῥωμαίων ἡγεμόνας, ὡς ἀναμαστεύσωσι, καὶ εἴ τι εὕροιεν τὸν φυγάδα, ἀποκρύψοιντο οὐδαμῶς, ἀλλ' ἐκ παντὸς τρόπου ἐγχειριεῖν αὐτὸν τῷ τῶν Ἀβάρων μονάρχῳ· εἰ δέ γε τετελευτηκὼς εἴη, καὶ οὕτω σημῆναι.

Exc. De sent. p. 364: Ὅτι Θέογνις ****.

Cf. Theophyl. Simocatta Hist. I, 3: Τὸ δ' ὅπως Σίρμιον ἥλω, Μενάνδρῳ τῷ περιφανεῖ σαφῶς διηγόρευται· περὶ ὧν οὔ μοι σχολὴ ἐπεργαστικώτερον τοῖς μακροῖς ἐκείνοις λόγοις ἐπεξελθεῖν, αὖθις δ' ἀριζήλως εἰρημένα μυθολογεύειν.

---

debere, se faciles Romanos ad ea, quæ velit, reperturum. Hæc inter se altercantibus et concertantibus, aperte fœdus Theognis icere recusavit et dixit Baiano, ut se ab oculis Romanorum subduceret, et arma ad pugnam capessendam caperet, tanquam crastina die sine ulla dilatione manus illi secum conserendi potestatem facturus. His dictis abierunt.

66.

Agias et Dercylus libro tertio Tr[...] die vicesimo tertio Panemi mensis.

3.

Herceum hunc Jovem historici c[...]

Δία ἄλλοι ἱστορικοὶ ἀναγράφουσιν ἰδίαν τινὰ σχέσιν περὶ αὐτοῦ ἱστοροῦντες, τρισὶν ὀφθαλμοῖς αὐτὸν κεχρῆσθαί φασιν, ὡς οἱ περὶ Ἀγίαν καὶ Δερκύλον (Δέρκαλον cod.). Vid. Pausanias II, 24, 4; VIII, 46, 2. Welcker. *Cycl.* p. 279, not. 449.

4.

Athenæus XIV, p. 626, F: Ἀγίας δ' ὁ μουσικὸς ἔφη, τὸν στύρακα, τὸν ἐν ταῖς ὀρχήστραις θυμιώμενον τοῖς Διονυσίοις, Φρύγιον ποιεῖν ὀδμὴν τοῖς αἰσθανομένοις. Τὸ δ' ἀρχαῖον ἡ μουσικὴ ἐπ' ἀνδρείαν προτροπὴ ἦν.

Agiæ nomen Fabricius (Bibl. Gr. I, p. 658) reponi voluit ap. schol. Eurip. Phœn. 13, ubi vulgo legitur Αἰγύστιος vel Αἰγύπτιος. Nos locum attulimus in fragmentis Lysimachi. — Ceterum de scriptura nominis Ἀγίας v. Welcker. in Hom. Cycl. p. 278. Præter Agiam Νόστων auctorem atque Agiam comicum (Pollux, III, 36), enotavi *Agiam vatem*, Agelochi f., qui Lysandro victoriam prædixit, ap. Pausan. III, 11,5, ubi v. interpr.; *Agiam Arcadem* in Xenoph. Anab. II, 5,7; *Agiam* (vgo Ageum) *Argivum Olympionicam*, Ol. 113, ap. Euseb. Chron. p. 152 ed. Mai; *Agiam Argivum*, qui, interfecto Argivorum tyranno Aristippo (vid. Diniæ Argivi fragm.), summa rerum potitur, Plutarch. Arat. c. 29.

AGLAOSTHENES.

ΝΑΞΙΑΚΑ.

1.

Hyginus Poet. astron. II, 2: *Arctos minor. Hanc Aglaosthenes, qui Naxica conscripsit, ait Cynosuram esse unam de Jovis nutricibus ex Idæis nymphis; ab ejus quoque nomine et urbem, quæ Hestiæa vocatur, a Nicostrato et sodalibus ejus constitutam, et portum qui ibi est et agri majorem partem Cynosuram appellatam. Hanc autem inter Curetas fuisse, qui Jovis fuerunt administri.*

Eratosthenes Cataster. 2, de ursa minori: Ἀγλαοσθένης (Ἀγασθένης var. lect.) δὲ ἐν τοῖς Ναξικοῖς (sic) φησι τροφὸν γενέσθαι τοῦ Διὸς Κυνόσουραν, εἶναι δὲ μίαν τῶν Ἰδαίων νυμφῶν, ἀφ' ἧς ἐν μὲν τῇ πόλει τῇ καλουμένῃ Ἱστοῖς [τοὔνομα τοῦτο ἦν], ἣν οἱ περὶ Νικόστρατον ἔκτισαν, καὶ τὸν ἐν αὐτῇ δὲ λιμένα καὶ τὸν ἐπ' αὐτῇ τόπον Κυνόσουραν κληθῆναι. Urbis nomen ex h. l. emendandum ap. Hyginum et Germanicum. Idem nomen Ἱστοὶ tanquam stationis in Icaria ins. habes ap. Strabon. XIV, p. 639.

Germanic. ad Arat. 24: *Agatosthenes* (sic) *in Asiaticis carminibus Cynosuram dicit fuisse Jovis nutricem unam ex Idæis nymphis, a qua in Cretæ oppido Histoë Nicostratus constituit portus, et circa eum locum Cynosuram; fuisse cum Telchiniis, qui dicuntur Curetes Idæi.*

Initio scribe *Aglaosthenes in Naxiacis*. Istud *Asiaticis carminibus* (Ἀσιατικοῖς ἔπεσι) fortasse natum fuerit ex græcis Ναξιακοῖς φησι. — *Telchines* ipse grammaticus intulisse videtur. Vide Lobeck. Aglaoph. p. 1182. Cf. Hœck. *Creta*, I, p. 434.

2.

Germanicus ad Arat. 314: *Aglaosthenes dicit Jovem in aquilam transfiguratum Naxiam regionem ubi nutritus fuerat petiisse, et regnum accepisse: egresso vero de Naxo, quum adversus Titanas proficisceretur et sacrificium faceret, aquilam ei in auspicio apparuisse et fulmina ministrasse; quam bono omine acceptam tutelæ subjecisse.* Eadem ex Germanico repetit Lactantius, I, 11.

Eratosthenis Cataster. 30: Ἀγλαοσθένης δέ φησιν ἐν τοῖς Ναξιακοῖς, γενόμενον τὸν Δία ἐν Κρήτῃ καὶ κατὰ κράτος ζητούμενον, ἐκεῖθεν ἐκκλαπῆναι καὶ ἀχθῆναι εἰς Νάξον· ἐκτραφέντα δὲ καὶ γενόμενον ἐν ἡλικίᾳ τὴν τῶν θεῶν βασιλείαν κατασχεῖν· ἐξορμῶντος δὲ ἐκ τῆς Νάξου ἐπὶ τοὺς Τιτᾶνας, (καὶ) ἀετὸν αὐτῷ φανῆναι συνιόντα, τὸν δὲ οἰωνισάμενον ἱερὸν αὐτὸν ποιήσασθαι κατηστερισμένον· καὶ διὰ τοῦτο τῆς ἐν οὐρανῷ τιμῆς ἀξιωθῆναι. « Vocem καὶ ante ἀετὸν delendam aut ἱερεύσαντος ex Hygino (*sacrificanti ei aquilam auspicatam*) addendum censuit Heynius. » *Westermann*. Ego pro φανῆναι συνιόντα velim φανῆναι αἴσιον ὄντα vel αἰσιοῦντα.

Hygin. Poet. astron. II, 17: *Aglaosthenes autem, qui Naxica scripsit, ait Jovem Cretæ surreptum, Naxum delatum et ibi esse nutritum: qui postquam pervenerit ad virilem ætatem, et voluerit bello lacessere Titanas, sacrificanti ei aquilam auspicatam: quo auspicio usum esse, et eam inter astra collocasse.* Cf. Müller. *Min.* p. 443,5.

3.

Pollux IX, 6,83: (Πρῶτοι νόμισμα ἔκοψαν Νάξιοι κατὰ τὴν Ἀγλωσθένους (i. q. Ἀγλαοσθ.) δόξαν.

---

culiarem quendam habitum fuisse dicunt, tribusque oculis instructum narrant, sicuti Agias et Dercylus.

4.

Agias musicus dixit, styracem, quem in orchestris suffiunt feriis Bacchanalibus, Phrygium afferre odorem olfacientibus. Priscis vero temporibus musica ad fortitudinem fuit adhortamentum.

3.

Primi numos cuderunt Naxii secundum Aglaosthenis sententiam.

4.

Plinius H. N. IV, 12, 22 : *Hanc* (Delum) *Aristoteles ita appellatam prodidit, quoniam repente apparuerit enata. Æglosthenes* (scr. *Aglaosthenes*) *Cynthiam, alii Ortygiam, Asteriam, Lagiam, Chlamydiam, Cynæthum, Pyrpilen igne ibi primum reperto. — Naxus a Delo XVIII* (mill. pass.) *cum oppido, quam Strongylen, dein Dian, mox Dionysiada a vinearum fertilitate, alii Siciliam minorem aut Callipolin appellarunt.*

5.

Athenæus III, p. 78, C, de Naxiorum Dionyso μειλιχίῳ. Vide Andrisci fr. 3.

(AGATHOSTHENES.)

Apud Tzetzen in Hist. VII, 645 *Agathosthenes* inter eos recensetur, qui mirabilia et fabulosa tradiderint. Scripserit igitur Παράδοξα, uti Sotion et Isigonus, quibus associatum ejus nomen videmus. Ceterum num genuinum sit nomen *Agathosthenis*, an ex *Aglaosthenes* corruptum (sicuti fr. 1 ap. Germanicum), non discerno.

6.

Tzetzes ad Lycophr. 1023 : Κρᾶθις, ποταμὸς Ἰταλίας τῶν λουομένων πυρσαίνων τὰς χαίτας, καθάπερ Ἰσίγονος ὁ ἱστορικός φησι, Σωτίων τε καὶ Ἀγαθοσθένης οἱ φιλόσοφοι. Cf. Aristot. mir. ausc. c. 183; Timæus fr. 63. Euripid. Troad. 227.

7.

Idem ibid. 704 : Ἄλλοι δὲ τὴν Ἄορνον, Σωτίων τε καὶ Ἀγαθοσθένης καὶ Δίων καὶ οἱ λοιποὶ τῶν ἱστορικῶν, οὐ λίμνην οὐδὲ πέτραν φασὶ, στόμιον δέ τι περὶ τὴν Ἀδιαβηνὴν, ὅπερ στόμιον ὄρνεον ὑπερπετᾶσθαι οὐ δύναται· ἀπὸ γὰρ τῆς ἐκεῖθεν ἀναφερομένης ἀναθυμιάσεως τελευτᾷ καὶ πᾶν ζῷον ἄλογον.

AGRIOPAS, Ὀλυμπιονικῶν scriptor. V. Euanoridas.

AGROETA

ΛΙΒΥΚΑ

E LIBRO PR

1.

Herodianus Π. μον. λέξ. α' Λιβυκῶν· « Ἀνδρωθέντα δὲ τ σαι ταῖς Νύμφαις καὶ γεννῆσα αὐδα κήνας· βυγάνμα· καλομ ψύλλοι τὸ ἔθνος. »

Ἀγροίτας α' Λ.] cod. ἀγρ emend. Lobeck. Aglaoph. « vehementer corrupta et in lami ductibus perscripta, ut fidem se præstare neget Blochi dandum est, ni fallor, hunc Ἀδυρμαχίδαν (vel Μαρμαρίδα ζαν, Μαχλύα, Μάκαν, Ψύλλ ἔθνος. Ararauceles memorat (s. Βυζάκιοι s. Βυζάντιοι) v. et Strabon. p. 231, et inte etiam scribere Ἀσβύταν vel Ἀ probabilius est, quum Asby fuerint Ararauzelum. V. Forl p. 828. De ceteris Libyæ pop h. l. indigitantur, satis con cf. fr. 4.

2.

Schol. Apoll. Rh. II, 49 πρώτῳ Λιβυκῶν, ὑπὸ Ἀπόλλω (τὴν Κυρήνην) κομισθῆναι, Ἀδελφὴ δὲ Κυρήνης Λάρισσα Θεσσαλίᾳ. Τινὲς δέ φασι τὴν Κυ γενέσθαι, κακῶς. Ἔνεμεν γὰρ οὐκ ἔτι δὲ καὶ θυγάτηρ αὐτοῦ

(*) *Agrœtam*, declamatorem vixit, laudat M. Seneca Controv.

6.

Crathis, Italiæ fluvius, qui rufos facit crines lavantium, ut ait Isigonus historicus, et Sotion et Agathosthenes (Aglaosthenes?) philosophi.

7.

Alii, ut Sotion et Agathosthenes (Aglaosthenes?) et Dion, Aornum non lacum neque petram, sed in Adiabene orificium quoddam, quod nulla avis supervolare potest; nam vapore qui inde exhalatur omne brutum animal suffocatur.

LIBYCA

1.

Agrœtas primo De rebus Libycis philthemia cum nymphis consue Adyrmachidam, Araraucelam, By chiyem, Macam, et Psyllum, a q

2.

Agrœtas primo De rebus Libyci Cretam, hinc deinde in Libyam tr

3.

E LIBRO TERTIO.

Idem IV, 1396 : Τὸν δράκοντα Λάδωνα ἐκάλουν. Τοῦτον δὲ Πείσανδρος ὑπείληφεν ἀπὸ τῆς γῆς γεγενῆσθαι. Ἡσίοδος δὲ ἐκ Τυφῶνός φησιν. Ἀγροίτας δὲ ἐν γ' Λιβυκῶν φησί, μὴ μῆλα εἶναι, ἀλλὰ πρόβατα κάλλιστα, ἃ χρυσᾶ ὠνομάσθη· ἔχειν δὲ ταῦτα ποιμένα ἄγριον, ὃν διὰ τὸ ἀνήμερον δράκοντα ὠνομάσθαι. Eadem Eudocia p. 216 et 435.

4.

Idem IV, 1492 (cod. Paris.) : Τὸν δὲ Ἀκακαλλίδος υἱὸν Ἀμφίθεμιν καὶ Γαράμαντά φησι κληθῆναι (sc. Alexander Polyh.). Οἱ μὲν οὖν ἀπ' αὐτοῦ τὸ ἔθνος τοὺς Γαράμαντας καλεῖσθαί φασιν· οἰκοῦσι δὲ οὗτοι τὴν Λιβύην· οἱ δὲ ἀπὸ τοῦ ἔθνους αὐτόν.. Εὐσεβεῖς δὲ οἱ Γαράμαντες, καὶ ναοὶ ἐν αὐτοῖς ἵδρυνται, ὡς ἄλλοι τε καὶ Ἀγροίτας ἱστορεῖ. Vulgo Γαράμας ἱστ., quod em. Bernhardy. ad Dion. p. 876. Scholia vulgata pro Εὐσεβεῖς δὲ κτλ., ita habent : Ἔστι δὲ καὶ ναὸς παρ' αὐτοῖς· καὶ Γαράμας μνημονεύει τοῦ ἔθνους.

5.

Steph. Byz. : Ἄμπελος πόλις τῆς Αἰγυστικῆς... Ἔστι καὶ ἄκρα Τορωναίων Ἄμπελος λεγομένη. Ἔστι καὶ ἑτέρα ἄκρα τῆς Σάμου, καὶ ἄλλη ἐν Κυρήνῃ· Ἀγροίτας δὲ δύο πόλεις εἶναί φησι, τὴν μὲν ἄνω, τὴν δὲ κάτω.

ΣΚΥΘΙΚΑ.

6.

E LIBRO XIII.

Schol. Apoll. Rh. II, 1248 : Ἀγροίτας δὲ ἐν τρισκαιδεκάτῃ (ἐν τῇ γ'?) τῶν Σκυθικῶν δαπανᾶσθαί φησι τὸ ἧπαρ Προμηθέως δόξαι ὑπὸ τοῦ ἀετοῦ, διὰ τὸ τὴν κρατίστην τοῦ Προμηθέως χώραν τὸν ποταμὸν τὸν καλούμενον Ἀετὸν φθείρειν. Ἧπαρ δὲ παρὰ πολλοῖς, ὥσπερ καὶ οὖθαρ, τὴν εὔκαρπον λέγεσθαι γῆν. Ἡρακλέους δὲ ἐξοχετεύσαντος διώρυξι τὸν ποταμόν, τόν τε ἀετὸν δόξαι ὑπ' αὐτοῦ κεχωρίσθαι, καὶ τὸν Προμηθέα λελύσθαι τῶν δεσμῶν. Cf. Herodori fragm. 23, tom. II, p. 34.

ALCETAS.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΔΕΛΦΟΙΣ ΑΝΑΘΗΜΑΤΩΝ.

E LIBRO SECUNDO.

Athenæus XIII, p. 591, B : Αὐτῆς δὲ τῆς Φρύνης οἱ περικτίονες ἀνδριάντα ποιήσαντες ἀνέθηκαν ἐν Δελφοῖς χρύσεον ἐπὶ κίονος Πεντελικοῦ· κατεσκεύασε δ' αὐτὸν Πραξιτέλης. Ὃν καὶ θεασάμενος Κράτης ὁ κυνικὸς ἔφη τῆς τῶν Ἑλλήνων ἀκρασίας ἀνάθημα. Ἕστηκε δὲ καὶ ἡ εἰκὼν αὕτη μέση τῆς Ἀρχιδάμου, τοῦ Λακεδαιμονίων βασιλέως, καὶ τῆς Φιλίππου τοῦ Ἀμύντου, ἔχουσα ἐπιγραφήν, ΦΡΥΝΗ ΕΠΙΚΛΕΟΥΣ ΘΕΣΠΙΚΗ, ὥς φησιν Ἀλκέτας ἐν δευτέρῳ Περὶ τῶν ἐν Δελφοῖς ἀναθημάτων. De re cf. Ælian. Var. Hist. IX, 32; Pausan. IX, 27; Diog. L. VI, 60, qui pro Cratete Diogenem ponit. — De Alceta hoc aliunde non constat. De rebus Delphicis scripsit Anaxandrides vel, uti in nonnullis libris legitur, Alexandrides. — Varios Alcetas vide in Stephan. Thes. s. v., quibus adde : *A. Bœotorum* prætorem, ap. Polyb. XXIII, 2,13 (qui non diversus est a *Diceta* lib. XXVII, 1,10, coll. Müller. *Min.* p. 427), et *A. Cariæ præfectum*, ap. Appian. Syr. c. 52

3.

Draconem (malorum apud Hesperidas custodem) Ladonem vocabant. Eum Pisander ex terra genitum credidit. Hesiodus Typhone natum dicit. Agrœtas vero libro tertio De rebus Libycis dicit μῆλα illa non esse mala, sed oves egregias; his pastorem fuisse ferocem, cui ob morum asperitatem Draconis nomen sit inditum.

4.

Acacallidis filium Amphithemin etiam Garamantem appellatum esse dicit. Jam vero alii Garamantum populum ab ipso, alii autem ipsum a Garamantum populo nomen habere censent. Garamantes Libyam incolunt; piique sunt ac templa habent, ut præter alios Agrœtas narrat.

5.

Ampelus... etiam in Cyrenaica regione urbs est. Agrœtas vero duas urbes esse dicit, alteram superiorem, alteram inferiorem.

SCYTHICA.

Agrœtas libro (decimo) tertio rerum Scythicarum jecur Promethei ab aquila consumi propterea credi, quod præstantissima Promethei terra a fluvio, cui Aquilæ nomen, vastata sit. Nam ἧπαρ, *jecur*, sicuti οὖθαρ dici terram fertilem. Herculem vero, quum canalibus fluvii cursum avertisset, aquilam interemisse et vinculis Prometheum liberasse videri.

DE DONARIIS DELPHICIS.

Phrynes statuam vicini illius Delphis ponendam curarunt auream, basi e marmore Pentelico insistentem, Praxitelis opus. Quam statuam ubi vidit Crates Cynicus, *Intemperantiæ Græcorum* dixit *monumentum*. Stetit autem hoc signum medium inter Archidami signum, regis Lacedæmoniorum, et Philippi Amyntæ filii; inscriptionem habens, *Phrynæ Epiclis fil. Thespicæ*; ut ait Alcetas secundo libro De donariis Delphicis.

ALCIMUS SICULUS.

Alcimus Siculus, qui de rebus Siculis scripsit, Theopompo antiquior fuit, si recte conjecit Schweighaeuserus (not. ad fr. 5). Attamen leviusculam esse hanc viri doctissimi suspicionem patet. Diogenes Laertius (II, 104) inter Stilponis Megarensis auditores recenset τὸν ῥητορικὸν Ἄλκιμον, ἁπάντων πρωτεύοντα τῶν ἐν Ἑλλάδι ῥητόρων. Qui quo clarior fuisse dicitur, tanto magis miramur, memoriam ejus omnem hocce Diogenis loco contineri. Quare num quid ei cum Alcimo Sicularum rerum auctore commune sit, in medio relinquendum. Libri quattuor quos Alcimus ad Amyntam scripsit, quum de Epicharmo Syracusano, ex quo multa Plato profecerit, fuisse videantur, haud male conveniunt homini Siculo; adeo ut auctorem eorum ab historico probabiliter non esse diversum conjeceris (*).

ΣΙΚΕΛΙΚΑ.

1.

Athenæus VII, p. 322, A: Ἄλκιμος δ' ἐν τοῖς Σικελικοῖς ἐν Μεσσήνῃ φησὶ, τῇ κατὰ τὴν νῆσον, Βότρυν γενέσθαι, εὑρετὴν τῶν παραπλησίων παιγνίων τοῖς προσαγορευομένοις Σάλπης. Antecedunt fragmentum 11 Nymphodori. V. tom. II, p. 278.

2.

Schol. Theocrit. I, 64: Ἡ δὲ Αἴτνη Σικελίας ὄρος ἐστὶν, ἀπὸ Αἴτνης τῆς Οὐρανοῦ καὶ τῆς Γῆς, ὥς φησιν Ἄλκιμος.

(3.)

Natalis Com. IX, 4: *Alcimus in Rebus Siculis et Syracusius Nymphodorus*
Lyciæ montem esse dixerun
retur. Ejus in summa parte
bitasse, in medio erant ube
pascua, ad radices serpentes.
afferre Alcimus potuit; at c
citandis auctoribus habenda
ex Eustath. ad Hom. Il. p.

4.

ΙΤΑΛΙΚΗ Β

Athenæus X, p. 441, A:
ἐν τῇ ἐπιγραφομένῃ τῶν βίβλω
τὰς ἐν Ἰταλίᾳ γυναῖκας μὴ
τῆς αἰτίας· « Ἡρακλῆς, περὶ
μενος, ἐπεὶ πρός τινα οἰκίαν,
διψῶν ἀφίκετο, προσελθὼν ᾔτε
δ' ἡ γυνὴ τοῦ τὴν οἰκίαν κεκτ
θραίως ὑποῖξασα· καὶ πρὸς μ
ποιήσειν αὐτὸν, εἰ ξένου χάριν
ξειεν, ὕδωρ δ' ἐκέλευσεν αὐτὸν
δ' ἐπὶ θύραις ἑστὼς, καὶ ἀκούσ
αὐτῆς σφόδρα ἐπῄνεσεν· ὃν κ
ρελθόντα εἴσω σκοπεῖν τὸν
λίθινον εὗρε τὸν πίθον γεγονότ
ἔτι καὶ νῦν ἐστιν ἐν ταῖς ἐπιχω
αἰσχρῷ κεῖσθαι τὸ πίνειν οἶνο
αἰτίαν. »

Liber hic Ἰταλικὴ inscrip
operis, quod res Siculorum
Timæus operis sui partem

5.

Idem XII, p. 518, B:
Τυῤῥηνοὶ, ὡς Ἄλκιμος ἱστορε
καὶ πυκτεύουσι καὶ μαστιγοῖ
pompi fr. 222. « Quodsi,
tur, Alcimi testimonium illu
legitur, ex Theopompi hi

(*) Memorantur præter Nostrum Alcimus, Lydiæ rex, ap. Xanth. fr. 9; Alcimus Cyzicenus, Olympionica Ol. 159 ap. Euseb. in Chron.; Alcimus Æl. Aristidis διοικητής, ap. Aristid. I, p. 449. 626.

DE REBUS SICULIS.

1.

Alcimus in libris De Rebus Siculis ait Messanæ in Sicilia Botryn exstitisse inventorum ludicrorum similium his quæ Salpæ tribuuntur.

2.

Ætna, Siciliæ mons, nomen habet ab Ætna Cœli et Terræ filia, ut Alcimus ait.

3.

Alcimus Siculus, in eo suorum librorum qui Italicus inscribitur, omnes in Italia mulieres vino abstinere ait, tali ex causa. « Hercules quum esset in Crotoniatarum agro, ibique ad ædes quasdam in via sitas sitiens pervenisset, accessit poscens ut sibi quod biberet daretur. Per id ipsum tempus forte uxor domini ædium clancul
itaque marito dicebat, durum fore
dolium illud aperiret; jussitque a
Hercules, pro foribus stans, qu
laudavit maritum mulieris; horta
intro abiret, et dolium inspicere
dolium reperit saxeum factum. Cu
nunc superest in omnibus ejus
prædictam ob causam, turpe et
num mulier bibat. »

5.

Etrusci ita voluptati dediti sun
tibiæ modos etiam farinam sub
et flagris cædant.

Athenæo est, colligitur inde, ætate nonnihil superiorem Theopompo fuisse Alcimum. » *Schweighæuser.* in Indice auctt. Athen.

6.

Festus p. 266 ed. Müller. : *Alcimus ait Tyrrhenia Æneæ natum filium Romulum fuisse, atque eo ortum Albam Æneæ neptem, cujus filius nomine Rhomus* (cod. *Rhodius*) *condiderit urbem Romam.*

ΠΡΟΣ ΑΜΥΝΤΑΝ

βιβλία τέτταρα.

7.

Diogen. Laert. III, 9, de Platone : Πολλὰ δὲ καὶ παρ' Ἐπιχάρμου τοῦ κωμῳδιοποιοῦ προσωφέληται, τὰ πλεῖστα μεταγράψας, καθά φησιν Ἄλκιμος ἐν τοῖς πρὸς Ἀμύνταν, ἅ ἐστι τέτταρα. Ἔνθα καὶ ἐν τῷ πρώτῳ φησὶ ταῦτα· « Φαίνεται δὲ καὶ Πλάτων πολλὰ τῶν Ἐπιχάρμου λέγων· σκεπτέον δέ. Ὁ Πλάτων φησὶν αἰσθητὸν μὲν εἶναι τὸ μηδέποτε ἐν τῷ ποιῷ μηδὲ τῷ ποσῷ διαμένον, ἀλλ' ἀεὶ ῥέον καὶ μεταβάλλον· ὡς ἐξ ὧν ἄν τις ἀνέλη τὸν ἀριθμὸν, τούτων οὔτε ἴσων οὔτε τινῶν οὔτε ποσῶν οὔτε ποιῶν ὄντων. Ταῦτα δ' ἐστὶν ὧν ἀεὶ γένεσις, οὐσία δὲ μηδέποτε πέφυκε. Νοητὸν δὲ οὗ μηδὲν ἀπογίνεται μηδὲ προσγίνεται. Τοῦτο δ' ἐστὶν ἡ τῶν ἀϊδίων φύσις, ἣν ὁμοίαν τε καὶ τὴν αὐτὴν ἀεὶ συμβέβηκεν εἶναι. Καὶ μὴν ὅ γε Ἐπίχαρμος περὶ τῶν αἰσθητῶν καὶ νοητῶν ἐναργῶς εἴρηκεν·

A. Ἀλλ' ἀεὶ τοὶ θεοὶ παρῆσαν, ὑπέλιπον δ' οὐ πώποκα·
τάδε δ' ἀεὶ πάρεσθ' ὅμοια, διά τε τῶν αὐτῶν ἀεί.
B. Ἀλλὰ λέγεται μὰν χάος πρᾶτον γενέσθαι τῶν θεῶν.
A. Πῶς δ'; ἀμάχανόν γ' ἀπ' οὔτινος εἶμεν ὅ τι πρᾶτον μόλοι.
B. Οὐκ ἄρ' ἔμολε πρᾶτον οὐδέν; A. Οὐδὲ μὰ Δία δεύτερον
τῶνδέ γ' ὧν ἄμμες νῦν ὧδε λέγομες. Ἀλλὰ τῷδ' ἄθρει·
αἰ ποτ' ἀριθμόν τις περισσὸν, αἰ δὲ λῇς, τιν' ἄρτιον
ποτιθέμεν λῇ ψᾶφον ἢ καὶ τᾶν ὑπαρχουσᾶν λαβεῖν,
ἦ δοκεῖ κά τοι τόχ' ωὑτὸς εἶμεν; B. Οὐκ ἐμίνγα κα.
A. Οὐδὲ μὰν οὐδ' αἰ ποτὶ μέτρον παχυαῖον ποτιθέμεν
λῇ τις ἕτερον μᾶκος ἢ τῶ πρόσθ' ἐόντος ἀποταμεῖν,
ἔτι χ' ὑπάρχοι τῆνο τὸ μέτρον; B. Οὐ γάρ. A. Ὧδε νῦν ὅρη
καὶ τὼς ἀνθρώπως· ὁ μὲν γὰρ αὔξεθ', ὁ δέ γα μὰν φθίνει·
ἐν μεταλλαγᾷ δὲ πάντες ἐντὶ πάντα τὸν χρόνον.
Ὃ δὲ μεταλλάσσει κατὰ φύσιν κοὔποκ' ἐν ταὐτῷ μένει,
ἕτερον εἴη κα τόδ' ἤδη τῶ παρεξεστακότος.
Καὶ τὺ δὴ κἀγὼ χθὲς ἄλλοι καὶ νῦν ἄλλοι τελέθομες,
καὖθις ἄλλοι κοὔποχ' ωὑτοὶ καττὸν αὐτὸν αὖ λόγον. »

Ἔτι φησὶν ὁ Ἄλκιμος καὶ ταυτί· « Φασὶν οἱ σοφοὶ τὴν ψυχὴν τὰ μὲν διὰ τοῦ σώματος αἰσθάνεσθαι, οἷον ἀκούουσαν, βλέπουσαν· τὰ δ' αὐτὴν καθ' αὑτὴν ἐνθυμεῖσθαι, μηδὲν τῷ σώματι χρωμένην. Διὸ καὶ τῶν ὄντων τὰ μὲν αἰσθητὰ εἶναι, τὰ δὲ νοητά. Ὧν ἕνεκα καὶ Πλάτων ἔλεγεν ὅτι δεῖ τοὺς συνιδεῖν τὰς τοῦ παντὸς ἀρχὰς ἐπιθυμοῦντας πρῶτον μὲν αὐτὰς καθ' αὑτὰς διελέσθαι τὰς ἰδέας, οἷον ὁμοιότητα καὶ μονάδα καὶ πλῆθος καὶ μέγεθος καὶ στάσιν καὶ κίνησιν· δεύτερον αὐτὸ καθ' αὑτὸ τὸ καλὸν καὶ ἀγαθὸν καὶ δίκαιον καὶ τὰ τοιαῦτα ὑποθέσθαι· τρίτον τῶν ἰδεῶν συνιδεῖν ὅσαι πρὸς ἀλλήλας εἰσὶν, οἷον ἐπιστήμην ἢ μέγεθος ἢ δεσποτείαν·

AD AMYNTAM

libri quattuor.

7.

Multo fuit Platoni etiam Epicharmus comicus adjumento, cujus plurima transcripsit, ut Alcimus in iis libris quos ad Amyntam scripsit quattuor numero, meminit. Eorum in primo ita loquitur : « Constat autem et Platonem complura sibi de Epicharmi libris assumere. Id vero dispiciendum est. Sensibile asserit Plato, quod aut in qualitate aut in quantitate nunquam persistat, sed diffluat semper atque immutetur : veluti si numerum ex iis tuleris, quæ neque æqualia, neque aliqua, neque quanta, neque qualia sunt. Porro ista sunt quorum semper generatio est, nunquam vero substantia. Intelligibile vero, cui nihil vel decedit vel accedit. Hoc autem sempiternorum natura est, quam similem atque eandem semper esse contingit. Atqui Epicharmus de sensibilibus atque intelligibilibus expresse loquitur in hanc sententiam :

A. Nempe di semper fuerunt atque nunquam intercident :
hæc quæ dico semper nobis rebus in isdem se exhibent.
B. Exstitisse sed deorum primum perhibetur Chaos.
A. Quinam vero? nam de nihilo nil pote primum exsistere.
B. Ergo nec erat primum quidquam? A. Nec magis hercule alterum
eorum quæ nunc appellamus rerum nomine. Hæc vero ita vide :
sume numerum, quemquem libeat, vel parem vel imparem ;
si quem huic cupias aggregare clanculum aut subducere,
an tibi hic idem videtur? B. Non mihi vero quidem.
A. Sic et aliquid ad cubitalem si addas magnitudinem,
aut si contra demas, eadem jam mensura non erit,
ante quæ fuit. B. Enimvero. A. Pariter nunc considera
homines : horum videas illum crescere, hunc decrescere.
Quotquot sunt, mutationi tempore omni subjacent,
et naturam quisque variat, uno nec manet in statu :
atque idem est et rursus aliud illi quod nunc transiit :
ipse heri tuque aliud fuimus, aliud sumus hoc tempore,
iterumque alii : nunquam eidem sumus, ut ratio prædicat. »

Addidit hæc præterea Alcimus : « Aiunt autem sapientes animam alia quidem sentire per corpus, puta videndo atque audiendo ; alia vero ipsam per se ipsam animadvertere, nullo corporis officio utentem. Quocirca eorum quæ sunt alia sensibus percipi, alia intelligentiæ ratione comprehendi. Quare Plato quoque oportere dicebat eos qui cuperent rerum initia colligere, ipsas primum species, quas ideas vocat, secundum se ipsas distribuere, puta similitudinem et unitatem et multitudinem et magnitudinem, statumque et motum ; secundo ipsum per se ipsum honestum

ἐνθυμουμένους δεῖ τὰ παρ' ἡμῖν διὰ τὸ μετέχειν ἐκείνων ὁμώνυμα ἐκείνοις ὑπάρχει· λέγω δὲ οἷον δίκαια μὲν ὅσα τοῦ δικαίου, καλὰ δὲ ὅσα τοῦ καλοῦ. Ἔστι δὲ τῶν εἰδῶν ἓν ἕκαστον ἀίδιόν τε καὶ νόημα καὶ πρὸς τούτοις ἀπαθές· διὸ καί φησιν ἐν τῇ φύσει τὰς ἰδέας ἑστάναι καθάπερ παραδείγματα· τὰ δ' ἄλλα ταύταις ἐοικέναι, τούτων ὁμοιώματα καθεστῶτα. Ὁ τοίνυν Ἐπίχαρμος περί τε τοῦ ἀγαθοῦ καὶ περὶ τῶν ἰδεῶν οὕτω λέγει·

A. Ἆρ' ἔστιν αὔλησίς τι πρᾶγμα; B. Πάνυ μὲν ὦν.
A. Ἄνθρωπος ὦν αὔλησίς ἐστιν; B. Οὐδαμῶς.
A. Φέρ' ἴδω, τίς αὐλητάς; τίς εἶμέν τοι δοκεῖ;
ἄνθρωπος. Οὐ γάρ; B. Πάνυ μὲν ὦν. A. Οὐκ ὦν δόκει
οὕτως ἔχειν τοι καὶ περὶ τὠγαθῶ; τὸ μὲν
ἀγαθὸν τὶ πρᾶγμ' εἶμεν καθ' αὔθ'· ὅστις δέ κα
εἰδῇ μαθὼν τῆν', ἀγαθὸς ἤδη γίγνεται,
ὥσπερ γα τὰν αὔλησιν αὐλητὰς μαθὼν,
ἢ ὄρχησιν ὀρχηστάς τις, ἢ πλοκεὺς πλοκὰν,
ἢ πᾶν γ' ὁμοίως τῶν τοιούτων ὅ τι τὺ λῇς,
οὐ χ' αὐτὸς εἴη τᾷ τέχνᾳ· τεχνικός γα μάν.

Πλάτων ἐν τῇ περὶ τῶν ἰδεῶν ὑπολήψει φησίν· « Εἴπερ ἐστὶ μνήμη, τὰς ἰδέας ἐν τοῖς οὖσιν ὑπάρχειν διὰ τὸ τὴν μνήμην ἠρεμοῦντός τινος καὶ μένοντος εἶναι· μένειν δὲ οὐδὲν ἕτερον ἢ τὰς ἰδέας. Τίνα γὰρ ἂν τρόπον, φησὶ, διεσώζετο τὰ ζῷα μὴ τῆς ἰδέας ἐφαπτόμενα, καὶ πρὸς τοῦτο τὸν νοῦν φυσικῶς εἰληφότα; » Νῦν δὲ μνημονεύει τῆς ὁμοιότητός τε καὶ τροφῆς, ὁποία τίς ἐστιν αὐτοῖς, ἐνδεικνύμενα διότι πᾶσι τοῖς ζῴοις ἔμφυτός ἐστιν ἡ τῆς ὁμοιότητος θεωρία· διὸ καὶ τῶν ὁμοφύλων αἰσθάνεται. Πῶς οὖν ὁ Ἐπίχαρμος;

Εὔμαιε, τὸ σοφόν ἐστιν οὐ καθ' ἓν μόνον,
ἀλλ' ὁπόσα περ ζῇ, πάντα καὶ γνώμαν ἔχει.
Καὶ γὰρ τὸ θῆλυ τᾶν ἀλεκτορίδων γένος,
αἰ λῇς καταμαθεῖν ἀτενὲς, οὐ τίκτει τέκνα
ζῶντ', ἀλλ' ἐπῴζει καὶ ποιεῖ ψυχὰν ἔχειν·
τὸ δὲ σοφὸν ἁ φύσις τόδ' οἶδεν ὡς ἔχει
μόνα· πεπαίδευται γὰρ αὐταύτας ὕπο.

Καὶ πάλιν·

Θαυμαστὸν ὦν οὐδὲν ἐμὲ ταῦθ' οὕτω λέγειν,
οὐδ' ἁνδάνειν αὐτοῖσιν αὐτοὺς καὶ δοκεῖν
καλῶς πεφύκει· καὶ γὰρ ἁ κύων κυνὶ
κάλλιστον εἶμεν φαίνεται, καὶ βοῦς βοΐ,
ὄνος δ' ὄνῳ κάλλιστον, ὗς δὲ θὴν ὑΐ. »

Καὶ ταῦτα μὲν καὶ τὰ τοιαῦτα διὰ τῶν τεσσάρων βιβλίων παραπήγνυσιν ὁ Ἄλκιμος, παρασημαίνων τὴν ἐξ Ἐπιχάρμου Πλάτωνι περιγινομένην ὠφέλειαν.

ALEXARCHUS.

ΙΤΑΛΙΚΑ.

E LIBRO QUARTO.

1.

Plutarch. Par. min. c. 7, p. 304, D. : Τοῦλλος Ὀστίλλιος, βασιλεὺς Ῥωμαίων, ἐπολέμησεν Ἀλβανοῖς, βασιλέως ὄντος Μετίου Φουβεντίου, καὶ τὴν μάχην πολλάκις ὑπερέθετο. Οἱ δὲ, ἡττωμένου, εἰς εὐωχίαν ἐτράπησαν· οἰνωμένοις δ' ἐπέθετο, καὶ τὸν

---

et bonum et justum et hujusmodi cetera ponere : tertio conspicere quæ sibi mutuo cohæreant ideæ, puta scientiam aut magnitudinem sive dominationem; simulque et illud cogitare, ea quæ sunt apud nos ex illorum participatione eis æquivoca fieri. Exempli causa dico justa esse quæ justo communicant; honesta, quæ honesto. Est autem unaquæque species æterna, et intelligentia et omni perturbatione vacua. Quocirca ideas in natura velut exemplaria dixit subsistere : cetera his esse similia, quum sint earum imagines. Epicharmus igitur de bono atque de ideis ita disserit :

A. Tibicinalis ars, resne aliqua est? B. Quippeni?
A. Tibicinalis hæc ars, an homo est? B. Neutiquam.
A. Videamus : ipsum quid putas tibicinem?
hominem, an non? B. Hominem haud dubie. A. Nonne [existimas
rem sese habere pariter etiam de bono?
nempe ut bonum ipsum res sit : at si quis bonum
istud didicerit, is jam dicatur bonus?
nam sic tibicen est qui didicit tibiis,
saltator qui saltare, tum qui texere
textor, similiter qui aliud quidquid volueris.
Ars ipse non est scilicet, sed artifex.

Plato in opinatione de ideis ait : « Si quidem est memoria, ideas in his quæ sunt exsistere, quod memoria quietæ cujusdam rei ac manentis sit : manere autem præter ideas nihil. Quo enim, inquit, modo servarentur animantes, nisi et ideam attigissent, et præterea mentem a natura accepissent? » Meminit autem similitudinis et pabuli, cujusmodi illis esse soleat, ostendens quod sit animalibus omnibus insita similitudinis intelligentia : quocirca et quæ sunt ejusdem generis, ea sentiunt. Quomodo ergo Epicharmus hæc dixit?

Eumæe, generi sapere non uni datum est :
sed quidquid anima, mente simul est præditum.
Gallorum uxores volucrium considera :
non illæ partus edunt vitæ compotes,
sed ovis incubantes animam adfabricant :
et hujus norunt principem sapientiæ
naturam solam, quæ magistra ipsis fuit.

Ac rursum :

Nil itaque mirum est ista me sic dicere,
atque ipsos sibi placere et ingenio optimo
factos videri : quandoquidem canis cani
pulcherrimum videtur, bos itidem bovi,
et asinus asino, sus sui pulcherrimum. »

Ista et hujusmodi alia per quattuor libros proponit Alcimus, admonens quantum emolumenti Plato ex Epicharmo sibi comparaverit.

ITALICA.

1.

Tullius Hostilius, Romanorum rex, bellum gessit contra Albanos, quorum rex erat Metius Fufetius, ac prœlium

βασιλέα, δύο πώλους συζεύξας, διεσπάραξεν· ὡς Ἀλέξαρχος ἐν τετάρτῃ Ἰταλικῶν.

2.

Servius ad Virgil. Æn. III, 334 : *Chaonios cognomine Campos*] *Epirum campos non habere omnibus notum est; sed constat ibi olim regem nomine Campum fuisse ejusque posteros Campylidas dictos et Epirum Campaniam vocatam, sicut Alexarchus, historicus græcus, et Aristonicus referunt. Varro filiam Campi Campaniam dictam, unde provinciæ nomen, post vero, sicuti dictum est, Chaoniam ab Heleno appellatam, qui fratrem suum Chaonem, vel, ut alii dicunt, comitem, dum venaretur, occiderat. Alii filiam Campi Cestriam ab Heleno ductam uxorem, et de nomine soceri Campos, de nomine Chaone, Chaonas dixisse.*

A nostro scriptore diversus procul dubio est Alexarchus grammaticus ille superbiens, de quo Aristi Salaminii locus exstat apud Clementem Alex. Protr. IV, 54, p. 16, 27 (vide Heraclidæ fr. 6, tom. III, p. 168). Idem aut alius est Alexarchus de quo Plutarchus De Is. et Os. c. 37 : Ἀρίστων τοίνυν ὁ γεγραφὼς Ἀθηναίων ἀποικίαν ἐπιστολῇ τινι Ἀλεξάρχου περιέπεσεν, ἐν ᾗ Διὸς ἱστορεῖται καὶ Ἴσιδος υἱὸς ὢν ὁ Διόνυσος ὑπὸ Αἰγυπτίων, οὐχ Ὄσιρις ἀλλὰ Ἀρσαφὴς (ἐν τῷ ἄλφα γράμματι) λέγεσθαι, δηλοῦντος τὸ ἀνδρεῖον τοῦ ὀνόματος.

ALEXIS SAMIUS.

ΣΑΜΙΩΝ ΩΡΟΙ.

E LIBRO SECUNDO.

1.

Athenæus XIII, p. 572, F : Ἄλεξις δ' ὁ Σάμιος ἐν δευτέρῳ Ὥρων Σαμιακῶν· « Τὴν ἐν Σάμῳ Ἀφροδίτην, ἣν οἱ μὲν ἐν Καλάμοις καλοῦσιν, οἱ δὲ ἐν Ἕλει, Ἀττικαί, φησιν, ἑταῖραι ἱδρύσαντο αἱ συνακολουθήσασαι Περικλεῖ, ὅτε ἐπολιόρκει τὴν Σάμον, ἐργασάμεναι ἱκανῶς ἀπὸ τῆς ὥρας. »

2.

E LIBRO TERTIO.

Idem XII, p. 540, D : Ἄλεξις δ' ἐν τρίτῳ Σαμίων ὥρων ἐκ πολλῶν πόλεών φησι κοσμηθῆναι τὴν Σάμον ὑπὸ τοῦ Πολυκράτους, κύνας μὲν Μολοττικὰς καὶ Λακαίνας εἰσαγαγόντος, αἶγας δ' ἐκ Σκύρου καὶ Νάξου, πρόβατα δ' ἐκ Μιλήτου καὶ τῆς Ἀττικῆς. Μετεστέλλετο δέ, φησί, καὶ τεχνίτας ἐπὶ μισθοῖς μεγίστοις. Πρὸ δὲ τοῦ τυραννῆσαι κατασκευασάμενος στρωμνὰς πολυτελεῖς καὶ ποτήρια ἐπέτρεπε χρῆσθαι τοῖς ἢ γάμον ἢ μείζονας ὑποδοχὰς ποιουμένοις. Ἐκ πάντων οὖν τούτων ἄξιον θαυμάζειν τὸν τύραννον, ὅτι οὐδαμόθεν ἀναγέγραπται γυναῖκας ἢ παῖδας μεταπεμψάμενος, καίτοι περὶ τὰς τῶν ἀρρένων ὁμιλίας ἐπτοημένος, ὡς καὶ ἀντερᾶν Ἀνακρέοντι τῷ ποιητῇ· ὅτε καὶ δι' ὀργὴν ἀπέκειρε τὸν ἐρώμενον. Πρῶτος δὲ ὁ Πολυκράτης καὶ ναῦς πήξας, ἀπὸ τῆς πατρίδος Σαμίας ἐκάλεσε.

3.

ΠΕΡΙ ΑΥΤΑΡΚΕΙΑΣ.

Idem X, p. 418, E : Αἰγυπτίους δ' Ἑκαταῖος ἀρτοφάγους φησὶν εἶναι, κυλλήστιας ἐσθίοντας, τὰς δὲ κριθὰς εἰς ποτὸν καταλέοντας. Διὰ ταῦτα καὶ Ἄλεξις ἐν τῷ Περὶ αὐταρκείας ἔφη, μετρίᾳ τροφῇ κεχρῆσθαι τὸν Βόκχοριν καὶ τὸν πατέρα αὐτοῦ Νεόχαβιν. Cf. Diodor. I, 45,2. Manethon. fr. 65 not. Hic Alexis num Samius noster sit, ut Schweighaeuserus suspicatur, an alius, nescimus. De Alexide, Polycleti discipulo, v. Plinius XXXIV, 8, 19. Alexis Sicyonius Canthari statuarii pater, ap. Pausan. VI, 3,6. De Alexide comico v. Meinek. tom. I, p. 374 sqq.

---

sæpius distulit. Semel victo eo, Albani se ad convivia dederunt : quos Tullus vino captos adortus, regem eorum duobus pullis equinis alligatum discerpsit. Alexarchus in quarto Italicorum.

ANNALES SAMIORUM.

1.

Alexis Samius secundo Annalium Samiacorum hæc scribit : « Venerem, quæ Sami consecrata est, quam alii *in Arundinibus*, alii *in Palude* vocant, dedicarunt meretrices Atticæ, quæ Periclem secutæ, quum Samum oppugnaret, magnam ex prostituta forma quæstum fecerant. »

2.

Alexis Annalium Samiorum libro tertio : « Multis e civitatibus, ait, ornatam esse Samum a Polycrate; qui canes adscivisset Molossos et Laconicos, capras e Scyro et Naxo, oves Mileto et ex Attica. Arcessivit vero, inquit, etiam artifices maxima mercede proposita. Idem, priusquam tyrannidem occupasset, pretiosa stragula et pocula, quæ parata habebat, omnibus utenda dare consueverat, qui nuptias aut solemniora quædam epula celebrabant. » Quæ omnia quum legimus, mirari subit nusquam memoriæ prodi, tyrannum mulieres etiam et formosos pueros arcessisse; qui quidem masculæ veneris insano studio tenebatur, et in amando puero rivalis fuit Anacreontis poetæ, iraque incensus comam amasii detondit. Primus etiam Polycrates, quas ædificavit naves, eas *Samias* a patria nominavit.

3.

DE FRUGALITATE.

Ægyptios vero, Hecatæus ait, *panivoros* esse; qui *cyllestibus* (id nomen panis subacidi est) vescantur, et hordeum in potionis etiam usum mola frangant. Quare etiam Alexis, in libro de Frugalitate, modico victu usum esse ait Bocchorin et ejus patrem Neochabin.

AMPHICRATES (ATHENIENSIS).

ΠΕΡΙ ΕΝΔΟΞΩΝ ΑΝΔΡΩΝ.

1.

Athenæus XIII, p. 576, C : Οὐ καὶ αὐτὸς Θεμιστοκλῆς ἐξ ἑταίρας ἦν γεγεννημένος, ὄνομα Ἀβροτόνου ; ὡς Ἀμφικράτης ἱστορεῖ ἐν τῷ Περὶ ἐνδόξων ἀνδρῶν συγγράμματι·

Ἀβρότονον Θρήισσα γυνὴ γένος· ἀλλὰ τεκέσθαι
τὸν μέγαν Ἕλλησιν φασὶ Θεμιστοκλέα.

V. Plutarchus in Vit. Themistocl. c. 1.

2.

Diogenes Laert. II, 101, de Theodoro atheo : Καὶ μέντοι παρ' ὀλίγον ἐκινδύνευσεν εἰς Ἄρειον ἀναχθῆναι πάγον, εἰ μὴ Δημήτριος αὐτὸν ὁ Φαληρεὺς ἐρρύσατο. Ἀμφικράτης δὲ ἐν τῷ Περὶ ἐνδόξων ἀνδρῶν φησὶ κώνειον αὐτὸν πιεῖν καταδικασθέντα.

Hic Amphicrates probabiliter est Atheniensis ille orator, qui Luculli temporibus vixit. De eo hæc Plutarchus Lucull. c. 22 : Ἐτελεύτησε δὲ παρὰ τῷ Τιγράνῃ καὶ Ἀμφικράτης ὁ ῥήτωρ· εἰ δεῖ καὶ τούτου μνήμην τινὰ γενέσθαι διὰ τὰς Ἀθήνας. Λέγεται γὰρ φυγεῖν μὲν αὐτὸν εἰς Σελεύκειαν τὴν ἐπὶ Τίγριδι· δεομένων δ' αὐτόθι σοφιστεύειν, ὑπεριδεῖν, καταλαζονευσάμενον, ὡς οὐδὲ λεκάνη δελφῖνα χωροίη· μεταστάντα δὲ πρὸς Κλεοπάτραν, τὴν Μιθριδάτου θυγατέρα, Τιγράνῃ δὲ συνοικοῦσαν, ἐν διαβολῇ γενέσθαι ταχὺ, καὶ τῆς πρὸς τοὺς Ἕλληνας ἐπιμιξίας εἰργόμενον ἀποκαρτερῆσαι. Ταφῆναι δὲ καὶ τοῦτον ἐντίμως ὑπὸ τῆς Κλεοπάτρας, καὶ κεῖσθαι περὶ Σαφὰν, ἐκεῖ τι χωρίον οὕτω καλούμενον.

Longin. De subl. 3, 2, postquam Gorgiæ, Callisthenis, Clitarchi ampullas vituperaverat : Τά γε μὴν Ἀμφικράτους τοιαῦτα καὶ Ἡγησίου καὶ Μάτριδος. Πολλαχοῦ γὰρ ἐνθουσιᾶν ἑαυτοῖς δοκοῦντες, οὐ βακχεύουσιν, ἀλλὰ παίζουσιν. Cf. id. ib. 4, 4 : Ἀμφικράτει καὶ οὐ Ξενοφῶντι (Rep. Lac.) ἔπρεπε τὰς ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν κόρας λέγειν παρθένους αἰδήμονας.

Idem nomen restituendum Weisk. (ad Longin. l. l.) putat apud Lucian. Rhetor. præc. c. 9, p. 573 ed. Didot. : Εἶτά σε κελεύσει ζηλοῦν ἐκείνους τοὺς ἀρχαίους ἄνδρας, ἕωλα παραδείγματα παρατιθεὶς τῶν λόγων οὐ ῥᾴδια μιμεῖσθαι, οἷα τὰ τῆς παλαιᾶς ἐργασίας ἐστὶν, Ἡγησίου καὶ τῶν ἀμφὶ Κράτην (Κρίτιον ed. Paris. ; l. ἀμφὶ Ἀμφικράτην) καὶ Νησιώτην, κτλ.

« Matris intelligendus videtur Matris Thebanus, qui encomium in Herculem scripsit, idque soluta oratione, si Langbeinio credideris. Athenæus X, p. 412 : Μάτρις δὲ ἐν τῷ τοῦ Ἡρακλέους ἐγκωμίῳ, καὶ εἰς πολυποσίαν φησὶ τὸν Ἡρακλέα προκληθῆναι ὑπὸ τοῦ Λεπρέως, καὶ πάλιν νικηθῆναι (v. Casaub. ad h. l.). Idem II, p. 44 *Atheniensem* vocat : Μάτρις δὲ ὁ Ἀθηναῖος, ὅσον ἰδίῳ χρόνον, οὐδὲν ἐσιτεῖτο ἢ μυρσίνης ὀλίγον. Verum Ptolemæus Hephæstionis (p. 187, 2 in Mythogr. ed. Westerm.), unde hanc fabulam mutuatus est Athenæus, *Thebanum* vocat : Μάτρις ὁ Θηβαῖος ὑμνογράφος μυρσίνας παρ' ὅλον τὸν βίον ἐσιτεῖτο. Quare ap. Athen. leg. videtur Μ. ὁ Θηβαῖος. » Toup. Eundem in Herculis historia laudat Diodor. I, 24, 4.

AMPHILOCHUS.

Amphilochus apud Clement. Alex. Strom. VI, p. 267, 9 cum Aristocle, Leandro, Anaximene, Hellanico, Hecatæo, aliis inter eos recensetur, qui Melesagoræ scripta expilasse dicuntur.

Schol. Eurip. Phœn. 670 : Ἀμφίλοχος διὰ τὸ ἐπεσπάρθαι τοῖς οἰκοῦσιν ἐν Θήβαις (sc. τοὺς Σπαρτοὺς κληθῆναί φησιν).

Alius Amphilochus fuerit Atheniensis qui de historia naturali scripsisse videtur. Nomen ejus ponitur in Indice auctorum ad Plinii Hist. Nat. lib. VIII, X, XII, XIII, XIV, XV et XVIII, 16, ubi ejus *De cytiso* volumen memoratur; add. Auctor. latin. Rei rust. p. 54. 164. Apud schol. Nicandr. Ther. 617 citatur Ἀντίλοχος ἐν τῷ Περὶ κυτίσου. Scribe Ἀμφίλοχος. Similiter Amphilochi nomen reponendum atque Melesagoræ expilatorem intelligendum esse putaveris ap. Theodoret. Therap. VIII, p. 908 : Ἀθήνησιν, ὡς Ἀντίλοχος ἐν

DE VIRIS ILLUSTRIBUS.

1. Nonne et ipse Themistocles ex meretrice natus erat, cui nomen Abrotonum? ut tradit Amphicrates in libro De viris illustribus :

Abrotonum Thressa mulier genere ; sed peperisse
magnum Græcis aiunt Themistoclem.

2.

Parum abfuit quin Theodorus raperetur in jus ad Areopagum, nisi eum Demetrius Phalereus periculo eripuisset. Amphicrates vero in libro De viris illustribus ait illum damnatum cicutam bibisse.

τῇ ἐννάτῃ γέγραφεν ἱστορίᾳ, ἄνω γε ἐν τῇ ἀκροπόλει Κέκροπός ἐστι τάφος παρὰ τὴν Πολιοῦχον αὐτήν. Verum pro Ἀντιλόχῳ, quod est in vetustioribus codicibus, recentiores præbent Ἀντίοχος; quod ut præferamus facit Clemens Alex. Protr. p. 13, 24 et Arnobius VI, 6, qui eandem rem ex *Antiocho* referunt. Is vero Antiochus procul dubio est auctor τῶν Κατὰ πόλιν μυθικῶν, quorum librum secundum laudat Ptolemæus Hephæstionis ap. Photium cod. 190, p. 150 *b*. 4 (v. fragm. Athenodori Eretriensis). Eundem intellige ap. Schol. Aristid. p. 103 ed. Frommel (v. Pherecyd. fr. 101). Amphilochus nescio qui laudatur apud Boissonad. An. I, p. 38: Ἀμφιλόχου. Ἡ προπετὴς γλῶττα οὐδὲν ἄξιον ἐρευγομένη, καὶ ἀσύγγνωστός ἐστιν καὶ ἑαυτὴν ἐστηλίτευσεν. Sequuntur ibid. aliæ sententiæ ejusdem, ut videtur, Amphilochi. Ceterum hæc hominis sunt ævi infimi Christianique.

AMPHION THESPIENSIS.

ΠΕΡΙ ΤΟΥ ΕΝ ΕΛΙΚΩΝΙ ΜΟΥΣΕΙΟΥ.

Athenæus XIV, p. 629, A: Ἀμφίων δὲ ὁ Θεσπιεὺς ἐν δευτέρῳ Περὶ τοῦ ἐν Ἑλικῶνι μουσείου ἄγεσθαί φησιν ἐν Ἑλικῶνι παίδων ὀρχήσεις μετὰ σπουδῆς, παρατιθέμενος ἀρχαῖον ἐπίγραμμα τόδε·

Ἀμφότερ', ὀρχεύμαν τε καὶ ἐν Μώσαις ἐδίδασκον
ἀνδρας· ὁ δ' αὐλητὰς ἦν Ἄνακος Φιαλεύς·
εἰμὶ δὲ Βακχιάδας Σικυώνιος. Ἡ ῥα θεοῖσι
τοῖς Σικυῶνι καλὸν τοῦτ' ἀπέκειτο γέρας.

Cf. Müller. *Min*. p. 381. Περὶ τοῦ ἐν Ἑλικῶνι ἀγῶνος dixit etiam Nicocrates ap. Schol. Il. ν', 21.

ANAXICRATES.

1.

ΑΡΓΟΛΙΚΑ.

E LIBRO SECUNDO.

Schol. Venet. in Eurip. Androm. 224: Ὦ φίλταθ' Ἕκτορ... μαστὸν ἤδη πολλάκις νόθοισι σοῖς] Τοῦτο παρ' ἱστορίαν φασὶν εἰρῆσθαι· μὴ γὰρ ἱστορεῖσθαι Ἕκτορι ἐξ ἄλλης γυναικὸς γεγενῆσθαι υἱούς. Ἀπερίσκεπτοι δέ εἰσιν οἱ ταῦτα λέγοντες. Ἀναξικράτης γὰρ ἐν τῇ δευτέρᾳ τῶν Ἀργολικῶν οὕτω λέγει· « Οἱ δ' ἀμφ' ἐνέαο (ὁ δὲ Ἀμφινέα schol. vulg.) καὶ Σκαμάνδριον τὸν Ἕκτορος υἱὸν καὶ πρεσβύτερον (παλαίτερον schol. vulg.). Ἦσαν δὲ αὐτῷ οὗτος μὲν νόθος, ὃς ῑ (i. e. ἐν Ἰλίῳ?) κατελήφθη (ὃς κατελήφθη ἐν Ἰλίῳ sch. vulg.) καὶ ἀπόλλυται. Οὗτοι δὲ διασώζονται. Σκαμάνδριος δὲ ἀφίκετο εἰς Ταναΐδα, Αἰνείου δὲ Ἀγχίσης ὁ πατὴρ ῑ (sic) καὶ ἄλλοι τινές, παῖδες αὐτῶν, καὶ Ἀγέστας, οἰκεῖος ὢν Ἀγχίσῃ, καὶ Αἰνείας εἰς Δάρδανον μεταπίπτονται. »

« Plurima sunt in hoc scholio pessime corrupta. » Cobet. *Amphineum* Hectoris filium memorari dicunt apud Dictyn Cret. III, 20. At in Dederichi editione nihil invenio nihi hæc: *Astyanacta quem nonnulli Scamandrium appellabant, et Laodamanta... præ se habens* (Andromache), etc. Huc accedit *Amphineus* nomen per se suspectum esse. Eundem Hectoris filium esse puto, quem Conon Narrat. 46, cum Scamandrio jungens Ὀξύνιον appellat. Attamen hoc quoque corruptum esse mihi videtur. Vera nominis forma fuerit Ὀφρύνιος vel Ὀφρυνεύς. Scilicet fictus ille Hectoris filius est de Mysiæ loco Ὀφρυνίῳ vel Ὀφρυνείῳ, ubi Hectoris sepulcrum lucusque ei sacratus erat (v. Strabo XIII, p. 595; Herodot. VII, 43; Xenophon. Anab. VII, 8, 5; Aristodemi fragm. 6, supra p. 310). — In sequentibus scripserim: τὸν Ἕκτορος υἱὸν τὸν πρε-

DE MUSARUM TEMPLO IN HELICONE.

Amphion Thespiensis secundo libro De Musarum templo in Helicone, saltationes puerorum ait studiose agi in Helicone, vetus apponens epigramma hujusmodi:

Ambo hæc præstiti: saltavi et musicam docui
Homines. Tibicen mihi fuit Anacus Phialensis.
Sum vero Bacchides Sicyonius. Hoc ergo diis
positum est munus, Sicyoni honorificum.

ARGOLICA.

1.

Carissime Hector, sæpius mammam præbui nothis tuis.] Hoc contra historiam dictum esse aiunt, quum ex alia muliere liberos ab Hectore genitos esse historia non tradat. At hæc qui dicunt, parum circumspecti sunt. Nam Anaxicrates de rebus Argolicis libro secundo ita habet: « Alii vero dicunt *Ophryneum* et Scamandrium Hectoris filium natu majorem. Etenim hi nothi erant; filius legitimus in Ilio relictus perierat; nothi autem illi servati sunt. Scamandrius venit in Tanaidem, (*Ophryneus* vero) et Anchises Æneæ pater, et alii quidam ex liberis eorum, et Agestas, Anchisæ cognatus, ipseque Æneas in Dardanum confugiunt. »

σεύτερον· ἦσαν δὲ αὐτῷ οὗτοι μὲν νόθοι· [ὁ δὲ γνήσιος, sc. Σκαμάνδριος ὁ καὶ Ἀστύαναξ] ἐν Ἰλίῳ κατελείφθη καὶ ἀπόλλυται. Postrema item laborant. Pro Αἰνείου δὲ desideras mentionem alterius Hectoris filii, qui salvus evasisse dicitur. Fuerit : Ὀφρύνιος δὲ καὶ Ἀγχίσης ὁ πατὴρ Αἰνείου, καὶ Αἰνείας καὶ ἄλλοι τινές, παῖδες αὐτῶν... ἐς Δ. μεταπίπτονται. Cf. Nicolai Dam. fr. 29, not.

2.

Schol. Eurip. Med. 19 : Περὶ δὲ τῆς Κρέοντος θυγατρὸς οὐχ ὁμοφωνοῦσι τῷ Εὐριπίδῃ οἱ συγγραφεῖς· Κλειτόδημος μὲν γὰρ Κρέουσάν φησι καλεῖσθαι, γήμασθαι δὲ Ξούθῳ, Ἀναξικράτης δὲ Γλαύκην. Hæc quoque probabiliter ex Argolicis fluxerunt. — Ad opus geographicum, ut videtur, pertinent quæ ex Anaxicrate, Seleuci Nicatoris æquali (sive is noster sit, sive alius), apud Strabonem referuntur.

3.

Strabo XVI, p. 768 : Τοῦ δὲ Ἀραβίου κόλπου τὸ παρὰ τὴν Ἀραβίαν πλευρὰν ἀρχομένοις ἀπὸ τοῦ Ἐλανίτου μυχοῦ, καθάπερ οἱ περὶ Ἀλέξανδρον ἀνέγραψαν καὶ Ἀναξικράτη, μυρίων καὶ τετρακισχιλίων σταδίων ἐστίν· εἴρηται δὲ ἐπὶ πλέον. Hæc et quæ sequuntur Strabo ex Eratosthene affert. Alexander, qui hoc loco una cum Anaxicrate laudatur, idem est, mea sententia, quem Ælianus H. An. XVII, 1, ἐν Περίπλῳ τῆς Ἐρυθρᾶς θαλάσσης (v. Alex. Polyhist. fr. 135 *a*) excitat. Anaxicrates vero, quem Strabo citat, non diversus fuerit ab eo, cujus meminit Tzetzes Hist. VII, 174 :

Ταύτην τὴν Ἀντιόχειαν Σέλευκος κτίζει πόλιν
καὶ ἄλλας ἑβδομήκοντα καὶ τέσσαρας δὲ πόλεις.
Τοὺς δ' ἀμαθῶς Ἀντίοχον λέγοντας ταύτην κτίσαι,
Ἀτταιός τε καὶ Περιττάς, Ἀναξικράτης ἅμα
ἐλέγξουσι σαφέστατα καὶ δείξουσι ληροῦντας
σὺν οἷς Ἀσκληπιόδωρος δὲ οἰκέτης τυγχάνων,
οὓς τότε Σέλευκος ποιεῖ κτισμάτων ἐπιστάτας.

Asclepiodorus probabiliter is est quem Syriæ satrapam commemorat Arrian. Exp. Al. III, 6, 8, IV, 13, 4, etc.

ANAXILAUS. Vide fr. Anaximenis in Script. Rer. Alex. p. 34, not. a.

ANDREAS PANORMITANUS.

ΣΙΚΕΛΙΚΑ ΚΑΤΑ ΠΟΛΙΝ.

E LIBRO XXXIII.

Athenæus XIV, p. 634, A : Καλεῖται δέ τι καὶ τῶν πολιορκητικῶν ὀργάνων σαμβύκη, οὗ τό τε σχῆμα καὶ τὴν κατασκευὴν ἀποδείκνυσι Βίτων ἐν τῷ πρὸς Ἄτταλον Περὶ ὀργάνων. Καὶ Ἀνδρέας ὁ Πανορμίτης ἐν τῷ τριακοστῷ τρίτῳ τῶν Σικελικῶν τῶν κατὰ πόλιν, ὡς ἀπὸ δύο ὄνων (νεῶν Lipsius) προσάγοιτο τοῖς τῶν ἐναντίων τείχεσι· καλεῖσθαί τε σαμβύκην, ἐπειδή, ὅταν ἐξαρθῇ, γίνεται σχῆμα νεὼς καὶ κλίμακος ἑνοποιούμενον, ὅμοιον δέ τί ἐστι καὶ τὸ τῆς σαμβύκης.

« Cf. Mongitor. Bibl. Sic. tom. I, p. 23 sq. Fabric. B. Gr. tom. XI, p. 66. » *Westermann*. ad Voss. p. 384, 36.

ANDRISCUS.

ΝΑΞΙΑΚΑ.

E LIBRO PRIMO.

Parthenius Erot. c. 9 : Περὶ Πολυκρίτης. Ἡ ἱστορία αὕτη ἐλήφθη ἐκ τῆς α' Ἀνδρίσκου Ναξιακῶν· γράφει περὶ αὐτῆς καὶ Θεόφραστος ἐν τῷ δ' τῶν Πρὸς τοὺς καιρούς. Καθ' ὃν δὲ χρόνον ἐπὶ Ναξίους Μι-

2.

De Creontis filia non concinunt cum Euripide historici. Clitodemus enim Creusam nominatam esse atque Xutho nupsisse, Anaxicrates vero Glaucen appellatam dicit.

3.

Arabici sinus latus, quod præter Arabiam est, ab Elanitico recessu sumpto initio (ut Alexander et Anaxicrates scripserunt) quattuordecim millia stadiorum comprehendit : id autem justo amplius dicitur.

RES SICULÆ OPPIDATIM EXPOSITÆ.

Vocatur etiam bellica quædam machina *sambuca*, oppugnandis urbibus inserviens : cujus formam structuramque declarat Biton in libro De machinis ad Attalum. Et Andreas Panormitanus, tertio et trigesimo libro Rerum Sicularum oppidatim expositarum, ait muris hostium eam admoveri duabus suculis [*sive*, duabus navibus impositam]; vocari autem *sambucam*, quoniam, postquam erecta est, forma navis et scalæ in unum juncta similis sit quodammodo figuræ quam sambuca refert.

DE REBUS NAXIIS.

1.

De Polycrita. Hæc historia transcripta est ex libro primo Andrisci De rebus Naxiis. Meminit ejus etiam Theophrastus in quarto libro De opportunitatibus. — Quo tempore contra

λήσιοι συνέβησαν σὺν ἐπικούροις καὶ τεῖχος πρὸ τῆς πόλεως ἐνοικοδομησάμενοι τήν τε χώραν ἔτεμνον καὶ κατείρξαντες τοὺς Ναξίους ἐφρούρουν, τότε παρθένος ἀπολειφθεῖσα κατά τινα δαίμονα ἐν Δηλίῳ ἱερῷ, ὃ πλησίον τῆς πόλεως κεῖται, Πολυκρίτη ὄνομα αὐτῇ, τὸν τῶν Ἐρυθραίων ἡγεμόνα Διόγνητον εἷλεν, ὃς οἰκείαν δύναμιν ἔχων συνεμάχει τοῖς Μιλησίοις. Πολλῷ δὲ ἐνεχόμενος πόθῳ διεπέμπετο πρὸς αὐτήν· οὐ γὰρ δή γε θεμιτὸν ἦν, ἱκέτιν οὖσαν ἐν τῷ ἱερῷ βιάζεσθαι· ἡ δὲ ἕως μέν τινος οὐ προσίετο τοὺς παραγινομένους· ἐπεὶ μέντοι πολὺς ἐνέκειτο, οὐκ ἔφη πεισθήσεσθαι αὐτῷ, εἰ μὴ ὀμόσειεν ὑπηρετήσειν αὐτῇ ὅ τι ἂν βουληθῇ. Ὁ δὲ Διόγνητος, οὐδὲν ὑποτοπήσας τοιόνδε, μάλα προθύμως ὤμοσεν Ἄρτεμιν, χαριεῖσθαι αὐτῇ ὅ τι ἂν προαιρῆται· κατομοσαμένου δὲ ἐκείνου, καὶ λαβομένη τῆς χειρὸς αὐτοῦ ἡ Πολυκρίτη μιμνήσκεται περὶ προδοσίας τοῦ χωρίου, καὶ πολλὰ καθικετεύει αὐτήν τε οἰκτείρειν καὶ τὰς συμφορὰς τῆς πόλεως. Ὁ Διόγνητος ἀκούσας τοῦ λόγου ἐκτός τε ἐγένετο αὑτοῦ καὶ σπασάμενος τὴν μάχαιραν ὥρμησεν διεργάσασθαι τὴν κόρην. Ἐν νῷ μέντοι λαβὼν τὸ εὔγνωμον αὐτῆς καὶ ἅμα ὑπ' ἔρωτος κρατούμενος (ἔδει γάρ, ὡς ἔοικε, καὶ Ναξίοις μεταβολὴν γενέσθαι τῶν παρόντων κακῶν), τότε μὲν οὐδὲν ἀπεκρίνατο, βουλευόμενος τί ποιητέον εἴη· τῇ δ' ὑστεραίᾳ καθωμολογήσατο προδώσειν. Καὶ ἐν τῷ δὴ τοῖς Μιλησίοις ἑορτὴ μετὰ τρίτην ἡμέραν Θαργήλια ἐπῄει, ἐν ᾗ πολύν τε ἄκρατον εἰσφοροῦνται καὶ τὰ πλείστου ἄξια καταναλίσκουσι· τότε παρεσκευάζετο προδιδόναι τὸ χωρίον. Καὶ εὐθέως διὰ τῆς Πολυκρίτης ἐνθέμενος εἰς ἄρτον μολυβδίνην ἐπιστολὴν [ἐπιστέλλει] τοῖς ἀδελφοῖς αὐτῆς, ἐτύγχανον δὲ ἄρα τῆς πόλεως ἡγεμόνες οὗτοι, ὅπως εἰς ἐκείνην τὴν νύκτα παρασκευασάμενοι ἥκωσιν· σημεῖον δὲ αὐτοῖς ἀνασχήσειν αὐτὸς ἔφη λαμπτῆρα. Καὶ ἡ Πολυκρίτη δὲ τῷ κομίζοντι τὸν ἄρτον φράζειν ἐκέλευε τοῖς ἀδελφοῖς μὴ ἐνδοιασθῆναι, ὡς τῆς πράξεως ἐπὶ τέλος ἀχθησομένης, εἰ μὴ ἐκεῖνοι ἐνδοιασθεῖεν. Τοῦ δὲ ἀγγέλου ταχέως εἰς τὴν πόλιν ἐλθόντος, Πολυκλῆς, ὁ τῆς Πολυκρίτης ἀδελφός, ἐν πολλῇ φροντίδι ἐγίνετο, εἴτε πεισθείη τοῖς ἐπεσταλμένοις, εἴτε μή· τέλος δέ, ὡς ἐδόκει πᾶσι πείθεσθαι καὶ νὺξ ἐπῆλθεν, ἐν ᾗ προσετέτακτο πᾶσι παραγίνεσθαι, πολλὰ κατευξάμενοι τοῖς θεοῖς, δεχομένων αὐτοὺς τῶν ἀμφὶ Διόγνητον, ἐσπίπτουσιν εἰς τὸ τεῖχος τῶν Μιλησίων, οἱ μέν τινες κατὰ τὴν ἀνεῳγμένην πυλίδα, οἱ δὲ καὶ τὸ τεῖχος ὑπερελθόντες, ἀθρόοι τε ἐντὸς γενόμενοι κατέκαινον τοὺς Μιλησίους· ἔνθα δὴ κατ' ἄγνοιαν ἀποθνήσκει Διόγνητος. Τῇ δ' ἐπιούσῃ οἱ Νάξιοι πάντες πολὺν πόθον εἶχον θεάσασθαι τὴν κόρην· καὶ οἱ μέν τισιν αὐτὴν μίτραις ἀνέδουν, οἱ δὲ ζώναις, αἷς βαρηθεῖσα ἡ παῖς διὰ πλῆθος τῶν ἐπιρριπτουμένων ἀπεπνίγη. Καὶ αὐτὴν δημοσίᾳ θάπτουσιν ἐν τῷ πεδίῳ, πάντα ἑκατὸν ἐναγίσαντες αὐτῇ. Φασὶ δέ τινες καὶ Διόγνητον ἐν τῷ αὐτῷ καῆναι, ἐν ᾧ καὶ ἡ παῖς, σπουδασάντων Ναξίων. Cf. Aristotelis fr. 168 *b*. tom. II, p. 156.

E LIBRO SECUNDO.

2.

Parthenius Erat. 19 : Περὶ Παγκρατοῦς. Ἱστορεῖ Ἀνδρίσκος ἐν Ναξιακῶν β'. Σκέλλις τε καὶ

Naxios Milesii cum auxiliaribus copiis profecti sunt, valloque ante civitatem exstructo, regionem excidebant, prohibitis Naxiis ne urbe egrederentur. Eo tempore virgo nomine Polycrita, casu quodam in Delio templo, quod prope civitatem erat, relicta, Erythræorum ducem Diognetum in amorem sui traxit, qui domesticas copias ducens auxiliarius erat Milesiorum. Is itaque multo ejus desiderio captus, oratorem misit ad illam. Non enim fas erat supplicem puellam maxime in templo vi cogere. Illa autem aliquandiu legatos non admittebat. Quum vero plurimum instaret, dixit sibi persuaderi non posse, nisi juramento præstito effecturum se polliceretur, quicquid tandem ipsa vellet. Diognetus autem nihil tale suspicatus, valde prompte juravit per Dianam se præbiturum quicquid tandem cuperet. Facto itaque juramento, apprehendit eum manu Polycrita, ac meminit de prodenda regione, suppliciter plane precata, quo ipsius misereretur et calamitatum civitatis. Diognetus vero audito sermone obstupuit ac quasi extra se positus fuit, extractaque machæra puellam penetrare parabat : verum æstimata apud se ejus benignitate, quum simul vinceretur ab amore (oportebat enim, ut verisimile, Naxios a præsentibus malis liberari), tunc quidem nihil respondit, consultans quid faciendum esset. Sequenti autem die despondit se proditurum. Et quum post triduum Milesiis festus instaret dies Thargeliorum in quo multum meri insumunt, ac maximos sumptus faciunt, eo sane tempore apparabat prodere regionem. Et statim opera Polycritæ impositam in panem plumbeam epistolam fratribus puellæ transmisit (erant enim hi urbis præfecti), quo in illa ipsa nocte præparati veniant. Signum eis fore ardentem faculam, quam se ipsum erecturum promisit. Polycrita autem eum cui panem deferendum dabat, fratribus dicere jussit, ne quid dubitarent, futurum ut res ad exitum perducatur, modo ipsi nihil cunctarentur. Nuntius ergo quum confestim in civitatem venisset, Polycles Polycritæ frater multa sollicitudine angebatur, numne fidem præstaret epistolæ necne : postremum vero quum omnes obsequendum esse censerent, et instaret nox, in qua jussi erant venire, supplices antea diis facti, suscipientibus eos his quorum præfectus erat Diognetus, irruunt in præsidium Milesiorum, alii per apertam portam, alii transgredientes vallum. Sic acervatim intra propugnaculum exsistentes Milesios occiderunt. Ibi per ignorantiam Diognetus quoque occisus est. Porro sequenti die omnes Naxii magno desiderio puellam certatim honorare cupientes, alii vittis, alii cingulis eam circumdederunt, ita ut puella pondere eorum quæ injiciebantur oppressa suffocaretur. Quare ipsam publice in campo sepelierunt, centenis omnibus ei parentantes. Aiunt autem aliqui Diognetum combustum esse in eodem loco cum puella, apparatu scilicet Naxiorum.

2.

De Pancrato. Narrat Andriscus de rebus Naxiis libro

Κασσαμενὸς, οἰκήτορες Θρᾴκης, ὁρμήσαντες ἀπὸ νήσου τῆς πρότερον μὲν Στρογγύλης, ὕστερον δὲ Νάξου κληθείσης, ἐληΐζοντο μὲν τήν τε Πελοπόννησον καὶ τὰς πέριξ νήσους, προσσχόντες δὲ Θεσσαλίᾳ πολλάς τε ἄλλας γυναῖκας κατέσυραν, ἐν δὲ καὶ τὴν Ἀλωέως γυναῖκα Ἰφιμέδην καὶ θυγατέρα αὐτῆς Παγκρατώ· ἧς ἀμφότεροι εἰς ἔρωτα ἀφικόμενοι, ἀλλήλους ἀπέκτειναν.

Οἰκήτορες Θρᾴκης] sic Passov.; κήτορες οἱ Θραίκης cod.; Κήτορος ἐκ Θρ. Cornar.; οἱ Κήτορος ἐκ Θρ. Galeus; οἱ Κήτορος οἱ Θρᾷκες Legrand.

E LIBRO INCERTO.

3.

Athenæus III, p. 78, C: Νάξιοι δὲ, ὡς Ἀνδρίσκος, ἔτι δ' Ἀγλαοσθένης ἱστοροῦσι, μειλίχιον καλεῖσθαι τὸν Διόνυσον, διὰ τὴν τοῦ συκίνου καρποῦ παράδοσιν. Διὸ καὶ πρόσωπον τοῦ θεοῦ παρὰ τοῖς Ναξίοις τὸ μὲν τοῦ Βακχίως Διονύσου καλουμένου εἶναι ἀμπέλινον, τὸ δὲ τοῦ Μειλιχίου σύκινον. Τὰ γὰρ σῦκα μείλιχα καλεῖσθαι. Cf. Grueter De Naxo ins. (Halis 1833) p. 12 et 60.

Subjicio locum Plutarchi (De malign. Herodoti c. 36), qui vel ex Andrisco, vel Phileta vel Aglaosthene vel ex alio rerum Naxicarum scriptore petitus est. Etenim Herodotus VIII, 46 Naxios narrat tres naves barbaris auxilio misisse, triremium præfectum Democritum persuasisse suis, ut Græcorum causam amplecterentur. Hæc malitiose dicta esse postquam Hellanici et Ephori testimoniis probare studuit Plutarchus, pergit ita: Αὐτὸς δὲ καὶ παντάπασιν ἑαυτὸν ὁ Ἡρόδοτος ἐξελέγχει ταῦτα πλαττόμενον. Οἱ μὲν γὰρ Ναξίων ὡρογράφοι λέγουσι, καὶ πρότερον Μεγαβάτην ἀπώσασθαι ναυσὶ διακοσίαις ἐπιπλεύσαντα τῇ νήσῳ, καὶ Δᾶτιν αὖθις τὸν στρατηγὸν ἐξελάσαι κατακρήσαντα ποιῆσαι κακόν.

ANDROETAS TENEDIUS.

ΠΕΡΙΠΛΟΥΣ ΤΗΣ ΠΡΟΠΟΝΤΙΔΟΣ.

Schol. Apollon. Rhod. II, 159: Ἐρεψάμενοι δάφνῃ μέτωπα κτλ.] Ἐξ ἧς δάφνης ἀνημμένα ἦν τὰ σχοινία τῆς νεώς. Οὐ ποιητικῶς δὲ ἀνέπλασε τὴν δάφνην ὁ Ἀπολλώνιος, ἀλλ' ἔστιν ὄντως ἐν τῷ τόπῳ δένδρον δάφνης εὐμέγεθες, ὥς φησιν Ἀνδροίτας ὁ Τενέδιος ἐν τῷ Περίπλῳ τῆς Προποντίδος, παριστορῶν ὅτι Ἄμυκος μὲν καλεῖται τὸ χωρίον, ἔχει δὲ ἐποίκια καὶ νῦν, διέστηκε δὲ τοῦ Χαλκηδονίου Νυμφαίου σταδίους πέντε. Ἀπολλόδωρος δὲ ἐν τῷ πρώτῳ τῶν Ποντικῶν ἡρῴων (αὐτόθι) φησὶν εἶναι Ἀμύκου ἐκεῖ· καὶ εἴ τις ἐκ τῆς δάφνης κλάδον λάβοι, εἰς λοιδορίαν ἀνίστησι.

Androetæ nos mentionem facimus propter ea quæ in indice ad Apollonium Rh. annotavit Fabricius: « Hujus Androetæ, ait, ἱστορικὸν Περὶ τῆς γῆς αὐτοῦ πατρίδος memoratur in msto codice (Bibl. Vindobon.) apud Lambecium I, p. 148. » — De *Amyco* Plinius V, § 43: *Deinde Nicepolis, a qua nomen etiamnum sinus retinet: in quo portus Amyci: deinde Naulochum promontorium.* In eadem vero regione Periplus Arriani § 25 ponit τὸν λιμένα Δάφνης τῆς Μαινομένης καλουμένης, vel sicuti Anonymus in Ponti Eux. Periplo extr. ait, λιμένα Δάφνης τῆς Μαινομένης τὸν νῦν λεγόμενον Σωσθένην. Quæ si comparaveris cum iis quæ de lauro prægrandi ad Amycum locum leguntur, vix dubium est quin uterque locus unus sit idemque (Cf. Steph. Byz. v. Δάφνη). — Qui sit *Apollodorus* Ποντικῶν auctor, nescitur. Galeus et Heynius ad Apollodor. pro Apollodoro reponendum putarunt *Apollonium*, intelligentes Apollonium Rhodium, qui quum Κτίσεις scripserit, partem hujus operis Ποντικά inscribere potuisset. Quæ suspicio minime verisimilis est.

ANDRONICUS ALYPIUS.

Hieronymus Præfat. in Daniel.: *Ad intelligendas autem extremas partes Danielis multiplex Græcorum historia necessaria est, Sutorii videlicet Callinici, Diodori, Hieronymi, Polybii, Posidonii, Claudii Theonis et Andronici cognomento Alypii, quos et Porphyrius esse secutum se dicit.* Qui fuerit iste Andronicus Alypius frustra quæsivi. Num forte

---

secundo. — Scellis et Cassamenus, qui Thraciam colonis frequentarunt, ab insula quæ Strongyla prius, nunc Naxus dicitur, profecti deprædabantur Peloponnesum et circumjacentes insulas. Deinde in Thessaliam appellentes, multas feminas abduxerunt, inter easque etiam Iphimedam Haloei uxorem ejusque filiam Pancrato, cujus ambo capti amore sese mutuo interemerunt.

3.

Naxii, ut Andriscus itemque Aglaosthenes referunt (apud populares suos) *Milichium* Bacchum appellari, quod is mortalibus fici arboris fructum dederit: eamque ob causam, quem *Baccheum Dionysum* appellant, ejus dei faciem apud Naxios vitigineam esse. *Milichii* vero Dionysi ficulneam; ficos enim apud eos *milicha* vocari.

PERIPLUS PROPONTIDIS.

Lauro funes Argo navis alligati erant. Ceterum non finxit Apollonius licentia poetica laurum istum, sed revera in eo loco laurus arbor prægrandis est, uti testatur Androetas

Rhodius ille peripateticus, qui Sullanis temporibus Aristotelis scripta publicavit? Apud Plutarchum De Pyth. Orac. p. 403, E *Alyrius*, Herodotus, Philochorus (fr. 165) et Ister multa oracula collegisse dicuntur. Quo loco Reiskius pro Ἀλυρίου legi Ἀλυπίου, atque Andronicum Alypium intelligi vult.

ANTENOR.

Ptolemæus Hephæst. c. 5: Ἀντήνωρ δέ, ὁ καὶ Κρητικὰς γράψας ἱστορίας, Δέλτα (ἐκαλεῖτο) διὰ τὸ ἀγαθὸς εἶναι καὶ φιλόπολις· τοὺς γὰρ Κρῆτας τὸ ἀγαθὸν δέλτον καλεῖν φασίν. (De ejusmodi cognominibus vid. Lehrs. in Qu. epic. p. 20 sq.)

ΚΡΗΤΙΚΑ.

1.

Ælianus H. An. XVII, 35: Ἐν λόγοις Κρητικοῖς Ἀντήνωρ λέγει τῇ τῶν καλουμένων Ῥαυκίων πόλει ἔκ τινος δαιμονίου προσβολῆς ἐπιφοιτῆσαι μελιττῶν σμῆνος, αἵπερ οὖν καλοῦνται χαλκοειδεῖς, ἐγχριπτούσας δὲ ἄρα αὐτὰς τὰ κέντρα εἶτα μέντοι πικρότατα λυπεῖν οὕσπερ οὖν. Ἐκείνους δὲ τὴν προσβολὴν οὐ φέροντας ἀναστῆναι τῆς πατρίδος, καὶ μέντοι καὶ εἰς χῶρον ἐλθεῖν ἄλλον, καὶ οἰκίσαι φιλίᾳ τῆς μητρίδος, ἵνα Κρητικῶς εἴπω, Ῥᾶκον ἐν αὐτῇ τῇ Κρήτῃ, εἰ καὶ τοῦ χωρίου ὁ δαίμων ἤλαυνεν (ἀπήλαυνεν Reisk.) αὐτούς, ἀλλὰ γοῦν τελείως ἀποσπασθῆναι τοῦ ὀνόματος οὐχ ὑπομείναντας. Λέγει δὲ ὁ Ἀντήνωρ καὶ ἔτι κατὰ τὴν Ἴδην τὴν Κρῆσσαν ἐκείνου τοῦ γένους τῶν μελιττῶν εἶναι ἰνδάλματα, οὐ πολλὰ μέν, εἶναι δ' οὖν καὶ πικρὰς ἐντυχεῖν, ὡς ἐκεῖναι ἦσαν.

De apibus Creticis v. Diodor. V, 70; cf. Boettiger. *Amalthea* I, p. 62 sqq. — μητρίδος] ἡ δὲ πατρὶς καὶ μητρίς, ὡς Κρῆτες καλοῦσι, Plutarch. Moral. p. 792, E. Cf. Plato Rep. IX, p. 575, D.

2.

Plutarch. De malign. Herodot. c. 22 (de Cnidiorum apud Corcyræos honoribus). Vide infra Dionysii Chalcidensis fr. 13.

ANTIGONUS.

ΙΤΑΛΙΚΑ.

Dionysius Hal. A. R. I, c. 6, p. 17 R.: Italicas antiquitates primus perstrinxit Hieronymus Cardianus, post hunc Timæus: ἅμα δὲ τούτοις Ἀντιγόνου τε καὶ Πολυβίου καὶ Σιληνοῦ καὶ μυρίων ἄλλων τοῖς αὐτοῖς πράγμασιν οὐχ ὁμοίως ἐπιβαλόντων· ὧν ἕκαστος ὀλίγα καὶ οὐδὲ αὐτὰ διεσπουδασμένως συνθεὶς ἀνέγραψεν.

Antigonum hunc Polybio antiquiorem esse ex serie, qua nomina auctorum se excipiunt, conjicias. Putaveris igitur intelligendum esse Antigonum Carystium, qui Ptolemæi II et III temporibus vixit, quemque Βίους φιλοσόφων, Παράδοξα et Περὶ λέξεως scripsisse scimus (v. Voss. p. 114; Clinton. III, p. 513). Sed ejusmodi conjecturis nihil dirimitur. Alium esse Carystium, alium historiæ Italicæ auctorem censet O. Müllerus ad Festum p. 266.

1.

Festus p. 266 ed. Müller.: *Antigonus, Italicæ historiæ scriptor, ait Rhomum quendam nomine Jove conceptum urbem condidisse in Palatio, Romæ eique dedisse nomen.*

2.

Plutarch. Romul. c. 17, 11, de Tarpeia Capitolium Sabinis prodente: Ἀπίθανοι μέν εἰσιν οἱ Τατίου θυγατέρα τοῦ ἡγεμόνος τῶν Σαβίνων οὖσαν αὐτήν, Ῥωμύλῳ δὲ βίᾳ συνοικοῦσαν ἱστοροῦντες ταῦτα ποιῆσαι καὶ παθεῖν ὑπὸ τοῦ πατρός· ὧν καὶ Ἀντίγονός ἐστι.

Tenedius in Periplo Propontidis, addens locum illum Amycum appellari et nunc etiam villas habere, denique a Nymphæo Chalcedonio distare stadiis quinque.

CRETICA.

1.

Antenor in libris Rerum Creticarum in Rhauciorum urbem ait divino quodam impulsu apum, quæ vocantur Chalcoides (aereæ), examen accessisse, et defixis aculeis obvios vehementer vexasse: illos earum impetum non sustinentes e patria migrasse, et in alium pervenisse locum, ibique condidisse oppidum, quod similiter patriæ amore Rhaucum in ipsa Creta nominarunt; ut quamvis patria vi fatali essent depulsi, nomen tamen illius retinerent. Ait autem Antenor in Ida monte Cretæ etiamnum harum apum paucas quasdam esse reliquias, quæ similiter atque illæ obvios acriter pungant.

ITALICA.

2.

Absurdi sunt qui tradunt Tarpeiam ducis Sabinorum Tatii filiam fuisse, et quum invita esset cum Romulo, hoc perpetrasse, atque ita esse a patre mulctatam. Ex his est Antigonus.

ΜΑΚΕΔΟΝΙΚΗ ΠΕΡΙΗΓΗΣΙΣ.

3.

Stephan. Byz. v. Ἀβάντις: Δοκεῖ δ' ἀπὸ τοῦ Ἀβάντιος εἶναι τὸ Ἀβαντιάς... Μαρτυρεῖ δὲ τῷ προτέρῳ λόγῳ ἀπὸ τοῦ Ἀβάντιος Ἀβαντιὰς τὸ Ἀβαντία θηλυκόν· ὅπερ που κατὰ βαρβαρικὴν τροπὴν τοῦ β εἰς μ Ἀμαντία ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήσει. Καλλίμαχος δὲ Ἀμαντίνην, ὡς Λεοντίνην, αὐτήν ἔφη· « Καὶ Ἀμαντίνην ᾤκισαν Ὠρικίην. » Cf. Steph. Byz. : Ἀμαντία, Ἰλλυριῶν μοῖρα, πλησίον Ὠρικοῦ καὶ Κορκύρας, ἐξ Ἀβάντων τῶν ἀπὸ Τροίας νοστησάντων ᾠκισμένη. Καλλίμαχος Ἀμαντίνην αὐτήν φησι· ἧς τὸ κτητικὸν Ἀμαντινική. Λέγονται καὶ Ἀβάντες. Etym. M. v. Ἄμαντες. Hesych. s. v. Num idem sit hic Antigonus cum Italicôn auctore, non liquet. De Antigono Περὶ ζωγράφων et Περὶ πινάκων scriptore, vide Polemonis fragmenta p. 132 sq.

ANTILEO.

ΧΡΟΝΙΚΑ.

E LIBRO SECUNDO.

Diogen. Laert. III, 3, de Platone : Ἦν δὲ τὸν δῆμον Κολλυτεύς, ὥς φησιν Ἀντιλέων ἐν δευτέρῳ Περὶ χρόνων.

2.

Pollux II, 4, 151 : Μακρόχειρ, ὡς ὁ Ὑστάσπου Δαρεῖος, κατὰ τὸν Πολύκλειτον, ἢ ὡς Ξέρξης, κατὰ Ἀντιλέοντα, ἢ Ὦχος ὁ ἐπικληθεὶς Ἀρταξέρξης.

ANTILOCHUS.

ΙΣΤΟΡΕΣ.

Clem. Al. Strom. I, c. 16, p. 133, 31 Sylb. (II, 56 Klotz.) : Ἀντίλοχος δὲ αὖ ὁ τοὺς Ἵστορας πραγματευσάμενος ἀπὸ τῆς Πυθαγόρου ἡλικίας ἐπὶ τὴν Ἐπικούρου τελευτήν, Γαμηλιῶνος (δὲ) δεκάτῃ ἱσταμένου γενομένην, ἔτη φέρει τὰ πάντα τριακόσια δώδεκα. (Ol. 127, 3. 270 a. C. Cf. Diog. X, 15. Clinton. ad h. a.)

Fortasse hunc Antilochum signat Dionysius Hal. De verb. compos. tom V, p. 30 ed. R., ubi inter eos, qui aptam verborum compositionem neglexerint, recenset Polybium, Psaonem, Demetrium Calactinum, Hieronymum, Ἀντίλογον (sic), Heraclidem, Hegesiam Magnetem. — *Antilochus* corrupte pro *Antiocho* laudatur ap. Theodoret. Therap. VIII, p. 908. (V. AMPHILOCHUS.)

ANTIMACHUS. Schol. Aristophan. Nub. 1022 varios Antimachos recensens, πέμπτος, ait, ἱστοριογράφος (Cf. Dübner. ad h. l.). Ead. Suidas s. v.

ANTIOCHUS, qui Τὰ κατὰ πόλιν μυθικὰ scripsit, laudatur ap. Ptolem. Hephæst. in Phot. cod. 190. Vide fragm. Athenodori Eretriensis et Amphilochi. Antiochi Alexandrini Περὶ τῶν ἐν τῇ μέσῃ κωμῳδίᾳ κωμῳδουμένων ποιητῶν meminit Athenæus XI, p. 482, C. Vide Meinek. Com. I, p. 14. 285.

ANTIPATER.

ΠΕΡΙ ΡΟΔΟΥ.

E LIBRO TERTIO.

Steph. Byz. : Ἀρμενία, χώρα πλησίον τῶν Περσῶν, ἀπὸ Ἀρμένου Ῥοδίου, ὡς Ἀντίπατρος ἐν τρίτῳ Περὶ Ῥόδου. Qui fuerit hic Antipater inter tot ejusdem nominis scriptores aliis divinandum relinquo.

MACEDONICA PERIEGESIS.

3.

Videtur a voce Ἀβάντιος derivari Ἀβαντιάς... Consentit huic rationi femininum Ἀβαντία, quæ regio juxta barbaricam mutationem literæ β in literam μ, apud Antigonum in Macedonica periegesi Ἀμαντία vocatur.

CHRONICA.

Plato pago Collytensis erat, ut Antileo ait secundo Chronicorum.

2.

Longimanus. Sic dictus Darius Hystaspis, secundum Polycletum, vel Xerxes, secundum Antileontem, vel Ochus cognomento Artaxerxes.

DE VIRIS ERUDITIS.

Antilochus qui De viris eruditis opus confecit, a Pythagoræ ætate usque ad Epicuri mortem, quæ pertinet ad diem decimum Gamelionis, annos esse ait trecentos duodecim.

DE RHODO.

Armenia, regio Persis finitima, ab Armeno Rhodio nomen habet, teste Antipatro in tertio libro De Rhodo.

APELLAS SIVE APOLLAS PONTICUS.

ΔΕΛΦΙΚΑ.

1.

Clem. Alex. Protr. c. 4. p. 14, 12 Sylb. (I, 41 Kl.) : Ἀπελλᾶς δὲ ἐν τοῖς Δελφικοῖς δύο φησὶ γεγονέναι τὰ Παλλάδια, ἄμφω δ' ὑπ' ἀνθρώπων δεδημιουργῆσθαι.

2.

Suidas : Ῥοδώπιδος ἀνάθημα. Ὀβελίσκοι ἐν Δελφοῖς πολλοί. Ἀπελλᾶς δὲ ὁ Ποντικὸς οἴεται καὶ ἐν Αἰγύπτῳ πυραμίδα, Ἡροδότου (II, 134) ἐλέγχοντος τὴν δόξαν. Ἦν δὲ Θρᾷσσα τὸ γένος· ἐδούλευσε δὲ σὺν Αἰσώπῳ Ἰάδμονι Μυτιληναίῳ, ἐλυτρώσατο δὲ αὐτὴν Χάραξος, ὁ Σαπφοῦς ἀδελφός· ἡ δὲ Σαπφὼ Δωρίχαν αὐτὴν καλεῖ.

V. Grauerti disputat. de Æsopo, p. 117 sqq. Manethonis fragm. 22, p. 555.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΠΕΛΟΠΟΝΝΗΣΩ ΠΟΛΕΩΝ.

3.

Athenæus IX, p. 369, A : Γογγυλίδας. Ταύτας Ἀπόλλας (sic) ἐν τῷ Περὶ τῶν ἐν Πελοποννήσῳ πόλεων ὑπὸ Λακεδαιμονίων γαστέρας φησὶ καλεῖσθαι. V. Steph. Thesaur. s. v.

4.

Schol. Nicand. Ther. 523 : Ἀπολλᾶς (vgo Ἰόλαος) ἐν τῷ Περὶ τῶν Πελοποννησιακῶν πόλεων τὸ πήγανον ὑπὸ Πελοποννησίων ῥυτὴν καλεῖσθαί φησιν. Confundit schol. Apollam cum Iolla medico, quem laudat ad v. 683. Cf. Celsus V, 22, Plinius passim.

5.

Athenæus II, p. 63, D : Ἀπελλᾶς δὲ Λακεδαιμονίους φησὶ σίμελον τὸν κοχλίαν λέγειν. Cf. Hesych. : Σίμελος, κοχλίας.

6. 7.

Photius Κυψελιδῶν ἀνάθημα ἐν Ὀλυμπίᾳ. Vide Agaclyti fr. 1. — Schol. Pindar. Olymp. VII, 1, de Diagora Rhodio Olympionica ejusque familia. Vide Aristotelis fragm. 264, p. 183.

Quinctil. Inst. X, 2, 14, de carmine Simonidis Dioscurorum ope servati : *Est autem magna inter auctores dissensio Glaucone Carystio an Leocrati an Agatharcho, an Scopæ scriptum sit id carmen, et Pharsali fuerit hæc domus, ut ipse quodam loco significare Simonides videtur, atque Apollodorus et Eratosthenes et Euphorio, an Crannone, ut Apollas* [*et* add. Bentley.] *Callimachus.*

Ceterum num recte hæc cum Bœckhio (ad Pind. schol. l. l.) ad Ponticum Apellam retulerimus, in medio relinquimus. Distinguendus, ut videtur, a Pontico *Apellas Cyrenæus*, quem inter Περίπλων auctores recenset Marcianus Heracleota p. 63 Hudson. *Apellas Scepticus* ἐν τῷ Ἀγρίππᾳ citatur ap. Diog. L. IX, 106, « ubi legendum videtur εἰς τῶν Περὶ Ἀγρίππαν, cf. ib. IX, 88. De eodem, ni fallor, cogitandum in titulo Chrysippi, qui edidit quattuor libros Περὶ ἀμφιβολιῶν πρὸς Ἀπολλᾶν et λύσιν τῶν Ἡδύλου ὑποθετικῶν πρὸς Ἀριστοκρέοντα καὶ Ἀπελλᾶν, v. Diog. VII, 193. 197. » *Preller*, ad Polemon p. 176.

APHRODISIUS VEL EUPHEMIUS.

ΠΕΡΙ ΠΑΤΡΙΔΟΣ.

Stephan. Byz. : Ἀφόρμιον, τόπος Θεσπιέων. Ἀφροδίσιος ἤτοι Εὐφήμιος ἐν τῷ Περὶ τῆς πατρίδος. « Ὅθεν καὶ τὸν κυβερνήσαντα τὴν ναῦν τὴν Ἀργὼ

DELPHICA.

1.

Apellas in Delphicis duo dicit fuisse Palladia, ambo autem hominum manu fabricata esse.

2.

Rhodopidis donarium, id est obelisci, qui Delphis sunt magno numero. Apellas vero Ponticus etiam in Ægypto pyramidem Rhodopidis esse; quam opinionem Herodotus refellit. Fuit autem genere Thracia, et cum Æsopo serviit Iadmoni Mytilenæo, redemit vero eam Charaxus, frater Sapphûs. Sappho vero Doricham eam vocat.

DE PELOPONNESI URBIBUS.

3.

Γογγυλίδας (*rapas*) Apellas in libro De urbibus Peloponnesi apud Lacedæmonios Γαστέρας vocari dicit.

4.

Apellas in libro De urbibus Peloponnesi τὸ πήγανον, *rutam*, a Peloponnesiis ῥυτὴν vocari dicit.

5.

Apellas Lacedæmonios cochleam σίμελον vocare dicit.

DE PATRIA.

Aphormium, locus ditionis Thespiensium. Aphrodisius vel Euphemius in scripto De patria dicit : « Hinc etiam Ti-

Τῖφυν γενέσθαι. Καὶ λόγος παρ' ἡμῶν (l. ἡμῖν) τῆς νεὼς ἀφορμισάσης ἐντεῦθεν μετὰ τῶν ἀριστέων, ἀφ' οὗπερ ἀπέπλευσεν ἡ ναῦς (leg. videtur ἐφ' οὗπερ καὶ κατέπλευσεν ἡ ναῦς) **. » Ὁ τοπίτης Ἀφορμιεύς.

De re cf. Pausanias IX, 32, 4 : Παραπλέοντι δὲ αὐτόθεν πόλισμά ἐστιν οὐ μέγα ἐπὶ θαλάσσῃ Τίφα (Σίφη vel Σίφαι ap. Strabon. Steph. etc). Ἡράκλειόν τε Τιφαιεῦσίν ἐστι καὶ ἑορτὴν ἄγουσιν ἐπέτειον. Οὗτοι Βοιωτῶν μάλιστα ἐκ παλαιοῦ τὰ θαλάσσια ἐθέλουσιν εἶναι σοφοί, Τῖφυν ἄνδρα μνημονεύοντες ἐπιχώριον, ὡς προκριθείη γενέσθαι τῆς Ἀργοῦς κυβερνήτης· ἀποφαίνουσι δὲ καὶ πρὸ τῆς πόλεως, ἔνθα ἐκ Κόλχων ὀπίσω κομιζομένην ὁρμίσασθαι τὴν Ἀργὼ λέγουσιν. Hinc conjicias Aphormium locum prope Tipham vel Sipham fuisse. In mappa Kiepertiana Aphomium tanquam Thisbes urbis ἐπίνειον notatur, nescio qua auctoritate. Siphis oriundus Tiphys etiam apud Apollonium Rhod. I, 105 dicitur. — Num recte sese habeat illud Ἀφροδίσιος ἤτοι Εὐφήμιος, magnopere dubito. Exspectabas disertam mentionem patriæ. Fortasse igitur fuit : ὁ Ἀφορμιεὺς φησὶν Εὐφήμιος, vel, quum parum probabile sit singularem libellum de obscurissimo isto loco editum esse : Ἀφροδίσιός φησιν ὁ Σιφναῖος sive ὁ Σιφνιεύς.

APOLLODORUS ARTEMITEN.

Scripsit post 140 a. Chr. et ante Strabonem V. fragm. 6.

ΠΑΡΘΙΚΑ.

1.

Strabo II, p. 118 : Ἀπήγγελται δ' ἡμῖν ὑπὸ τῶν τὰ Παρθικὰ συγγραψάντων τῶν Περὶ Ἀπολλόδωρον τὸν Ἀρτεμιτηνὸν (codd. Ἀρταμιίτην), ἃ πολλῶν ἐκεῖνοι μᾶλλον ἀφώρισαν, τὰ Περὶ τὴν Ὑρκανίαν καὶ τὴν Βακτριανήν.

2.

Idem Strabo XI, p. 509 : Ἀπολλόδωρος ὁ τὰ Παρθικὰ γράψας συνεχῶς αὐτὸν (τὸν Ὦχον ποταμὸν) ὀνομάζει, ὡς ἐγγυτάτω τοῖς Παρθυαίοις ῥέοντα.

3.

Idem XI, p. 519 : Ἀπὸ τῆς Ὑρκανίας ἐπὶ τὴν Ἀρτεμίταν τὴν ἐν τῇ Βαβυλωνίᾳ στάδιοί εἰσιν ὀκτακισχίλιοι, καθάπερ εἴρηκεν Ἀπολλόδωρος ἐκ τῆς Ἀρτεμίτας. Apollodorus qui ap. Steph. v. Ἀρτέμιτα νῆσος memoratur, est Atheniensis grammaticus.

4.

Idem XI, p. 525 : Εἰσὶ δὲ καὶ Ἑλληνίδες πόλεις, κτίσματα τῶν Μακεδόνων ἐν τῇ Μηδίᾳ, ὧν Λαοδίκειά τε καὶ Ἀπάμεια καὶ [Ἡράκλεια] ἡ πρὸς Ῥαγαῖς καὶ αὐτὴ Ῥάγεια (Ῥάγα em. Cas.), τὸ τοῦ Νικάτορος κτίσμα· ὃ ἐκεῖνος μὲν Εὔρωπον ὠνόμασε, Πάρθοι δὲ Ἀρσακίαν, νοτιωτέραν οὖσαν τῶν Κασπίων πυλῶν πεντακοσίοις που σταδίοις, ὥς φησιν Ἀπολλόδωρος Ἀρτεμιτηνός.

5.

Idem XI, 516 : Τῆς δὲ Βακτρίας μέρη μέν τινα τῇ Ἀρίᾳ παραβέβληται πρὸς ἄρκτον, τὰ πολλὰ δ' ὑπέρκειται πρὸς ἕω· πολλὴ δ' ἐστὶ καὶ πάμφορος πλὴν ἐλαίου. Τοσοῦτον δὲ ἴσχυσαν οἱ ἀποστήσαντες Ἕλληνες αὐτὴν διὰ τὴν ἀρετὴν τῆς χώρας, ὥστε τῆς τε Ἀριανῆς ἐπεκράτουν καὶ τῶν Ἰνδῶν, ὥς φησιν Ἀπολλόδωρος ὁ Ἀρτεμιτηνός, καὶ πλείω ἔθνη κατεστρέψαντο ἢ Ἀλέξανδρος, καὶ μάλιστα Μένανδρος (εἴγε καὶ τὸν Ὕπανιν διέβη, πρὸς ἕω, καὶ μέχρι τοῦ Ἰσάμου [Ἰμάου conj. Casaub.; Ἰομάνου fluv., Mannert. V, p. 295] προῆλθε)· τὰ μὲν γὰρ αὐτός, τὰ δὲ Δημήτριος ὁ Εὐθυδήμου υἱὸς τοῦ Βακτρίων βασιλέως· οὐ μόνον δὲ τὴν Παταληνὴν κατέσχον, ἀλλὰ καὶ τῆς ἄλλης παραλίας

---

phyn Argûs navis gubernatorem oriundum esse ferunt. Atque fama apud nos est, nave illa hinc cum heroibus in altum educta, quo eodem etiam in reditu appulit, (*locum istum Aphormium esse vocatum*). »

PARTHICA.

1.

Exposita sunt etiam nobis quæ Apollodorus Artemitenus belli Parthici scriptor de rebus Hyrcanicis et Bactrianicis accuratius reliquis tradidit.

2.

Apollodorus qui Parthica conscripsit, Ochum fluvium identidem nominat, ut proxime Parthos labentem.

3.

Ab Hyrcania ad Artemitam Babyloniæ stadiorum sunt octo millia, ut Apollodorus ex Artemita ait.

4.

Sunt etiam Græcanicæ urbes in Media a Macedonibus conditæ, Laodicea, Apamea et *Heraclea* apud Rhagas et ipsa a Nicatore condita Rhaga, quam ipse Europum appellavit, Parthi Arsaciam, versus meridiem a Caspiis portis dissitam quingentis circiter stadiis, ut tradit Apollodorus Artemitenus.

5.

Bactriæ partes quædam Asiæ versus septentrionem circumdantur : pleræque versus ortum porriguntur. Ampla est regio et omnium rerum ferax, excepto oleo. Tanta autem fuit Græcorum, qui eam abalienaverunt, potentia ob soli præstantiam, ut et Arianam obtinuerint et Indiam, ut ait Apollodorus Artemitenus, ac plures quam Alexander gentes subegerint, maxime Menander, siquidem is et Hypanim transivit versus ortum et ad Isamum (*Imaum?*) usque pervenit : hæc enim partim ipse egit, partim Demetrius Euthydemi filius Bactriorum regis. Non modo autem

τήν τε Σαραόστου καλουμένην, καὶ τὴν Σιγέρδιδος βασιλείαν. Καθ' ὅλου δέ φησιν ἐκεῖνος, τῆς συμπάσης Ἀριανῆς πρόσχημα εἶναι τὴν Βακτριανήν· καὶ δὴ καὶ μέχρι Σηρῶν καὶ Φρυνῶν ἐξέτειναν τὴν ἀρχήν.

6.

Strabo XV, p. 686 : Ἀπολλόδωρος γοῦν, ὁ τὰ Παρθικὰ ποιήσας, μεμνημένος καὶ τῶν τὴν Βακτριανὴν ἀποστησάντων Ἑλλήνων παρὰ τῶν Συριακῶν βασιλέων, τῶν ἀπὸ Σελεύκου τοῦ Νικάτορος, φησὶ μὲν αὐτοὺς αὐξηθέντας ἐπιθέσθαι καὶ τῇ Ἰνδικῇ· οὐδὲν δὲ προσανακαλύπτει τῶν πρότερον ἐγνωσμένων, ἀλλὰ καὶ ἐναντιολογεῖ, πλείω τῆς Ἰνδικῆς ἐκείνους ἢ Μακεδόνας καταστρέψασθαι λέγων. Εὐκρατίδαν γοῦν πόλεις χιλίας ὑφ' ἑαυτῷ ἔχειν· ἐκείνους δὲ αὐτὰ τὰ μεταξὺ ἔθνη τοῦ τε Ὑδάσπου καὶ τοῦ Ὑπάνιος τὸν ἀριθμὸν ἐννέα, πόλεις τε σχεῖν πεντακισχιλίας, ὧν μηδεμίαν εἶναι Κῶ τῆς Μεροπίδος ἐλάττω· ταύτην δὲ πᾶσαν τὴν χώραν καταστρεψάμενον Ἀλέξανδρον παραδοῦναι Πώρῳ.

De Eucratidæ temporibus (c. 140 a. C.) v. Clinton. III, p. 316. Cf. cum hoc loco Strabo p. 701.

7.

E LIBRO IV.

Athenæus XV, p. 682, C : Ἀπολλόδωρος δ' ἐν τετάρτῳ Παρθικῶν ἄνθος τι ἀναγράφει καλούμενον φιλάδελφον κατὰ τὴν Παρθικὴν χώραν, περὶ οὗ τάδε φησί· « Καὶ μυρσίνης γένη ποικίλα, μίλαξ τε καὶ τὸ καλούμενον φιλάδελφον, ὃ τὴν ἐπωνυμίαν ἔλαβε τῇ φύσει πρόσφορον. Ἐπειδὰν γὰρ ἐκ διαστήματος αὐτομάτως κράδαι συμπέσωσιν, ἐμψύχων περιπλοκὴν ἐν τῷ (ἐγγυτάτω?) μένουσιν ἡνωμέναι, καθάπερ ἀπὸ ῥίζης μιᾶς, καὶ τὸ λοιπὸν ἀνατρέχουσι καὶ ζωοφυτοῦσι. Διὸ καὶ τοῖς ἡμέροις φυλακὴν ἀπ' αὐτῶν κατασκευάζουσιν. Ἀφαιροῦντες γὰρ τῶν ῥάβδων τὰς λεπτοτάτας καὶ διαπλέξαντες δικτύου τρόπῳ, φυτεύουσι κύκλῳ τῶν κηπευμάτων· καὶ ταῦτα συμπλεκόμενα περιβόλου παρέχεται δυσπάροδον ἀσφάλειαν. »

APOLLODORUS ERYTHRÆUS.

Lactantius Institt. I, 6, ex Varrone Sibyllas recensens : *Quintam Erythræam, quam Apollodorus Erythræus affirmat suam fuisse civem, eamque Graiis Ilium petentibus vaticinatam, et perituram esse Trojam et Homerum mendacia scripturum.*

APOLLODORUS, nescio qui, ἐν πρώτῳ τῶν Ποντικῶν laudatur apud schol. Apoll. Rhod. II, 159 (v. Andrœtæ fragm.).

APOLLONIDES HORAPION.

Theophilus Ad Autolyc. II, 6 : Μέμνηται Ἀπολλωνίδης ὁ καὶ Ὡραπίων (Ὡράπιος libri, quod em. Reines. Var. L. p. 114) ἐπικληθεὶς ἐν βίβλῳ τῇ ἐπιγραφομένῃ Σεμενουθὶ καὶ ταῖς λοιπαῖς κατ' αὐτὸν ἱστορίαις, περί τε τῆς θρησκείας τῆς Αἰγυπτιακῆς, καὶ τῶν βασιλέων αὐτῶν καὶ τῆς ἐν αὐτοῖς ματαιοπονίας. Postrema spectant ad vanitatem regum, qui pyramidas erexerunt, ut bene monet Vossius p. 396 collato Plinio 36, 12.

Alius APOLLONIDES est *Peripli* auctor, cujus meminit Schol. Apoll. Rhod. IV, 983 : Ἱστορεῖ δὲ περὶ τοῦ λιμένος τῶν Φαιάκων Ἀπολλωνίδης (Ἀπολλώνιος Cod. Paris.) ἐν τῷ Περίπλῳ τῆς Εὐρώπης. — Idem IV, 1174 : Ἡ τῶν Κερκυραίων πόλις ἐπὶ τῆς Χερσονήσου κεῖται, ὡς Ἀπολλωνίδης ἐν τῷ Περίπλῳ τῆς Εὐρώπης. — Idem II, 964 : Πρόχυσιν ἔφη (Ἀπολλώνιος) τῆς Ἀσσυρίας, τοῦτ' ἔστι τῆς Λευκοσυρίας, τὴν ἐγκειμένην χώραν αὐτῆς εἰς θάλασσαν· ὡς καὶ ἐν τοῖς ἐπάνω· « Λεῖπον Ἅλυν ποταμὸν, λεῖπον δ' ἀλιμυρέα χώραν Ἀσσυρίης ἀνέχουσαν ἀπὸ χθονός. » Τοῦτο δὲ εἶπεν ὡς ποταμοχώστου τῆς γῆς οὔσης διὰ τὸ μεγάλους εἰς αὐτὴν καταφέρεσθαι ποταμοὺς Ἅλυν καὶ Ἶριν. Καὶ οὕτως ἔχει ταῖς ἀληθείαις, καὶ πρὸς ταῖς ἄρκτοις ἡ χώρα ἔγκειται. Διὸ ποταμό-

---

Pattalenen occupaverunt, sed et reliquam oram maritimam, et quod Saraosti dicitur et quod Sigerdidis regnum. Omnino autem, ille ait, totius Arianæ præcipuam partem esse Bactrianam. Quin et usque ad Seres et Phrynos dominium suum protulerunt.

6.

Apollodorus, Parthicorum auctor, illata etiam Græcorum mentione, qui a Syriæ regibus, Seleuci Nicatoris successoribus, Bactrianam abalienassent, ait eos viribus auctos etiam Indiam aggressos esse : nihil vero præter antea nota aperuit, sed etiam ipse sibi contradicit, majorem aiens ab his quam a Macedonibus Indiæ partem fuisse subactam; nam Eucratidam mille urbes sub se habuisse; illos autem ipsas gentes, quæ sint numero novem inter Hydaspem et Hypanim, ac urbes quinquies mille, quarum nulla Co Meropide esset minor : regionem hanc totam ab Alexandro subactam ac Poro esse traditam.

7.

Apollodorus libro quarto Rerum Parthicarum scribit, in Parthica regione *philadelphum* vocari florem quendam, de quo hæc tradit : « Multiplex myrtorum genus, atque smilax, et quod *philadelphon* vocant, congruum naturæ suæ nomen sortitum. Nam quum ex intercapedine sponte rami coiverint, animatorum complexum referentes arctissime manent conjuncti, quasi ex eadem orti radice, deinde procurrentes vivos surculos pariunt. Quamobrem cultis fundis sepes ex eo prætendunt, in hortorum circuitu conserentes commissis tenuissimis virgis ac implexis retis modo; quæ sic contextæ munimentum inaccessum et tutum per ambitum undique præbent. »

χωστον λέγει εἶναι Ἀπολλωνίδης. Τοὺς γὰρ προειρημένους ποταμοὺς ἀμφοτέρους, μάλιστα τὸν Ἶριν, κατὰ διάφορα μέρη τῆς χώρας ῥέοντα, ἄλλοτε κατ' ἄλλους τόπους ἐκδιδόναι, καὶ ταύτῃ μακροῖς αὐτὴν προσχώμασιν εἰς μέσον ἐπεκτείνειν τὸ πέλαγος. Διὸ δὴ σύμπασαν εἶναι ποταμόχωστον τὴν γῆν. Βίαιον γὰρ καὶ πολὺν αὐτὸν ἀπὸ τῆς Ἀρμενίας διὰ χειμερίου καὶ μακρᾶς φερόμενον παρασύρειν τὴν γῆν. Τοῦ δὲ κύματος παλίσσυτον ἐλαύνοντος ἐπὶ τὴν γῆν τὴν ἰλὺν, συμβαίνει τὴν χώραν ἐπιπολὺ παραύξεσθαι, καὶ τὴν θάλασσαν γίνεσθαι τεναγώδη. — Strabo XI, p. 523 : Ἔστι δ' οὐ μικρὰ κατὰ τὴν δύναμιν (sc. ἡ Ἀτροπάτιος Μηδία), ὥς φησιν Ἀπ., ἥ γε καὶ μυρίους ἱππέας δύναται παρέχεσθαι, πεζῶν δὲ τέτταρας μυριάδας. — Id. XI, p. 528, de Armenia. V. Theophanis fr. 4 C. — Id. VII, p. 309, de Chersoneso Taurica a Mithridate subacta. Vide Posidonii Rhodii fr. 34. Ex hoc loco colligas Apollonidem inter Mithridatis et Strabonis tempora vixisse (100-50 a. C.). — Plinius H. N. VII, 2 : *Esse ejusdem generis in Triballis et Illyriis adjicit Isigonus, qui visu quoque fascinent, interimantque quos diutius intueantur, iratis præcipue oculis : quod eorum malum facilius sentire puberes. Notabilius esse quod pupillas binas in oculis singulis habeant. Hujus generis et feminas in Scythia, quæ vocantur Bithyæ, prodit Apollonides.* Cf. Solinus Polyh. p. 1, 7 E.

APOLLONIDES NICENUS, Tiberii temporibus floruit, teste Diogene Laertio IX, 109 : Ἀπολλωνίδης ὁ Νικαεὺς, ὁ παρ' ἡμῶν ἐν τῷ πρώτῳ Εἰς τοὺς Σίλλους ὑπομνημάτων, ἃ προσφωνεῖ Τιβερίῳ Καίσαρι. Idem ἐν Ὑπομνήματι περὶ παραπρεσβείας Δημοσθένους laudatur ap. Ammonium De diff. verb. v. Ὀφλεῖν. Opus De proverbiis citat Stephan. Byz. : Τέρινα, πόλις Ἰταλίας... ἐκαλεῖτο δὲ καὶ μεγάλη Ἑλλὰς, ὡς Ἀπ. ὁ Νικαεὺς ἐν τῷ Περὶ παροιμιῶν. — Aliud opus Περὶ κατεψευσμένων erat, cujus tertium librum laudat Ammonius v. Κατοίκησις : Κατοίκησις καὶ κατοίκισις διαφέρει, ὥς φησιν Ἀπολλωνίδης ἐν τῷ τρίτῳ Περὶ κατεψευσμένων· κατοίκισις μὲν γάρ ἐστιν ἡ ὑφ' ἑτέρων γινομένη ἵδρυσις· κατοίκησις δὲ, ὅταν αὐτοί τινες οἰκήσωσι τόπον ἢ πόλιν τινὰ καταλαβόντες· οἷον, Ἀθηναῖοι κατῴκησαν μὲν τὴν ἀκρόπολιν, κατῴκισαν δὲ οἱ Ἴωνες, κτλ. Octavum librum citat Anonym. in Vita Arati, p. 55, 4 in Biogr. Westerm. : Τὰς δ' Ἀράτου ἐπιστολάς... πάντων σχεδὸν συμφωνούντων τὰς εἰς αὐτὸν ἀναφερομένας αὐτοῦ εἶναι καὶ ὁμολογούντων γνησίας αὐτὰς, μόνος Ἀπολλωνίδης ὁ Κηφεὺς (Νικαεὺς correx. Bentl. et Westerm.) ἐν τῷ η' Περὶ κατεψευσμένης ἱστορίας οὐκ εἶναι αὐτὰς Ἀράτου φησίν, ἀλλὰ Σαβιρίου (Ἀσινίου em. Bergk.) Πολίωνος. Τοῦ δ' αὐτοῦ τούτου φησὶν εἶναι ἐπιγεγραμμένας Εὐριπίδου ἐπιστολάς. Ex eodem opere fluxisse puto, quæ Harpocration v. Ἴων habet : Ἔγραψε (Ἴων)... καὶ φιλόσοφόν τι σύγγραμμα, τὸν Τριαγμὸν ἐπιγραφόμενον, ὅπερ Καλλίμαχος ἀντιλέγεσθαί φησιν ὡς Ἐπιγένους. Ἐν ἐνίοις δὲ καὶ πληθυντικῶς ἐπιγράφεται Τριαγμοὶ, καθὰ Δημήτριος ὁ Σκήψιος καὶ Ἀπολλωνίδης ὁ Νικαεὺς, κτλ. (v. Ionis fragm. tom. II, p. 49). Apud Suidam inter opera Apollonii Dyscoli, Herodiani patris, recensetur liber Περὶ κατεψευσμένης ἱστορίας. Qui quum male quadret cum reliquis hujus grammatici scriptis, suspicor Apollonium perperam confusum esse cum Apollonide. Fuere olim qui ad Apollonii Hist. Mirabilem titulum istum referri vellent. Quod quam sit veri absimile, bene exposuit Westermannus in Paradoxogr. p. XXI.

De Apollonide poeta epigrammatum v. Jacobs. Anthol. tom. XIII, p. 854. — De *Ap. tragico* ap. Clem. Alex. Pædag. III, 12, 84, et Stobæum Floril. 63, 3, et 67, 6, v. Wagner. Fragm. Trag. p. 145. — *Ap. philosophus stoicus* v. in Plutarch. Caton. min. c. 65 sq. 69. — *Ap. Cyprius* medicus methodicus v. ap. Galen. Method. med. I, p. 43.

APOLLONIUS APHRODISIENSIS.

Suidas : Ἀπολλώνιος Ἀφροδισιεὺς, ἀρχιερεὺς καὶ ἱστορικός. Γέγραφε Καρικὰ, Περὶ Τράλλεων, Περὶ Ὀρφέως καὶ τῶν τελετῶν αὐτοῦ.

Apollonium ex Aphrodisia *Cariæ* urbe oriundum fuisse titulis librorum, quos composuit, probatur. Ibi igitur in celeberrimo Veneris templo sacerdotis munere functus fuerit. Ne pro certo quidquam affirmem, movet locus Stephani Byz. : Λητοῦς πόλις, πόλις Αἰγύπτου· ἔστι δὲ μοῖρα Μέμφιδος... Τὸ ἐθνικὸν Λητοπολίτης· οὕτω γὰρ Πολύστρατος καὶ Ἀπολλώνιος ὁ ἀρχιερεὺς (vgo. ἀρχιερέως) λεγόμενος ἀναγράφεται. Num alius hic Apollonius, an idem? Num perperam et diversa confundens Suidas Aphrodisiensem ἀρχιερέα dixit? An Caria oriundus vitam in Ægypto degit? Tu videas. — Quando vixerit auctor Caricorum accuratius dici nequit. Ptolemæo Philadelpho juniorem fuisse patet ex fr. 13.

ΚΑΡΙΚΑ.

LIBER I.

1.

Stephan. Byz. : Κουρόπολις, πόλις Καρίας. Ἀπολλώνιος Καρικῶν πρώτῳ. Cf. fr. 8.

CARICA.

1. Curopolis, urbs Cariæ. Apollonius Caricorum primo.

LIBER IV.

2.

Idem : Βάργασα, πολις Καρίας, ἀπὸ Βαργάσου τοῦ υἱοῦ Βάργης καὶ Ἡρακλέους, ὃν ἐδίωξε Λάμος ὁ Ὀμφάλης καὶ Ἡρακλέους, ὡς Ἀπ. Καρικῶν τετάρτῳ· τὸ ἐθνικὸν Βαργασηνὸς, ὡς αὐτὸς ἑκκαιδεκάτῳ.

3.

Idem : Κύον, πόλις Καρίας. Ἀπ. τετάρτῳ Καρικῶν· ἡ πρότερον Κανήβιον· τὸ ἐθνικὸν Κυίτης.

4.

Idem : Ὕδη, πόλις Λυδίας, ἐν ᾗ ᾤκει Ὀμφάλη, δυναστεύουσα Λυδῶν, Ἰαρδάνου θυγάτηρ, ὡς Ἀπ. Καρικῶν τετάρτῳ.

5.

Idem : Ὑδισσὸς, πόλις Καρίας, ἀπὸ Ὑδισσοῦ, παιδὸς Βελλεροφόντου καὶ Ἀστερίας, θυγατρὸς Ὑδέου, ὡς Ἀπ. Καρικῶν τετάρτῳ· « Ἐξ ὧν ἐγεννήθη Ὑδισσὸς, ἐξ οὗ καὶ ἡ πόλις Ὑδισσός. » Ὁ πολίτης Ὑδισσεὺς, ὡς αὐτὸς Ἀπ. φησιν. V. Forbiger Geogr. p. 232.

LIBER V.

6.

Idem : Ὑλλούαλα, δῆμος Καρίας. Ἀπ. ε' Καρικῶν· « Κᾶρες (Κάρης codd.) δὲ τὸν τόπον ἐκεῖνον, ἔνθα Ὕλλος ἀπώλετο, Ὑλλούαλαν ὠνόμασαν, καὶ ἕδος ἐνταῦθα ἐδείμαντο Ἀπόλλωνος. Καὶ νῦν ἔτι παρὰ τὸν θεὸν δῆμός ἐστι Ὑλλούαλα λεγόμενος· » Ἄλα γὰρ οἱ Κᾶρες τὸν ἵππον ἔλεγον, ὡς καὶ πρότερον (v. Ἀλάβανδα. V. Characis fr. 48) εἴρηται.

LIBER VII.

7.

Idem : Ἀρχόννησος, νῆσος Καρίας. Ἀπολλώνιος ἑβδόμῃ Καρικῶν. Τὸ ἐθνικὸν Ἀρχοννήσιος. V. Forbiger p. 219.

8.

Idem : Χρυσαορὶς, πόλις Καρίας, ἡ ὕστερον Ἰδριὰς ὀνομασθεῖσα. Ἀπ. ἐν ἑβδόμῳ Καρικῶν καὶ α' πόλιν (Καρικῶν· « Χρυσαορὶν?) τὴν ὑπὸ Λυκίων κτισθεῖσαν. » Τὸ ἐθνικὸν Χρυσαορεὺς, ὡς αὐτὸς ἐν αὐτοῖς· « Ταυροπολῖται μὲν συνεμάχουν καὶ Πλαρασσεῖς, ἔτι καὶ Χρυσαορεῖς δέ. » Ἐπαφρόδιτος δὲ τὴν Καρίαν πᾶσαν Χρυσαορίδα λέγεσθαι. Cf. Forbig. p. 230, 17.

Ex eodem Apollonio fluxerint articuli Ταυρόπολις et Πλάρασσα, ubi auctoris notam non apposuit excerptor.

LIBER IX.

9.

Idem : Τάβαι, πόλις Λυδίας, περὶ ὧν ὁ χρησμός φησι πρὸς Πισίδας·

Ἄστυ Τάβων ἐρικυδὲς ἐλεύθερον οἰκίζεσθαι.

Καὶ Ἀπολλώνιος ἐννάτῳ· « Ἐδεήθησαν ὅπως αὐτοὺς εἰς Τάβας καταγάγωσι »... Ἐκλήθη δὲ ἀπὸ Τάβου. Ὁ δὲ Τάβος ἥρως. Οἱ δέ φασι τὸν Κιβύραν καὶ Μαρσύαν ἀδελφοὺς τὸν μὲν κτίσαι Κιβύραν πόλιν, τὸν δὲ Τάβας, καὶ καλέσαι ἀπὸ τοῦ ἐπὶ πέτρας οἰκεῖσθαι· τάβαν γὰρ τὴν πέτραν Ἕλληνες ἑρμηνεύουσιν. Ἔνιοι ἀπὸ Ταβανοῦ Ἀργείου... Ἔστι καὶ ἄλλη πόλις Καρίας Τάβαι, καὶ τρίτη τῆς Περαίας (sc. Ῥοδίων). Hæc trium urbium distinctio excerptoris negligentiæ

2.

Bargasa, urbs Cariæ, a Bargaso, Bargæ et Herculis filio, quem persecutus est Lamus, Omphales et Herculis filius, ut Apollonius ait Caricorum quarto. Gentile : Bargasenus, ut idem ait sedecimo.

3.

Cyum, urbs Cariæ, Ap. quarto. Prius vocata Canebium. Gentile : Cyites.

4.

Hyde, urbs Lydiæ, in qua habitabat Omphales, Lydorum regina, Iardani f., ut Apollodorus ait quarto Caricorum.

5.

Hydissus, urbs Cariæ, a Hydisso, Bellerophontis et Asteriæ, Hydeo natæ, filius, ut Apollonius quarto Caricorum : « Ex quibus genitus est Hydissus, a quo etiam Hydissus urbs nominata est. » Civis, Hydissensis, ut idem Ap. dicit.

6.

Hylluala, Cariæ. Apollonius quinto Caricorum : « Cares vero locum illum, ubi Hyllus periit, Hyllualam nominarunt; et sacellum ibi ædificarunt Apollini; et etiamnum juxta deum est pagus Hylluala dictus. » *Ala* scilicet equum Cares vocabant, sicuti jam dixi in antecedentibus.

7.

Arconesus, insula Cariæ. Apollonius septimo Caricorum. Gentile : Arconesius.

8.

Chrysaoris, urbs Cariæ, quæ postea Hidrias vocata est. Apollonius in septimo Caricorum : « Chrysaorin a Lyciis conditam. » Gentile Chrysaorensis, ut idem ait ibidem : « Tauropolitæ socii erant et Plarassenses. »

9.

Tabæ, urbs Lydiæ, de qua oraculum ad Pisidas inquit :

Urbem Tabarum gloriosam liberam incolis frequentare.

Et Apollonius nono : « Rogarunt quomodo eos Tabas deducerent. » Nomen habet a Tabo. Tabus vero heros est. Alii dicunt Cibyram et Marsyam fratres, illum Cibyram, hunc Tabas condidisse, nomenque hoc urbi indidisse, quod in saxo exstructa esset; nam *tabam* Græci petram interpretantur. Alii a Tabano Argivo nominatam volunt. Est etiam alia Cariæ urbs Tabæ, et tertia in Peræa Rhodia.

imputanda esse videtur. V. Forbiger *Alt. Geogr.* II, p. 236.

LIBER X.

10.

Idem : Νάρκασσος, δῆμος καὶ πόλις Καρίας. Ἀπ. δεκάτῳ Καρικῶν· ὁ δημότης καὶ ὁ πολίτης Ναρκασεύς.

LIBER XV.

10 a.

Etym. M. p. 148, 1 : Ἅρπασος, ποταμὸς Καρίας, πρότερον Δαφνοῦς καλούμενος. Εἴρηται δὲ διὰ τὸ ὀξύτατον τοῦ ῥοῦ, καὶ ὅτι ἁρπάζει τοὺς παριόντας αὐτῷ. Οὕτως ἱστορεῖ Ἀπολλώνιος ἐν τῷ πέμπτῳ καὶ δεκάτῳ τῶν Καρικῶν. Cf. Steph. Byz. : Ἅρπασα, πόλις Καρίας, ἀπὸ Ἁρπάσου ποταμοῦ.

LIBER XVI.

11.

Steph. : Λαγινία (τὰ Λάγινα Strabo 14, p. 660), πολίχνιον Καρίας. Ἀπ. Καρικῶν ἑκκαιδεκάτῳ. Τὸ ἐθνικὸν Λαγιναῖος καὶ Λαγινίτης καὶ θηλυκῶς Λαγινῖτις. Ἔστι καὶ Λαγίνεια Βιθυνίας. Cf. Forbiger p. 230. Aliud libri XVI fragm. vid. in fr. 2.

LIBER XVII.

12.

Idem : Εὔρωμος, πόλις Καρίας, ἀπὸ Εὐρώμου τοῦ Ἰδριέως Καρός. Τὸ ἐθνικὸν Εὐρωμεύς. Ἀπολλώνιος ἑπτακαιδεκάτῳ Καρικῶν. V. Forbiger II, p. 229.

13.

Idem : Ἄγκυρα, πόλις Γαλατίας... Ἀπολλώνιος δὲ ἐν ἑπτακαιδεκάτῃ Καρικῶν ἱστορεῖ, Μιθριδάτῃ καὶ Ἀριοβαρζάνῃ νεήλυδας τοὺς Γαλάτας συμμαχήσαντας διῶξαι τοὺς ὑπὸ Πτολεμαίου σταλέντας Αἰγυπτίους ἄχρι θαλάσσης, καὶ λαβεῖν τὰς ἀγκύρας τῶν νεῶν αὐτῶν, καὶ μισθὸν τῆς νίκης εἰς πολισμὸν λαβόντας χώραν κτίσαι καὶ ὀνομάσαι οὕτω. Τρεῖς δὲ πόλεις ἔκτισαν, Ἄγκυραν ἀπὸ τοῦ κατὰ τὸν πόλεμον πλεονεκτήματος, τὴν δὲ ἀπὸ Πεσσινοῦντος τοῦ ἄρχοντος, τὴν δὲ Ταυίαν ἀπὸ τοῦ ἑτέρου ἄρχοντος. V. Forbiger l. l. p. 369. Μιθριτάδῃ κτλ.] emend. Gronov.; vulgo Μιθριδάτην καὶ Ἀριοβαρζάνην νεήλυδας τοῖς Γαλάταις. Mithridates III, regn. 302-266. Eique successit filius Ariobarzanes III (265-242). Cf. Clinton F. H. tom. III, p. 424. Bellum ad postrema Mithridatis tempora pertinere videtur. Aliunde de eo non constat. Sed occupasse Ptol. II loca Pontica nonnulla, prodit *Tius* urbs, quæ quondam *Berenice* dicta sit, teste Steph. v. Βερενίκη. V. Droysen. *Hellen.* II, p. 246.

LIBER XVIII.

14.

Idem : Χωλὸν τεῖχος, πόλις Καρίας, ὡς Ἀπ. ὀκτωκαιδεκάτῳ Καρικῶν. Τὸ ἐθνικὸν Χωλοτειχίτης.

APOLLONIUS ASCALONITA tanquam historicus memoratur ap. Steph. Byz. v. Ἀσκάλων... Πολλοὶ δὲ ἐξ αὐτῆς κεχρηματίκασι·... ἱστορικοὶ Ἀπολλώνιος καὶ Ἀρτεμίδωρος ὁ τὰ Περὶ Βιθυνίας γεγραφὼς καὶ ἄλλοι.

Inter reliquos Apollonios scriptores, quorum permagnus numerus est, h. l. commemorasse sufficiat Apollonium Acharnensem, qui Περὶ ἑορτῶν scripsit :

Harpocratio : Πέλανος... Ἀπολλώνιος δ' ὁ Ἀχαρνεὺς ἐν τῷ Περὶ τῶν ἑορτῶν οὕτω γράφει· « Ὁμοίως δὲ καὶ ὁ προσαγορευόμενος πέλανος. Λέγεται δὲ πέμματά τινα τοῖς θεοῖς γινόμενα ἐκ τοῦ ἀφαιρεθέντος σίτου ἐκ τῆς ἅλω. » Σαννυρίων δ' ἐν Γέλωτί φησι· « Πέλανον καλοῦμεν ἡμεῖς οἱ θεοὶ ἃ καλεῖτε σεμνῶς ἄλφιθ' ὑμεῖς οἱ βροτοί. » Δίδυμος δὲ κυρίως φησὶ τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ ἧς ποιοῦνται πέμματα, ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι, ἢ ὅτι λευκά ἐστιν. V. quos laudat Hermann. Antiq. sacr. § 25, 13.

Harpocratio : Πυανόψια... Ἀπολλώνιος καὶ σχεδὸν πάντες οἱ περὶ τῶν Ἀθήνησιν ἑορτῶν γεγραφότες Πυανεψιῶνος ἑβδόμῃ Πυανέψια Ἀπόλλωνι ἄγεσθαί φασι.

10.

Narcassus, populus et urbs Cariæ. Apollonius decimo Caricorum.

10 a.

Harpasus, Cariæ fluvius, antea Daphnûs vocatus. Nomen habet a cursu rapidissimo et quod abripit prope eum incedentes. Sic narrat Apollonius decimo quinto Caricorum.

11.

Laginia, Cariæ oppidulum. Ap. Caricorum decimo sexto.

12.

Euromus, Cariæ urbs, ab Euromo, Idriei, Caris. Gentile Euromensis. Apollonius decimo septimo Caricorum.

13.

Ancyra, urbs Galatiæ... Apollonius in decimo septimo Caricorum narrat, Mithridati et Ariobarzani auxiliantes Galatas, qui recens in Asiam advenerant, Ægyptios a Ptolemæo II missos ad mare fuisse prosecutos, atque potitos esse navium eorum ancoris, et quum præmium victoriæ regionem in qua urbes conderent, accepissent, condivisse atque Ancyram urbem appellasse. Tres vero urbes condiderunt : Ancyram, ab re illa bello clare gesta nominatam; Pessinuntem, quæ a Pessinunte duce; Tauiam, quæ ab altero duce nomen habet.

14.

Cholum Tichus, urbs Cariæ, ut Apollonius in Caricorum decimo octavo.

Δεῖν δέ φασι λέγειν Πυανέψια, καὶ τὸν μῆνα Πυανεψιῶνα· πύανα γὰρ ἕψουσιν ἐν αὐτοῖς, καὶ ἡ εἰρεσιώνη ἄγεται. Cf. Hermann. § 56, 5.

Harpocratio : Χαλκεῖα... Τὰ Χαλκεῖα ἑορτὴ παρ' Ἀθηναίοις ἀγομένη Πυανεψιῶνος ἕνῃ καὶ νέᾳ, χειρώναξι κοινή, μάλιστα δὲ χαλκεῦσιν, ὥς φησιν Ἀπολλώνιος ὁ Ἀχαρνεύς· Φανόδημος δὲ κτλ. Cf. Hermann. § 48, 7. 56, 31.

Schol. Aristoph. Nub. 408 : Διασίοισιν] Ἑορτὴ Ἀθήνησι Μειλιχίου Διός. Ἄγεται δὲ μηνὸς Ἀνθεστηριῶνος η' φθίνοντος. Ἀπολλώνιος δὲ ὁ Ἀχαρνεὺς τὰ Διάσια διακρίνει ἀπὸ τῆς τοῦ Μειλιχίου ἑορτῆς, προσαγορεύεσθαι αὐτὰ λέγων, καθάπερ τινές φασιν, ἀπὸ τοῦ διαφυγεῖν αὐτοὺς εὐχαῖς τὰς ἄσας. Cf. Herm. 58, 23.

Suidas (et Photius) : Ὑδροφορία, ἑορτὴ πένθιμος Ἀθήνησιν ἐπὶ τοῖς ἐν τῷ κατακλυσμῷ ἀπολομένοις, ὡς Ἀπολλώνιος. Cf. Plutarch. Sulla c. 14.

Athenæus V, p. 191, E : Ἐν δὲ ταῖς τῶν θεῶν ἑορταῖς οὐδ' ὅσιον εἶναι δοκεῖ πλείω χρόνον παραμένειν. Γνωμικῶς γοῦν φησι παρὰ τῷ Ὁμήρῳ ἡ Ἀθηνᾶ·

Ἤδη γὰρ φάος οἴχεθ' ὑπὸ ζόφον, οὐδὲ ἔοικε
δηθὰ θεῶν ἐν δαιτὶ θαασσέμεν, ἀλλὰ νέεσθαι.

Καὶ νῦν δὴ νόμος ἐκ θυσιῶν τινων πρὸ ἡλίου δύνοντος ἀπιέναι. Καὶ παρ' Αἰγυπτίοις δὲ τὸ παλαιὸν σωφρονικῶς διεξήγετο τὸ τῶν συμποσίων γένος, καθάπερ εἴρηκεν Ἀπολλώνιος ὁ περὶ τούτων γεγραφώς. Καθήμενοι μὲν γὰρ ἐδείπνουν, τροφῇ τῇ λιτοτάτῃ καὶ ὑγιεινοτάτῃ χρώμενοι, καὶ οἴνῳ τοσούτῳ, ὅσος ἱκανὸς ἂν γένοιτο πρὸς εὐθυμίαν.

Apollonii Rhodii Κτίσεις quum carmine scriptæ sint, ad nos non pertinent. Weichertii opinio Κτίσεις non omnes esse versibus, sed nonnullas etiam prosa oratione scriptas fuisse, idoneis argumentis plane caret. Laudantur :

Ἀλεξανδρείας κτίσις. Schol. Nicandri Theriac. 11 : Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῇ τῆς Ἀλεξανδρείας κτίσει ἀπὸ τῶν σταγόνων τοῦ τῆς Γοργόνος αἵματος (sc. πάντα τὰ δακετὰ γενέσθαι φησί). Cf. Acusilaus fr. 4.

Ναυκράτεως κτίσις. Athenæus VII, p. 283, D : Ἀπολλώνιος δ' ὁ Ῥόδιος ἢ Ναυκρατίτης ἐν Ναυκράτεως κτίσει τὸν Πομπίλον φησὶν, ἄνθρωπον πρότερον ὄντα, μεταβαλεῖν εἰς ἰχθὺν διά τινα Ἀπόλλωνος ἔρωτα. Τὴν γὰρ Σαμίων πόλιν παραρρεῖν ποταμὸν Ἴμβρασον,

Τῷ ῥά ποτ' Ὠκυρόην νύμφην, περικαλλέα κούρην,
Χησιὰς εὐπατέρεια τέκεν φιλότητι μιγεῖσα·
Ὠκυρόην, ᾗ κάλλος ἀπείριτον ὤπασαν Ὧραι.

Ταύτης οὖν ἐρασθέντα Ἀπόλλωνα ἐπιχειρῆσαι ἁρπάσαι. Διαπεραιωθεῖσαν δ' εἰς Μίλητον κατά τινα Ἀρτέμιδος ἑορτὴν, καὶ μέλλουσαν ἁρπάζεσθαι εὐλαβηθεῖσαν, Πομπίλον τινὰ θαλασσουργὸν ἄνθρωπον καθικετεῦσαι, ὄντα πατρῷον φίλον, ὅπως αὐτὴν εἰς τὴν πατρίδα διασώσῃ, λέγουσαν τάδε·

Πατρὸς ἐμοῖο φίλου συμφράδμονα θυμὸν ἀέξων,
Πομπίλε, δυσκελάδου δεδαὼς θοὰ βένθεα πόντου,
σῶζέ με·

καὶ τὸν εἰς τὴν ἀκτὴν διαγαγόντα αὐτὴν διαπεραιοῦν. Ἐπιφανέντα δὲ τὸν Ἀπόλλωνα τήν τε κόρην ἁρπάσαι, καὶ τὴν ναῦν ἀπολιθώσαντα, τὸν Πομπίλον εἰς τὸν ὁμώνυμον ἰχθὺν μεταμορφῶσαι, ποιῆσαί τε τὸν

Πομπίλον ὠκυάλων νηῶν αἰήονα δοῦλον.

Ælian. H. An. XV, 23 (ex Athenæo) : Λέγει δὲ Ἀπολλώνιος ὁ Ῥόδιος ἢ Ναυκρατίτης, ὅτι καὶ ἄνθρωπός ποτε οὗτος (ὁ πομπίλος) ἦν, καὶ ἐπόρθμευεν· ὁ δὲ Ἀπόλλων ἠράσθη κόρης, καὶ ἐπειρᾶτο αὐτῇ ὁμιλῆσαι· ἡ δὲ ἀποδιδράσκουσα ἦλθεν εἰς Μίλητον καὶ ἐδεήθη Πομπίλου τινὸς θαλαττουργοῦ, ἵνα αὐτὴν διαγάγῃ τὸν πορθμόν· ὁ δὲ ὑπήκουσεν· ἐπιφανεὶς δὲ ὁ Ἀπόλλων τὴν μὲν κόρην ἁρπάζει, τὴν δὲ ναῦν λίθον ἐργάζεται, τὸν δὲ Πομπίλον εἰς τὸν ἰχθὺν τοῦτον μετέβαλεν.

Ῥόδου κτίσις. Steph. Byz. v. Δώτιον : Ἀπολλώνιος ὁ Ῥόδιος ἐν Ῥόδου κτίσει·

Ὅσσα τε γαίης
ἔργα τε Δωτιάδος πρότεροι κάμον Ἀσμονίῆες.

Cf. Müller. *Min.* p. 192.

Schol. Pind. Ol. VII, 86 : Καὶ Ἀπολλώνιος ὁ ποιητής φησιν ἄπυρα τοὺς Ῥοδίους ἱερὰ θύειν διὰ τὴν πρὸς Ἥφαιστον ἕνεκα τῶν γάμων ἔχθραν, ὅτι ἐπεδίωξε τὴν Ἀθηνᾶν βουλόμενος συμμιγῆναι.

Κνίδου κτίσις. Steph. Byz. : Ψυκτήριος, τόπος ἐν Θράκῃ, ἀπὸ Ἡρακλέους ἀναψύξαντος τὸν ἱδρῶτα ἐν τῷ καταπαλαῖσαι τὸν Ἀδραμύλην, καθώς φησιν Ἀπολλώνιος ἐν Κνίδης (sic) κτίσει.

Καύνου κτίσις. Parthenius Erot. c. 1 : Περὶ Λύρκου. Ἡ ἱστορία παρὰ Νικαινέτῳ ἐν τῷ Λύρκῳ καὶ Ἀπολλωνίῳ Ῥοδίῳ Καύνῳ. — Ἁρπασθείσης Ἰοῦς τῆς Ἀργείας ὑπὸ λῃστῶν ὁ πατὴρ αὐτῆς Ἴναχος μαστῆράς τε καὶ ἐρευνητὰς ἄλλους καθῆκεν, ἐν δὲ αὐτοῖς Λύρκον τὸν Φορωνέως, ὃς μάλα πολλὴν γῆν ἐπιδραμὼν καὶ πολλὴν θάλασσαν περαιωθεὶς τέλος, ὡς οὐχ εὕρισκεν, ἀπεῖπε τῷ καμάτῳ· καὶ εἰς μὲν Ἄργος δεδοικὼς τὸν Ἴναχον οὐ μάλα τι κατῄει, ἀφικόμενος δὲ εἰς Καῦνον πρὸς Αἰβίαλον (Αἰγίαλον Heyn.) γαμεῖ αὐτοῦ τὴν θυγατέρα Εἰλεβίην. Ἔρασαν γὰρ τὴν κόρην ἰδοῦσαν τὸν Λύρκον εἰς ἔρωτα ἐλθεῖν καὶ πολλὰ τοῦ πατρὸς δεηθῆναι κατασχεῖν αὐτόν· ὁ δὲ τῆς τε βασιλείας μοῖραν οὐκ ἐλαχίστην ἀποδασάμενος καὶ τῶν λοιπῶν ὑπαργμάτων γαμβρὸν εἶχεν. Χρόνου δὲ πολλοῦ προϊόντος, ὡς τῷ Λύρκῳ παῖδες οὐκ ἐγίνοντο, ἦλθεν εἰς Διδυμέως, χρησόμενος περὶ γονῆς τέκνων, καὶ αὐτῷ θεσπίζει ὁ θεός, παῖδας φύσειν ᾗ ἂν ἐκ τοῦ ναοῦ χωρισθεὶς

πρώτη συγγένηται. Ὁ δὲ μάλα γεγηθὼς ἠπείγετο πρὸς τὴν γυναῖκα, πειθόμενος κατὰ νοῦν ἂν αὐτῷ χωρήσειν τὸ μαντεῖον. Ἐπεὶ δὲ πλέων ἀφίκετο ἐς Βύβαστον πρὸς Στάφυλον τὸν Διονύσου, μάλα φιλοφρόνως ἐκεῖνος αὐτὸν ὑποδεχόμενος εἰς πολὺν οἶνον προετρέψατο, καὶ ἐπειδὴ πολλῇ μέθῃ παρεῖτο, συγκατέκλινεν αὐτῷ Ἡμιθέαν τὴν θυγατέρα. Ταῦτα δὲ ἐποίει προπεπυσμένος τὸ τοῦ χρηστηρίου καὶ βουλόμενος ἐκ ταύτης αὐτῷ παῖδας γενέσθαι. Δι' ἔριδος μέντοι ἐγένοντο Ῥοιώ τε καὶ Ἡμιθέα αἱ τοῦ Σταφύλου, τίς αὐτῶν μιχθείη τῷ ξένῳ· τοσοῦτος ἀμφοτέρας κατέσχε πόθος. Λύρκος δὲ ἐπιγνοὺς τῇ ὑστεραίᾳ οἷα ἐδεδράκει, καὶ τὴν Ἡμιθέαν ὁρῶν συγκατακεκλιμένην, ἐδυσφόρει τε καὶ πολλὰ κατεμέμφετο τὸν Στάφυλον ὡς ἀπατεῶνα γενόμενον αὐτοῦ· ὕστερον δὲ μηδὲν ἔχων ὅ τι ποιῇ, περιελόμενος τὴν ζώνην δίδωσι τῇ κόρῃ, κελεύων ἡβήσαντι τῷ παιδὶ φυλάττειν, ὅπως ἔχῃ γνώρισμα, ὁπότ' ἂν ἀφίκοιτο πρὸς τὸν πατέρα αὐτοῦ εἰς Καῦνον, καὶ ἐξέπλευσεν. Αἰγιαλὸς δὲ ὡς ᾔσθετο τά τε κατὰ τὸ χρηστήριον καὶ τὴν Ἡμιθέαν, ἤλαυνε τῆς γῆς αὐτόν. Ἔνθα δὴ μάχη συνεχὴς ἦν τοῖς τε τὸν Λύρκον προσιεμένοις καὶ τοῖς τὰ Αἰγιαλοῦ φρονοῦσι· μάλιστα δὲ συνεργὸς ἐγίνετο Εἰλεβίη· οὐ γὰρ ἀπεῖπεν τὸν Λύρκον. Μετὰ δὲ ταῦτα ἀνδρωθεὶς ὁ ἐξ Ἡμιθέας καὶ Λύρκου (Βασίλος αὐτῷ ὄνομα) ἦλθεν εἰς τὴν Καυνίαν, καὶ αὐτὸν γνωρίσας ὁ Λύρκος ἤδη γηραιὸς ὢν ἡγεμόνα καθίστησι τῶν σφετέρων λαῶν.

Idem ibid. c. 11. Vide Aristocriti fragm. 2.

[Λέσβου κτίσις] Parthenius Erot. c. 21 : Περὶ Πεισιδίκης. Λέγεται δὲ καὶ ὅτε Ἀχιλλεὺς πλέων τὰς προσεχεῖς τῇ ἠπείρῳ νήσους ἐπόρθει, προσσχεῖν αὐτὸν Λέσβῳ· ἔνθα δὴ καθ' ἑκάστην τῶν πόλεων αὐτὸν ἐπιόντα κεραΐζειν. Ὡς δὲ οἱ Μήθυμναν οἰκοῦντες μάλα κρατερῶς ἀντεῖχον, καὶ ἐν πολλῇ ἀμηχανίᾳ ἦν διὰ τὸ μὴ δύνασθαι ἑλεῖν τὴν πόλιν, Πεισιδίκην τινὰ Μηθυμναίαν, τοῦ βασιλέως θυγατέρα, θεασαμένην ἀπὸ τοῦ τείχους τὸν Ἀχιλλέα ἐρασθῆναι αὐτοῦ, καὶ οὕτως τὴν τροφὸν διαπεμψαμένην ὑπισχνεῖσθαι ἐγχειρίσειν αὐτῷ τὴν πόλιν, εἴ γε μέλλοι αὐτὴν γυναῖκα ἕξειν. Ὁ δὲ τὸ μὲν παραυτίκα καθωμολογήσατο· ἐπεὶ μέντοι ἐγκρατὴς πόλεως ἐγένετο, νεμεσήσας ἐπὶ τῷ δρασθέντι προὐτρέψατο τοὺς στρατιώτας καταλεῦσαι τὴν κόρην. Μέμνηται τοῦ πάθους τοῦδε καὶ ὁ τὴν Λέσβου κτίσιν ποιήσας (Apollonius, haud dubie) ἐν τοῖσδε·

> Ἔνθάδε Πηλείδης κατὰ μὲν κτάνε Λάμπετον ἥρω,
> ἐκ δ' Ἱκετάονα πέφνεν, ἰθαγενέος Λεπετύμνου
> υἱέα Μηθύμνης τε καὶ ἀλκηέστατον ἄλλων,
> αὐτοκασίγνητον Ἑλικάονος, ἔνδοθι πάτρης
> τηλίκον ὑψιπύλου· θαλερὴ δέ μιν ἄασε Κύπρις.
> Ἡ γὰρ ἐπ' Αἰακίδῃ κούρη φρένας ἐπτοίησε
> Πεισιδίκη, ὅτε τόν γε μετὰ προμάχοισιν Ἀχαιῶν
> χάρμῃ ἀγαλλόμενον θηέσκετο, πολλὰ δ' ἐς ὑγρὴν
> ἠέρα χεῖρας ἔτεινεν ἐελδομένη φιλότητος.

Εἶτα μικρὸν ὑποβάς·

> Δέκτο μὲν αὐτίκα λαὸν Ἀχαιϊκὸν ἔνδοθι πάτρης
> παρθενική, κληῖδας ὑποχλίσσασα πυλάων,
> ἔτλη δ' οἷσιν ἰδέσθαι ἐν ὀφθαλμοῖσι τοκῆας
> χαλκῷ ἐληλαμένους καὶ δούλια δεσμὰ γυναικῶν
> ἑλκομένων ἐπὶ νῆας ὑποσχεσίῃς Ἀχιλῆος,
> ὄφρα νυὸς γλαυκῆς Θέτιδος πέλοι, ὄφρα οἱ εἶεν
> πενθεροὶ Αἰακίδαι, Φθίῃ δ' ἐν δώματα ναίοι
> ἀνδρὸς ἀριστῆος πινυτὴ δάμαρ· οὐδ' ὅγ' ἔμελλε
> τὰ ῥέξειν, ὀλοῷ δ' ἐπαγάσσατο πατρίδος οἴτῳ·
> ἔνθ' ἥ γ' αἰνότατον γάμον εἴσιδε Πηλείδαο
> Ἀργείων ὑπὸ χερσὶ δυσάμμορος, οἵ μιν ἔπεφνον
> πανσυδίῃ θαμινῇσιν ἀράσσοντες λιθάδεσσιν.

Probabile est Canopi quoque origines argumentum fuisse carminis choliambis conscripti, quod duobus locis laudat Steph. Byz. v. Κόρινθος et χώρα.

Apollonii nescio cujus Ὑπομνήματα, haud liquet cujusnam generis, laudantur in schol. Apoll. Rhod. I, 430 : Ἀπολλώνιός φησιν ἐν πρώτῳ τῶν Ὑπομνημάτων τὸν σίδηρον ὑπὸ τῶν ἀρχαίων χαλκὸν λέγεσθαι· ἀγνοῶν ὅτι μηδέπω εὑρεθέντος σιδήρου, χαλκῷ ἐχρῶντο, ὡς καὶ Ἡσίοδός φησι.

APOLLOTHEMIS.

Plutarch. Lyc. c. 31 : Τελευτῆσαι δὲ τὸν Λυκοῦργον οἱ μὲν ἐν Κίρρᾳ λέγουσιν· Ἀπολλόθεμις δὲ, εἰς Ἦλιν κομισθέντα· Τιμαῖος δὲ καὶ Ἀριστόξενος ἐν Κρήτῃ καταβιώσαντα. Scriptor aliunde non notus.

ARCHEMACHUS EUBOEUS.

ΕΥΒΟΙΚΑ.

E LIBRO TERTIO.

1.

Athenæus VI, p. 264, A : Ἀρχέμαχος δ' ἐν τῇ τρίτῃ Εὐβοϊκῶν « Βοιωτῶν (φησὶ) τῶν τὴν Ἀρναίαν κατοικισάντων οἱ μὴ ἀπάραντες εἰς τὴν Βοιωτίαν, ἀλλ'

Mortuum esse Lycurgum alii Cirrhæ tradunt, Apollothemis Elide, quo tum se contulisset, Timæus et Aristoxenus in Creta vitam cum morte commutasse asserunt.

DE REBUS EUBŒÆ.

1.

Archemachus Rerum Euboicarum libro tertio scribit : « Ex Bœotis qui Arnæam condiderant, hi qui in Bœotiam

ἐμφιλοχωρήσαντες παρέδωκαν ἑαυτοὺς τοῖς Θετταλοῖς δουλεύειν καθ' ὁμολογίας, ἐφ' ᾧ οὔτε ἐξάξουσιν αὐτοὺς ἐκ τῆς χώρας, οὔτε ἀποκτενοῦσιν· αὐτοὶ δὲ, τὴν χώραν αὐτοῖς ἐργαζόμενοι, τὰς συντάξεις ἀποδώσουσιν. Οὗτοι οὖν, οἱ κατὰ τὰς ὁμολογίας καταμείναντες καὶ παραδόντες ἑαυτοὺς, ἐκλήθησαν τότε μὲν μενέσται, νῦν δὲ πενέσται. Καὶ πολλοὶ τῶν κυρίων ἑαυτῶν εἰσιν εὐπορώτεροι. » Cf. Müller. *Dor.* II, p. 66 sq., *Min.* p. 378.

2.

Clemens Alex. Strom. I, 21, p. 141, 21 Sylb.: Εὐθυμένης δὲ ἐν τοῖς Χρονικοῖς συνακμάσαντα (Ὅμηρον) Ἡσιόδῳ ἐπὶ Ἀκάστου ἐν Χίῳ γενέσθαι περὶ τὸ διακοσιοστὸν ἔτος ὕστερον τῆς Ἰλίου ἁλώσεως (φησί). Ταύτης δὲ ἐστι τῆς δόξης καὶ Ἀρχέμαχος ἐν Εὐβοϊκῶν τρίτῳ.

3.

Harpocratio: Κοτύλαιον ὄρος· Αἰσχίνης ἐν τῷ Κατὰ Κτησιφῶντος. Ἔοικε τὸ ὄρος τῆς Εὐβοίας εἶναι· Ἀρχέμαχος γοῦν ἐν γ' Εὐβοϊκῶν φησί· « Κότυλος μὲν οὖν φαίνεται κατασχεῖν τὸ νῦν ἀπ' ἐκείνου Κοτύλαιον καλούμενον. »

Apud Stephan. Byz. legitur: Κοτύλαιον, ὄρος Εὐβοίας, ἀνακείμενον Ἀρτέμιδι, ὡς Ἀντίμαχος ἐν Ἀρτέμιδος β'. Pro his Ἀρχέμαχος ἐν Εὐβοϊκῶν β' vel γ' emend. Dübner. ad fr. Antimachi p. 51 et Dindorf. in Steph. Thes. v. Κοτύλαιον. Fortasse fuit: Ἀρχέμαχος ἐν [γ' καὶ] Ἀρμενίδας β'.

E LIBRO QUARTO.

4.

Harpocratio: Ἁλόννησος, νησύδριον ἐν τῷ Αἰγαίῳ πελάγει. Αἰσχίνης ἐν τῷ Κατὰ Κτησιφῶντος, ὡς καὶ Ἀρχίλαος (lege Ἀρχέμαχος) ἐν δ' Εὐβοϊκῶν. Μνημονεύει δὲ τῆς ἀμφισβητήσεως τῆς Περὶ Ἁλοννήσου καὶ Θεόπομπος ἐν δ' καὶ Ἀναξιμένης ἐν δ' Φιλιππικῶν.

5.

E LIBRO INCERTO.

Plinius H. N. VII, sect. 57: *Longa nave primum navigasse... Archemachus* (dicit) *Ægæonem.*

ΜΕΤΩΝΥΜΙΑΙ.

6.

Schol. Apoll. Rhod. IV, 262: Πάντων ἀρχαιοτάτους εἶναι Αἰγυπτίους (cum aliis multis dicit) Ἀρχέμαχος ἐν ταῖς Μετωνυμίαις.

7.

Plutarch. De Is. et Os. c. 27, p. 361, F: Οὐ γὰρ ἄλλον εἶναι Σάραπιν ἢ τὸν Πλούτωνά φασι, καὶ Ἶσιν τὴν Περσέφασσαν, ὡς Ἀρχέμαχος εἴρηκεν ὁ Εὐβοεὺς, καὶ ὁ Ποντικὸς Ἡρακλείδης, τὸ χρηστήριον ἐν Κανώβῳ Πλούτωνος ἡγούμενος εἶναι.

8.

Strabo X, p. 465: Ἀρχέμαχος δ' ὁ Εὐβοεύς φησι τοὺς Κουρῆτας ἐν Χαλκίδι συνοικῆσαι· συνεχῶς δὲ περὶ τοῦ Ληλάντου πεδίου πολεμοῦντας, ἐπειδὴ οἱ πολέμιοι τῆς κόμης ἐδράττοντο τῆς ἔμπροσθεν, καὶ αὐτοὺς κατέσπων, ὄπισθεν κομῶντας γενέσθαι, τὰ δ' ἔμπροσθεν κείρεσθαι· διὸ καὶ Κουρῆτας ἀπὸ τῆς κουρᾶς κληθῆναι· μετοικῆσαι δ' εἰς τὴν Αἰτωλίαν, καὶ κατασχόντας τὰ περὶ Πλευρῶνα χωρία· τοὺς δὲ πέραν οἰκοῦντας τοῦ

---

non redierunt, sed quibus placuit in illa regione manere, tradiderunt se Thessalis, quibus servirent his conditionibus, ut jus non esset dominis ipsos vel interficiendi vel in aliam terram deportandi; ipsi vero agros eorum colentes, annuum illis censum penderent. Hi igitur, his conditionibus manentes seque tradentes, *menestæ* tunc (a *manendo*) nominati sunt, nunc vero *penestæ* appellantur. Suntque eorum multi dominis suis ditiores. »

2.

Euthymenes in Chronicis Homerum Hesiodi æqualem sub Acasto archonte in Chio fuisse circa ducentesimum annum post Trojæ excidium tradit. Eadem est sententia Archemachi in libro tertio De rebus Eubœæ.

3.

Cotylæus mons, cujus Æschines in oratione Contra Ctesiphontem meminit, in Eubœa esse videtur. Archemachus certe in tertio Rerum Euboicarum dicit: « Cotylus igitur apparet obtinuisse montem, quem nunc de nomine ejus Cotylæum dicunt. »

4.

Halonnesus, parva insula maris Ægæi. Æschines in oratione Contra Ctesiphontem, sicuti etiam Archemachus in quarto Euboicarum. Meminit vero controversiæ de Halonneso etiam Theopompus quarto et Anaximenes quarto Philippicorum.

NOMINUM MUTATIONES.

5.

Omnium antiquissimos esse Ægyptios Archemachus quoque De nominum mutationibus dicit.

7.

Sarapin non alium esse aiunt quam Plutonem, neque Isidem a Proserpina differre, ut Archemachus quoque Eubœensis docuit et Heraclides Ponticus, qui oraculum Canopicum Plutonis esse judicat.

8.

Archemachus Eubœensis Curetas ait Chalcidem incoluisse, cumque continentes de Lelanto campo dimicarent, anterioreque eos coma hostes apprehenderent et prosternerent, comam alere in occipite, radere sinciput instituisse: atque adeo Curetas a κουρᾷ, quæ est tonsura, dictos: mi-

Ἀχελώου, διὰ τὸ ἀκούρους φυλάττειν τὰς κεφαλὰς, Ἀκαρνᾶνας καλεῖσθαι.

Tangere hæc in Euboicis quoque potuit. Ex Strabone eadem affert schol. ad Il. ι', 529. Cf. schol. Homeri in Cram. Anecd. Paris. III, p. 376, ubi pro Ἀρχέμαχος legitur ἀγχέμαχος.

9.

Schol. Pind. Pyth. III, 120: Τὸ Ἰόνιον πέλαγος τὸ περὶ Σικελίαν τὸ ὄνομα ἔλαβεν, ὡς μὲν ἔνιοι, ἀπὸ Ἰοῦς· Θεόπομπος δὲ ἀπὸ Ἰονίου ἀνδρὸς Ἰλλυριοῦ, Ἀρχέμαχος δὲ ἀπὸ τῶν ἀπολλυμένων ἐν αὐτῷ Ἰαόνων (Ἰώνων, οἵ εἰσιν Ἀθηναῖοι sch. Dion.). — Ἀρχέμαχος Bœckius dedit e cod. Gœtting.; in reliquis Ἀρχίδαμος. Eadem leguntur apud schol. ad Dionys. Perieg. 94.

ARETADES CNIDIUS.

ΜΑΚΕΔΟΝΙΚΑ.

E LIBRO TERTIO.

Plutarch. Par. m. c. 11, p. 308, C: Δαρεῖος ὁ Πέρσης, ἐπὶ Γρανικῷ πολεμήσας Ἀλεξάνδρῳ, καὶ ἑπτὰ σατράπας ἀποβαλὼν, καὶ ἅρματα δρεπανηφόρα δύο καὶ πεντακόσια, συμβαλεῖν ἔμελλε τῇ ἑξῆς. Ἀριοβαρζάνης δὲ ὁ υἱὸς, συμπαθῶς διακείμενος πρὸς Ἀλέξανδρον, ὑπισχνεῖτο τὸν πατέρα προδώσειν. Ἀγανακτήσας δὲ ὁ πατὴρ ἐτραχηλοκόπησεν· ὡς Ἀρητάδης Κνίδιος ἐν τρίτῳ Μακεδονικῶν.

ΦΡΥΓΙΑΚΑ.

2.

Idem De fluv. c. 12, 2, de Sagari fluvio: Γεννᾶται δ' ἐν αὐτῷ λίθος, αὐτόγλυφος καλούμενος· εὑρίσκεται γὰρ τετυπωμένην ἔχων τὴν μητέρα τῶν θεῶν. Τοῦτον τὸν λίθον ἐὰν εὕρῃ τις, σπανίως εὑρισκόμενον, τῶν ὑποτεμνομένων οὐ ξενίζεται, ἀλλ' εὐψύχως φέρει τῆς παρὰ φύσιν πράξεως τὴν ὄψιν· καθὼς ἱστορεῖ Ἀρετάζης (sic) ἐν τοῖς Φρυγιακοῖς.

ΝΗΣΙΩΤΙΚΑ.

E LIBRO SECUNDO.

3.

Idem Par. m. c. 27, p. 312 C: Τελαμὼν ὁ Αἰακοῦ καὶ Ἐνδηΐδος, ἐλθὼν εἰς Εὔβοιαν *** νυκτὸς ἔφυγεν. Ὁ δὲ πατὴρ αἰσθόμενος καί τῶν πολιτῶν τινα ὑποπτεύσας, ἔδωκε τὴν κόρην καταποντωθῆναί τινι τῶν δορυφόρων. Ὁ δ' ἐλεήσας ἀπημπόλησε· προσσχούσης δὲ τῆς νεὼς Σαλαμῖνι, Τελαμὼν ὠνήσατο· ἡ δ' ἔτεκεν Αἴαντα· ὡς Ἀρητάδης Κνίδιος ἐν δευτέρῳ Νησιωτικῶν.

Aretades, nescio qui, Περὶ συμπτώσεως, de fortuita scriptorum idem tradentium convenientia, laudatur a Porphyrio apud Euseb. P. E. p. 466. Quod quidem argumentum nescio an conferri possit cum eo quod Plutarchus in Parallelis minoribus tractat. Porro ap. schol. Homer. Il. ω, 110, leguntur hæc: προϊάπτω] Ἀπολλόδωρος καὶ Ἀρητάδης καὶ Νεοτέλης καὶ Διονύσιος ὁ Θρᾷξ διὰ τοῦ τ τὴν πρόθεσιν γράφουσι, καὶ δασύνουσι τὸ α, ἵνα ᾖ προσάπτω, ἀνατίθημι. Idem nomen fortasse restituendum apud schol. Odyss. γ, 344: γλώσσας δ' ἐν πυρὶ βάλλον] Ἐζήτησαν διὰ τί τοῖς θεοῖς ἀπένεμον τὰς γλώσσας. Οἱ μὲν ἐνόμισαν, ὧν ἐστι Λεάνδρου ἢ Ἀρκτιάδης (Λέανδρος καὶ Ἀρητάδης?) κατὰ πατρῶον ἔθος Ἰώνων· ἔστι γὰρ πάτριον ἔθος Ἰώνων.

---

grasse autem in Ætoliam et loca circa Pleuronem obtinuisse. Eos autem qui trans Acheloum habitabant, quum caput non tonderent, Acarnanas dictos fuisse.

9.

Ionium mare prope Siciliam nomen habet secundum nonnullos ab Ione, sec. Theopompum ab Ionio Illyrio viro, sec. Archemachum ab Ionibus qui in eo perierint.

DE REBUS MACEDONICIS.

1.

Darius Persa prœlio congressus cum Alexandro ad Granicum, amissis septem satrapis ac falcatis curribus quingentis et duo, postridie instaurare pugnam volebat. Ariobarzanes autem filius ejus, ut qui Alexandro faveret, promisit se patrem ipsi proditurum. Pater autem indignitate rei commotus, filio cervices præcidit. Aretades Cnidius tertio Rerum Macedonicarum.

DE REBUS PHRYGIIS.

2.

Nascitur in Sagari fluvio lapis nomine *autoglyphus* (id est, sponte sculptus); invenitur enim cum expressa matris deorum effigie: quem si quis invenerit (raro autem invenitur), ab iis qui castrantur non abhorret, sed intrepido vultu fert rem quæ præter naturam fit. Narrat hoc Aretades in Phrygicis.

DE INSULIS.

3.

Telamon Æaci et Endeidis filius in Eubœam quum venisset, [Peribœam Alcathoi filiam vitiavit] noctuque fugit. Pater sentiens hoc, et factum ab aliquo civium suspicatus, filiam cuidam satellitum in mare abjiciendam mandavit: qui motus miseratione, eam vendidit; quumque mulier esset ad insulam Salaminam navi advecta, Telamon eam emit; peperit autem Ajacem. Historiam narrat Aretades Cnidius libro De insulis secundo.

ARETES DYRRACHINUS.

Censorin. De die nat. c. 18, 11 : *Est præterea annus, quem Aristoteles maximum potius quam magnum appellat, quem solis et lunæ vagarumque stellarum orbes conficiunt, quum ad idem signum, ubi quondam fuerunt una referuntur; cujus anni hiemps summa est cataclysmos, quam nostri diluvionem vocant, æstas autem ecpyrosis, quod est mundi incendium : nam his alternis temporibus mundus tum exignescere tum exaquescere videtur. Hunc Aristarchus putavit annorum vertentium II CCCCLXXXIIII, Aretes Dyrrachinus VDLII, Heraclitus et Linus XDCCC, Dion XDCCCLXXXIIII. Orpheus CXX, Cassandrus tricies sexies centum millium, alii vero infinitum esse nec unquam in se reverti existimarunt.* Dion forte Neapolitanus mathematicus est cujus meminit Varro ap. Aug. C. D. XXI, 8 (v. Castoris fr.). De Lino v. Welck. *Klein. Schft.* I, p. 45.

Censorinus ibid. c. 21, 3 : *Timæus CCCCXVII, Aretes DXIIII* (sc. *annos numerant a bello Troiano usque ad Olympiadem primam*). Codd. h. l. *Eretes* et *Erethes*, « unde Carrio reposuit *Aretes*, uti est c. 18, 11. *Oræthes* conj. Manutius. Fortasse legendum *Crates*. Hunc in disputationibus Homericis de hac re egisse verisimile est. » *Otto Jahn*. Ceterum num historicus fuerit Arethes, nescio.

ARCHINUS

ΘΕΣΣΑΛΙΚΑ.

1.

Schol. Pind. Pyth. III, 59 : Ἡ δὲ Βοιβιὰς (λίμνη παρακειμένη τῇ Λακερείᾳ) καὶ Νεσωνὶς ἐλέγετο, ὥσπερ Ἀρχῖνος ἐν Θεσσαλικοῖς. Βοιβιὰς δὲ ἐλέγετο ἀπὸ μιᾶς τῶν νυμφῶν Βοιβηΐδος.

« Ante vocem Νεσωνὶς cum cod. Gott. delevi verba Κορωνὶς ἢ κατ' ἐνίους, ex varia lectione haud dubie orta. De Nesonide palude, quam alii rectius distinguunt a Bœbeide, cf. Suidas v. Νέσσων, Strabo IX, p. 296, 304, 305; Eustath. ad Iliad. β, 711, et correcta a Berkelio schol. ad Eur. Alcest. 590. » *Bœckh.*

2.

Stephan. Byz. : Δώτιον, πόλις Θεσσαλίας... ἐκλήθη δὲ ἀπὸ Δωτίας τῆς Ἐλάτου,... ὡς δὲ Ἀρχῖνος (vgo Ἀρχῆνος) ἀπὸ Δώτου τοῦ Νεώνου τοῦ Ἕλληνος. Cf. Pherecydes fr. 8 et Mnaseæ fr. 21.

De Archino Atheniensi v. quæ laudat Westermann. in *Gesch. der gr. Bereds.* § 45, 2-6. Locis ibi citatis adde Philopon. in Aristot. Metaph. p. 67; Syrian. in Metaphys. p. 120 b.

ARCHITIMUS.

ΑΡΚΑΔΙΚΑ.

Plutarch. Qu. Gr. c. 39, p. 300, B : « Διὰ τί τοὺς εἰς τὸ Λύκαιον εἰσελθόντας ἑκουσίως, καταλεύουσιν οἱ Ἀρκάδες· ἂν δ' ὑπ' ἀγνοίας, εἰς Ἐλευθέρας ἀποστέλλουσι; » Πότερον ὡς ἐλευθερουμένων αὐτῶν διὰ τὴν ἀπόλυσιν, ἔσχεν ὁ λόγος πίστιν, καὶ τοιοῦτόν ἐστι τὸ εἰς Ἐλευθέρας, οἷον τὸ, εἰς Ἀμελοῦς χώραν, καὶ τὸ, ἥξεις εἰς ἀρέσαντος ἕδος; ἢ κατὰ τὸν μῦθον, ἐπεὶ μόνοι τῶν Λυκάονος παίδων Ἐλευθὴρ καὶ Λεβάδος οὐ μετέσχον τοῦ περὶ τὸν Δία μιάσματος, ἀλλ' εἰς Βοιωτίαν ἔφυγον, καὶ Λεβαδεῦσίν ἐστιν ἰσοπολιτεία πρὸς Ἀρκάδας. Εἰς Ἐλευθέρας οὖν ἀποπέμπουσι τοὺς ἐν τῷ ἀβάτῳ τοῦ Διὸς ἀκουσίως γενομένους. Ἢ ὡς Ἀρχίτιμος ἐν τοῖς Ἀρκαδικοῖς, ἐμβάντας τινὰς κατὰ ἄγνοιαν ὑπὸ Ἀρκάδων φησὶ παραδοθῆναι Φλιασίοις, ὑπὸ δὲ Φλιασίων Μεγαρεῦσιν, ἐκ δὲ Μεγαρέων εἰς Θήβας κομιζομένους περὶ τὰς Ἐλευθέρας ὕδατι καὶ βρονταῖς καὶ διοσημείαις ἄλλαις κατασχεθῆναι· ἀφ' οὗ δὴ καὶ τὸν τόπον Ἐλευθέρας ἔνιοί φασι προσαγορεύεσθαι.

THESSALICA.

1.

Bœbias lacus etiam Nesonis vocabatur, ut Archinus in Thessalicis ait. Bœbias autem appellabatur a Bœbeide nympha.

2.

Dotium, urbs Thessaliæ, nomen habet a Dotio Elati filio, vel, ut Archinus dicit, a Doto Neoni filio, Hellenis nepote.

ARCADICA.

Cur qui sponte sua in Lycæum intrant, lapidibus obruuntur ab Arcadibus; qui per imprudentiam, Eleutheras deportantur? — An quasi liberatis hoc modo hisce, sermoni fides paratur? ut similis sit locutio *Ad Eleutheras*, qualis est *In regionem Amelus* et *Ad sedem venies Aresantis.* Aut fabulam sequi præstat? quoniam soli de Lycaonis filiis Eleuther et Lebadus facinoris, quod in Jovem molitus erat pater, insontes fuerunt et in Bœotiam fugerunt : unde et Lebadensibus jus civitatis cum Arcadibus intercedit; ergo Eleutheras relegant, qui in Jovis sacro inaccesso loco imprudentes rei fuerunt. Architimus in Arcadicis scribit quosdam qui Lycæum intrassent per ignorantiam, ab Arcadibus traditos fuisse Phliasiis, ab his Megarensibus : inde quum Thebas mitterentur, apud Eleutheras fuisse imbre, tonitrubus aliisque cœlestibus denuntiationibus detentos : atque inde etiam loco nomen Eleutheras factum nonnulli affirmare.

Archetimus quidam Syracusanus memoratur Diogeni L. I, 40 : Ἀρχέτιμος ὁ Συρακούσιος ὁμιλίαν αὐτῶν (septem sapientium) γέγραφε παρὰ Κυψέλῳ, ᾗ καὶ αὐτός φησι περιτυχεῖν.

ARIÆTHUS TEGEATA.

ΑΡΚΑΔΙΚΑ.

1.

Hygin. Poet. astr. II, 1. Arctos minor : *Ariæthus Tegeates, historiarum scriptor, non Callisto, sed Megisto dicit appellatam, et non Lycaonis, sed Cetes filiam, Lycaonis neptem. Præterea Cetea ipsum Engonasin nominari. Reliqua vero superioribus conveniunt. Quæ res in Nonacri monte Arcadiæ gesta narratur.* Eadem iterum tangit II, 6.

2.

Schol. Venet. Iliad. δ', 319 : Πύλιοι καὶ Ἀρκάδες περὶ γῆς ὅρων ἐπολέμουν περὶ τὸ καλούμενον Ἀγκαῖον (Λύκαιον?) ὄρος. Νέστωρ δὲ μονομαχήσας ἐκ προκλήσεως Ἐρευθαλίωνα τὸν Ἱππομέδοντος ἤ, ὥς ἔνιοι, Ἀφείδαντος ἀνεῖλε, καὶ ὑπὸ χαρᾶς τὸ περιορισθὲν χωρίον παρεξῆλθεν, οἱ δὲ Ἀρκάδες, ἔτι σκαρίζοντος τοῦ Ἐρευθαλίωνος, ἐφορμήσαντες τοῖς Πυλίοις συνέβαλον, καὶ οὕτως ἐνίκησαν. Θάψαντες δὲ τὸν Ἐρευθαλίωνα καὶ τοὺς φίλους ἐπέγραψαν τῷ τάφῳ τόδε τὸ ἐπίγραμμα·

Ἐνθάδ' Ἐρευθαλίωνι φίλοις τ' ἐπὶ τύμβον ἔθηκαν
Ἀρκαδίης βασιλῆς, γένος ἔξοχον Ἱππομέδοντος (Ἱπποδάμαντος cod. Lips.),
οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο.

Ἱστορεῖ Ἀρίαιθος (Ἀρίηθος Cramer. in Anecd. Paris. III, p. 202). Schol. Victor. l. l. sic habet : Πύλιοι μὲν οὖν πρὸς Ἀρκάδας ἐπολέμουν περὶ ὅρων γῆς. Γίνεται δ' αὐτοῖς συμβολὴ περὶ τὸν Ἀκίδαντα ποταμόν (Φειᾶς πὰρ τείχεσσιν, Ἰαρδάνου ἀμφὶ ῥέεθρα, Hom. Il. η', 135). Ἐρευθαλίωνος δὲ τοῦ Ξανθίππου προτρεπομένου τὸν βουλόμενον, Νέστωρ ἀντιστὰς ἐνίκησεν. Ὑπὸ δὲ τῆς ἡδονῆς ἁλλόμενος ἐκπεπήδηκε τοῦ περιορισθέντος χωρίου· ὅθεν Ἀρκάδες Ἐρευθαλίωνα μᾶλλον ἔφασαν νικῆσαι τὸν μὴ ἐξελθόντα τοῦ τόπου, καὶ συμβαλόντες ἐκ δευτέρου, εἶτα κοινῇ περιγράψαντες τοὺς χώρους, ἔθαψαν Ἐρευθαλίωνα, καὶ τῷ σήματι ἐπέγραψαν· »

Ἐνθάδ' Ἐρευθαλίωνα φίλοι περὶ τύμβον ἔθηκαν,
Ἀρκαδίης βασιλῆ, γένος ἔξοχον Ἀμφιδάμαντος,
οἵ ποτε Νέστορα καὶ λαοὺς πολέμῳ δαμάσαντο.

Ἱστορεῖ Ἀρίαιθος. Cf. Il. η, 132 sqq.

3.

Dionysius Hal. A. R. I, 49, p. 123 R. Æneas secundum Cephalonem et Hegesippum Troja venit in Thraciam ibique moritur. Ἕτεροι δὲ ἐκ Θρᾴκης ἀναστήσαντες αὐτὸν ἕως Ἀρκαδίας παρακομίζουσιν. Οἰκῆσαι δὲ λέγουσιν ἐν Ὀρχομενῷ τε τῷ Ἀρκαδικῷ καὶ τῇ Νήσῳ λεγομένῃ καίπερ οὔσῃ μεσόχθονι, ὑπὸ τελμάτων καὶ ποταμοῦ· τὰς δὲ καλουμένας Καπύας Αἰνείου τε καὶ Τρώων ἀπόκτισιν εἶναι, Καπύας ὀνομασθείσας ἀπὸ τοῦ Τρωικοῦ· Κάπυος. Λέγεται δὲ ταῦτα ἄλλοις τε καὶ Ἀριαίθῳ (sic cod. Vat., Ἀρίσθῳ rell.) γράψαντι τὰ Ἀρκαδικά. Cf. quæ sequuntur ex Agathyllo poeta Arcadico.

Καπυάς] « Καφύας seu Καφυὰς Dionysium scripsisse opinor; ut sensus sit Arcadiæ oppidum, quod posterioribus sæculis Καφυὰς nominarunt, a primis conditoribus, Ænea et Trojanis, dictum fuisse Καπυὰς, voce a Capy Trojano deflexa. Nisi forte Arcadico et Dorico more id oppidum Καφύαι dicitur; Ionico autem et communi Καπύαι. V. Strabo III, p. 704. Steph. B. v. Καφύαι. » Sylburg. Ceterum cf. Klausen. *Æneas* tom. I, p. 366.

ARCADICA.

2.

Pylii et Arcades de ditionis finibus belligerabant circa Ancæum montem (*Acidantem fl.*). Nestor ad singulare certamen Ereuthalionem, Hippomedontis vel, ut nonnulli dicunt, Aphidantis filium, provocavit eumque occidit, et præ gaudio locum quem pro certaminis arena circumscripserant, transgressus est. Tum vero Arcades, palpitante adhuc Ereuthalione, irruentes in Pylios manumque conserentes victoria potiti sunt. Deinde sepelierunt Ereuthalionem [et amicos], tumuloque inscripserunt hæcce :

Hic Ereuthalioni amicisque tumulum fecerunt
Arcadiæ principes, clarum genus Hippomedontis,
qui Nestorem ejusque populum domuerunt bello.

Vel potius :

Hic Ereuthalionem amici tumulo condiderunt
Arcadiæ regem, clarum genus Amphidamantis (Aphidantis),
qui quondam Nestorem ejusque populum domuere bello.

Narrat hæc Ariæthus.

3.

Alii Æneam ex Thracia discedentem faciunt et in Arcadiam usque deducunt, eumque dicunt habitasse in Orchomeno Arcadico, et in ea quæ (licet sit mediterranea) ob loca cœnosa et flumen Νῆσος vocatur. Atque Capyas, quas dicunt, ab Ænea ceterisque Trojanis conditas et a Capy Trojano Capyas appellatas esse. Hæc autem tum ab aliis tum ab Ariætho rerum Arcadicarum scriptore produntur.

4.

Schol. Apollon. Rh. II, 498 : Φερεκύδης δέ φησι καὶ Ἄραιθος (sic) ἐπὶ κύκνων αὐτὴν (τὴν Κυρήνην) ὀχηθεῖσαν κατὰ Ἀπόλλωνος προαίρεσιν εἰς τὴν Κυρήνην ἀφικέσθαι. Pro Ἄραιθος codex Parisinus præbet Ἄρατος. Falso; nam de Cyrene nihil apud Aratum legitur. Error inde natus quod paullo post Arati locus (Phæn. 151) de etesiis citatur. Quomodo de Cyrene in Arcadicis sermo esse potuerit, docet filius ejus Aristæus, cujus cultus apud Arcades vigebat. Fortasse igitur ex eodem Ariætho desumpta sunt quæ antecedunt ap. schol. l. l : Τοῦ γὰρ κατηστερισμένου κυνὸς [ἐν τῷ λέοντι, ἐπειδὰν ὁ ἥλιος εἰσέλθῃ τὸν λέοντα addit cod. Paris.; quæ sunt Arati Phænom. 151, et paullo post uberius exscribuntur] φλέγοντος τὰς Κυκλάδας νήσους καὶ πολὺν χρόνον αὐχμοῦ τε καὶ ἀπορίας οὔσης, οἱ τὴν Κέω κατοικοῦντες ἐκ θεοπροπίου ἐπεκαλέσαντο Ἀρισταῖον τὸν Ἀπόλλωνος καὶ Κυρήνης [τῆς Ὑψέως add. Par.] ἐκ Φθίας. Ὁ δὲ παραλαβών τινας ἐξ Ἀρκαδίας ἦλθεν εἰς τὴν Κέω, καὶ Διὸς ἱερὸν ἱδρύσατο Ἰκμαίου, ἕνεκα τοῦ τοὺς ὄμβρους γίνεσθαι [καὶ τοὺς ἐτησίας πνεῖν add. Par.], καὶ τὸν κύνα ἐξιλάσατο. Καὶ ἐνομοθέτησε κατ' ἐνιαυτὸν τοῖς Κείοις μεθ' ὅπλων ἐπιτηρεῖν τὴν ἐπιτολὴν τοῦ κυνὸς, καὶ θύειν αὐτῷ. Cf. Heraclid. Pont. fr. 9 (tom. II, p. 214).

5.

Schol. Vatican. Eurip. Rhes. 36 : Τὸν Πᾶνα οἱ μὲν Πηνελόπης φασὶ [ἢ?] Καλλιστοῦς καὶ δύο παῖδας γενομένους (l. καὶ Διὸς παῖδα γενέσθαι?) (ἀφ' ἧς ὄρος Κυλλήνης)· ἄλλοι δὲ Ἀπόλλωνος καὶ Πηνελόπης, ὡς καὶ Εὐφορίων· ὃν ἔθρεψαν νύμφαι· διὸ καὶ νυμφαγενῆ αὐτόν φησι τραφέντα παρ' ἐκείναις. Ἀρ.ῆθος (sic) δὲ ὁ Τεγεάτης Αἰθέρος αὐτὸν καὶ νύμφης Οἰνόης γενεαλογεῖ. Ἔνιοι δὲ Ὀρσινόης νύμφης καὶ Ἑρμοῦ. Ἐπιμενίδης δὲ Καλλιστοῦς καὶ Διὸς παῖδας γεγενῆσθαι Πᾶνα καὶ Ἀρκάδα διδύμους.

Non erat cur Wagnerus fragm. Tragg. p. 20 Ἀρῆθος mutaret in Ἀρίσταρχος. *Œnoe* Panis mater (cf. Schol. Theocrit. I, 3) Tegeaticam narrationem arguit; siquidem Pausanias VIII, 47, 2, de Tegeatico fano Minervæ Aleæ verba faciens, aræ hujus deæ insculptas esse ait Rheam et Œnoen nympham, parvulum Jovem tenentes. Ibidem inter ἀναθήματα templi recensentur αἱ πέδαι, πλὴν ὅσας ἠφάνισεν αὐτῶν ἰὸς, ἃς γε ἔχοντες Λακεδαιμονίων οἱ αἰχμάλωτοι τὸ πεδίον Τεγεάταις ἔσκαπτον· addit : Μαρπήσσης τε ἐπίκλησιν Χήρας γυναικὸς Τεγεατίδος ἀνάκειται τὸ ὅπλον. Haec notanda fuissent ad Diniae fragmentum 8 (ex Herodiano), p. 26, ubi Lacedæmonii vincti flumen per campum deduxisse narrantur : Περιμήδας ἐν Τεγέᾳ δυναστευούσης, ἣν οἱ πλεῖστοι καλοῦσι Χοίραν. Totus ille Herodiani locus quum sit quammaxime corruptus, non dubito quin istud Περιμήδας... Χοίραν ex Pausania corrigendum sit. Plura de hac Marpessa exposuit Pausanias VIII, 48, 4 sqq., quæ tu vide.

ARISTÆNETUS.

ΠΕΡΙ ΦΑΣΗΛΙΔΟΣ.

Stephan. Byz. v. Γέλα : Ἀρισταίνετος δ' ἐν πρώτῃ τῶν Περὶ Φασήλιδα, ὅτι Λάκιος καὶ Ἀντίφημος ἀδελφοὶ ἐλθόντες εἰς Δελφοὺς μαντεύσασθαι· τὴν δὲ Πυθίαν οὐδὲν περὶ ἐκείνων λέγουσαν, προστάξαι τὸν Λάκιον πρὸς ἀνατολὰς ἡλίου πλεῖν· τοῦ δ' Ἀντιφήμου γελάσαντος τὴν Πυθίαν εἰπεῖν πάλιν [πλεῖν] ἐφ' ἡλίου δυσμῶν καὶ ἣν ἂν πόλιν οἰκήσῃ (l. καὶ Γέλαν π. οἰκίσαι).

Cf. Etym. M. p. 225 : Ἀντίφημος ἢ Δεινομένης ὁ Ῥόδιος, κατὰ χρόνον (χρησμὸν?) εἰς Δελφοὺς παραγενόμενος, ἤκουσεν ὡς δέοι πρὸς δυσμὰς ἀπιόντα πόλιν κτίζειν· ἐπὶ δὲ τῇ ἀπροσδοκήτῳ ἀκοῇ ἐγέλασε καὶ ἀπὸ τοῦ συμβάντος ὠνόμασε τὴν πόλιν. De Antiphemo Gelæ conditore v. Herodot. VII, 153; Thucyd. VI, 4; VII, 57; Pausan. VIII, 46; Schol. Pindar. Ol. II, 14. De Lacio, Phaselidis conditore, et Antiphemo cf. fabulam Philostephani ap. Athen. VII, p. 297, F; et quæ similia narrantur de Telmisso et Galeota ap. Stephan. Byz. v. Γαλεῶται. Ceterum v. Raoul-Rochette *Etabl. d. col. gr.* III, p. 261; Müller. *Dor.* I, p. 110 sq.

Alium, puto, Aristænetum commemorat Eu-

4.

Pherecydes et Ariæthus cygnis vectam Cyrenen Apollinis consilio in Cyrenen venisse narrant.

5.

Pan secundum Ariæthum Ætheris et Œnoes nymphæ filius est.

DE PHASELIDE.

Aristænetus libro primo De Phaselide narrat Lacium et Antiphenum fratres oraculi consultandi causa Delphos venisse; Pythiam vero ad ea, quæ scire cupiisent, nihil respondentem Lacio imperasse, ut orientem versus navigaret (urbemque conderet. Ob tale responsum) quum risisset Antiphemus, huic Pythiam jussisse, ut occasum versus navigaret, et Gelam (*Risus*) urbem conderet.

doocia Viol. p. 67 : Ἀρ. ῥήτωρ ἔγραψεν ἱστορίαν Αἰγυπτίων καὶ Περὶ τῶν τοῦ Νείλου ἀγαθῶν. Cf. ibid. p. 305 v. Νεῖλος : Ἀνέγνων δὲ παρὰ Ἀρισταινέτῳ τῷ ῥητορικῷ, ὅτι ἑορτάζουσιν αὐτῷ οἱ Αἰγύπτιοι ἑορτὴν πανδημεὶ, πάντες καὶ πᾶσαι ἐρχόμεναι περὶ τὰ θέατρα τῶν πόλεων, κἀκεῖσε θοινῶνται ἕκαστος καὶ ἑκάστη ὃ ἔχει· χοροὺς δὲ συστησάμενοι ᾄδουσι τῷ Νείλῳ ᾠδὰς, αἳ τῷ Διὶ ᾄδονται· ὡς τοῦ Νείλου τὸ τοῦ Διὸς ἔργον ποιοῦντος καὶ ἄρχοντος τῆς χώρας. Ἀνδρογύνων δὲ δοκεῖ λέγειν τιμὰς, τῷ πανδημεὶ τοὺς ἄρρενας μετὰ τῶν γυναικῶν ἐκβακχεύεσθαι, καὶ πολλάκις ὡς ἐν μέθῃ καὶ ἀσελγαίνοντας. Num hic Aristænetus est rhetor Byzantinus, cujus meminit Philostratus V. S. II, 11, p. 591? Aristænetum quendam Nicæensem introducit Plutarchus in Qu. Conv. III, 7, 2, p. 796 ed. Didot. Mitto Aristænetum Nicæensem epistolographum, de quo v. Boissonad. (Paris. 1822).

ARISTEAS ARGIVUS. V. Aristippi Arcadica fr. 1.

ARISTIDES MILESIUS.

Num omnia quæ in sqq. exhibebimus, ejusdem sint Aristidis Milesii, nescitur. Quodsi ad eundem hominem pertinent libri De proverbiis, in quibus Polemonis mentio fit (fr. 30), et fabulæ Milesiæ, quæ jam Crassi temporibus deliciæ Romanorum erant (f. 29): Aristidem inter an. 150-100 vixisse conjicias.

ΙΤΑΛΙΚΑ.

E LIBRO PRIMO.

1.

Plutarch. Par. min. c. 30 : Ἀτεπόμαρος, Γάλλων βασιλεὺς, Ῥωμαίοις πολεμῶν, ἔφη μὴ πρότερον ἀναχωρῆσαι, ἐὰν μὴ τὰς γυναῖκας εἰς συνουσίαν ἐκδῶσι. Τῶν δὲ διὰ συμβουλὴν θεραπαινίδων πεμψάντων τὰς δούλας, καὶ κοπωθέντες οἱ βάρβαροι τῇ ἀλήκτῳ συνουσίᾳ ὑπνώθησαν. Ἡ δὲ Ῥητάνα (αὕτη γὰρ ἦν ἡ τοῦτο συμβουλεύσασα) ἀγρίας ἐπιλαβομένη συκῆς, ἀναβαίνει εἰς τὸ τεῖχος, καὶ μηνύει τοῖς ὑπάτοις· οἱ δ' ἐπελθόντες ἐνίκησαν. Ἀφ' οὗ καὶ ἑορτὴ θεραπαινῶν καλεῖται· ὡς Ἀριστείδης Μιλήσιος ἐν πρώτῃ Ἰταλικῶν. « Hunc Milesium Aristidem Wyttenbachius (in Plutarch. tom. II, 1, p. 80) censet de numero historicorum eximendum esse, ut qui *fictus sit ex Aristide Milesiacorum* scriptore : quam ego severitatem judicii haud sequar, quia nulla ætas non fert mixtos bonis scriptores ineptissimos. Mirabile profecto est, ad *solum* Parallelorum libelli artificem unde confluxerint tantæ amplitudinis opera omnibus aliis inusitata; mirabilius etiam, qui Aristides tot tamque graves subinde res solus aut legendo cognoverit aut fando audierit; verum in servatis ex antiquitate reliquiis minimis versandum est nobis religiose et in scriptoribus vel infimis nihil nobis licet nisi narrationum futilitatem veritatemque expendere et, prout pulcre aut male scriptorem aliquem in examine illo stetisse censebis, vel acerbiore eum nomine insignire (quemadmodum nostrum Aristidem ob oculos habens Valckenarius ad Herodot. VII, 225, « Istiusmodi nebulonum, inquit, mendacia vix digna sunt memoratu », aut Wesselingius (V. Diodor. Bip. tom. X, p. 224 et p. 381), excerpto cuidam Aristidis loco hanc addit coronidem : « Tu tamen tanquam hic exscriptum non foret, considerare poteris »), exterminare autem de civitate et ad corvos abigere non licet. » Eakat. Σικελ. p. 106.

E LIBRO TERTIO.

2.

Id. ib. c. 2 : Πορσίνας, Τούσκων βασιλεὺς, πέραν ποταμοῦ Θύμβρεως στρατεύσας ἐπολέμησε Ῥωμαίοις, καὶ τὴν ἀπὸ σιτίων φερομένην εὐθηνίαν Ῥωμαίοις μέσην λαβὼν, λιμῷ τοὺς προειρημένους ἔτρυχε. Τῆς δὲ συγκλήτου συγκεχυμένης, Μούκιος τῶν ἐπισήμων ἀνὴρ λαβὼν τετρακοσίους ἀπὸ τῶν ὑπάτων ὁμήλικας, ἐν ἰδιωτικῷ σχήματι τὸν ποταμὸν διῆλθεν. Ἰδὼν δὲ τὸν σωματοφύλακα τοῦ τυράννου τὰ ἐπιτήδεια διαδιδόντα

ITALICA.

1.

Atepomarus, Gallorum rex, bello Romanos infestans, professus est non ante se recessurum, quam Romani suas uxores Gallis cognoscendas misissent. Romani consilio ancillarum obsecuti has pro liberis miserunt : et barbari nimio rei venereæ abusu fatigati in somnum sunt soluti. Retana (ea princeps consilii fuerat) caprifico conscensa in murum evadit, remque consulibus indicat. Ita Romani facta eruptione vicerunt : atque hinc festus ancillarum dies sumpsit initium. Aristides Milesius auctor primo Italicorum.

2.

Porsena, Etruscorum rex, trans Tiberim positis castris Romanos oppugnabat, commeatuque intercepto fame eos urgebat. Inopia consilii tum laborante senatu, Mucius, de viris illustribus unus, quadringentis consulum permissu assumptis æqualibus, habitu privati hominis indutus amnem transiit : cumque satellitem regis videret militibus necessaria distribuere, regem ipsum esse ratus interfecit. Adductus deinde ad regem, igni, ut erat ibi paratus, dextram imposuit manum, doloribusque animose toleratis subridens, *Solvar*, inquit, *Barbare, etiam te invito : scito enim in*

τοῖς στρατηγοῖς, ὑπολαβὼν αὐτὸν τὸν Πορσίναν εἶναι, ἀνεῖλεν. Ἀχθεὶς δ' ἐπὶ τὸν βασιλέα, τοῖς ἐμπύροις ἐπέθηκε τὴν δεξιὰν χεῖρα, καὶ στέξας τὰς ἀλγηδόνας εὐψύχως, ἐμειδίασεν, εἰπών· « Βάρβαρε, λέλυμαι, κἂν μὴ θέλῃς· καὶ ἴσθι ἡμᾶς κατὰ σοῦ τετρακοσίους ὄντας ἐν τῷ στρατοπέδῳ, οἵ σε ἀνελεῖν ζητοῦμεν. » Ὁ δὲ φοβηθεὶς, σπονδὰς πρὸς Ῥωμαίους ἐποιήσατο, καθάπερ ἱστορεῖ Ἀριστείδης ὁ Μιλήσιος ἐν τρίτῃ ἱστοριῶν (l. Ἰταλικῶν).

3.

Id. ib. c. 3 : Ῥωμαῖοι πρὸς Σαμνίτας πόλεμον ἔχοντες, στρατηγὸν ἐχειροτόνησαν Ποστούμιον Ἀλβῖνον. Οὗτος κατὰ τὰς καλουμένας φορκούλας Καυδίνας (ἔστι δὲ τόπος στενώτατος) ἐνεδρευθεὶς, τρεῖς ἀπέβαλε λεγεῶνας, καὶ αὐτὸς καιρίως τρωθεὶς ἔπεσε. Βαθείας δὲ νυκτὸς ὀλίγον ἐπιζήσας, περιείλετο τῶν ἀνῃρημένων πολεμίων τὰς ἀσπίδας, καὶ εἰς τὸ αἷμα τὴν χεῖρα βαπτίσας, ἔστησε τρόπαιον ἐπιγράψας· Ῥωμαῖοι κατὰ Σαμνιτῶν Διὶ τροπαιούχῳ. Φάβιος δὲ, ὁ ἐπικληθεὶς Λαίμαργος, στρατηγὸς πεμφθεὶς, καὶ παραγενόμενος ἐπὶ τὸν τόπον, ἰδὼν τὸ τρόπαιον, τὸν οἰωνὸν ἀσμένως ἐδέξατο· καὶ συμβαλὼν ἐνίκησε, καὶ αἰχμάλωτον λαβὼν τὸν βασιλέα, εἰς Ῥώμην ἔπεμψεν· ὡς Ἀριστείδης ὁ Μιλήσιος ἐν τρίτῃ Ἰταλικῶν.

4.

Id. ib. c. 19 : Τῶν Διονυσίων ἐν τῇ Ῥώμῃ ἀγομένων, Ἀρνούτιος ἐκ γενετῆς ὑδροπότης ἐξουδένιζε τὴν τοῦ θεοῦ δύναμιν. Ὁ δὲ μέθην ἐνέβαλε, καὶ ἐβιάσατο τὴν θυγατέρα, Μεδουλλίναν· ἡ δὲ ἐκ δακτυλίου γνοῦσα τὸ γένος, καὶ πρεσβύτερα τῆς ἡλικίας φρονήσασα, μεθύσασα τὸν πατέρα καὶ στεφανώσασα, ἤγαγεν ἐπὶ τὸν βωμὸν τῆς Ἀστραπῆς, καὶ δακρύσασα ἀνεῖλε τὸν ἐπίβουλον τῆς παρθενίας· ὡς Ἀριστείδης ἐν τρίτῃ Ἰταλικῶν.

5

Id. ib. c. 22 : Οὐαλερία Τουσκλαναρία κατὰ μῆνιν Ἀφροδίτης ἐρασθεῖσα Οὐαλερίου τοῦ πατρὸς, τῇ τροφῷ ἀνεκοίνωσεν· ἡ δὲ τὸν δεσπότην δόλῳ ὑπῆλθεν, εἰποῦσα, ὡς αἰδεῖται κατ' ὄψιν μίσγεσθαι, τῶν τε γειτόνων εἶναι τὴν παρθένον. Καὶ οἰνωθεὶς ὁ πατὴρ ᾔτει φῶς, ἡ δὲ τροφὸς φθάσασα διήγειρεν, ἥτις ἐπὶ ταῖς ἀγροικίαις ἦν, ἐγκύμων τυγχάνουσα· ποτὲ δὲ κατὰ κρημνῶν ἐνεχθείσης, τὸ βρέφος ἔζη· κατιοῦσα δ' ἐγκύμων κατέστη, καὶ εἰς τὸν ὡρισμένον χρόνον ἐγέννησεν Αἰγίπανα, κατὰ τὴν Ῥωμαίων φωνὴν Σιλουανόν. Ὁ δὲ Οὐαλέριος ἀθυμήσας κατὰ τῶν αὐτῶν [ἑαυτὸν] ἔρριψε κρημνῶν· ὡς Ἀριστείδης Μιλήσιος ἐν τρίτῳ Ἰταλικῶν.

6.

Id. ib. c. 24 : Ἀννίβα Καμπανοὺς λεηλατοῦντος, Λούκιος Θύμβρις τὸν υἱὸν Ῥούστιον μετὰ χρημάτων ἔθετο πρὸς Οὐαλέριον Γέστιον ὄντα γαμβρόν. Ὁ δὲ νενίκηκεν. Ἀκούσας δὲ ὁ [Καμπανὸς], φιλαργυρίᾳ παρέβη τὰ δίκαια τῆς φύσεως, τὸν παῖδα φονεύσας. Ὁ δὲ Θύμβρις διὰ τῆς ἀγροικίας πορευόμενος, καὶ τῷ σώματι τοῦ παιδὸς ἐντυχὼν, ἔπεμψεν ἐπὶ τὸν γαμβρὸν, ὡς δείξων θησαυρούς· ἐλθόντα δ' ἐτύφλωσε καὶ ἐσταύρωσεν· ὡς Ἀριστείδης ἐν τρίτῳ Ἰταλικῶν.

---

castris nos esse quadringentos qui te ad necem quærimus. Territus Porsena pacem cum Romanis fecit. Refert Aristides Milesius tertio Historiarum libro.

3.

Romani bello Samnitico ducem exercitus creaverunt Postumium Albinum. Is in angustiis quæ Caudinæ Furcæ dicuntur, circumventas hostium insidiis tres legiones perdidit, et ipse vulnere gravi accepto cecidit. Intempesta nocte, jamjam moriturus, hostibus occisis scuta ademit, tropæum statuit, manuque in sanguinem intincta inscripsit, *Jovi tropæorum vindici de Samnitibus Romani posuerunt.* Fabius autem, Gurges cognomento, missus cum copiis, ut ad locum venit, viso tropæo omen arripuit, commissoque prœlio vicit hostes, regemque eorum captum Romam misit. Ex Aristidis Milesii Italicorum tertio.

4.

Romæ quum celebrarentur Liberalia, Aruntius, qui inde a natalibus fuerat abstemius, vim Liberi patris despicatui habuit. A quo in ebrietatem conjectus, filiæ suæ Medullinæ virginitatem per vim eripuit. Ea ex annulo violatorem cognoscens, majus ætate sua facinus meditata patrem inebriavit ac exornavit, adductumque ad aram Fulminis, illacrimans interfecit eum qui suæ virginitati insidias struxerat. Aristides tertio Italicorum.

5.

Valeria Tusculanaria propter iram Veneris amore patris Valerii correpta, rem cum nutrice communicavit : hæc fraude dominum ad filiæ concubitum induxit, a virgine eum deperiri inquiens vicina, et quæ cum ipso vereatur concumbere, si agnoscatur. Pater cum filia congressus, per ebrietatem lucernam postulavit : nutrix Valeriam excitare occupavit : quæ profuga quum ruri degeret, uterumque gereret, aliquando dejecta est per præcipitium, incolumis tamen, salvo etiam fœtu, quem suo tempore peperit, nomine Silvanum (Græci Ægipanem vocant). Valerius præ mœrore de eodem se præcipitio dejecit. Aristides Milesius tertio Italicorum.

6.

Hannibale res Campanorum agente et ferente, Lucius Thymbris Rustium filium una cum pecunia deposuit apud Valerium Gestium necessarium suum. Hic quum hostem rebus potiri intellexisset, præ cupiditate pecuniæ naturæ jura violans, puerum interfecit. Thymbris iter per agros faciens, reperto filii cadavere, necessarium istum suum ad se vocavit, thesauros ei se ostensurum prætendens : nactusque hominem oculis privavit et in crucem sustulit. Aristides tertio Italicorum.

7.

Id. ib. c. 31 : Ῥωμαίων πρὸς Γάλλους πολεμούντων, καὶ τῆς εὐθηνίας μὴ ἀρκούσης, Κίννας τοῦ δήμου τὸ σιτόμετρον ὑπέσπασε· Ῥωμαῖοι δὲ, ὡς ἀντιποιούμενον αὐτὸν τῆς βασιλείας, λιθόλευστον ἐποίησαν· ὡς Ἀριστείδης ἐν τρίτῳ Ἰταλικῶν.

8.

Id. ib. c. 40. Vide Alexandri Polyh. fr. 26.

E LIBRO QUARTO.

9.

Id. ib. c. 39 : Ἐν Αἰγέστῃ, τῇ πόλει τῆς Σικελίας, ἐγένετό τις ὠμὸς τύραννος, Αἰμίλιος Κενσωρῖνος. Οὗτος τοὺς καινότερα βασανιστήρια κατασκευάσαντας ἐδωροδόκει. Εἷς δέ τις, Ἀρούντιος Πατέρκουλλος, δημιουργήσας ἵππον χαλκοῦν τῷ προειρημένῳ δῶρον ἔδωκεν, ἵνα βάλλῃ αὐτούς. Ὁ δὲ τότε πρῶτον νομίμως ἀναστραφεὶς, τὸν χαρισάμενον πρότερον ἔβαλεν· ὡς ἂν, ἣν ἐπενόησε βάσανον ἄλλοις, αὐτὸς πάθῃ πρῶτος. Τοῦτον συλλαβὼν ἀπὸ τοῦ Ταρπηΐου ὄρους ἔρριψε. Καὶ δοκοῦσιν οἱ ἀποτόμως βασιλεύσαντες ἀπ' ἐκείνου Αἰμίλιοι προσαγορεύεσθαι· ὡς Ἀριστείδης ἐν τετάρτῳ Ἰταλικῶν. « Gens Æmilia ad Amulium Albanorum regem a Silio (Pun. VIII, 295) refertur. Jam is Amulius, quia pulso fratre regnat, sceleri scelus addit (Liv. I, 3) ; inde novam suam Æmilii nominis etymologiam Aristides arcessivisse videatur. » *Ebert.* Σικελ. p. 80.

E LIBRO DECIMO NONO.

10.

Id. ib. c. 35 : Λοιμοῦ κατασχόντος Φαλερίους, καὶ φθορᾶς γενομένης, χρησμὸς ἐδόθη λωφῆσαι τὸ δεινὸν, ἐὰν παρθένον τῇ Ἥρᾳ θύωσιν κατ' ἐνιαυτόν. Ἀεὶ δὲ τῆς δεισιδαιμονίας μενούσης, κατὰ κλῆρον καλουμένη Οὐαλερία Λουπέρκα ἤγετο εἰς θυσίαν· σπασαμένη δὲ τὸ ξίφος, ἀετὸς καταπτὰς ἥρπασε, καὶ ἐπὶ τῶν ἐμπύρων ἔθηκε ῥάβδον μικρὰν ἔχουσαν σφῦραν, τὸ δὲ ξίφος ἐπέβαλε δαμάλει τινὶ παρὰ τὸν ναὸν βοσκομένῃ. Νοήσασα δὲ ἡ παρθένος, καὶ τὴν βοῦν θύσασα, καὶ τὴν σφῦραν ἄρασα, κατ' οἰκίαν περιῆλθε, καὶ τοὺς ἀσθενοῦντας ἠρέμα πλήττουσα διήγειρεν, ἐρρῶσθαι ἑνὶ ἑκάστῳ λέγουσα. Ὅθεν καὶ νῦν τὸ μυστήριον τελεῖται· ὡς Ἀριστείδης ἐν ἐννεακαιδεκάτῳ Ἰταλικῶν. Eandem fabulam ex Varrone affert Jo. Lydus. Vide fr. 25.

E LIBRO QUADRAGESIMO (?).

11.

Id. ib. c. 5 : Διὰ μέσης τῆς ἀγορᾶς ῥέων ὁ Τίβερις διὰ μῆνιν Ταρσίου Διὸς, μέγιστον ἀπέρρηξε χάσμα, καὶ πολλὰς οἰκίας ἐβύθισε· χρησμὸς δ' ἐδόθη λήξεσθαι, ἐὰν τὸ τίμιον ἐμβάλωσι. Τῶν δὲ χρυσὸν καὶ ἄργυρον ἐμβαλλόντων, Κούρτιος τῶν ἐπισήμων νέος, τὸν χρησμὸν νοήσας, καὶ λογισάμενος τὴν ψυχὴν τιμιωτέραν, ἔφιππον ἑαυτὸν ἔρριψεν εἰς τὸ χάσμα, καὶ τοὺς οἰκείους ἐξέσωσε τῶν κακῶν· ὡς Ἀριστείδης ἐν τεσσαρακοστῷ Ἰταλικῶν.

E LIBRIS INCERTIS.

12.

Id. ib. c. 4 : Ῥωμαῖοι πρὸς Ποινοὺς πόλεμον ἔχοντες, ἔπεμψαν τριακοσίους, καὶ στρατηγὸν Φάβιον Μάξιμον. Συμβαλὼν δ' ἀπέβαλε πάντας, αὐτὸς δὲ καιρίως τρωθεὶς μεθ' ὁρμῆς ἐπὶ τὸν Ἀννίβαν ἠνέχθη, καὶ καθελὼν τὸ διάδημα, συναπέθανεν αὐτῷ, καθάπερ ἱστορεῖ Ἀριστείδης ὁ Μιλήσιος.

7.

Romanis bellum contra Gallos gerentibus, et rebus ad victum quæ pertinent non suppeditantibus, Cinna mensuram, qua populo solebant frumentum dimetiri, contraxit : estque propterea a civibus, quasi regnum affectaret, lapidibus obrutus. Aristides tertio Italicorum.

9.

Egestæ, quæ Siciliæ urbs est, sævus quidam fuit tyrannus, Æmilius Censorinus, donis eos afficiens, qui nova invenissent tormenta. Erat quidam Aruntius Paterculus, qui equum æreum fabricatus dono dedit tyranno, ut in eum conjiceret cruciandos. Tyrannus tunc primum jus secutus, ipsum tormenti auctorem in equum conjecit, ut quos aliis paraverat cruciatus, ipse primus experiretur. Eum comprehensum de monte Tarpejo dejecit. Et videntur qui crudeliter imperant, ab illo dicti Æmilii. Aristides quarto Italicorum.

10.

Faleriis grassante peste, oraculo indicatum est finem fore mali, si quotannis Junoni virgine litarent. Ea superstitio quum perduraret, sorte lecta Valeria Luperca, et ad aram ducta, strictum ab ea gladium rapuit aquila, depositoque in ea quæ comburenda igni erant bacillo, cui exiguus præfixus erat malleus, gladium injecit buculæ cuidam prope templum pascenti. Id intelligens virgo bucula rem sacram fecit, sublatoque malleo secundum domos circumivit, lenique ictu excitavit ægrotantes, Valere unicuique dicens. Atque hinc est quod illa sacra in hunc usque diem peraguntur. Aristides undecimo Italicorum.

11.

Per medium forum flumen Tiberis ob iram Jovis Tarsii ingentem aperuit hiatum multasque absorpsit domos. Oraculo moniti finem fore, si pretiosam rem injicerent, aurum et argentum injecerunt. Sed Curtius, unus de primariis juvenibus, sententia oraculi intellecta, animamque istis præstantiorem sentiens, eques se ipsum in hiatum immisit, suosque calamitate solvit. Aristides quadragesimo Italicorum.

12.

Romani bello Punico trecentos miserunt, duce Fabio Maximo. Is conserta pugna omnes amisit : ipse letali affectus vulnere in Annibalem irruit, diadema ei detraxit, cumque eo mortuus est. Ita Aristides Milesius.

13.

Id. ib. c. 11 : Βροῦτος ὑπὸ πάντων ὕπατος χειροτονηθεὶς, ἐφυγάδευσε τὸν ὑπερήφανον Ταρκύνιον τυραννικῶς ἀναστρεφόμενον. Ὁ δ' ἐλθὼν εἰς Τούσκους, ἐπολέμει Ῥωμαίοις. Οἱ δὲ υἱοὶ τὸν πατέρα προδοῦναι ἠβουλήθησαν. Ἐμπεσόντων δὲ, τραχηλοκοπῆσαι· ὡς Ἀριστείδης Μιλήσιος ἐν τοῖς Ἰταλικοῖς.

14.

Id. ib. c. 12 : Ῥωμαῖοι πρὸς Σαμνίτας πόλεμον ἔχοντες, ἐχειροτόνησαν Μάλιον τὸν Ἐπιτάκτην ἐπικληθέντα. Οὗτος διὰ χειροτονίαν ὑπατικὴν εἰς Ῥώμην πορευόμενος, τῷ υἱῷ προσέταξε μὴ συμβαλεῖν· οἱ δὲ Σαμνῖται μαθόντες, βλασφημίαις ἐξουδένιζον τὸν νεανίαν. Ὁ δὲ ταραχθεὶς ἐνίκησεν· Μάλιος δ' αὐτὸν ἐτραχηλοκόπησεν, καθάπερ ἱστορεῖ Ἀριστείδης Μιλήσιος.

15.

Id. ib. c. 15 : Ταρπηΐα τῶν εὐσχημόνων παρθένων τοῦ Καπιτωλίου φύλαξ, Ῥωμαίων πρὸς Σαβίνους πολεμούντων, ὑπέσχετο τῷ Τατίῳ δώσειν εἴσοδον εἰς τὸ Ταρπήϊον ὄρος, ἐὰν μισθὸν λάβῃ τοὺς ὅρμους, οὓς ἐφόρουν κόσμου χάριν· Σαβῖνοι δὲ νοήσαντες, ζῶσαν κατέχωσαν· ὡς Ἀριστείδης Μιλήσιος ἐν Ἰταλικοῖς.

16.

Id. ib. c. 16 : Ῥωμαῖοι καὶ Ἀλβανοὶ πολεμοῦντες τριδύμους προμάχους εἵλοντο, καὶ Ἀλβανοὶ μὲν Κουριατίους, Ῥωμαῖοι δὲ Ὡρατίους. Συμβληθείσης δὲ τῆς μάχης, οἱ Κουριάτιοι δύο τῶν ἐναντίων ἀνεῖλον· ὁ δὲ περίλοιπος φυγῇ προσποιητῇ συμμάχῳ χρώμενος, ἐφόνευσε καθ' ἕνα τῶν ἐπιδιωκόντων· χαρέντων δὲ πάντων, μόνη ἡ ἀδελφὴ οὐ συνεχάρη Ὡρατίᾳ τὸν κατηγγυημένον ἄνδρα Κουριάτιον ἀνῃρηκότι· ὁ δ' ἐφόνευσε τὴν ἀδελφὴν, ὥς φησιν Ἀριστείδης ὁ Μιλήσιος ἐν Ἰταλικοῖς.

17.

Id. ib. c. 17 : Ἀντύλος ἀνὴρ τῶν ἐπισήμων, πορευόμενος εἰς τὸ προάστειον, ὑπὸ κοράκων ἐπεσχέθη παιόντων ταῖς πτέρυξι. Φοβηθεὶς δὲ τὸν οἰωνὸν, εἰς Ῥώμην ὑπέστρεψεν. Ἰδὼν δὲ τὸ τέμενος τῆς Ἑστίας καιόμενον, καὶ τὸ Παλλάδιον ἁρπάσας, ἐτυφλώθη· ὕστερον δ' ἀνέβλεψεν ἐξιλασάμενος· ὡς Ἀριστείδης Μιλήσιος ἐν Ἰταλικοῖς.

18.

Id. ib. c. 18 : Πούπλιος Δέκιος Ῥωμαῖος, πρὸς Ἀλβανοὺς πολεμῶν, ὄναρ εἶδεν, ἐὰν ἀποθάνῃ, ῥώμην προσποιήσειν Ῥωμαίοις. Ἐλθὼν δ' εἰς μέσους καὶ πολλοὺς φονεύσας, ἀνῃρέθη. Ὁμοίως δὲ καὶ ὁ υἱὸς αὐτοῦ Δέκιος ἐν τῷ πρὸς Γάλλους πολέμῳ τοὺς Ῥωμαίους διέσωσεν· ὡς Ἀριστείδης Μιλήσιος.

19.

Id. ib. c. 36 : Ἀμούλιος πρὸς Νομίτορα τὸν ἀδελφὸν τυραννικῶς διακείμενος, τὸν μὲν υἱὸν Αἴνιτον ἐπὶ κυνηγίᾳ ἀνεῖλε, τὴν δὲ θυγατέρα Σιλουΐαν ἐν Ἰουλίᾳ τῆς Ἥρας ἱέρειαν ἐποιήσατο. Ταύτην Ἄρης ἐγκύμονα ποιεῖ· ἡ δ' ἔτεκε διδύμους, ὡμολόγησέ τε τῷ τυράννῳ τὴν ἀλήθειαν. Ὁ δὲ φοβηθεὶς, ἀμφοτέρους κατεπόντισε, βαλὼν παρὰ τὰς ὄχθας τοῦ Θύμβρεως. Οἱ δὲ προσηνέχθησαν ἐν τόπῳ, ἔνθα λύκαινα ἦν φωλεύουσα νεοτόκος· καὶ τοὺς μὲν σκύμνους ἔρριψε, τὰ δὲ βρέφη

13.

Brutus ab universis civibus consul creatus, Tarquinium Superbum, qui tyrannice sese gesserat, in exilium egit. Is ad Etruscos confugit, eorumque opera Romanis bellum fecit. Filii patrem prodere voluerunt, reque detecta, securi sunt percussi. Aristides Milesius Italicis.

14.

Romani bello adversus Samnitas præfecerunt Manlium Imperiosum cognomento. Is quum ad comitia creandis consulibus indicta Romam proficisceretur, filio mandavit ne pugnam committeret. Samnitæ, re percepta, conviciis juvenem irritaverunt, et ad prælium elicuerunt. Ex eo victor discessit; pater autem eum securi percussit, ut narrat Aristides Milesius.

15.

Tarpeja, una de nobilibus virginibus, Capitolii custos, bello Sabinorum contra Romanos, Tatio promisit se aditum ei in montem Tarpejum patefacturam, si monilia mercedis loco acciperet, quæ Sabini gestabant. Sabini hoc sentientes, vivam cum monilibus obruerunt. Aristides Milesius in Italicis.

16.

Romani et Albani, bello conflato, tergeminis rem decernendam permiserunt, Albani Curiatiis, Romani Horatiis. Ut ventum est ad conflictum, Curatii duos de Horatiis obtruncarunt. Tertius superstes simulatæ fugæ auxilio Curiatios singulos insequentes trucidavit. Gaudentibus omnibus, sola victori non est gratulata soror Horatio, cujus sponsum Curiatium frater necasset : ab eoque ipsa est interempta. Aristides Milesius in Italicis.

17.

Antyllus vir primarius in suburbium pergens, a corvis retentus est alis eum plangentibus. Eo ostento territus in Urbem rediit, quumque videret Vestæ ædem flagrare, Palladio inde rapto excæcatus est : posteaque temporis expiata ira numinis usum oculorum recuperavit. Aristides Milesius Italicis.

18.

Publius Decius Romanus contra Albanos belligerans, per quietem imaginatus est se sua morte Romanis vires additurum. Itaque in medios hostes irruit, multisque occisis interfectus est. Eodem modo filius ejus Decius bello Gallico rem Romanam conservavit. Auctor Aristides Milesius.

19.

Amulius fratrem Numitorem tyrannice tractans, filium ejus Ænitum in venatione interfecit : et filiam Silviam Julіæ sacerdotem Junonis fecit. Hanc Mars prægnantem reddidit : quumque gemellos partu edidisset, tyranno veritatem ipsa

ἔτρεφε. Φαῦστος δὲ ποιμὴν αὐτόπτης γενόμενος τοὺς παῖδας ἀνέθρεψε, καὶ τὸν μὲν Ῥῶμον, τὸν δὲ Ῥωμύλον προσηγόρευσε, τοὺς κτίστας Ῥώμης· ὡς Ἀριστείδης Μιλήσιος ἐν τοῖς Ἰταλικοῖς.

Ibid. c. 27 nomen Aristidis excidisse videtur.

ΣΙΚΕΛΙΚΑ.

E LIBRO PRIMO.

20.

Id. ib. c. 1 : Ἀσδρούβας βασιλεύς, Σικελίαν καταλαβόμενος, πόλεμον Ῥωμαίοις κατήγγειλε· Μέτελλος δὲ ὑπὸ τῆς συγκλήτου στρατηγὸς χειροτονηθείς, ἐγκρατὴς ἐγένετο τῆς νίκης ταύτης, ἐν ᾗ Λεύκιος Γλαύκων, εὐγενὴς ἀνήρ, τὴν Ἀσδρούβα κατέχων ναῦν, ἀμφοτέρας ἀπέβαλε τὰς χεῖρας, καθάπερ ἱστορεῖ Ἀριστείδης Μιλήσιος ἐν πρώτῃ Σικελικῶν, παρ' οὗ τὴν ὑπόθεσιν ἔμαθε Διονύσιος ὁ Σικελιώτης. De Dionysio Siculo historico non constat (in versione antiqua est *Diodorus Siculus*).

ΠΕΡΣΙΚΑ.

E LIBRO PRIMO.

21.

Id. ib. c. 4 : Περσῶν μετὰ πενταχοσίων μυριάδων ἐπὶ τὴν Ἑλλάδα ἐρχομένων, Λεωνίδας ἅμα τριακοσίοις ἐπέμφθη εἰς Θερμοπύλας ὑπὸ Λακεδαιμονίων. Εὐωχουμένων δ' ἐκεῖ ἐπέκειτο τὸ τῶν βαρβάρων πλῆθος· καὶ ὁ Λεωνίδας εἶπεν, ἰδὼν τοὺς βαρβάρους· « Οὕτως ἀριστᾶτε, ὡς ἐν ᾅδου δειπνήσοντες. » Καὶ ὁρμήσας κατὰ τῶν βαρβάρων, καὶ πολλοῖς περιπαρεὶς δόρασιν, ἀνέβη ἐπὶ τὸν Ξέρξην, καὶ τὸ διάδημα ἀφείλετο. Οὗ ἀποθανόντος ὁ βάρβαρος τέμνει τὴν καρδίαν, καὶ εὗρε δασεῖαν· ὡς Ἀριστείδης ἐν πρώτῃ Περσικῶν. Eadem Stobæus Florileg. VII, 64, ubi Aristides laudatur ἐν γ' τῶν Περσικῶν.

ΠΕΡΙ ΚΝΙΔΟΥ.

22.

Schol. Pind. Pyth. III, 14 : Ἀριστείδης δὲ ἐν τῷ Περὶ Κνίδου συγγράμματί φησιν οὕτως· Ἀσκληπιὸς Ἀπόλλωνος παῖς καὶ Ἀρσινόης· αὕτη δὲ παρθένος οὖσα ὠνομάζετο Κορωνίς, Λευκίππου δὲ θυγάτηρ ἦν τοῦ Ἀμύκλα, τοῦ Λακεδαίμονος. Ἀσκληπιοῦ δὲ καὶ Ἠπιόνης Ποδαλείριος καὶ Μαχάων. Cf. Pausan. II, 10, 3. Pro Epione Hermippus ap. schol. Aristoph. Plut. 701 ponit *Lampetiam*, Solis f.; Hygin. fab. 97 *Coronidem*; Orpheus Hymn. 66, 7 *Hygieam*.

23.

Schol. Theocrit. XVII, 69 : Ἡ τῶν Δωριέων πεντάπολις, Λίνδος, Ἰάλυσος, Κάμειρος, Κῶς, Κνίδος. Ἄγεται δὲ κοινῇ ὑπὸ τῶν Δωριέων ἀγὼν ἐν Τριοπίῳ Νύμφαις, Ἀπόλλωνι, Ποσειδῶνι. Καλεῖται δὲ Δώριος ὁ ἀγών, ὡς Ἀριστείδης φησί. Cf. Herodot. I, 144; Dionys. Hal. IV, 25; Sainte-Croix *Des gouvernements fédératifs*, p. 153 sqq. Tittmann. *Staatsverf.* p. 671; O. Müller. *Dor.* I, 105; Idem in Böttigeri *Amalthea* I, p. 125.

24.

Stephan. Byz. : Ἀραί, Ἰωνίας νῆσοι τρεῖς, οὕτω λεγόμεναι διὰ τὰς ἀράς, ἃς Δωριεῖς ἐποιήσαντο πρὸς τοὺς Πενταπολίτας, ὡς Ἀριστείδης. Ἄλλοι δ' ἄλλως.

---

confessa est. Is in metum venit, projecitque utrumque ad ripam Tiberis. Amne autem devecti sunt ad locum, ubi lupa catulos alebat. Lupa, his abjectis nutrivit infantes. Faustus pastor, qui spectandæ rei intervenerat, pueros educavit, Remi et Romuli nominibus impositis. Hi sunt qui Romam condiderunt. Auctor Aristides in Italicis.

SICULA.

20.

Asdrubal rex, Sicilia occupata, bellum Romanis indixit. Metellus a senatu bello gerendo præfectus, vicit; in prœlio Lucius Glauco patricius, dum navem Asdrubalis detinet, utramque amisit manum. Narrat hoc Aristides Milesius primo libro Rerum Sicularum, a quo hoc argumentum sumpsit Dionysius Siculus.

PERSICA.

21.

Quum Persæ in Græciam adduxissent quingentarum myriadum exercitum, missus est Leonidas a Spartanis cum trecentis militibus. Is, ingruente prandentibus barbarorum multitudine, iis conspectis dixit ad suos : *Sic prandete ut cœnaturi apud inferos* : factoque in barbaros impetu, multis confixus hastiis in ipsum Xerxem contendit, eique diadema avellit. Mortui cor barbarus secans, hirsutum reperit. Auctor Aristides primo Rerum Persicarum.

DE CNIDO.

22.

Aristides in libro de Cnido ita scribit : Asclepius Apollinis et Arsinoes filius, quæ quum virgo adhuc erat, nominabatur Coronis, filia Leucippi, qui ipse Amyclæ Lacedæmone nati filius erat. Asclepii vero et Epiones filii Podalirius et Machaon.

23.

Doriensium Pentapolis : Lindus, Ialysus, Camirus, Cos et Cnidus. Qui Dorienses conjunctim in Triopio ludos celebrant Nymphis, Apollini et Neptuno. Solennitas ista *Doria* appellatur, ut Aristides ait.

24.

Aræ, Ioniæ insulæ tres, quæ nomen habent ab ἀραῖς, *diris*, quibus Dorienses Pentapolitas exsecrati sunt, ut Aristides ait.

Cf. Dieuchidas (fr. 7) ap. Athenæum p. 262, F, ubi Ἀραιαὶ νῆσοι sitæ esse dicuntur μεταξὺ τῆς Κνίδου καὶ τῆς Σύμης. Quod rectius esse quam istud Ἰωνίας νῆσοι interiore historiæ ratione probatur. Vid. O. Müller. *Dor.* I, p. 107. Exsecrationes illas Dieuchidas mythice refert ad tempora Phorbantis et Triopæ.

EX SCRIPTIS INCERTIS.

(25)

Jo. Lydus De mensib. fragm. ed. B. Hase : ..... παρθένος τῆς δαίμονος τὸ φιλάνθρωπον..... τὴν δφ.... πᾶσαν κατοικίαν παρῆλθε, καὶ τοὺς.............. διήγειρεν, ὡς ὁ Ῥωμαῖος Βάρ[ρων....... Λακε[δαιμ]ονίοις γεν[έσθ]αι λόγος...................... Ἀριστείδης, ὅς ἐν τῇ πέ[μπτῃ......... φη[σίν, ἡνίκα.... οὗτος ...... καὶ πολ]λῶν ἀπολλυμένων[, ἔχ]ρησεν ὁ Πύθιος, [παύσεσθαι τὴν νόσον ἐὰ]ν κατ' ἐνιαυτὸν θεοῖ[ς ἀ]ποτροπαίοις ἢ [λυσίοις κληρωτὴ σφ]αγιασθῇ παρθένος. Τῆς [δὲ] ἀνόμου δεισιδαι[μονίας κατὰ π]ᾶν φθινόπωρον τελουμένης, [συν]έπεσέ ποτε [λαχεῖν] τὴν Ἑλένην· Τυνδά[ρε]ως δὲ τὴν θυγα[τέρα] ἐστεφ[αν]ω[μένην τ]οῖς βωμοῖς προσή[γα]γε. Καταρχομένου δὲ αὐ[τοῦ] τῆς ἀνό[μου θυ]σίας, ἀετὸς καταπτὰς ἥρπασε τοῦ βασι[λέ]ως τὸ ξίφος, [καὶ παρ]ά τινα λευκὴν δάμαλιν ἀφῆκεν. Οἱ δὲ δορυφόροι κατό[πιν ἀπο]κολουθήσαντες, καὶ αὐτόπται γενόμενοι τοῦ συμβάντος, [τὴ]ν βοῦν πρὸς Τυνδάρεων ἤγαγεν· ὁ δὲ θαυμ[άσ]ας τὴν πρόνοιαν, [τῆ]ς μὲν ἀνθρωπο[κτόν]ου συνηθείας ἐπαύσατο, τὴν δὲ δάμαλιν θύσας τοῦ λοιμι[κοῦ] π[άθ]ους ἀπηλλάττετο.

Supplementa sunt Hasii, v. celeb. Primas lineas, ex fragmento 10 (Plut. Par. c. 35) suppleverim ita : [νοήσασα δὲ ἡ] παρθένος τῆς δαίμονος τὸ φιλάνθρωπον [ἀρασά τε] τὴν [σ]φ[ῦραν,] πᾶσαν κατ' οἰκίαν [περι]ῆλθε, καὶ τοὺς [ἀσθενοῦντας ἠρέμα πλήττουσα] διήγειρεν, ὡς ὁ Ῥωμαῖος Βάρρων. [Παραπλήσια καὶ] Λακε[δαιμ]ονίοις γεν[έσθ]αι λόγος [κατέχει]. Quæ sequitur lacuna major quomodo explenda sit, incertius. Ceterum eandem hanc de Helena historiam antecedenti jungit Plutarchus Par. c. 35. Verba sunt : Λοιμοῦ κατασχόντος Λακεδαίμονα, ἔχρησεν ὁ θεὸς παύσασθαι, ἐὰν παρθένον εὐγενῆ κατὰ ἔτος θύσωσιν. Ἑλένης δέ ποτε κληρωθείσης καὶ προαχθείσης κεκοσμημένης, ἀετὸς καταπτὰς ἥρπασε τὸ ξίφος, καὶ ἐς τὰ βουκόλια κομίσας ἐπὶ δάμαλιν κατέθηκεν· ὅθεν ἀπέσχοντο τῆς παρθενοκτονίας· ὡς Ἀριστόδημος ἐν τρίτῃ μυθικῇ συναγωγῇ. Hinc verisimile fit pro Ἀριστείδης ὅς apud Lydum reponendum esse Ἀριστόδημος.

26.

Plinius H. N. IV, 23 : *Melos cum oppido, quam Aristides Biblida vocat.*

Idem IV, 21 : *Eubœa... ante vocitata est...*, *ut Aristides, Macra.*

Ex his Prellerus ad Polem. p. 59 colligit Aristidem Græciæ periegesin edidisse. Idem conjicit ad Aristidem revocandos esse locos nonnullos ubi nunc laudatur Ἀριστοτέλης, ut ap. schol. Theocrit. XV, 64 : Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν τῷ περὶ Ἑρμιόνης (περὶ Ἥρας em. Preller. in libro *Demeter u. Perseph.* p. 244) ἱερῷ κτλ. (V. Aristotelis fr. 287); et Bekker. Anecdot. p. 451, ubi Δοῦριν δὲ Ἀριστοτέλης φησὶ λέγειν (v. Duris fr. 83), et Ælian. Hist. A. XII, 40, ubi Aristotele auctore narratur hoc : Σαμίοις δὲ καὶ αὐτοῖς τοιοῦτο χρυσίον κλαπὲν πρόβατον ἀνεῦρε καὶ ἐντεῦθεν Μανδρόβουλος ὁ Σάμιος τῇ Ἥρᾳ πρόβατον ἀνάθημα ἀνῆψεν. — Quæ quidem omnia incertissima sunt.

(27.)

Tzetzes ad Lyc. 836 : Ὅτι δὲ παρὰ Ἰόπην τὰ κατ' Ἀνδρομέδαν ἐγεγόνει Ἀριστείδης τε μαρτυρεῖ καὶ Λιβάνιος καὶ Προκόπιος καὶ Ἰώσηπος (A. J. III, 9) Probabiliter Aristidem rhetorem Tzetzes intellexit tum hoc loco tum sequente.

(28.)

Tzetzes Histor. I, 24, v. 624 de Simonide poeta :

Ὁ δ' Ἀριστείδης γέγραφεν ἀνδρὸς εὐχαριστίαν.
Πλέων φησὶ γὰρ ὁ ἀνὴρ ἄταφον εὗρε νέκυν,
ὅνπερ τιμήσας ἔθαψεν· ὄναρ φανεὶς δ' ὁ νέκυς
λέγει, Μὴ πλεύσῃς, ἄνθρωπε· ναυτῶν δὲ μὴ πεισθέντων,
μόνος ὁ Σιμωνίδης μὲν συμπλέων ἀπελείφθη·
οἱ δὲ πάντες ἀπώλοντο τυχόντες ναυαγίας.

25.

Similia etiam Lacedæmoniis accidisse feruntur. Etenim quum peste multi ex Lacedæmoniis perirent, sortes hasce dedit Apollo, desiturum morbum, si quotannis diis averruncis sive liberatoribus virgo sorte ducta immoletur. Ita quum impia religio quoque auctumno expiaretur, accidit aliquando, ut Helena sortem tolleret : Tyndareus ideo filiam coronatam ad aras adduxit. Jamque auspicabatur dira sacra, quum aquila delapsa regis gladium raperet, dimitteretque juxto candidam aliquam juvencam. Satellites pone secuti quum rem ipsi spectassent, buculam ad Tyndareum deducunt; is, providentiam admiratus, fatalem consuetudinem abrogat, et immolata vacca lue liberatur.

27.

Quæ de Andromeda narrantur, ea circa Jopen accidisse testantur Aristides, Libanius, Procopius et Josephus.

28.

Aristides literis consignavit viri gratum animum.
In navigatione Simonides mortuum reperit insepultum,
quem funere honoravit. Per quietem vero mortuus
apparens ei dicit : « Ne naviges. » Navitis haud persuasis,
unus Simonides navigatione abstinens servatus est;
reliqui omnes perierunt naufragio.

Εὐχάριστον δ' ἐπίγραμμα γράψας ὁ Σιμωνίδης
τῇ στήλῃ παρενέγραψε νεκροῦ τοῦ σεσωκότος·
« Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδεω ἐστι σαωτήρ,
ὃς καὶ τεθνηὼς ζῶντι παρέσχε χάριν. »

Cf. Schol. Aristid. p. 201 ed. Frommel.; Anthol. Palat. VII, 77; Schneidewin Simonid. fr. p. 170; Cicero De div. I, 27. II, 26; Valer. Max. I, 7; Libanius tom. IV, p. 1101 R.

ΜΙΛΗΣΙΑΚΑ.

De Milesiacis narratiunculis eroticis præmittimus testimonia Plutarchi et Luciani. Plutarch. Crassus c. 32 : Surena post necem Crassi τὴν γερουσίαν τῶν Σελευκέων ἀθροίσας εἰσήνεγκεν ἀκόλαστα βιβλία τῶν Ἀριστείδου Μιλησιακῶν, οὔτοι ταῦτά γε καταψευσάμενος· εὑρέθη γὰρ ἐν τοῖς Ῥουστίου σκευοφόροις, καὶ παρέσχε τῷ Σουρήνᾳ καθυβρίσαι πολλὰ καὶ κατασκῶψαι τοὺς Ῥωμαίους, εἰ μηδὲ πολεμοῦντες ἀπέχεσθαι πραγμάτων καὶ γραμμάτων δύνανται τοιούτων. — Lucianus Amor. c. 1 p. 385 ed. Didot. : Πάνυ δή με ὑπὸ τὸν ὄρθρον ἡ τῶν ἀκολάστων σου διηγημάτων αἱμύλη καὶ γλυκεῖα πειθὼ κατηύφρανεν, ὥστ' ὀλίγου δεῖν Ἀριστείδης ἐνόμιζον εἶναι τοῖς Μιλησιακοῖς λόγοις ὑπερκηλούμενος. Cf. Bæhr. *Röm. Literat.* § 177.

Ovid. Trist. II, 413 :

Junxit Aristides Milesia crimina secum;
pulsus Aristides nec tamen urbe sua est.

E LIBRO SEXTO.

29.

Harpocratio : Δερμηστής... Δίδυμος μὲν ἀποδίδωσι τὸν σκώληκα οὕτω λέγεσθαι ἐν Νιόβῃ, ἐν ζ' Τῆς ἀπορουμένης λέξεως. Ἀρίσταρχος δὲ τὸ Σοφόκλειον ἐξηγούμενος τὸν ὄφιν ἀπέδωκε. Μήποτε δὲ μᾶλλον εἴη ἂν ὅστις τὰ δέρματα ἐσθίει δερμηστής, ὡς ὑποσημαίνεται καὶ ἐν ς' Μιλησιακῶν Ἀριστείδου. V. Steph. Thes. s. v. II, p. 1006, C.

ΠΕΡΙ ΠΑΡΟΙΜΙΩΝ.

30.

E LIBRO SECUNDO.

Steph. Byz. v. Δωδώνη, de proverbio Δωδωναῖον χαλκεῖον : Προσθετέον οὖν τῷ περιηγητῇ Πολέμωνι, ἀκριβῶς τὴν Δωδώνην ἐπισταμένῳ, καὶ Ἀριστείδῃ τὰ τούτου μεταγεγραφότι, λέγοντι κατὰ τὴν β'· « Ἐν τῇ Δωδώνῃ στῦλοι δύο παράλληλοι καὶ παρεγγὺς ἀλλήλων· καὶ ἐπὶ μὲν θατέρου χαλκεῖόν ἐστιν οὐ μέγα, τοῖς δὲ νῦν παραπλήσιον λέβησι, ἐπὶ δὲ θατέρου παιδάριον ἐν τῇ δεξιᾷ χειρὶ μαστίγιον ἔχον, οὗ κατὰ τὸ δεξιὸν μέρος ὁ τὸ λεβήτιον ἔχων κίων ἕστηκεν. Ὅταν οὖν ἄνεμον συμβῇ πνεῖν, τοὺς τῆς μάστιγος ἱμάντας χαλκοῦς ὄντας, ὁμοίως τοῖς ἀληθινοῖς ἱμᾶσιν, αἰωρουμένους ὑπὸ τοῦ πνεύματος συνέβαινε ψαύειν τοῦ χαλκείου καὶ τοῦτο ἀδιαλείπτως ποιεῖν, ἕως ἂν ὁ ἄνεμος διαμένῃ. »

Cf. Suidas v. Δωδωναῖον χαλκεῖον, ubi postquam Demonis (fr. 18) sententiam exposuit, pergit ita : Ἀριστοτέλης δὲ ὡς πλάσμα διελέγχων (sc. Demonis explicationem) δύο φησὶ στύλους εἶναι καὶ ἐπὶ μὲν τοῦ ἑτέρου λέβητα, ἐπὶ θατέρου δὲ παῖδα κρατοῦντα μάστιγα, ἧς τοὺς ἱμάντας χαλκέους ὄντας σειομένους ὑπ' ἀνέμου τῷ λέβητι προσκρούειν, τὸν δὲ τυπτόμενον ἠχεῖν. Πρὸς Δήμωνα· εἰ δὲ πολλοὶ ἦσαν, οὐκ ἂν ἑνικῶς ἐλέγετο ἡ παροιμία. Pro Ἀριστοτέλης legendum esse Ἀριστείδης e Stephani loco patet. Eandem nominum confusionem habet Prov. codex Coislin. 116 Vide Leutsch. ad Zenob. Prov. VI, 5, ubi reliquos, qui de hoc proverbio egerunt, laudatos invenies. « Verba πρὸς Δήμωνα indicant ea quæ nunc sequuntur, εἰ δὲ πολλοὶ κτλ. ab Aristide contra Demonis sententiam, multos pelves fuisse, monita esse. » *Preller*, ad Polem. p. 58.

31.

E LIBRO TERTIO.

Athenæus XIV, p. 641, A : Τὸ μέντοι κατὰ τὴν παροιμίαν λεγόμενον « Ἀβυδηνὸν ἐπιφόρημα » τέλος τί ἐστι καὶ ἐλλιμένιον, ὡς Ἀριστείδης φησὶν ἐν τρίτῳ Περὶ παροιμιῶν.

Tum grati animi testem epigramma Simonides
cippo mortui, qui ipsum servaverat, inscripsit :
« Hic Cei Simonidis est servator,
qui vel mortuus vivo gratiam retulit. »

FABULÆ MILESIÆ.

29.

Δερμηστής fortasse is potius est, qui τὰ δέρματα, *coria*, edit, sicuti subindicat in sexto Milesiacorum Aristides.

DE PROVERBIIS.

30.

Assentiendum potius est Polemoni periegetæ, Dodonæarum rerum optime gnaro, et Aristidi, qui Polemonem exscribens in libro secundo ait : « In Dodona duæ sunt columnæ parallelæ, nec multum inter se distantes, quarum in altera est vas æneum haud ita magnum lebetibusque nostris simile; in altera stat puerulus dextra manu tenens flagellum, et ad dextram habens columnam, in qua positum est vasculum. Jam igitur si ventus spiraverit, flagelli loci ænei, similiter ac coreacei, vento agitati in vas æneum illiduntur, idque continuo fit tamdiu quam ventus perdurat.

31.

Quod autem in proverbio dicitur *Abydenorum epiphorema*, id vectigal quoddam est et portorium, ut Aristides ait tertio libro De proverbiis.

32.

Steph. Byz. v. Τένεδος, de proverbio Τενέδιος πέλεκυς. V. Aristotelis fr. 170, p. 157.

33

Zenobius VI, 11 : Τὰ τρία τῶν εἰς τὸν θάνατον. Μέμνηται ταύτης Ἀλέξανδρος (Ἄλεξις Suidas) ἐν Αἰπόλοις. Ἀριστείδης μὲν οὖν φησὶν ὅτι ὁ μαντευόμενος ἐν Δελφοῖς σεσημασμένον ἐλάμβανε τὸν χρησμὸν, καὶ προείρητο αὐτῷ, εἰ λύσει πρὸ τῆς νενομισμένης ἡμέρας, ἕξει μίαν τῶν τριῶν· ἢ γὰρ τῶν ὀφθαλμῶν αὐτὸν ἔδει στερηθῆναι ἢ τῆς χειρὸς ἢ τῆς γλώττης. Ἄλλοι δέ φασιν ὅτι τῷ καταγινωσκομένῳ θάνατον τρία προσεφέρετο, ξίφος, βρόχος, κώνειον.

Cf. Suidas v. Τὰ τρία τὰ εἰς τὸν θάνατον (sic leg. sec. Aristidis prov. explicationem), et v. Εἴποις τὰ τρία παρὰ τῇ αὐλῇ. Apostol. XVIII, 20; Zenob. III, 100.

Eustathius ad Odyss. V, 408, p. 1747, 6, de proverbio ἐς κόρακας : Ἀριστείδης δὲ ἀποδίδωσι διὰ τὸ ἐν τραχέσι τόποις καὶ κρημνώδεσι τοὺς κόρακας νεοττοποιεῖσθαι λέγειν ἡμᾶς « φεῦγ' ἐς κόρακας », ὅ ἐστιν εἰς ἀποκρήμνους τόπους καὶ εἰς φθοράν.

Grammatica quædam ex Aristide (nisi esse debet Aristarchus) laudat Schol. Ven. Il. ν, 82 : χάρμη] χάρμην λέγει τὴν εἰς μάχην παράθηξιν· τὴν γὰρ χαρὰν, ὥς φησι καὶ Ἀριστείδης (Ἀρίσταρχος schol. Ven. alt. et Lips.), οὐδετέρως ἀεὶ λέγει χάρμα. Etym. M. p. 514, 5 : Κίναδος, ἐπὶ τοῦ θηρίου, παρὰ τὸ ἄδδην κινεῖσθαι· πολυκίνητα γὰρ τὰ θηρία· καὶ ἡ λοιδορία οἰκείως ἂν ἔχοι ἐπὶ τῶν πολυκινήτων· εἴρηται δὲ παρὰ Μιλησίῳ (num Ἀριστείδῃ, an potius Ὥρῳ?).

ARISTIPPUS.

Diogen. L. III, 83 : Γεγόνασι δὲ Ἀρίστιπποι τέσσαρες... δεύτερος, ὁ τὰ Περὶ Ἀρκαδίας γεγραφώς. Eadem Eudocia p. 71.

ΑΡΚΑΔΙΚΑ.

E LIBRO PRIMO.

1.

Clemens Alex. Strom. I, p. 139 : Ἆπίς τε ὁ Ἄργους βασιλεὺς Μέμφιν οἰκίζει, ὥς φησιν Ἀρίστιππος ἐν πρώτῳ Ἀρκαδικῶν. Τοῦτον δὲ ὁ Ἀριστέας ὁ Ἀργεῖος ἐπονομασθῆναί φησι Σάραπιν καὶ τοῦτον εἶναι ὃν Αἰγύπτιοι σέβουσιν. Eadem Euseb. P. E. X, p. 293. De Aristea Argivo scriptore nihil constat, nisi forte putes eundem esse cum Aristea Argivo, qui contra Aristippum seditionem movens, Pyrrhum in urbem arcessivit (Plutarch. Pyrrh. c. 30), 272 a. C. — De Sarapide librum scripsit Aristocles peripateticus Messenius. Suidas s. v.

2.

Schol. Theocrit. I, 3 : Ἀρίστιππος δὲ ἐν τῷ α Ἀρκαδικῶν (codd. ἐν τῷ Ἀρκαδικῷ) Διὸς καὶ νύμφης Οἰνηΐδος (Πᾶνα εἶναι λέγει).

E LIBRIS INCERTIS.

3.

Schol. Apoll. Rh. III, 1087 : Ἐκ τίνος γυναικὸς ὁ Δευκαλίων ἐγένετο Προμηθεῖ, σεσιώπηται. Ἔστι δὲ καὶ ἕτερος Δευκαλίων, περὶ οὗ Ἑλλάνικος ἱστορεῖ· καὶ ἄλλος, ὁ Μίνωος, περὶ οὗ Φερεκύδης· καὶ τέταρτος, ὁ Ἄβαντος, οὗ μνημονεύει Ἀρίστιππος ἐν Ἀρκαδικοῖς.

4.

Schol. vet. Pind. Ol. XI, 83. Narravit Pindarus Herculem, Elide capta, ludos Olympicos instituisse, in iisque primis ludis curru vicisse Semum Mantineensem, filium Halirrhothii. Annotat Schol.: Μετὰ τὴν τῆς Ἤλιδος ἅλωσιν εἰς ἣν τῶν ἀγωνισαμένων ὁ Θησεὺς, οὐχ ἅρματι δὲ, ἀλλὰ παγκρατίῳ· ἱστορεῖ Ἀρίστιππος (cod. Ἀρίσιππος).

οὐχ ἅρματι] Hæc interposuit scholiasta, non Aristippus. Scilicet falsa lectione moti nonnulli Halirrhothium a Pindaro ἐπιθετικῶς Neptunum dici

---

33.

Tria quæ ad mortem spectant. Meminit hujus proverbii Alexander (*Alexis*) in Caprariis. Aristides dicit eum, qui Delphicum oraculum consuleret, oracula obsignata accepisse, eique prædictum esse, si tabellas solvisset ante diem definitam, fore ut unam ex tribus hisce pœnam passurus esset : aut enim oculis, aut manu, aut lingua privatum iri. Alii vero dicunt capitis condemnatis tria proponi, gladium, laqueum, cicutam.

ARCADICA.

1.

Apis Argivorum rex Memphim condit, uti tradit Aristippus in primo Arcadicorum. Hunc vero Aristeas Argivus cognominatum esse Sarapidem eoque nomine ab Ægyptiis coli dicit.

2.

Aristippus primo libro Arcadicorum Panem esse Jovis et Œneidis nymphæ filium dicit.

3.

Deucalionem quendam, Abantis filium, commemorat Aristippus in Arcadicis.

4.

In ludis post Elidem captam ab Hercule celebratis pancratio pugnavit Theseus, ut Aristippus prodit.

putarunt, atque filium ejus curru victorem intelligendum esse Theseum. Ceterum Theseum inter certatores Olympicos Aristippus memorasse videtur ex Diphili Theseide, in cujus fragmento (ap. schol. l. l.) Theseus componitur cum Senio Mantineensi.

ARISTO PELLÆUS.

Eusebius Hist. Eccles. IV, 6 (Ἡ κατ' Ἀδριανὸν Ἰουδαίων πολιορκία) : Καὶ δὴ τὰ τῆς Ἰουδαίων ἀποστασίας αὖθις εἰς μέγα καὶ πολὺ προελθούσης, Ῥοῦφος ἐπάρχων τῆς Ἰουδαίας, στρατιωτικῆς αὐτῷ συμμαχίας ὑπὸ βασιλέως πεμφθείσης, ταῖς ἀπονοίαις αὐτῶν ἀφειδῶς χρώμενος ἐπεξῄει, μυριάδας ἀθρόως ἀνδρῶν ὁμοῦ καὶ παίδων καὶ γυναικῶν διαφθείρων, πολέμου δὲ νόμῳ τὰς χώρας αὐτῶν ἐξανδραποδιζόμενος. Ἐστρατήγει δὲ Ἰουδαίων τηνικαῦτα Βαρχωχεβᾶς ὄνομα, ὃ δὴ ἀστέρα δηλοῖ· τὰ μὲν ἄλλα φονικὸς καὶ λῃστρικός τις ἀνήρ, ἐπὶ δὲ τῇ προσηγορίᾳ οἷα ἐπ' ἀνδραπόδων, ὡς δὴ ἐξ οὐρανοῦ φωστὴρ αὐτοῖς κατεληλυθώς, κακουμένοις τε ἐπιλάμψαι τερατευόμενος. Ἀκμάσαντος δὲ τοῦ πολέμου ἔτους ὀκτωκαιδεκάτου τῆς ἡγεμονίας Ἀδριανοῦ κατὰ Βίθθηρα πόλιν, ἥτις ἦν ὀχυρωτάτη, τῶν Ἱεροσολύμων οὐ σφόδρα πόρρω διεστῶσα, τῆς τε ἔξωθεν πολιορκίας χρονίου γενομένης, λιμῷ τε καὶ δίψει τῶν νεωτεροποιῶν εἰς ἔσχατον ὀλέθρου περιελαθέντων, καὶ τοῦ τῆς ἀπονοίας αὐτοῖς αἰτίου τὴν ἀξίαν ἐκτίσαντος δίκην, τὸ πᾶν ἔθνος ἐξ ἐκείνου καὶ τῆς περὶ τὰ Ἱεροσόλυμα γῆς πάμπολυ ἐπιβαίνειν εἴργεται νόμου δόγματι καὶ διατάξεσιν Ἀδριανοῦ, ὡς ἂν μηδ' ἐξ ἀπόπτου θεωροῖεν τὸ πατρῷον ἔδαφος ἐγκελευσαμένου, [ὡς] Ἀρίστων ὁ Πελλαῖος ἱστορεῖ. Οὕτω δὴ τῆς πόλεως εἰς ἐρημίαν τοῦ Ἰουδαίων ἔθνους καὶ παντελῆ φθορὰν τῶν πάλαι οἰκητόρων ἐλθούσης, ἐξ ἀλλοφύλου τε γένους συνοικισθείσης, ἡ μετέπειτα συστᾶσα Ῥωμαϊκὴ πόλις τὴν ἐπωνυμίαν ἀμείψασα, εἰς τὴν τοῦ κρατοῦντος Αἰλίου Ἀδριανοῦ τιμήν, Αἰλία προσαγορεύεται.

Eadem narrat Nicephorus H. Eccl. III, 24. — ὁ Πελλαῖος] « Id est ex urbe Syriæ Pella, quæ post excisam a Tito urbem Hierosolyma, sedes fuit episcopatus Hierosolymitani. Porro hic Aristo Pellæus auctor esse dicitur libelli cujusdam, cui titulus erat *Disputatio Jasonis et Papisci*. Ita scribit Maximus in schol. ad Dionys. De mystica theolog. c. 1 : Ἀνέγνων δὲ τοὺς ἑπτὰ οὐρανοὺς καὶ ἐν τῇ συγγεγραμμένῃ Ἀρίστωνι τῷ Πελλαίῳ Διαλέξει Παπίσκου καὶ Ἰάσονος, ἣν Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν ἕκτῳ βιβλίῳ τῶν Ὑποτυπώσεων τὸν ἅγιον Λουκᾶν φησὶν ἀναγράψαι. Hujus libelli meminit Celsus et Origenes libro quarto Contra Celsum. Eundem ex Græco in latinum sermonem vertit Celsus quidam. Sed sola ejus præfatio hodie superest inter opuscula Cypriani. » VALESIUS. Plura de hoc Dialogo vide ap. Fabricium in B. Gr. tom. V, p. 187 ed. princ., VII, p. 156 ed. Harl.

Schol. ad Actor. VIII, 27 ap. Albert. in Gloss. Gr. N. T. p. 213 et Cramer. Anecd. III, p. 415: Κανδάκην Αἰθίοπες πᾶσαν τὴν τοῦ βασιλέως μητέρα καλοῦσιν. Οὕτω Βίων ἐν πρώτῳ Αἰθιοπικῶν· « Αἰθίοπες τοὺς βασιλέων πατέρας οὐκ ἐκφαίνουσιν, ἀλλ' ὡς ὄντας υἱοὺς ἡλίου παραδιδόασι· ἑκάστου δὲ τὴν μητέρα καλοῦσι Κανδάκην. » Cf. Hesych.: Κάνδη, γυνὴ ἡ Κανδ.

ΑΣΣΥΡΙΑΚΑ.

(6.)

Syncell. p. 359, C: Ἐβασίλευσαν Ἀσσύριοι ἀπὸ Νίνου καὶ Σεμιράμεως μέχρι Βελεοῦν τοῦ Δελκετάδου. Εἰς τοῦτον γὰρ τοῦ Σεμιράμεως γένους λήξαντος, Βελιταρᾶν κηπουργὸς ἐβασίλευσε καὶ τὸ ἐκείνου γένος ἑξῆς μέχρι Σαρδαναπάλλου, καθὰ Βίωνι καὶ Ἀλεξάνδρῳ δοκεῖ τῷ Πολυΐστορι. Syncellus hauserit ex Agathia (II, 25), qui de iisdem rebus fusius exponit (v. Polyhistoris fr. 2). Bionis mentio ex Alexandro fluxerit.

BOTRYAS MYNDIUS.

Ptolemæus Heph. ap. Phot. cod. 190, p. 147, 21: Βοτρύας ὁ Μύνδιος τῆς Νιόβης παῖδας πάντας ὑπὸ Ἀπόλλωνός φησιν ἀνῃρῆσθαι.

Βότρυας] idem quod Βότρυς, cujus nominis viros v. ap. Dindorf. in Steph. s. v. et in Meinek. Hist. crit. com. p. 408 *not.*

DE ÆTHIOPIA.

4.

Multi etiam pulcerrimos creabant reges, uti etiamnum Æthiopes qui Athanati, *Immortales*, (*Macrobii* ap. Herodot.) vocantur, uti Bion narrat in Æthiopicis.

5.

Candacen Æthiopes quamque regis matrem appellant, teste Bione in primo De Æthiopia, ubi hæc: « Æthiopes patres regum non exhibent, quos pro Solis filiis habent, matrem vero uniuscujusque Candacen appellant. »

DE REBUS ASSYRIORUM.

6.

Regnarunt Assyrii a Nino et Semiramide usque ad Beleum Delcetadæ filium. In quo quum Semiramidea stirps deficeret, Belitaran hortulanus regno potitus est, quod apud posteros ejus mansit usque ad Sardanapallum, uti Bioni et Polyhistori videtur.

BRUTTIUS s. **BRETTIUS**, chronographus, homo Christianus, quem laudant Euseb. Chron. p. 379 ad Ol. 218, 3, Syncell. p. 344, A, Malala p. 34, 22; 139, 17; 262, 21 ed. Bonn., serioris est ætatis, quam ut fragmenta ejus hic locum inveniant. Vide quæ de eo disputat Bentlej. ad Millium p. 71, ad calcem Malalæ edit. Bonn.

BUTORIDES ap. Plinium H. N. XXXVI, c. 12, inter eos recensetur, qui de pyramidibus Ægyptiis scripserunt.

CÆMARO, Indicôn auctor, apud Plutarch. De fluv. 4. V. Daimachi fragm. 4 *a*. tom. II, p. 441.

CALLICRATES Περὶ Ἀθηνῶν scripsit. Vid. Menecles Barcæus.

CALLIDEMUS.

Plinius H. N. IV, 12, 21 : (Eubœa) *antea vocitata est..., ut Aristides Macra, ut Callidemus, Chalcis.* Eadem Solin. c. 17. Idem nomen est in indice auctorum lib. IV. Nihilominus fortasse corruptum ex *Clidemus*.

CALLIPHANES.

Plinius VII, c. 2, p. 5 ed. Tchn. : *Supra Nasamones confinesque illis Machlyas, Androgynos esse utriusque naturæ inter se vicibus coeuntes Calliphanes tradit. Aristoteles adjicit dextram mammam iis virilem, lævam muliebrem esse.*

Qui sit hic Calliphanes, cujus nomen recurrit in catalogo auctorum ad lib. III. V. VI, parum liquet. Calliphanes quidam, ὁ τοῦ Παραβρύκοντος κληθεὶς, memoratur ap. Athenæum, I, p. 4, C. Lysiæ contra Καλλιφάνη orationem citat Harpocrat. v. Νωθεία.

CALLIPPUS CORINTHIUS.

ΕΣ ΟΡΧΟΜΕΝΙΟΥΣ ΣΥΓΓΡΑΦΗ.

1.

Pausanias IX, 29, 1 : Θῦσαι δὲ ἐν Ἑλικῶνι Μούσαις πρώτους καὶ ἐπονομάσαι τὸ ὄρος ἱερὸν εἶναι Μουσῶν Ἐφιάλτην καὶ Ὦτον λέγουσιν, οἰκίσαι δὲ αὐτοὺς καὶ Ἄσκρην· καὶ δὴ καὶ Ἡγησίνους ἐπὶ τῷδε ἐν τῇ Ἀτθίδι ἐποίησεν·

Ἄσκρῃ δ' αὖ παρέλεκτο Ποσειδάων ἐνοσίχθων·
ἣ δή οἱ τέκε παῖδα περιπλομένων ἐνιαυτῶν
Οἴοκλον, ὃς πρῶτος μετ' Ἀλωέος ἔκτισε παίδων
Ἄσκρην, ἥθ' Ἑλικῶνος ἔχει πόδα πιδακόεντα.

Ταύτην τοῦ Ἡγησίνου τὴν ποίησιν οὐκ ἐπελεξάμην· ἀλλὰ πρότερον ἄρα ἐκλελοιπυῖα ἦν πρὶν ἢ ἐμὲ γενέσθαι. Κάλλιππος δὲ Κορίνθιος ἐν τῇ Ἐς Ὀρχομενίους συγγραφῇ μαρτύρια ποιεῖται τῷ λόγῳ τὰ Ἡγησίνου τὰ ἔπη. Ὡσαύτως δὲ καὶ ἡμεῖς πεποιήμεθα παρ' αὐτοῦ Καλλίππου διδαχθέντες.

Cf. Müller. *Min.* p. 17 sq.; Welcker. *Cycl.* p. 325.

Idem IX, 38, 9 : Ἀσπληδόνα δὲ ἐκλιπεῖν τοὺς οἰκήτοράς φασιν, ὕδατος σπανίζοντας· γενέσθαι δὲ τὸ ὄνομα ἀπὸ Ἀσπληδόνος τῇ πόλει· τοῦτον δὲ εἶναι νύμφης τε Μιδείας καὶ Ποσειδῶνος· ὁμολογεῖ δὲ καὶ ἔπη σφίσιν, ἃ ἐποίησε Χερσίας, ἀνὴρ Ὀρχομένιος·

Ἐκ δὲ Ποσειδάωνος ἀγακλειτῆς τε Μιδείας
Ἀσπληδὼν γένεθ' υἱὸς ἀν' εὐρύχορον πτολίεθρον.

Τοῦδε τοῦ Χερσίου τῶν ἐπῶν οὐδεμία ἦν ἔτι κατ' ἐμὲ μνήμη· ἀλλὰ καὶ τάδε ἐπηγάγετο ὁ Κάλλιππος ἐς τὸν αὐτὸν λόγον τὸν ἔχοντα ἐς Ὀρχομενίους. Τούτου δὲ τοῦ Χερσίου καὶ ἐπίγραμμα οἱ Ὀρχομένιοι τὸ ἐπὶ τῷ Ἡσιόδου τάφῳ (v. Pausan. l. l. § 4) μνημονεύουσι. Cf. Müller. l. l.

DE REBUS ORCHOMENIORUM.

1.

In Helicone primos omnium sacra Musis fecisse et Musis eum montem consecrasse Ephialtem et Otum tradunt; eosdem etiam Ascram condidisse; quod Hegesinus in Atthide poemate his versibus indicavit :

Ast Ascræ optato potitur Neptunus amore :
mox illi quæ progenuit volventibus annis
Œoclum, natis primus qui junctus Aloei
udi ad radices Heliconis condidit Ascram.

Hanc Hegesini poesin ego nunquam legi, quandoquidem ante me natum prorsus evanuerat; sed Callippus Corinthius in historia quam de Orchomeniorum rebus conscripsit, eorum Hegesini versuum testimonio utitur; idem nos quoque facimus a Callippo edocti.

2.

Aspledonem ob aquarum penuriam desertam tradunt; nomen vero urbi contigisse ab Aspledone, quem Midea nympha Neptuno pepererit. Id confirmant versus a Chersia facti, viro Orchomenio :

Neptunoque tridentifero insignique Midea
Aspledon satus est, ampla spectandus in urbe.

Ætate quidem mea Chersiæ hujus carmina jam vetustas aboleverat; sed hos quoque versus Callippus retulit in libro De Orchomeniis. Eidem Chersiæ epigramma Orchomenii attribuunt, quod Hesiodi sepulcro inscriptum est.

DOMITIUS CALLISTRATUS.

Auctor noster qui Heracleæ Ponticæ historiam condidit libris minimum septem, modo Callistratus simpliciter dicitur (fr. 1-3), modo addito prænomine *Domitius* Callistratus (fr. 4-8). Hinc conjicimus Callistratum (sicuti Corn. Alexandrum Polyhistorem) Romani patroni fuisse libertum, qui fortasse post eversam bello Mithridatico Heracleam patriam captivus in Italiam abductus erat. Distinguendus ab eo est Callistratus Aristophaneus, qui commentariis suis in Homerum, Pindarum, tragicos et comicos, grammaticis notissimus est (*).

Præter Heracleæ historiam laudatur Callistrati *De Samothracia* opus; quod num ad Domitium C. pertineat necne, nescimus. *Callistratus Tenedius* inter Arati interpretes recensetur in antiquo catalogo Petrii Victorii, ut ex Vossio disco. Sed vereor magnopere ne ille Callistratus fuerit *Cleostratus*; ejus enim nominis familiam astronomorum in Tenedo ins. habitasse arguunt Cleostratus Tenedius, octaeteridis inventor (Censorin. 18. Cf. Ideler. Chron. II, p. 605 sq.), atque alius junior Tenedius, qui *Phænomena* scripsit (Vit. Arat. in Βιογρ. Westermanni p. 57, 29 et schol. Vatican. in Euripid. Rhes. 524, p. 299 ed. Cobet.). Præterea Callistrati nomen haud semel cum Callisthenis confusum esse ostendimus ad fragm. Callisthen. p. 32. Jam quum schol. Apollon. Rhod. duobus locis (I, 1037. II, 672. V. Callisth. fr. 39. 40, p. 28) Periplum Callisthenis laudet de locis Ponticis, suspicio est his quoque locis pro notiore *Callisthene* reponendum esse *Callistratum*, eumque nostrum esse Domitium Heracleotam, qui Περίπλουν Πόντου condiderit, sicuti Ἀσίας περίπλουν composuerat Nymphis Heracleota.

(*) Non distinguendum esse fortasse inde aliquis colligat, quod Athenæus VI, p. 363, E. ex Callistrato Aristophaneo narrat Mariandynos servos δωροφόρους appellatos esse, sicuti *Penestæ* dicebantur apud Thessalos, *Clarotæ* apud Cretenses. Exscripsi locum fr. 10. Sed hujus rei memorandæ opportunitatem Commentarii in comicos poetas glossarumque collectiones sæpissime præbere poterant; neque quidquam præterea indagare potui, quod ejusmodi sententiæ probabilitatis speciem conciliaret. Ceterum de Callistrati Commentariis *Homericis* vid. schol. et Eustath. Ad *Pindarum* laudatur a schol. P. II, 1, N. III, 1. VII, 150, Isthm. II, 1. 18. IV, 1; ad *Euripidem* a schol. Orest. 301. 424. 1030; ad *Aristophanem* citatur sexcenties. Ejus in *Cratinum* comment. laudat Athen. XI, p. 495; idem aliis etiam comicis operam suam navasse videtur. Cum hoc argumento conjunctus quodammodo erat liber Περὶ ἑταιρῶν. (Athenæus XIII, p. 591, D: Ἐπλούτει δὲ σφόδρα ἡ Φρύνη, καὶ ὑπισχνεῖτο τειχιεῖν τὰς Θήβας, ἐὰν ἐπιγράψωσι Θηβαῖοι, « Ἀλέξανδρος μὲν κατέσκαψεν, ἀνέστησε δὲ Φρύνη ἡ ἑταίρα, » ὡς ἱστορεῖ Καλλίστρατος ἐν τῷ Περὶ ἑταιρῶν.) Ejusdem Σύμμικτα citat Athenæus III, p. 125, B (βιβλ. ζ. de Simonide), et Erotian. v. χεῖαι (βίβλ. ς'). Ex iisdem libris fluxerit quod Athenæus habet I, p. 21, C: Καλλίστρατός τε ὁ Ἀριστοφάνειος Ἀρίσταρχον ἐν συγγράμματι κακῶς εἴρηκεν ἐπὶ τῷ μὴ εὐρύθμως ἀμπέχεσθαι, φέροντός τι καὶ τοῦ τοιούτου πρὸς παιδείας ἐξέτασιν. — Præterea vid. indices auctorum ad Phot. Lex.; Hesych., Harpocrat. (v. ἁπλῆς), Suidam, Zonaram, Bekker. Anecd. Plurima ex iis enotavit Clintonus F. H. III, p. 530. Accuratius hæc pervestigaturo præsto erit R. Schmidt. *Comment. De Callistrato Aristophaneo.* Halæ 1838. *Callistratus*, qui in nonnullis codd. Suidæ, Harpocrationis, Photii una cum *Menecle* Περὶ Ἀθηνῶν laudatur, esse debet *Callicrates*. Vide fragmenta Meneclis Barcæi. Eadem nomina permutata sunt ap. Plutarch. Vit. X Orat. in Demosthen. (p. 281, 9 in Βιογρ. Westermanni). — Alios Callistratos vide ap. Fabric. B. Gr. V, p. 560 sq.

ΠΕΡΙ ΗΡΑΚΛΕΙΑΣ.

E LIBRO SECUNDO.

1.

Apollonius Rhodius II, 780, Priolaum (*a Priola urbe prope Heracleam*), fratrem Lyci, Dascylo nati, regis Mariandynorum, prœlio contra Mysos commisso interfectum esse dicit, atque mortem ejus etiam nunc cantilenis a Mariandynis defleri. Ad hæc scholiasta:

Ἰδίως τὸν θρηνούμενον (θρυλλούμενον vulg.; em. Dindorf.) Πριόλαόν φησι, τῶν ἄλλων Βάρυνον λεγόντων τὸν Τιτίου υἱόν, ὡς Νύμφις καὶ Καλλίστρατος.

Nymphis (fr. 9) de patris nomine nihil tradidit, neque Βάρυνον sed Βῶρμον dixit, uti Hesychius s. v; eamque formam etiam n. l. reponi jure vult Dindorf. in Steph. Thes. v. Βώριμος. In codice Paris. est ita: Τιτίου δὲ υἱὸς Βαρίνος κατὰ Νύμφιν καὶ Καλλίστρατον, κατὰ δὲ ἄλλους Πριόλαος. Postrema de suo adjecit. Nam ita schol. Æschyl. Pers. 941: Καλλίστρατος ἐν δευτέρῳ Περὶ Ἡρακλείας, Τιτίου (vg. Τιτυοῦ) παῖδας εἶναί φησι δύο, Πριόλαν καὶ Μαριανδυνόν, ὃν κυνηγοῦντα ἀπολέσθαι, καὶ μέχρι τοῦ νῦν Μαριανδυνοὺς ἐν ἀκμῇ θέρους θρηνεῖν αὐτόν· τὸν δὲ Μαριανδυνὸν αὐξῆσαι μάλιστα τὴν θρηνητικὴν αὐλῳδίαν καὶ

DE HERACLEA.

1. Quod Priolaus dicitur ille, quem cantilenis Mariandyni lugent, proprium est Apollonii; nam ceteri Barynum (*Bormum*) dicunt Titiæ filium, ut Nymphis et Callistratus. Callistratus libro de Heraclea secundo dicit Titiæ filios esse Priolaum et Mariandynum, *et præter hos Bormum*, qui in venatione perierit: Mariandynum vero multum excoluisse aulodiam threneticam, eamque docuisse Hyagnim, patrem Marsyæ.

διδάξαι ταύτην Ὕαγνιν τὸν Μαρσύου πατέρα. Verum hic nihil de Bormo sive *Baryno*, qui olim post Μαριανδυνὸν excidisse videtur. Integram sententiam Callistrati dabit Pollux : Βώριμος δὲ Μαριανδυνῶν γεωργῶν ᾆσμα, ὡς Αἰγυπτίων Μανέρως, καὶ Λιτυέρσας Φρυγῶν... Ὁ δὲ Βώριμος ἦν Ἰόλλα (l. Πριόλας) καὶ Μαριανδυνοῦ ἀδελφὸς, Οὐπίου (l. Τιτίου) βασιλέως παῖς. De mortis causa aliter Nymphis l. l. Quod de Mariandyno *post mortem fratris* aulodiam threneticam excolente et magistro Hyagnis affert schol. Æschyli, in sua transtulit Eustathius ad Dion. Perieg. v. 787, p. 251 ed. Bernhardy. — Ceterum Βῶρμον nomen in aliis hoc genus fabulis dici Βῶρον monui ad fragm. Chronolog. p. 174 sq. Nominis ratio latet. Quum tamen et Priolaus et Titias et Mariandynus et Cyzicus ex urbium et regionum nominibus ficti sint, simile quid subesse rit Boro s. Bormo. Βωρεῖς, tribules tribus Cyzicenæ in Inscr. Cyzic. ap. Caylum *Recueil d'Antiq. égypt.* I, 2, *pl.* 60. Βῶρον Lydiæ urbem ex Lex. Septemv. affert Dindorf. in Stephan. Thes. v. Βῶροι coll. v. Βωρεύς. — De cantilenis istis adi Bode. Hist. poes. Gr. tom. II, p. 92 sqq.

2.

Schol. Apoll. Rhod. I, 1126 : Καλλίστρατος δὲ ἐν τῷ δευτέρῳ τοῦ καθ' Ἡρακλείαν περὶ Τιτίου φησί· « Τιτίας, ἥρως ἐγχώριος, ὃν οἱ μὲν μυθεύονται παῖδα Διὸς, οἱ δὲ πρεσβύτερον (l. τὸν πρεσβύτατον) τῶν Μαριανδυνοῦ τοῦ Κιμμερίου παίδων· δι' ὃν μάλιστα τὸ ἔθνος ηὔξηται, καὶ προάγεται ἔτι εἰς εὐδαιμονίαν. » Καὶ Προμαθίδας δὲ ἐν τοῖς Περὶ Ἡρακλείας λέγει περὶ Τιτίου ὅστις ἦν, καὶ Θεοφάνης. Ἀπεθεώθη δὲ ἀπὸ Μαριανδυνῶν.

Cf. idem II, 780 : Τὸν Τιτίαν οἱ μέν φασι Διὸς παῖδα, [οἱ δὲ] ἕνα τῶν Ἰδαίων Δακτύλων, οἱ δὲ τὸν πρεσβύτατον τῶν Μαριανδυνοῦ παίδων. Ὁ δὲ Μαριανδυνὸς Φινέως ἢ Φρίξου ἢ Κιμμερίου λέγεται παῖς εἶναι. Ἀπὸ δὲ Τιτίου φασὶ Τίτιον τὴν πόλιν κληθῆναι. Verba [οἱ δὲ] habet cod. Paris.; in vulg. absunt, recte. — Apollonius II, 780 Titiam ab Hercule in ludis funebribus Priolai in honorem celebratis occisum esse tradit. Lib. I, 1126 Titiam et Cyllenum, πρώτους πόλεων μοιραγέτας ἠδὲ παρέδρους Μητέρος Ἰδαίης dicit. Atque ita Apollonius dixit, notante scholiasta, ἀκολουθῶν Μενάνδρῳ, λέγοντι Μιλησίους, ὅταν θύωσι τῇ Ῥέᾳ, προθύειν Τιτίᾳ καὶ Κυλλήνῳ. Cf. Welcker. *Trilog.* p. 172 ; Lobeck. Aglaoph. p. 1165. Menander ille, aliunde non notus, fortasse est Heracleota, quem Plinius H. N. in indic. lib VIII et IX apponit. Sed fieri etiam potest ut nomen corruptum sit, ac intelligi debeat Μαιάνδριος ὁ Μιλήσιος, de quo v. tom. II, p. 334.

E LIBRO TERTIO.

3.

Stephan. Byz. : Τάφραι καὶ Τάφρη, ἑνικῶς, χώρα ταφρευθεῖσα περὶ τὴν Μαιῶτιν λίμνην ὑπὸ δούλων ταῖς δεσποίναις συμμιγέντων κατὰ τὸν πολυχρόνιον πόλεμον τῶν Σκυθῶν, τῶν δεσποτῶν πολεμούντων τοῖς Θρᾳξὶν ἢ τοῖς ἐντὸς Ἴστρου, ὡς Καλλίστρατος ἐν τρίτῳ. Ταύτην τὴν χώραν κατοικῆσαι Σατορχαίους. Οἱ οἰκοῦντες Σατορχαῖοι. Rem fusius exponit Herodotus IV, 1 sqq. Fossam ductam dicit (c. 3) ἐκ τῶν Ταυρικῶν οὐρέων ἐς τὴν Μαιῆτιν λίμνην. De *Taphris* cf. Mela II, 1, 39; Plinius IX, 12, 26; Ptolemæus III, 6; Eustath. ad Dion. 163; Strabo VII, p. 308. Recentiores, qui de his dixerunt, laudat Bæhr. ad Herodot. l. l. p. 277 sq.

4.

Idem : Ψίλιον, ποταμὸς μεταξὺ Θυνίας καὶ Βιθυνίας. Δομίτιος Καλλίστρατος ἐν τρίτῳ Περὶ Ἡρακλείας· « Ἐγκυριεύσαντες ἀπὸ τοῦ Σαγγαρίου χωρίου ἕως τοῦ Ψιλίου ποταμοῦ· » Ἔστι καὶ ἄλλος Ψίλις ποταμὸς τῆς Βιθυνίας, ἐκρέων εἰς τὸν Εὔξεινον πόντον.

Ἐγκυριεύσαντες.. ἕως, Holsten.; ἐνκυριεσσαντος.. εὖ libri. De *Psili* vel potius *Psilli* (Strabo p. 543 et aliis, Ψίλλιος ap. Marcian. p. 69) constat; *Psilium* Callistrati nescio an alius memoraverit. Neque vero diversus est fluvius, uti Stephanus putat.

E LIBRO QUARTO.

5.

Idem : Ἀρκιρόεσσα, πόλις ἐν Πόντῳ, Ἡρακλείας ὑποτελής. Δομίτιος Καλλίστρατος ἐν τετάρτῃ Περὶ Ἡρακλείας. Codex Vossianus ἐν ς' Περὶ Ἡ. Num aliunde de hac urbe constat?

2.

Callistratus libro de Heraclea secundo, « Titias, ait, heros fuit indigena, quem alii fabulantur Jovis esse filium unumque ex Idæis Dactylis, alii natu maximum inter filios Mariandyni Cimmerio nati. Atque Titias ille est, per quem maxime gens augetur et producitur etiamnum ad felicitatem. » Promathidas quoque in suis de Heraclea libris quis fuerit Titias exponit, nec non Theophanes. Ceterum Titias inter deos a Mariandynis relatus est.

3.

Taphræ, aut Taphre singulariter, regio fossa munita circa Mæotin paludem a servis, qui cum dominorum uxoribus congressi erant tempore diuturni Scytharum belli, quum domini bellarent cum Thracibus vel cum iis qui intra Istrum sunt, ut Callistratus libro tertio.

4.

Psilium, fluvius inter Thyniam et Bithyniam. Domitius Callistratus in tertio de Heraclea : « Regione potiti a Sangario castello usque ad Psilium fluvium. »

5.

Arciroessa, urbs Ponti, Heracliensibus subjecta, Domitius Callistratus libro de Heraclea quarto.

6.

Idem : Μόκατα, Βιθυνίας πόλις, ὡς Δομίτιος Καλλίστρατος ἐν τῷ Περὶ Ἡρακλείας τετάρτῳ. Cod. Rhedig. : Μόκαρτα π. Βιθ., ὡς Δομάτιος. Aliunde non nota urbs, nisi forte est ea quæ τὰ Μόδρα appellatur ap. Strabon. p. 543.

LIBER VI.

Idem : Ὁδιούπολις, χωρίον Ἡρακλείας τῆς πρὸς τῷ Πόντῳ. Δομίτιος Καλλίστρατος ἕκτῳ τῶν Περὶ Ἡρακλείας.

8.

Idem v. Ὕπιος. Vide Nymphidis fr. 4, tom. II, p. 13.

E LIBRO SEPTIMO.

9.

Idem : Ὀλύμπη, πόλις Ἰλλυρίας, ὡς Δομίτιος Καλλίστρατος ἑβδόμῳ Περὶ Ἡρακλείας.

(10).

Athenæus VI, p. 263, E : Τάχ' οὖν διὰ τοῦτο καὶ Εὐφορίων ὁ ἐποποιὸς τοὺς Μαριανδυνοὺς δωροφόρους κέκληκεν·

Δωροφόροι καλεοίαθ' ὑποφρίσσοντες ἄνακτας.

Λέγει δὲ καὶ Καλλίστρατος ὁ Ἀριστοφάνειος, ὅτι τοὺς Μαριανδυνοὺς ὠνόμαζον μὲν δωροφόρους, ἀφαιροῦντες τὸ πικρὸν τῆς ἀπὸ τῶν οἰκετῶν προσηγορίας, καθάπερ Σπαρτιᾶται μὲν ἐποίησαν ἐπὶ τῶν Εἱλώτων, Θετταλοὶ δ' ἐπὶ τῶν πενεστῶν, Κρῆτες δ' ἐπὶ τῶν κλαρωτῶν. Καλοῦσι δὲ οἱ Κρῆτες τοὺς μὲν κατὰ πόλιν οἰκέτας χρυσωνήτους, ἀμφαμιώτας δὲ τοὺς κατ' ἀγρὸν, ἐγχωρίους μὲν ὄντας, δουλωθέντας δὲ κατὰ πόλεμον· διὰ τὸ κληρωθῆναι δὲ κλαρώτας. De re cf. Meinek. Euphor. p. 141; Müller. *Dor.* II, 63; Hermann. *Antiq.* § 19, et quos laudat. Ceterum v. Introduct.

ΠΕΡΙ ΣΑΜΟΘΡΑΚΗΣ.

Dionys. Hal. A. R. I, 68, postquam de diis Penatibus dixerat, quorum signa Romæ in templo non procul a Foro sita visuntur, pergit : Ὁρᾶν μὲν δὴ ταῦτα ἔξεστι, ἀκούειν δὲ καὶ γράφειν ὑπὲρ αὐτῶν, ἃ Καλλίστρατός τε ὁ Περὶ Σαμοθράκης συνταξάμενος ἱστορίαν, καὶ Σάτυρος ὁ τοὺς ἀρχαίους μύθους συναγαγὼν καὶ ἄλλοι συχνοί, παλαιότατος δὲ, ὧν ἡμεῖς ἴσμεν, ποιητὴς Ἀρκτῖνος. Λέγουσι γοῦν ὧδε· Χρύσην τὴν Πάλλαντος θυγατέρα γημαμένην Δαρδάνῳ, φερνὰς ἐπενέγκασθαι δωρεὰς Ἀθηνᾶς, τὰ δὲ Παλλάδια καὶ τὰ ἱερὰ τῶν μεγάλων θεῶν, διδαχθεῖσαν αὐτῶν τὰς τελετάς. Ἐπειδὴ δὲ τὴν ἐπομβρίαν φεύγοντες Ἀρκάδες Πελοπόννησον μὲν ἐξέλιπον, ἐν δὲ τῇ Θρᾳκίᾳ νήσῳ τοὺς βίους ἱδρύσαντο, κατασκευάσαι τὸν Δάρδανον ἐνταῦθα τῶν θεῶν τούτων ἱερὸν, ἀρρήτους τοῖς ἄλλοις ποιοῦντα τὰς ἰδίας αὐτῶν ὀνομασίας καὶ τὰς τελετὰς αὐτοῖς, τὰς καὶ εἰς τόδε χρόνου γινομένας ὑπὸ Σαμοθρᾴκων, ἐπιτελεῖν. Ὡς δὲ μετῆγε τοῦ λαοῦ τὴν πλείονα μοῖραν εἰς τὴν Ἀσίαν, τὰ μὲν ἱερὰ τῶν θεῶν καὶ τὰς τελετὰς τοῖς ὑπομείνασιν ἐν τῇ νήσῳ καταλιπεῖν· τὰ δὲ Παλλάδια καὶ τὰς τῶν θεῶν εἰκόνας κατασκευασάμενον (ἀνασκευασάμενον Sylb.) ἀγαγέσθαι μετ' αὐτοῦ. Διαμαντευόμενον δὲ περὶ τῆς οἰκήσεως τά τε ἄλλα μαθεῖν, καὶ περὶ τῶν ἱερῶν τῆς φυλακῆς τόνδε χρησμὸν λαβεῖν·

Εἰς πόλιν, ἣν κτίσητε, θεοῖς σέβας ἄφθιτον αἰεὶ
θεῖναι, καὶ φυλακαῖς τε σέβειν θυσίαις τε χοροῖς τε.
Εὖτ' ἂν (ἐς τ' ἂν Reisk.) γὰρ τάδε σεμνὰ καθ' ὑμετέρην χώρην ᾖ,
δῶρα Διὸς κούρης, ἀλόχου σέθεν, ἡ δὲ πόλις σοι
ἔσται ἀπόρθητος τὸν ἀεὶ χρόνον ἤματα πάντα.

Δάρδανον μὲν οὖν ἐν τῇ κτισθείσῃ τε ὑφ' ἑαυτοῦ καὶ ὀνομασίας ὁμοίας τυχούσῃ πόλει τὰ ἕδη καταλιπεῖν.

6.

Mocata, urbs Bithyniæ, ut ait Dom. Callistratus libro de Heraclea quarto.

7.

Hodiupolis, castellum Heracleæ juxta Pontum, cujus meminit Domitius Callistratus libro sexto de Heraclea.

9.

Olympus, urbs Illyriæ, ut Dom. Callistratus lib. VII.

DE SAMOTHRACE.

Hæc igitur videre fas est; fas etiam est audire et scribere de illis, quæ tradidit Callistratus historiæ de Samothraciæ rebus auctor, et Satyrus priscarum fabularum collector, et quum alii multi tum Arctinus poeta, omnium, quos novimus, antiquissimus. Sic igitur illi scribunt : Chrysen, Pallantis filiam, quum Dardano nupsisset, pro dote attulisse Minervæ munera, Palladia scilicet et magnorum deorum sacra, quorum mysteria didicerat. Sed quum Arcades, diluvium fugientes, Peloponnesum reliquissent, et in insula Thraciæ sedes collocassent, Dardanum hic diis istis templum extruxisse, nec aliis proprium ipsorum nomen declarasse : et ritus illis instituisse, quos ad hoc usque tempus Samothraces observant. Sed quum majorem populi partem in Asiam traduxisset, sacra eorum et mysteria illis reliquisse, qui in insula remanserant; sed Palladia et deorum imagines cum reliquis rebus, quas convasarat, secum asportasse. Quum autem de sedibus oraculum consuleret, inter multa alia quæ didicit, hoc etiam oraculum de sacrorum custodia tunc accepisse :

In urbe quam condetis diis cultum purum semper
statues, et observantia coles sacrisque chorisque.
Nam dum hæc veneranda in vestra regione fuerint
dona Jovis virginis, conjugis tuæ, ista urbs tibi
erit inexpugnabilis in perpetuum omnes dies.

Dardanum igitur in urbe quam condidit et quam de suo nomine nominavit, hæc simulacra reliquisse. Postea vero,

Ἰλίου δ' ἐν ὑστέρῳ χρόνῳ συνοικισθέντος, ἐκεῖ μετενεχθῆναι πρὸς τῶν συγγόνων (ἐκγόνων Sylb.) αὐτοῦ τὰ ἱερά. Ποιήσασθαι δὲ τοὺς Ἰλιεῖς νεών τε καὶ ἄδυτον αὐτοῖς ἐπὶ τῆς ἄκρας, καὶ φυλάττειν δι' ἐπιμελείας ἧς ἐδύναντο πλείστης, θεόπεμπτά τε ἡγουμένους εἶναι καὶ σωτηρίας κύρια τῇ πόλει. Ἁλισκομένης δὲ τῆς κάτω πόλεως, τὸν Αἰνείαν κύριον τῆς ἄκρας γενόμενον, ἄραντα ἐκ τῶν ἀδύτων τά τε ἱερὰ τῶν μεγάλων θεῶν καὶ ὅπερ ἔτι περιῆν Παλλάδιον. Θάτερον γὰρ Ὀδυσσέα καὶ Διομήδη νυκτὸς εἰς Ἴλιον ἀφικομένους λαβεῖν. Οἴχεσθαι δὲ κομίσαντα τὸν Αἰνείαν ἐκ τῆς πόλεως καὶ ἐλθεῖν ἄγοντα εἰς Ἰταλίαν. Ἀρκτῖνος δέ φησιν ὑπὸ Διὸς δοθῆναι Δαρδάνῳ Παλλάδιον ἓν καὶ εἶναι τοῦτο ἐν Ἰλίῳ ἕως ἡ πόλις ἡλίσκετο, κεκρυμμένον ἐν ἀβάτῳ. Εἰκόνα δὲ ἐκείνου κατεσκευασμένην μηδὲ ἓν τοῦ ἀρχετύπου διάφορον, ἀπάτης τῶν ἐπιβουλευόντων ἕνεκα, ἐν φανερῷ τεθῆναι, καὶ αὐτὴν Ἀχαίους ἐπιβουλεύσαντας λαβεῖν. Τὰ μὲν οὖν εἰς Ἰταλίαν ὑπ' Αἰνείου κομισθέντα ἱερὰ, τοῖς εἰρημένοις ἀνδράσι πειθόμενος, γράφω τῶν τε μεγάλων θεῶν εἰκόνας εἶναι, οὓς Σαμοθρᾷκες Ἑλλήνων μάλιστα ὀργιάζουσι, etc.

Callistrati κεχωρισμένην ἱστορίαν περὶ Σαμοθρᾴκης commemorat Joh. Magister Canabutius in Commentario epistolari in Dionys. Hal. l. l.; « cujus summarium exhibet Wesselius in Catalog. Biblioth. Vind. P. V. N. CXVII p. 164 sq.

« Hinc pauca capita excerpam quæ haud vulgarem viri eruditionem ostendant : C. 43 : Γενεαλογία τοῦ Δαρδάνου. — C. 50 : Ὅτι ὁ Δάρδανος ἐξελθὼν ἀπὸ τῆς Ἀρκαδίας κατήντησεν εἰς τὴν Σαμοθρᾴκην. — C. 54 : Περὶ τοῦ θανάτου Ἰάσου ὑπὸ κεραυνοῦ. — C. 57 : Ὅπως ἐμερίσθησαν Δάρδανος καὶ ὁ υἱὸς αὐτοῦ Ἰδαῖος, καὶ ὅτι ὁ Ἰδαῖος κατῴκησεν εἰς τὰ ὄρη τῆς Φρυγίας. — C. 62 : Περὶ τῆς μητρὸς τῶν θεῶν. — C. 84 : Ὅτι ὁ Δάρδανος ἔκτισε ναὸν εἰς τὴν Σαμοθρᾴκην καὶ ἔθηκε τοὺς θεοὺς καὶ τὰ παλλάδια. — Ὅπως ἐξῆλθεν ἀπὸ τῆς Σαμοθρᾴκης καὶ κατέλιπεν ἐκεῖ τὸν Σάμωνα (*)· quæ manifestum faciunt Canabutium nostrum pleraque quæ ad hanc fabulam pertinent, cognita habuisse, sive is Callistrati κεχωρισμένην ἱστορίαν περὶ Σαμοθρᾴκης legit, quam c. 81 commemorat, sive, quod probabilius, mythographos recentiores. Postremum c. 90 inscriptum est : Τί γράφει ὁ ποιητὴς Ἀρκτῖνος περὶ τοῦ κλαπέντος παλλαδίου ὑπὸ Διομήδους καὶ Ὀδυσσέως. » *Lobeck.* Aglaoph. p. 1206.

CARYSTIUS PERGAMENUS.

Carystius *Pergamenus* (fr. 1. 7. 10. 14. 15. 17. 19) Nicandro, quem citat fr. 6, fuit junior; Nicander autem florere cœpit extremis temporibus Ptolemæi V Epiphanis (205 - 181), inque scribendo adhuc versatus est sub Attalo tertio (138-135). V. Clinton. ad an. 182. Num Carystius quoque postrema viderit tempora regni Pergameni, an serius vixerit, in medio relinquendum.

Scripsit Didascalias in fabulas scenicorum, librum de Sotade, et Ἱστορικὰ ὑπομνήματα. Hæc non exhibuisse historiam continuam, ex temporum ordine adornatam, ex iis colligis quæ laudantur e libro tertio (fr. 10. 11); neque aliud auctor egisse videtur, nisi ut memorabilia cogeret tum ex populorum institutis tum vero ex moribus repetita et indole et fatis virorum clarorum (Philippi fr. 1. 2. 3; Alexandri 4. 5. 6; Antipatri fr. 7; Cassandri fr. 8; Lysimachi fr. 9; Demetrii Poliorcetæ fr. 10; Philetæri fr. 12. Aristophontis fr. 11).

ΙΣΤΟΡΙΚΑ ΥΠΟΜΝΗΜΑΤΑ.

1.

Athenæus XI, p. 506, E : Οὗτος δ' ἐστὶ Πλάτων, ὃν Σπεύσιππός φησι φίλτατον ὄντα Ἀρχελάῳ, Φιλίππῳ

(*) « His interponuntur plura de Vestæ, Minervæ et Martis templis aliaque cum his rebus minus conjuncta, quæ tamen aliquando edi velim : Περὶ νυμφῶν καὶ ὅτι γένη δαιμόνων εἰσίν, ἃ καλοῦσι βαρβαρίζοντες Νεγαρίδας· quæ vulgo vocantur νεγάριδας· tum Περὶ ναυτῶν καὶ τοῦ ἀστέρος τῆς τραμουντάνας· quod nomen quoniam adhuc in hominum ore viget, addam schol. Eur. Or. 1626 : Τὸ τῆς Ἑλένης ἄστρον, ἣν ἰδιωτικῶς φασι Τραμουντάναν, ἀεὶ πᾶσιν ὁρᾶται· τοῦτο δὲ καὶ ναῦται ὁρῶντες ἴσασι ἃ δεῖ. Hinc Tramontanam perdere dicuntur qui cursu excidunt. De *Canabutii* codice et argumento Fabricius tom. IV, p. 393, ait Lambecium et Kollarium longe accuratius disseruisse, quorum libros adire non potui. »

quum Ilium conditum fuisset, hæc sacra ab ejus cognatis (nepotibus) eo fuisse translata; Ilienses autem templum et adytum ipsis in arce fecisse, et quanta maxima cura potuerunt hæc servasse, quod ea divinitus sibi missa, publicamque ex iis salutem pendere crederent : sed quum urbis pars inferior caperetur, Æneam, arce potitum ex adytis sacra magnorum deorum et Palladium, quod adhuc supererat, abstulisse; alterum enim a Diomede et Ulysse Ilium noctu profectos surreptum fuisse. Æneam igitur ex urbe discessisse eaque secum tulisse et in Italiam transportasse. Sed Arctinus ait unum Palladium Dardano a Jove datum atque hoc Ilii, donec urbs caperetur, in adyto reconditum fuisse. Sed imaginem ejus effictam fuisse, quæ ne minimum quidem ab exemplari differebat : et in propatulo fuisse positam, ad eos fallendos, qui insidias ipsi struxissent, atque hanc a Græcis per insidias fuisse surreptam. Sacra igitur quæ Æneas in Italiam transtulit, viros supra nominatos secutus aio fuisse magnorum deorum simulacra, quos inter Græcos Samothraces potissimum colunt.

CARYSTIUS PERGAMENUS.

1.

Scribit Carystius Pergamenus, in Commentariis Historicis, in hunc modum : « Speusippus quum cognovisset Philippum

τῆς βασιλείας αἴτιον γενέσθαι. Γράφει γοῦν Καρύστιος ὁ Περγαμηνὸς ἐν τοῖς Ἱστορικοῖς ὑπομνήμασιν οὕτως· « Σπεύσιππος, πυνθανόμενος Φίλιππον βλασφημεῖν περὶ Πλάτωνος, εἰς ἐπιστολὴν ἔγραψέ τι τοιοῦτον, ὥσπερ ἀγνοοῦντας τοὺς ἀνθρώπους, ὅτι καὶ τὴν ἀρχὴν τῆς βασιλείας Φίλιππος διὰ Πλάτωνος ἔσχεν. Εὐφραῖον γὰρ ἀπέστειλε τὸν Ὠρείτην πρὸς Περδίκκαν Πλάτων, ὃς ἔπεισεν ἀπομερίσαι τινὰ χώραν Φιλίππῳ. Διατρέφων δ' ἐνταῦθα δύναμιν, ὡς ἀπέθανε Περδίκκας, ἐξ ἑτοίμου δυνάμεως ὑπαρχούσης, ἐπέπεσε τοῖς πράγμασι. »

2.

Idem XI, p. 508, D : Εὐφραῖος μὲν γάρ, παρὰ Περδίκκᾳ τῷ βασιλεῖ διατρίβων ἐν Μακεδονίᾳ, οὐχ ἧττον αὐτοῦ ἐβασίλευε, φαῦλος ὢν καὶ διάβολος. Ὃς οὕτω ψυχρῶς συνέταξε τὴν ἑταιρίαν τοῦ βασιλέως, ὥστε οὐκ ἐξῆν τοῦ συσσιτίου μετασχεῖν, εἰ μή τις ἐπίσταιτο τὸ γεωμετρεῖν ἢ τὸ φιλοσοφεῖν. Ὅθεν Φιλίππου τὴν ἀρχὴν παραλαβόντος, Παρμενίων αὐτὸν ἐν Ὠρεῷ λαβὼν ἀπέκτεινεν, ὥς φησι Καρύστιος ἐν Ἱστορικοῖς ὑπομνήμασιν.

3.

Idem X, p. 435, D : Καρύστιος δὲ ἐν τοῖς Ἱστορικοῖς ὑπομνήμασιν, « Ὅτε (φησὶ) μεθύειν προῃρεῖτο Φίλιππος, τοῦτ' ἔλεγε, Χρὴ πίνειν, Ἀντίπατρος γὰρ ἱκανός ἐστι νήφων. Κυβεύοντος δέ ποτε αὐτοῦ, καί τινος ἀγγείλαντος ὡς Ἀντίπατρος πάρεστι, διαπορήσας ὦσεν ὑπὸ τὴν κλίνην τὸν ἄβακα. »

4.

Idem X, p. 434, F : Εἰς τοσοῦτον δὲ Ἀλέξανδρος ἐμέθυεν, ὥς φησι Καρύστιος ὁ Περγαμηνὸς ἐν Ἱστορικοῖς ὑπομνήμασιν, ὡς καὶ ἐπὶ ὄνων ἅρματος κωμάζειν. Ἐποίουν δὲ τοῦτο, φησί, καὶ οἱ τῶν Περσῶν βασιλεῖς.

5.

Idem XIII, p. 603, B : Καρύστιος ἐν Ἱστορικοῖς ὑπομνήμασι, « Χάρωνι, φησί, τῷ Χαλκιδεῖ παῖς καλὸς ἦν, καὶ εἶχεν εὖ πρὸς αὐτόν. Ὡς δ' Ἀλέξανδρος παρὰ Κρατέρῳ αὐτὸν ἐπῄνεσε γενομένου πότου, ὁ Κράτερος ἐκέλευσε τὸν παῖδα καταφιλῆσαι τὸν Ἀλέξανδρον· καὶ ὅς, Μηδαμῶς, εἶπεν, οὐ γὰρ οὕτως ἐμὲ εὐφρανεῖ, ὡς σὲ λυπήσει. Ὥσπερ γὰρ ἦν ἐρωτικὸς ὁ βασιλεὺς οὗτος, οὕτως καὶ πρὸς τὸ καθῆκον ἐγκρατὴς καὶ πρὸς τὸ πρεπωδέστατον. Αἰχμαλώτους γοῦν λαβὼν τὰς Δαρείου θυγατέρας καὶ τὴν γυναῖκα κάλλει διαπρεπεστάτην οὖσαν, οὐ μόνον ἀπέσχετο, ἀλλ' οὐδ' ἐκείνας μαθεῖν ἐποίησεν, ὅτι εἰσὶν αἰχμάλωτοι, ἀλλ' ὡς ἔτι Δαρείου ἐν τῇ βασιλείᾳ ὄντος πάντα αὐταῖς χορηγεῖσθαι ἐκέλευσε. Διόπερ καὶ Δαρεῖος τοῦτο μαθὼν ηὔξατο τῷ Ἡλίῳ τὰς χεῖρας ἀνατείνας, ἢ αὐτὸν βασιλεύειν ἢ Ἀλέξανδρον. »

6.

Idem XV, p. 684, E : Καὶ ἀμβροσίαν δὲ ἄνθος τι ἀναγράφει ὁ Καρύστιος ἐν Ἱστορικοῖς ὑπομνήμασι, λέγων οὕτως· « Νίκανδρός φησιν, ἐξ ἀνδριάντος τῆς κεφαλῆς Ἀλεξάνδρου τὴν καλουμένην ἀμβροσίαν φύεσθαι ἐν Κῷ. » Προείρηται δ' ἄνω περὶ αὐτῆς, ὅτι τὸ κρίνον οὕτω λέγουσι.

7.

Idem XII, p. 548, E : Καρύστιος δ' ὁ Περγαμηνὸς ἐν Ἱστορικοῖς ὑπομνήμασι, « Κηφισόδωρος, φησίν, ὁ Θηβαῖος, Πολύδωρον τὸν Τήιον ἰατρὸν Ἀντιπάτρῳ

---

calumniari Platonem, in epistola quadam tale quidpiam scripsit : *Quasi vero ignorarent homines, Platonis opera regnum etiam adeptum esse Philippum.* Euphræum enim Oritam ad Perdiccam miserat Plato, qui illi persuasit, ut Philippo aliquam regionem tribueret. In qua quum ille milites aleret, mortuo Perdicca in parato habens copias, rerum potitus est. »

2.

Euphræus, quum apud Perdiccam regem in Macedonia versaretur, non minus quam ille regnavit, et pravus et calumniator fuit; qui regis sodalitatem ita frigide ordinavit, ut nemo ad convivium ejus admitteretur, nisi qui geometriam aut philosophiam calleret. Quare postquam Philippus regno potitus est, Parmenio Orei eum nactus occidit, ut Carystius narrat in Commentariis historicis.

3.

Carystius in Commentariis Historicis ait : « Quoties compotare constituisset Philippus, sic dicere solebat : *Nunc est bibendum : Antipatrum enim sufficit sobrium esse.* Quum vero aliquando tesseris luderet, nunciaretque ei aliquis, adesse Antipatrum; dubius aliquantisper consilii, aleam sub lectum detrusit. »

4.

Ut Carystius Pergamenus in Commentariis historicis refert, eo usque processit temulentiæ Alexander M., ut etiam in plaustro asinis juncto comessatum iret. Faciebant id autem, inquit, etiam Persarum reges.

5.

Carystius in Commentariis historicis scribit : « Charon Chalcidensis puerum habebat formosum, valde sibi carum. Quem quum apud Craterum aliquando inter pocula Alexander laudasset, puerum Charon jussit osculari regem : at rex, Minime vero, inquit : nec enim ille tantum mihi voluptatis, quantum tibi molestiæ est allaturus. Ut enim erat in amorem pronus rex, sic et ad honesti rationem continens et decori observantissimus. Qui quum captivas cepisset Darii filias uxoremque formosissimam, non modo abstinuit, sed curavit etiam, ut ne ipsæ quidem captivas se esse sentirent; et perinde ac si in regno adhuc Darius esset, omnia illis ministrari jussit. Quare etiam Darius, hoc cognito, manibus ad solem elatis precatus est, ut aut ipse regnum obtineret, aut Alexander. »

6.

Etiam ambrosiam florem quendam memorat Carystius in Historicis commentariis ita scribens : « Nicander ait e capite statuæ Alexandri in Co insula nasci ambrosiam quam vocant. » De hac autem supra dictum est lilium ita vocari.

7.

Carystius Pergamenus in Commentariis historicis scribit, tradi a Cephisodoro Thebano : Polydorum Teium me-

συσσιτεῖν, ψιλοτάπιδα ἔχοντι κρικωτὴν καθάπερ τοὺς στρωματεῖς εὐτελῆ, ἐφ' ἧς κατακεῖσθαι, κάδους δὲ χαλκοῦς καὶ ποτήρια ὀλίγα· γεγονέναι γὰρ ὀλιγοδίαιτον καὶ τρυφῆς ἀλλότριον.

8.

Athen. XIV, p. 620, B : Περὶ οὗ (sc. περὶ Κασάνδρου τοῦ Μακεδονίας βασιλεύσαντος) φησι Καρύστιος ἐν Ἱστορικοῖς ὑπομνήμασιν, ὅτι οὕτως ἦν φιλόμηρος, ὡς διὰ στόματος ἔχειν τῶν ἐπῶν τὰ πολλά· καὶ Ἰλιὰς ἦν αὐτῷ καὶ Ὀδυσσεία ἰδίως γεγραμμέναι.

9.

Idem XIII, p. 610, E : Εἶτ' οὐκ ἐγὼ δικαίως πάντας ὑμᾶς τοὺς φιλοσόφους μισῶ, μισοφιλολόγους ὄντας; οὓς οὐ μόνον Λυσίμαχος ὁ βασιλεὺς ἐξεκήρυξε τῆς ἰδίας βασιλείας ἀπελαύνων, ὡς ὁ Καρύστιός φησιν ἐν Ἱστορικοῖς ὑπομνήμασιν, ἀλλὰ καὶ Ἀθηναῖοι.

E LIBRO TERTIO.

10.

Idem XII, p. 542, E : Καρύστιος δὲ ὁ Περγαμηνὸς ἐν τρίτῳ Ὑπομνημάτων, « Δημήτριος, φησὶν, ὁ Φαληρεὺς, Ἱμεραίου τοῦ ἀδελφοῦ ἀναιρεθέντος ὑπ' Ἀντιπάτρου, αὐτὸς μετὰ Νικάνορος διέτριβεν, αἰτίαν ἔχων, ὡς τὰ Ἐπιφάνεια τοῦ ἀδελφοῦ θύων. Κασάνδρῳ δὲ γενόμενος φίλος, μέγα ἴσχυσε. Καὶ κατ' ἀρχὰς μὲν ἦν αὐτοῦ τὸ ἄριστον ὀξύβαφα παντοδαπὰς ἐλάας ἔχοντα καὶ τυρὸν νησιωτικόν. Ὡς δ' ἐπλούτησε, Μοσχίωνα, τὸν ἄριστον τῶν τότε μαγείρων καὶ δειπνοποιῶν, ἐωνήσατο, καὶ τοσαῦτα ἦν τὰ παρασκευαζόμενα καθ' ἡμέραν, ὥστε, χαρισαμένου τῷ Μοσχίωνι τὰ λείψανα, Μοσχίων ἐν ἔτεσι δύο τρεῖς συνοικίας ἐωνήσατο, παῖδάς τ' ἐλευθέρους ὕβριζε καὶ γυναῖκας τὰς τῶν ἐπιφανεστάτων. Ἐζηλοτύπουν δὲ πάντες οἱ παῖδες τὸν ἐρώμενον αὐτοῦ Θέογνιν· καὶ τοσοῦτον ἦν τῷ Δημητρίῳ προσελθεῖν, ὥστε, μετ' ἄριστον αὐτοῦ περιπατήσαντος παρὰ τοὺς Τρίποδας, συνῆλθον εἰς τὸν τόπον παῖδες κάλλιστοι ταῖς ἑξῆς ἡμέραις, ἵν' ὀφθεῖεν αὐτῷ. »

EX EODEM LIBRO.

11.

Idem XIII, p. 577, C : Ἀριστοφῶν δὲ ὁ ῥήτωρ, ὁ τὸν νόμον εἰσενεγκὼν ἐπ' Εὐκλείδου ἄρχοντος, ὃς ἂν μὴ ἐξ ἀστῆς γένηται νόθον εἶναι, αὐτὸς ἀπεδείχθη ὑπὸ Καλλιάδου τοῦ κωμικοῦ ἐκ Χορηγίδος τῆς ἑταίρας παιδοποιησάμενος, ὡς ὁ αὐτὸς ἱστορεῖ Καρύστιος ἐν τρίτῳ Ὑπομνημάτων.

Euclides archon fuit Ol. 94, 1. 403. De lege v. Demosth. p. 1308, 25. Eodem loco Carystius memoraverit quæ antecedunt apud Athenæum similia :

12.

Idem XIII, p. 577, B : Φιλέταιρον δὲ, τὸν Περγάμου καὶ τῆς Καινῆς ταύτης λεγομένης βασιλεύσαντα χώρας, Βόας αὐλητρίδος, ἑταίρας, τὸ γένος ἀπὸ Παφλαγονίας, υἱόν φησι γενέσθαι Καρύστιος ἐν Ἱστορικοῖς ὑπομνήμασιν. De hoc Philetæro v. Strabo XII, p. 543. XIII, p. 623. Pergamum tenuit per annos viginti usque ad 263 (vel 260). Vide Clinton. F. H. tom. III, p. 400 sq.

13.

Idem XIV, p. 639, B : Περιηνέχθησαν ἡμῖν καὶ

---

dicum convictu usum esse Antipatri; habuisseque regem vile tapetum glabrum annulis instructum, velut vulgaria aulæa, cui incumberet, et cados æneos et pocula pauca : victu enim parco usum esse et a luxuria alienum fuisse.

8.

De Cassandro qui Macedoniæ regno potitus est, Carystius in Commentariis historicis ait, eum adeo studiosum fuisse Homeri, ut majorem carminum ejus partem constanter in ore haberet : qui etiam Iliadem et Odysseam proprio studio sibi ipse descripserat.

9.

Atqui nonne merito vos ego omnes philosophos odi eruditionis inimicos? quos non solum Lysimachus rex publico edicto e regno suo expulit, ut Carystius ait in Historicis commentariis, verum etiam Athenienses.

10.

Carystius Pergamenus tertio libro Commentariorum ait : « Demetrius Phalereus, interfecto Himeræo fratre ejus ab Antipatro, ipse apud Nicanorem versabatur; perhibeturque Epiphania celebrasse fratris. Deinde per Cassandri benevolentiam ad magnam potestatem pervenit. Et initio quidem prandium ei fuerat, acetabula omnifariis olivis repleta, et insularis caseus. Ut vero ditatus est, Moschionem coquorum ea ætate optimum et cœnarum parandarum peritissimum emit : et tanta ciborum copia quotidie parabatur, ut, quum Moschioni reliquias donaret Demetrius, intra duos annos Moschion tres in urbe insulas emeret, et liberis pueris et illustrissimorum virorum uxoribus stuprum inferret. Theogni amasio ejus omnes pueri invidebant : et tanti habebatur ad Demetrium accedere, ut, quum ille post prandium obambulasset apud Tripodas, insequentibus diebus formosissimi quique pueri eum in locum convenirent, quo ab illo conspicerentur. »

11.

Aristophon orator, qui legem rogaverat prætore Euclide, ut quisquis non ex cive Attica natus esset, spurius haberetur, ipse convictus est a Calliade comico filios generasse ex Choregide meretrice, ut tradit idem Carystius tertio libro Commentariorum.

12.

Philetærum, Pergami et Novæ hujus, quæ vocatur, provinciæ regem, filium fuisse Boæ meretricis et tibicinæ, genere Paphlagoniæ, Carystius scribit in Commentariis historicis.

13.

Circumferebantur nobis quoque secundæ quæ vocantur

αἱ δεύτεραι καλούμεναι τράπεζαι, πολλάκις ἡμῖν διδόμεναι οὐ μόνον ταῖς τῶν Κρονίων ἡμέραις, ἐν αἷς Ῥωμαίων παισὶν ἔθος ἐστὶν ἑστιᾶν τοὺς οἰκέτας, αὐτοὺς τὰς τῶν οἰκετῶν ἀναδεχομένους λειτουργίας. Ἑλληνικὸν δὲ τοῦτο τὸ ἔθος. Ἐν Κρήτῃ γοῦν τῇ τῶν Ἑρμαίων ἑορτῇ τὸ ὅμοιον γίνεται, ὥς φησι Καρύστιος ἐν Ἱστορικοῖς ὑπομνήμασιν. Εὐωχουμένων γὰρ τῶν οἰκετῶν οἱ δεσπόται ὑπηρετοῦσι πρὸς τὰς διακονίας. Καὶ ἐν Τροιζῆνι δὲ μηνὶ Γεραιστίῳ· πανήγυρις δὲ τότε γίνεται πολυήμερος, ἧς ἐν μιᾷ οἱ δοῦλοι μετὰ τῶν πολιτῶν κοινῇ τε ἀστραγαλίζουσι, καὶ οἱ κύριοι τοὺς δούλους ἑστιῶσιν, ὡς ὁ αὐτός φησι Καρύστιος.

14.

Idem I, p. 24, B: Ὅτι Καρύστιος ὁ Περγαμηνὸς ἱστορεῖ, τὰς Κερκυραίας γυναῖκας ἔτι καὶ νῦν σφαιριζούσας ᾄδειν. Σφαιρίζουσι δὲ παρ' Ὁμήρῳ οὐ μόνον ἄνδρες, ἀλλὰ καὶ γυναῖκες.

15.

Schol. Aristoph. Av. 574: Αὐτίκα Νίκη πέταται] Νεωτερικὸν τὸ τὴν Νίκην καὶ τὸν Ἔρωτα ἐπτερῶσθαι. Ἄρχεννον γάρ φασι, τὸν Βουπάλου καὶ Ἀθήνιδος πατέρα, οἱ δὲ Ἀγλαοφῶντα, τὸν Θάσιον ζωγράφον, πτηνὴν ἐργάσασθαι τὴν Νίκην, ὡς οἱ περὶ Καρύστιον τὸν Περγαμηνόν φασιν.

16.

Schol. Theocrit. XIII, 22: Κυανέων] Καρύστιος ὁ Περγαμηνός φησι Κυανέας μὲν ὑπὸ ἀνθρώπων, ὑπὸ δὲ θεῶν Φόρκου πύλας κεκλῆσθαι.

ΔΙΔΑΣΚΑΛΙΑΙ.

17.

Athenæus VI, p. 235, E: Τὸν δὲ νῦν λεγόμενον παράσιτον Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ Περὶ διδασκαλιῶν εὑρεθῆναί φησιν ὑπὸ πρώτου Ἀλέξιδος, ἐκλαθόμενος ὅτι Ἐπίχαρμος ἐν Ἐλπίδι ἢ Πλούτῳ παρὰ πότον αὐτὸν εἰσήγαγεν.

18.

Vita Sophocl.: Νίκας δὲ ἔλαβεν (Σοφοκλῆς) εἴκοσιν, ὥς φησι Καρύστιος.

ΠΕΡΙ ΣΩΤΑΔΟΥ.

19.

Athenæus XIV, p. 620, F: Ἤκμασε δὲ ἐν τῷ εἴδει τούτῳ (sc. ἐν τῷ κιναιδολόγῳ) Σωτάδης ὁ Μαρωνίτης, ὥς φησι Καρύστιος ὁ Περγαμηνὸς ἐν τῷ Περὶ αὐτοῦ Σωτάδου συγγράμματι, καὶ ὁ τοῦ Σωτάδου υἱὸς Ἀπολλώνιος. Cf. Hegesander ap. Athenæum l. l.

CASSANDER SALAMINIUS ap. Tzetzem ad Lyc. 177. Vid. Hegesander Salaminius.

CERCIDAS MEGALOPOLITANUS.

Cercidam Megapolitanum Historica quædam scripsisse colligas ex Æliano V. H. XIII, 20: Ἀνὴρ Μεγαλοπολίτης τῆς Ἀρκαδίας, Κερκιδᾶς ὄνομα, ἀποθνήσκων ἔλεγε πρὸς τοὺς οἰκείους ἀθυμουμένους, ἡδέως ἀπολύεσθαι τοῦ ζῆν, δι' ἐλπίδος γὰρ ἔχειν συγγενέσθαι τῶν μὲν σοφῶν Πυθαγόρᾳ, τῶν δὲ ἱστορικῶν Ἑκαταίῳ, τῶν δὲ μουσικῶν Ὀλύμπῳ, τῶν δὲ

mensæ, quæ quidem sæpius nobis exhibebantur, nec solum Saturnalium diebus, quibus solent Romani servos convivio excipere, ipsi servilia ministeria obeuntes. Est autem Græcanicus hic mos. In Creta certe feriis Mercurialibus idem faciunt, ut ait Carystius in Historicis commentariis. Epulantur enim servi, et ministrant famulanturque heri. Idem fit Trœzene, mense Geræstio, quo celebrantur plurium dierum feriæ, quorum dierum uno servi una cum civibus talis ludunt, et heri servos epulis excipiunt, ut idem tradit Carystius.

14.

Carystius Pergamenus narrat Corcyræas mulieres etiam nunc pila ludentes canere. Apud Homerum quidem non modo viri pila ludunt, sed etiam mulieres.

15.

Victoriam et Amorem alis instructos repræsentari innovatio est. Archennum scilicet Bubali et Athenidis patrem, vel secundum alios Aglaophontem Thasium pictorem, Victoriam alis præditam primum exhibuisse Carystius Pergamenus tradit.

16.

Carystius Pergamenus dicit *Cyaneas* quas mortales vocent, a diis *Phorci portas* appellari.

DIDASCALIÆ.

17.

Qui autem nunc parasitus vocatur, eum Carystius Pergamenus in libro De didascaliis ait primum apud Alexidem reperiri; oblitus scilicet jam ab Epicharmo in fabula Spe vel Pluto talem hominem in compotationem introduci.

18.

Sophocles viginti reportavit victorias, teste Carystio.

DE SOTADE.

19.

Floruit in hoc obscœnæ poeseos genere Sotades Maronita, ut ait Carystius Pergamenus in libro quem de ipso hoc Sotade edidit, item Sotadis filius Apollonius.

ποιητῶν Ὁμήρῳ. Καὶ ἐπὶ τούτοις, ὡς λόγος, τὴν ψυχὴν ἀπέλιπεν. — Stephan. Byz. : Μεγαλόπολις.. ἀφ' ἧς Κερκιδᾶς, ἄριστος νομοθέτης καὶ μιμιάμβων ποιητής. Ceterum Cercidas hic haud dubie idem est cum eo, quem Philippo patriam prodidisse (344 a. C.) Demosthenes (De coron. § 295, p. 171 ed. Didot) dicit, et contra Demosthenem defendit Polybius XVII, 14. Carminum fragmenta quædam servarunt Diogenes Laert., Stobæus in Florilegio, alii. V. Perizonium ad Ælian. l. l., Menagium ad Diog. L. VI, 76. Peculiarem de Cercida commentationem (qua uti non licuit) scripsit Meinekius in Actis Academ. Borussicæ a. 1831. De nominis scriptura v. Steph. Thes. s. v.

CHARICLES.

ΠΕΡΙ ΤΟΥ ΑΣΤΙΚΟΥ ΑΓΩΝΟΣ.

E LIBRO PRIMO.

Athenæus VII, p. 350, B : Γυμνικοὺς δὲ ἀγῶνας, ἔφη (sc. Στρατόνικος ὁ κιθαριστής), διατιθέτωσαν Ἠλεῖοι, Κορίνθιοι δὲ θυμελικούς, Ἀθηναῖοι δὲ σκηνικούς. Εἰ δέ τις τούτων πλημμελοίη, μαστιγούσθωσαν Λακεδαιμόνιοι· ἐπισκώπτων τὰς παρ' αὐτοῖς ἀγομένας μαστιγώσεις, ὥς φησι Χαρικλῆς ἐν τῷ πρώτῳ Περὶ τοῦ ἀστικοῦ ἀγῶνος (i. e. περὶ τῶν ἐν ἄστει Διονυσίων).

Auctor haud dubie Atheniensis fuit, ut Charicles, Phocionis gener, de quo v. Plutarch. Phoc. 21. 22. 33. 35; et Charicles Apollodori f., unus e triginta viris, Thucyd. VII, 20; Xenophon. Hell. II, 3, 2; Aristot. Pol. V, 5, 4, etc.; et *Chariclides comicus* ap. Athen. VII, p. 325, D.

CHARON NAUCRATITES

ET

CHARON CARTHAGINIENSIS.

Suidas : Χάρων Ναυκρατίτης, ἱστορικός. Ἱερεῖς τοὺς ἐν Ἀλεξανδρείᾳ καὶ τοὺς ἐν Αἰγύπτῳ καὶ τὰ ἐπὶ ἑκάστου πραχθέντα, Βασιλεῖς τοὺς ἐκ παλαιοῦ γεγονότας ἐν ἑκάστῳ ἔθνει, καὶ Περὶ Ναυκράτεως καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου. Cf. Eudoc. p. 435, ubi : ἔγραψεν ἱστορίαν Περὶ τῶν ἐν Ἀλεξανδρείᾳ ἱερέων καὶ τῆς διαδοχῆς αὐτῶν, καὶ Περὶ τῶν ἐπὶ ἑκάστου πραχθέντων, Περὶ βασιλέων τῶν ἐκ παλαιοῦ γεγονότων.

Fragmenta non exstant. Eundem vero Naucratitam nostrum esse cum eo, qui historias in Apollonii Naucratitæ sive Rhodii carminibus tractatas illustraverit, probabilis conjectura est Jonsii II, 7, 4. Schol. Apoll. Rhod. II, 1054 : Στυμφαλίδες λέγονται περὶ αὐτὴν (τὴν Στυμφαλίδα λίμνην) ὄρνιθες, ἃς πλωΐδας εἶπεν Ἀπολλώνιος. Οὕτως δὲ αὐτὰς ὀνομάζει καὶ Σέλευκος καὶ Χάρων, αὐτοῦ τοῦ Ἀπολλωνίου γνώριμος, ἐν τῷ Περὶ ἱστοριῶν τοῦ Ἀπολλωνίου. Idem laudatur ap. Apulej. De orthogr., ubi de Busiride et Hercule quædam narrantur *auctore Argone* (sic pro *Charone*) *in quarto Apollonii Commentario et Pherecyde* (fr. 33 f).

Haud magis constat de *Charone Carthaginiensi*, de quo ita Suidas : Χάρων Καρχηδόνιος, ἱστορικός. Ἔγραψε τυράννους ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι, Βίους ἐνδόξων ἀνδρῶν ἐν βιβλίοις δ', Βίους ὁμοίως γυναικῶν ἐν δ'. Cf. Ebert. Sicul. p. 90.

Fortasse Carthaginiensi vel Naucratitæ tribuenda sunt Αἰθιοπικὰ sive Λιβυκά, Κρητικὰ (de legibus Minois), necnon Περίπλους τῶν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν (nisi hic fortasse est Ἄννωνος περίπλους), quæ omnia Suidas vindicat Charoni Lampsaceno (v. Prolegg. ad fragm. Hist. p. XVI sq.).

CHRESTODEMUS, Θηβαϊκῶν scriptor, apud Apostol. XVIII, 42, esse debet Aristodemus, cujus vide fragm. 5, tom. III, p. 309.

CHRISTODORI Λυδιακὰ laudantur in schol. Il. β, 461 : Ἄσιος, υἱὸς Κότυος καὶ Μυιοῦς, Λυδῶν βασιλεύς, ὥς φησι Χριστόδωρος ἐν τοῖς Λυδιακοῖς· « Κότυς λευκώλενον ἄλλην Ἤγετο κουριδίην ὁμοδέμνιον, οὔνομα Μυῖαν· Ἡ δ' Ἀσίην (l. Ἄσιον) τίκε κοῦρον. » Vides hæc carmine scripta. Auctor igitur fuerit Christodorus Coptites, qui sub Anastasio imp. (491-518 p. C.) floruit, teste Suida : Χριστόδωρος Πανίσκου, ἀπὸ Κοπτοῦ πόλεως τῆς Αἰγύπτου, ἐποποιός, ἤκμαζεν ἐπὶ τῶν Ἀναστασίου τοῦ βασιλέως χρόνων. Ἔγραψεν Ἰσαυρικὰ ἐν βιβλίοις ς' (ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν τὴν ὑπ' Ἀναστασίου γενομένην), Πάτρια Κωνσταντινουπόλεως ἐπικῶς, βιβλία ιβ', Πάτρια Θεσσαλονίκης βιβλία κε', Πάτρια Νάκλης (ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα Ἄρακα), Πάτρια Μιλήτου τῆς Ἰωνίας, Πάτρια Τράλλεων, Πάτρια Ἀφροδισιάδος, Ἔκφρασιν τῶν ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων, καὶ ἄλλα πολλά. Cf. Eudocia p. 436, ubi inter scripta Chri-

---

DE LUDIS URBANIS.

Gymnicos ludos (Stratonicus citharista inquit) agant Elei, Corinthii thymelicos, Athenienses scenicos; si quis vero in his peccaverit, flagellis cædantur Lacedæmonii ». irridens nempe usitatas apud hos flagellationes, ut Charicles scribit libro primo De ludis (Atheniensium) urbanis.

stodori recensentur etiam : Ἐπιγραμμάτων βιβλία γ', Ἐπιστολῶν δ'.

CHRYSERMUS CORINTHIUS.

ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΑ.

E LIBRO PRIMO.

1.

Plutarch. De flum. 18, 7 : Χρύσερμος δὲ ὁ Κορίνθιος ἐν α' Πελοποννησιακῶν ἱστορίας μέμνηται τοιαύτης. Περσέως φερομένου μετεώρου, καὶ κατὰ τὸν λόφον (Ἀπαίσαντον) γενομένου τοῦτον, ἐξέπεσεν αὐτοῦ τῆς λαβῆς τοῦ ξίφους ὁ μύκης. Γοργοφόνος δὲ, ὁ βασιλεὺς Ἐπιδαυρίων, ἐκπεσὼν τῆς ἀρχῆς ἔλαβε χρησμὸν ἐμπεριελθεῖν τὰς Ἀργολικὰς πόλεις, καὶ ὅπου ἂν εὕρῃ ξίφους μύκητα, ἐκεῖ κτίσαι πόλιν. Γενόμενος δὲ κατὰ τὸ Ἄργιον ὄρος, καὶ εὑρὼν τὴν ἐλεφαντίνην λαβὴν, πόλιν ἔκτισεν, ἣν ἀπὸ τοῦ συγκυρήματος προσηγόρευσε Μυκήνας. Cf. Hecatæi fr. 360.

E LIBRO TERTIO.

2.

Plutarch. Paral. min. c. 3 (p. 376 Didot.): Ἀργείων καὶ Λακεδαιμονίων ὑπὲρ Θυρεάτιδος χώρας πολεμούντων, οἱ Ἀμφικτύονες ἔκριναν πολεμῆσαι ἑκατέρους, καὶ τῶν νικησάντων εἶναι τὴν χώραν. Λακεδαιμόνιοι μὲν οὖν Ὀθρυάδην ἐποίησαν στρατηγὸν, Ἀργεῖοι δὲ Θέρσανδρον. Πολεμούντων δὲ, δύο ἐκ τῶν Ἀργείων περιελείφθησαν, Ἀγήνωρ καὶ Χρόμιος, οἵτινες εἰς τὴν πόλιν ἤγγειλαν τὴν νίκην. Ἠρεμίας δ' ὑπαρχούσης, ὁ Ὀθρυάδης ἐπιζήσας καὶ ἡμικλάστοις δόρασιν ἐπερειδόμενος, τὰς τῶν νεκρῶν ἁρπάζων ἀσπίδας περιείλετο· καὶ τρόπαιον στήσας, ἐκ τοῦ ἰδίου αἵματος ἐπέγραψε Διὶ τροπαιούχῳ. Καὶ τῶν δύο στάσιν ἐχόντων, οἱ Ἀμφικτύονες αὐτόπται γενόμενοι Λακεδαιμονίους προκρίνουσι· καθάπερ Χρύσερμος ἐν τρίτῳ Πελοποννησιακῶν. Cf. Müller. *Dor.* I, p. 158.

ΠΕΡΣΙΚΑ.

E LIBRO SECUNDO.

3.

Idem ibid. c. 10, p. 379 : Περσῶν τὴν Ἑλλάδα λεηλατούντων, Παυσανίας, ὁ τῶν Λακεδαιμονίων στρατηγὸς, πεντακόσια χρυσοῦ τάλαντα παρὰ Ξέρξου λαβὼν, ἔμελλε προδιδόναι τὴν Σπάρτην. Φωραθέντος δὲ τούτου, Ἀγησίλαος ὁ πατὴρ μέχρι τοῦ ναοῦ τῆς Χαλκιοίκου συνεδίωξεν Ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθοις φράξας, λιμῷ ἀπέκτεινεν· ἡ δὲ μήτηρ καὶ ἄταφον ἔρριψεν· ὡς Χρύσερμος ἐν δευτέρῳ Ἱστορικῶν. Scribe Περσικῶν cum Stobæo in Floril. XXXIX, 31, ubi eadem.

ΙΝΔΙΚΑ.

E LIBRO OCTAVO?

4.

Plutarch. De flum. I, 4 : Οἱ δ' ἐγχώριοι τὰς ἀσεβῶς ἀναστρεφομένας παρθένους σταυροῖς προσηλώσαντες, εἰς αὐτὸν (τὸν Ὑδάσπην) βάλλουσι, τῇ σφῶν διαλέκτῳ τὸν Ἀφροδίτης ὕμνον ᾄδοντες. — Κατορύσσουσι δὲ κατ' ἐνιαυτὸν γραῦν κατάκριτον, παρὰ τὸν ὀνομαζόμενον λόφον Θηρόγονον· ἅμα γὰρ τὴν πρεσβῦτιν ἑρπετῶν πλῆθος ἐκ τῆς ἀκρωρείας ἐξέρχεται, καὶ τὰ περιϊπτάμενα τῶν ἀλόγων ζώων κατεσθίει· καθὼς

PELOPONNIESIACA.

1.

Chrysermus Corinthius primo Peloponnesiacorum hujus historiæ meminit. Quum Perseus in sublime ferretur, et ad hunc (Apæsantum) montem appulisset, decidit forte gladii, quem ferebat, capulum. Gorgophono autem, Epidauriorum regi, ab imperio pulso respondit oraculum, ut Argolicas circumiret civitates, et ibi urbem conderet, ubi gladii capulum offenderet. Quum ergo ad montem Argium venisset, ibique capulum eburneum reperisset, civitatem condidit, quam ab eventu Mycenas appellavit.

2.

Argivis et Lacedæmoniis de agro Thyreatico altercantibus, Amphictyones pugna utrinque lectorum hominum rem decernendam censuerunt, victorique agrum istum deferendum esse. Lacedæmonii a sua parte Othryadem summæ rei, Argivi Thersandrum præfecerunt. Prælio de Argivis duo superstites fuerunt, Agenor et Chromius, qui de victoria civibus nuntium attulerunt. Facta autem quiete, Othryades etiamnum vivens, fultusque hastilibus semifractis, mortuorum scuta abstulit, tropæum erexit, suoque sanguine id Jovi tropæorum tutori inscripsit. Integrata lite Amphictyones in rem præsentem venerunt, litemque secundum Lacedæmonios dederunt. Sic Chrysermus libro tertio Rerum Peloponnesiacarum.

PERSICA.

3.

Persis Græciam populantibus, Pausanias Lacedæmoniorum dux acceptis a Xerxe quingentis talentis voluit Spartam prodere. Re comperta, pater Agesilaus eum usque ad fanum Minervæ Chalciœcæ prosecutus est, obturatisque fani foribus latere cocto, fame necavit. Mater etiam insepultum abjecit. Chrysermus Persicorum libro secundo.

INDICA.

4.

Indigenæ virgines quæ non caste vixerint, clavis cruci affigunt et in hunc fluvium (in Hydaspen) dejiciunt, dialecto vernacula Veneris hymnum canentes. Defodiunt et vetulam condemnatam quotannis juxta verticem Therogonum. Illuc enim reptilium multitudo ad vetulam ex cacumine statim accedit, et quæ circumvolant muta animalia vorat, ut narrant

Χρύσερμος ἐν π′ (η′?) Ἰνδικῶν. Μέμνηται δὲ τούτων ἀκριβέστερον Ἀρχέλαος ἐν ιγ′ Περὶ ποταμῶν.

ΠΕΡΙ ΠΟΤΑΜΩΝ.

E LIBRO TERTIO.

5.

Plutarch. De flum. VII, 4 : Γεννᾶται (sc. ad Pactolum fl.) δὲ βοτάνη πορφυράνθεμος, καλουμένη Χρυσοπόλη· πρὸς αὐτὴν γὰρ αἱ ἀστυγείτονες πόλεις τὸν ἀκέραιον χρυσὸν δοκιμάζουσιν· ἅμα γὰρ αὐτὸν χωνευθῆναι ἅπτουσι τὴν βοτάνην· καὶ ἐὰν μὲν ἀνόθευτον τὸ χρυσίον ᾖ, τὰ φύλλα χρυσοῦται, καὶ διατηρεῖ τῆς ὕλης τὴν οὐσίαν· ἐὰν δ' ἐφθαρμένον ὑπάρχῃ, τὴν ἠλλαγμένην ὑγρασίαν ἀποπτύει, καθὼς Χρύσερμος ἐν γ′ Περὶ ποταμῶν.

E LIBRO DECIMO TERTIO.

6.

Plutarch. De flum. 20. 3 : Γεννᾶται δ' ἐν αὐτῷ (τῷ Εὐφράτῃ) λίθος Ἀστιγὴς (Ἀετίτης Stob.) καλούμενος, ὃν αἱ μαῖαι ταῖς δυστοκούσαις ἐπὶ τὰς γαστέρας ἐπιτιθέασι, καὶ παραχρῆμα τίκτουσι ἄτερ ἀλγηδόνος. Γεννᾶται δ' ἐν αὐτῷ καὶ βοτάνη, Ἔξαλλα (Ἄξαλλα Stob.) καλουμένη, μεθερμηνευομένη θερμόν· ταύτην οἱ τεταρταΐζοντες, ὅταν ἐπὶ τοῦ στήθους θῶσιν, ἀπαλλάττονται παραχρῆμα τῆς ἐπισημασίας· καθὼς ἱστορεῖ Χρύσερμος ἐν ιγ′ Περὶ ποταμῶν. Eadem Stobæus Floril. C, 11.

Chrysermum medicum Herophileum memorant Galenus et Plinius (XXII, 5, 32). Porro Chrysermi nomen Casaubonus reponendum suspicabatur apud Theophilum Ad Autolyc. III, 26, ubi laudatur Chryseros, Aurelii imperatoris libertus, auctor Chronicorum (vid. tom. III, p. 656). Chrysermus, pater Ptolemæi, qui apud regem Ptolem. Philopatora versabatur, memoratur a Plutarch. Cleom. 36. *Chrysarmum* (sic), avum Ptolemæi, sacerdotis sub Ptolemæo Epiphane, v. ap. Letronn. *Inscr. de l'Eg.* I, p. 259.

CHRYSIPPUS.

ΙΤΑΛΙΚΑ.

E LIBRO PRIMO.

Plutarch. Parall. min. c. 28 : Παπίριος Τολουκερ, γήμας Ἰουλίαν Πούλχραν, ἔσχεν ἓξ θυγατέρας, καὶ τοὺς ἴσους ἄρρενας. Τούτων ὁ πρεσβύτατος Παπίριος Ῥωμάνος, τῆς ἀδελφῆς ἐρασθεὶς Κανουλίας, ἔγκυον ἐποίησε. Μαθὼν δὲ ὁ πατὴρ, τῇ θυγατρὶ ξίφος ἔπεμψεν· ἡ δὲ ἑαυτὴν ἀνεῖλε· τὸ αὐτὸ δὲ καὶ ὁ Ῥωμάνος ἔπραξεν· ὡς Χρύσιππος ἐν τῷ πρώτῳ Ἰταλικῶν.

Quis sit ille Chrysippus haud liquet. De Chrysippo Solensi stoico, qui Ptolemæi III et IV temporibus floruit, fortasse cogitandum esse censet Vossius p. 152. Ac sane quidem Solensis præter grammatica et philosophica etiam historica scripsisse perhibetur ap. Suidam v. Χρύσιππος. Hinc tamen de Ἰταλικῶν auctore nihil dirimitur; nam historicis libris Suidas annumerare potuit opus Περὶ τῶν ἀρχαίων φυσιολόγων, fortasse etiam opus Περὶ βίων, quamquam id non historicum sed philosophicum fuisse ex fragmentis luculenter apparet. Ex eodem Περὶ βίων opere petita esse quæ affert Strabo VII, p. 301 : Ὅρα δὲ καὶ ἃ λέγει Χρύσιππος περὶ τῶν τοῦ Βοσπόρου βασιλέων τῶν περὶ Λεύκωνα κτλ., liquet ex Plutarcho De stoicor. repugn. p. 1043, A-D. Cf. Ebert. Diss. Sic. p. 113, 226, qui recte, puto, Chrysippum Italicorum auctorem a Solensi philosopho distinguendum esse statuit. De Chrysippo Ciceronis liberto v. Cicero Ad. Qu. Fr. III, 4, 5; 5, 6; Ad Att. VII, 2, 8.

CLAUDIUS IOLAUS.

Claudium Iolaum Romani cujusdam libertum fuisse ex prænomine recte concludere videtur Vossius. Alterum nomen varie in codd. exaratur :

Chrysermus Indicorum octogesimo (?), ac fusius exponit Archelaus decimo tertio De fluminibus.

DE FLUVIIS.

5.

(*) Κρίτων quem ap. Tzetz. Lyc. 644 manuscripti libri nonnulli exhibent (reliqui Κράτων), est Κράτης, quem de eadem re laudat Etym. M. v. Ἄρνη. — Fortasse idem Crates reponendus ap. Plutarchum Mor. p. 985, B, ubi Κριτεὺς citatur de causa cur scutum Ulyssis delphinum insigne habuisset.

Alios Critones memoro *discipulum Socratis*, *Pythagoreum*, cujus Περὶ φρονήσεως libr. laudat Stob. Florileg. III, 74. 75; *comicum* comœdiæ novæ, cujus tres fabulæ, (Αἰτωλοί, Μεσσηνία, Φιλοπράγμων) memorantur ap. Polluc. IX, 15, X, 35; Athenæum IV, p. 173, B. Ὀψαρτυτικῶν auctorem habes ap. Athen. IX, p. 516, C.

2.

Idem Δεισιδαιμονία: Κρίτων ἐν τοῖς Γετικοῖς φησιν· « Οἱ δὲ βασιλεῖς τῶν Γετῶν ἀπάτῃ καὶ γοητείᾳ δεισιδαιμονίαν καὶ ὁμόνοιαν ἐνεργασάμενοι αὐτοῖς, μεγάλων ἤδη ἐφίενται. »

3.

Idem: Καθιστάμενος, πρὸς τὸ βέλτιον μετάγων. « Ὁ δὲ Καῖσαρ εἰς τὴν Ἀσίαν ἦλθε τὰ τῶν ὑπηκόων καὶ τῶν Πάρθων ἅμα καθιστάμενος. » Καὶ αὖθις· « Πολεμοῦντι δὲ αὐτῷ καὶ [τὰ] περὶ τὴν ἀρχὴν καθισταμένῳ συγγενόμενος· » φησὶ Κρίτων ἐν Γετικοῖς. Hæc de se ipso Crito Trajani comes dicere potuit.

Idem v. Ἄρτι... καὶ ἀντὶ τοῦ νῦν τὸ ἀρτίως. « Ἔτι περαιουμένοις καὶ ἀρτίως ἀποβαίνουσιν ἐπιτίθεσθαι· » Κρίτων ἐν Γετικοῖς.

Idem v. Βοωτίαις: « Καί τινων βοωτίαις ἐφεστώτων, τῶν δὲ ἄλλων τῶν περὶ βασιλέα τοῖς ἐρύμασι νενεμημένων· » Κρίτων ἐν τοῖς Γετικοῖς.

Variant libri inter Κρίτων, Κρείτων, Κρότων; cod. A: Ἀττικοῖς. Eadem iterum sed leviter corrupta s. v. ἐνεμημένων.

Strabo lib. VII, p. 596, de Mysis Europæis dicit: Λέγει δὲ τοὺς Μυσοὺς ὁ Ποσειδώνιος καὶ ἐμψύχων ἀπέχεσθαι κατ' εὐσέβειαν, διὰ δὲ τοῦτο καὶ θρεμμάτων· μέλιτι δὲ χρῆσθαι καὶ γάλακτι καὶ τυρῷ ζῶντας καθ' ἡσυχίαν, διὰ δὲ τοῦτο καλεῖσθαι θεοσεβεῖς τε καὶ καπνοβάτας, κτλ. « Ad hunc fere locum, Cramerus ait, in margine cod. A. pr. m. adnotata sunt hæc: Τοὺς πιλοφόρους Γέτας, ὡς ἄλλοι τέ φασι καὶ (in cod. ἢ) Κρίτων ἐν τοῖς Γετικοῖς.

Getas illos πιλοφόρους commemorat Dio Cassius in narratione de Trajani bello Dacico (lib. LXVIII, 14) et ex Dione Petrus Patricius fr. 5. Porro Chrysostom. Orat. 71, p. 658: Ἔνθα γὰρ ἐνίοτε βλέπουσιν ἀνθρώπους, τοὺς μέν τινας πίλους ἐπὶ ταῖς κεφαλαῖς ἔχοντας, ὡς νῦν τῶν Θρακῶν τινες τῶν Γετῶν λεγομένων. Paulinus in Carmine de Niceta, Daciæ episcopo:

> Et Getæ currunt et uterque Dacus
> qui colit terræ medio, vel ille
> divitis multo bove pileatus
> accola ripæ.

GETICA.

1.

Gæsa. « Romani autem quum gæsa humi defixissent, iisque galeas imposuissent, eminus aspicientibus speciem præbuerunt, quasi in colle adhuc versarentur. » Est autem γεσὸς (γαισὸς) telum, contus longus. Hæc Criton scripsit in opere De bello Getico.

2.

Crito in Geticis ait: « Reges vero Getarum, quum impostura et præstigiis magicis illorum animis religionem incusserint et consensionem, magna jam animo agitant. »

3.

« Cæsar autem in Asiam profectus tam populorum sibi subjectorum quam Parthorum res composuit. » Et alibi: « Qui cum eo erat bellum gerente et res imperii ordinante. » Quæ Critonis sunt in Geticis.

Crito in Geticis: « Adhuc fluvium trajicientes, quo ipso tempore navibus excedunt, aggredi. »

« Quum alii agriculturæ præfecti essent, ceteri vero qui regem comitarentur castellorum curam agerent. » Crito in Geticis.

CTESICLES.

ΧΡΟΝΙΚΑ.

E LIBRO TERTIO.

1.

Athenæus VI, p. 272, B: Κτησικλῆς δ' ἐν τρίτῃ Χρονικῶν [τῇ πεντε]καιδεκάτῃ πρὸς ταῖς ἑκατόν φησιν Ὀλυμπιάδι Ἀθήνησιν ἐξετασμὸν γενέσθαι ὑπὸ Δημητρίου τοῦ Φαληρέως τῶν κατοικούντων τὴν Ἀττικήν, καὶ εὑρεθῆναι Ἀθηναίους μὲν δισμυρίους πρὸς τοῖς χιλίοις, μετοίκους δὲ μυρίους, οἰκετῶν δὲ μυριάδας τεσσαράκοντα.

[τῇ πεντε] suppl. Schweigh., τῇ ἑκκαιδεκάτῃ volebat Casaub., τῇ ὀκτωκαιδ. Scaliger. Cf. Clinton. F. H. tom. II ad Ol. 115, 4, et p. 378.

2.

Idem X, p. 445, D: Σὺ δὲ παροινῶν καὶ μεθύων οὐδέπω κόρον ἔχεις, οὐδ' ἐπὶ νοῦν λαμβάνεις, ὅτι ὑπὸ μέθης ἀπέθανεν Εὐμένης ὁ Περγαμηνός, ὁ Φιλεταίρου τοῦ Περγάμου βασιλεύσαντος ἀδελφιδοῦς, ὡς ἱστορεῖ Κτησικλῆς ἐν τρίτῳ Χρόνων. Cf. Droysen. *Hellenism.* II, p. 368.

CTESIPHON.

ΒΟΙΩΤΙΑΚΑ.

E LIBRO TERTIO.

1.

Plutarchus Par. min. c. 12: Ἐπαμινώνδας, ὁ τῶν Θηβαίων στρατηγός, ἔχων πρὸς Λακεδαιμονίους πόλεμον, καὶ ἀρχαιρεσιῶν ἀγομένων, ἧκεν ἐς πατρίδα, παραγγείλας τῷ παιδὶ Στησιμβρότῳ μὴ συμβάλλειν. Λακεδαιμόνιοι, μαθόντες τὴν ἀπουσίαν, ἐβλασφήμουν τὸν νεανίαν ὡς ἄνανδρον· ὁ δ' ἀγανακτήσας καὶ ἐπιλαθόμενος τοῦ πατρός, συνέβαλε καὶ ἐνίκησεν· ὁ δὲ πατὴρ βαρέως ἐνέγκας, στεφανώσας ἐτραχηλοκόπησεν, ὡς Κτησιφῶν ἱστορεῖ ἐν τρίτῳ Βοιωτιακῶν.

ΠΕΡΣΙΚΑ.

E LIBRO PRIMO.

2.

Plutarch. De fluv. 23, 1: Ἀράξης ποταμός ἐστι τῆς Ἀρμενίας, τὴν προσηγορίαν εἰληφὼς ἀπ' Ἀράξου τοῦ Πύλου· οὗτος γὰρ πρὸς Ἄρβηλον τὸν πάππον ὑπὲρ σκήπτρων ἁμιλλώμενος, αὐτὸν κατετόξευσε· ποινηλατούμενος δὲ ὑπ' Ἐριννύων, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Βάκτρον· ὃς ἀπ' αὐτοῦ Ἀράξης μετωνομάσθη, καθὼς ἱστορεῖ Κτησιφῶν ἐν α' Περσικῶν.

ΠΕΡΙ ΔΕΝΔΡΩΝ.

Idem ib. c. 18, 11: Φύεται δ' ἐν αὐτῷ (sc. ἐν τῷ Κοκκυγίῳ ὄρει) δένδρον, Παλίουρος καλούμενον· ἐφ' ᾧ ἂν τι καθίσῃ τῶν ἀλόγων ζῴων, ὡς ὑπ' ἰξοῦ κατέχεται, πάρεξ κόκκυγος· τούτου γὰρ φείδεται· καθὼς Κτησιφῶν ἐν α' Περὶ δένδρων.

Idem ib. 23, 5: Γεννᾶται δ' ἐν αὐτῷ (ἐν Ἀράξῃ) δένδρον, ῥοιᾷ παραπλήσιον, καρπὸν δ' ἄφθονον τρέφει μήλων, τὴν γεῦσιν ἔχοντα σταφυλῇ παρόμοιον. Ἐκ ταύτης τῆς ὀπώρας πέπειρον ἐάν τις καθελὼν ὀνομάσῃ τὸν Ἄρη, γίνεται κρατούμενος χλωρός· καθὼς ἱστορεῖ Κτησιφῶν ἐν ιγ' Περὶ δένδρων.

ΠΕΡΙ ΦΥΤΩΝ.

Idem ib. c. 14, 3. Vide fragm. Aristobuli 2, ubi laudatur liber tertius ejus operis, quod tamen vix diversum fuerit ab opere De arboribus.

CHRONICA.

1.

Ctesicles tertio libro Chronicorum scribit, Olympiade [quinta] et decima cum centesima Athenis Demetrium Phalereum recensum instituisse incolarum Atticæ: inventosque esse civium Atheniensium millia viginti et unum, inquilinorum millia decem, servorum quadringenta millia.

2.

Te insolentiæ temulentiæque nondum satietas cepit, neque in animum tuum admittis cogitationem, ex ebrietate mortuum esse Eumenem Pergamenum, Philetæri regis Pergameni ex fratre nepotem, ut narrat Ctesicles tertio libro Chronicorum.

BŒOTICA.

1.

Epaminondas Thebanorum dux bellum contra Spartanos gerens, ad comitia in urbem est profectus, quum prius hoc injunxisset Stesimbroto filio suo, ne cum hoste confligeret. Spartani ejus absentia cognita, juveni timiditatem exprobraverunt: quod ille indigne ferens, oblitus patris pugnam conseruit et vicit. Pater autem iratus ei coronato collum abscidit. Ctesiphon tertio libro rerum Bœoticarum.

PERSICA.

2.

Araxes Armeniæ fluvius est, ita dictus ab Araxo, Pyli filio. Hic enim, quum de imperio adversus Arbelum avum suum pugnaret, eum sagitta confodit; sed quum a Furiis vexaretur, proruit in fluvium Bactrum, qui ab ipso deinde dictus est Araxes, uti refert Ctesiphon primo Rerum Persicarum.

DE ARBORIBUS.

Nascitur in Coccygio monte arbor nomine Paliurus, cui si animal insederit, tanquam visco detinetur, excepto cuculo; huic enim parcit, teste Ctesiphonte in primo De arboribus.

Ctesiphontis, architecti, ut videtur, volumen *De Ionica æde Ephesi, quæ est Dianæ*, memorat Vitruv. VII, præfat. Alios Ctesiphontes nihil curo.

CTESIPPUS.

ΣΚΥΘΙΚΑ.

E LIBRO SECUNDO.

Plutarchus De fluv. 5, 2 : Γεννᾶται δ' ἐν τῷ ποταμῷ (Φάσιδι) ῥάβδος, ὀνομαζομένη Λευκόφυλλος· εὑρίσκεται δὲ τοῖς μυστηρίοις τῆς Ἑκάτης περὶ τὸν ὄρθρον, πρὸς παιανισμὸν ἔνθεον, αὐτοῦ περὶ τὴν ἀρχὴν τοῦ ἔαρος· ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι, ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνόθευτον τηροῦσι τὸν γάμον. Ἐάν τις προπετέστερον ἀποστραφῇ τῶν ἀσεβεστέρων διὰ μέθην, καὶ εἰς τὸν τόπον εἰσέλθῃ, τῶν σωφρονούντων ἀφαρπάζεται λογισμῶν, καὶ εὐθὺς ὁμολογεῖ πᾶσιν, ὅσα παρανόμως ἢ ἔπραξεν ἢ μέλλει πράττειν. Οἱ δὲ παρατυγχάνοντες, συλλαμβάνοντες, ῥίπτουσιν ἐμβεβυρσωμένον εἰς τὸ καλούμενον Στόμιον τῶν ἀσεβῶν. Ἔστι δὲ στρογγυλοειδὲς, φρέατι παραπλήσιον. Ἐκδίδωσι δὲ τὸ βληθὲν μετὰ λ' ἡμέρας εἰς τὴν Μαιῶτιν λίμνην, σκωλήκων γέμον· Γῦπες δ' αἰφνιδίως ἐπιφανέντες ἀόρατοι, τὸ (μὲν) κείμενον διαρπάζουσιν, ὡς ἱστορεῖ Κτήσιππος ἐν β' Σκυθικῶν.

CYDIPPUS MANTINENSIS.

Cydippus Mantinensis a Clemente Alex. in Strom. I, p. 132, una cum Antiphane, Aristodemo, Aristotele, Philostephano, Stratone, inter eos recensetur qui Περὶ εὑρημάτων scripserint.

DAES COLONENSIS.

Strabo XIII, p. 615 : Φησὶ δὲ Δάης ὁ Κολωνεὺς ἐν Κολωναῖς ἱδρυθῆναι πρῶτον ὑπὸ τῶν ἐκ τῆς Ἑλλάδος πλευσάντων Αἰολέων τὸ τοῦ Κιλλαίου Ἀπόλλωνος ἱερόν.

DALION.

Plinius H. N. VI, s. 35, p. 388 ed. Tchn. : *Simili modo de mensura ejus* (spatii quod est a Syene ad Meroen) *varia prodidere. Primus Dalion ultra Meroen longe provectus; mox Aristocreon et Bion et Basilis*, etc. (Vide fragm. Basilis). Peregrinationes suas primis Philadelphi temporibus Dalion instituisse videtur. Vossius (p. 424 ed. Westerm.) non distinguendum esse putat inter Dalionem, qui de Æthiopia scripsit, atque Dalionem medicum, qui memoratur ap. Plin. H. N. in elencho auctorum lib. XX (*Damione*, *Dalione*, *Sosimene*), XXI (*Damione, Dalione*,), XXVIII (*Dalione*, *Cæcilio Bione*, qui Περὶ δυνάμεων, *Anaxilao, Juba*), et XX, 73 p. 335 Tch. (*Dalion, herbarius*). *Damion* medicus citatur lib. XX, 40; *Damon* medicus, XXIV, 150 ed. Tauchn. Fortasse *Dalion*, *Damion* et *Damon* unus est idemque.

1.

Plinius H. N. VI, 35, p. 391 : *Regio supra Sirbitum, ubi desinunt montes, traditur a quibusdam habere maritimos Æthiopas, Nisicastes, Nisitas, quod significat ternûm et quaternûm oculorum viros : non quia sic sint, sed quia sagittis præcipua contemplatione utantur. Ab ea vero parte Nili quæ supra Syrtes majores, oceanumque meridianum protenditur, Dalion* (al. *Dallon*) *vocatos esse dicit, pluvia tantum aqua utentes Cisoros, Longoporos. Ab OEcalicibus dierum quinque itinere Usibalcos, Isuelos, Pharusos, Valios, Cispios. Reliqua deserta. Deinde fabulosa.*

2.

Plinius VII, 1, p. 5 Tchn. : *Haud dissimile iis* (sc. Thibiis Ponti accolis; cf. fr. Phylarchi 68) *genus Pharnavum in Æthiopia prodidit Damon, quorum sudor tabem contactis corporibus afferat.*

Damon probabiliter ortum ex Δάλλων, quod facile abire potuit in *Damon*, nomen notissimum. Quanquam cogitari posset de Damone, qui Περὶ

SCYTHICA.

Nascitur in Phaside virga, Leucophyllus dicta, quæ, dum celebrantur Hecates mysteria, invenitur circa diluculum ad divinam pæanum cantationem, in ipso veris initio; quam postquam zelotypi viri collegerunt, circa thalamum virginalem jaciunt, ut puras conservent nuptias. Quodsi quis impurus ob ebrietatem insolentius accesserit et ad hunc locum pervenerit, mente alienatur, et statim confitetur coram omnibus, quæcunque illegitima aut fecit aut facturus erat. Qui vero prope astant, eum corripiunt, et corio insutum conjiciunt in Os impiorum, quod vocant. Est id rotundum, puteoque simillimum, ac projectum corpus post triginta dies in Mæotidem paludem ejicit vermibus refertum : vultures autem ex tempore a nemine antea percepti jacens cadaver discerpunt, ut testatur Ctesippus secundo Rerum Scythicarum.

Daes Colonensis ait Colonis (in Troade) primum consecratum fuisse ab Æolibus e Græcia huc advectis templum Apollinis Cillæi.

Βυζαντίου scripsit, siquidem recte hic a Nostro diversus esse putatur.

DAMON.

ΠΕΡΙ ΒΥΖΑΝΤΙΟΥ.

Athenæus X, p. 442, C: Φύλαρχος ἐν ἕκτῃ Βυζαντίους, οἰνόφλυγας ὄντας, ἐν τοῖς καπηλείοις οἰκεῖν, ἐκμισθώσαντας τοὺς ἑαυτῶν θαλάμους μετὰ τῶν γυναικῶν τοῖς ξένοις, πολεμίας σάλπιγγος οὐδ' ἐν ὕπνοις ὑπομένοντας ἀκοῦσαι. Διὸ καὶ πολεμουμένων ποτὲ αὐτῶν, καὶ οὐ προσκαρτερούντων τοῖς τείχεσι, Λεωνίδης ὁ στρατηγὸς ἐκέλευσε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν σκηνοπηγεῖν, καὶ μόλις ποτὲ ἐπαύσαντο λιποτακτοῦντες, ὥς φησι Δάμων ἐν τῷ Περὶ Βυζαντίου.

Eadem ex Athenæo hauriens suis verbis narrat Ælian. V. H. III, 14. Cf. Phylarch. (fr. 10) ap. Athen. l. l. Rem ad ea tempora pertinere quibus Antiochus Byzantios bello petiverit (c. an. 262-258), suspicio est Droysenii (*Hellenism.* II, p. 285). Contra Bernhardyus ad Suid. v. Λέων, Leonidem eundem esse putat cum Leonte rhetore Philippique adversario. Vide fragm. Leontis (tom. II, p. 330).

Damonem Cyrenæum, qui De philosophis scripserit, memorat Diog. L. I, 14: Δάμων ὁ Κυρηναῖος, γεγραφὼς Περὶ τῶν φιλοσόφων, πᾶσιν ἐγκαλεῖ, μάλιστα δὲ τοῖς ἑπτά.

DAMOCRITUS.

Suidas: Δαμόκριτος, ἱστορικός. Τακτικὰ ἐν βιβλίοις β'. Περὶ Ἰουδαίων· ἐν ᾧ φησὶν ὅτι χρυσῆν ὄνου κεφαλὴν προσεκύνουν καὶ κατὰ ἑπταετίαν ξένον ἀγρεύοντες προσέφερον, καὶ κατὰ λεπτὰ τὰς σάρκας διέξαινον, καὶ οὕτως ἀνῄρουν.

Eudocia p. 128 post v. Ἰουδαίων pergit: Αἰθιοπικὴν ἱστορίαν καὶ ἄλλα. — ὄνου κεφαλὴν] Eadem sub v. Ἰούδας repetit. « De fabella v. interpr. ad Tacit. Hist. V, 4 et Paullum Comm. in N. T. III, p. 152 sqq. » *Bernh.* — ἑπταετίαν] τριετίαν sub v. Ἰούδας.

Damocritum hunc Jonsius Scr. H. phil. 1, 4, 5 (et Mullach. De Democrito p. 92) eundem esse statuit cum Demetrio quem De Judæis librum scripsisse dicunt Alexander Polyhistor et Clemens Alex. Stromat. I, p. 146. Quod parum probabile. Vide not. ad Alexandr. Polyh. p. 208. Quam addit Eudocia Αἰθιοπικὴν ἱστορίαν, ea nescio an orta sit ex Democriti Abderitæ libro qui ferebatur Περὶ τῶν ἐν Μερόῃ ἱερῶν γραμμάτων.

DEMADES.

Suidas: Δημάδης, Ἀθηναῖος, ῥήτωρ καὶ δημαγωγὸς πανοῦργος καὶ εὐτυχής, πρότερον ναύτης ὤν. Ἔγραψεν Ἀπολογισμὸν πρὸς Ὀλυμπιάδα τῆς ἑαυτοῦ δωδεκαετίας, Ἱστορίαν περὶ Δήλου καὶ τῆς γενέσεως τῶν Λητοῦς παίδων.

Demades demagogus scriptum reliquit nihil, uti tradunt Cicero Brut. 9 et Quinctilian. II, 17, 13; XII, 10, 49. Quare quod superstes est orationis Περὶ δωδεκαετίας (338-326) fragmentum suppositicium esse viri docti judicarunt (v. quos laudat Westermann. *Gesch. d. gr. Bereds.* 54, 16). Multo minus persuaderi sibi aliquis patietur Demadem istum De Delo insula ejusque fabulis opus composuisse. Dubium vix est alium quendam ejusdem vel similis nominis virum cum oratore a Suida confundi. (V. Fabricius B. Gr. IV, p. 421; Ruhnken. Hist. crit. orat. § 73.) Fragmentum habeo unum.

Schol. Hesiod. Theog. 913, de Proserpina: Ἡρπάσθαι δὲ αὐτήν φασιν οἱ μὲν ἐκ Σικελίας, Βακχυλίδης δὲ ἐκ Κρήτης, Ὀρφεὺς ἐκ τῶν περὶ τὸν ὠκεανὸν τόπων, Φανόδημος δὲ ἀπὸ τῆς Ἀττικῆς, Δημάδης δὲ ἐν νάπαις.

Δημάδης] var. lect. Δημέας, Δημαίας. (Etym. M. p. 265, 12: ἀπὸ τοῦ Δημέας γίνεται Δημεάδης, καὶ κατὰ συναίρεσιν Δημάδης.) Pro ἐν νάπαις Ebert. (Σικελιῶν p. 10) proposuit ἐν Νάπαις vel ἐκ Νάπης (Steph. B. Νάπη, πόλις Λέσβου). Cui tamen conjecturæ mythologia non favet. Posses: ἐν [Ἔννας] νάπαις. Nam ἐν τοῖς λειμῶσι τοῖς κατὰ τὴν Ἔνναν Proserpina rapta sec. Diodor. V, 3, Aristot. Mi-

---

DE BYZANTIO.

Phylarchus libro sexto Byzantios ait ita vinosos esse, ut in cauponis habitent, suas ædes simul cum uxoribus elocantes peregrinis; bellicæ tubæ sonum ne in somno quidem exaudire sustinentes. Itaque aliquando quum bello ipsis illato laborem curamque tuendorum murorum non ferrent, Leonides dux jussit ut cauponum tentoria super ipsis muris figerentur; quo facto ægre tandem obtinuit ut desinerent illi ordines deserere, sicuti narrat Damon in libro De Byzantio.

Damocritus, historicus, scripsit Tacticorum libros duos, item de Judæis: in quo opere tradit eos aureum asini caput adorare, et septimo quoque anno peregrinum captum sacrificare et interficere, carne ejus minutatim dissecta.

Proserpinam raptam esse nonnulli dicunt e Sicilia, Bacchylides e Creta, Orpheus e locis ad Oceanum sitis, Phanodemus ex Attica, Demades vero e **.

rab 63, alios. At jam dixerat auctor : οἱ μὲν ἐκ Σικελίας. Fortasse scriptum olim fuit : Δημάδης δ' Ἑκάτης [ἐκ νήσου]. Hæc enim caderent in auctorem Deliacorum. De νησυδρίῳ isto ante Delum sito libro primo Deliadis (fr. 2) dixit *Semus* (quem olim Suidæ immemor etiam n. I. reponendum putabam, fuisse ratus Σημ. α' Δηλ. pro Δημάδης).

DEMAGORAS SAMIUS.

Demagoras, Dionysio Halicarnassensi antiquior, qui Samius dicitur fragm. 3, Troica videtur scripsisse. Confundi nomen facile potuit cum *Timagora*, quem auctorem Thebaicorum novimus ex schol. ad Eurip. Phœn. 159 et 670.

1.

Schol. Eur. Phœn. 7 : Δημαγόρας δὲ ἀπὸ Λιβύης ἐλθοῦσαν τὴν Ἠλέκτραν οἰκῆσαι τὴν Σαμοθρᾴκην. Ἔνθα συγγενομένη Διὶ ἔτεκεν Ἡμιθέαν, Δάρδανον, Ἁρμονίαν· τὸν δὲ Κάδμον παραπλέοντα μετὰ Θάσου ἐπὶ ζήτησιν τῆς ἀδελφῆς μυηθῆναί τε καὶ μυούμενον ἰδεῖν τὴν Ἁρμονίαν, προνοίᾳ δὲ Ἀθηνᾶς ἁρπάσαι αὐτήν.

« Pro Ἡμιθέαν cum Valcken. leg. Ἠετίωνα. » *Matthiæ*. Scilicet Eetion pro *Hemithea* legitur in schol. ad v. 1129; ubi notandum quod cod. Aug. habet Ἠετίωνα, ὃν καὶ Ἡσωνὰν (sic) ὠνόμασαν. De Electra Libyca cf. Diodorus III, 60, 4; V, 48, 2, ubi ejus e Jove liberos recenset Harmoniam, Dardanum et Ἰασίωνα (hoc voluit schol. in cod. Aug.). De re cf. Müller. *Min.* p. 461, nostri loci non immemor, nisi quod pro Demagora laudat *Timagoræ* Thebaica (cujus schol. Eur. Phœn. 159 meminit, et Steph. Byz.). Ac nescio an revera Demagoras et Timagoras unus fuerint idemque.

2.

Dionysius Hal. A. R. I, 72, p. 180 R. Cephalion (fr. 8) Romam conditam dicit δευτέρᾳ γενεᾷ μετὰ τὸν Ἰλιακὸν πόλεμον a Romo Æneæ filio. Εἴρηται δὲ Δημαγόρᾳ καὶ Ἀγαθύλλῳ καὶ ἄλλοις συχνοῖς ὅ τε χρόνος καὶ τῆς ἀποικίας ἡγεμὼν ὁ αὐτός. Eadem Euseb. Chron. p. 45; Syncell. p. 192, B.

3.

Suidas : Ἀλκυονίδες ἡμέραι· αἱ εὐδιειναί. Περὶ τοῦ ἀριθμοῦ διαφέρονται. Σιμωνίδης γὰρ ἐν Πεντάθλοις ια' [l. ιδ'] φησὶν αὐτὰς καὶ Ἀριστοτέλης ἐν τοῖς Περὶ ζῴων· Δημαγόρας δὲ ὁ Σάμιος ζ', καὶ Φιλόχορος θ'.

Eadem Eustath. ad Il. IX, 558, p. 776; Lex. Seguer. in Bekk. An. p. 377; Arsen. p. 40; Apostol. II, 21; Eudoc. p. 35; Bachmann. Anecd. I, p. 68. — ια'] ε' Eustath.; sed Aristot. Hist. An. V, 8, 2, ex Simonide refert esse ιδ'. Cf. schol. Aristoph. Av. 251; schol. Apoll. Rh. I, 1086; Ovid. Met. XI, 745.

DEMARATUS.

Vossius p. 426 : « Plutarchus in Agesil. c. 16 scripta memorat *Demarati Corinthii*. Sed hujus Corinthii an cetera quoque sint, vel quæ ejus sint, quæ alterius, haud proclive est dicere. » Verba Plutarchi l. l. hæc sunt : Οὐ γὰρ ἔγωγε συμφέρομαι τῷ Κορινθίῳ Δημαράτῳ μεγάλης ἡδονῆς ἀπολελεῖφθαι φήσαντι τοὺς μὴ θεασαμένους Ἕλληνας Ἀλέξανδρον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον. Hinc sine causa scriptum aliquod Demarati Vossius elicuit. Demaratus ille amicus erat Philippi et comes Alexandri. Plutarch. De fort. Alex. orat. I, c. 7 (p. 404 ed. Didot) : Δημάρατος μὲν οὖν ὁ Κορίνθιος εἷς ὢν τῶν Φιλίππου ξένων καὶ φίλων, ὅτε Ἀλέξανδρον εἶδεν ἐν Σούσοις, περιχαρὴς γενόμενος καὶ δακρύσας, μεγάλης ἔφη χαρᾶς ἐστερῆσθαι τοὺς ἔμπροσθεν τεθνηκότας Ἕλληνας, ὅτι Ἀλέξανδρον οὐκ εἶδον ἐν τῷ Δαρείου θρόνῳ καθήμενον. Alia ejusdem dicteria vide ap. Plutarch. De adulat. et am. c. 30 (p. 84 Did.) et in Apophthegm. Philippi 30 (p. 179, C, p. 213 Didot). Cf. Vit. Alex. c. 9, 37, 56. — Cujusnam Demarati sint versus qui leguntur in Antholog. lib. I, nescio. Reliquos Demaratos non enumero.

1.

Demagoras e Libya Electram in Samothraciam venisse ibique sedem fixisse ait, et cum Jove congressam peperisse Hemitheam (Eetionem?), Dardanum et Harmoniam. Cadmum vero cum Thaso sororem quærentem, quum in Samothraciam appulisset, initiatum esse et inter initiationem conspexisse Harmoniam eamque Minervæ consilio rapuisse.

2.

Demagoras et Agathyllus et alii plurimi de tempore quo Roma condita sit et de duce coloniæ cum Cephalione consentiunt.

3.

Alcyonii dies, sereni. De numero eorum scriptores inter se dissentiunt. Simonides enim in Quinquertionibus quattuordecim esse dicit, ut et Aristoteles in Historia Animalium; Demagoras vero Samius septem, Philochorus novem.

ΑΡΚΑΔΙΚΑ.

1.

E LIBRO SECUNDO.

Plutarchus Parall. min. c. 16. : Τεγεάταις καὶ Φανεάταις χρονίου πολέμου γενομένου, ἔδοξε τριδύμους ἀδελφοὺς πέμψαι τοὺς μαχησομένους περὶ τῆς νίκης. [Καὶ] Τεγεᾶται μὲν οὖν τοὺς Ῥηξιμάχου παῖδας, Φανεᾶται δὲ τοὺς Δημοστράτου προὐβάλλοντο. Συμβληθείσης δὲ τῆς μάχης, ἐφονεύθησαν τῶν Ῥηξιμάχου δύο· ὁ δὲ τρίτος, τοὔνομα Κριτόλαος, στρατηγήματι περιεγένετο τῶν δύο (l. τῶν ἀντιπάλων ex Stobæo)· προσποιητὴν γὰρ φυγὴν σκηψάμενος, κατὰ ἕνα τῶν διωκόντων ἀνεῖλε. Καὶ ἐλθόντος, οἱ μὲν ἄλλοι συνεχάρησαν, μόνη δ' οὐκ ἐχάρη ἡ ἀδελφὴ Δημοδίκη· πεφονεύκει γὰρ αὐτῆς τὸν κατηγγυημένον ἄνδρα, Δημόδικον. Ἀναξιοπαθήσας δὲ ὁ Κριτόλαος ἀνεῖλεν αὐτήν. Φόνου δ' ἀγόμενος ὑπὸ τῆς μητρὸς, ἀπελύθη τῶν ἐγκλημάτων· ὡς Δημάρατος ἐν δευτέρῳ Ἀρκαδικῶν. Eadem narrat Stobæus Floril. XXXIX, 32.

ΦΡΥΓΙΑΚΑ.

E LIBRO QUARTO.

2.

Plutarch. De fluv. c. 9, 4 : Παράκειται δ' αὐτῷ (Μαιάνδρῳ) ὄρος Σίπυλον, τὴν προσηγορίαν ἔχον ἀπὸ Σιπύλου τοῦ Ἀγήνορος καὶ Διωξίππης παιδός. Οὗτος γὰρ μητροκτονήσας κατ' ἄγνοιαν, καὶ ὑπ' Ἐριννύων οἰστρηλατηθεὶς, εἰς τὸ Κεραύνιον ὄρος ἦλθε, καὶ διὰ λύπης ὑπερβολὴν βρόχῳ τὸν βίον περιέγραψε. Τὸ δ' ὄρος κατὰ πρόνοιαν θεῶν ἀπ' αὐτοῦ Σίπυλον ὠνομάσθη. Γεννᾶται δ' ἐν αὐτῷ λίθος, παρόμοιος κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς υἱοὶ, ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς Μητρὸς τῶν θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτάνουσιν, ἀλλὰ φιλοπάτορες ὑπάρχουσι, καὶ πρὸς τοὺς προσήκοντας συμπαθοῦσι, ὡς ἱστορεῖ Ἀγαθαρχίδης ὁ Σάμιος ἐν δ' Περὶ λίθων. Μέμνηται δὲ τούτων ἀκριβέστερον Δημάρατος ἐν δ' [Περὶ] Φρυγίας.

ΠΕΡΙ ΠΟΤΑΜΩΝ.

E LIBRO TERTIO.

3.

Idem ib. c. 9, 3 : Γεννᾶται δ' ἐν αὐτῷ (sc. Μαιάνδρῳ) λίθος, κατ' ἀντίφρασιν Σώφρων καλούμενος, ὃν ἐὰν βάλῃς τινὸς εἰς κόλπον, ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν· ἐξιλασάμενος δὲ τὴν Μητέρα τῶν θεῶν, ἀπαλάσσεται τοῦ πάθους· καθὼς ἱστορεῖ Δημάρατος ἐν γ' Περὶ ποταμῶν. Μέμνηται δὲ τούτων καὶ Ἀρχέλαος ἐν α' Περὶ λίθων.

ΤΡΑΓΩΔΟΥΜΕΝΑ.

E LIBRO PRIMO VEL TERTIO.

4.

Clem. Alex. Protr. c. 3, p. 12 Sylb. : Ἐρεχθεὺς δὲ ὁ Ἀττικὸς καὶ Μάριος ὁ Ῥωμαῖος τὰς αὐτῶν ἐθυσάτην θυγατέρας· ὧν ὁ μὲν τῇ Φερεφάττῃ, ὡς Δημάρατος ἐν πρώτῃ Τραγῳδουμένων, ὁ δὲ τοῖς ἀποτροπαίοις, ὁ Μάριος, ὡς Δωρόθεος ἐν τῇ τετάρτῃ Ἰταλικῶν ἱστορεῖ. Cf. Euseb. P. E. IV, 16, p. 157.

ARCADICA.

1.

Quum diuturnum fuisset inter Tegeatas ac Pheneatas bellum, placuit utrinque mitti fratres tergeminos, qui de summa rei decernerent. Tegeatæ Rheximachi, Pheneatæ Demostrati filios delegerunt. Conserta pugna, duo de filiis Rheximachi ceciderunt. Tertius Critolaus calliditate adversarios vicit : simulata enim fuga eos, dum invicem divulsi insequuntur, interfecit. Redeunti quum omnes gratularentur victori, sola soror ejus Demodice gaudio abstinuit ob interfectum ea pugna a fratre Demodicum, cui desponsa fuerat. Quod indigne ferens Critolaus sororem trucidavit; cædisque postulatus a matre, absolutus est, ut Demaratus narrat Arcadicorum secundo.

PHRYGIACA.

2.

Mæandro adjacet mons Sipylus, a Sipylo, Agenoris et Dioxippæ filio, dictus. Hic enim quum matrem invitus occidisset, a Furiis exagitatus in Ceraunium montem venit, et præ doloris exsuperantia laqueo vitam circumscripsit. Mons autem, diis ita volentibus, ab eo Sipylus vocatus est. Generatur in eo lapis, quem ubi pii filii invenere, in templo Matris deorum ipsum reponunt, nec unquam impie peccant, sed parentes diligunt et in cognatos suos bene affecti sunt, ut scribit Agatharchides Samius quarto De lapidibus. Meminit horum etiam accuratius Demaratus quarto De Phrygia.

DE FLUVIIS.

3.

Nascitur in Mæandro lapis, per antiphrasin Sophron (*Sapiens*) dictus, quem si in alicujus sinum projicias, insanescit statim, et e cognatis quendam occidit; placata vero deorum Matre, liberatur ab hac passione, ut refert Demaratus tertio De fluviis.

TRAGODUMENA.

4.

Erechtheus Atticus et Marius Romanus filias suas sacrificarunt, ille quidem Persephonæ, ut Demaratus primo Tragodumenôn ait, hic vero diis averruncis, ut Dorotheus in quarto Italicorum refert.

Stobæus Florileg. XXXIX, 33: Δημαράτου ἐν τρίτῳ Τραγῳδουμένων. Ἀθηναίων πρὸς Εὔμολπον τὸν Θρᾳκῶν βασιλέα πόλεμον ἐχόντων, Ἐρεχθεὺς ὁ τῆς Ἀττικῆς προϊστάμενος χρησμὸν ἔλαβεν, ὅτι νικήσει τοὺς ἐχθροὺς, ἐὰν τὴν πρεσβυτάτην τῶν θυγατέρων Περσεφόνῃ θύσῃ. Παραγενόμενος δ' εἰς Ἀθήνας Πραξιθέᾳ τῇ γυναικὶ τὴν Πυθόχρηστον μαντείαν ἀπήγγειλεν· εἶθ' οὕτω τὴν κόρην προσαγαγὼν τοῖς βωμοῖς ἀνεῖλε, καὶ συμβαλὼν τὸν πόλεμον ἐγκρατὴς ἐγένετο τῆς νίκης.

5.

Schol. Apoll. Rh. I, 45: Ἴφικλος υἱὸς ἦν Φυλάκου καὶ Κλυμένης τῆς Μινύου. Τοῦτον Ἡσίοδος (fr. 162) ἐπὶ πυρίνων ἀθέρων τρέχειν φησὶ, Δημάρατος δὲ ἐπὶ τῆς θαλάσσης. Cf. Ahrens ad fragm. Sophocl. p. 306 ed. Didot.

6.

Apollodor. I, 9, 19, 7: Δημάρατος δὲ αὐτὸν (Herculem) εἰς Κόλχους πεπλευκότα παρέδωκε. Διονύσιος μὲν γὰρ αὐτὸν καὶ ἡγεμόνα τῶν Ἀργοναυτῶν γενέσθαι. Codices Δημαρέτης; correx. Ægius.

Schol. Apoll. Rh. I, 1290: Διονύσιος δὲ ὁ Μιτυληναῖος συμπεπλευκέναι φησὶ τὸν ἥρωα (Ἡρακλέα) τοῖς ἀριστεῦσιν καὶ τὰ περὶ Μήδειαν συμπεπραχέναι τῷ Ἰάσονι. Ὁμοίως καὶ Δημάρατος.

Demarati nomen sine causa Berkelius restitui voluit ap. Stephan. Byz. v. Ἀκτή, ubi libri Δημάγητος. Vide fragm. Timageti Περὶ λιμένων.

DEMETRIUS CALLATIANUS.

Diogenes L. V, 83: Ἕκτος (Δημήτριος) Καλλατιανὸς, ὁ γεγραφὼς Περὶ Ἀσίας καὶ Εὐρώπης εἴκοσι βίβλους. Scymno antiquior est, una, puto, vel duabus generationibus. Neque alium atque Nostrum intellexisse videtur Dionysius Halic. De comp. verb. tom. V, p. 30 R., qui Demetrium post Polybium et Psaonem inter eos recenset, qui aptam verborum compositionem prorsus neglexerint, atque τοιαύτας συντάξεις κατέλιπον, οἵας οὐδεὶς ὑπομένει μέχρι κορωνίδος διελθεῖν.

ΠΕΡΙ ΑΣΙΑΣ ΚΑΙ ΕΥΡΩΠΗΣ.

1.

Scymnus v. 718 ed. Meinek.:

Μετὰ ταῦτα δ' ἔσθ' ὁ Πόντος, οὗ δὴ τὴν θέσιν
ὁ Καλλατιανὸς συγγράφων Δημήτριος
ἔοικεν ἐπιμελεστάτως πεπυσμένος.

Quare in sequentibus ad hunc maxime auctorem narrationem accommodasse Scymnus videtur. Patria Demetrii memoratur etiam v. 760:

* * * Κάλλατις
ἀποικία μὲν Ἡρακλεωτῶν γενομένη
κατὰ χρησμόν· ἔκτισαν δὲ ταύτην ἡνίκα
τὴν Μακεδόνων ἀρχὴν Ἀμύντας παρέλαβεν.

Deinde v. 789, postquam Istri insulam Peucen commemoravit, pergit

Μετ' αὐτὴν πελαγία
Ἀχιλλέως ἡ νῆσός ἐστι κειμένη.
Ἔχει δὲ πλῆθος χειρόηθες ὀρνέων,
θέαν ἱεροπρεπῆ τε τοῖς ἀφικνουμένοις.
Οὐ δυνατόν ἐστ' ἤπειρον ἀπὸ ταύτης ἰδεῖν
καίπερ ἀπεχούσης στάδια τῆς χώρας ἄπο
τετρακόσι', ὡς δὴ συγγράφει Δημήτριος.

Idem v. 880:

Εἶτα μετὰ τούτους ἐστὶ Μαιωτῶν γένος
Ἰαξαματῶν λεγόμενον, ὡς Δημήτριος
[ὁ συγγραφεὺς] εἴρηκεν, ὡς δ' Ἔφορος λέγει,
Σαυροματῶν λέγεται ἔθνος.

Eadem in Anonym. Periplo Pont. Eux. init. (tom. III, p. 206, ed. Gail).

Idem Scymnus v. 117 Demetrium Callatianum inter fontes suos recenset.

2.

Strabo I, p. 60: Δημήτριος δ' ὁ Καλλατιανὸς τοὺς καθ' ὅλην τὴν Ἑλλάδα γενομένους ποτὲ σεισμοὺς διη-

---

Demaratus tertio Tragodumenôn hæc narrat. Atheniensibus contra Eumolpum Thracum regem bellum gerentibus, Erechtheus, Atticæ princeps, oraculum accepit, fore ut victoria potiretur, si natu maximam filiarum Proserpinæ sacrificaret. Reversus Athenas Pythiæ responsum Praxitheæ uxori nuntiavit, atque sic filiam ad aram adducens mactavit, deinde prœlium conserens victoriam deportavit.

5.

Iphiclus filius erat Phylaci et Clymenæ Minyæ natæ. Hunc Hesiodus super tritici spicis, Demaratus super mari currere potuisse dicunt.

6.

Demaratus Herculem ad Colchos cum Argonautis navigasse tradit. Dionysius eum etiam ducem eorum fuisse dicit.

DE ASIA ET EUROPA.

1.

Post hæc Pontus est, cujus situm Demetrius, Callatianus scriptor, videtur curiosissime explorasse.

Post Peucen in alto mari Achillis insula (Leuce) sita est, quam habet mansueta multitudo avium, sacrum advenis spectaculum. Non potest ex ea terra continens conspici, quamquam quadringentis tantum distet stadiis, sicuti scribit Demetrius.

Post hos (Sarmatas) est Mæotarum gens, qui Iaxamatæ dicuntur, ut ait Demetrius scriptor; ut vero Ephorus tradidit, Sauromatarum gens.

2.

Demetrius Callatianus terræ motus qui ab antiquis

γούμενος τῶν τε Λιχάδων νήσων καὶ τοῦ Κηναίου τὰ πολλὰ καταδῦναί φησι, τά τε θερμὰ τὰ ἐν Αἰδηψῷ καὶ Θερμοπύλαις ἐπὶ τρεῖς ἡμέρας ἐπισχεθέντα πάλιν ῥυῆναι, τὰ δ' ἐν Αἰδηψῷ καὶ καθ' ἑτέρας ἀναρραγῆναι πηγάς· Ὠρεοῦ δὲ τὸ πρὸς θαλάττῃ τεῖχος καὶ τῶν οἰκιῶν περὶ ἑπτακοσίας συμπεσεῖν, Ἐχίνου τε καὶ Φαλάρων καὶ Ἡρακλείας τῆς Τραχῖνος, τῶν μὲν πολὺ μέρος πεσεῖν, Φαλάρων δὲ καὶ ἐξ ἐδάφους ἀναστραφῆναι τὸ κτίσμα. Παραπλήσια δὲ συμβῆναι καὶ Λαμιεῦσι καὶ Λαρισαίοις· καὶ Σκάρφειαν δ' ἐκ θεμελίων ἀναρριφῆναι, καὶ καταδῦναι σώματα χιλίων καὶ ἑπτακοσίων οὐκ ἐλάττω, Θρονίους δ' ὑπὲρ ἥμισυ τούτων· κῦμά τε ἐξαρθὲν τριχῇ, τὸ μὲν πρὸς Σκάρφην ἐνεχθῆναι καὶ Θρόνιον, τὸ δὲ πρὸς Θερμοπύλας, ἄλλο δὲ εἰς τὸ πεδίον ἕως τοῦ Φωκικοῦ Δαφνοῦντος. Πηγάς τε ποταμῶν ξηρανθῆναι πρὸς ἡμέρας τινάς, τὸν δὲ Σπερχειὸν ἀλλάξαι τὸ ῥεῖθρον καὶ ποιῆσαι πλωτὰς τὰς ὁδούς, τὸν δὲ Βοάγριον κατ' ἄλλης ἐνεχθῆναι φάραγγος, καὶ Ἀλόπης δὲ καὶ Κύνου καὶ Ὀποῦντος πολλὰ καταβλαβῆναι μέρη, Οἶον δὲ τὸ ὑπερκείμενον φρούριον πᾶν ἀνατραπῆναι, Ἐλατείας δὲ τοῦ τείχους καταρραγῆναι μέρος, περὶ δὲ Ἄλπωνον θεσμοφορίων ὄντων πέντε καὶ εἴκοσι παρθένους ἀναδραμούσας εἰς πύργον τῶν ἐλλιμενίων κατὰ θέαν, πεσόντος τοῦ πύργου, πεσεῖν καὶ αὐτὰς εἰς τὴν θάλατταν. Λέγουσι δὲ καὶ τῆς Ἀταλάντης τῆς πρὸς Εὐβοίᾳ τὰ μέσα, ῥήγματος γενομένου, διάπλουν δέξασθαι, μεταξὺ καὶ τῶν πεδίων ἔνια καὶ μέχρι εἴκοσι σταδίων ἐπικλυσθῆναι, καὶ τριήρη τινὰ ἐκ τῶν νεωρίων ἐξαιρεθεῖσαν ὑπερπεσεῖν τοῦ τείχους.

3

Stephan. Byz. : Ἀντικύρα, πόλεις δύο· ἡ μία Φωκίδος, ὡς Δημήτριος ὁ Καλλατιανός, ἡ δὲ ἐν Μαλιεῦσιν, ὡς Ἀπολλόδωρος.

Fortasse alia nonnulla eorum, ubi Demetrius sine patriæ nota apud Stephanum laudatur, ad Nostrum pertinent. Quæ vero sint, sciri omnino nequit.

4.

Schol. Theocrit. I, 64 : Δημήτριος δὲ ὁ Καλλατιανός, τοῦ Βριάρεω, ἑνὸς τῶν Κυκλώπων, παῖδας γενέσθαι Σικανὸν καὶ Αἴτνην, ἀφ' ἧς τὸ ὄνομα (sc. Ætnæ monti). Ceterum nescio an hæc potius referenda sint ad Commentarios in Theocritum, sicuti ea quæ leguntur in schol. ad Id. VII, 151 : τὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλεν.] Τὸν Πολύφημον τὸν Κύκλωπα λέγει, ὃς ἀντὶ λίθων ὄρη ἔβαλλεν, ἢ τοὺς ἐν τοῖς ὄρεσι λίθους, ὡς Δημήτριός φησι. — Id. ad Id. V, 83 : Δημήτριος δὲ Κάρνειον τὸν Ἀπόλλωνα προσαγορευθῆναί φησιν ἀπὸ τοῦ κρᾶναι, ὅ ἐστι τελέσαι. Φησὶ γάρ, ὡς ὁ Μενέλαος στρατεύσας εἰς Ἴλιον, ηὔξατο τιμῆσαι αὐτόν, ἐὰν κραίνῃ.

5.

Lucian. Macrob. c. 10 (p. 641 Didot.) : Ἱέρων τε ὁ Συρακοσίων τύραννος δύο καὶ ἐνενήκοντα ἐτῶν γενόμενος ἐτελεύτα νοσῶν, βασιλεύσας ἑβδομήκοντα ἔτη, ὥσπερ Δημήτριός τε ὁ Καλλατιανὸς καὶ ἄλλοι λέγουσιν. Hiero moritur a. 216 a. C.

DEMETRIUS ERYTHRÆUS.

Diogenes L. V, 85, Demetrios poetas recensens : Ἕκτος, Ἐρυθραῖος, ποικιλογράφος ἄνθρωπος· καὶ ἱστορικὰ καὶ ῥητορικὰ πεποίηκε βιβλία.

Ætatem hominis indicat Suidas : Τυραννίων... Ἀμισηνός... γεγονὼς ἐπὶ Πομπηίου τοῦ Μεγάλου καὶ πρότερον... ἀντεσοφίστευσε δὲ Δημητρίῳ τῷ Ἐρυθραίῳ. — Alium Demetrium Erythræum memorat Diog. L. l. l. 84 : Δωδέκατος (Δημήτριος), γραμματικός, Ἐρυθραῖος, πολιτογραφηθεὶς ἐν Τήμνῳ.

DEMETRIUS ILIENSIS tamquam Τρωικῶν

---

temporibus per Græciam totam acciderunt, enumerans, Lichadum insularum et Cenæi multas partes demersas narrat, et thermas quæ sunt Ædepsi atque in Thermopylis, per triduum retentas, rursum fluxisse, ita quidem, ut Ædepsanæ aliis eruperint fontibus. Et Orei murum maritimum et domos ad septingentas corruisse; Echini, Phalarorum et Heracleæ Trachiniæ magnam concidisse partem, Phalara funditus esse eversa. Similia evenisse Lamiensibus et Larisæis; et Scarphiam e fundamentis subrutam, et demersos homines mille septingentis non pauciores, Throniorum dimidiam partem horum et amplius : ac fluctum excitatum trifariam, cujus una pars ad Scarphen et Thronium delata, altera ad Thermopylas, tertia in campum usque ad Daphnuntem Phocidis. Fontes quoque fluminum per aliquot dies fuisse siccatos; Spercheum alveo mutato vias reddidisse navigabiles; Boagrium per aliam decurrisse convallem; Alopes, Cyni et Opuntis multas partes læsas : Œum autem castellum, quod supra urbem situm fuit, totum eversum, partem muri Elateæ concidisse : et apud Alponum, quum Thesmophoria agerentur, viginti quinque virgines in turrim in portu sitam spectandi causa accurrisse ac ruina turris in mare decidisse. Ferunt et Atalantam, quæ est juxta Eubœam, ruptura accidente mediam navibus perviam redactam, campos etiam quosdam ad viginti stadia usque inundatos, et triremem quandam e navali ablatam supra muros decidisse.

3.

Anticyra altera est Phocidis urbs, ut Demetrius Callatianus ait, altera apud Malienses est, ut Apollodorus testatur.

4.

Demetrius Callatianus Briarei, unius ex Cyclopibus, liberos esse ait Sicanum et Ætnam, de qua Ætna mons vocatus est.

5.

Hiero Syracusarum tyrannus duo et nonaginta annos natus morbo vitam finivit, ut Demetrius Callatianus et alii tradunt.

auctor memoratur ap. Eudoc. p. 128 : Δημήτριος Ἰλιεὺς ἱστορικὸς, ἔγραψε Τρωικὰ ἐν βιβλίοις εἴκοσι· et ap. Eustath. ad Hom. Odyss. λ, 534, p. 1696, 40 : Ἰστέον δὲ ὅτι Ὁμήρου καὶ τῶν πλειόνων ἕνα παῖδα λεγόντων Δηϊδαμείας καὶ Ἀχιλλέως, τὸν Νεοπτόλεμον, Δημήτριος ὁ Ἰλιεὺς δύο ἱστορεῖ, Ὄνειρόν τε καὶ Νεοπτόλεμον. Ὃν ἀνελὼν φησιν ἐν Φωκίδι Ὀρέστης ἀγνοίᾳ, ὕστερον δὲ γνοὺς, τάφον αὐτῷ ἐποίησε περὶ Δαυλίδα, καὶ ἀναθεὶς τὸ ξίφος, ᾧ ἀνεῖλεν αὐτὸν ἀπῆλθεν εἰς τὴν Λευκὴν νῆσον, ἣν ὁ Λυκόφρων φαληριῶσαν σπῖλον καλεῖ, καὶ τὸν Ἀχιλλέα ἐξιλεώσατο. (De Oniro ab Oreste occiso cf. Ptolem. Hephæst. p. 187, 21 Westerm.) Is Demetrius fortasse non diversus est a *Demetrio* Cratetis discipulo, qui *Scepsin* Troadis urbem patriam habuit, atque voluminibus triginta (ap. Eudociam nonnisi viginti habes) Τρωικὸν διάκοσμον sive Commentarium scripsit (*) in eam libri secundi Iliadis partem, qua copiæ Trojanorum recensentur. Opus amplissimum et eruditionis antiquariæ plenissimum (Strabo XIII, p. 603 : ἀνδρὶ ἐμπείρῳ καὶ ἐντοπίῳ, φροντίσαντί τε περὶ τούτων τοσοῦτον, ὥστε τριάκοντα βίβλους συγγράψαι στίχων ἐξήγησιν μικρῷ πλειόνων ἑξήκοντα [Il. II, 811-877] τοῦ καταλόγου τῶν Τρώων). Ejusdem auctoris Νεῶν διάκοσμον laudat (nescio an errore) schol. Pind. V, 42 (v. Bœckh. præfat. ad schol. Pind.). — Ceterum Scepsius ille procul dubie reponendus est apud schol. Apollon. Rh. I, 1165, ubi nunc in vulg. legitur Δημήτριος Κνίδιος, in cod. Paris. Δ. Κίδιος.

(*) Fragmenta commentariorum multa exstant luculentaque, quæ quum exscribere h. l. non liceat, indicasse satis habeo : Athenæus p. 141 E (α'); 658 C (β'); 346 C (η'); 697 C (ι'); 300 D (ια'); 155 B et 644 A (ιδ'); 80 D (ιε'); 174 F (ις' et κδ'); 697 D (ιϑ'); 91 C et 425 C (κς'); 44 E; 167 D; 236 D E. Steph. Byz. Σιλίνδιον (ις'); Κάλυμνα. Strabo I, 43. 46. 58. 59; VIII, 328. 339. 344. 375; IX, 439. 438; X, 456. 472. 473. 489; XII, 550. 551 sqq.; XIII, 594. 596 sq. 599. 600. 602 sq. 606. 607. 609 sq. 611. 626. 627; XIV, 680. Schol. Apollon. Rhod. I, 230 238. 1123. 1165; III, 134. Schol. Hom. Il. XI, 757. XIV, 229. XX, 3. 53. Schol. Pind. Ol 5, 42. Bekker. An. 342, 10. 364, 18; Etym. M. p. 808, 37 v. Χέραδες; Suidas Ἀδράστεια; Harpocrat. v. Ἀδράστεια, Θυργωνίδαι, Ἴων; Tzetzes Lyc. 530. Ptolem. Hephæst. V. p. 326 Gal. (s. Phot. Bibl. cod. 190). De temporibus scriptoris cf. Clinton F. Hell. tom. III. p. 527. — Haud magis ad nos pertinet *Demetrius Magnesius*, Ciceronis æqualis. Ejus Περὶ ὁμονοίας librum commemorat Cicero Ad Attic. VIII, 11, coll. IV, 11. (v. Voss. Hist. Gr. p. 193; Westermann. Quæstion. Demosth. P. IV, p. 38 sqq.). Reliqui qui hujus auctoris mentionem faciunt, opus respiciunt Περὶ ὁμωνύμων (pro quo interdum ponunt Π. συνωνύμων), in quo tum poetas et prosæ orationis scriptores homonymos recte distinguere, simulque ab aliis ejusdem nominis viris, qui fama aliqua gaudebant, secernere et fata eorum breviter enarrare studebat, tum vero etiam urbium nominibus eandem operam navabat. Laudatur ap. Diog. L. I, 38. 79. 112; II, 52. 56. 57; V, 3. 75. 89; VI, 79. 84. 88; VII, 169. 185; VIII, 84. 85; IX, 15. 27. 35. 36; IX, 13. Ac videtur Diogenes tantum non omnia, quæ in suis homonymorum catalogis habet, ex Demetrio mutuatus esse. Adde Athenæum XIII, p. 611 B. Plutarch. Demosth. 15. 27. 28. 30. Vit. X Oratt. p. 847 A et 844 B (ex Ruhnk. conj. pro vulg. Ἡγησίας); Dionys. Hal. Dinarch. c. 1; Phot. cod. 267; Harpocration, Phot., Suid. v. Ἰσαῖος; Lexic. Seguer. p. 364. Ad urbium ὁμώνυμα pertinent quæ leguntur ap. Harpocrat. v. Ἀκη, Λευκὴ Ἀκτή, Μεθώνη; Stephan. Byz. v. Ἀγβάτανα, Ἀκτή, Ἀλαβών, Ἀθῆναι, Ἀλθαία, Ἀπία, Ἀρκάδες, Ἀττάλεια. Photius v. Κυναῖος;

DEMETRIUS ODESSANUS.

Stephan. Byz. v. Ὀδησσός.. Ὁ πολίτης Ὀδησσίτης καὶ Ὀδησσεύς. Ἐχρημάτιζον δὲ Ἡρακλείδης ἱστοριογράφος καὶ Δημήτριος ὁ Περὶ τῆς πατρίδος γράψας.

DEMETRIUS SALAMINIUS.

Stephanus Byz.: Καρπάσια, πόλις Κύπρου. Δημήτριος δ' ὁ Σαλαμίνιος Καρβασίαν φησὶν, ὅτι πρὸς τὸν καλούμενον Κάρβαν ἄνεμον κεῖσθαι δοκεῖ. Ex cujusnam generis scripto hæc fluxerint, nescio. De Carba vento vide testimonia in Steph. Thes. v. Καρπασία.

DEMETRII ΠΑΜΦΥΛΙΑΚΑ.

Tzetzes ad Lyc. 440 : Ἡ δὲ Μέγαρσος, κατὰ Δημήτριον τὸν τὰ Παμφυλιακὰ συγγράψαντα, θυγάτηρ ἦν Παμφύλου, ἀφ' ἧς ἡ πόλις Μέγαρσος ἐκλήθη. Quinam sit hic Demetrius, quæro. Demetrius quidam Tarsensis apud Plutarchum in libro De defectu oraculorum unus est ex interlocutoribus (Δημήτριος ὁ γραμματικὸς ἐκ Βρεταννίας εἰς Τάρσον ἀνακομιζόμενος οἴκαδε, cap. 2). In hunc Pamphyliaca satis bene quadrarent, si ex patria ejus conjecturam facere licet. Idem fortasse etiam ea literis tradidit, quæ vidisse se in regionibus longinquis narrat apud Plutarch. l. l. c. 18, ubi hæc : Ὁ δὲ Δημήτριος ἔφη, τῶν περὶ τὴν Βρεττανίαν νήσων εἶναι πολλὰς ἐρήμους σποράδας, ὧν ἐνίας δαιμόνων καὶ ἡρώων ὀνομάζεσθαι· πλεῦσαι δὲ αὐτὸς ἱστορίας καὶ θέας ἕνεκα, πομπῇ τοῦ βασιλέως, εἰς τὴν ἔγγιστα κειμένην τῶν ἐρήμων, ἔχουσαν οὐ πολλοὺς ἐποικοῦντας, ἱεροὺς δὲ καὶ ἀσύλους πάντας ὑπὸ τῶν Βρεττανῶν ὄντας· ἀφικο-

---

Carpasia, urbs Cypri. Demetrius Salaminius Carbasiam dicit, quod ad Carban ventum, quem vocant, sita esse videtur.

PAMPHYLIACA.

Megarsus, secundum Demetrium qui Pamphyliaca conscripsit, filia erat Pamphyli, a qua Megarsus urbs nominata est.

μένου δ' αὐτοῦ νεωστὶ, σύγχυσιν μεγάλην περὶ τὸν ἀέρα καὶ διοσημείας πολλὰς γενέσθαι, καὶ πνεύματα καταρραγῆναι καὶ πεσεῖν πρηστῆρας. Ἐπεὶ δ' ἐλώφησε, λέγειν τοὺς νησιώτας, ὅτι τῶν κρεισσόνων τινὸς ἔκλειψις γέγονεν. Ὡς γὰρ λύχνος ἀναπτόμενος, φάναι, δεινὸν οὐδὲν ἔχει, σβεννύμενος δὲ πολλοῖς λυπηρός ἐστιν, οὕτως αἱ μεγάλαι ψυχαὶ τὰς μὲν ἀναλάμψεις εὐμενεῖς καὶ ἀλύπους ἔχουσιν, αἱ δὲ σβέσεις αὐτῶν καὶ φθοραὶ πολλάκις μὲν, ὡς νυνὶ, πνεύματα καὶ ζάλας τρέπουσι, πολλάκις δὲ λοιμικοῖς πάθεσιν ἀέρα φαρμάττουσιν. Ἐκεῖ μέντοι μίαν εἶναι νῆσον, ἐν ᾗ τὸν Κρόνον καθεῖρχθαι φρουρούμενον ὑπὸ τοῦ Βριάρεω καθεύδοντα· δεσμὸν γὰρ αὐτῷ τὸν ὕπνον μεμηχανῆσθαι, πολλοὺς δὲ περὶ αὐτὸν εἶναι δαίμονας ὀπαδοὺς καὶ θεράποντας.

DEMETRII ΑΡΓΟΛΙΚΑ.

Clemens Alex. Protr. c. 4, p. 14, 7 : Δημήτριος ἐν δευτέρῳ τῶν Ἀργολικῶν τοῦ ἐν Τίρυνθι τῆς Ἥρας ξοάνου καὶ τὴν ὕλην ὄγχνην καὶ τὸν ποιητὴν Ἄργον ἀναγράφει.

Demetrium quendam ex Argolide Trœzenium memorat Athenæus IV, p. 119, C : Καλεῖ δὲ τοῦτον (sc. Δίδυμον τὸν γραμματικὸν) ὁ Δημήτριος ὁ Τροιζήνιος βιβλιολάθαν, διὰ τὸ πλῆθος ὧν ἐκδέδωκε συγγραμμάτων· ἔστι γὰρ τρισχίλια πρὸς τοῖς πεντακοσίοις. Idem I, p. 29, A : Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφοριαζούσας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπιγράφει. Alius, puto, notatur ap. Diogen. L. II, 74, de Empedocle : Δημήτριος δὲ ὁ Τροιζήνιος ἐν τῷ Κατὰ σοφιστῶν βιβλίῳ φησὶν αὐτὸν, καθ' Ὅμηρον

Ἀψάμενον βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο κρανείης
αὐχέν' ἀποκρεμάσαι, ψυχὴν δ' αἰδόσδε κατελθεῖν.

Aut hunc aut Demetrium peripateticum (Diogen. L. V, 83) intellexerit Dionysius Halicarn. Ad Cn. Pomp. De Platone (tom. VI, p. 757 R.), ubi post Aristotelem, Theopompum, Cephisodorum, Zoilum et Hippodamantem Demetrius inter eos ponitur qui Platonem variis modis reprehenderint.

DEMETRII ΤΑ ΚΑΤΑ ΑΙΓΥΠΤΟΝ.

Athenæus XV, p. 680, B : Δημήτριος δ' ἐν τῷ Περὶ τῶν κατ' Αἴγυπτον περὶ Ἄβυδον πόλιν τὰς ἀκάνθας ταύτας εἶναί φησι, γράφων οὕτως· « Ἔχει δὲ καὶ ὁ κάτω τόπος καὶ ἄκανθάν τινα δένδρον, ὃ τὸν καρπὸν φέρει στρογγύλον ἐπί τινων κλωνίων περιφερῶν. Ἀνθεῖ δ' οὗτος, ὅταν ὥρα ᾖ, καὶ ἔστι τῷ χρώματι τὸ ἄνθος καλλιφεγγές. Λέγεται δέ τις μῦθος ὑπὸ τῶν Αἰγυπτίων, ὅτι οἱ Αἰθίοπες, στελλόμενοι εἰς Τροίαν ὑπὸ τοῦ Τιθωνοῦ, ἐπεὶ ἤκουσαν τὸν Μέμνονα τετελευτηκέναι, ἐν τούτῳ τῷ τόπῳ τοὺς στεφάνους ἀνέβαλον ἐπὶ τὰς ἀκάνθας. Ἔστι δὲ παραπλήσια τὰ κλώνια στεφάνοις, ἀφ' ὧν τὸ ἄνθος φύεται. »

Quæ antecedunt lege in fragmento 150 Hellanici. Hic Demetrius fortasse idem est cum eo qui *De Judæis* scripsit. Vid. Alex. Polyh. Introd. p. 208.

DEMOCRITUS EPHESIUS.

Diogenes Laert. IX, 49, varios Democritos recensens : Τέταρτος Περὶ τοῦ ἱεροῦ τοῦ ἐν Ἐφέσῳ γεγραφὼς καὶ τῆς πόλεως Σαμοθράκης.

ΠΕΡΙ ΤΟΥ ΕΝ ΕΦΕΣΩι ΝΑΟΥ.

E LIBRO PRIORE.

Athenæus XII, p. 525, C : Ἀπώλοντο δὲ καὶ Μάγνητες οἱ πρὸς τῷ Μαιάνδρῳ διὰ τὸ πλέον ἀνεθῆναι, ὡς φησι Καλλῖνος ἐν τοῖς ἐλεγείοις, καὶ Ἀρχίλοχος. Ἑάλωσαν γὰρ ὑπὸ Ἐφεσίων. Καὶ περὶ αὐτῶν δὲ τῶν Ἐφεσίων Δημόκριτος Ἐφέσιος ἐν τῷ προτέρῳ Περὶ τοῦ ἐν Ἐφέσῳ ναοῦ, διηγούμενος περὶ τῆς χλιδῆς αὐτῶν καὶ ὧν ἐφόρουν βαπτῶν ἱματίων, γράφει καὶ τάδε· « Τὰ δὲ τῶν Ἰώνων ἰοβαφῆ καὶ πορφυρᾶ καὶ κρόκινα ῥόμβοις ὑφαντά· αἱ δὲ κεφαλαὶ κατ' ἴσα διειλημμέναι ζῴοις. Καὶ σαράπεις μήλινοι καὶ πορφυροῖ καὶ λευκοὶ, οἱ δὲ ἁλουργεῖς. Καὶ καλασίρεις Κορινθιουργεῖς· εἰσὶ δὲ αἱ μὲν πορφυραῖ τούτων, αἱ δὲ ἰοβαφεῖς, αἱ δὲ ὑακίνθιναι· λάβοι δ' ἄν τις καὶ φλογίνας καὶ θαλασ-

---

ARGOLICA.

Demetrius in secundo Argolicorum Junonis in Tirynthe urbe simulacrum e pyri ligno ab Argo fabricatum esse tradit.

DE REBUS ÆGYPTI.

Demetrius in Rebus Ægypti, circa Abydum urbem istas esse spinas ait, ita scribens : « Habet vero locus inferior etiam spinam quandam arborem, quæ fructum fert rotundum in ramulis quibusdam orbicularibus. Floret vere, et colorem flos habet splendidissimum. Narratur vero etiam fabula quædam ab Ægyptiis, Æthiopas Troiam missos a Tithono, postquam cognoverunt obiisse Memnonem, hoc in loco coronas in istas spinas conjecisse. Sunt autem ipsi ramuli, e quibus flos nascitur, coronis similes. »

DE TEMPLO EPHESIO.

Perierunt etiam Magnetes, illi qui ad Mæandrum incolunt, eo quod voluptatibus nimis indulserant, ut ait Callinus in Elegiis, et Archilochus. Nam in servitutem redacti sunt ab Ephesiis. De ipsis porro Ephesiis Democritus Ephesius primo libro De templo Ephesio, luxuriam eorum exponens et pictas quas gestabant vestes, hæc scribit : « Vestes Ionum violacei sunt coloris, et purpurei, et crocei, intextis rhombis : summitates vero formis figurisque æquabiliter distinctæ. *Sarapes* item lutei et purpurei et albi; alii

σπειδεῖς. Ὑπάρχουσι δὲ καὶ Περσικαὶ καλασίρεις, αἵπερ εἰσὶ κάλλισται πασῶν. Ἴδοι δ' ἄν τις, φησὶ, καὶ τὰς καλουμένας ἀκταίας, ὅπερ ἐστὶ καὶ πολυτελέστατον ἐν τοῖς Περσικοῖς περιβλήμασιν. Ἔστι δὲ τοῦτο σπαθητὸν ἰσχύος καὶ κουφότητος χάριν· καταπέπλασται δὲ χρυσοῖς κέγχροις· οἱ δὲ κέγχροι νήματι πορφυρῷ πάντες εἰς τὴν εἴσω μοῖραν ἅμματ' ἔχουσιν ἀνὰ μέσον. » Τούτοις πᾶσι χρῆσθαί φησι τοὺς Ἐφεσίους ἐπιδόντας εἰς τρυφήν.

DEMOGNETUS.

ΠΕΡΙ ΚΝΙΔΟΥ.

Herodianus Π. μον. λέξ. p. 11, 27 : Δημόγνητος ἐν τῷ Περὶ Κνιδίου (l. Κνίδου)· « Καὶ Κόκκυνα τὸν Τελέστερον (Τελεστέρου?) καὶ Κόλλον τὸ (l. τὸν) Σκίρου, καὶ Λωγάων (?) τὸν αὐτὸν ὁμοῦ (Αὐτονόμου?) καὶ Κτῆσιν (Κτησίαν?) τὸν Μνησιθέου. »

λωγάων] num Λωγάνιον (Λωγάνιον, ὄνομα κύριον Suidas)?

DEMOSTHENES BITHYNUS.

Demosthenes Bithynus (fr. 5) (*) Βιθυνιακὰ, quæ decem minimum libros complectebantur, carmine scripsit, atque Κτίσεις, incertum num versibus an oratione soluta. Ætatem auctoris certius constituere non possumus. Alexandro Polyhistore atque Polybio antiquiorem fuisse colligas e fragm. 15. At dubia res est num recte ibi se habeat nomen Demosthenis, et ad Nostrum scriptorem sit referendum. Meinekius ad Euphor. p. 31, æqualem Euphorionis fuisse suspicabatur. Scilicet quum apud Chœroboscum in Bekk. Anecd. p. 1383 legatur : Καὶ ἐν τῷ Εὐφορίωνος Δημοσθένει ὁμοίως ἐκτεταμένον (sc. τὸ ᾱ in voce Ἆλαος) εὑρίσκεται, οἷον· « Δαίμονος Ἀλάοιο, » Euphorionem carmen aliquod Demostheni cuidam inscripsisse, eumque Demosthenem esse Bithynum poetam opinatur. Quæ neque negare neque affirmare licet.

(*) Alius Demosthenes *Bithynus* est Demosthenes Philalethes, Alexandri Philalethæ discipulus, medicus Herophilius, qui tres *De oculis* libros scripsit, teste Galeno tom. III, p. 46 Basil., tom. VIII, p. 10 ed. Paris. — Qui apud Schol. Apoll. Rhod. II, 297 laudatur Δημοσθένης ἐν τοῖς Αἱμίοσιν, esse debet Τιμοσθένης.

ΒΙΘΥΝΙΑΚΑ.

E LIBRO SECUNDO.

1.

Steph. Byz. v. Τάρας : Ἔστι καὶ Τάραντος ἀρσενικῶς λεγομένη πόλις Βιθυνίας, ἔνθα τιμᾶται Ταραντaῖος Ζεὺς, ὡς Δημοσθένης ἐν δευτέρῳ Βιθυνιακῶν. Εὕρηται καὶ διὰ τοῦ δ' Δάρανδος.

2.

Idem v. Ταρσός : Ἔστι καὶ Ταρσὸς ἄλλη τῆς Βιθυνίας. Τὸ ἐθνικὸν ταύτης Τάρσιος καὶ Ταρσία. Δημοσθένης ἐν δευτέρῳ Βιθυνιακῶν Ταρσεῖαν διὰ τῆς ει διφθόγγου τὴν πόλιν οἶδε. Τὸ ἐθνικὸν Τάρσειος· ἔστι καὶ χωρίον Βιθυνίας Τάρσος λεγόμενον.

E LIBRO TERTIO.

3.

Idem : Τευμησσὸς, ὄρος Βοιωτίας. Ὅμηρος ἐν τῷ εἰς Ἀπόλλωνα ὕμνῳ (v. 224) (ἄστυ, ὡς Δημοσθένης ἐν τρίτῳ Βιθυνιακῶν)·

εἰς Μυκαλησσὸν ἰὼν καὶ Τευμησσὸν λεχεποίην.

Turbatum aliquid videtur, quum Demosthenis mentio inter Homeri mentionem et versum Homericum interjecta sit inepte.

marina purpura tincti. Tum *calasires* opere Corinthio confectæ, quarum aliæ purpureæ sunt, aliæ violaceæ, aliæ hyacinthinæ ; videas etiam flammeas et marini coloris. Sunt vero etiam Persicæ calasires, quæ sunt omnium pulcherrimæ. Videas etiam quas *actæas* vocant : quod ex omnibus Persicis amiculis pretiosissimum est. Est autem hoc dense textum, ut simul firmum sit et leve : et aureis milii granis conspersum ; et quodlibet granum filo purpureo per medium transeunte in interiore amiculi latere revinctum est. » His omnibus uti ait Ephesios in luxuriam effusos.

DE CNIDO.

Demognetus in libro De Cnido : « Et Coccynem Telesteri (?) filium, et Collum Sciri f., et Logaonem Autonomi f., et Ctesiam Mnesithei filium. »

BITHYNIACA.

1.

Est etiam Tarantus masculine dicta urbs Bithyniæ, ubi colitur Taranteus Juppiter, teste Demosthene in secundo De Bithynia. Reperitur etiam per *d* literam Darandus.

2.

Tarsus etiam est Bithyniæ urbs. Civis ejus Tarsius et Tarsia. Demosthenes in secundo De Bithynia Ταρσείαν per ει diphthongum urbis nomen scribit. Civis Tarseus. Est etiam castellum Bithyniæ, cui Tarsus nomen.

3.

Teumessus, mons Bœotiæ. Homerus in Hymno in Apollinem (tanquam urbem memorat Demosthenes tertio De Bithynia) :

Mycalessum tendens et Teumessum herbosam.

E LIBRO QUARTO.

4.

Idem · Ἀλεξάνδρεια, πόλεις ὀκτωκαίδεκα... Δευτέρα ἐστὶ πόλις Τρωάς, ἐν ᾗ ἐγένετο Ἡγήμων ἐποποιός, ὃς ἔγραψε τὸν Λευκτρικὸν πόλεμον τῶν Θηβαίων καὶ Λακεδαιμονίων· περὶ ἧς Δημοσθένης ἐν τετάρτῳ Βιθυνιακῶν.

5.

Idem : Ἡραία, ἄκρα οὕτω λεγομένη κατάντικρυ Χαλκηδόνος. Ταύτην δ' ἐν τῇ συνηθείᾳ Ἡρειάν φασί τινες, κακῶς, ἄλλοι δὲ Ἥριον, μυθοποιοῦντες ὡς ἐκεῖσε ὀρύξαντες τάφους χύτρας εὗρον καὶ ὀστᾶ. Πειστέον δὲ μᾶλλον τῷ Βιθυνῷ Δημοσθένει ἐν τῷ δ' βιβλίῳ·

Ἔστι δέ τις προπάροιθε κλυτῆς Χαλκηδόνος ἄκρη
Ἡραία τρηχοῦσα, πολυσπιλάς· ἔνδοθι δ' αὐτῆς
λαίνεον περὶ τεῖχος ἰὼν κοιλαίνεται εἴσω
κόλπος ἁλός· φαίης κεν ἰδὼν βαθυδίνεα πάντη
ἔμμεναι. Ἐλαμενὴ δὲ καὶ οὐ βυθός ἐστι θαλάσσης,
ἔνθα τε νῆας ἀνῆγον, ὀιόμενοι σκέπας εἶναι
αὐτοφυοῦς ὅρμοιο, κακῷ δ' ἐνέκυρσαν ἑτοίμῳ.

Eadem Etym. M. p. 437, 40, omissis verbis inde a τρηχοῦσα usque ad ἁλός. Ibidem pro ἔνθα τε νῆας ἀνῆγον est : ἔνθα θοὰς νῆας ἦγον, κ. δ' ἐν. ἑτοίμως. Vocem ἦγον pro ἀνῆγον præbet etiam cod. Rhedig.

6.

E LIBRO NONO.

Idem . Ἀρτάκη, πόλις Φρυγίας, ἄποικος Μιλησίων... Τὸ ἐθνικὸν Ἀρτακηνός. Σοφοκλῆς δὲ Ἀρτακεὺς εἶπε... καὶ Ἀρτάκιος εἶπε Δημοσθένης ἐν ἐννάτῳ Βιθυνιακῶν·

Νάσσατο δ' Ἀρτακίοισιν ἐφέστιος αἰγιαλοῖσι.

Οὕτω γὰρ αὐτόθι ἡ Ἀφροδίτη καλεῖται. In ultimis excerptorem negligentem accusamus.

7.

E LIBRO DECIMO.

Idem : Κοσσός, ὄρος Βιθυνίας, ὡς Δημοσθένης Βιθυνιακῶν δεκάτῳ. Οἱ οἰκοῦντες Κοσσαῖοι.

8.

Idem : Μαυσωλοί, οἱ Κᾶρες, ἀπὸ Μαυσωλοῦ. Δημοσθένης δεκάτῳ Βιθυνιακῶν· « Δαίδαλα Μαυσωλῶν. »

E LIBRIS INCERTIS.

9.

Idem : Ἄμαστρις, πόλις Παφλαγονίας,... ἀπὸ γυναικὸς Περσίδος Ἀμαστρίδος, θυγατρὸς Ὀξυάθρου τοῦ ἀδελφοῦ Δαρείου, ἣ συνῴκησε Διονυσίῳ τῷ Ἡρακλείας τυράννῳ. Δημοσθένης δ' ἐξ Ἀμαζόνος οὕτω λεγομένης.

10.

Idem : Ἀπολλωνία, πρώτη πόλις Ἰλλυρίας... κϐ', τῶν ἐπὶ Θράκης Ἰώνων, ἣν Δημοσθένης φησίν.

11.

Idem : Δορυλάειον, πόλις Φρυγίας, ὃ καὶ Δορύλαιον Δημοσθένης φησί.

12.

Idem : Κρῆσσα, πόλις Παφλαγονίας, ἣν Μηριόνης μετὰ Τροίαν ἔκτισε, Ζηίλας δὲ εἷλεν ὁ Νικομήδους υἱός. Δημοσθένης γράφει τὸ ἐθνικὸν Κρησσαῖος.

4.

Alexandria. Secunda ejus nominis urbs in Troade est, ex qua Hegemon poeta epicus oriundus est, qui Leuctricum bellum Thebanorum et Lacedæmoniorum scripsit. De hac urbe Demosthenes dicit in quarto De Bithynia libro.

5.

Heræa, promontorium sic nominatur Chalcedonis e regione situm, quod nonnulli ex consuetudine Heeriam vocant, perperam. Alii vero Herium, fabulantes quod ibi fodientes sepulcra (ἠρία) invenerint urnas et ossa. Sed fides habenda potius est Demostheni Bithyno, qui libro quarto ita habet :

Est vero ante celebrem Chalcedonem promontorium,
Heræa, asperum, scopulis obsitum. Intra illud,
saxosum circa murum, procedens cavatur
sinus maris. Quem conspiciens dixeris profundum
ubique esse. At humectum quidem solum, sed nulla maris
profunditas. Ibi naves subduxerunt, credentes tutamen esse
portus natura facti ; at in paratum inciderunt malum.

6.

Artaces, urbs Phrygiæ, Milesiorum colonia. Gentile Artacenus. Sophocles vero Artaceus dixit, et Demosthenes in nono De Bithynia *Artacius* habet :

Habitavit in Artaciis sedem figens oris.

Sic enim (Artacia) ibi Venus dicitur.

7.

Cossus, mons Bithyniæ, teste Demosthene in libro decimo De Bithynia. Incolæ Cossæi.

8.

Mausoli, Cares, a Mausolo. Demosthenes decimo De Bithynia : « Dædala Mausolorum. »

9.

Amastris, urbs Paphlagoniæ... a muliere Perside Amastride, filia Oxyathræ, Darii fratris, quæ nupsit Dionysio Heracleæ tyranno. Demosthenes vero ab Amazone Amastride urbem nomen habere ait.

10.

Apollonia, urbs Ionum in Thracia, quam Demosthenes memorat.

11.

Dorylaeum, urbs Phrygiæ, quam etiam Dorylæum Demosthenes dicit.

12.

Cressa, urbs Paphlagoniæ, quam Meriones post Troica condidit; Zeilas vero Nicomedis filius cepit. Demosthenes gentile scribit Cressæus.

ΚΤΙΣΕΙΣ.

13.

Steph. : Ὀλιζὼν, πόλις Θεσσαλίας... Ὠνομάσθη δὲ ἀπὸ τοῦ μικρὰ εἶναι. Θεσσαλοὶ γὰρ, ὡς ἱστορεῖ Δημοσθένης ἐν Κτίσεσι, τὸ μικρὸν ὀλίζον καλοῦσι. Τὸ ἐθνικὸν Ὀλιζώνιος.

14.

Idem : Λάμψακος, πόλις κατὰ τὴν Προποντίδα, ἀπὸ Λαμψάκης, ἐπιχωρίας τινὸς κόρης. Ἔστι δὲ Φωκαέων κτίσμα, πάλαι Πιτυοῦσα λεγομένη, ὡς Δηΐοχος ὁ Κυζικηνός... ἔστι δὲ εὔοινος... Δημοσθένης δὲ διὰ τὸ εὔοινον καὶ Πριάπου κτίσμα ταύτην φησὶ, τοῦ υἱοῦ Ἀφροδίτης καὶ Διονύσου.

15.

Characmoba, urbs Palæstinæ tertiæ quæ nunc dicitur Civis Characmobenus. Glaucus in quarto Arabicæ archæologiæ : « Quiescebant interea Characmobeni. »

4.

Salmeni, gens nomadica, ut Glaucus ait in Arabica archæologia.

Gea, urbs prope Petras in Arabia, ut Glaucus in Arabica archæologia.

Arindela, urbs Palæstinæ. Glaucus vero vicum esse dicit.

GORGIAS ATHENIENSIS.

ΠΕΡΙ ΕΤΑΙΡΩΝ.

1.

Athenæus XIII, p. 583, D : Αἱ γὰρ καλαὶ ἡμῶν Ἀθῆναι τοσοῦτον πλῆθος ἤνεγκαν ἑταιρῶν, περὶ ὧν ἐπεξελεύσομαι ὅσον γε δύναμαι, ὅσον ὄχλον εὐανδροῦσα πόλις οὐκ ἔσχεν. Ἀνέγραψε γοῦν Ἀριστοφάνης μὲν ὁ Βυζάντιος ἑκατὸν καὶ τριάκοντα πέντε, Ἀπολλόδωρος δὲ τούτων πλείους, ὁ Γοργίας δὲ πλέονας, παραλειφθῆναι φάσκοντες ὑπὸ τοῦ Ἀριστοφάνους μετὰ ἑταιρῶν πλειόνων καὶ τάσδε· τὴν Πάροινον ἐπικληθεῖσαν, καὶ Λαμπυρίδα, καὶ Εὐφροσύνην· αὕτη δὲ ἦν γναφέως θυγάτηρ. Ἄγραφοι δ' εἰσὶν αὐτῷ Μεγίστη, Ἀγαλλὶς, Θαυμάριον, Θεόκλεια· αὕτη δ' ἐπεκαλεῖτο Κορώνη· Ληναιτόκυστος, Ἄστρα, Γνάθαινα, καὶ ταύτης θυγατριδῆ Γναθαίνιον· καὶ Σιγὴ, καὶ Συνωρὶς ἡ Λύχνος ἐπικαλουμένη, καὶ Εὔκλεια, καὶ Γρυμαία, καὶ Θρυαλλὶς, ἔτι Χίμαιρα καὶ Λαμπάς.

Ejusdem Gorgiæ Athenæus meminit XIII, p. 567, A : Σὺ δὲ, ὦ σοφιστὰ, ἐν τοῖς καπηλείοις συναναφύρῃ, οὐ μεθ' ἑταίρων, ἀλλὰ μετὰ ἑταιρῶν, μαστροπευούσας περὶ σαυτὸν οὐκ ὀλίγας ἔχων, καὶ περιφέρων ἀεὶ τοιαυτὶ βιβλία Ἀριστοφάνους καὶ Ἀπολλοδώρου καὶ Ἀμμωνίου καὶ Ἀντιφάνους, ἔτι δὲ Γοργίου τοῦ Ἀθηναίου, πάντων τούτων συγγεγραφότων περὶ τῶν Ἀθήνησιν ἑταιρίδων.

2.

Idem XIII, p. 596, F : Στρατοκλῆς δ' ὁ ῥήτωρ ἐρωμένην εἶχε τὴν ἐπικληθεῖσαν Λήμην ἑταίραν, τὴν καλουμένην Παρόραμα (παρόραμον ed. Ald.; δίδραχμον conj. Valckenar.; πάνορμον Jacobs) διὰ τὸ καὶ δύο δραχμῶν φοιτᾶν πρὸς τὸν βουλόμενον, ὥς φησι Γοργίας ἐν τῷ Περὶ ἑταιρῶν.

« Fortasse Gorgias idem est cujus librum De figuris Rutilius Lupus in linguam latinam transtulit, de quo Cicero Epp. ad Div. XVI, 21; Plutarch. Cic. 24. Cf. Ruhnken. præfat. ad Rutil. Lup. p. 10 sq. » *Westermann* ad Voss. p. 444.

GORGON.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΡΟΔΩ ΘΥΣΙΩΝ.

1.

Athenæus XV, p. 696, F : Καὶ ὁ εἰς Πτολεμαῖον δὲ, τὸν πρῶτον Αἰγύπτου βασιλεύσαντα, παιάν ἐστιν, ὃν ᾄδουσι Ῥόδιοι· ἔχει γὰρ τὸ Ἰὴ παιὰν ἐπίφθεγμα, ὥς φησι Γόργων ἐν τῷ Περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν.

Libri Γεωργὸς, quod correxit Casaubonus. Γόργων nomen occurrit etiam in inscript. Attica ap. Boeckh. C. I. I, p. 292, 32.

2.

Hesych. : Καταρρακτίτης (codex Καταρακτίτης). Γόργων ἐν τῷ Περὶ θυσιῶν.

Ἐπιπολιταῖος, Ἑρμῆς ἐν Ῥόδῳ, ὡς Γόργων ἱστορεῖ.

Ceterum non de sacrificiis tantum, sed de aliis quoque rebus quæ ad Rhodios pertinent, Gorgonem scripsisse colligas e schol. Pindari.

3.

Schol. Pindar. ad Olymp. VII, 1 (quod carmen Diagoræ Rhodio scriptum) : Ταύτην τὴν ᾠδὴν ἀνακεῖσθαί φησι Γόργων ἐν τῷ τῆς Λινδίας Ἀθηνᾶς ἱερῷ χρυσοῖς γράμμασιν. V. Bœckh. ad h. carmen. De Diagora cf. supra fragm. Apollæ.

DE MERETRICIBUS.

1.

Elegantes nostræ Athenæ tantam multitudinem tulerunt meretricum, de quibus quoad fieri poterit disseram, quantam fortibus viris clara civitas nulla habuit. Recensuit quidem Aristophanes Byzantius centum et triginta quinque : Apollodorus vero majorem numerum, et adhuc majorem Gorgias; qui dicunt ab Aristophane omissas esse quum alias multas, tum hasce : Parœnam (id est *Vinosam*) quæ cognominata est, et Lampyridem, et Euphrosynen, fullonis filiam. Silentio vero etiam ab illo præteritæ sunt : Megista, Agallis, Thaumarion, Theoclea, quæ *Cornix* cognominata est, Lenætocystus, Astra, Gnathæna, et hujus neptis Gnathænium : tum Siga, et Synoris cognomine *Lychnus*, et Euclea, et Grymæa, et Thryallis; denique Chimæra, et Lampas.

2.

Stratocles orator amasiam habuit, Lemen (*id est*, gramiam) cognominatam, quæ *Parorama* [*sive* Didrachma, *sive* Panormus?] nominabatur eo quod duarum drachmarum pretio quemcumque volentem conveniebat, ut ait Gorgias in libro De meretricibus.

DE SACRIS IN RHODO.

1.

Illud item, quod in Ptolemæum primum Ægypti regem canunt Rhodii, vere pæan est : habet enim acclamationem, *Ie Pæan*; ut ait Gorgon in libro De Rhodiorum sacris.

2.

Καταρρακτίτης. Gorgon in libro De sacris.

Ἐπιπολιταῖος, Mercurius in Rhodo, ut Gorgon scribit.

3.

Hoc Pindari carmen aureis literis exaratum positum esse in fano Minervæ Lindiæ.

HARMODIUS LEPREATES.

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑ ΦΙΓΑΛΕΙΑΝ ΝΟΜΙΜΩΝ.

1.

Athenæus IV, p. 148, F: Ἁρμόδιος δ' ὁ Λεπρεάτης ἐν τῷ Περὶ τῶν κατὰ Φιγάλειαν νομίμων· « Ὁ κατασταθεὶς (φησὶ) παρὰ Φιγαλεῦσι σίταρχος ἔφερε τῆς ἡμέρας οἴνου τρεῖς χόας καὶ ἀλφίτων μέδιμνον καὶ τυροῦ πεντάμνουν, καὶ τἄλλα πρὸς τὴν ἄρτυσιν τῶν ἱερείων ἁρμόττοντα. Ἡ δὲ πόλις παρεῖχεν ἑκατέρῳ τῶν χορῶν τρία πρόβατα καὶ μάγειρον ὑδριαφόρον τε καὶ τραπέζας καὶ βάθρα πρὸς τὴν καθέδραν, καὶ τὴν τοιαύτην ἅπασαν παρασκευὴν, πλὴν τῶν περὶ τὸν μάγειρον σκευῶν, ἃ ὁ χορηγός. Τὸ δὲ δεῖπνον ἦν τοιοῦτον· τυρὸς καὶ φυστὴ μᾶζα νόμου χάριν ἐπὶ χαλκῶν κανῶν, τῶν παρά τισι καλουμένων μαζονόμων, ἀπὸ τῆς χρείας εἰληφότων τὴν ἐπωνυμίαν· ὁμοῦ δὲ τῇ μάζῃ καὶ τῷ τυρῷ σπλάγχνον καὶ ἅλες προσφαγεῖν. Καθαγισάντων δὲ ταῦτα ἐν κεραμέᾳ κοτταβίδι πιεῖν ἑκάστῳ μικρὸν, καὶ ὁ προσφέρων ἀνεῖπεν Εὖ δείπνειας· εἶτα δ' εἰς τὸ κοινὸν ζωμὸς καὶ περίκομμα, πρόσχερα δ' ἑκάστῳ δύο κρέα. Ἐνόμιζον δ' ἐν ἅπασι τοῖς δείπνοις, μάλιστα δὲ τοῖς λεγομένοις μαζῶσι, τοῦτο γὰρ ἔτι καὶ νῦν ἡ Διονυσιακὴ σύνοδος ἔχει τοὔνομα, τοῖς ἐσθίουσι τῶν νέων ἀνδρικώτερον ζωμόν τ' ἐγχεῖν πλείω καὶ μάζας καὶ ἄρτους παραβάλλειν. Γενναῖος γὰρ ὁ τοιοῦτος ἐκρίνετο καὶ ἀνδρώδης ὑπάρχειν· θαυμαστὸν γὰρ ἦν καὶ περιβόητον παρ' αὐτοῖς ἡ πολυφαγία. Μετὰ δὲ τὸ δεῖπνον σπονδὰς ἐποιοῦντο, οὐκ ἀπονιψάμενοι τὰς χεῖρας, ἀλλ' ἀποματτόμενοι τοῖς ψωμοῖς, καὶ τὴν ἀπομαγδαλίαν ἕκαστος ἀπέφερε, τοῦτο ποιοῦντες ἕνεκα τῶν ἐν ταῖς ἀμφόδοις γινομένων νυκτερινῶν φόβων. Ἀπὸ δὲ τῶν σπονδῶν παιὰν ᾄδεται. Ὅταν δὲ τοῖς ἥρωσι θύωσι, βουθυσία μεγάλη γίνεται καὶ ἑστιῶνται πάντες μετὰ τῶν δούλων. Οἱ δὲ παῖδες ἐν ταῖς ἑστιάσεσι μετὰ τῶν πατέρων ἐπὶ λίθων καθήμενοι γυμνοὶ συνδειπνοῦσιν. »

Idem XI, p. 479, C: Κοτταβίς. Ἁρμόδιος ὁ Λεπρεάτης ἐν τῷ Περὶ τῶν κατὰ Φιγάλειαν νομίμων, διεξιὼν περὶ τῶν ἐπιχωρίων δείπνων, γράφει καὶ ταῦτα· « Καθαγισάντων ταῦτα ἐν κεραμέᾳ κοτταβίδι πιεῖν ἑκάστῳ μικρὸν, καὶ ὁ προσφέρων ἀνεῖπεν· εὖ δείπνειας. » Cf. Müller. *Dor.* II, p. 274.

2.

Idem X, p. 442, B: Ἁρμόδιος δὲ ὁ Λεπρεάτης ἐν τῷ Περὶ τῶν παρὰ Φιγαλεῦσι νομίμων, φιλοπότας φησὶ γενέσθαι Φιγαλεῖς, Μεσσηνίοις ἀστυγείτονας ὄντας, καὶ ἀποδημεῖν ἐθισθέντας.

3.

Idem XI, p. 465, D: Οἶδα δέ τινας, ἄνδρες θιασῶται, καὶ μέγα φρονήσαντας οὐχ οὕτως ἐπὶ πλούτῳ, ὡς ἐπὶ τῷ κεκτῆσθαι πολλὰ ἐκπώματα ἀργυρᾶ καὶ χρυσᾶ. Ὧν εἷς ἐστι καὶ Πυθέας ὁ Ἀρκὰς ἐκ Φιγαλείας, ὃς καὶ ἀποθνήσκων οὐκ ὤκνησεν ἐπιθέσθαι τοῖς οἰκείοις ἐπιγράψαι αὐτοῦ τῷ μνήματι τάδε·

Πυθέα μνῆμα τόδ' ἐστ', ἀγαθοῦ καὶ σώφρονος ἀνδρὸς,
ὃς κυλίκων ἔσχεν πλῆθος ἀπειρέσιον,
ἀργυρέων, χρυσοῦ τε καὶ ἠλέκτροιο φαεινοῦ,
τῶν προτέρων πάντων πλείονα πασάμενος.

DE PHIGALENSIUM INSTITUTIS.

1.

Harmodius Lepreates in libro De Phigalensium institutis ait: « Apud Phigalenses convivio præfectus quotidie conferebat vini tres congios et polentæ modium et casei quinque libras aliaque ad condiendas carnes pertinentia. Civitas autem singulis choris tribuebat tres oves et coquum et lixam vasis gestandis, et mensas, et sellas in quibus sederent convivæ, reliquumque id genus apparatum, exceptis vasis culinariis, quæ suppeditabat choragus. Est autem cœna talis. Caseus et physta maza dicis causa super æneis canistris, qui *mazonomi* a quibusdam vocantur, ab ipso usu ducta appellatione; simul vero cum maza et caseo, viscera et sal. Quibus inter sacras cærimonias consumptis, in fictili cottabide parum unicuique, quod bibat, præbetur; quod qui offert, *Bene cœnaveris!* dicit. Deinde in commune omnibus jus apponitur et minutal; cuique vero in manus duo carnium frusta. Erat autem more apud eos receptum omnibus in cœnis, maxime vero in eis quæ *mazones* appellantur (quod nomen etiam nunc Bacchicum convivium obtinet), ut juvenibus præ cæteris strenue edentibus, plus juris infunderent, et majorem mazæ et panum copiam apponerent. Fortis enim et strenuus esse existimabatur talis juvenis: nam admirationi atque laudi apud eos erat edacitas. Post cœnam libationem faciebant, manibus non lotis, sed mica panis abstersis; et panem, quo absterserant manus, secum quisque auferebat: id quod faciebant terrorum nocturnorum causa, qui in compitis incidere possent. Post libationem pæan canitur. Quum vero Heroibus sacra faciunt, multos boves cædunt, et epulantur omnes cum servis: pueri vero in illis conviviis simul cum patribus cœnant, saxis nudi insidentes. »

Cottabis. Harmodius Lepreates in libro De Phigalensium institutis, de cœnis loquens in illa civitate agi solitis, hæc scribit: « His inter sacras cærimonias consumptis, in fictili cottabide parum unicuique, quod bibat, offertur: quod qui offert, is ait, *Bene cœnaveris.* »

2.

Harmodius Lepreates in libro De Phigalensium institutis potui deditos fuisse ait Phigalenses, Messeniorum finitimos et domo abesse solitos.

3.

Scio etiam, amici epulones, fuisse homines, qui non tam divitiis gloriarentur, quam quod magnam possedissent poculorum argenteorum aureorumque copiam. Quorum unus est Pytheas ex Phigalia Arcadiæ: qui etiam vita excessurus non dubitavit injungere suis, ut sepulcro suo hæcce inscriberent:

Pytheæ hoc monumentum est, boni viri probique,
cui calicum copia infinita fuit
ex argento et auro splendenteque electro.
Superioribus cunctis plura possederat.

Τοῦτο δ' ἱστορεῖ Ἁρμόδιος ὁ Λεπρεάτης ἐν τῷ Περὶ τῶν .. λειαν νομίμων.

(ΚΩΜΩΔΟΥΜΕΝΑ.)

Schol. Aristoph. Vesp. 1239, ad verba Ἀδμήτου λόγον]: Καὶ τοῦτο ἀρχὴ σκολίου... Ἁρμόδιος δὲ ἐν τοῖς Κωμῳδουμένοις καὶ τὸν Ἄδμητον ἀναγέγραφε, παραθεὶς τὰ τοῦ Κρατίνου ἐκ Χειρώνων· « Κλειταγόρας ᾄδειν, ὅταν Ἀδμήτου μέλος αὐλῇ. »

At recte, puto, Dindorfius et Dübnerus pro Ἁρμόδιος scripserunt Ἡρόδικος, cujus Κωμῳδούμενα citat Athenæus. Ἀρτεμίδωρος scribere voluit Dobræus.

ÆLIUS HARPOCRATION.

Suidas: Ἁρποκρατίων, ὁ Αἴλιος χρηματίσας, σοφιστής. Ἔγραψε Περὶ τῶν δοκούντων τοῖς ῥήτορσιν ἠγνοῆσθαι, καὶ Ὑποθέσεις τῶν λόγων Ὑπερίδου, Περὶ τοῦ κατεψεῦσθαι τὴν Ἡροδότου ἱστορίαν, Περὶ τῶν παρὰ Ξενοφῶντι τάξεων, Περὶ τέχνης ῥητορικῆς, Περὶ ἰδεῶν. Ælius Harpocration probabiliter idem est cum Cajo Harpocratione, quem Suidas in antecedentibus dicit scripsisse Περὶ τῶν Ἀντιφῶντος σχημάτων, Περὶ τῶν Ὑπερίδου καὶ Λυσίου λόγων, καὶ ἕτερα. Nomen auctoris fuerit *Cajus Ælius Harpocration*, uti censet Kiessling. Quæst. Attic. Specim. (Ciz. 1832) p. 26. Cf. Bernhardy. ad Suid.

(HEGEMON ALEXANDRENSIS.)

Steph. Byz.: Ἀλεξάνδρεια... δευτέρα ἐστὶ πόλις Τροίας, ἐν ᾗ ἐγένετο Ἡγήμων ἐποποιός, ὃς ἔγραψε τὸν Λευκτρικὸν πόλεμον τῶν Θηβαίων καὶ Λακεδαιμονίων.

Idem carmine scripsit *Dardanica*, quæ commemorat Ælian. H. An. VIII, 11. Cf. Buttmann. in Mytholog. II, p. 253.

HEGESANDER DELPHUS.

Hegesandrum Delphum scripsisse post regnum Antigonæ Gonatæ (229–221) liquet ex fragm. 42. Porro fragm. 23 ex Hegesandro nonnulla afferuntur de Mnesiptolemo historico, quem apud Antiochum Magnum (223-187) in honore fuisse scimus. Rhodophon, qui fr. 22 memoratur, notus est ex historia belli quod contra Perseum gestum est. Quod ad seriora tempora certo judicio referri possit, reliquiæ Nostri nihil suppeditant. Fortasse igitur jam Persei temporibus, vel haud ita multo post, Hegesander floruerit (*).

Fragmenta, quæ uni debemus Athenæo, omnia ex eodem, uti videtur, fluxerunt opere, quod inscriptum erat Ὑπομνήματα (fr. 1. 2. 4. 14. 22 etc.). Singulis libris suum fuerit argumentum. Quot vero fuerint, et quanam ratione distributi, prorsus latet; nam semel tantum operis certa quædam pars accuratius indicatur, fragm. 2, ubi laudat Athenæus librum sextum, quo contra philosophos auctor disputasse videtur. Initium alius libri citatur fr. 32, quod est de historia τοῦ κοττάβου. In eo igitur de symposiorum ratione sermonem fuisse consentaneum. Ὑπόμνημα περὶ ἀνδριάντων καὶ ἀγαλμάτων habes fragm. 45 Alius titulus excidit fr. 46, ubi: ἐν (τῷ) Περὶ ** ὑπομνήματι. Reliquorum fragmentorum argumenta sunt de moribus dissolutis et dicteriis principum, parasitorum (fr. 2-10), musicorum (11), poetarum (12), mimorum saltatorumque (13), ὀψοφάγων (14-17), ἰχθυοφάγων (19), ἐξοίνων (20,21), ὑδροποτῶν (fr. 24); de meretricibus et quæ huc pertinent (25-29), de rebus ad conviviorum cultum spectantibus (30-34), de piscium generibus variis (35-40), de aliis similibus (41-44). Ex his si de indole operis conjecturam facere licet, major pars Ὑπομνημάτων argumento haud absimilis fuisse videtur Ἀπομνημονεύμασι et Ἐπιστολαῖς δειπνητικαῖς Lyncei Samii atque Deipnosophistis Athenæi. Vereorque ne contra fas Hegesandro inter historicos locum assignaverimus.

(*) Droysenius *Hellen*. II, p. 222 de Hegesandro laudat scriptum Kœpkii De hypomnem. græc. p. 20. Quo libro uti non licuit.

ΥΠΟΜΝΗΜΑΤΑ.

1.

Athenæus XI, p. 507, A: Ἡγήσανδρος δ' ὁ Δελφὸς ἐν τοῖς Ὑπομνήμασι, περὶ τῆς πρὸς πάντας τοῦ Πλάτωνος κακοηθείας λέγων, γράφει καὶ ταῦτα· « Μετὰ τὴν Σωκράτους τελευτὴν ἐπὶ πλεῖον τῶν συνήθων ἀθυμούντων, ἔν τινι συνουσίᾳ Πλάτων συμπαρών, λαβὼν

Narrat hoc Harmodius Lepreates in libro De Phigalensium institutis.

COMMENTARII.

1.

Hegesander Delphus in Commentariis, ubi de illa Platonis adversus omnes malevolentia disputat, etiam hoc scripsit: « Post Socratis e vivis discessum, quum familiares ejus in convivio quodam tristes admodum essent, Plato unus e convivis, sumpto poculo, hortatus eos est, *ne animum desponderent; se enim idoneum esse qui scholæ præesset*: atque ita propinavit poculum Apollodoro. At ille, *lubentius se a Socrate veneni calicem fuisse acceptururum*, ait, *quam istam a Platone invitationem*. Videtur

τὸ ποτήριον, παρεκάλει μὴ ἀθυμεῖν αὐτούς, ὡς ἱκανὸς αὐτὸς εἴη ἡγεῖσθαι τῆς σχολῆς, καὶ προέπιεν Ἀπολλοδώρῳ. Καὶ ὃς εἶπεν, Ἥδιον ἂν παρὰ Σωκράτους τὴν τοῦ φαρμάκου κύλικα εἰλήφειν, ἢ παρὰ σοῦ τὴν τοῦ οἴνου πρόποσιν. Ἐδόκει γὰρ Πλάτων φθονερὸς εἶναι, καὶ κατὰ τὸ ἦθος οὐδαμῶς εὐδοκιμεῖν. Καὶ γὰρ Ἀρίστιππον πρὸς Διονύσιον ἀποδημήσαντα ἔσκωπτεν, αὐτὸς τρὶς εἰς Σικελίαν ἐκπλεύσας· ἅπαξ μὲν τῶν ῥυάκων χάριν, ὅτε καὶ τῷ πρεσβυτέρῳ Διονυσίῳ συγγενόμενος ἐκινδύνευσε, δὶς δὲ πρὸς τὸν νεώτερον Διονύσιον. Αἰσχίνου τε πένητος ὄντος, καὶ μαθητὴν ἕνα ἔχοντος Ξενοκράτην, τοῦτον περιέσπασε. Καὶ Φαίδωνι δὲ τὴν τῆς δουλείας ἐφιστὰς δίκην ἐφωράθη· καὶ τὸ καθόλου πᾶσι τοῖς Σωκράτους μαθηταῖς ἐπεφύκει μητρυιᾶς ἔχων διάθεσιν. Διόπερ Σωκράτης, οὐκ ἀηδῶς περὶ αὐτοῦ στοχαζόμενος, ἐνύπνιον ἔφησεν ἑωρακέναι, πλειόνων παρόντων. Δοκεῖν γὰρ ἔφη τὸν Πλάτωνα, κορώνην γενόμενον, ἐπὶ τὴν κεφαλήν μου ἀναπηδήσαντα, τὸ φαλακρόν μου κατασκαριφᾶν, καὶ κράζειν περιβλέπουσαν. Δοκῶ οὖν σε, ὦ Πλάτων, πολλὰ κατὰ τῆς ἐμῆς ψεύδεσθαι κεφαλῆς. Ἦν δὲ ὁ Πλάτων πρὸς τῇ κακοηθείᾳ καὶ φιλόδοξος, ὅστις ἔφησεν, Ἔσχατον τὸν τῆς δόξης χιτῶνα ἐν τῷ θανάτῳ αὐτῷ ἀποδυόμεθα, ἐν διαθήκαις, ἐν ἐκκομιδαῖς, ἐν τάφοις· ὥς φησι Διοσκουρίδης ἐν τοῖς Ἀπομνημονεύμασι. Καὶ τὸ πόλιν δὲ θελῆσαι κτίσαι, καὶ τὸ νομοθετῆσαι, τίς οὐ φήσει πάθος εἶναι φιλοδοξίας; Δῆλον δέ ἐστι τοῦτο, ἐξ ὧν ἐν τῷ Τιμαίῳ λέγει· « Πέπονθά τι πάθος πρὸς τὴν πολιτείαν, ὥσπερ ἂν εἰ ζωγράφος ἐβούλετο τὰ ἑαυτοῦ ἔργα κινούμενα καὶ ἐνεργὰ ἰδεῖν, οὕτω κἀγὼ τοὺς πολίτας, οὓς διαγράφω. » Ceterum ex his nonnisi priora usque ad verba τὴν τοῦ οἴνου πρόποσιν ex Commentariis Hegesandri petita esse videntur.

1.

E LIBRO SEXTO.

Idem IV, p. 162, A : Οὐκ ἄκαιρον δ' ἐστὶ μνημονεῦσαι καὶ τοῦ εἰς ὑμᾶς (sc. τοὺς φιλοσόφους) ποιηθέντος ἐπιγράμματος, ὅπερ παρέθετο ὁ Δελφὸς Ἡγήσανδρος, ἐν ἕκτῳ Ὑπομνημάτων·

Ὀφρυανασπασίδαι, ῥινεγκαταπηξιγένειοι,
  σακκογενειοτρόφοι καὶ λοπαδαρπαγίδαι,
εἱματανωπερίβαλλοι, ἀνηλιποκαιβλεπέλαιοι
  νυκτιλαθραιοφάγοι, νυκτικαταιπλάγιοι,
μειρακιεξαπάται καὶ συλλαβοπευσιλαληταί,
  δοξοματαιόσοφοι, ζηταρετησιάδαι.

3.

Idem VI, p. 260, A : Ἱστορεῖ δὲ περὶ αὐτοῦ (sc. τοῦ Φιλίππου) καὶ τάδε Ἡγήσανδρος ὁ Δελφὸς, ὡς τοῖς Ἀθήνησιν εἰς τὸ Διομέων Ἡράκλειον ἀθροιζομένοις τοῖς τὰ γέλοια λέγουσιν ἀπέστελλεν ἱκανὸν κερμάτιον, καὶ προσέτασσέ τισιν ἀναγράφοντας τὰ λεγόμενα ὑπ' αὐτῶν ἀποστέλλειν πρὸς αὐτόν. Cf. Theopompi fr. 262 De Diomeis Hercul. cf. Müller. *Dor.* I, p. 458.

4.

Idem VI, p. 248, E : Καὶ ὁ Δελφὸς δὲ Ἡγήσανδρος ἐν τοῖς Ὑπομνήμασι περὶ τοῦ Κλεισόφου τάδε ἱστορεῖ· « Φιλίππου τοῦ βασιλέως εἰπόντος, διότι γράμματα αὐτῷ ἐκομίσθη παρὰ Κότυος τοῦ βασιλέως,

---

enim Plato invidiosus fuisse, et moribus minime probis. Nam et Aristippum cavillatus est, quod ad Dionysium esset peregrinatus, quum ipse ter in Siciliam navigasset : semel quidem igneorum Ætnæ profluviorum causa; quo tempore etiam cum seniore Dionysio congressus, periculum vitæ adiit : bis vero ad juniorem Dionysium. Idem, quum pauper esset Æschines, unumque haberet discipulum Xenocratem, hunc ab illo abstraxit. Idem deprehensus est id agere ut Phædoni litem intentaret, qua in servitutem ille denuo detruderetur : omninoque in omnes Socratis discipulos novercalem animum gessit. Quare etiam Socrates, recte de eo conjectans, præsentibus multis non illepide dixerat, *visum sibi per insomnium Platonem, in cornicem mutatum, capiti ipsius insiluisse, calvitiemque perfodientem, et firmiter capiti insidentem, circumcirca prospectasse. Quare existimo*, inquit, *multa te, Plato, adversus caput meum esse mentiturum.* Erat vero Plato non malevolus solum, verum etiam gloriæ cupidus; is qui dixerat : *Extremam tunicam, gloriæ cupiditatem, in ipsa morte deponimus, in testamentis, in exsequiis, in sepulcrorum monumentis* : ut tradit Dioscorides in Memorabilibus. Quod vero civitatem voluit condere, et legibus eam instruere, quis neget esset hominis gloriæ cupiditate insigniter affecti? Apparet hoc autem ex his quæ in Timæo ipse ait : *Equidem adversus Rempublicam meam similiter affectus sum, atque pictor adversus sua opera : quæ sicut ille viva cupit videre seseque moventia; sic ego cives, quos informo.* »

2.

Nec fuerit alienum, epigramma etiam commemorare in philosophos editum, quod apposuit Hegesander Delphus sexto Commentariorum :

Supercilia-attollentes, nasum-in-barba-defigentes,
  barbam-in-sacco-alentes, et patinarum-raptores,
pallium-superne-gestantes, discalceati-incedentes-et oleum-spectantes,
  noctu-clam-comedentes, noctu-oblique-discurrentes,
Adolescentulorum-deceptores, et syllabarum-loquaces-rimatores,
  vanam-sapientiam-gloriantes, virtutem-quærere-profitentes.

3.

Narrat de Philippo Hegesander Delphus, scribitque illum hominibus iis, qui Athenis in Diomeorum Heracleum convenientes faceta et ridicula loquuntur, magnam nummorum vim misisse; constituisseque nonnullos, qui quæ ab illis dicerentur scripto consignarent, ad ipsumque mitterent.

4.

De eodem Clisopho Hegesander Delphus, in Commentariis, hæc narrat : Philippus rex quum dixisset literas sibi allatas esse Cotyis regis, Clisophus, qui tum aderat, ait :

Κλείσοφος παρὼν ἔφη· Εὖ γε νὴ τοὺς θεούς. Τοῦ δὲ Φιλίππου εἰπόντος, Τί δὲ σὺ οἶδας ὑπὲρ ὧν γέγραπται; Νὴ τὸν Δία τὸν μέγιστον, εἶπεν, ἄκρως γέ μοι ἐπετίμησας. » Cf. quæ de Clisopho Philippi adulatore antecedunt ap. Athen. ex Satyro et Lynceo deprompta.

5.

Idem VII, p. 289, C : Ἡγήσανδρος δέ φησιν, ὅτι καὶ Ἀστυκρέοντα, θεραπευθέντα ὑπ' αὐτοῦ, Ἀπόλλωνα ἐκάλεσε. Καὶ ἄλλος δ' αὐτῷ τῶν περισωθέντων Ἀσκληπιοῦ στολὴν ἀναλαβὼν συμπεριεφθείρετο. Αὐτὸς δ' ὁ Ζεύς, πορφύραν ἠμφιεσμένος, καὶ στέφανον χρυσοῦν ἐπὶ τῆς κεφαλῆς ἔχων, καὶ σκῆπτρον κρατῶν, κρηπῖδάς τε ὑποδεδεμένος, περιῄει μετὰ τοῦ θείου χοροῦ. Καὶ ἐπιστέλλων Φιλίππῳ τῷ βασιλεῖ, οὕτως ἔγραψεν· « Μενεκράτης Ζεὺς Φιλίππῳ χαίρειν. Σὺ μὲν Μακεδονίας βασιλεύεις, ἐγὼ δὲ ἰατρικῆς. Καὶ σὺ μὲν ὑγιαίνοντας δύνασαι, ὅταν βουληθῇς, ἀπολλύναι, ἐγὼ δὲ τοὺς νοσοῦντας σώζειν, καὶ τοὺς εὐρώστους ἀνόσους, οἳ ἂν ἐμοὶ πείθωνται, παρέχειν μέχρι γήρως ζῶντας. Τοιγαροῦν σὲ μὲν Μακεδόνες δορυφοροῦσιν, ἐμὲ δὲ καὶ οἱ μέλλοντες ἔσεσθαι (?). Ζεὺς γὰρ ἐγὼ αὐτοῖς βίον παρέχω. » Πρὸς ὃν ὡς μελαγχολῶντα ἐπέστελλεν ὁ Φίλιππος· « Φίλιππος Μενεκράτει ὑγιαίνειν. » Παραπλησίως δ' ἐπέστελλε καὶ Ἀρχιδάμῳ, τῷ Λακεδαιμονίων βασιλεῖ, καὶ τοῖς ἄλλοις ὅσοις ἔγραφεν, οὐκ ἀπεχόμενος τοῦ Διός. Καλέσας δ' αὐτόν ποτε ἐπὶ δεῖπνον ὁ Φίλιππος μετὰ τῶν ἰδίων θεῶν, συγκατέκλινε πάντας ἐπὶ τῆς μέσης κλίνης, ὑψηλότατα καὶ ἱεροπρεπέστατα κεκοσμημένης, καὶ τράπεζαν παραθείς, ἐφ' ἧς βωμὸς ἔκειτο καὶ τῶν ἀπὸ γῆς πάντων ἀπαρχαί. Καὶ ὁπότε τοῖς ἄλλοις παρεφέρετο τὰ ἐδώδιμα, τοῖς ἀμφὶ Μενεκράτην ἐθυμίων καὶ ἔσπενδον οἱ παῖδες. Καὶ τέλος ὁ καινὸς Ζεύς, μετὰ τῶν ὑπηκόων γελώμενος θεῶν, ἔφυγεν ἐκ τοῦ συμποσίου, ὡς Ἡγήσανδρος ἱστορεῖ. Pro οἱ μέλλοντες Cas. conj. οἱ θεοὶ μ. Fort. ludens helluo dixit : καὶ οἱ μακεδανόβιοι (longævi) μ.

6.

Idem VI, p. 249, D : Περὶ δὲ Νικησίου τοῦ Ἀλεξάνδρου (Epiri regis) κόλακος Ἡγήσανδρος τάδε ἱστορεῖ· « Ἀλεξάνδρου δάκνεσθαι φήσαντος ὑπὸ μυιῶν καὶ προθύμως αὐτὰς ἀποσοβοῦντος, τῶν κολάκων τις Νικησίας παρών, Ἦπου τῶν ἄλλων μυιῶν, εἶπεν, αὗται πολὺ κρατήσουσι, τοῦ σοῦ γευσάμεναι αἵματος. » Ὁ δ' αὐτός φησι καὶ Χειρίσοφον, τὸν Διονυσίου κόλακα, ἰδόντα Διονύσιον γελῶντα μετά τινων γνωρίμων (ἀπεῖχε δ' ἀπ' αὐτῶν πλείω τόπον, ὡς μὴ συνακούειν), συγγελᾶν. Ἐπεὶ δ' ὁ Διονύσιος ἠρώτησεν αὐτόν, διὰ τίνα αἰτίαν οὐ συνακούων τῶν λεγομένων γελᾷ, « Ὑμῖν, φησί, πιστεύω, διότι τὸ ῥηθὲν γελοῖόν ἐστιν. » Cf. Phylarchi fragm. 8 (I, p. 336).

7.

Idem VI, p. 251, A : Ἐπικράτης δ' ὁ Ἀθηναῖος, πρὸς βασιλέα (sc. Ἀλέξανδρον, Epiri regem) πρεσβεύσας, ὥς φησιν Ἡγήσανδρος, καὶ πολλὰ δῶρα παρ' ἐκείνου λαβών, οὐκ ᾐσχύνετο κολακεύων οὕτως φανερῶς καὶ τολμηρῶς τὸν βασιλέα, ὡς καὶ εἰπεῖν, δεῖν κατ' ἐνιαυτὸν οὐκ ἐννέα ἄρχοντας, ἀλλ' ἐννέα πρέσβεις αἱρεῖσθαι πρὸς βασιλέα.

Optime! per Deos. Subjiciente vero Philippo, *Quid vero tu nosti quibus de rebus ille scripserit? — Per Jovem maximum!* inquit ille, *rectissime tu me reprehendisti.* »

5.

Hegesander narrat, Astycreontem, quem *Menecrates medicus* sanaverat, *Apollinem* ab eo fuisse vocatum. Alius ex his qui valetudini ab eo restituti erant, *Æsculapii* pallio sumpto, in illius comitatu oberravit. Ipse vero *Jupiter*, purpura amictus, et auream coronam in capite gestans, sceptrum tenens, soleasque indutus, cum isto deorum choro terram peragravit. Idem literis datis ad Philippum regem, in hunc modum scripsit : *Menecrates Jupiter Philippo salutem! Tu regnas in Macedonia; ego vero in Medicina. Et tu quidem bene valentes, si volueris, perdere potes : ego vero ægrotos sanare, et, qui bene valent, hos, si mihi pareant, præstare possum a morbis liberos ad senectutem viventes. Quare tibi quidem Macedones satellites sunt; mihi vero quotquot* [salvi] *esse cupiunt. Jupiter enim ego vitam illis largior.* Cui homini, tanquam insanienti, rex rescripsit : *Philippus Menecrati sanitatem!* Similiter vero idem et Archidamo Lacedæmoniorum regi, et aliis, ad quoscumque literas daret, scribere consueverat, *Jovis* sibi nomen tribuens. Quem quum aliquando Philippus ad cœnam vocasset cum suis diis, cunctos una in lecto discumbere fecit in medio stante altissimo, et veluti Deorum in honorem magnifice exornato : mensamque jussitque apponi, super qua erat ara exstructa, cui impositæ omnium rerum quæ terra gignuntur primitiæ. Tum, quoties aliis afferebant cibi, Menecrati ejusque comitibus odores adolebant et libabant pueri : donec ad extremum novus Jupiter, cum suis subditis risui habitus, ex illo convivio cursim se proriperet; ut idem Hegesander narrat.

6.

De Nicesia, Alexandri assentatore, hæc narrat Hegesander : « Alexander, quum morderi se a muscis diceret, illasque gnaviter depelleret, assentatorum aliquis præsens, Nicesias nomine, ait : *Profecto aliis muscis hæ longe superiores erunt, tuum quum sanguinem gustarint.* Idem scriptor narrat, Chirisophum, Dionysii assentatorem, quum vidisset Dionysium ridentem cum nonnullis suorum familiarium, abesset autem ipse ex multo longiore intervallo, quam ex quo quid diceretur exaudiri potuisset, una risisse. Inde vero interrogatus a Dionysio, *cur, quum dicta exaudire non potuisset, rideret tamen? Credo vobis,* inquit, *ridiculum esse id quod dictum est.*

7.

Epicrates Atheniensis ad Persarum regem legatus missus, ut ait Hegesander, quum multa ab eo dona accepisset, non erubuit ita publice et insolenter adulari regi, ut diceret quotannis non tam novem creari archontes debere, quam novem legatos nominari ad regem mittendos.

8.

Idem IV, p. 167, D : Εἰς τοσοῦτον δ' ἀσωτίας ἐληλύθει καὶ Δημήτριος ὁ Δημητρίου τοῦ Φαληρέως ἀπόγονος, ὥς φησιν Ἡγήσανδρος, ὥστε Ἀρισταγόραν μὲν ἔχειν τὴν Κορινθίαν ἐρωμένην, ζῆν δὲ πολυτελῶς. Ἀνακαλεσαμένων δ' αὐτὸν τῶν Ἀρεοπαγιτῶν καὶ κελευόντων βέλτιον ζῆν, « Ἀλλὰ καὶ νῦν, εἶπεν, ἐλευθερίως ζῶ. Καὶ γὰρ ἑταίραν ἔχω τὴν καλλίστην, καὶ ἀδικῶ οὐδένα, καὶ πίνω Χῖον οἶνον, καὶ τἄλλ' ἀρκούντως παρασκευάζομαι, τῶν ἰδίων μου προσόδων εἰς ταῦτ' ἐκποιουσῶν. Οὐ, καθάπερ ὑμῶν ἔνιοι, δεκαζόμενος ζῶ καὶ μοιχεύων. » Καὶ τῶν τὰ τοιαῦτα πραττόντων καὶ ἐπ' ὀνόματος τινὰς κατέλεξε. Ταῦτα δ' ἀκούσας Ἀντίγονος ὁ βασιλεὺς, θεσμοθέτην αὐτὸν κατέστησε. Τοῖς δὲ Παναθηναίοις ἵππαρχος ὢν, ἰκρίον ἔστησε πρὸς τοῖς Ἑρμαῖς Ἀρισταγόρᾳ, μετεωρότερον τῶν Ἑρμῶν· Ἐλευσῖνί τε μυστηρίων ὄντων, ἔθηκεν αὐτῇ θρόνον παρὰ τὸ ἀνάκτορον, οἰμώξεσθαι φήσας τοὺς κωλύσοντας.

Antigonus rex est Antigonus Gonatas. Cf. Droysen. *Hellen.* II, p. 223.

9

Idem VI, p. 250, D, E : Ἡγήσανδρος δ' ἱστορεῖ, καὶ Ἱέρωνα τὸν τύραννον ἀμβλύτερον κατὰ τὰς ὄψεις γενέσθαι, καὶ τοὺς συνδειπνοῦντας τῶν φίλων ἔχειν ἐπίτηδες διαμαρτάνοντας τῶν ἐδεσμάτων, ἵν' ὑπ' αὐτοῦ χειραγωγῶνται, καὶ δοκῇ τῶν ἄλλων ὀξυδερκέστερος εἶναι. Εὐκλείδην δέ φησιν Ἡγήσανδρος, τὸν Σεῦτλον ἐπικαλούμενον (παράσιτος δ' ἦν καὶ οὗτος), παραθέντος τινὸς αὐτῷ πλείους σόγκους ἐν δείπνῳ, Ὁ Καπανεὺς, ἔφη, ὁ ὑπὸ τοῦ Εὐριπίδου εἰσαγόμενος ἐν ταῖς Ἱκέτισιν, ὑπεραστεῖος ἦν,

Μισῶν, τραπέζας ὅστις ἐξογκοῖτ' ἄγαν.

Οἱ δὲ δημαγωγοῦντες, φησὶν, Ἀθήνησι κατὰ τὸν Χρεμωνίδειον πόλεμον κολακεύοντες τοὺς Ἀθηναίους, τἄλλα μὲν ἔφασκον πάντα εἶναι κοινὰ τῶν Ἑλλήνων, τὴν δ' ἐπὶ τὸν οὐρανὸν ἀνθρώπους φέρουσαν ὁδὸν Ἀθηναίους εἰδέναι μόνους. Postrema ad Athenienses Ptolemæi II adulatores refert Droysen. *Hellen.* II, p. 212.

10.

Idem IV, p. 132, C : Δρομέας δ' ὁ παράσιτος, ἐρωτήσαντός τινος αὐτὸν, ὥς φησιν ὁ Δελφὸς Ἡγήσανδρος, πότερον ἐν ἄστει γίνεται βελτίω δεῖπνα ἢ ἐν Χαλκίδι, Τὸ προοίμιον, εἶπε, τῶν ἐν Χαλκίδι δείπνων χαριέστερον εἶναι τῆς ἐν ἄστει παρασκευῆς· τὸ πλῆθος τῶν ὀστρέων καὶ τὴν ποικιλίαν προοίμιον εἰπὼν δείπνου.

11.

Idem VIII, p. 350, A, de Stratonico citharista : Πάλιν δ' ἐπερωτηθεὶς, ὥς φησιν Ἡγήσανδρος, πότερα Βοιωτοὶ βαρβαρώτεροι τυγχάνουσιν ὄντες ἢ Θετταλοὶ, Ἠλείους ἔφησεν. Ἀναστήσας δέ ποτε καὶ τρόπαιον ἐν τῇ διατριβῇ ἐπέγραψε κατὰ τῶν κακῶς κιθαριζόντων. Ἐρωτηθεὶς δὲ ὑπό τινος, τίνα τῶν πλοίων ἀσφαλέστατά ἐστι, τὰ μακρὰ ἢ τὰ στρογγύλα, « Τὰ νενεωλκημένα, » εἶπεν.

12.

Athenæus XIV, p. 620, F : Ὁ τοῦ Σωτάδου υἱὸς Ἀπολλώνιος. Ἔγραψε δὲ καὶ οὗτος Περὶ τῶν τοῦ

8.

Eo intemperantiæ venit Demetrius Demetrii Phalerei nepos, ut ait Hegesander, ut Aristagoram Corinthiam pro pellice haberet, vitamque ageret sumptuosam. Advocantibusque eum Areopagitis et melius vivere jubentibus, « Verum etiam nunc, ait, ego ut decet hominem ingenuum vivo. Nam amicam habeo pulcerrimam, et neminem lædo, et vinum Chium bibo, et reliqua sufficienter adorno, quum proprii reditus ad hoc suppetant. Non vero quemadmodum nonnulli e vobis, muneribus corruptus vivo, et aliorum uxores corrumpo. » Et eorum aliquos, qui id faciebant, nominatim etiam designabat. Quæ quum audivisset Antigonus rex, thesmothetam illum constituit. Idem vero, quum Panathenæorum solemnibus equitum præfectus esset, tabulatum erexit Aristagoræ apud Hermas ipsis Hermis sublimius; et Eleusine, quum celebrarentur mysteria, sedem eidem posuit juxta Cereris templum; male acceptum iri edicens, si quis esset prohibiturus.

9.

Hegesander narrat, etiam Hieroni regi obtusiorem fuisse oculorum usum, habuisseque in amicis cum ipso cœnare solitis, qui consulto a cibis, quos peterent, aberrare solerent, ut ab ipso manus eorum dirigerentur, videreturque ille acutius reliquis cernere. Euclidis verbum Hegesander refert, ejus cui *Seutlum* (id est, *beta*) cognomen, qui et ipse parasitus fuit. Quum cœnanti ingens sonchi copia apponeretur, *Perurbanus*, inquit, *Capaneus est, qui ab Euripide in Supplicibus inducitur,*

inimicus mensarum in quibus nimius ὄγκος.

Idem Hegesander ait, oratores Atheniensium bello Chremonideo, adulantes populo, dixisse : Alia quidem communia habere Athenienses cum reliquis Græcis; sed viam, quæ homines in cœlum ducat, solis illis cognitam esse.

10.

Dromeas parasitus, ut refert Hegesander Delphus, cuidam interroganti, utrum lautiores essent cœnæ Athenis, an Chalcide? respondit, *Procemium cœnarum Chalcide gratius esse et elegantius, quam Athenis totum cœnæ apparatum.* Prooemium cœnæ vocabat homo ostreorum et reliquorum testaceorum multitudinem varietatemque.

11.

Rursus interrogatus, ut scribit Hegesander, utrum Bœoti magis barbari essent, an Thessali? *Elei*, inquit. Idem aliquando tropæum erexit in schola, hac inscriptione : *Adversus cithara male canentes.* Sciscitante quodam, quænam sint naves tutiores, longæ, an rotundæ? *Tutiores*, inquit, *hæ quæ subductæ sunt.*

12.

Sotadis filius Apollonius. Nam et hic de patris sui carminibus librum edidit; e quo perspicitur intempestiva Sotadis maledicendi licentia, qui Alexandriæ probrosa dixit

πατρὸς ποιημάτων σύγγραμμα· ἐξ οὗ ἔστιν κατιδεῖν τὴν ἄκαιρον παρρησίαν τοῦ Σωτάδου, κακῶς μὲν εἰπόντος Λυσίμαχον τὸν βασιλέα ἐν Ἀλεξανδρείᾳ, Πτολεμαῖον δὲ τὸν Φιλάδελφον παρὰ Λυσιμάχῳ, καὶ ἄλλους τῶν βασιλέων ἐν ἄλλαις τῶν πόλεων. Διόπερ καὶ δεούσης ἔτυχε τιμωρίας. Ἐκπλεύσαντα γὰρ αὐτὸν τῆς Ἀλεξανδρείας, ὥς φησιν Ἡγήσανδρος ἐν τοῖς Ὑπομνήμασι, καὶ δοκοῦντα διαπεφευγέναι τὸν κίνδυνον· εἰρήκει γὰρ εἰς τὸν βασιλέα Πτολεμαῖον πολλὰ δεινά, ἀτὰρ καὶ τόδε, ὅτε τὴν ἀδελφὴν Ἀρσινόην ἐγεγαμήκει·

Εἰς οὐχ ὁσίην τρυμαλιὴν τὸ κέντρον ὠθεῖς·

Πάτροκλος οὖν ὁ τοῦ Πτολεμαίου στρατηγὸς ἐν Καύνῳ τῇ νήσῳ λαβὼν αὐτὸν καὶ εἰς μολυβδῆν κεραμίδα ἐμβαλὼν καὶ ἀναγαγὼν εἰς τὸ πέλαγος κατεπόντισε.

13.

Idem I, p. 19, C : Ἡρόδοτος δὲ ὁ λογόμιμος, ὥς φησιν Ἡγήσανδρος, καὶ Ἀρχέλαος ὁ ὀρχηστὴς παρὰ Ἀντιόχῳ τῷ βασιλεῖ μάλιστα ἐτιμῶντο τῶν φίλων. Ὁ δὲ πατὴρ αὐτοῦ Ἀντίοχος τοὺς Σωστράτου τοῦ αὐλητοῦ υἱεῖς σωματοφύλακας ἐπεποίητο.

De Sostrato Prienensi saltatore (et tibicine), cujus in gratiam Antiochus (Soter aut Theus) Prienen liberam esse jussit, v. Sextus Empir. Adv. gr. c. 13, citante Droysenio l. l. II, p. 235. De eodem Sostrato cf. Aristodemi fr. 7. p. 310.

14.

Idem VIII, p. 337, F : Ἡγήσανδρος δ' ἐν τοῖς Ὑπομνήμασι τάδε φησὶ περὶ αὐτοῦ· « Δωρίων ὁ ὀψοφάγος, τοῦ παιδὸς οὐκ ἀγοράσαντος ἰχθῦς, μαστιγῶν αὐτὸν ἐκέλευε τῶν ἀρίστων ἰχθύων ὀνόματα λέγειν. Τοῦ δὲ παιδὸς ὀρφὸν καὶ γλαυκίσκον καὶ γόγγρον καὶ τοιούτους ἑτέρους καταριθμοῦντος, Ἰχθύων σε, φησίν, ἐκέλευον ὀνόματα λέγειν, οὐ θεῶν. »

15.

Idem VIII, p. 340, F : Ἀνταγόρας μὲν ὁ ποιητὴς οὐκ εἴα τὸν παῖδα ἀλεῖψαι τὸν ἰχθύν, ἀλλὰ λοῦσαι, ὥς φησιν Ἡγήσανδρος. Ἐν δὲ στρατοπέδῳ ἕψοντι, φησίν, αὐτῷ γόγγρων λοπάδα, καὶ περιεζωσμένῳ, Ἀντίγονος ὁ βασιλεὺς παραστάς, Ἆρά γε, εἶπεν, ὦ Ἀνταγόρα, τὸν Ὅμηρον οἴει τὰς τοῦ Ἀγαμέμνονος πράξεις ἀναγράψαι, γόγγρους ἕψοντα; Κἀκεῖνον οὐ φαύλως λόγος εἰπεῖν, Σὺ δὲ οἴει, φησί, τὸν Ἀγαμέμνονα τὰς πράξεις ἐκείνας ἐργάσασθαι, πολυπραγμονοῦντα, τίς ἐν τῷ στρατοπέδῳ γόγγρους ἕψει; Ὄρνιν δ' ἕψων ποτὲ ὁ Ἀνταγόρας οὐκ ἔφη βαδιεῖσθαι εἰς τὸ βαλανεῖον, εὐλαβούμενος μή ποτε οἱ παῖδες τὸν ζωμὸν ἐκροφήσωσι. Φιλοχύδους δ' εἰπόντος, ὅτι ἡ μήτηρ τηρήσει, Ἐγὼ οὖν, εἶπε, τῇ μητρὶ ὀρνίθειον ζωμὸν πιστεύσω; Cf. Plutarch. Apophthegm. p. 183, A.

16.

Idem VIII, p. 343, E : Διοκλῆς δὲ ὁ ὀψοφάγος, ὥς φησιν Ἡγήσανδρος, πυθομένου τινὸς αὐτοῦ, πότερος χρηστότερος ἰχθύς, γόγγρος ἢ λάβραξ, Ὁ μὲν ἑφθός, ἔφη, ὁ δὲ ὀπτός.

17.

Idem VIII, p. 343, D : Ἀλλὰ μὴν καὶ Ἀρίστιππος ὁ Σωκρατικὸς ὀψοφάγος ἦν· ὅστις καὶ ὑπὸ Πλάτωνός ποτε ὀνειδιζόμενος ἐπὶ τῇ ὀψοφαγίᾳ, ὥς φησι Σωτίων καὶ Ἡγήσανδρος. Γράφει δὲ οὕτως ὁ Δελφός· « Ἀρίστιππος, Πλάτωνος ἐπιτιμήσαντος αὐτῷ, διότι πολλοὺς ἰχθῦς ἠγόρασε, δυοῖν ὀβολοῖν ἔφησεν ἐωνῆσθαι. Τοῦ δὲ

---

in Lysimachum regem, apud Lysimachum vero in Ptolemæum Philadelphum, et adversus alios reges aliis in urbibus. Quamobrem etiam meritas luit pœnas. Navi enim profectum Alexandria, ut tradit Hegesander in Commentariis, quum videretur effugisse periculum (nam et multa alia in regem Ptolemæum acerba dixerat, tum et istud, postquam sororem Arsinoen duxisset uxorem :

Nefandum foramen stimulo pertundis) :

captum in Cauno insula Patroclus, dux Ptolemæi, plumbeo vase inclusum et in altum abductum, mari mersit.

13.

Herodotus Logomimus, ut Hegesander refert, et Archelaus saltator, apud Antiochum regem præ ceteris amicis maximo in honore fuerunt. Illius Antiochi pater, et ipse Antiochus, Sostrati tibicinis filios corporis sui fecerat custodes.

14.

De eodem Hegesander, in Commentariis, hæc scribit : « Dorion, obsoniorum lurco, quum servulus pisces non emisset, flagello castigatum jussit optimorum piscium edicere nomina. Qui quum orphum et glauciscum et congrum similesque alios enumeraret : *At piscium nomina*, inquit ille, *edere te jussi, non deorum.*

15.

Antagoras poeta puerum non sivit inungere piscem, sed lavare solum, ut narrat Hegesander. Eidem in castris elixanti congrorum patinam, et succincto (ut scribit idem Hegesander) adstans rex Antigonus (Gonatas), ait : *At putasne, Antagora, Homerum res gestas Agamemnonis scripsisse congros elixantem?* Cui ille non inscite respondit : *Tune vero putas, Agamemnonem res illas gessisse curiose inquirentem quis in castris congros elixet?* Aliquando gallinam elixans Antagoras, in balneum se iturum negavit, timens ne jusculum absorbeant pueri. Cui quum diceret Philocydes, matrem ne id fiat curaturam : *Matri igitur*, inquit, *ego jusculum gallinaceum crederem?*

16.

Diocles, obsonii lurco, ut narrat Hegesander, quum ex eo quæsivisset aliquis, uter piscis melior, conger an lupus : respondit « : Ille elixus, hic assus. »

17.

Sed et Aristippus Socraticus obsonii avidus erat : quo nomine eum aliquando reprehensum a Platone narrant Sotion et Hegesander. Qua de re sic scribit Delphus : « Aristippus, reprehensus a Platone quod piscium magnum emisset numerum, duobus obolis se eos emisse dixit. Cui quum

Πλάτωνος εἰπόντος, ὅτι καὶ αὐτὸς ἂν ἠγόρασα τοσούτου, Ὁρᾷς οὖν, εἶπεν, ὦ Πλάτων, ὅτι οὐχ ἐγὼ ὀψοφάγος, ἀλλὰ σὺ φιλάργυρος. »

18.

Idem XII, p. 544, C, de Aristippo Cyrenæo : Ἡγήσανδρος γοῦν φησιν, ὡς καὶ ἀδόξου ποτὲ κλισίας παρ' αὐτῷ τυχὼν ἤνεγκεν, ἐρωτήσαντός τε τοῦ Διονυσίου, τί φαίνεται ἡ κατάκλισις πρὸς τὴν χθὲς, ἔφησε παραπλησίαν εἶναι. « Ἐκείνη τε γὰρ, ἔφησεν, ἀδοξεῖ τήμερον χωρισθεῖσα ἐμοῦ, χθὲς δὲ πασῶν ἦν ἐνδοξοτάτη δι' ἡμᾶς. Αὕτη δὲ τήμερον καὶ ἔνδοξος γέγονε διὰ τὴν ἡμετέραν παρουσίαν, χθὲς δὲ ἠδόξει μὴ παρόντος ἐμοῦ. » Καὶ ἐν ἄλλοις δέ φησιν ὁ Ἡγήσανδρος· « Ἀρίστιππος, ῥαινόμενος μὲν ὑπὸ τῶν τοῦ Διονυσίου θεραπόντων, σκωπτόμενος δ' ἐπὶ τῷ ἀνέχεσθαι ὑπ' Ἀντιφῶντος, Εἰ δ' ἁλιευόμενος ἐτύγχανον, ἔφη, καταλιπὼν τὴν ἐργασίαν ἂν ἀπῆλθον; »

19.

Idem VIII, p. 344, A : Φόρουσκον δέ φησιν Ἡγήσανδρος τὸν ἰχθυοφάγον, οὐ δυνηθέντα ὅσον ἤθελεν ἀφελεῖν τοῦ ἰχθύος, ἀλλ' ἀκολουθήσαντος αὐτῷ πλείονος, εἰπεῖν·

Τὰ δ' ἀντιτείνοντ' αὐτόπρεμν' ἀπόλλυται,

καὶ ὅλον τὸν ἰχθὺν ἀναλῶσαι. Βίων δὲ, προαρπάσαντός τινος τὰ ἐπάνω τοῦ ἰχθύος, στρέψας καὶ αὐτὸς, καὶ δαψιλῶς φαγὼν, ἐπεῖπεν·

Ἰνὼ δὲ τἀπὶ θάτερ' ἐξειργάζετο.

20.

Idem X, p. 444, E : Ἡγήσανδρος δ' ὁ Δελφὸς καὶ ἐξοίνους τινὰς κέκληκε, λέγων οὕτως· « Κομηὼν καὶ Ῥοδοφῶν, τῶν ἐν Ῥόδῳ πολιτευσαμένων ὄντες, ἦσαν ἔξοινοι. Καὶ ὁ Κομηὼν, εἰς κυβευτὴν σκώπτων, τὸν Ῥοδοφῶντα, ἔλεγεν·

Ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι κυβευταί.

Ῥοδοφῶν τε ἐκείνῳ τὴν περὶ τὰς γυναῖκας σπουδὴν καὶ τὴν ἀκρασίαν ὠνείδιζεν, οὐδεμιᾶς ἀπεχόμενος λοιδορίας. » Rhodophon Rhodius ille contra Perseum cum Romanis faciendum esse censuit. V. Polyb. XXVII, 6, 3. XXVIII, 2, 3. Idem legatus Romam mittitur, Polyb. XXX, 5, 4 (Ol. 153, 1. 168).

21.

Idem XI, p. 477, E : Ἡγήσανδρος ὁ Δελφὸς Εὐφορίωνά φησι τὸν ποιητὴν, παρὰ Πρυτάνιδι δειπνοῦντα, καὶ ἐπιδεικνυμένου τοῦ Πρυτάνιδος κιβώριά τινα δοκοῦντα πεποιῆσθαι πολυτελῶς, τοῦ κώθωνος εὖ μάλα προβεβηκότος, λαβὼν ἓν τῶν κιβωρίων, ὡς ἐξοινῶν καὶ μεθύων ἐνεούρησε. Prytanis, phil. peripateticus, Hieronymi successor, magister Euphorionis V. Suidas v. Εὐφορίων; Vit. Aristot. II, p. 402 in Βιογρ. Westermanni; Polyb. V, 93.

22.

Idem X, p. 431, D : Οὐκ ἀγλαφύρως δὲ Λύσανδρος ὁ Σπαρτιάτης, ὥς φησιν Ἡγήσανδρος ἐν Ὑπομνήμασι, τὸν οἶνον ὑδαρῆ πωλούντων τῶν καπήλων ἐν τῷ στρατοπέδῳ, κεκραμένον ἐκέλευσεν αὐτὸν πωλεῖν, ἵν' αὐτὸν ἀκρατέστερον ὠνοῖντο.

Plato respondisset, eo pretio et ipsum empturum eos fuisse : Vides igitur, inquit, mi Plato, non tam me obsonii avidum esse, quam te pecuniæ cupidum. »

18.

Narrat Hegesander, patienter Aristippum tulisse, quum aliquando parum honestus locus ei in convivio esset assignatus : et interroganti Dionysio, *quid ipsi videretur de hodierno loco, cum illo collato, quem pridie obtinuisset?* respondisse : *Nihil differre : ille enim* (inquit) *hodie parum honestus est, quum a me sit remotus; heri autem propter nos fuit honestissimus : hic vero et hodie honestus factus est, a me occupatus; heri vero, quum ego alibi essem, inglorius fuit.* Alibi rursus scribit idem Hegesander : « Aristippus, aqua perfusus a Dionysii famulis, eoque irrisus ab Antiphonte quod patienter tulisset, respondit : *At si piscando dans operam madefactus fuissem, an idcirco relicto opere abiissem?* »

19.

Phoruscum gulosum, narrat Hegesander, quum de pisce quantum voluerat auferre non potuisset, sed major pars eum secuta esset, dixisse :

Quæ resistunt, pereunt stirpitus :

totumque piscem absumpsisse. Bion vero, quum superiorem piscis partem proripuisset aliquis, invertit piscem, largiterque pastus, ait,

Ino ab altera parte negotium confecit.

20.

Hegesander Delphus nonnullos etiam ἐξοίνους appellavit : nempe *vino captos* dicens. Cujus hæc sunt verba : « Comeon et Rhodophon, ex eorum numero qui rempublicam Rhodi administrabant, vino capti erant. Et Comeon quidem Rhodophontem ut aleatorem perstringens, dicebat,

O senex, certe valde te juvenes premunt aleatores.

Rhodophon vero Comeoni mulierum insanum amorem et intemperantiam exprobrabat, nulli parcens probro. »

21.

Hegesander Delphus scribit, Euphorionem poetam, cœnantem apud Prytanidem, quum ostentasset Prytanis ciboria quædam, quæ pretiose confecta esse videbantur, jamque bene longe progressa esset compotatio, sumpsisse unum ex ciboriis, utpote temulentum atque ebrium, et imminxisse.

22.

Non infestive Lysander Spartanus, ut narrat Hegesander in Commentariis, quum vinum aquosum venderent caupones in castris, jussit ut mixtum illud venderent, quo meracius ipsi emerent.

23.

Idem X, p. 432, B : Ἔπινον οἱ πολλοὶ καὶ ἄλφιτα ἐπιβάλλοντες τῷ οἴνῳ, ὡς ὁ Δελφὸς Ἡγήσανδρός φησιν. Ἐπίνικος γοῦν, Μνησιπτολέμου ἀνάγνωσιν ποιησαμένου τῶν ἱστοριῶν, ἐν αἷς ἐγέγραπτο ὡς Σέλευκος ἀπηλφίτισε, γράψας δρᾶμα Μνησιπτόλεμον καὶ κωμῳδῶν αὐτὸν καὶ περὶ τῆς πόσεως ταῖς ἐκείνου χρώμενος φωναῖς, ἐποίησε λέγοντα·

Ἐπ' ἀλφίτου πίνοντα τοῦ θέρους ποτὲ
ἰδὼν Σέλευκον ἡδέως τὸν βασιλέα,
ἔγραψα, καὶ παρέδειξα τοῖς πολλοῖς, ὅτι,
κἂν τὸ τυχὸν ᾖ πραγμάτιον ᾖ σφόδρ' εὐτελές,
σεμνὸν δύναται τοῦθ' ἡ δύναμις ἡ 'μὴ ποιεῖν.
Γέροντα Θάσιον τόν τε γῆς ἀπ' Ἀτθίδος
ἐσμὸν μελίσσης τῆς ἀκραχόλου γλυκύν,
συγκυρκανήσας ἐν σκύφῳ χυτῆς λίθου,
Δήμητρος ἀκτῇ κἂν γεφυρώσας ὑγρόν,
κατησίμωσα πῶμα, καύματος λύσιν.

Ὁ δ' αὐτὸς ἱστορεῖ, κἂν Θηράσι ταῖς (Θηρασίαις?) νήσοις ἐπιτάττοντας λέκιθον ἀντὶ ἀλφίτου πίνειν, καὶ λέγεσθαι ταύτην τὴν πόσιν καλλίονα τῆς ἐξ ἀλφίτων. Cf. Müller. *Min.* p. 337.

24.

Idem I, p. 44, C : Ἡγήσανδρος δ' ὁ Δελφὸς Ἀγχίμολον καὶ Μόσχον φησί, τοὺς ἐν Ἤλιδι σοφιστεύσαντας, ὑδροποτῆσαι πάντα τὸν βίον, καὶ μόνα σῦκα προσφερομένους οὐδενὸς ἧττον διακεῖσθαι σώμασιν ἐρρωμένους· τὸν δ' ἱδρῶτα αὐτῶν δυσώδη οὕτως ἔχειν, ὡς πάντας αὐτοὺς ἐκκλίνειν ἐν τοῖς βαλανείοις.

« Aut ἔχειν in εἶναι mutandum, quæ est Eustathii (p. 916,46) scriptura, aut αὐτῶν delendum. » *Dindorf.*

25.

Idem XIII, p. 572, D : Οἶδα δὲ καὶ ἑορτὴν τὴν Ἑταιρίδεια, ἀγομένην ἐν Μαγνησίᾳ, οὐ διὰ τὰς ἑταίρας, ἀλλὰ δι' ἑτέραν αἰτίαν, ἧς μνημονεύει Ἡγήσανδρος, ἐν Ὑπομνήμασι γράφων ὧδε· « Τὴν τῶν Ἑταιριδείων ἑορτὴν συντελοῦσι Μάγνητες. Ἱστοροῦσι δέ, πρῶτον Ἰάσονα, τὸν Αἴσονος, συναγαγόντα τοὺς Ἀργοναύτας, ἑταιρείῳ Διὶ θῦσαι, καὶ τὴν ἑορτὴν Ἑταιρίδεια προσαγορεῦσαι. Θύουσι δὲ καὶ οἱ Μακεδόνων βασιλεῖς τὰ Ἑταιρίδεια. » Cf. Müller. *Min.* p. 251.

26.

Idem XIII, p. 564, A : Ἡγήσανδρος δ' ἐν τοῖς Ὑπομνήμασι τῶν ἡδυσμάτων φησὶν ἐρᾶν πάντας, οὐ τῶν κρεῶν, οὐδὲ τῶν ἰχθύων· « ἀπογενομένων γοῦν τούτων, οὐδεὶς ἡδέως ἔτι προσφέρεται τὸ κρέας, οὐδὲ τὸν ἰχθύν, οὐδὲ ἐπιθυμεῖ τῶν ὠμῶν καὶ τῶν ἀνηδύντων. »

27.

Idem XIII, p. 592, B : Ἐπὶ δὲ δυσμαῖς ὢν τοῦ βίου (Sophocles), ὥς φησιν Ἡγήσανδρος, Ἀρχίππην ἠγάπησε τὴν ἑταίραν, καὶ τοῦ βίου κληρονόμον κατέλιπεν. Ὅτε δὲ γηραιῷ ὄντι τῷ Σοφοκλεῖ συνῆν ἡ Ἀρχίππη, ὁ πρότερος αὐτῆς ἐραστὴς Σμικρίνης, ἐρωτώ-

---

23.

Bibebant autem multi polenta in vinum injecta, ut ait Hegesander Delphus. Epinicus quidem, quum Mnesiptolemus suas recitasset Historias, in quibus scriptum erat, Seleucum polenta in potu usum esse, dramate conscripto, cui Mnesiptolemum titulum fecit, comice illum perstrinxit; iisdemque quibus ille de potione ista verbis usus erat loquentem induxit, in hunc modum :

Cum polenta bibentem æstate aliquando
cupide Seleucum quum vidissem regem;
scripto consignavi, eoque documento ostendi hominibus,
quamvis sit vulgaris res et leviuscula,
posse illam mea facultate gravem amplamque reddi.
Grandem natu Thasium et ex Attica terra
fluentum apis florilegæ dulce
quum miscuisset in scypho ex fuso lapide,
Cererisque fragmine omnem subegisset liquorem,
usus sum potione, æstus lenimine.

Narrat idem, in Theradibus insulis (*i. e. in Thera et Therasia inss., uti videtur*) farinam e pisis quoque aut lentibus loco polentæ inspergi vino, atque ita bibi; eamque potionem meliorem perhiberi quam ex polenta.

24.

Hegesander Delphus scribit, Anchimolum et Moschum, in Elide urbe philosophiam et eloquentiam professos, tota vita aquam bibisse; et quum non nisi ficis vescerentur, tam robusto tamen corpore fuisse quam alius quisquam : at eorum sudorem adeo oluisse graviter, ut eos in balneis omnes aversarentur.

25.

Memini vero etiam festos quosdam dies celebrari Magnesiæ, quos *Helæridia* vocant, non ab helæris meretricibus, sed aliam ob causam; quam exponit Hegesander in Commentariis, ita scribens : « *Helæridia* festa celebrant Magnetes. Narrant autem, primum Iasonem, Æsonis filium, collectis Argonautis, *Jovi Helærio* (id est, *Sodalitio* vel *Amicitiæ præsidi*) sacra fecisse, illumque festum diem *Helæridia* nominasse. Celebrant vero etiam Macedoniæ reges Helæridia. »

26.

Hegesander in Commentariis ait condimenta amare omnes, non item (nudam per se) carnem aut pisces. « Itaque ubi illa desunt, nemo libenter carne aut pisce vescitur, neque nuda cruda absque condimentis expetit. »

27.

Sophocles quum jam sub exitum vitæ versaretur, ut ait Hegesander, Archippen amavit meretricem, et fortunarum suarum hæredem reliquit. Quum vero cum sene Sophocle consuetudinem Archippe haberet, prior illius amator Smicrines, interrogatus ab aliquo *quid ageret Archippe*, festive respondit : *Sicut noctuæ, sepulcris insidet.*

μενος ὑπό τινος, τί πράττει Ἀρχίππη, χαριέντως ἔφη· « Ὥσπερ αἱ γλαῦκες ἐπὶ τάφων κάθηται. »

28.

Idem XIII, p. 584, F : Μετάνειρα δὲ ἡ ἑταίρα, Δημοκλέους τοῦ παρασίτου, Λαγυνίωνος ἐπίκλην, καταπεσόντος ἔν τινι κονιάματι, « Καὶ γὰρ σὺ, φησὶ, σαυτὸν ἔδωκας, οὗ ψῆφοι εἰσίν. » Διαπηδῶντος δ' αὐτοῦ ἐπὶ τὴν πλησίον κλίνην, « Πρόσεχε, φησὶ, μὴ ἀνατραπῇς. » Τοῦτο ἱστορεῖ Ἡγήσανδρος.

29.

Idem III, 107, E : Ὅτι δ' ἔθος τῷ ἐπίπλῳ περικαλύπτεσθαι τὰ ἡπάτια, Ἡγήσανδρος ὁ Δελφὸς ἐν Ὑπομνήμασί φησι Μετάνειραν τὴν ἑταίραν, ὡς ἐν τοῖς κεκαλυμμένοις ἡπατίοις αὐτὴ πνευμόνιον ἔλαβε, καὶ ὡς περιελοῦσα τὸ στέαρ εἶδεν, ἀνέκραγεν·

Ἀπόλωλα, πέπλων μ' ὤλεσαν περιπτυχαί.

29 a.

Hesychius : Ἀποφάρσις, ἡ ἑταίρα, ὡς Ἡγήσανδρος. « *Meretrix nuda*, a φάρος. V. Hesych. v. ἀφάρωνος. » *Voss.* Eustath. ad Il. π extr. δούλην dici ait ἀποφράτην (ἀποφάρτην?).

30.

Athen. IV, p. 174, A : Κἀν Κύπρῳ δέ φησι τιμᾶσθαι Ἡγήσανδρος ὁ Δελφὸς Δία εἰλαπιναστὴν τε καὶ σπλαγχνοτόμον.

31.

Idem VIII, p. 365, D : Ἀργεῖοι δ', ὡς ἐν τοῖς Ὑπομνήμασί φησιν Ἡγήσανδρος, γράφει δ' οὕτως· « Τὴν συμβολὴν τὴν εἰς τὰ συμπόσια ὑπὸ τῶν πινόντων εἰσφερομένην Ἀργεῖοι χῶν καλοῦσι, τὴν δὲ μερίδα αἶσαν. »

32.

Idem XI, p. 479, D : Ἡγήσανδρος δ' ὁ Δελφὸς ἐν Ὑπομνήμασιν, ὧν ἀρχὴ Ἐν τῇ ἀρίστῃ πολιτείᾳ, φησίν· « Ὁ καλούμενος κότταβος παρῆλθεν εἰς τὰ συμπόσια, τῶν περὶ Σικελίαν, ὥς φησι Δικαίαρχος, πρώτων εἰσαγαγόντων. Τοσαύτη δὲ ἐγένετο σπουδὴ περὶ τὸ ἐπιτήδευμα, ὥστε εἰς τὰ συμπόσια παρεισφέρειν ἆθλα κοττάβια καλούμενα. Εἶτα κύλικες αἱ πρὸς τὸ πρᾶγμα χρήσιμαι μάλιστ' εἶναι δοκοῦσαι κατεσκευάζοντο, καλούμεναι κοτταβίδες. Πρὸς δὲ τούτοις οἶκοι κατεσκευάζοντο κυκλοτερεῖς, ἵνα πάντες, εἰς τὸ μέσον τοῦ κοττάβου τεθέντος, ἐξ ἀποστήματος ἴσου καὶ τόπων ὁμοίων ἀγωνίζοιντο περὶ τῆς νίκης. Οὐ γὰρ μόνον ἐφιλοτιμοῦντο βάλλειν ἐπὶ τὸν σκοπὸν, ἀλλὰ καὶ καλῶς ἕκαστα αὐτῶν. Ἔδει γὰρ εἰς τὸν ἀριστερὸν ἀγκῶνα ἐρείσαντα, καὶ τῇ δεξιᾷ κυκλώσαντα ὑγρῶς ἀφεῖναι τὴν λάταγα· οὕτω γὰρ ἐκάλουν τὸ ἐκπῖπτον ἐκ τῆς κύλικος ὑγρόν· ὥστε ἔνιοι μεῖζον ἐφρόνουν ἐπὶ τῷ καλῶς κοτταβίζειν, τῶν ἐπὶ τῷ ἀκοντίζειν μέγα φρονούντων. »

33.

Idem I, p. 18, A : Ἡγήσανδρος δέ φησιν, οὐδὲ ἔθος εἶναι ἐν Μακεδονίᾳ κατακλίνεσθαί τινα ἐν δείπνῳ, εἰ μή τις ἔξω λίνων ὗν κεντήσειεν· ἕως δὲ τότε καθήμενοι ἐδείπνουν. Κάσανδρος γοῦν, πέντε καὶ τριάκοντα ὢν ἐτῶν, ἐδείπνει παρὰ τῷ πατρὶ καθήμενος, οὐ δυνάμενος τὸ ἆθλον ἐκτελέσαι, καίπερ ἀνδρεῖος γεγονὼς καὶ κυνηγὸς ἀγαθός.

28.

Metanira meretrix, quum Democles parasitus, cognomine Lagynion, super tectorio opere prolapsus esset : *Nil mirum*, inquit, *quum in locum te immiseris ubi calculi sunt.* Eidem in propinquum lectulum subsilienti : *Cave*, dixit, *ne eversus corruas.* Hoc memoravit Hegesander.

29.

Quia moris erat, jecuscula omento contegi, Hegesander Delphus in Commentariis narrat, Metaniram meretricem, quum in opertis jecusculis ipsa pulmunculam esset nacta, et detracto adipe eam vidisset, exclamasse :

Perii; peplorum me sinuosæ plicæ perdiderunt.

29 a.

Ἀποφάρσις, meretrix, teste Hegesandro.

30.

Similiter in Cypro Hegesander Delphus ait coli *Jovem* εἰλαπιναστὴν (*epulonem*) et σπλαγχνοτόμον (id est, *extorum sectorem*).

31.

Argivi, ut ait Hegesander in Commentaris, cujus ipsa hæc sunt verba : « Argivi symbolam, quæ ad convivia a compotantibus confertur, χῶν appellant; portionem vero, αἶσαν. »

32.

Hegesander Delphus in eo Commentariorum libro, qui ab his verbis incipit, *In optima republica*, scribit : « Cottabus qui vocatur, in convivia transiit, a Siculis primum, ut ait Dicæarchus, introductus. Tantum vero erat hujus instituti studium, ut in convivia introducerent certamina *cottabia* quæ vocantur. Deinde calices, qui videbantur ad hunc usum maxime esse idonei, conficiebantur, quas *cottabidas* vocant. Ad hæc, conclavia construebantur rotunda; ut, cottabo in medio posito, omnes ex æquo intervallo et simili ex statione possent de victoria contendere. Nec enim id solum omni studio connitebantur, ut scopum ferirent, sed et ut eleganter omnia peragerent. Oportebat enim sinistro cubito subnixum, dextra manu molliter in orbem conversa, projicere *latagem* : sic enim vocabant liquorem e calice projectum : ita quidem ut nonnulli multo magis ob ejusmodi dexteritatem quam alii ob jaculandi peritiam superbirent. »

33.

Hegesander scribit, usu receptum fuisse apud Macedones, ut in cœna nemo accumberet, nisi qui aprum extra retia interemisset : qui id non fecissent, hos sedentes cœnasse. Igitur Cassandrum, annos jam quinque supra triginta natum, sedentem cœnavisse cum patre, quod nondum defungi eo certamine potuisset, quamvis et fortis esset et peritus venator.

34.

Idem X, p. 419, D : Τιμόθεος δ' ὁ Κόνωνος, ἐκ τῶν πολυτελῶν καὶ στρατηγικῶν δείπνων παραληφθεὶς ὑπὸ τοῦ Πλάτωνος εἰς τὸ ἐν Ἀκαδημείᾳ συμπόσιον, καὶ ἑστιαθεὶς ἀφελῶς καὶ μουσικῶς, ἔφη, ὡς οἱ παρὰ Πλάτωνι δειπνοῦντες καὶ τῇ ὑστεραίᾳ καλῶς γίνονται. Ὁ δ' Ἡγήσανδρος ἐν τοῖς Ὑπομνήμασιν ἔφη, ὡς καὶ τῇ ὑστεραίᾳ ὁ Τιμόθεος, ἀπαντήσας τῷ Πλάτωνι, εἶπεν· « Ὑμεῖς, ὦ Πλάτων, εὖ δειπνεῖτε μᾶλλον εἰς τὴν ὑστεραίαν ἢ εἰς τὴν παροῦσαν ἡμέραν. » Πύρρων δ' ὁ Ἠλεῖος, τῶν γνωρίμων τινὸς αὐτὸν ὑποδεξαμένου πολυτελῶς, ὡς αὐτὸς (ὁ αὐτὸς?) ἱστορεῖ, « Εἰς τὸ λοιπὸν, εἶπεν, οὐχ ἥξω πρὸς σὲ, ἂν οὕτως ὑποδέχῃ· ἵνα μήτ' ἐγὼ σὲ ἀηδῶς ὁρῶ καταδαπανώμενον οὐκ ἀναγκαίως, μήτε σὺ θλιβόμενος κακοπαθῇς. Μᾶλλον γὰρ ἡμᾶς τῇ μεθ' ἑαυτῶν συνουσίᾳ προσῆκόν ἐστιν εὐεργετεῖν, ἢ τῷ πλήθει τῶν παρατιθεμένων, ὧν οἱ διακονοῦντες τὰ πλεῖστα δαπανῶσι. » Cf. Ælian. V. H. II, 18.

35.

Id. II, p. 62, C : Ἡγήσανδρος δ' ὁ Δελφὸς ἐν Ἑλλησπόντῳ φησὶν οὔτε ὕδνον γίνεσθαι οὔτε γλαυκίσκον οὔτε θύμον· διὸ Ναυσικλείδην εἰρηκέναι μήτε ἔαρ μήτε φίλους.

36.

Idem III, p. 87, B : Ἡγήσανδρος δ' ἐν Ὑπομνήμασι τὰς τραχείας φησὶ κόγχας ὑπὸ μὲν Μακεδόνων κωρύκους καλεῖσθαι, ὑπὸ δὲ Ἀθηναίων χρείους (v. l. κριούς).

37.

Idem III, p. 108, A : Ἡγήσανδρος δ' ἐν Ὑπομνήμασιν ἐν ταῖς κεφαλαῖς φησι τὸν ἥπατον δύο λίθους ἔχειν, τῇ μὲν αὐγῇ καὶ τῷ χρώματι παραπλησίους τοῖς ὀστρείοις, τῷ δὲ σχήματι ῥομβοειδεῖς.

38.

Idem VI, p. 229, A : Ἡγήσανδρος δ' ὁ Δελφὸς Συρακοσίους φησὶ τὴν μὲν λοπάδα τήγανον καλεῖν, τὸ δὲ τήγανον ξηροτήγανον. Διὸ καὶ Θεοδωρίδαν φάναι ἔν τινι ποιηματίῳ·

Τηγάνῳ εὖ ἥψησεν ἐν ᾧ πρέπει κολύμβῳ,

τὴν λοπάδα τήγανον προσαγορεύων.

39.

Idem VII, p. 325, C : Ἡγήσανδρος δὲ ὁ Δελφὸς, τρίγλην παραφέρεσθαι ἐν τοῖς Ἀρτεμισίοις, διὰ τὸ δοκεῖν τοὺς θαλαττίους λαγὼς, θανασίμους ὄντας, θηρεύειν ἐπιμελῶς καὶ καταναλίσκειν. Διόπερ, ὡς ἐπ' ὠφελείᾳ τῶν ἀνθρώπων τοῦτο ποιοῦσα, τῇ κυνηγετικῇ θεῷ ἡ κυνηγέτις ἀνάκειται.

40.

Idem VIII, p. 334, E : Ἡγήσανδρος ἐν τοῖς Ὑπομνήμασί φησιν οὕτως· « Περὶ Ἀπολλωνίαν τὴν Χαλκιδικὴν δύο ποταμοὶ ῥέουσιν, Ἀμμίτης καὶ Ὀλυνθιακός. Ἐμβάλλουσι δὲ ἀμφότεροι εἰς τὴν Βόλβην λίμνην. Ἐπὶ δὲ τοῦ Ὀλυνθιακοῦ μνημεῖόν ἐστιν Ὀλύνθου, τοῦ Ἡρακλέους καὶ Βόλβης υἱοῦ. Κατὰ δὲ τὸν Ἀνθεστηριῶνα καὶ Ἐλαφηβολιῶνα λέγουσιν οἱ ἐπιχώριοι, διότι πέμπει ἡ Βόλβη τὴν ἀπόπυριν Ὀλύνθῳ, καὶ κατὰ τὸν καιρὸν τοῦτον ἀπέραντον πλῆθος ἰχθύων ἐκ τῆς λίμνης εἰς τὸν Ὀλυνθιακὸν ἀναβαίνειν ποταμόν. Ἔστι δὲ βραχὺς,

---

34.

Schol. Platon. Tim. ed. Bekk. p. 427 : Ἡ δὲ νῆσος] Ὅτι μὲν ἐγένετο τοιαύτη τις νῆσος καὶ τηλικαύτη, δηλοῦσί τινες τῶν ἱστορούντων τὰ περὶ τῆς ἔξω θαλάσσης· εἶναι γὰρ ἐν τοῖς αὐτῶν χρόνοις ἑπτὰ μὲν νήσους ἐν ἐκείνῳ τῷ πελάγει Περσεφόνης ἱεράς, τρεῖς μὲν ἄλλας ἀπλέτους, τὴν μὲν Πλούτωνος, τὴν δὲ Ἄμμωνος, μέσην δὲ τούτων ἄλλην Ποσειδῶνος χιλίων σταδίων τὸ μέγεθος. Καὶ τοὺς οἰκοῦντας ἐν αὐτῇ μνήμην ἀπὸ τῶν προγόνων διασώζειν περὶ τῆς Ἀτλαντίδος, ὄντως γενομένης νήσου ἐκεῖ παμμεγεθεστάτης, ἣν ἐπὶ πολλὰς περιόδους δυναστεῦσαι πασῶν τῶν ἐν τῷ Ἀτλαντικῷ πελάγει νήσων, Ποσειδῶνος καὶ αὐτὴν οὖσαν ἱεράν. Ταῦτα μὲν οὖν Μάρκελλος ἐν τοῖς Αἰθιοπικοῖς γέγραφεν, ἡμεῖς δὲ ἀπὸ τῶν Πρόκλου ἐξελόντες παρεθέμεθα.

2.

Schol. Plat. Tim. p. 426 ed. Bekk., de Atlante monte : Καὶ γὰρ τοῦ αἰθέρος αὐτοῦ λέγει Μάρκελλος τὴν τοῦδε ψαύειν κορυφήν, καὶ σκιὰν ἐκπέμπειν ἄχρι πεντακισχιλίων σταδίων· ἀπὸ γὰρ θʹ ὥρας ἡμερινῆς κρύπτεσθαι τὸν ἥλιον ὑπ' αὐτοῦ μέχρι τελέας καταδύσεως.

MEGACLES.

(MEGACLIDES.)

ΠΕΡΙ ΕΝΔΟΞΩΝ ΑΝΔΡΩΝ.

Athenæus X, p. 419, A : Μάνιος δὲ Κούριος, ὁ Ῥωμαίων στρατηγός, ἐπὶ γογγυλίσι διεβίω πάντα τὸν χρόνον· καὶ Σαβίνων αὐτῷ πολὺ χρυσίον προσπεμπόντων, οὐκ ἔφη δεῖσθαι χρυσίου, ἕως ἂν τοιαῦτα δειπνῇ. Ἱστορεῖ δὲ ταῦτα Μεγακλῆς δὲ τῷ Περὶ ἐνδόξων ἀνδρῶν.

Megaclem hunc Jonsius (Scr. Hist. ph. IV, p. 259) et Fuhrius (ad Dicæarch. p. 63 n. 35) eundem esse putant cum Megaclide peripatetico, qui Περὶ Ὁμήρου scripsit. Quod præter necessitatem fieri censet Westermannus ad Voss. H. Gr. p. 419. Laudatur ap. schol. Ven. ad Il. π, 140 : Μεγακλείδης ἐν βʹ Ὁμήρου (ἐν βʹ περὶ Ὁμήρου Schweigh. ad Athen. p. 513, B) προοικονομεῖσθαί φησιν Ὅμηρον τὴν ὁπλοποιίαν. — Eustath. in Il. α, p. 84 : Παυσανίας δὲ καὶ Αἴλιος Διονύσιος ἐν τοῖς οἰκείοις λεξικοῖς φασὶν ὅτι Μετακλείδης (Μεγακλείδης, addito : ἐν τοῖς Περὶ Ὁμήρου, Suidas v. Ἀθηναίας, ubi eadem) αἰτίαν φησὶ τοῦ μὴ λέγεσθαι Ἀθηναίας τὰς Ἀττικὰς γυναῖκας, ἵνα μὴ τὴν ἄγαμον αἱ γαμούμεναι τῇ προσηγορίᾳ καταισχύνωσιν. Ὅτε δὲ ἤρξαντο αἱ ἀσταὶ ἤτοι Ἀττικαὶ γυναῖκες, Ἀθηναῖαι λέγεσθαι, τότε δὴ ἐπενοήθη καὶ τὸ τὴν θεὸν μηκέτι Ἀθηναίην καλεῖσθαι, ἀλλὰ κατὰ συναίρεσιν Ἀθηνᾶν. Eadem etiam Hesych. v. Ἀθηνᾶ. Cf. Fuhr. ad Dic. p. 190. — Schol. ad Il. κ, 274 : Μεγακλείδης, ὅτι μαντικῶς ταῦτα ἐποίησεν. — Ad Il. χ, 37 : Μ. φησὶ ταῦτα πάντα πλάσματα εἶναι. — Ad Il. χ, 205 : Μ. πλάσμα εἶναί φησι τοῦτο τὸ μονομάχιον. — Ad. Il. εʹ, 640 : Μενεκλῆς (Μεγακλῆς?) φησὶν ἐψεῦσθαι τὴν ἐπὶ Ἴλιον στρατείαν, sc. Ἡρακλέους. Semel laudatur in schol. Odyss. ζ, 106. Athenæus II, p. 512, E : Διόπερ καὶ Μεγακλείδης ἐπιτιμᾷ τοῖς μεθ' Ὅμηρον καὶ Ἡσίοδον ποιηταῖς, ὅσοι περὶ Ἡρακλέους εἰρήκασιν, ὡς στρατοπέδων ἡγεῖτο, καὶ πόλεις ᾕρει· ὃς μεθ' ἡδονῆς πλείστης τὸν μετ' ἀνθρώπων βίον διετέλεσε, πλείστας μὲν γυναῖκας γήμας, ἐκ πλείστων δὲ λάθρᾳ παρθένων παιδοποιησάμενος. Εἴποι γὰρ ἄν τις πρὸς τοὺς οὐ ταῦτα παραδεχομένους, Πόθεν, ὦ οὗτοι, τὴν περὶ τὰς ἐδωδὰς αὐτῷ σπουδὴν ἀνατίθετε; ἢ πόθεν παρῆλθεν εἰς τοὺς ἀνθρώπους τὸ τῆς λοιβαίας κύλικος μηδὲν ὑπολείπεσθαι, εἰ μὴ τὰ περὶ τὰς ἡδονὰς ἐδοκίμαζεν; ἢ διὰ τί τὰ θερμὰ λουτρὰ τὰ φαινόμενα ἐκ τῆς γῆς πάντες Ἡρακλέους φασὶν εἶναι ἱερά; ἢ διὰ τί τὰς μαλακὰς στρωμνὰς Ἡρακλέους κοίτας εἰώθασι καλεῖν, εἰ κατεφρόνει τῶν ἡδέως ζώντων; Τοῦτον οὖν, φησίν, οἱ νέοι ποιηταὶ κατασκευάζουσιν ἐν λῃστοῦ σχήματι μόνον περιπορευόμενον, ξύλον ἔχοντα καὶ λεοντῆν καὶ τόξα· καὶ ταῦτα πλάσαι πρῶτον Στη-

ÆTHIOPICA.

Revera exstitisse ejusmodi insulam nonnulli qui de mari extero scripserunt, prodidere. Esse nempe etiam ipsorum temporibus septem insulas in eo mari Proserpinæ sacras, et alias tres ingentes, quarum una Plutonis, altera Ammonis, et tertiam, inter illas mediam, Neptuni sit, mille stadiorum circuitu. Incolas ejus acceptam a majoribus servare memoriam Atlantidis insulæ, ut quæ revera ibi fuisset insula quam maxima, et per multas annorum periodos omnibus Atlantici maris insulis imperans, et ipsa quoque Neptuno sacra. Hæc igitur Marcellus in Æthiopicis scripsit, nos vero e Procli Commentariis apponimus.

2.

Atlantis montis verticem Marcellus ait attingere ipsum ætherem, atque umbram in stadia quinquies mille projicere; ab nona diei hora solem eo abscondi usque dum prorsus occiderit.

DE VIRIS ILLUSTRIBUS.

Manius Curius, Romanorum dux, constanter nonnisi raparum esu vitam sustentavit : ad quem quum Sabini magnam auri vim misissent ; auro sibi nil esse opus, ait ille, quamdiu talia cœnaret. Narrat hoc Megacles, in libro De viris illustribus.

σίχορον τὸν Ἱμεραῖον. Καὶ Ξάνθος δ' ὁ μελοποιός, πρεσβύτερος ὢν Στησιχόρου, ὡς καὶ αὐτὸς ὁ Στησίχορος μαρτυρεῖ, ὥς φησιν ὁ Μεγακλείδης, οὐ ταύτην αὐτῷ περιτίθησι τὴν στολήν, ἀλλὰ τὴν Ὁμηρικήν. Πολλὰ δὲ τῶν Ξάνθου παραπεποίηκεν ὁ Στησίχορος, ὥσπερ καὶ τὴν Ὀρεστείαν καλουμένην. Ἀντισθένης δέ, τὴν ἡδονὴν ἀγαθὸν εἶναι φάσκων, προσέθηκε τὴν ἀμεταμέλητον. Ὁ δὲ παρὰ τῷ Ὁμήρῳ Ὀδυσσεὺς ἡγεμὼν δοκεῖ γεγενῆσθαι Ἐπικούρῳ τῆς πολυθρυλήτου ἡδονῆς.... Ὁ δὲ Μεγακλείδης φησί, τὸν Ὀδυσσέα, καθομιλοῦντα τοὺς καιροὺς ὑπὲρ τοῦ δοκεῖν ὁμοήθης τοῖς Φαίαξιν εἶναι, τὸ ἁβροδίαιτον αὐτῶν ἀσπάζεσθαι, προπυθόμενον τοῦ Ἀλκίνου·

> Αἰεὶ δ' ἡμῖν δαίς τε φίλη κίθαρίς τε χοροί τε,
> εἵματά τ' ἐξημοιβὰ λοετρά τε θερμὰ καὶ εὐναί.

Μόνως γὰρ οὕτως ᾠήθη ὧν ἤλπιζε μὴ διαμαρτεῖν.

Præterea ap. Tatianum Adv. gent. p. 166 (Euseb. P. E. p. 492) inter eos qui de Homeri genere, patria, carminibus scripserint, recensetur Μεγακλείδης τε καὶ ὁ Χαμαιλέων οἱ περιπατητικοί: quo loco Reinesius in Supplem. ad Voss. (v. Westermann. p. 465) scribi voluit Ἡρακλείδης. Idem conjecerat Welckerus in *Cycl.* p. 189 n. 280, hæsitans tamen propter reliquos locos, ubi Μεγακλείδης excitatur.

MELANTHIUS.

ΑΤΘΙΣ.

E LIBRO SECUNDO.

1.

Harpocratio v. Γρυπάνιον: Μελάνθιος ἐν β' Ἀτθίδος εἰπὼν σεισμὸν γεγονέναι φησί· « Καὶ ἔγρυπεν ἡ γῆ. »

Ex Harpocr. sua habent Suidas et auctor Etym. M. p. 242, 13.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΕΛΕΥΣΙΝΙ ΜΥΣΤΗΡΙΩΝ.

2.

Athenæus VII, p. 325, C: Ἀπολλόδωρος δὲ ἐν τοῖς Περὶ θεῶν τῇ Ἑκάτῃ φησὶ θύεσθαι τρίγλην, διὰ τὴν τοῦ ὀνόματος οἰκειότητα· τρίμορφος γὰρ ἡ θεός. Μελάνθιος δ' ἐν τῷ Περὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων, καὶ τρίγλην καὶ μαινίδα, ὅτι καὶ θαλάττιος ἡ Ἑκάτη.

3.

Schol. Aristoph. Plut. 845: Ἔθος γὰρ ἦν, ἐν οἷς τις (ἱματίοις) μυηθείη, εἰς θεοῦ τινος (ταῦτα) ἀνατιθέναι, ὥσπερ δηλοῖ καὶ Μελάνθιος ἐν τῷ Περὶ μυστηρίων· « Πάτριόν ἐστι ταῖς θεαῖς ἀνιεροῦν καὶ τὰς στολὰς τοὺς μύστας, ἐν αἷς τύχοιεν μυηθέντες. » Hinc sua habet Eudocia p. 297.

4.

Schol. Aristoph. Avv. 1073: Οὗτος (sc. Διαγόρας ὁ Μήλιος) μετὰ τὴν ἅλωσιν Μήλου ᾤκει ἐν Ἀθήναις, τὰ δὲ μυστήρια ηὐτέλιζεν, ὡς πολλοὺς ἐκτρέπειν τῆς τελετῆς. Τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, ὥς φησι Μελάνθιος ἐν τῷ Περὶ μυστηρίων.

5.

Ibid.: Μελάνθιος ἐν τῷ Περὶ μυστηρίων προφέρεται τῆς χαλκῆς στήλης καὶ ἀντίγραφον, ἐν ᾗ ἐπεκήρυξαν καὶ αὐτὸν καὶ τοὺς [μὴ?] ἐκδιδόντας Πελλανεῖς, ἐν ᾗ γέγραπται καὶ ταῦτα· ἐὰν δέ τις ἀποκτείνῃ Διαγόραν τὸν Μήλιον, λαμβάνειν ἀργυρίου τάλαντον· ἐὰν δέ τις ζῶντα ἀγάγῃ, λαμβάνειν δύο. Cf. Crateri fr. 9, tom. II, p. 621.

ATTHIS.

1.

Melanthius in secundo Atthidis de terræ motu loquens ait: « Et flexa terra est. »

DE MYSTERIIS ELEUSINIIS.

2.

Apollodorus in libro De diis, Hecatæ, ait, mullum (τρίγλην) sacrificari, ob nominis congruentiam: triformis enim hæc dea est. Melanthius vero in libro De Eleusiniis mysteriis, et mullum et mænidem Hecatæ sacros esse ait; quoniam etiam marina dea Hecate est.

3.

Mos erat vestem, qua indutus aliquis initiatus erat, in dei alicujus templum dedicari, uti declarat Melanthius in libro De mysteriis: « Mos a majoribus acceptus est vestem, in qua aliquis initiatus est, consecrari deabus. »

4.

Diagoras Melius post Melum captam Athenis habitans mysteria vilipendebat, adeo ut multos ab initiatione averteret. Quare edictum illud in eum præconis voce Athenienses promulgarunt, atque stelæ æneæ inscripserunt, ut Melanthius ait in libro De mysteriis.

5.

Melanthius in libro De mysteriis decreti, quod contra Diagoram columnæ æreæ inscriptum erat, apographum affert. In eo proscripserunt tum Diagoram tum Pellanenses (non) dedentes eum. Inter alia etiam dictum ibi hoc erat: Si quis occidisset Diagoram Melium, argenti talentum; si quis vero vivum adduxisset, duo talenta accepturum esse.

MELANTHIUS PICTOR.

ΠΕΡΙ ΖΩΓΡΑΦΙΚΗΣ.

Diog. L. IV, 18 : Καὶ ὅλως ἦν τοιοῦτος (Polemo philosophus), οἷόν φησι Μελάνθιος ὁ ζωγράφος ἐν τοῖς Περὶ ζωγραφικῆς· φησὶ γὰρ δεῖν αὐθάδειάν τινα καὶ σκληρότητα τοῖς ἔργοις ἐπιτρέχειν, ὁμοίως δὲ κἀν τοῖς ἤθεσιν.

Melanthium pictorem Plinius quoque memorat inter auctores ex quibus lib. XXXV corraserit. Floruit hic Pamphili discipulus post Apellem celeberrimus Ol. 104–112. V. Plinius XXXV, 10, 36, 7, 32; Quintilian. XII, 10; Plutarch. Arat. c. 12 et 13. Müller. *Handb. d. Archæol.* 139, 2; cf. 140, 4. — De Melanthio poeta, Philoclis filio, Cimonis amico, v. Bode *Gesch. d. ion. Lyr.* p. 263 et Meinek. Histor. crit. Com. p. 205. 59. Alios hujus nominis vide ap. Fabric. in. B. Gr. et in Steph. Thes. s. h. v.

MELISSEUS.

ΔΕΛΦΙΚΑ.

Schol. Hesiod. Opp. p. 32 ed. Gaisd. : Ἡ μὲν Πιερία (urbs Bœotiæ) πρότερον ὑπὸ Πιέρου κτισθεῖσα τοῦ Μεθώνης ἀδελφοῦ, πατρὸς δὲ Λίνου, Πιερία ἐκέκλητο· ὕστερον δὲ Λύγκος ἐκλήθη, ἧς καὶ τὴν ἀρχὴν ἔσχεν Ἀέροπος, ὁ πρεσβύτατος τῶν Ἠμαθίωνος παίδων, καθὰ Μελισσεύς φησιν ὁ τὰ Δελφικὰ συνταξάμενος.

Eadem in Histor. Tzetz. VI, 631. Μελισσεὺς, rex Chersonesi Cariæ, memoratur ap. Diodor. V, 61, rex Cretæ mythicus ap. Apollodor. I, 2, 6; Hygin. Poet. astr. II, 13; Lactant. Inst. I, 22. *Melissus Euboicus, qui omnium physiologorum sententias disputavit*, laudatur ap. Fulgentium Myth. II, 16, ubi de Jove in cygnum converso. Eundem citat Palæphatus Incred. init. p. 268 West. : Ἀεὶ δ' ἔγωγε ἐπαινῶ τοὺς συγγραφέας Μέλισσον καὶ Λαμίσκον τὸν Σάμιον (Lamiscum Pythagoreum in Archytæ epist. ad Dionysium tyrannum habes ap. Diogen. L. III, 22), ἐν ἀρχῇ λέγοντας, « Ἔστιν ἃ ἐγένετο καὶ νῦν ἔσται (ἔστι νῦν ἃ ἐγ. κ. ἔσται scrib. vult Voss.). De Melisso Samio philosopho, Parmenidis discipulo, satis constat. De Melissis grammaticis, qui latine scripserunt, v. Sueton. De clar. gr. c. 3. 21; Plinius H. N. VII. IX. X. XI. XXXV; Ovid. Ex Pont. IV, 16, 20 ibiq. Heins.; Lindemann. ad Pomp. Comm. p. 426; Osann ad Apulej. De orthogr. p. 70; Servius ad Virg. IV, 146 etc., Donat. Vit. Virg.; A. Gellius XVIII, 4

MELITO.

ΠΕΡΙ ΤΩΝ ΑΘΗΝΗΣΙ ΓΕΝΩΝ.

E LIBRO PRIMO.

Harpocrat. : Κάθετος, ὁ καθιέμενος εἰς τὸ πέλαγος ἀμνός. Λυσίας ἐν τῷ Κατὰ Τελάμωνος. Διείλεκται περὶ τοῦ καθέτου Μελίτων ἐν α' Περὶ τῶν Ἀθήνησι γενῶν. Cf. Suidas, et Photius qui addit : Σημαίνει δὲ καὶ βοῦν τινα καθιέμενον εἰς τὴν θάλασσαν ἐπὶ θυσίᾳ τῷ Ποσειδῶνι. Cf. Diodor. IV, 23, 4, 2, ibique Wesseling.

MENANDER EPHESIUS.

ΦΟΙΝΙΚΙΚΑ.

Josephus C. Apion. I, 18 : Ἀλλὰ πρὸς τούτοις παραθήσομαι Μένανδρον τὸν Ἐφέσιον. Γέγραφε δὲ οὗτος τὰς ἐφ' ἑκάστου τῶν βασιλέων πράξεις παρὰ τοῖς Ἕλλησι καὶ βαρβάροις γενομένας, ἐκ τῶν παρ' ἐκείνοις ἐπιχωρίων γραμμάτων σπουδάσας τὴν ἱστορίαν μαθεῖν. Γράφων δὴ περὶ τῶν βεβασιλευκότων ἐν Τύρῳ, ἔπειτα γε-

---

DE PICTURA.

Omnino Polemo ejusmodi fuit qualem describit Melanthius pictor in libris De pictura. Ait enim oportere contumaciam quandam atque duritiem operibus impressam esse, itemque moribus.

DELPHICA.

Pieria olim a Piere Methones fratre, Lini patre, condita Pieria vocabatur; postea vero Lyncus appellata est. Ejus imperium tenuit Aeropus, ex filiis Emathionis natu maximus, sicuti Melisseus ait qui Delphica composuit.

DE ATHENIENSIUM GENTIBUS (SACERDOTALIBUS).

Κάθετος, agnus qui in mare dimittitur. Lysias in oratione Contra Telamonem. Disseruit de hoc agno Melito in primo libro De gentibus Atheniensium.

DE REBUS PHŒNICUM.

Sed huic Menandrum Ephesium adjungam. Is autem res singulorum regum tempore apud Græcos Barbarosque gestas memoriæ mandabat, ex vernaculis cujusque provinciæ vel gentis actis studens historiæ veritatem cognoscere. De iis itaque qui in Tyro regnarunt scribens, quo loco deve-

νόμενος κατὰ τὸν Εἴρωμον, ταῦτα φησί· « Τελευτήσαντος δὲ Ἀβιβάλου, διεδέξατο τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Εἴρωμος, ὃς βιώσας ἔτη πεντήκοντα τρία ἐβασίλευσεν ἔτη τριάκοντα τέσσαρα. Οὗτος ἔχωσε τὸν εὐρύχωρον τόν τε χρυσοῦν κίονα τὸν ἐν τοῖς τοῦ Διὸς ἀνέθηκεν, ἔτι τε ὕλην ξύλων ἀπελθὼν ἔκοψεν ἀπὸ τοῦ λεγομένου ὄρους Λιβάνου, κέδρινα ξύλα εἰς τὰς τῶν ἱερῶν στέγας, καθελών τε τὰ ἀρχαῖα ἱερὰ καινοὺς ᾠκοδόμησε, τό τε τοῦ Ἡρακλέους καὶ τῆς Ἀστάρτης τέμενος ἀνιέρευσεν, καὶ τὸ μὲν τοῦ Ἡρακλέους πρῶτον ἐποιήσατο ἐν τῷ Περιτίῳ μηνὶ, εἶτα τὸ τῆς Ἀστάρτης, ὁπότε Τιτυοῖς ἐπεστράτευσε μὴ ἀποδιδοῦσι τοὺς φόρους, οὓς καὶ ὑποτάξας ἑαυτῷ πάλιν ἀνέστρεψεν. Ἐπὶ τούτου δέ τις ἦν Ἀβδήμονος παῖς νεώτερος, ὃς ἐνίκα τὰ προβλήματα, ἃ ἐπέτασσε Σολομὼν ὁ Ἱεροσολύμων βασιλεύς. » Ψηφίζεται δὲ ὁ χρόνος ἀπὸ τούτου τοῦ βασιλέως ἄχρι τῆς Καρχηδόνος κτίσεως οὕτως· « Τελευτήσαντος Εἰρώμου διεδέξατο τὴν βασιλείαν Βαλεάζαρος ὁ υἱὸς, ὃς βιώσας ἔτη τεσσαράκοντα τρία ἐβασίλευσεν ἔτη ἑπτά. Μετὰ τοῦτον Ἀβδάστρατος ὁ αὐτοῦ υἱὸς βιώσας ἔτη εἴκοσι ἐννέα ἐβασίλευσεν ἔτη ἐννέα. Τοῦτον οἱ τῆς τροφοῦ αὐτοῦ υἱοὶ τέσσαρες ἐπιβουλεύσαντες ἀπώλεσαν, ὧν ὁ πρεσβύτερος ἐβασίλευσεν ἔτη δώδεκα. Μεθ' οὓς Ἄσταρτος ὁ Δελαιαστάρτου, ὃς βιώσας ἔτη πεντήκοντα τέσσαρα ἐβασίλευσεν ἔτη δώδεκα. Μετὰ τοῦτον ὁ ἀδελφὸς αὐτοῦ Ἀσέρυμος βιώσας ἔτη τέσσαρα καὶ πεντήκοντα ἐβασίλευσεν ἔτη ἐννέα. Οὗτος ἀπώλετο ὑπὸ τοῦ ἀδελφοῦ Φέλητος, ὃς λαβὼν τὴν βασιλείαν ἦρξε μῆνας ὀκτὼ, βιώσας ἔτη πεντήκοντα. Τοῦτον ἀνεῖλεν Εἰθώβαλος ὁ τῆς Ἀστάρτης ἱερεὺς, ὃς βασιλεύσας ἔτη τριάκοντα δύο ἐβίωσεν ἔτη ἑξήκοντα ὀκτώ. Τοῦτον διεδέξατο Βαλέζωρος υἱὸς, ὃς βιώσας ἔτη τεσσαράκοντα πέντε ἐβασίλευσεν ἔτη ἕξ. Τούτου διάδοχος γέγονε Μάττηνος ὁ υἱὸς, ὃς βιώσας ἔτη τριάκοντα δύο ἐβασίλευσεν ἔτη ἐννέα. Τούτου διάδοχος γέγονε Φυγμαλίων, βιώσας δ' ἔτη πεντήκοντα ἓξ ἐβασίλευσεν ἔτη τεσσαράκοντα ἑπτά. Ἐν δὲ τῷ ἐπ' αὐτοῦ ἑβδόμῳ ἔτει ἡ ἀδελφὴ αὐτοῦ φυγοῦσα ἐν τῇ Λιβύῃ πόλιν ᾠκοδόμησε Καρχηδόνα. » Συνάγεται δὴ πᾶς ὁ χρόνος ἀπὸ τῆς Εἰρώμου βασιλείας ἄχρι Καρχηδόνος κτίσεως ἔτη ρνε' μῆνες η'. Ἐπεὶ δὲ δωδεκάτῳ ἔτει τῆς Εἰρώμου βασιλείας ἐν Ἱεροσολύμοις ᾠκοδομήθη ὁ ναὸς, γέγονεν οὖν ἀπὸ τῆς οἰκοδομήσεως τοῦ ναοῦ ἄχρι Καρχηδόνος κτίσεως ἔτη ἑκατὸν τεσσαράκοντα τρία, μῆνες ὀκτώ. Τῆς μὲν οὖν παρὰ Φοινίκων μαρτυρίας τί δεῖ προσθεῖναι πλείω; βλέπεται γὰρ τἀληθὲς ἰσχυρῶς ὡμολογημένον. Καὶ πολὺ δήπου προάγει τῆς τοῦ νεὼ κατασκευῆς ἡ τῶν προγόνων ἡμῶν εἰς τὴν χώραν ἄφιξις· ὅτε γὰρ αὐτὴν πᾶσαν πολέμῳ παρέλαβον, τότε τὸν νεὼν κατεσκεύασαν. Καὶ ταῦτα σαφῶς ἐκ τῶν ἱερῶν γραμμάτων ὑπ' ἐμοῦ δεδήλωται διὰ τῆς Ἀρχαιολογίας. V. Scaliger. De em. tempp. App. p. 5.

Josephum negligenter exscripsit Theophilus Ad Autolyc. III, 31. Post Berosum, Manethonem, Apollonium Ægyptium et Josephum, etiam *Menandrum Ephesium* inter fontes suos recitat Junior Philosophus in Descriptione totius orbis, cap. 2. Ex eodem Menandro fluxerint sequentia :

(2.)

Idem ib. I, 21 : Ταῦτα σύμφωνον ἔχει ταῖς ἡμετέραις βίβλοις τὴν ἀλήθειαν. Γέγραπται γὰρ ἐν αὐταῖς ὅτι Ναβουχοδονόσορος ὀκτωκαιδεκάτῳ τῆς αὐτοῦ βασι-

---

nit ad Hiromum regem, ista dicit : « Abibalo vita functo, Hiromus filius ejus regnum accepit, qui regnavit annos XXXIV, vita ad annum LIII producta. Hic aggere Vastum qui dicitur locum exæquavit, prætereaque auream columnam in Jovis templo collocavit; et ad lignorum silvam profectus, e monte Libano appellato construendis templorum tectis cedros excidit; demolitusque antiqua delubra, nova templa ædificavit, Herculisque et Astartæ fana consecravit, primumque Herculis templum fecit in mense Peritio, deinde Astartæ, quando bellum movit adversus Tityos, quod tributa non solverent : quos quum sibi etiam iterum subjecisset, reversus est. Hujus ætate quidam Abdemonis filius junior clarebat, qui problemata, quæ Solomon rex Hierosolymorum explicari jussit, ingenio semper superabat. » Supputatur vero tempus ab hoc rege usque ad constructionem Carthaginis, hoc modo : « Hiromo defuncto, in ejus regnum successit Baleazarus filius, qui, quum vixisset annis XLIII, septem regnavit annis. Post hunc Abdastratus illius filius vita exacta annorum XXIX regnavit novem. Hunc nutricis suæ filii quattuor insidiis peremerunt, quorum senior regnavit annis XII. Post quos Astartus filius Delæastarti regnavit, qui vixit annis LIV, regnavit annis XII. Post hunc frater ejus Aserymus, qui vixit annis LIV, regnavit annis novem. Hic a fratre Phelete interfectus est, et regno suscepto mensibus imperavit octo, quum vixisset annis L. Hunc interfecit Ithobalus Astartæ sacerdos, qui, quum vixisset annis LXVIII, regnavit annis XXXII. Huic successit Badezorus filius, qui, quum vixisset annis quadraginta quinque, regnavit annis sex. Huic successor factus est Matgenus ejus filius, qui quum vixisset annis XXXII, novem regnavit annis. Huic successit Pygmalion, qui vixit annis LVI, et regnum tenuit XLVII. Hujus regni anno septimo soror ejus *Dido*, fuga elapsa, in Libya civitatem condidit Carthaginem ». Itaque colligitur omne tempus a regno Hiromi usque ad conditam Carthaginem, ad annos CLV et menses VIII. Quum vero anno XII Hiromi regis in Hierosolymis ædificatum sit templum, fluxit igitur a templi conditu usque ad constructionem Carthaginis tempus annorum CXLIII, mensium VIII. Et Phœnicum quidem testimoniis quid opus est plura adscribere? cernitur enim veritas valde comprobata. Et multum videlicet constructionem templi præcedit progenitorum nostrorum in hanc regionem adventus : quum enim eam universam debellassent, tum demum templum ædificare cœperunt. Et hæc aperte ex sacris literis a me declarata sunt in Antiquitatum libris.

2.

Atque hæc narratio consentientem habet cum nostris scripturis veritatem. Proditum enim in illis est, Nabuchodonosorum anno regni sui decimo octavo templum nostrum diruisse, ejusque excidium totos quinquaginta annos du-

λείας ἔτει τὸν παρ' ἡμῖν ναὸν ἠρήμωσε, καὶ ἦν ἀφανὴς ἐπὶ ἔτη πεντήκοντα· δευτέρῳ δὲ τῆς Κύρου βασιλείας ἔτει τῶν θεμελίων ὑποβληθέντων, δευτέρῳ πάλιν τῆς Δαρείου βασιλείας ἀπετελέσθη. Προσθήσω δὲ καὶ τὰς τῶν Φοινίκων ἀναγραφάς· οὐ γὰρ παραλειπτέον τῶν ἀποδείξεων τὴν περιουσίαν. Ἔστι δὲ τοιαύτη τῶν χρόνων ἡ καταρίθμησις. « Ἐπὶ Εἰθωβάλου τοῦ βασιλέως ἐπολιόρκησε Ναβουχοδονόσορος τὴν Τύρον ἐπ' ἔτη τρισκαίδεκα. Μετὰ τοῦτον ἐβασίλευσε Βαὰλ ἔτη δέκα. Μετὰ τοῦτον δικασταὶ κατεστάθησαν καὶ ἐδίκασαν, Ἐκνίβαλος Βασλάχου μῆνας δύο, Χέλβης Ἀβδαίου μῆνας δέκα, Ἄββαρος ἀρχιερεὺς μῆνας τρεῖς, Μύτγονος καὶ Γεράστρατος τοῦ Ἀβδηλέμου δικασταὶ ἔτη ἕξ, ὧν μεταξὺ ἐβασίλευσε Βαλάτορος ἐνιαυτὸν ἕνα. Τούτου τελευτήσαντος ἀποστείλαντες μετεπέμψαντο Μέρβαλον ἐκ τῆς Βαβυλῶνος, καὶ ἐβασίλευσεν ἔτη τέσσαρα. Τούτου τελευτήσαντος μετεπέμψαντο τὸν ἀδελφὸν αὐτοῦ Εἴρωμον, ὃς ἐβασίλευσεν ἔτη εἴκοσιν. Ἐπὶ τούτου Κῦρος Περσῶν ἐδυνάστευσεν. » Οὐκοῦν ὁ σύμπας χρόνος ἔτη πεντήκοντα τέσσαρα καὶ τρεῖς μῆνες πρὸς αὐτοῖς. Ἑβδόμῳ μὲν γὰρ περὶ τῆς Ναβουχοδονοσόρου βασιλείας ἤρξατο πολιορκεῖν Τύρον, τεσσαρεσκαιδεκάτῳ δ' ἔτει τῆς Εἰρώμου Κῦρος ὁ Πέρσης τὸ κράτος παρέλαβεν.

3.

Clemens Alex. Strom. I, p. 140, 8. : Εἴραμος τὴν ἑαυτοῦ θυγατέρα Σαλομῶνι δίδωσι, καθ' οὓς χρόνους μετὰ τὴν Τροίας ἅλωσιν Μενελάου εἰς Φοινίκην ἄφιξις, ὥς φησι Μένανδρος ὁ Περγαμηνὸς καὶ Λαῖτος ἐν τοῖς Φοινικικοῖς. Eadem Tatianus Or. adv. Gr. c. 37 et exc. Euseb. P. E. p. 493, B. Cf. Læti fragmenta. Ceterum *Pergamenum* Menandrum ab Ephesio non esse distinguendum facile concedes. Ephesi natus Pergami docuit.

4.

Josephus Ant. Jud. VIII, 13 : Μέμνηται δὲ τῆς ἀνομβρίας ταύτης καὶ Μένανδρος ἐν ταῖς Ἰθωβάλου τοῦ Τυρίων βασιλέως πράξεσι λέγων οὕτως· « Ἀβροχία τε ἐπ' αὐτοῦ ἐγένετο, ἀπὸ τοῦ Ὑπερβερεταίου μηνὸς ἕως τοῦ ἐχομένου ἔτους τοῦ Ὑπερβερεταίου. Ἱκετείαν δ' αὐτοῦ ποιησαμένου, κεραυνοὺς ἱκανοὺς βεβληκέναι. Οὗτος πόλιν Βότρυν ἔκτισε τὴν ἐπὶ Φοινίκῃ, καὶ Αὔζαν τὴν ἐν Λιβύῃ. » Καὶ ταῦτα μὲν, δηλῶν τὴν ἐπ' Ἀχάβου γενομένην ἀνομβρίαν (κατὰ γὰρ καὶ τοῦτον καὶ Ἰθώβαλος ἐβασίλευσε Τυρίων) ὁ Μένανδρος ἀναγέγραφεν. Eadem e Josepho Freculph. III, c. 7. Ceterum Menandrum tamquam Φοινικικῶν scriptorem commemorat etiam Cosmas in Topogr. christ. XII p. 342 et Tertullian. Apolog. c. 19.

5.

Bekker Anecd. p. 782, 17 : Φοινίκεια τὰ γράμματα ἐλέγοντο, ὥς φησιν... Ἐτεωνεὺς καὶ Μένανδρος, ἐπειδὴ ἐν πετάλοις φοινικικοῖς ἐγράφοντο, ἤ, ὅπερ κρεῖττόν ἐστιν εἰπεῖν, ὅτι φοινίσσεται ὑπ' αὐτῶν ὁ νοῦς ἤτοι λαμπρύνεται.

6.

Jo. Laurent. Lyd. De mens. p. 276 ed. Hase : Εἰσὶ δὲ οἵ φασι, τὸν Κρό[νον ἢ κα]τὰ ἀ[ντιστοιχείαν τὸν Χ]ρόνον [Οὐρ]ανοῦ εἶναι παῖδα· καὶ γὰρ ἐκ τῆς οὐρανοῦ [κινήσε]ως ὁ χρόνος· ἐν δὲ τῷ κατ' αὐτὸν ἱερῷ, ὥς φησὶ Φύλαρ[χος ἐν τῇ] ἑπτακαιδεκάτῃ καὶ Μένανδρός γε[τῇ] πρώτῃ, οὔτε γυνὴ ο[ὔτε κύων οὔ]τε μυῖ[α] εἰσῄει. Cf. Movers. *Relig. d. Phœniz.* p. 306; Lobeck. Aglaoph. p. 1095 sq. Menandro Melanthium (περὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων) substituere volebat Meinekius (De Menandro et Philem. p. XXXIX).

---

rasse; anno autem Cyri regni secundo jactis fundamentis restitui cœptum, denuo vero Darii regni secundo partibus omnibus absolutum esse. Quin et adjiciam Phœnicum historias : haud enim omittendum est probationum sat superque afferre. Est autem in illis temporum dinumeratio hujusmodi. « Ithobalo apud Tyrios regnante Nabuchodonosorus Tyrum obsedit per annos XIII. Post hunc regnavit Baal annos decem. Post hunc Judices constituti sunt et ipsi rexere : Ecnibalus Baslachi menses duos, Chelbes Abdæi menses decem, Abbarus summus pontifex menses tres, Mytgonus et Gerastratus Abdelemi judices per annos sex; inter quos annum unum cum potestate regia Tyro præfuit Balatorus. Quo mortuo misere Tyrii qui ex Babylone Merbalum advocarent, regnavitque hic annos quattuor. Eo mortuo advocarunt fratrem ejus Hiromum, qui regnavit annos XX. Hujus tempore Cyrus apud Persas potens erat. » Quapropter omne tempus est annorum LIV, triumque insuper mensium. Septimo siquidem anno regni sui Nabuchodonosorus cœpit obsidere Tyrum; quarto decimo autem anno regis Hiromi Cyrus Persa imperium accepit.

3.

Iramus filiam suam Salomoni in matrimonium dedit, quo tempore post Trojæ excidium Menelaus in Phœnicen venit, ut Menander Pergamenus et Lætus in Phœnicicis tradunt.

4.

Meminit hujus inopiæ pluviarum etiam Menander, qui dum res gestas Ithobali Tyriorum regis narrat, sic loquitur : « Pluviarum sub eo defectus erat a mense Hyperberetæo ad Hyperberetæum sequentis anni. Illo vero suppliciter Deum precato, magna vis tonitruum insequuta est. Hic urbem Botryn in Phœnice condidit et Auzam in Libya. » Et hæc quidem Menander, siccitatem indicans quæ sub Achabo acciderat (nam illius tempore Tyrios rexit Ithobalus), in Commentarios suos retulit.

5.

Phœniciæ literæ inde vocabantur, quod secundum Menandrum, in φοινίκων, *palmarum*, foliis scribebantur, vel, quod dicere præstat, quod mens iis φοινίσσεται, illustratur.

6.

Sunt qui dicant τὸν Κρόνον, sive permutata litera τὸν Χρόνον, hoc est Tempus, Cœli esse filium : etenim e cœli motu tempus fit : in Croni autem templum, ut ait Phylarchus decimo septimo, et Menander primo libro, neque femina neque canis neque musca introibat.

Subjicio quæ cujusnam Menandri sint, nescio.

7.

ΠΕΡΙ ΚΥΠΡΟΥ.

Etym. M. p. 738, 51: Σφήκεια, ἡ Κύπρος (v. Philosthephani fr. 10, t. III, p. 30). Ἐκαλεῖτο δὲ καὶ Κεραστία, ὡς Μένανδρος ἐν τῷ Περὶ Κύπρου λέγει, διὰ τὸ ἐνοικῆσαι αὐτῇ ἄνδρας, οἳ εἶχον κέρατα· ὡς δὲ Ξεναγόρας ἐν τῷ Περὶ νήσων, διὰ τὸ ἔχειν πολλὰς ἐνοχὰς, ἃς κέρατα καλοῦσι, Κεραστία ὠνομάσθη. Eadem Tzetzes ad Lyc. 447, ubi ὡς Μένανδρος e duobus codd. reposuit Müller. pro vg. ὡς μὲν Ἀνδροκλῆς. Ap. Steph. B. v. Χυτροί de eadem re laudatur Ἀλέξανδρος Περὶ Κ., quod item in Μένανδρος corrigendum est monente Meinekio De Men. p. XXXIX.

[8.]

Zenob. IV, 32: Θρᾷκες ὅρκια οὐκ ἐπίστανται] Ταύτης μέμνηται Μένανδρος ἐν τῇ πρώτῃ. Λέγει γὰρ, ὅτι ἐν ταύτῃ τῇ γῇ ὁ πρεσβύτατος (πρεσβεύς τις corr. v. d.) ἀκοντισθεὶς διὰ τοῦ στήθους ἀπώλετο. Καὶ ἐντεῦθεν Ἴωσι καὶ Αἰωλεῦσιν αἴνιγμα γέγονε, Θρᾷκες ὅρκια οὐκ ἐπίστανται. V. Menandri Prot. fr.

9.

Schol. Apoll. Rhod. I, 1126 ad verba: Μητέρα Δινδυμίην πολυπότνιαν ἀγκαλέοντες, Ἐνναέτιν Φρυγίης, Τιτίην θ' ἅμα Κύλληνόν τε, Οἳ μοῦνοι πολέων μοιρηγέται ἠδὲ πάρεδροι Μητέρος Ἰδαίης κεκλήαται, ὅσσοι ἔασιν Δάκτυλοι Ἰδαῖοι Κρηταιέες] Τῶν Ἰδαίων δακτύλων καλουμένων πρώτους φησὶν (sc. Τιτίαν καὶ Κύλληνον) εἶναι καὶ παρέδρους τῇ μητρὶ τῶν θεῶν, ἀκολουθῶν Μενάνδρῳ λέγοντι Μιλησίους, ὅταν θύωσι τῇ Ῥέᾳ, προθύειν Τιτίᾳ καὶ Κυλλήνῳ. Sequuntur testimonia Callistrati et Promathidæ, qui de Heraclea scripserunt. Quare Menander hujus loci videatur esse *Heracleota*, cujus mentio fit ap. Plin. ind. auct. lib. VIII, XI, et ap. Auct. lat. Rei R. p. 54. Meinekius hic quoque Μελανθίῳ conjecit, fragm. Men. inc. 441, p. 319. — Equidem reputans sermonem esse h. l. de Milesiorum instituto, suspicor pro Μένανδρον reponendum esse Μαιάνδριον, quem De Mileto scripsisse et Apollonio antiquiorem esse constat. — Menander tanquam Eratosthenis discipulus una cum Mnasea, ap. Suid. v. Ἐρατοσθένης. Men. Istri pater, Suid. v. Ἴστρος (V. tom. I, p. LXXXV). Menandrum *Prienensem* memorat Plin. ind. auct. lib. VII, IX, auct. lat. De R. R. p. 54, 164. Menandrum qui scripsit Βιόχρηστα idem habet Plin. ind. lib. XIX, XX, XXI, XXVII (f. medicus, de quo Suidas v. Λέσχης); et Menandrum qui *De toreutis*, idem ind. lib. XXIII.

MENECLES BARCÆUS.

Menecles Βαρκαῖος συγγραφεὺς appellatur apud Athenæum p. 184, B (fr. 9), ex quo loco simul conjeceris auctorem vixisse sub Ptolemæo Physcone (146-118) vel etiam postea. Scripsit Libyca (fr. 1. 2). Ad eundem vel ad alium Meneclem pertinent opera Συναγωγή et Γλωσσόκομον inscripta (fr. 7) et fortasse alia, quorum titulos ignoramus. Præterea Athenarum urbis periegesis antiquaria laudatur, ita tamen, ut qui auctor ejus fuerit haud liqueat. Citatur enim Μενεκλῆς ἢ Καλλικράτης (fr. 5. 6) vel Καλλικράτης (*) ἢ Μενεκλῆς (fr. 4), vel Μενεκλῆς καὶ Καλλικράτης (schol. Aristoph. fr. 3), ubi pro particula καὶ recte reposueris ἢ, uti est apud Harpocrationem (fr. 3). Causæ cur hoc modo citaverint, excogitari possint variæ. Denique num *Barcæus* Menecles De Athenis scripserit an alius, nescio (**). Apud ipsos enim Athenienses Meneclis nomen haud infrequens.

(*) Pro Καλλικράτης libri sæpe Καλλιστράτης et Καλλίστρατος. Quare nonnulli Callistratum, notissimum lexicographis grammaticum, intelligendum putarunt. Critices leges ne tale quid statuamus vetant. Cf. Preller. ad Polem. p. 174.

(**) De Menecle Alabandensi oratore v. Cicero Or. 69; De orat. II, 23; Brut. 95; Strabo XIV, p. 661, 655. Menecles, pater Dionysii (Dionysii Chlori, Nicandri interpretis, ut probabiliter statuit Schneider.) ap. schol. Nicandr. Ther. 869. Fortasse idem est M. medicus ap. Aetium p. 332. Alios Menecles v. ap. Xenoph. Hell. I, 7, 34; Demosth. p. 995, 10 etc. et ap. Bœckh. in Inscr. Atticis N° 165 etc. — *Menetor* quidam Περὶ ἀναθημάτων laudatur ab Athenæo p. 594, B. Fortasse nomen esse debet *Menecles*.

7.

DE CYPRO.

Sphecia; sic olim Cyprus vocabatur. Dicebatur etiam Cerastia, ut Menander in libro De Cypro ait, quod in ea habitarent viri κέρασι, cornibus instructi.

8.

Thraces jurata fœdera nesciunt. Hujus proverbii meminit Menander. Ait enim in Thracia ** jaculo per pectus transfixum obiisse. Inde apud Iones et Æoles proverbio jactari cœpisse: *Thraces fœdera nesciunt.*

(9.)

Matrem Dindymiam valde venerabilem invocantes, indigetem Phrygiæ, Titiamque simul Cyllenumque, qui soli ex multis duces atque assessores Matris Idææ vocantur, quotquot sunt Dactyli Idæi Cretenses.] Inter Dactylos Idæos, quos vocant, primos esse atque assessores Matris deorum Apollonius dicit Menandrum (*Mæandrium*) secutus, qui Milesios Rheæ sacra facturos antea sacrificare ait Titiæ et Cylleno.

ΛΙΒΥΚΑ.

1.

Schol. Pindari Pyth. IV, 10 : Περὶ τῆς τοῦ Βάττου εἰς τὸ μαντεῖον ἀφίξεως οὐχ ὁμολογοῦσιν ἀλλήλοις οἱ συγγραφεῖς. Οἱ μὲν γὰρ ἕνεκεν τῆς φωνῆς φασιν αὐτὸν ἐλθεῖν, καὶ τὸν χρησμὸν ἄνω καὶ κάτω θρυλλοῦσι τὸν (Herodot. IV, 155),

Βάττ' ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.

Οἱ δὲ στάσεως περιπεσούσης πολιτικῆς. Ὁ Μενεκλῆς γοῦν πιθανωτέραν δοκεῖν φησι τὴν στάσεως αἰτίαν, μυθικωτέραν δὲ τὴν ἐπὶ τῆς φωνῆς. Φησὶ δέ, ὅτι οἱ πολῖται ἐν τῇ Θήρᾳ ἐστασίασαν καὶ διέστησαν ἀλλήλων, ἡγεῖτο δὲ τῆς ἑτέρας τῶν στάσεων ὁ Βάττος· διαγωνισαμένων δὲ τῶν στάσεων τοὺς τοῦ Βάττου συνέβη σχοντας δὲ τὴν εἰς πατρίδα κάθοδον περὶ ἀποικίας βουλεύεσθαι. Ἀποδημήσας δὲ εἰς Δελφοὺς Βάττος ἠρώτα περὶ τῆς στάσεως, πότερον διαγωνίσονται περὶ τῆς εἰς τὴν πάτριδα ἐπαναστροφῆς ἢ ἑτέρωσέ ποι ἀποικίαν ἴωνται· τὸν δὲ θεὸν χρῆσαι·

Βάττε, τὸ πρόσθε κακόν, τὸ δὲ δεύτερον ἐσθλὸν ἐρευνᾷς.
Ἔρχεο, λεῖψ' ἁλίαν χώραν· ἤπειρος ἀμείνων·
Ἠῶος πρότερον δόλον ἔκβαλε, πειθεῖ πείθων.
Στερρὴν γῆν ὁσίως, ἣν μίσει πολλὴν ἀθεμίστως.
Οἷά τ' ἀνὴρ ἔρξει, τοῖον τέλος αὐτὸν ἱκάνει.

Priorem scholii partem excerpsit Tzetzes ad Lyc. 886, reliqua simul narrans quæ apud Pindarum et schol. leguntur de Argonautis ad Tritonem appellentibus, de gleba ibi ab Eurypylo accepta, deque Medeæ vaticinio. Narrationis hujus auctores laudat Pindarum et Meneclem, quum apertum sit eum nihil nisi scholiastam Pindari ante oculos habuisse. Quare locum Tzetzæ adscribere nefas duxi.

« Versu 1 addidi τὸ cum Heynio, et dedi cum eodem ἐρευνᾷς pro ἐρεύνα. Versu 3 idem Heynius conjecit πρότερον δόμον et πείθεο μυθῷ. Versu 4 libri στερρόν. Deinde ἣν μίσει corruptum est. Vs. 5 cod. Gott. ἔρξεις. Pleraque, ut solet in oraculis, obscurissima sunt. » Boeckh. Ego verti quasi scriptum esset : Στέρξον γῆν ὁσίως στερρήν· μισεῖς ἀθεμίστως. — De re v. Müller. *Min.* p. 343 sqq.

Anonym. De mulier. bello claris c. 10 (p. 216 in Paradoxogr. ed. Westerm.) : Φερετίμη, γυνὴ Βάττου. Αὕτη τελευτήσαντος αὐτῆς τοῦ παιδὸς δόλῳ αὐτὴ τὴν ἀρχὴν τῆς Κυρήνης κατέσχε, καὶ τὸν υἱδοῦν βασιλέα καταστήσασα τοὺς ἀντιταξαμένους τῷ υἱῷ αὐτῆς Ἀρκεσίλᾳ κατὰ θάλατταν εἰς Αἴγυπτον ἀπέστειλεν. Ἐπιπαραγενομένη δὲ αὐτὴ πάντας ἀνεῖλε, συμπείσασα τὸν ἔχοντα τὴν Αἰγύπτου ἀρχὴν τότε Ἀρυάνδην. Λαβοῦσα δὲ δύναμιν παρὰ τοῦ βασιλέως τοὺς Κυρηναίους πικρῶς ἐχειρώσατο, καὶ ἀναχωρήσασα εἰς Αἴγυπτον ἐτελεύτησε, καθὼς ἱστορεῖ Μενεκλῆς ὁ τὰς Λιβυκὰς ἱστορίας γράψας. Vide Herodot. IV, 175 sqq.

ΠΕΡΙ ΑΘΗΝΩΝ.

3.

Schol. Arist. Avv. 395 : Οἱ ἐν πολέμῳ ἀναιρούμενοι ἐν τῷ Κεραμεικῷ ἐθάπτοντο, ὡς Μενεκλῆς καὶ Καλλικράτης ἐν τοῖς Περὶ Ἀθηνῶν συγγράμμασί φασιν οὕτω· « Καλεῖται δὲ καὶ ὁ τόπος οὗτος ἅπας Κεραμεικός. Ἔστι γὰρ ὁ αὐτὸς δῆμος. Βαδίζουσι δὲ ἔνθεν καὶ ἔνθεν εἰσὶ στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις. [Εἰσὶ δὲ οὗτοι οἱ ὑπὸ τοῦ δήμου πεμφθέντες (ταφθέντες?), οἳ ἐν αὐτῇ τῇ χώρᾳ ὑπὲρ τῆς πόλεως τετελευτήκασιν.] Ἔχουσι δὲ αἱ στῆλαι ἐπιγραφὰς ποῦ ἕκαστος ἀπέθανεν. »

Suidas : Κεραμεικός, τόπος Ἀθήνησιν, ἔνθα οἱ ἐν πολέμῳ ἀναιρούμενοι ἐθάπτοντο, ὡς Μενεκλῆς καὶ Καλλικράτης ἐν τοῖς Περὶ Ἀθηναίων (l. Ἀθηνῶν) συγ-

---

LIBYCA.

1.

Cur Battus oraculum Apollinis adierit, diversimode narrant historici. Alii vocis recuperandæ causa Delphos profectum aiunt, ubi decantatum istud oraculum acceperit :

Batte, vocis causa venisti : at te rex Phœbus Apollo
in Libyam mittit ovibus divitem, coloniæ conditorem.

Alii seditionem civilem dicunt causam fuisse; atque hoc probabilius, alterum illud fabulæ similius esse censet Menecles. « Cives, inquit, in Thera insula turbis exortis inter se dissidebant; eorum alteram factionem ducebat Battus. Is vero, ubi ad arma res devenerat, cum suis urbe ejectus est patriamque relinquere se coactum vidit. Tum socii ejus de reditu desperantes coloniam deducendam esse cogitarunt. Battus igitur Delphos profectus interrogavit, utrum reditum in patriam armorum vi parare sibi tentandum esset, an vero alio se ad coloniam condendam conferre deberent. Tum ita deus vaticinatus est :

Batte, prius illud male, alterum vero bene quæris.
Proficiscere, linque maris insulam; continens præstat;
Mane prius consilium ejice, suada mea persuasus.
Terram ama ut par est firmam; oderis immerito.
Qualia facit vir, tales habebit eventus. »

2.

Pheretime, uxor Batti (*III, Claudi*), postquam Archelaus filius perierat, ipsa dolo regnum Cyrenarum obtinuit, atque quum nepotem regem constituisset, eos, qui Arcesilao filio adversati erant, navibus impositos in Ægyptum ablegavit. Deinde eodem profecta ipsa omnes interficiendos curavit, persuaso, qui tunc Ægypto præfectus erat, Aryande. Atque accepto a rege exercitu Cyrenæos multa cum severitate mulcavit. Quo facto in Ægyptum reversa diem obiit, uti refert Menecles, qui Libycas historias conscripsit.

DE ATHENIS.

3.

Bello interfecti in Ceramico sepeliri solebant, ut Menecles vel Callicrates in libris De urbe Athenarum scribunt

γραμμασί φασιν οὕτως· « Ἔστι δὲ καὶ δῆμος Κεραμεικός· εἰσὶ δὲ ἔνθεν καὶ ἔνθεν στῆλαι ἐπὶ τοῖς δημοσίᾳ τεθαμμένοις, ἔχουσαι ἐπιγραφάς, ποῦ ἕκαστος ἀπέθανεν. »

Harpocratio : Κεραμεικός... ὅτι β' εἰσὶ Κεραμεικοί, ὡς καὶ ὁ ῥήτωρ (Ἀντιφῶν) φησίν, ὁ μὲν ἔνδον τῆς πόλεως, ὁ δὲ ἕτερος ἔξω, ἔνθα καὶ τοὺς ἐν πολέμῳ τελευτήσαντας ἔθαπτον δημοσίᾳ καὶ τοὺς ἐπιταφίους ἔλεγον, δηλοῖ Καλλικράτης ἢ Μενεκλῆς ἐν τῷ Περὶ Ἀθηνῶν.

Apud schol. Arist. Καλλικράτης codd. Venet. et Ravennas; Καλλίστρατος Aldin. Apud Suidam Καλλιστράτης codd. A. B. E. V; Καλλίστρατος V* Bernhardyi. Eadem fluctuatio apud Harpocrat. ubi duo codd. Καλλικράτης. Callicratem verum esse nomen eo minus dubitari potest, quo facilius ignotus fere periegeta cum notissimo grammatico permutatur. — Pro καὶ Καλλ. ap. schol. et Suid. præstaret scribere ἢ Καλλ. — ἐν τοῖς ante Περὶ Ἀθηνῶν ap. schol. præbet cod. Marcian. G; ceteri et Suidas omittunt. — Uncis ap. schol. inclusa glossam scholiastæ esse monet Dindorfius.

4.

Schol. Arist. Pac. 145 : ... Καλλικράτης φησὶν ἢ Μενεκλῆς ἐν τῷ Περὶ Ἀθηνῶν γράφων οὕτως· « Ἔχει δὲ ὁ Πειραιεὺς λιμένας τρεῖς, πάντας κλειστούς. Εἷς μέν ἐστι ὁ Κανθάρου λιμὴν καλούμενος, ἐν ᾧ τὰ νεώρια ἑξήκοντα, εἶτα Ἀφροδίσιον, εἶτα * κύκλῳ τοῦ λιμένος στοαὶ πέντε. »

Καλλικράτης] sic h. l. omnes libri. — ἑξήκοντα] ἐξήσκητο vel ἐξῳκοδόμητο conj. Dindorf. Ante v. κύκλῳ excidisse videtur mentio partis tertiæ, quæ erat magnum ἐμπόριον, nisi hæc pars κατ' ἐξοχὴν λιμὴν sive Πειραιεὺς appellabatur. V. Ulrichs, Οἱ λιμένες καὶ τὰ μακρὰ τείχη τῶν Ἀθηνῶν, Athen. 1843, p. 8, quem librum inspicere mihi non licuit; Forbiger. *Geogr.* III, p. 944.

5.

Harpocratio : Ἑρμαῖ. Μενεκλῆς ἢ Καλλικράτης ἐν τῷ Περὶ Ἀθηνῶν γράφει τουτί· « Ἀπὸ γὰρ τῆς Ποικίλης καὶ τῆς τοῦ βασιλέως στοᾶς εἰσὶν οἱ Ἑρμαῖ καλούμενοι· διὰ γὰρ τὸ πολλοὺς κεῖσθαι καὶ ὑπὸ ἰδιωτῶν καὶ ἀρχόντων ταύτην τὴν προσηγορίαν εἰληφέναι συμβέβηκεν. Ἐφ' ἑνὸς δὲ αὐτῶν ἐπιγέγραπται γράμμασιν ἀρχαίοις· Ἀντ' εὐεργεσίης Ἀγαμέμνονα στῆσαν Ἀχαιοί. »

Eadem Photius et Suidas. Apud Photium est Καλλικράτης; ap. Harpocrat. Ἀλλικράτης cod. D, Καλλιστράτης A, καλλιστάτης B; omisit N. Bekkerus ubique exhibuit Καλλίστρατος. Ap. Suidam codd. A. V. E. et editt. ante Küsterum Καλλιστράτης. Bernhardy. Καλλίστρατος, fidem habens Aldin. schol. Aristoph. Av. 395. — Περὶ Ἀθηνῶν] Περὶ Ἀθηναίων libri. — βασιλέως] βασιλείου mallem cum Küstero.

6.

Harpocratio : Ἑκατόμπεδον... Ὁ Παρθενὼν ὑπό τινων Ἑκατόμπεδος ἐκαλεῖτο διὰ κάλλος καὶ εὐρυθμίαν, οὐ διὰ μέγεθος, ὡς Μενεκλῆς ἢ Καλλικράτης ἐν τῷ Περὶ Ἀθηνῶν. Plurimi codd. Καλλιστράτης; Bekker. Καλλίστρατος.

ΣΥΝΑΓΩΓΗ.

E LIBRO PRIMO.

7.

Athenæus IX, p. 390, B : Μενεκλῆς δ' ἐν τῇ πρώτῃ τῆς Συναγωγῆς « Οἱ Πυγμαῖοι (φησὶ) τοῖς πέρδιξι καὶ τοῖς γεράνοις πολεμοῦσι. » Ex Athenæo sua Eustath. in Il. ψ, 653, p. 1322. 47. Titulus libri decurtatus, ut videtur. Cf. Istri Συναγωγὴν τῶν Κρητικῶν θυσιῶν; Philochori Συναγωγὴ ἡρωΐδων.

7 a.

ΓΛΩΣΣΟΚΟΜΟΝ.

Suidas : Διακόνιον. Οἱ μὲν τὴν τοῦ πλακοῦντος κρηπῖδα. Μενεκλῆς δὲ ἐν τῷ Γλωσσοκόμῳ ταῦτα εἴρηκε περὶ αὐτοῦ· « Ἀθηναῖοι τῷ Ἀπόλλωνι τὴν καλουμένην Εἰρεσιώνην ὅταν ποιῶσι, πλάττοντες λύραν τε καὶ κοτύλην καὶ κλῆμα καὶ ἄλλ' ἄττα κυκλοτερῆ πέμματα, ταῦτα καλοῦσι διακόνιον. »

---

verbis hisce : « Omnis hic locus appellatur Ceramicus. Idem enim demus est. Ambulantibus hic illic conspiciuntur cippi iis positi, qui civitatis sumptibus sepulturam nacti sunt. Inscripta stelis nomina locorum, ubi quisque obierit. »

4.

Callicrates vel Menecles in libro De Athenis ita scribit : Piræeus portus habet tres, qui omnes claudi possunt. Unus eorum est Canthari portus, quem dicunt; in eo navalia sunt sexaginta navium capacia; deinde Aphrodisium, deinde magnum emporium, et circa id porticus quinque.

5.

Menecles sive Callicrates in opere De Athenis scribit hæc : « A Pœcile et a porticu regia sunt Hermæ qui dicuntur; quum enim multi sint et a privatis et a magistratibus positi, hoc nacti sunt nomen. In uno eorum inscriptum est literis antiquis : « Pro collato beneficio Agamemnonem posuerunt Achivi. »

COLLECTIO.

7.

Menecles libro primo Collectionis, « Pygmæi, ait, contra perdices et grues bellum gerunt. »

GLOSSOCOMUM.

7 a.

Diaconium. Quidam sic vocant placentæ infusum. Menecles vero in *Glossocomo* de voce ista sic scribit : « Athenienses Iresionen sic dictam Apollini parantes, lyram, cotylam, pampinum aliasque placentas rotundas conficiunt, easque diaconium vocant. »

De re v. Steph. Thes. v. Διακόνιον, et Bernhardy. ad Suid. Müller. *Dor.* I, p. 325. Γλωσσόκομον proprie est arcula in qua tibiarum linguæ reponebantur; deinde quamvis arculam significat in qua reconduntur res pretiosæ. V. Steph. Thes. s. v. Nostro loco intelligenda vox de libro quo Menecles res ad reconditiores antiquitates pertinentes explicaverat, vel, quod malim, voces obscuriores interpretatus erat; quæ quum græce dicantur γλῶσσαι, ludens auctor Γλωσσόκομον, Linguæ thesaurum, librum inscripserit.

8.

Etym. M. p. 37, 25 : Αἰολεῖς... ὡς Μενεκλῆς διὰ τὸ ἐκ πολλῶν ἐθνῶν συνηθροῖσθαι, ἀπὸ τοῦ αἰολίζω. Cf. Müller. *Min.* p. 398.

9.

Athenæus IV, p. 184, B : Οὐ γὰρ οἶδας ἱστοροῦντα Μενεκλέα τὸν Βαρκαῖον συγγραφέα, ἔτι τε Ἀνδρῶνα ἐν τοῖς Χρονικοῖς τὸν Ἀλεξανδρέα, ὅτι Ἀλεξανδρεῖς εἰσιν οἱ παιδεύσαντες πάντας τοὺς Ἕλληνας καὶ τοὺς βαρβάρους, ἐκλειπούσης ἤδη τῆς ἐγκυκλίου παιδείας διὰ τὰς γενομένας συνεχεῖς κινήσεις ἐν τοῖς κατὰ τοὺς Ἀλεξάνδρου διαδόχους χρόνοις. Ἐγένετο οὖν ἀνανέωσις πάλιν παιδείας ἁπάσης κατὰ τὸν ἕβδομον βασιλεύσαντα Αἰγύπτου βασιλέα Πτολεμαῖον τὸν κυρίως ὑπὸ τῶν Ἀλεξανδρέων καλούμενον κακεργέτην, κτλ. Vide fragm. Andronis. Ex quonam opera hæc petita difficile dictu. — Apud schol. Il. ε, 640 (Μενεκλῆς δὲ φησὶν ἐψεῦσθαι τὴν ἐπ' Ἰλίου στρατείαν sc. Herculis) pro Μενεκλῆς scribendum videtur Μεγακλῆς vel Μεγακλείδης.

MENELAUS ANÆUS.

Stephan. Byz. : Ἀναία.. ἔστι δὲ Καρίας ἀντικρὺ Σάμου... τὸ ἐθνικὸν Ἀναῖος. Ἐντεῦθεν ἦν Μενέλαος ὁ περιπατητικὸς φιλόσοφος καὶ μέγας ἱστορικὸς Ἀναῖος. « Gesnerus pro μέλας legit Μέλας, unde et ei Melas ἱστορικὸς in Bibliotheca memoratur. » Voss. Quod haud dubie falsum est, etsi μέλας exhibet etiam codex Rhedigeranus. De eodem Menelao Suidas : Μενέλαος, Αἰγαῖος (scr. Ἀναῖος), ἐποποιός· ἔγραψε Θηβαΐδα ἐν βιβλίοις ια' (sic 4 codd., edd. et Eudoc. p. 302 ιβ') καὶ ἄλλα. Verbis καὶ ἄλλα comprehendi possunt scripta historica, sed potius ipsa Thebaide Menelaus, tanquam Θηβαϊκῶν auctor, historici titulum meruisse censendus est. Certe ex ea fluxerunt quæ Stephanus affert, v. Τεμμίξ : Ἔθνος πρῶτον οἰκῆσαν ἐν Βοιωτίᾳ. Τεμμίκειος τὸ κτητικόν· Μενέλαος δὲ διὰ τοῦ ι Τεμμίκιον ἄστυ ἐν πρώτῳ Θηβαΐδος φησί. — Id. v. Ὑρμίνη· πόλις τῆς Ἤλιδος. Μενέλαος δὲ τετάρτῳ Θηβαϊκῶν Ὕρμιναν διὰ τοῦ α φησί. — Id. v. Εὔτρησις· κώμη. Κεῖται δὲ παρὰ τὴν ὁδὸν τὴν ἐκ Θεσπιῶν εἰς Πλαταιὰς ἀπάγουσαν, ἣν ἐτείχισε Ζῆθος καὶ Ἀμφίων. Ἔστι δὲ εἰς τόπον ἐπιρρηματικῶς Εὐτρησίνδε, ὡς Μενέλαος. — Id. v. Λύκαια, πόλις Ἀρκαδίας. Παρὰ δὲ Μενελάῳ Λύκαιθα μετὰ τοῦ θ. — Id. Ἀμφιγένεια, πόλις Μεσσηνιακή.... Μενέλαος δέ φησι καὶ Ἀμφιγένειον [εἰρῆσθαι]; ubi vox εἰρῆσθαι debetur excerptori; nam hæc quoque ex Thebaide fluxisse arguit Statius Theb. IV, 178 : *Huic* (Capaneo) *parere dati, quos fertilis Amphigenia.. nutrit.* Accedit quod eodem loco Stephanus citat Antimachum (in Thebaide, v. fr. 111 ed. Dübner.). Cf. Joh. Siceliota in Hermog. ap. Walz. Rh. Gr. VI, p. 399 : Τὰ Ἰωνικὰ ποιήματα ἐξαίρουσι ταῖς ἡδοναῖς, ὥσπερ τὰ Σιμωνίδου καὶ Μενελάου. Idem ib. p. 93 Walz. : Ὅτι μὲν παρενεγκεῖν οἱ φιλόπονοι δύνανται τοὺς περιττοὺς τὴν φύσιν, μαρτυρεῖ Δημοσθένης... ὅτι δὲ τοῦτο σπάνιον, πλήρεις αἱ ἱστορίαι καὶ οἱ βίοι τῶν σοφιστῶν· μᾶλλον δ' ἐφ' ἑνὸς Μενελάου τοῦ ποιητοῦ τοῦτο κατίδοι τις ἄν, δυσκολίαν φύσεως φιλοπονίᾳ μεταβαλόντος εἰς τὸ ἀκριβές τε καὶ ἄμωμον, ὥς φησι καὶ Λογγῖνος. Cf. Ruhnk. Diss. De vit. Long. p. xciv ed. Weisk.

MENESTHENES.

ΠΟΛΙΤΙΚΑ.

E LIBRO QUARTO.

Athenæus XI, p. 494, B : Ὅλμος, ποτήριον κερατίου τρόπον εἰργασμένον. Μενεσθένης ἐν τετάρτῳ Πολιτικῶν γράφει οὕτως· « Ἀλβατάνης (αἰθανάτης

8.

Æoles secundum Meneclem dicti sunt a voce αἰολίζω, quoniam ex multis populis collecti fuerint.

9.

Nescis docere Meneclem Barcæum, historiarum scriptorem, et Andronem Alexandrinum in Chronicis, ab Alexandrinis eruditos esse Græcos omnes et Barbaros, quum iam defecisset encyclica eruditio propter continuos motus, qui temporibus successorum Alexandri obtinuerant. Exstitit igitur renovatio rursus universæ eruditionis, regnante in Ægypto Ptolemæo septimo, qui proprio nomine Κακεργέτης (id est, *Maleficus*) ab Alexandrinis vocatur.

POLITICA.

Holmus [*Mortarium*]. Poculum ad cornuum modum elaboratum. Menesthenes in quarto libro Politicorum ita

codd. Casaub.; ἀλβαντάνης codd. Dindf.) δὲ στρεπτὸν καὶ ὅλμον χρυσοῦν. Ὁ δὲ ὅλμος ἐστὶ ποτήριον κερατίου τρόπον εἰργασμένον, ὕψος ὡς πυγωνιαῖον. »

De re v. not. Schweighæuseri. Pro Μενεσθένης Dalecamp. conj. Μεγασθένης, inutili sane conatu.

MENETOR.

ΠΕΡΙ ΑΝΑΘΗΜΑΤΩΝ.

Athenæus XIII, p. 594, B : Διαβόητος δ' ἑταίρα γέγονε καὶ ἡ Μιλησία Πλαγγών· ἧς περικαλλεστάτης οὔσης ἠράσθη τις νεανίσκος Κολοφώνιος, Βακχίδα ἔχων ἐρωμένην τὴν Σαμίαν. Λόγους οὖν προσενέγκαντος τοῦ νεανίσκου πρὸς αὐτὴν, ἡ Πλαγγὼν, ἀκούσασα τῆς Βακχίδος τὸ κάλλος, καὶ ἀποτρέψαι θέλουσα τὸν νεανίσκον τοῦ πρὸς αὐτὴν ἔρωτος, ὡς ἀδύνατον ἦν, ᾔτησε τῆς συνουσίας μισθὸν τὸν Βακχίδος ὅρμον, διαβόητον ὄντα. Ὁ δὲ σφοδρῶς ἐρῶν ἠξίωσε τὴν Βακχίδα μὴ περιιδεῖν αὐτὸν ἀπολλύμενον. Καὶ ἡ Βακχὶς, τὴν ὁρμὴν κατιδοῦσα τοῦ νεανίσκου, ἔδωκε. Πλαγγών τε, τὸ ἄζηλον συνιδοῦσα τῆς Βακχίδος, τὸν μὲν ἀπέπεμψεν ἐκείνῃ, τῷ δὲ ὡμίλησε. Καὶ τοῦ λοιποῦ φίλαι ἐγένοντο, κοινῶς περιέπουσαι τὸν ἐραστήν. Ἐφ' οἷς Ἴωνες ἀγασθέντες, ὥς φησι Μενέτωρ ἐν τῷ Περὶ ἀναθημάτων, Πασιφίλαν ἐκάλεσαν τὴν Πλαγγόνα.

MENIPPUS ὁ γράψας τὰ Περὶ Λυδῶν καὶ Ξάνθον ἐπιτεμόμενος memoratur apud Diogen L. VI, 101.

MENYLLUS.

ΙΤΑΛΙΚΑ.

E LIBRO TERTIO.

1.

Plutarch. Par. min. c. 26, p. 312, B : Σεπτίμιος Μάρκελλος γήμας Σιλουίαν, τὰ πολλὰ κυνηγίῳ προσέκειτο· τὴν δὲ νεόνυμφον ἐν σχήματι ποιμένος Ἄρης βιασάμενος, ἐγκύμονα ἐποίησε, καὶ ὡμολόγησεν, ὅστις ἦν, καὶ δόρυ ἔδωκε, τὴν γένεσιν τοῦ μέλλοντος τίκτεσθαι φάσκων ἐν αὐτῷ ἀποκεῖσθαι. Ἀπέκτεινε γοῦν Σεπτίμιος Τουσκῖνον. Μάμερκος δὲ ὑπὲρ εὐκαρπίας θύων θεοῖς, μόνης ἠμέλησε Δήμητρος. Ἡ δὲ κάπρον ἔπεμψε. Συναθροίσας δὲ πολλοὺς ἐκεῖνος κυνηγέτας ἀνεῖλε, καὶ τὴν κεφαλὴν καὶ τὸ δέρος τῇ κατηγγυημένῃ γυναικὶ κατεχώρησε. Σκυμβράτης δὲ καὶ Μουθίας οἱ μητράδελφοι περιείλοντο τῆς κόρης. Ἀγανακτήσας δ' ἀνεῖλε τοὺς συγγενεῖς· ἡ δὲ μήτηρ τὸ δόρυ κατέκαυσεν· ὥς Μένυλλος ἐν τρίτῳ Ἰταλικῶν.

ΒΟΙΩΤΙΑΚΑ.

E LIBRO PRIMO.

2.

Idem ibid. c. 14, p. 309, B : Ἐν Αὐλίδι τῆς Βοιωτίας τὰ περὶ Ἰφιγένειαν ὁμοίως ἱστορεῖ Μέρυλλος ἐν πρώτῳ Βοιωτιακῶν. In antecedentibus Plutarchus e Pythoclis Italicis de Metello filiam immolante narraverat. — Pro Μέρυλλος scribendum Μένυλλος. Namque Μέρυλλος nomen alibi, quantum scio, non occurrit; Menylli plures ap. vett. memorantur, ut Menyllus Alabandensis, a Ptolemæo Philometore Romam ad senatum legatus, Polyb. XXXI, 18.

---

scribit : « Albatanes vero tortilem et holmum aureum. Est autem *holmus*, poculum ad cornuum modum elaboratum, altitudine fere cubitali. »

DE DONARIIS.

Famosa etiam meretrix Plango fuit Milesia. Quæ quum esset formosissima, amore ejus captus est adolescens Colophonius, qui amasiam habebat Bacchidem Samiam. Plangonem igitur quum sollicitaret adolescens, illa fama cognitam habens pulchritudinem Bacchidis, et avertere juvenem a sui amore cupiens, quum nihil proficeret, mercedem concubitus ab illo postulavit Bacchidis monile vulgo celebratum. Tum ille, vehementi amore flagrans, Bacchidem precatus est, ne se misere pereuntem negligeret. Et Bacchis, impetum adolescentis videns, monile dedit. Tum Plango, postquam adeo alienam ab invidia Bacchidem intellexit, monile ei remisit, cum adolescente vero concubuit. Et ab eo tempore amicæ hæ inter se fuerunt, et communi benevolentia amatorem sunt prosecutæ. Quam rem mirati Iones, ut ait Menetor in libro De donariis templorum, *Pasiphilam* vocarunt Plangonem.

ITALICA.

1.

Septimius Marcellus, ducta in uxorem Silvia, plerumque venationibus operam dabat. Novam autem uxorem Mars sub pastoris specie stupravit vi, atque fœtu implevit : fassusque quis esset, stipitem dedit, in quo futuræ prolis fatum contineri diceret. Interfecit autem Septimius Fuscinum. Mamercus autem quum fertilitatis telluris causa diis sacrificaret, solam neglexit Cererem : ea aprum ipsi immisit. Hunc is aprum multis collectis venatoribus interfecit, caputque et pellem desponsæ sibi feminæ tradidit. Scymbrates autem et Muthias avunculi ea virgini ademerunt : quos quum ille irritatus trucidasset, mater stipitem cremavit. Sic Menyllus tertio Italicorum.

2.

BŒOTICA.

In Aulide Bœotiæ urbe simile quippiam Iphigeniæ accidisse, Meryllus scribit in primo Bœoticorum.

20, 8. 22, 8. XXXII, 1; alius præfectus præsidii, quod Athenis Antipater imposuit, Diodor. XVIII, 18; Plutarch. Moral. p. 188, F; alius ap. Bœckh. in C. Inscr. I, p. 906, n. 769 et alibi. Westermannus ad Voss. p. 469 n. 18 pro Μέρυλλος fortasse Δερκύλος scribendum esse suspicatus est.

(3.)

Strabo XV, p. 692: Μέγιλλος (Μένυλλος?) δὲ τὴν ὀρύζαν σπείρεσθαι μὲν (sc. in India) πρὸ τῶν ὄμβρων φησίν, ἀρδείας δὲ καὶ φυτείας δεῖσθαι ἀπὸ τῶν κλειστῶν ποτιζομένην ὑδάτων. Rectius puto scribas Μένιππος (Pergamenus geographus). Ceterum Megillus Περὶ ἀριθμῶν citatur Theolog. Arithm. p. 28.

METROPHANES.

Suidas: Μητροφάνης, Εὐκαρπίας τῆς Φρυγίας, σοφιστής· ἔγραψε Περὶ τῆς Φρυγίας αὐτῆς βιβλία β'. Περὶ ἰδεῶν λόγου, Περὶ στάσεων, Εἰς τὴν Ἑρμογένους τέχνην ὑπόμνημα, Εἰς τὸν Ἀριστείδην ὑπόμνημα.

Cf. Eudoc. p. 301. Præter hunc Suidas memorat Metrophanem, Corneliani rhetoris filium, Lebadensem sophistam, et Metrophanem, a Lachare genus ducentem, contra quem Superianus sophista scripsit. Cf. Damasc. ap. Phot. Bibl. p. 342. Commentarii Nostri in Hermogenem laudantur sæpius. Vide indic. ad Walz. Rhett. Gr. Cf. Westermann. *Gesch. d. gr. Bereds.* § 104.

ΠΕΡΙ ΦΡΥΓΙΑΣ.

Stephan. Byz.: Εὐκαρπία, δῆμος τῆς μικρᾶς Φρυγίας. Ἱστορεῖ Μητροφάνης, τὸν βότρυν ἐκεῖ τοσοῦτον γίνεσθαι τὸ μέγεθος, ὅσον ἅμαξαν ἀπ' αὐτοῦ σχισθῆναι κατὰ μέσον. Καὶ οὕτως ἐκλήθη διὰ τὸ εὔφορον. Περὶ αὐτῆς γὰρ οἱ βάρβαροι ἔλεγον ὅτι Δήμητρι καὶ Διονύσῳ Ζεὺς τὴν χώραν τὴν τῶν εὐκάρπων δοίη.

MNESIMACHUS.

ΠΕΡΙ ΣΚΥΘΩΝ.

E LIBRO PRIMO.

Schol. Apoll. Rh. II, 1015: Ἱερὸν δ' αὖτ' ἐπὶ τοῖσιν ὄρος] Τοῦτο καθῆκόν ἐστιν εἰς τὸν Εὔξεινον πόντον. Μέμνηται αὐτοῦ καὶ Κτησίας ἐν τῷ α' Περιόδων, καὶ Σουίδας ἐν β', περὶ τοὺς λεγομένους Μάκρωνας· ἀκριβέστερον δὲ ὁ Ἀγάθων ἐν τῷ τοῦ Πόντου περίπλῳ· ὃς καὶ ρ' ἀπέχειν σταδίους αὐτό φησι τῆς Τραπεζοῦντος. Ὁ δὲ Εἰρηναῖος Μνησίμαχόν φησι περὶ αὐτοῦ ἱστορεῖν ἐν α' περὶ Σκυθῶν, ἀγνοῶν. Ὁ γὰρ Μνησίμαχος [ὡς] ἐν τῇ Εὐρώπῃ μέμνηται κειμένης τῆς Σκυθικῆς· ὁ δὲ Ἀπολλώνιος καὶ οἱ προειρημένοι περὶ τῆς Ἀσίας διαλέγονται. Ἔστι καὶ ἄλλο Ἱερὸν ὄρος Θρᾴκης.

ΔΙΑΚΟΣΜΟΙ.

Idem IV, 1412: Τῶν νυμφῶν αἱ μὲν εἰσιν οὐράνιαι, αἱ δὲ ἐπίγειοι, αἱ δὲ ποτάμιοι, αἱ δὲ λιμναῖαι, αἱ δὲ θαλάσσιαι. Καὶ καθόλου δὲ τῶν νυμφῶν γένος εἰς πολλὰ διῄρηται, ὥς φησι Μνησίμαχος ὁ Φασιλήτης (Φασηλίτης? Φασιάτης?) ἐν Διακόσμοις. Correctio Wellaueri Φασηλίτης legentis lenissima; at Phasidis urbis civi liber De Scythis apprime conveniret.

Idem II, 477: Ἀμαδρυάδας νύμφας Μνησίμαχός φησι διὰ τὸ ἅμα ταῖς δρυσὶ γεννᾶσθαι. Ἢ ἐπεὶ δοκοῦσιν ἅμα ταῖς δρυσὶ φθείρεσθαι, νύμφαι Ἁμαδρυάδες λέγονται. De Mnesimacho comico adi Meinekium, Hist. crit. com. p. 423.

MNASIGITON. V. Aristot. fr. 95, t. II, p. 136.

MOLPIS LACO.

ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΠΟΛΙΤΕΙΑ.

1.

Athenæus IV, 140, A: Τίς δ' ἐστιν ἡ κοπίς, σαφῶς ἐκτίθεται Μόλπις ἐν τῇ Λακεδαιμονίων πολιτείᾳ, γρά-

DE PHRYGIA.

Eucarpia, pagus Phrygiæ minoris. Narrat Metrophanes racemum istic generari tantæ magnitudinis, ut currus ab eo in medio sit disruptus: itaque a fertilitate hæc regio nomen accepit. Narrabant de ea barbari Jovem Cereri et Baccho feracissimam hanc regionem concessisse.

DE SCYTHIS.

Hierum, *mons sacer,* in Pontum Euxinum prominet. Meminit ejus Ctesias primo Periodorum, et Suidas secundo, prope Macronum regionem situm dicens, et accuratius Agatho in Ponti periplo, centum stadiis aiens id a Trapezunte distare. Irenæus vero Mnesimachum libro primo De Scythis de eo narrare inquiens fallitur. Nam Mnesimachus montis sacri tanquam in Europa siti (promontorii) Scythici meminit, dum Apollonius et auctores modo laudati de Asia loquuntur. Est etiam alius in Thracia mons Sacer.

LACEDÆMONIORUM RESPUBLICA.

1.

Quænam sit *copis*, perspicue exponit Molpis in Lacedæmoniorum republica, sic scribens: « Peragunt etiam quas

φων οὕτως· « Ποιοῦσι δὲ καὶ τὰς καλουμένας κοπίδας. Ἔστι δὲ ἡ κοπὶς δεῖπνον, μᾶζα, ἄρτος, κρέας, λάχανον ὠμὸν, ζωμὸς, σῦκον, τράγημα, θέρμος. »

2.

Athenæus IV, p. 140, D : Ὁ δὲ Μόλπις καὶ ματτύην φησὶ προσαγορεύεσθαι τὰ ἐπαΐκλα. Cf. Müller *Dor.* II, p. 37 et 202.

3.

Idem IV, p. 141, D : Μόλπις δέ φησιν «Μετὰ δὲ τὸ δεῖπνον εἴωθεν ἀεί τι παρά τινος κομίζεσθαι, ἐνίοτε δὲ καὶ παρὰ πλειόνων, παρ' αὐτοῖς κατ' οἶκον ἠρτυμένη ματτύη, ὃ καλοῦσιν ἐπάϊκλον. Τῶν δὲ κομιζομένων οὐδεὶς οὐδὲν ἀγοράσας εἴωθε φέρειν· οὔτε γὰρ ἡδονῆς οὔτ' ἀκρασίας γαστρὸς οὕνεκεν κομίζουσιν, ἀλλὰ τῆς αὑτῶν ἀρετῆς ἀπόδειξιν τῆς κατὰ τὴν θήραν ποιούμενοι. Πολλοὶ δὲ καὶ ποίμνι' αὐτῶν τρέφοντες ἀφθόνως μεταδιδόασι τῶν ἐκγόνων. Ἔστι δ' ἡ ματτύη φάτται, χῆνες, τρυγόνες, κίχλαι, κόσσυφοι, λαγὼ, ἄρνες, ἔριφοι. Οἱ δὲ μάγειροι σημαίνουσι τοὺς ἀεί τι κομίζοντας εἰς μέσον, ἵνα πάντες ἴδωσι τὴν τῆς θήρας φιλοπονίαν καὶ τὴν εἰς αὐτοὺς ἐκτένειαν. »

Idem XIV, p. 664, D : Μόλπις δ' ὁ Λάκων τὰ παρὰ τοῖς Σπαρτιάταις ἐπαΐκλεια (ὃ σημαίνει τὰς ἐπιδειπνίδας) ματτύας φησὶ λέγεσθαι παρὰ τοῖς ἄλλοις.

Alios viros, quibus Molpidis nomen, v. ap. Tzetz. ad Lyc. 159, Harpocrat. s. v. Athenæum, p. 156, D; Galen. vol. V, p. 653.

MONIMUS.

ΘΑΥΜΑΣΙΩΝ ΣΥΝΑΓΩΓΗ.

Apud Plutarchum Parall. min. c. 18 pro Σωκράτης ἐν β' Θρᾳκικῶν ex Stobæo Flor. VII, 16 reponendum Σωσικράτης. — Subjicio grammatica hæcce : Etym. M. p. 389, 18 : Εὐβοΐς : Τὰ εἰς ευς ἐθνικὰ, εἰ μὲν ἔχουσι προηγούμενον σύμφωνον, εἰς ις ποιοῦσι τὸ θηλυκόν· οἷον Ἀλεξανδρεύς, Ἀλεξανδρὶς γυνή..., εἰ δὲ φωνῆεν, εἰς ας, Ἰλιεὺς, Ἰλιάς. Οὕτω Ὧρος. Ὁ δὲ γραμματικὸς Σωκράτης ἀντιλέγει, ὅτι ἰδοὺ τὸ Εὐβοεὺς προηγούμενον ἔχει φωνῆεν, καί ἐστι Εὐβοΐς γυνή. Schol. Aristoph. Eq. 963 : Παρὰ δὲ τοῖς κωμικοῖς μόλγης ὁ μοχθηρὸς, γόης. Οὕτω Σωκράτης. Valckenar. ad Eur. Phœn. 47 voluit : Οὕτως ὁ Κράτης.

SOSANDER.

Apud Marcianum (vel Minippum) Peripl. p. 157 ed. Hoffm. inter geographos recensetur Σώσανδρος ὁ κυβερνήτης, τὰ κατὰ τὴν Ἰνδικὴν γράψας. Novimus Onesicritum gubernatorem, non item Sosandrum. Fortasse corrupta vox est.

SOSICRATES.

Sosicrates, probatus de rebus Cretensium auctor (fr. 1 et 2), Apollodoro antiquior fuit (v. fr. 2). Accuratius ætas ejus constitui posset, si pro explorato ponere liceret, Κρητικῶν scriptorem eundem esse cum *Sosicrate Rhodio* (fr. 19) qui De philosophorum successionibus opus concinnavit. Is enim Hermippo Callimacheo, cujus testimonio utitur (fr. 16), fuit junior. Itaque Sosicrates inter Hermippum et Apollodorum medius floruisse censendus foret sub Ptolemæo Epiphane (205-181). Sed incerta hæc. Σωσικράτης nomen in Σωκράτης abiit fr. 5 et 8 (*).

ΚΡΗΤΙΚΑ.

1.

Diodorus V, 80, 4, in narratione de Cretensium mythologumenis historiaque antiquissima secutum sese ait Epimenidem theologum, Dosiadem, *Sosicratem*, Laosthenidem, quippe quos fide dignissimos habuisset.

2.

Strabo X, p. 475 : Μέγεθος δὲ (sc. τῆς Κρήτης) Σωσικράτης μὲν, ὅν φησιν ἀκριβοῦν Ἀπολλόδωρος τὰ περὶ τὴν νῆσον, ἀφορίζεται, μήκει μὲν πλειόνων ἢ δισχιλίων σταδίων καὶ τριακοσίων· πλάτει δὲ οὐ κατὰ τὸ μέγεθος· ὥσθ' ὁ κύκλος γένοιτ' ἂν πλέον ἢ πεντακισχίλιοι στάδιοι.

3.

E LIBRO PRIMO.

Apostolius Prov. VII, 37 : Ἔστι καὶ ἐν Κρήτῃ Δουλόπολις, ὡς Σωσικράτης ἐν τῇ α' τῶν Κρητικῶν. Eadem Suidas v. Δούλων πόλις. Cf. Theopompi fr. 122. Steph. Byz. s. v. : Φασὶ καὶ κατὰ Κρήτην Δουλόπολιν εἶναι χιλίανδρον. Müller. *Dor*. I, p. 255.

4.

EX EODEM LIBRO.

Athenæus VI, p. 261, E : Σωσικράτης δ' ἐν πρώτῳ Κρητικῶν ἴδιόν τί φησι περὶ τοὺς Φαιστίους ὑπάρχειν. Δοκοῦσι γὰρ ἀσκεῖν ἐκ παιδαρίων εὐθὺς τὸ γέλοια λέγειν· διὸ καὶ συμβέβηκεν αὐτοὺς ἀποφθέγγεσθαι πολλάκις εὐκαίρως, διὰ τὴν ἐξ ἀρχῆς συνήθειαν. Ὥστε πάντας τοὺς κατὰ Κρήτην τούτοις ἀνατιθέναι τὸ γέλοιον.

(*) Inter reliquos Sosicrates h. l. notandi *S. Phanagorita* Ἠοίων auctor (Athenæus XIII, p. 590, B.); *S. comicus* (ibid. I, p. 31, E; XI, p. 474, A); *Sosicrates orator* (Rutil. Lup. I, 9, ubi v. Ruhnk.); *S. Cyzicenus* (v. fr. 9).

---

nere, τρὶς τοῖς κακούργοις κακά (id est, *ter improbis mala*)! Hi si capiuntur, non modo non cicurantur, sed ne vocem quidem amplius emittunt : sin dimittantur, rursus fiunt vocales.

18.

Orichalcus. Alii hoc statuarii nomen esse aiunt, ut Socrates et Theopompus libro vicesimo quinto.

CRETICA.

2.

Magnitudinem Cretæ Sosicrates, quem res hujus insulæ accurate exponere Apollodorus ait, ita definit, ut longitudo sit stadiorum bis mille trecentorum et amplius, latitudo vero non pro ratione longitudinis : adeo ut circuitus Cretæ fiat major quinquies mille stadiis.

3.

In Creta quoque est Dulopolis (*Servorum urbs*), ut Sosicrates ait libro primo Rerum Creticarum.

4.

Sosicrates primo libro Rerum Creticarum proprium aliquid habere ait Phæstios. Dicuntur enim jam a pueris ad dicenda ridicula exerceri : quare sæpe accidit, ut salsum aliquid et acutum opportune respondeant, propter usum ab ineunte ætate contractum. Itaque his Cretenses omnes hoc tribuunt, quod in ridicule dictis excellant.

5.

E LIBRO SECUNDO.

Schol. Aristoph. Av. 521: Λάμπων δ' ὄμνυσ' ἔτι καὶ νυνὶ τὸν χῆν', ὅταν ἐξαπατᾷ τι] Ὅτι [lege Οὐ. *Dubner.*] Πρῶτοι οἱ Σωκρατικοὶ ἐπετήδευσαν οὕτως ὀμνύναι. Σωσικράτης γὰρ ἐν τῷ β' τῶν Κρητικῶν οὕτως φησί· « Ῥαδάμανθυς δὲ δοκεῖ διαδεξάμενος τὴν βασιλείαν δικαιότατος γεγενῆσθαι πάντων ἀνθρώπων. Λέγεται δὲ αὐτὸν πρῶτον οὐδένα ἐᾶν ὅρκους ποιεῖσθαι κατὰ τῶν θεῶν, ἀλλ' ὀμνύναι κελεῦσαι χῆνα καὶ κύνα καὶ κριὸν καὶ τὰ ὅμοια. »

« Σωσικράτης Küsterus [et Meursius]. Legebatur Σωκράτης, hic et ap. Zenob. Prov. V, 81 (ubi eadem brevius). » Dindorf. Idem ex Zenobio ἐν τῷ β' scripsit pro vulg. ἐν τῷ ιϐ', laudatque de Sosicrate Hemsterhusium in Anecd. vol. I, p. 197 et Geelium in Bibl. crit. nova vol. I, p. 62. Cf. Apostol. XVII, 7; schol. Platon. p. 331 Bekker.; Eustath. ad Hom. p. 1871, 4; Hœck. in *Creta* II, p. 198.

6.

Athenæus VI, p. 263, F. Fragmentum libri quarti. V. Dosiadæ fr. 2, p. 399.

7.

Athenæus XIII, p. 561, E: Λακεδαιμόνιοι δὲ πρὸ τῶν παρατάξεων Ἔρωτι προθύονται, ὡς ἐν τῇ τῶν παραταττομένων φιλίᾳ κειμένης τῆς σωτηρίας τε καὶ νίκης. Καὶ Κρῆτες δ' ἐν ταῖς παρατάξεσι τοὺς καλλίστους τῶν πολιτῶν κοσμήσαντες, διὰ τούτων θύουσι τῷ Ἔρωτι, ὡς Σωσικράτης ἱστορεῖ.

8.

Schol. Eur. Hippol. 47: Πάσαις ταῖς ἀφ' Ἡλίου γενομέναις ἐμήνισεν Ἀφροδίτη διὰ τὴν μηνυθεῖσαν αὐτῆς ὑφ' Ἡλίου μοιχείαν. Τὴν οὖν Πασιφάην οὐ μόνον τοῦ ταύρου, ἀλλὰ καὶ τοῦ Μίνωος ἐρασθῆναί φασιν, ὡς ἱστορεῖ Σωσικράτης. Codd. Σωκράτης; em. Barnesius.

9.

Fulgentius Planciad. De vocib. antiq.: *Nefrendes: Diophantus Lacedæmonius, qui De sacris deorum scripsit, ait, apud Athenas Marti solere sacrificari sacrum, quod* Ἑκατομφόνια *appellatur; si quis enim centum hostes interfecisset, Marti de homine sacrificabat apud insulam Lemnum; quod sacrificatum est a duobus, Aristomene Gortynensi et Theocle Elæo, sicut Sosicrates scribit.*

Cf. Pausan. IV, 19, 2. Müller. *Dor.* I, 142. Hæc Creticorum auctori vindicanda esse probabile est propter Aristomenem Gortynensem. Quamquam idem Fulgentius in Myth. II, 14 alium *Sosicratem* laudat, *Cyzicenum*. *Collecta pecuniarum suarum summa*, ait, *ut Sosicrates Cyzicenus in libris Historiæ scribit, omni censu suo Mida rex Pactoli fluvium, qui in mare decurrere solitus erat, per innumerabiles meatus ad irrigandam provinciam derivavit, suaque expensa avaritia fluvium fertilem reddidit. Mida enim græce quasi* μηδὲν εἰδών, *id est nihil sciens. Avarus enim tantum stultus est, ut sibi prodesse non norit.*

SOSICRATES RHODIUS.

ΔΙΑΔΟΧΑΙ.

10.

Diog. L. I, 38, de Thalete: Ἐτελεύτησε δ' ἐτῶν ἑβδομήκοντα ὀκτώ, ἤ, ὡς Σωσικράτης φησίν, ἐνενήκοντα. Τελευτῆσαι γὰρ ἐπὶ τῆς πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος, γεγονότα κατὰ Κροῖσον, ᾧ καὶ τὸν Ἅλυν ὑποσχέσθαι ἄνευ γεφύρας περᾶσαι, τὸ ῥεῖθρον παρατρέψαντα.

11.

Idem I, 49, de Solone: Τοῦ δὴ λοιποῦ προσεῖχον αὐτῷ ὁ δῆμος καὶ ἡδέως καὶ τυραννεῖσθαι ἤθελον ὑπ'

5.

Sosicrates libro secundo Rerum Creticarum ita habet: « Rhadamanthys in regno succedens omnium hominum justissimus fuisse videtur. Is primus fertur vetasse, ne quis per deos juraret, sed jussisse per anserem jurare vel per canem, arietem et alia ejusmodi. »

7.

Lacedæmonii priusquam prœlia ineunt, Amori sacra faciunt, in eorum qui una in acie stant amicitia salutem victoriamque positam existimantes. Et Cretenses, quum aciem instruunt, formosissimos civium exornant, et per hos Amori sacrificant, ut Sosicrates tradit.

8.

Omnibus Solis posteris Venus irascebatur quod adulterium ejus a Sole patefactum esset. Pasiphaæ igitur non tauri (*Minois?*) solum sed Minois (*tauri?*) etiam amorem injecit, ut memoriæ mandavit Sosicrates.

PHILOSOPHORUM SUCCESSIONES.

10.

Thales mortuus ætatis anno septuagesimo, vel, ut Sosicrates ait, nonagesimo: quinquagesima quippe et octava Olympiade esse defunctum. Crœsi vero vixisse temporibus, cui etiam pollicitus esset Halyn fluvium sine ponte trajicere, averso flumine.

11.

Ex eo jam tempore Solon plebis in se animos ita converterat, ut sibi illum omnes uno animo imperare cuperent. Eis vero ille tantum abfuit ut acquiesceret, ut, auctore

αὐτοῦ· ὁ δὲ οὐχ εἵλετο, ἀλλὰ καὶ Πεισίστρατον τὸν συγγενῆ, καθά φησι Σωσικράτης, προαισθόμενος τὸ ἐφ' ἑαυτῷ διεκώλυσεν. Ἄξας γὰρ εἰς τὴν ἐκκλησίαν μετὰ δόρατος καὶ ἀσπίδος προεῖπεν αὐτοῖς τὴν ἐπίθεσιν τοῦ Πεισιστράτου· καὶ οὐ μόνον, ἀλλὰ καὶ βοηθεῖν ἕτοιμος εἶναι, λέγων ταῦτα· « Ἄνδρες Ἀθηναῖοι, τῶν μὲν σοφώτερος, τῶν δὲ ἀνδρειότερός εἰμι· σοφώτερος μὲν τῶν τὴν ἀπάτην τοῦ Πεισιστράτου μὴ συνιέντων, ἀνδρειότερος δὲ τῶν ἐπισταμένων μὲν, διὰ δέος δὲ σιωπώντων. » Καὶ ἡ βουλὴ, Πεισιστρατίδαι ὄντες, μαίνεσθαι ἔλεγον αὐτόν· ὅθεν εἶπε ταυτί·

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
  δείξει, ἀληθείης ἐς μέσον ἐρχομένης.

Τὰ δὲ περὶ τῆς τοῦ Πεισιστράτου τυραννίδος ἐλεγεῖα προλέγοντος αὐτοῦ ταῦτα ἦν·

Ἐκ νεφέλης φέρεται χιόνος μένος ἠδὲ χαλάζης·
  βροντὴ τ' ἐκ λαμπρῆς γίγνεται ἀστεροπῆς·
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται· ἐς δὲ μονάρχου
  δῆμος ἀϊδρείῃ δουλοσύνην ἔπεσεν.

Ἤδη δὲ αὐτοῦ κρατοῦντος οὐ πείθων ἔθηκε τὰ ὅπλα πρὸ τοῦ στρατηγίου καὶ εἰπὼν, « Ὦ πατρὶς, βεβοήθηκά σοι καὶ λόγῳ καὶ ἔργῳ, » ἀπέπλευσεν εἰς Αἴγυπτον καὶ εἰς Κύπρον, καὶ πρὸς Κροῖσον ἦλθεν.

12.

Idem I, 68, de Chilone : Γέγονε δὲ ἔφορος κατὰ τὴν πεντηκοστὴν πέμπτην Ὀλυμπιάδα. Παμφίλη δέ φησι κατὰ τὴν ἕκτην· καὶ πρῶτον ἔφορον γενέσθαι ἐπὶ Εὐθυδήμου, ὥς φησι Σωσικράτης.

13.

Idem I, 75, de Pittaco : Τότε δ' οὖν τὸν Πιττακὸν ἰσχυρῶς ἐτίμησαν οἱ Μυτιληναῖοι, καὶ τὴν ἀρχὴν ἐνεχείρισαν αὐτῷ. Ὁ δὲ δέκα ἔτη κατασχὼν καὶ εἰς τάξιν ἀγαγὼν τὸ πολίτευμα, κατέθετο τὴν ἀρχήν. καὶ δέκα ἐπεβίω ἄλλα. Καὶ χώραν αὐτῷ ἀπένειμαν οἱ Μυτιληναῖοι· ὁ δὲ ἱερὰν ἀνῆκεν, ἥτις νῦν Πιττάκειος καλεῖται. Σωσικράτης δέ φησιν ὅτι ὀλίγον ἀποτεμόμενος ἔφη τὸ ἥμισυ τοῦ παντὸς πλεῖον εἶναι.

14.

Idem I, 95, de Periandro : Σωσικράτης δέ φησι πρότερον Κροίσου τελευτῆσαι αὐτὸν ἔτεσι τετταράκοντα καὶ ἑνὶ, πρὸ τῆς τεσσαρακοστῆς ἐννάτης Ὀλυμπιάδος.

15.

Idem I, 101, de Anacharsi : Λέγει δὲ αὐτὸν Σωσικράτης ἐλθεῖν εἰς Ἀθήνας κατὰ τὴν τεσσαρακοστὴν ἑβδόμην Ὀλυμπιάδα, ἐπὶ ἄρχοντος Εὐκράτους.

16.

Idem I, 106, de Mysone : Μύσων Στρύμωνος, ὥς φησι Σωσικράτης, Ἕρμιππον παρατιθέμενος, τὸ γένος Χηνεὺς, ἀπὸ κώμης τινὸς Οἰταϊκῆς ἢ Λακωνικῆς, σὺν τοῖς ἑπτὰ καταριθμεῖται. Λέγεται δὴ πρός τινος (τινῶν?) Ἀναχάρσιδος πυνθανομένου εἴ τις αὐτοῦ σοφώτερος εἴη, τὴν Πυθίαν εἰπεῖν ἅπερ προείρηται ἐν τῷ Θαλοῦ βίῳ ὑπὲρ Χείλωνος·

Οἰταῖόν τινά φημι Μύσων' ἐνὶ Χηνὶ γενέσθαι
σοῦ μᾶλλον πραπίδεσσιν ἀρηρότα πευκαλίμῃσι.

Sosicrate, Pisistratum quoque propinquum suum, quum sibi tyrannidem parare intelligeret, quantum in se fuit, prohibuerit. Nam quum in concionem prosiliisset hasta armatus et clypeo, Pisistrati insidias et improbos conatus ipsis aperuit : neque id solum, verum et juvare paratum sese asseveravit, « Viri, inquiens, Athenienses, aliis ego sapientior, aliis vero fortior sum : sapientior quidem illis, qui Pisistrati conatus non animadverterunt ; fortior autem iis qui sciunt quidem illos, sed metu silent. » Senatus vero, qui studeret Pisistrato, insanire illum proclamabat. Itaque ille hæc dixit :

Noscetur mea post paullo vesania civi,
  noscetur, veris in medium positis.

Elegi autem quibus Pisistrati tyrannidem prædixit, sunt hi :

Vis nivis et nebuloso agitatur in æthere grando,
  horrendum excutiunt fulgura clara sonum :
et cecidere viris persæpe potentibus urbes,
  detrusa inque ferum plebs stolida imperium est.

Jam vero Pisistrato rerum potito, quum a proposito revocare non posset, ante curiam arma deposuit, dicens illud : « O patria, tibi equidem verbo et opere auxiliatus sum. » Inde profectus in Ægyptum navigavit atque in Cyprum, denique ad Crœsum pervenit.

12.

Chilo ephorus fuit Olympiade quinquagesima quinta; Pamphila vero ait Olympiade quinquagesima sexta ; ac primum ephorum fuisse sub Euthydemo archonte ait Sosicrates.

13.

Hinc igitur Pittacum in summo honore Mytilenæi habuere, eique principatum tradiderunt, quem ille quum decem annis tenuisset ac rempublicam præclare constituisset, se ipsum sponte magistratu abdicavit. Decem inde alios supervixit annos, agrumque sibi a Mytilenæis permissum sacravit, qui nunc Pittaceus dicitur. Sed Sosicrates ait eum partem exiguam sibi reservasse, et dixisse, dimidium plus toto esse.

14.

Sosicrates Periandrum ante Crœsum obiisse diem asserit annis uno et quadraginta, ante quadragesimam nonam Olympiadem.

15.

Sosicrates Anacharsin Athenas venisse ait Olympiade quadragesima septima, archonte Eucrate.

16.

Myson Strymonis filius, ut ait Sosicrates Hermippum testem citans, Chenensis genere e vico quodam Œtaico vel Laconico, septem sapientibus accensetur. Fertur a quibusdam, Pythiam, quum ab Anacharside quæreretur quisnam se esset sapientior, respondisse ut de Chilone prædiximus in Thaletis vita :

Œtæum quendam prognatum Chene Mysonem
te magis esse aio rebus sublimibus aptum.

Πολυπραγμονήσαντα δὲ ἐλθεῖν εἰς τὴν κώμην καὶ εὑρεῖν αὐτὸν θέρους ἐχέτλην ἀρότρῳ προσαρμόττοντα, καὶ εἰπεῖν, « Ἀλλ', ὦ Μύσων, οὐχ ὥρα νῦν ἀρότρου ». « Καὶ μάλα, » εἶπεν, « ὥστε ἐπισκευάζειν. » Ἄλλοι δὲ τὸν χρησμὸν οὕτως ἔχειν φασί « Ἠτεῖόν τινά φημι· » καὶ ζητοῦσι τί ἐστιν ὁ Ἠτεῖος. Παρμενίδης μὲν οὖν δῆμον εἶναι Λακωνικῆς, ὅθεν εἶναι τὸν Μύσωνα. Σωσικράτης δ' ἐν Διαδοχαῖς, ἀπὸ μὲν πατρὸς Ἠτεῖον εἶναι, ἀπὸ δὲ μητρὸς Χηνέα. Εὐθύφρων δ' ὁ Ἡρακλείδου τοῦ Ποντικοῦ, Κρῆτά φησιν εἶναι· Ἠτείαν γὰρ πόλιν εἶναι Κρήτης· Ἀναξίλαος δ' Ἀρκάδα.

17.

Idem VIII, 8, de Pythagora : Σωσικράτης δὲ ἐν Διαδοχαῖς φησιν αὐτὸν ἐρωτηθέντα ὑπὸ Λέοντος τοῦ Φλιασίων τυράννου, τίς εἴη; Φιλόσοφος, εἰπεῖν.

18.

Idem II, 84, de Aristippo : Ἔνιοι δὲ καὶ Διατριβῶν αὐτόν φασιν ἓξ γεγραφέναι· οἱ δ' οὐδ' ὅλως γράψαι· ὧν ἐστι καὶ Σωσικράτης ὁ Ῥόδιος.

19.

E LIBRO TERTIO.

Idem VI, 13 : Πρῶτος (Antisthenes) ἐδίπλωσε τὸν τρίβωνα, καθά φησι Διοκλῆς, καὶ μόνῳ αὐτῷ ἐχρῆτο· βάκτρον τε ἀνέλαβε καὶ πήραν· πρῶτον δὲ καὶ Νεάνθης φησὶν διπλῶσαι θοἰμάτιον· Σωσικράτης δ' ἐν τρίτῃ Διαδοχῶν, Διόδωρον τὸν Ἀσπένδιον καὶ πώγωνα καθεῖναι καὶ βάκτρῳ καὶ πήρᾳ χρῆσθαι.

20.

Athenæus IV, p. 163, F : Σωσικράτης δ' ἐν τρίτῳ Φιλοσόφων διαδοχῆς βαθεῖ πώγωνι χρήσασθαι τὸν Διόδωρον ἱστορεῖ, καὶ τρίβωνα ἀναλαβεῖν, κόμην τε φορῆσαι, κατά τινα τῦφον τὴν ἐπιτήδευσιν ταύτην προσαγαγόντα, τῶν πρὸ αὐτοῦ Πυθαγορικῶν λαμπρᾷ τε ἐσθῆτι ἀμφιεννυμένων, καὶ λουτροῖς καὶ ἀλείμμασι, κουρᾷ τε τῇ συνήθει χρωμένων.

21.

Diog. L. VI, 80, de scriptis Diogenis : Σωσικράτης δ' ἐν τῷ πρώτῳ (τρίτῳ?) τῆς Διαδοχῆς, καὶ Σάτυρος ἐν τῷ τετάρτῳ τῶν Βίων, οὐδὲν εἶναι Διογένους φασί.

22.

Athenæus X, p. 422, C : Καὶ Κράτης δ' ὁ κυνικός, ὥς φησι Σωσικράτης ἐν ταῖς Διαδοχαῖς, ἐπερράπισε Δημήτριον τὸν Φαληρέα, σὺν τῇ πήρᾳ τῶν ἄρτων καὶ λάγυνον πέμψαντα οἴνου· Εἴθε γὰρ, ἔφη, τὰς κρήνας καὶ ἄρτους ἦν φέρειν.

23.

Diog. L. VII, 163, de scriptis Aristonis Chii : Παναίτιος δὲ καὶ Σωσικράτης μόνας αὐτοῦ τὰς Ἐπιστολάς φασί· τὰ δὲ ἄλλα τοῦ περιπατητικοῦ Ἀρίστωνος.

Hoc illum oraculo sollicitatum ad vicum pervenisse, eumque reperisse æstate stivam aratro aptantem, ac dixisse, Atqui, o Myson, non aratro vacandi nunc tempus est : illumque respondisse, Imo vero nunc tempus est reficiendi. Alii oraculum illud sic editum fuisse dicunt, *Eteum quendam aio*, inquiruntque quid sit Eteus. Parmenides quidem pagum esse Laconiæ, unde fuerit Myson : Sosicrates vero in Successionibus, patre Eteum, matre Cheneum fuisse tradit : Euthyphron Heraclidis Pontici filius Cretensem asserit; esse enim in Creta oppidum Eteam : Anaxilaus Arcadem tradit.

17.

Sosicrates in Successionibus ait Pythagoram rogatum a Leonte Phliasiorum tyranno quisnam esset, dixisse : Philosophus.

18.

Quidam Aristippum etiam Dissertationum libros sex scripsisse asserunt; alii prorsus scripsisse eum aliquid negant, ex quibus est Sosicrates Rhodius.

19.

Antisthenes primus pallium, ut ait Diocles, duplicavit, ipsoque solo utebatur vestimento; baculumque sumpsit ac peram. Hunc etiam Neanthes primum refert duplicasse pallium : contra Sosicrates in Successionum tertio Diodorum ait Aspendium : et barbam promisisse et baculo et pera usum esse ait.

20.

Sosicrates, tertio libro de Philosophorum Successione, narrat, promissa usum esse barba Diodorum, et tritum pallium sumpsisse, comamque aluisse, institutumque illud ex vana quadam jactantia adhibuisse, quum ante ipsum Pythagorei splendida amicti veste incederent, et balneis et unguentis et tonsura pro aliorum hominum more usi essent.

21.

Sosicrates in primo (*tertio*) Successionis et Satyrus in quarto Vitarum nihil scriptum a Diogene esse affirmant.

22.

Crates Cynicus, ut narrat Sosicrates in Successionibus, objurgans Demetrium Phalereum, quod cum panum pera etiam vini lagenam ei misisset : « Utinam, inquit, panem etiam ferrent fontes. »

23.

Panætius et Sosicrates solas Epistolas Aristonis Chii esse, reliqua scripta ad Aristonem peripateticum pertinere.

SOSTHENES CNIDIUS.

1.

ΙΒΗΡΙΚΑ.

E LIBRO TREDECIMO.

Plutarchus De fluv. 16, 3 : Παράκειται δ' αὐτῷ (τῷ Νείλῳ) ὄρος, Ἄργιλλον καλούμενον ἀπ' αἰτίας τοιαύτης. Ζεὺς δι' ἐρωτικὴν ἐπιθυμίαν ἐκ Λύκτου, πόλεως Κρητικῆς, Ἄργην νύμφην ἁρπάσας, ἀπήνεγκεν εἰς ὄρος τῆς Αἰγύπτου, Ἄργιλλον καλούμενον· καὶ ἐγέννησεν ἐξ αὐτῆς υἱὸν, καλούμενον Διόνυσον· ὃς ἀκμάσας εἰς τιμὴν τῆς μητρὸς τὸν λόφον Ἄργιλλον μετωνόμασε· στρατολογήσας δὲ Πᾶνας καὶ Σατύρους, ἰδίοις σκήπτροις Ἰνδοὺς ὑπέταξε· νικήσας δὲ καὶ Ἰβηρίαν, Πᾶνα κατέλιπεν ἐπιμελητὴν τῶν τόπων· ὃς τὴν χώραν ἀπ' αὐτοῦ Πανίαν μετωνόμασεν· ἣν οἱ μεταγενέστεροι παραγώγως Σπανίαν προσηγόρευσαν· καθὼς ἱστορεῖ Σωσθένης ἐν ιγ' Ἰβηρικῶν.

2.

Id. ib. c. 17, 4 : Γεννᾶται δ' ἐν αὐτῷ (ἐν Εὐρώτᾳ) βοτάνη, καλουμένη Χαρίσιον, ἣν γυναῖκες, ἔαρος ἀρχομένου, τοῖς τραχήλοις περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἀγαπῶνται· καθὼς ἱστορεῖ Κλεάνθης ἐν α' Περὶ ὀρῶν. Μέμνηται δὲ τούτων ἀκριβέστερον Σωσθένης ὁ Κνίδιος, παρ' οὗ τὴν ὑπόθεσιν εἴληφεν Ἑρμογένης.



SOSTRATUS.

ΤΥΡΡΗΝΙΚΑ.

E LIBRO SECUNDO.

1.

Stobæus Floril. LXIV, 36 : Σωστράτου ἐν δευτέρῳ Τυρρηνικῶν. Αἴολος, τῶν κατὰ Τυρρηνίαν βασιλεὺς τόπων, ἔσχεν ἐξ Ἀμφιθέας θυγατέρας ἕξ, καὶ τὸν αὐτὸν ἀριθμὸν ἀρρένων παίδων, ὧν ὁ πρεσβύτατος (νεώτατος Plut.) Μακαρεὺς Κανάκης τῆς ἀδελφῆς ἐρασθεὶς ἐβιάσατο τὴν προειρημένην. Αἴολος δὲ περὶ τούτων μαθὼν τῇ θυγατρὶ ξίφος ἔπεμψεν· ἡ δὲ ὡς νόμον δεξαμένη τὸν σίδηρον αὑτὴν ἀνεῖλε. Μακαρεὺς δὲ τὸν γεννήσαντα προεξιλεωσάμενος ἔδραμεν εἰς τὸν θάλαμον· εὑρὼν δὲ τὴν ἀγαπωμένην αἱμορραγοῦσαν τῷ αὐτῷ ξίφει τὸν βίον περιέγραψε. Eadem brevius Plutarch. in Parall. min. c. 28, ex quo dedi Τυρρηνικῶν pro Τυραννικῶν, quod est apud Stobæum. Contra ap. Plut. ex Stobæo scribe ὡ νόμον κρίνασα pro vg. ἄνομον κρ.

ΘΡΑΚΙΚΑ.

E LIBRO SECUNDO.

2.

Stobæus Floril. VII, 66 : Σωστράτου ἐν δευτέρῳ Θρᾳκικῶν. Ἀθηναῖοι πρὸς Θρᾷκας πόλεμον ἔχοντες στρατηγὸν ἐχειροτόνησαν Κόδρον. Οὗτος ἀκούσας ὅτι χρησμὸν εἰλήφασιν οἱ πολέμιοι ἐγκρατεῖς γενήσεσθαι τῆς νίκης αὐτοὺς, ἐὰν τοῦ στρατηγοῦ φείσωνται τῶν Ἀθηναίων, ἐν δρυτόμου σχήματι συνέβαλε μάχην μετά τινων Θρᾳκῶν ξυλιζομένων, καὶ τῷ δρεπάνῳ καιρίως ἐξ αὐτῶν ἕνα πλήξας ἀνεῖλεν· οἱ δὲ λοιποὶ τὴν περίστασιν τοῦ στρατηγήματος μὴ γινώσκοντες ἀπέκτειναν τὸν

1.

IBERICA.

Adjacet Nilo mons Argillus ob hanc causam vocatus. Juppiter amoris desiderio perculsus ex Lycto, Cretæ civitate, Argen nympham rapuit, eamque in montem Ægypti, Argillum, duxit, ubi filium sustulit, quem dixere Dionysum. Verticem ille, quum ad ætatis florem pervenisset, in honorem matris Argillum vocavit, coactoque Panum et Satyrorum exercitu, sceptro suo Indos subjecit, devictaque Iberia, Panem illorum locorum præsidem reliquit, qui regionem a se ipso Paniam nominavit; unde posteri sumpta derivatione Spaniam eam appellarunt.

2.

Nascitur in Eurota planta Charisium dicta, quam mulieres, ineunte vere, collo appendunt, et vehementius ita a viris amantur, ut auctor est Cleanthes primo De montibus. Accuratius etiam de his exponit Sosthenes Cnidius, a quo argumentum sumpsit Hermogenes.

RES ETRUSCÆ.

1.

Æolus Etruriæ et vicinorum locorum rex ex Amphithea filias sex totidemque filios habuit. Horum maximus natu Macareus Canacen sororem deperiens stupravit. Quo comperto Æolus gladium filiæ misit. Quod illa quasi legem accipiens semet ipsa confodit. Interea Macareus, postquam iram parentis placaverat, in thalamum accurrit; ubi quum sanguinis profluxu emorientem puellam conspiceret, eodem ipse gladio vitam suam circumscripsit.

RES THRACICÆ.

2.

E Sostrati libro secundo Rerum Thracicarum. Athenienses contra Thraces bellum gerentes ducem crearunt Codrum. Is quum comperisset oraculum hostibus datum esse, quod victoriam prædicebat, si duci Atheniensium parcerent: assumpto amictu viri qui ligna cædit, cum Thracibus quibusdam ligna colligentibus manum conseruit unumque ex

Κόδρον θέλοντα· συμβαλόντες δὲ τὸν πόλεμον Ἀθηναῖοι τῆς νίκης ἐγκρατεῖς ἐγένοντο. Eadem paullo brevius Plutarch. in Parall. min. c. 18, ubi libri pro Σώστρατος perperam Σωκράτης.

ΜΥΘΙΚΗΣ ΙΣΤΟΡΙΑΣ ΣΥΝΑΓΩΓΗ.

E LIBRO PRIMO.

Plutarch. De fluv. c. 24 : Γεννᾶται δ' ἐν αὐτῷ (ἐν Τίγριδι) βοτάνη, ἣ κριθῇ ἐστι παρόμοιος ἀγρίᾳ· ταύτην οἱ ἐγχώριοι θερμαίνοντες ἐν ἐλαίῳ καὶ ἀλειφόμενοι, οὐδέποτε νοσοῦσι μέχρι ἀνάγκης τοῦ θανάτου, καθὼς ἱστορεῖ Σώστρατος ἐν α' Μυθικῆς ἱστορίας συναγωγῆς. Eadem Stobæus Florileg. 100, 17.

Subjicio quæ e libris De fluviis et De venatione afferuntur.

Plutarch. De fluv. c. 2 : Ἰσμηνὸς ποταμός ἐστι τῆς Βοιωτίας κατὰ πόλιν Θήβας· ἐκαλεῖτο δὲ τὸ πρότερον Κάδμου ποῦς, ἀπ' αἰτίας τοιαύτης· Κάδμος, τὸν κρηνοφύλακα δράκοντα τοξεύσας, καὶ εὑρὼν ὥσπερ πεφαρμακευμένον φόβου (φόνῳ?) τὸ ὕδωρ, περιήρχετο τὴν χώραν ζητῶν πηγήν· γενόμενος δὲ κατὰ τὸ Κωρύκαιον ἄντρον, κατὰ πρόνοιαν Ἀθηνᾶς, τὸν δεξιὸν πόδα βαθύτερον εἰς πηλὸν ἤρεισεν· ποταμοῦ δ' ἀναδοθέντος ἐκ τοῦ τόπου, ὁ ἥρως βουθυτήσας, Κάδμου πόδα προσηγόρευσεν αὐτόν. Μετὰ δέ τινα χρόνον Ἰσμηνός, Ἀμφίονος καὶ Νιόβης παῖς, ὑπ' Ἀπόλλωνος τοξευθείς, καὶ ἀλγηδόνι συνεχόμενος, ἑαυτὸν ἔβαλεν εἰς τὸν προειρημένον ποταμόν, ὃς ἀπ' αὐτοῦ Ἰσμηνὸς ὠνομάσθη· καθὼς ἱστορεῖ Σώστρατος ἐν β' Περὶ ποταμῶν.

Stobæus Floril. LXVI, 34 : Σωστράτου ἐν β' Κυνηγετικῶν. Κυάνιππος τῷ γένει Θεσσαλὸς γήμας Λευκώνην, τὰ πολλὰ διὰ φιλοκύνηγον ἐνέργειαν ἐν ὕλαις διέτριβεν. Ἡ δὲ νεόνυμφος ὑπολαμβάνουσα συνήθειαν αὐτὸν ἔχειν μεθ' ἑτέρας γυναικὸς κατ' ἴχνος ἠκολούθησε τῷ προειρημένῳ, καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ τὸ μέλλον ἀπεκαραδόκει. Τῶν δὲ πέριξ κλάδων αἰφνιδίως σεισθέντων, οἱ στιβευταὶ κύνες δόξαντες καὶ αὐτὴν ἀλόγου ζώου δίκην διεσπάραξαν. Τῆς δὲ πράξεως αὐτόπτης γενόμενος Κυάνιππος ἑαυτὸν ἐπικατέσφαξεν. Eadem Apostol. Prov. XI, 83.

Præterea laudatur Sostratus Περὶ ζώων apud Athenæum VII, p. 312, F (Σώστρατος ἐν τοῖς Περὶ ζώων· ἔστι δὲ ταῦτα δύο βιβλία. Ubi pro δύο legerim δ'; nam quartum hujus operis librum laudat schol. Apollon. I, 1265, nisi malis ibi pro ἐν δ' legere ἐν δευτέρῳ); Athen. VII, p. 303, C (ἐν β'); schol. Nicandri Ther. 565. 747 (Περὶ φύσεως ζώων). 760. 764 (Περὶ βλητῶν ἢ δακέτων). Ad eosdem libros spectat Ælianus N. A. V, 27 et VI, 21. Porro schol. Theocrit. I, 115 (Περὶ ἄρκτων), et VI, 28.

Ceterum num ea quæ recensuimus ad eundem omnia, an ad plures Sostratos pertineant, nescio. Sostratum filium Aristodemi Nysæensis grammatici, Augusti ævo florentem, memorat Strabo XIV, p. 650; Sostratum Phanagorensem citat Stephanus Byz. v. Μυκάλη : Λέγεται καὶ θηλυκῶς Μυκαλησσίς, ὡς Σώστρατος ὁ Φαναγορίτης. Fortasse alterum, fortasse neutrum horum Pseudoplutarchus intelligi voluit.

STAPHYLUS NAUCRATITA.

ΠΕΡΙ ΘΕΤΤΑΛΩΝ.

1.

Schol. Apoll. Rh. I, 580 : Στάφυλος δὲ ὁ Ναυκρατίτης Πελασγόν φησιν Ἀργεῖον τὸ γένος, μετοικῆσαι δὲ εἰς Θεσσαλίαν, καὶ ἀπ' αὐτοῦ Πελασγίαν τὴν Θεσσαλίαν κληθῆναι.

E LIBRO TERTIO.

2.

Idem ib. IV, 816 : Στάφυλος δὲ ἐν τρίτῳ τῶν Περὶ Θεσσαλίαν ἱστορεῖ Χείρωνα, σοφὸν ὄντα καὶ ἀστρονομίας ἔμπειρον, βουλόμενον τὸν Πηλέα ἔνδοξον ποιῆσαι, μεταπέμψασθαι τὴν Ἄκτορος θυγατέρα τοῦ Μυρμιδόνος, καὶ λόγους διασπεῖραι, ὅτι μέλλει γαμεῖν τὴν Θέτιν ὁ Πηλεύς, Διὸς διδόντος αὐτῷ· οἱ δὲ θεοὶ μετ' ὄμβρου καὶ χειμῶνος ἥξουσιν εἰς τὸν γάμον. Ταῦτα φημίσας, παρετήρει τὸν χρόνον, ἐν ᾧ ὑδάτων ἔμελλεν ἔσεσθαι ἐπομβρία καὶ πνεύματα ἐξαίσια, καὶ τότε δί-

---

iis falce letale vulnus infligens interfecit. Tum reliqui strategema ignorantes Codrum volentem occiderunt. Sic factum est ut Athenienses, conserto prœlio, victoriam deportarent.

3.

Crescit in Tigride herba, quæ hordeo agresti similis est; hanc indigenæ calefaciunt in oleo, eoque inuncti nullo morbo laborant, donec eos premit mortis necessitas, ut narrat Sostratus primo libro Historiæ fabulosæ collectionis.

DE THESSALIS.

1. Staphylus Naucratita Pelasgum genere Argivum fuisse ait, sed in Thessaliam migrasse, quæ ab eo Pelasgia vocata sit.

2.

Staphylus libro tertio De Thessalia narrat Chironem, virum sapientem et astronomiæ peritum, ut celebritatem Peleo compararet, advocasse Actoris Myrmidone nati filiam, rumorem vero sparsisse, quasi Thetidem Peleus, Jove dante, esset ducturus, diique cum pluvia ac tempestate ad nuptias venturi essent. Hac divulgata fama, tempus observavit, quo imbrium copiam fore et immanes procellas prævidit, ac tunc Peleo dedit Philomelam. Sic igitur opinio invaluit Thetidem a Peleo ductam esse.

δωσι Πηλεῖ Φιλομήλαν. Καὶ οὕτως ἐπεκράτησεν ἡ φήμη, ὅτι τὴν Θέτιν ἔγημε. Eadem Eudocia p. 226. Musurus hæc transtulit in schol. Aldin. Arist. Nub. 1064.

3.

Schol. Iliad. Π, 175 : Ἐκ τίνος Πηλεὺς Πολυδώραν ἔσχεν; ὡς μὲν Στάφυλος ἐν τῇ γ' (al. ς') Θεσσαλικῶν, ἐξ Εὐρυδίκης τῆς Ἄκτορος θυγατρός· Φερεκύδης δὲ ἐξ Ἀντιγόνης τῆς Εὐρυτίωνος, ἄλλοι (Σουΐδας D.) δὲ ἐκ Λαοδαμείας τῆς Ἀλκμαίωνος.

4.

Harpocration : Πενέσται παρὰ Θετταλοῖς καλοῦνται οἵπερ παρὰ Λακεδαιμονίοις Εἵλωτες... Διείλεκται δὲ περὶ αὐτῶν ἐπὶ πλέον Στάφυλος ἐν τῇ γ' Περὶ Θετταλῶν. Οὐ μόνον δὲ αὐτοὺς Πενέστας καλεῖσθαί φησι, ἀλλὰ καὶ Θετταλοικέτας. Pro γ' cod. A. habet δ'. — Θετταλοικέτας cod. B, Θετταλικάς. D. De re cf. fragm. Philocratis et Müller. *Dor.* II, p. 66.

5.

Argument. Eur. Medeæ : Στάφυλος δέ φησι τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι· ἐγκελεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν κατακοιμηθῆναι, μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι, τελευτῆσαι αὐτόν.

ΠΕΡΙ ΑΘΗΝΩΝ.

E LIBRO PRIMO.

6.

Harpocration : Ἐπίβοιον... Φιλόχορος ἐν β' φησὶν οὕτως· « Ἐὰν δέ τις τῇ Ἀθηνᾷ θύῃ βοῦν, ἀναγκαῖόν ἐστι καὶ τῇ Πανδρόσῳ θύειν οἶν, καὶ ἐκαλεῖτο τὸ θῦμα ἐπίβοιον. » Ὁμοίως καὶ Στάφυλος ἐν α' τῶν Περὶ Ἀθηνῶν.

ΠΕΡΙ ΑΙΟΛΕΩΝ.

7.

Harpocration v. Προναία : Ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ Προναία διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρῦσθαι. Ταύτην δὲ Ἡρόδοτος ἐν τῇ η' (c. 135) Προνηίην ὀνομάζει. Ἱστορήκασι δὲ περὶ αὐτῆς ἄλλοι τε καὶ Στάφυλος ἐν τῷ Περὶ Αἰολέων.

Προναία cod. D. Πρόνοια ceteri.

ΠΕΡΙ ΑΡΚΑΔΩΝ.

8.

Sextus Empiricus C. math. p. 51, E : Στάφυλος δὲ ἐν τῷ Περὶ Ἀρκάδων (sc. Ἀσκληπιὸν κεκεραυνῶσθαι λέγει), ὅτι Ἱππόλυτον ἐθεράπευσε φεύγοντα ἐκ Τροιζῆνος, κατὰ τὰς παραδεδομένας κατ' αὐτοῦ ἐν τοῖς τραγῳδουμένοις φήμας. Φύλαρχος δὲ (fr. 17) κτλ.

INCERTA.

9.

Athenæus II, p. 45, C: Στάφυλος δέ φησι τὴν τοῦ οἴνου πρὸς τὸ ὕδωρ κρᾶσιν Μελάμποδα πρῶτον εὑρεῖν.

10.

Clem. Al. Protr. c. 2, p. 11, 20 Sylb. (I, 32 Kl.): Ἀγαμέμνονα γοῦν τινα Δία ἐν Σπάρτῃ τιμᾶσθαι Στάφυλος ἱστορεῖ.

3.

Ex quanam muliere Peleus Polydoram suscepit? Ut Staphylus ait tertio Thessalicorum, ex Eurydice Actoris filia; secundum Pherecydem, ex Antigona Eurytionis filia; Suida auctore, ex Laodamia Alcmæonis filia.

4.

Penestæ apud Thessalos vocantur, qui apud Lacedæmonios appellantur Helotes. Fusius de iis disseruit Staphylus libro tertio De Thessalis; nec solum Penestas, sed etiam Thessaloecetas vocari ait.

5.

Staphylus ait Iasonem quodammodo a Medea esse interfectum. Nam jussisse eam sub puppi Argûs navis eum dormire, quum navis præ vetustate jam dissolveretur. Itaque puppe in Iasonem decidente interfectum esse.

DE ATHENIS.

6.

Philochorus libro secundo : « Si quis, ait, Minervæ bovem mactat, necessarium est idem etiam Pandroso ovem sacrificet, atque vocabatur hoc sacrificium ἐπίβοιον. » Similiter Staphylus quoque tradit libro primo De Athenis.

DE ÆOLIBUS.

7.

Vocabatur quædam apud Delphos Minerva Pronæa, quod ante templum consecrata esset. Hanc Herodotus libro octavo Προνηίην appellat. Exposuerunt de ea præter alios Staphylus in libro De Æolibus.

DE ARCADIBUS.

8.

Staphylus in libro De Arcadibus Æsculapium Jovis fulmine ictum esse dicit propterea quod Hippolytum vitæ restituerit ex Trœzene fugientem, ut de eo fama traditum est in argumentis tragœdiarum.

9.

Staphylus ait vini aqua temperandi artem a Melampode inventam esse.

10.

Agamemnonem quendam Jovem Lacedæmone coli Staphylus narrat.

11.

Plinius H. N. V, 31, 36 : (Cos insula,) *ut plures existimant, Merope vocata; Cea, ut Staphylus.* — Nomen Staphyli occurrit etiam in indice auctorum libri IV.

12.

Strabo X, p. 476, appositis de Cretæ incolis Homeri (Od. τ, 176) versibus,

Ἐν μὲν Ἀχαιοί,
ἐν δ' Ἐτεόκρητες μεγαλήτορες, ἐν δὲ Κύδωνες
Δωριέες τε τριχάϊκες δῖοί τε Πελασγοί, pergit :

Τούτων φησὶ Στάφυλος τὸ μὲν πρὸς ἕω Δωριεῖς κατέχειν, τὸ δὲ δυσμικὸν Κύδωνας, τὸ δὲ νότιον Ἐτεόκρητας, ὧν εἶναι πολίχνιον Πρᾶσον, ὅπου τὸ τοῦ Δικταίου Διὸς ἱερόν· τοὺς δ' ἄλλους, ἰσχύοντας πλέον, οἰκῆσαι τὰ πεδία. Sequitur Andronis (Halicarn.) fragm. 4. Vid. tom. II, p. 349.

13.

Zenob. V, 76 : Πεύκης τρόπον· αὕτη τάττεται κατὰ τῶν πανωλεθρίᾳ ἀπολλυμένων· παρόσον ἡ πεύκη κοπεῖσα οὐκέτι φύεται. Μέμνηται δὲ αὐτῆς Στάφυλος ὁ Ναυκρατίτης.

Tzetzes Hist. IX, 833:

Ἐχεκευκὶς, πανώλεθρον καὶ τὸ πικρὸν κυρίως,
ἐκ δένδρου πεύκης δ' ἔσχηκεν ἄμφω τὴν κλῆσιν ταύτην·
ἡ πεύκη γὰρ, ὡς Στάφυλός φησιν ὁ Ναυκρατίτης,
πανωλεθρίᾳ ὄλλυται, τῆς κορυφῆς κοπείσης.

Cf. Herodot. VI, 37, ibique Creuzer. et Bæhr. Fortasse eandem rem Staphylus narravit quam Herodotus, qui Crœsum ait Lampsacenis imperasse, ut Miltiadem, quem vivum ceperant, salvum dimitterent; εἰ δὲ μὴ, σφέας πίτυος τρόπον ἠπείλησεν ἐκτρίψειν κτλ. Quem Herodoti locum respicit Eustathius ad Hom. Il. α, 51, p. 42, 36 et Gellius N. A. VIII, 4.

STESICLIDES ATHENIENSIS.

ΑΡΧΟΝΤΩΝ ΚΑΙ ΟΛΥΜΠΙΟΝΙΚΩΝ ΑΝΑΓΡΑΦΗ.

Diogen. Laert. II, 55. de Xenophontis filio Gryllo : Ἤκμαζε δὲ κατὰ τὸ τέταρτον ἔτος τῆς τετάρτης καὶ ἐνενηκοστῆς Ὀλυμπιάδος, καὶ ἀναβέβηκε σὺν Κύρῳ ἐπὶ ἄρχοντος Ξεναινέτου ἑνὶ πρότερον ἔτει τῆς Σωκράτους τελευτῆς. Κατέστρεψε δὲ, καθά φησι Στησικλείδης ὁ Ἀθηναῖος ἐν τῇ τῶν ἀρχόντων καὶ Ὀλυμπιονικῶν ἀναγραφῇ, ἔτει πρώτῳ τῆς πέμπτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος, ἐπὶ ἄρχοντος Καλλιδημίδου, ἐφ' οὗ καὶ Φίλιππος ὁ Ἀμύντου Μακεδόνων ἦρξε. Τέθνηκε δ' ἐν Κορίνθῳ, ὥς φησι Δημήτριος ὁ Μάγνης, ἤδη δηλαδὴ γηραιὸς ἱκανῶς.

Καλλιδημίδου] leg. vid. Καλλιμήδους ex Diodor. XVI, 2 et Dionys. Din. p. 648. De re cf. Clinton. F. H. ad an. 360.

TELEPHANES.

ΠΕΡΙ ΤΟΥ ΑΣΤΕΟΣ.

Athenæus XIV, p. 614, D : Ἱππόλοχος δὲ ὁ Μακεδὼν ἐν τῇ πρὸς Λυγκέα ἐπιστολῇ γελωτοποιῶν μέμνηται Μανδρογένους καὶ Στράτωνος τοῦ Ἀττικοῦ. Πλῆθος δ' ἦν Ἀθήνησι τῆς σοφίας ταύτης. Ἐν γοῦν τῷ Διομέων Ἡρακλείῳ συνελέγοντο ἑξήκοντα ὄντες τὸν ἀριθμὸν, καὶ ἐν τῇ πόλει δὲ ὠνομάζοντο, ὡς « Οἱ ἑξήκοντα τοῦτ' εἶπον » καὶ « Ἀπὸ τῶν ἑξήκοντα ἔρχομαι. » Ἐν δὲ τούτοις ἦσαν Καλλιμέδων τε ὁ Κάραβος καὶ Δεινίας, ἔτι δὲ Μνασιγείτων καὶ Μέναιχμος, ὥς φησι Τηλεφάνης ἐν τῷ Περὶ τοῦ ἄστεος.

12.

Staphylus Cretæ partes orienti obversas a Doriensibus, a Cydonibus occiduas ait habitatas, austrinam plagam ab Eteocretibus, quorum fuit oppidulum Prasum, ubi est Dictæi Jovis templum : reliquos plus virium habentes campestria obtinuisse.

13.

Abietis in modum. Proverbium de iis usurpatur, qui funditus perierunt, quandoquidem abies præcisa non amplius crescit. Meminit proverbii Staphylus Naucratita.

ARCHONTUM ET OLYMPIONICARUM RECENSUS.

Floruit Xenophon quarto anno nonagesimæ et quartæ Olympiadis, ascenditque cum Cyro, archonte Xenæneto, anno uno ante Socratis mortem. Obiit autem, ut ait Stesiclides Atheniensis in Descriptione archontum et Olympionicarum, anno primo centesimæ quintæ Olympiadis, archonte Callidemide, quo et Philippus Amyntæ filius apud Macedones imperium suscepit. Obiit Corinthi, ut ait Demetrius Magnes, ad maturam jam provectus senectutem.

DE (ATHENARUM) URBE.

Hippolochus Macedo in Epistola ad Lynceum, scurrarum meminit Mandrogenis et Stratonis Attici. Multitudo vero Athenis erat hominum artem hanc profitentium : qui in Diomensium Heracleo congregabantur, sexaginta numero, atque etiam hoc ipso nomine in urbe appellabantur, ut vulgo diceretur verbi causa, *Sexaginta-viri hoc dixerunt;* aut, *Venio a sexaginta-viris.* Quorum in numero erant Callimedon Carabus et Dinias, item Mnasigiton et Menæchmus, ut tradit Telephanes in libro De Urbe.

TELESARCHUS.

ΑΡΓΟΛΙΚΑ.

1.

Sextus Empir. Adv. math. I, 12, p. 271 Fabric. : Τελέσαρχος δὲ ἐν τῷ Ἀργολικῷ (Ἀσκληπιὸν κεκεραυνῶσθαι λέγει), ὅτι τὸν Ὠρίωνα ἐπεβάλετο ἀναστῆσαι. Eadem Schol. Eur. Alcest. 1, omisso libri titulo. Cf. Phylarch. fr. 17; Apollodor. III, 10, 4; Schol. Pindar. Pyth. III, 96.

2.

Schol. Il. λ, 690 : Quæritur quam ob causam Hercules Pylum expugnaverit Neleique filios præter Nestorem occiderit : Τελέσαρχος δὲ ἐν τοῖς Ἀργολικοῖς, ἄγοντα τὰ χρύσεα μῆλα καὶ τὸν ζωστῆρα καὶ τοὺς Διομήδους ἵππους εἴργεσθαι ἐπιβαίνειν τῇ πόλει, καὶ τοῦ Νέστορος κωλύοντος.

TEUCER CYZICENUS.

Suidas : Τεῦκρος ὁ Κυζικηνὸς, ὁ γράψας Περὶ χρυσοφόρου γῆς, Περὶ τοῦ Βυζαντίου, Μιθριδατικῶν πράξεων βιβλία ε', Περὶ Τύρου ε', Ἀραβικῶν ε', Ἰουδαϊκὴν ἱστορίαν ἐν βιβλίοις ϛ', Ἐφήβων τῶν ἐν Κυζίκῳ ἄσκησιν γ' καὶ λοιπά.

Nihil ex his tulit ætatem, si quidem duos istos locos, quibus Teucer apud auctorem Etym. M. citatur, ad opera a Suida recensita referri vix possunt. Num ejusdem Teucri Cyziceni sint Ὁρισμοὶ, quorum Athenæus mentionem facit, non liquet. Neque magis constat num Cyzicenus Teucer idem sit cum *Teucro Babylonio*, de quo Porphyrius Introd. in Ptolem. De effect. astror. p. 200 ed. Bas. : Ἔγκειται δὲ καὶ τῶν δεκανῶν καὶ τῶν παρανατελλόντων αὐτοῖς καὶ τῶν προσώπων τὰ ἀποτελέσματα παρὰ Τεύκρῳ τῷ Βαβυλωνίῳ. Et Psellus in fragm. quod e cod. Monac. a Spengelio descriptum publicavit Westermann. in Paradoxogr. p. 147 : Ἀπὸ τῶν Τεύκρου τοῦ Βαβυλωνίου βιβλίων πολλά τις ἂν εὕροι θαυμασιώτατα, ἀπό τε τῶν ζωδίων καὶ ἀπὸ τῶν παρανατελλόντων ἑκάστῳ τούτων καὶ ἀπὸ τῶν λεγομένων δεκανῶν παντοδαπὰς ἀφορμὰς ἐν διαφόροις πράξεσι ποριζόμενος. Εἰσὶ γὰρ ἐν ἑκάστῳ τῶν ζωδίων τρεῖς κατειλεγμένοι δεκανοὶ ποικιλόμορφοι, ὁ μὲν κατέχων πέλεκυν, ὁ δ' εἰς ἄλλο τι ἐσχηματισμένος εἰκόνισμα· ὧν εἰ τὰ εἴδη καὶ τὰ σχήματα ἐν δακτυλίων ἐγγλύψεις σφενδόνῃ, ἀποτρόπαιά σοι δεινῶν γενήσεται. Ταῦτα μὲν οὖν ὁ Τεῦκρος καὶ οἱ κατ' ἐκεῖνον οἱ περιττοὶ τὰ μετέωρα. Huncce locum e cod. jam dedit Salmasius in Plin. Exerc. p. 461, qui in Præf. De an. climact. Teucrum hunc astrologum ab Arabibus *Tenkelum* vocari notat. Eundem esse *Lasbam Babylonium*, qui dicatur in cod. ms. Joh. Camateri censet Fabricius Bibl. Gr. IV, p. 166. Sub *Zeuchi* nomine quædam astrologica ferri, teste Labbeo Bibl. nov. ms. p. 278 monet Bruckerus Hist. crit. phil. I, 2, p. 130, uti disco ex Westermanno Præf. ad Paradox. p. XLVIII. Idem Bruckerus Babylonium a Cyziceno Suidæ non distinguit. Fortasse Babylonii nomen ab arte astrologica invenit. Monendum vero etiam Agathoclem Cyzicenum item ab aliis vocari Babylonium. Ac nescio an Ἰουδαϊκὴ ἱστορία, quam Suidas dicit, non fuerit potius Χαλδαϊκὴ ἱστορία.

1.

Etym. M. p. 210, 22 : Βουτρωτὸς ἢ Βουθρωτὸς, πόλις τῆς Ἠπείρου, ὥς φησι Τεῦκρος ὁ Κυζικηνὸς, ὅτι Ἑλένου ἐκ τῆς πατρίδος εἰς τὴν Ἤπειρον παραγενομένου, θύοντος δὲ ἐπιβατήρια, ἡ βοῦς οὐ καιρίαν λαβοῦσα τομὴν, φεύγει, καὶ κόλπον τινὰ τῆς Ἠπείρου διανηξαμένη, εἰς γῆν ἐξέρχεται, καὶ καταπεσοῦσα ἀπέθανεν. Ὁ δὲ Ἕλενος, συμβόλῳ θείῳ χρησάμενος, κτίζει πόλιν, καὶ ἀπὸ τοῦ συμβάντος Βουτρωτὸν αὐτὴν ὠνόμασε.

Stephan. Byz. : Βουθρωτὸς, χερρόνησος περὶ Κέρκυραν. Ἔστι καὶ πόλις. Ἐκλήθη δ' οἱ μὲν φασιν ἀπὸ τοῦ οἰκιστοῦ, οἱ δὲ μυθεύονται, ὅτι Ἑλένῳ ἐκ Τροίας πλέοντι ἐς ἑσπέρην, θύσαντι ἀποβατήρια ἐν Ἠπείρῳ, τὸ θῦμα ἡ βοῦς ἀποδρᾶσα ἐκ τοῦ βουπλῆγος ᾤχετο φεύγουσα διὰ τὸ μεταξὺ πόντου· καὶ εἰς τὸν χέρσον ἐμβᾶσα (καὶ γὰρ τρῶμα ἐν τῇ δειρῇ εἶχεν) αὐτοῦ ἤριπε καὶ ἔθανε· καὶ κληδόνι ὁ Ἕλενος χρῆται, ἵνα ἔθηκε Βουθρωτὸν, ὥς φησι Τεῦκρος ὁ Κυζικηνός.

2.

Etym. M. p. 193, 19 : Βεβαία, πηγὴ οὕτω κα-

ARGOLICA.

1.

Telesarchus in opere De Argolide Æsculapium propterea fulmine ictum esse dicit, quod Orionem in vitam restituere conatus sit.

2.

Telesarchus in Argolicis Herculem Pylum expugnasse ait, quod ille malis aureis et balteo et Diomedis equabus politus ab urbis ingressu prohibitus esset, arcente etiam Nestore.

1.

Butrotus vel Buthrotus, urbs Epiri. Nimirum, ut Teucer Babylonius ait, quum Helenus e patria in Epirum venisset, et ob descensum in terram sacra faceret, bos victima, quod ictum haud letalem acceperat, aufugit et sinum quemdam Epiri tranans in terram egreditur, ubi concidens exspiravit. Quod pro omine Helenus accipiens, urbem ibi condit eamque a casu illo Butrotum (*Bovem vulneratam*) nominavit.

2.

Bebæa, fons sic dictus in Eubœa. Cujus nomen Teucer

λουμένη ἐν Εὐβοίᾳ. Ἐτυμολογεῖ δὲ Τεῦκρος, ὅτι φησὶ τῶν ἐν τῇ νήσῳ ποτὲ ὑδάτων ἐκλιπόντων καὶ ποταμῶν καὶ πηγῶν, μόνη αὕτη ὁμοίως διέμεινε πολύυδρος. Παρὰ τὸ βέβαιον οὖν καὶ ἀνελλιπὲς, Βεβαία.

3.

ΟΡΙΣΜΟΙ.

Athenæus X, p. 455, E. Griphus in cochleam : Φέρεται δὲ τοῦτο καὶ ἐν τοῖς Τεύκρου Ὁρισμοῖς·

Ζῶον ἄπουν ἀνάκανθον ἀνόστεον ὀστρακόνωτον
ὄμματά τ' ἐκκύπτοντα προμήκεα καἰσκύπτοντα.

TEUPALUS ANDRIENSIS.

ΗΛΕΙΑΚΑ.

Stephan. Byz.: Ἀνδρία, πόλις Ἠλείας... Ὁ πολίτης Ἀνδριεύς. Τεύπαλος ὁ γράψας Ἠλειακά (sic cod. Rhediger.; vulgo Ἰλιακά).

THEAGENES (MACEDO).

Photius cod. 161, p. 104, b, 15, Sopatrum dicit Eclogarum librum decimum consarcinasse ex Cephalionis Erato, quæ Alexandri M. res narravit, ex Apollonii Stoici libris De mulieribus illustribus, καὶ ἐκ τῶν Θεαγένους δὲ Μακεδονικῶν πατρίων, et ex Vitis Plutarchi. Titulus πάτρια Μακεδονικά, siquidem genuinus est (certe Stephanus simpliciter Theagenem ἐν Μακεδονικοῖς citare solet), aut ita explicandus est ut significet, *De rebus Macedoniæ patriæ*, aut ita, ut sit *De originibus et historia urbium Macedonicarum*, quo sensu apud citerioris ævi scriptores vox πάτρια adhiberi solet. Sic, ut unum afferam, Christodorus sub Anastasio πάτρια scripsit urbium quam plurimarum.

ΜΑΚΕΔΟΝΙΚΑ.

1.

Stephan. Byz. : Ἀκεσαμενοί, πόλις Μακεδονίας, ὡς Θεαγένης. Κτίσμα Ἀκεσαμένου, ἑνὸς τῶν ἐν Πιερίᾳ βασιλευσάντων.

2.

Idem : Ἀλτός, χωρίον Θεσσαλονίκης, ὡς Θεαγένης ἐν Μακεδονίᾳ (sic).

3.

Idem : Βάλλα, πόλις Μακεδονίας, ὡς Πέλλα, ὁ πολίτης Βαλλαῖος. Θεαγένης ἐν Μακεδονίᾳ (sic)· « Βαλλαίους μεταγαγὼν εἰς τὸν νῦν λεγόμενον Πύθιον τόπον. »

4.

Idem : Ἐλευθερίσκος, πόλις Μακεδονίας. Θεαγένης Μακεδονικοῖς.

5.

Idem : Κύδνα, πόλις Μακεδονίας, Θεαγένης ἐν Μακεδονικοῖς· ἡ κατὰ παραφθορὰν Πύδνα λέγεται.

6.

Idem : Λήτη, πόλις Μακεδονίας, ἀπὸ τοῦ πλησίον ἱδρυμένου Λητοῦς ἱεροῦ, ὡς Θεαγένης Μακεδονικοῖς.

7.

Idem : Μίεζα, πόλις Μακεδονίας, ἡ Στρυμόνιον ἐκαλεῖτο, ἀπὸ Μιέζης θυγατρὸς Βέρητος τοῦ Μακεδόνος, ὡς Θεαγένης ἐν Μακεδονικοῖς. Βέρης γὰρ τρεῖς ἐγέννησε, Μίεζαν, Βέροιαν, Ὄλγανον (Ὄλκιμον?

---

inde deducit, quod, quum reliqui insulæ fluvii fontesque quondam defecissent, ille solus sicuti antea aqua semper abundasset. Itaque ob aquæ nunquam deficientis constantiam (βέβαιον) appellatum esse Βεβαίαν.

3.

DEFINITIONES.

In cochleam etiam in Teucri Definitionibus hic legitur griphus :

Animal sine pedibus, sine spinis, sine ossibus, testaceo tergo, prælongis oculis, qui extrorsum exseruntur et introrsum [recedunt.

ELIACA.

Andria, urbs Elidis. Civis Andriensis, testante Teupalo, qui Eliaca scripsit.

MACEDONICA.

1.

Acesameni, urbs Macedoniæ, ut Theagenes. Condita urbs ab Acesameno, uno ex Pieriæ regibus.

2.

Altus, locus prope Thessalonicen, ut Theagenes ait in Macedonicis.

3.

Balla, urbs Macedoniæ, ut Pella. Civis Ballæus. Theagenes in Macedonicis : « Ballæos transferens in Pythium locum qui nunc vocatur. »

4.

Eleutheriscus, urbs Macedoniæ. Theagenes in Macedonicis.

5.

Cydna, urbs Macedoniæ, ut Theagenes in Macedonicis; quæ nominis corruptione dicitur Pydna.

6.

Lete, urbs Macedoniæ, a Latonis fano, quod in propinquo est, sic nominata, ut ait Theagenes in Macedonicis.

7.

Mieza, urbs Macedoniæ, quæ Strymonium vocabatur, nomen habet a Mieza Beretis Macedonis filia, ut Theagenes

Holsten.), ἀφ' οὗ (l. ὧν) ποταμὸς ὁμώνυμος καὶ πόλις Βέροια καὶ τόπος Στρυμόνος (Στρυμόνιος?).

8.

Steph. Byz. : Μισητός, πόλις Μακεδονίας. Θ. Μακεδονικοῖς.

9.

Idem : Ὀλόβαγρα, πόλις Μακεδ. Θεαγ. Μακεδ.

10.

Idem : Ὀρέσται, Μολοσσικὸν ἔθνος... Θεαγένης ἐν Μακεδονικοῖς (sic cod. Rhed.; Θ. ε' Μακεδονικῶν vgo.) φησιν, ὅτι ἐπεὶ ἀφείθη τῆς μανίας Ὀρέστης, φεύγων διὰ τὴν αἰδῶ μετὰ τῆς Ἑρμιόνης, εἰς ταύτην ἦλθε τὴν γῆν καὶ παῖδα ἔσχεν Ὀρέστην, οὗ ἄρξαντος ἐκλήθησαν Ὀρέσται· αὐτὸς δὲ ὑπὸ ἐχίδνης δηχθεὶς θνήσκει εἰς χωρίον τῆς Ἀρκαδίας, τὸ λεγόμενον Ὀρέστιον. Λέγεται καὶ θηλυκὸν Ὀρεστὶς καὶ Ὀρεστιὰς ὡσαύτως. Θεαγένης καὶ Διονύσιος δευτέρῳ Γιγαντιάδος.

11.

Idem : Παλλήνη, πόλις Θρᾴκης, ἀπὸ Παλλήνης τῆς Σίθωνος μὲν θυγατρὸς, Κλείτου δὲ γυναικὸς, ὡς Ἡγήσιππος ἐν τοῖς Παλληνιακοῖς. Παλλήνη δ' ἐστὶ χερρόνησος τρίγωνος, τὴν βάσιν ἔχουσα πρὸς μεσημβρίαν ἐστραμμένην. Ἐκαλεῖτο δὲ Φλέγρα τὸ παλαιὸν καὶ ᾠκεῖτο ὑπὸ τῶν γιγάντων· καὶ ἡ τῶν θεῶν καὶ τῶν γιγάντων μάχη ἐνταῦθα μυθεύεται γενέσθαι. Θεαγένης ἐν Μακεδονικοῖς.

Cf. Eustath. ad Dionys. 327 : Παλλήνη πόλις Θρᾴκης ἀπὸ Παλλήνης θυγατρὸς Σίθωνος (olim vgo Τίθωνος). Ἔστι δὲ Παλλήνη (καὶ) χερρόνησος τρίγωνος, οἰκουμένη ποτὲ ὑπὸ γιγάντων, οὓς Ἡρακλῆς μισανθρώπους ἐφευρηκὼς κατεπολέμησεν, ὅτε καὶ βρονταί τινες καὶ πρηστῆρες συνέπεσον. Διὸ καὶ θεοὶ ἔδοξαν τῆς μάχης ταύτης τῷ Ἡρακλεῖ συνάρασθαι καὶ καταφλέξαι τοὺς κακούς, καὶ ἡ χώρα διὰ τοῦτο Φλέγρα ἐκλήθη. De Pallene Sidonis filia fc. Conon. c. 10.

Parthenius Erot. c. 6 : Περὶ Παλλήνης. Ἱστορεῖ Διογένης (scr. Θεογένης vel Θεαγένης) καὶ Ἡγήσιππος ἐν Παλληνιακοῖς κτλ. (v. fragm. Hegesippi).

12.

Idem : Παρθενόπολις, Μακεδονίας πόλις, ἀπὸ τῶν θυγατέρων Γεραιστοῦ τοῦ Μύγδονος παιδός, ὡς Θεαγένης ἐν Μακεδονικοῖς· « Ἀπὸ δὲ τῶν θυγατέρων διὰ τὸ ἄγροικον αὐτῶν τῆς διαίτης καὶ τὸ ἄμικτον ἔκτισε πόλιν, ἥτις ἔτι καὶ νῦν δι' ἐκείνας Παρθενόπολις κέκληται. »

13.

Idem : Σκύδρα, Μακεδονικὴ πόλις, ὡς Θεαγένης ἐν Μακεδονικοῖς.

14.

Idem : Τίρσαι, πόλις Μυγδονίας τῆς ἐν Μακεδονίᾳ, ἀπὸ Τίρσης, μιᾶς τῶν γυναικῶν τοῦ παιδὸς Μύγδονος, ὡς Θεαγένης φησί.

15.

Idem : Φύσκος, πόλις Λοκρίδος.... Ἔστι καὶ ἑτέρα Φύσκος πόλις τῆς Καρίας.... Ἔστι καὶ ἄλλη Μακεδονίας, ἧς μέμνηται Θεαγένης ἐν Μακεδονικοῖς.

ΚΑΡΙΚΑ.

16.

Idem : Κασταλία, πόλις Κιλικίας. Θεαγένης ἐν Καρικοῖς.

---

in Macedonicis ait. Beres enim tres liberos genuit, Miezam, Berœam, Olganum; unde fluvius cognominis et Berœa urbs et locus Strymonius (Mieza).

8.

Misetus, urbs Macedoniæ. Theagenes Macedonicis.

9.

Olobagra, urbs Macedoniæ. Theagenes Macedonicis.

10.

Orestæ, Molossica gens. Theagenes in Macedonicis ait Orestem, postquam a furore esset liberatus, præ pudore cum Hermione fugientem, in istam regionem venisse, atque filium Orestem habuisse, quo imperante, Orestæ nomen acceperint. Ipsum vero a vipera morsum obiisse in Arcadiæ loco, cui nomen Orestium. Dicitur quoque genere feminino Orestis et Orestias promiscue, teste Theagene et Dionysio Gigantiadis libro secundo.

11.

Pallene, regio Thraciæ, a Pallene Sithonis filia, Clitique uxore, ut Hegesippus in Palleniacis. Est vero Pallene chersonesus figuram habens trianguli, cujus basis meridiei obversa est. Olim Phlegra vocabatur et habitabatur a Gigantibus. Atque Deorum et Gigantum pugnam ibi pugnatam esse fabulantur. Theagenes in Macedonicis.

12.

Parthenopolis, Macedoniæ urbs a filiabus Geræsti Mygdone nati, ut ait Theagenes in Macedonicis : « Filiæ autem quum agrestes vita essent et ab hominum consortio abhorrerent, urbem iis condidit quæ de iis Parthenopolis etiamnum vocatur. »

13.

Scydra, urbs Macedoniæ, ut Theagenes in Macedonicis.

14.

Tirsæ, Mygdoniæ urbs in Macedonia, a Tirsa nomen habens, quæ una fuit ex Mygdonis uxoribus, ut Theagenes refert.

15.

Physcus... etiam Macedoniæ urbs est, ut Theagenes refert in Macedonicis.

CARICA.

16.

Castalia, urbs Ciliciæ. Theagenes in Caricis.

ΠΕΡΙ ΑΙΓΙΝΗΣ.

17.

Schol. Pind. Nem. III, 21 : Θεογένης (sic libri mss.) δὲ ἐν τῷ Περὶ Αἰγίνης οὕτω γράφει· « Ἄλλοι δέ τινες πιθανώτερον ἐξηγοῦνται περὶ τούτων. Ὀλιγανθρωπούσης γὰρ τῆς νήσου φασὶ τοὺς ἐνοικοῦντας αὐτὴν ἐν σπηλαίοις καταγείοις διαιτᾶσθαι παντελῶς ἀκατασκεύους ὄντας, καὶ τοὺς μὲν γινομένους καρποὺς εἰς ταῦτα καταφέρειν, τὴν δὲ ἐκ τούτων ὀρυττομένην γῆν ἐπὶ τὰ γεώργια ἀναφέρειν, οὔσης ἐπιεικῶς ὑπάντρου καὶ ὑποπέτρου τῆς νήσου, μάλιστα δὲ τῶν πεδινῶν τόπων αὐτῆς. Διόπερ ἀφομοιούντων αὐτούς, ὡς εἶδον ταῦτα πράττοντας, τῶν ἔξωθεν ἐρχομένων μύρμηξι, Μυρμιδόνας κληθῆναι· μεθ' ὧν συνοικίσαντα τὸν Αἰακὸν τοὺς ἐκ Πελοποννήσου μεθ' ἑαυτοῦ παραγινομένους ἐξημερῶσαί τε καὶ νόμους δοῦναι καὶ σύνταξιν πολιτικήν, ᾗ χρησαμένους αὐτοὺς παντελῶς δοκεῖν ἐκ μυρμήκων γενέσθαι ἀνθρώπους. »

Eadem, laudato auctore, Tzetzes Hist. VII, 306 sqq. et ad Lyc. 176. Cf. Schol. ad Hom. Il. α, 180, et Strabo VIII, 375, qui sua ex Theagene habere videtur Müllero in Ægin. p. 14. coll. p. 5. 6. 14. 21. 43. Ceterum num Macedonicorum auctor idem sit cum eo qui De Ægina scripsit, in medio relinquendum. Ceterum formas Θεαγένης et Θεογένης constat adhiberi promiscue.

18.

Schol. Platon. p. 331 ed. Bekk., de Aristophane comico : Κατεκληρώσατο δὲ καὶ τὴν Αἴγιναν, ὡς Θεογένης ἐν τῷ Περὶ Αἰγίνης.

Comes Natal. III, 16 Jovem dicens Proserpinæ Siciliam ins. dono dedisse testes laudat *Theagenem et Apollodorum Cyrenaicum*. Unde hæc hauserit Comes, et num nostrum scriptorem an Theagenem Rheginum (de quo v. tom. II, p. 12 not.) intelligi voluerit, equidem nescio.

THEMISO.

ΠΕΡΙ ΠΑΛΛΗΝΙΔΟΣ.

Athenæus VI, p. 235, A : Καὶ Θεμίσων δ' ἐν Παλληνίδι· « Ἐπιμελεῖσθαι δὲ τὸν βασιλέα τὸν ἀεὶ βασιλεύοντα καὶ τοὺς παρασίτους, οὓς ἂν ἐκ τῶν δήμων προαιρῶνται, καὶ τοὺς γέροντας καὶ τὰς γυναῖκας τὰς πρωτοπόσεις. »

« Ἡ Παλληνὶς a Casaubono accipitur pro porticu Pallenide (Παλληνὶς sc. στοά), a demo Pallene denominata; neque desunt exempla locorum in urbe a demis nominatorum. Contra disputat Schweighæuserus, qui cogitat de Minerva Pallenensi (Herodot. I, 62; Eur. Heraclid. v. 849) et τὴν Παλληνίδα brevitatis causa ipsum templum hujus deæ dictum putat, quod vereor ut idoneis locis probari queat; nam qui a Schweighæusero laudantur (Eurip. Heracl. 1031; Polyæn. Strateg. I, 21, 1), ex his id quod vult haudquaquam consequitur. Mihi scribendum videtur ἐν δὲ Παλληνίδος, i. e. in templo Minervæ Pallenensis, nisi dixeris subaudiendum esse substantivum χώρᾳ, ut ἐν Παλληνίδι sc. χώρᾳ fuerit i. q. ἐν Παλλήνῃ, apud Pallenenses. De templo illo Minervæ sermonem esse omnino verisimile est, neque de hoc non scripsisse videtur Themiso ἐν Παλληνίδι, qui titulus, ni fallor, decurtatus est ex pleniore formula ἐν τῷ Περὶ τῆς Παλληνίδος, velut Polemo citatur ἐν Ἐρατοσθένους ἐπιδημίᾳ i. e. ἐν τῷ Περὶ τοῦ Ἐ. ἐ. » Preller. ad Polemon. p. 117. — πρωτοπόσεις] Pollux III, 39 : Ἡ ἐκ παρθενίας τινὶ γεγαμημένη, πρωτόποσις ἐκαλεῖτο. Γέγραπται δὲ τοὔνομα ἐν τῷ τοῦ βασιλέως νόμῳ. « Ex his colligere est, verba quæ describit Athenæus partem esse legis regiæ : at auctorem et opus ubi lex illa exstabat, docet Athenæus. » Casaubonus. In antecedentibus Athenæus ex eodem haud dubie Themisone : Ἐν δὲ τῇ Παλληνίδι τοῖς ἀναθήμασιν ἀναγέγραπται τάδε· « Ἄρχοντες κτλ. Vide locum in fragm. 78 (tom. III, p. 138) Polemonis, ex quo Themisonem citasse videtur Athenæus.

DE ÆGINA.

17.

Theagenes in libro De Ægina ita scribit : « Alii quidam probabiliora de his narrant. Etenim quo tempore insula nondum hominum copia frequentata esset, incolas ejus ferunt in speluncis subterraneis degisse omni apparatu destitutos, ac provenientes fructus in antra ista intulisse, contra vero effossam ex iis terram in agros extulisse, quoniam insula antris referta et petrosa esset idque in campestribus maxime locis. Quare exteros eo venientes, quum illud facientes viderent, cum formicis (μύρμηξι) comparasse incolas, ideoque eos Myrmidones appellatos esse. Deinde Æacum Peloponnesios cum ipso in Æginam profectos in societatis communionem illis junxisse, atque sic ad cultiorem vitam adduxisse legesque scripsisse certamque reipublicæ formam constituisse, qua usos illos ex formicis prorsus videri evasisse homines.

18.

Sorte etiam fundum accepit Aristophanes in Ægina, ut Theagenes in libro De Ægina.

DE PALLENIDE.

Themiso in Pallenide : « Curet rex qui quovis anno in officio fuerit, tum parasitos, qui e tribubus nominantur, tum senes et mulieres primo adhuc marito nuptas.

THEMISTAGORAS EPHESIUS.

ΧΡΥΣΕΗ ΒΙΒΛΟΣ.

1.

Etym. M. v. Ἀστυπάλαια : Πατροκλῆς καὶ Τεμβρίων ἀποικίαν στείλαντες εἰς Σάμον, πρὸς τοὺς ἐνοικοῦντας Κᾶρας κοινωνίαν θέμενοι, ᾤκησαν παρὰ τὸν Σχήσιον ποταμὸν καὶ εἰς δύο φυλὰς τὴν πόλιν διένειμαν, ὧν τὴν μὲν Σχησίαν ὠνόμασαν ἀπὸ τοῦ Σχησίου ποταμοῦ παρακειμένου τῇ πόλει, τὴν δὲ Ἀστυπάλαιαν ἀπὸ τοῦ παλαιοῦ ἐκεῖσε ἄστεος. Οὕτως Θεμισταγόρας ἐν τῇ Χρυσῇ βίβλῳ.

2.

Athenæus XV, p. 681, A : Θεμισταγόρας δ' ὁ Ἐφέσιος ἐν τῇ ἐπιγραφομένῃ Χρυσέῃ βίβλῳ ἀπὸ τῆς πρώτης δρεψαμένης νύμφης Ἑλιχρύσης ὄνομα τὸ ἄνθος (sc. τὸ ἑλίχρυσον) ὀνομασθῆναι (φησίν).

3.

Cramer. Anecd. I, p. 80 : Θεμισταγόρας δὲ καὶ ἐν τῇ Χρυσῇ βίβλῳ φησίν· « Ὅτι αἱ κατὰ τὴν Ἀλόπην τὴν νῦν καλουμένην Λυκίαν, τὴν πρὸς τῇ Ἐφέσῳ, γυναῖκες μιᾷ συμβουλῇ τὰ συνήθη ταῖς γυναιξὶν ἔργα ἀπαρνησάμεναι, καὶ ζώναις χρησάμεναι καὶ ὁπλισμοῖς, τὰ τῶν ἀνδρῶν πάντα ἐπετήδευον· πρὸς δὲ τὰ ἄλλα καὶ ἤμων σὺν αὐταῖς ζώναις (ὅ ἐστιν ἐθέριζον)· διὰ τοῦτο καὶ Ἀμαζόνας κεκλῆσθαι τὰς σὺν ταῖς ζώναις ἀμώσας. »

THEOCLES.

1.

E LIBRO QUARTO.

Ælianus H. an. XVII, 6 : Θεοκλῆς δὲ ἐν τῇ τετάρτῃ περὶ τὴν Σύρτιν λέγει γίνεσθαι κήτη τριήρων μείζονα.

(2.)

Plinius H. N. XXXVII, s. 11, § 1 : *Theomenes juxta Syrtim magnam hortum Hesperidum esse, ex quo in stagnum cadat* (electrum), *colligi vero a virginibus Hesperidum*. Eundem scriptorem ab Æliano et Plinio citari censeo. Theoclem aliquem poetam ἐν Ἰθυφάλλοις citat Athenæus p. 497, C.

THEODORI.

Ex viginti Theodoris, quos Diogenes L. II, 103 recenset, memorandi nobis sunt :

Πέμπτος ὁ Περὶ τῶν νομοποιῶν πεπραγματευμένος, ἀρξάμενος ἀπὸ Θερπάνδρου. — Ἕβδομος ὁ τὰ Περὶ Ῥωμαίων πεπραγματευμένος. — Ἑκκαιδέκατος, ὁ γεγραφὼς Περὶ ποιητῶν.

THEODORUS RHODIUS.

ΥΠΟΜΝΗΜΑΤΑ.

Suidas : Πανικῷ δείματι. Τοῦτο γίνεται ἐπὶ τῶν στρατοπέδων, ἡνίκα αἰφνίδιον οἵ τε ἵπποι καὶ οἱ ἄνθρωποι ἐκταραχθῶσι, μηδεμιᾶς αἰτίας προφανείσης... Δοξάζεται γὰρ πολεμίων ἔφοδος εἶναι, καὶ ἀναλαμβάνοντες ὅπλα ὑπὸ ταραχῆς ἀνθιστάμενοι ἀλλήλοις μάχονται.... Τοῦτο γίνεται περὶ τοὺς πολέμους**, Θεοδώρου τοῦ Ῥοδίων στρατηγοῦ ἐν Ὑπομνήμασι λέγοντος, ὅτι κράτιστόν ἐστι ἐν τοῖς τοιούτοις καιροῖς μένειν ἐπὶ τῶν ὅπλων καὶ τὴν ἡσυχίαν ἔχειν· αὐτός τε περιθέων ἐβόα, καὶ διὰ τῶν ὑπηρετῶν παρήγγειλε μένειν ἐν ταῖς σκηναῖς καθωπλισμένους ἅπαντας.

LIBER AUREUS.

1.

Patrocles et Tembrion coloniam in Samum deducentes et cum Caribus, qui insulam incolebant, societatem ineuntes, sedes fixerunt ad Schesium fluvium et in duas tribus civitatem diviserunt, quarum alteram Schesiam a Schesio fluvio urbem præterlabente vocabant, alteram vero Astypalæam ab antiqua quæ ibi erat urbe. Sic Themistagoras in Libro aureo.

2.

Themistagoras Ephesius in Libro aureo, qui inscribitur, helichrysum (*auriolam*) florem nomen habere ait a nympha Helichryso, quæ prima eum decerpserit.

3.

Themistagoras in Aureo libro ait : « Mulieres in Alope, quæ nunc Lycia vocatur, ad Ephesum sita, communi consilio sueta mulieribus opera facere recusarunt, et cingulis armisque utentes iis rebus quæ viris conveniunt, operam dabant, et præter cetera etiam metebant (ἤμων) in ipsis balteis (ζώναις). Itaque mulieres ἀμώσας σὺν ταῖς ζώναις Amazonas esse appellatas. »

1.

Theocles libro quarto ait ad Syrtin esse balænas triremibus grandiores.

COMMENTARII.

1.

Panicus terror accidit in bello, quum subito tam equi quam homines metu consternuntur, nulla apparente causa. Milites vero quum Panico terrore corripiuntur, existimantes ab hostibus se invadi, arma in se mutuo vertunt. Theodorus Rhodiorum dux in Commentariis dicit optimum esse, si milites istiusmodi temporibus in armis quiescant. Ipse etiam per exercitum discurrens clamabat, et per ministros militibus denuntiabat, ut omnes intra tentoria armati se continerent.

Non novi *Theodorum* Rhodiorum ducem. Contra *Theodotas* Rhodius, ἀνὴρ γενναῖος καὶ τακτικῶν ἔμπειρος, cujus strategemate Antiochus Soter Gallogræcos insigni prœlio devicit, notus est ex descriptione hujus prœlii apud Lucianum in Zeuxi c. 8 sqq. (p. 247 ed. Didot.) De eodem Theodota v. Lucian. De calumnia c. 2, p. 614. Fortasse igitur Theodotæ nomen ap. Suidam reponendum. Ceterum quæritur num Ὑπομνήματα illa historica fuerint, an de arte tactica, quod fere probabilius est.

THEODORUS HIERAPOLITA.

ΠΕΡΙ ΑΓΩΝΩΝ.

1.

Athenæus X, p. 412, E: Μίλων δ' ὁ Κροτωνιάτης, ὥς φησιν ὁ Ἱεραπολίτης Θεόδωρος ἐν τοῖς Περὶ ἀγώνων, ἤσθιε μνᾶς κρεῶν εἴκοσι, καὶ τοσαύτας ἄρτων, οἴνου τε τρεῖς χόας ἔπινεν. Ἐν δὲ Ὀλυμπίᾳ ταῦρον ἀναθέμενος τοῖς ὤμοις τετραετῆ, καὶ τοῦτον περιενέγκας τὸ στάδιον, μετὰ ταῦτα δαιτρεύσας μόνος αὐτὸν κατέφαγεν ἐν μιᾷ ἡμέρᾳ.

2.

Idem X, p. 413, B: Ἀστυδάμας δ' ὁ Μιλήσιος, τρὶς Ὀλύμπια νικήσας κατὰ τὸ ἑξῆς παγκράτιον, κληθείς ποτε ἐπὶ δεῖπνον ὑπὸ Ἀριοβαρζάνου τοῦ Πέρσου καὶ ἀφικόμενος, ὑπέσχετο φαγεῖν πάντα τὰ πᾶσι παρασκευασθέντα, καὶ κατέφαγε. Τοῦ Πέρσου δ' αὐτὸν ἀξιώσαντος, ὡς ὁ Θεόδωρος ἱστορεῖ, ἄξιόν τι ποιῆσαι τῶν κατὰ τὴν ἰσχὺν, φακὸν τῆς κλίνης περίχαλκον ὄντα κλάσας, ἐξέτεινε μαλάξας. Τελευτήσαντος δ' αὐτοῦ, καὶ κατακαυθέντος, οὐκ ἐχώρησε μία ὑδρία τὰ ὀστέα, μόλις δὲ δύο. Καὶ τὰ τοῖς ἐννέα ἀνδράσι παρεσκευασμένα παρὰ τῷ Ἀριοβαρζάνῃ εἰς τὸ δεῖπνον μόνον καταφαγεῖν.

THEODORUS SAMOTHRAX.

3.

Ptolemæus Hephæst. lib. VII: Θεόδωρος ὁ Σαμοθρᾷξ τὸν Δία φησὶ γεννηθέντα ἐπὶ ἑπτὰ ἡμέρας ἀκατάπαυστον γελάσαι, καὶ διὰ τοῦτο τέλειος ἐνομίσθη ὁ ἕβδομος ἀριθμός.

Eundem aut alium mythographum Theodorum laudat schol. Apoll. Rhod. IV, 264: Θεόδωρος δὲ ἐν εἰκοστῷ ἐννάτῳ (ἐν κδ' cod. Paris.), ὀλίγῳ πρότερόν φησι τοῦ πρὸς τοὺς γίγαντας πολέμου Ἡρακλέους τὴν σελήνην φανῆναι. Sermo est de Arcadibus Proselenis. Cf. Dionys. Chalcid. fr. 1.

THEODORUS ILIENSIS.

ΤΡΩΙΚΑ.

4.

Suidas: Παλαίφατος, Ἀβυδηνὸς, ἱστορικός... Γέγονε δ' ἐπ' Ἀλεξάνδρου τοῦ Μακεδόνος, παιδικὰ δ' Ἀριστοτέλους τοῦ φιλοσόφου, ὡς Φίλων καὶ Θεόδωρος ἐν β' Τρωικῶν.

Eundem, opinor, laudat Servius ad Virgil. Æn. I, 28, ubi nomen scriptoris in libris est Theodatus: *Sane hic Ganymedes Catamitus dicitur: licet Theodatus, qui Iliacas res perscripsit, hunc fuisse Belim dicat et Laomedonti prædixisse tunc perituram et civitatem et regnum Trojanorum, quum de monte Meotio sponte fuisset saxum delapsum, quod quum evenisset, postea Ilium est direptum.*

Theodori *Metamorphoses* citat Plutarchus Par. c. 22: Σμύρνα, Κινύρου θυγάτηρ, διὰ μῆνιν Ἀφροδίτης ἠράσθη τοῦ γεννήσαντος, καὶ τῇ τροφῷ τὴν ἀνάγκην τοῦ ἔρωτος ἐδήλωσεν· ἡ δὲ δόλῳ ὑπῆγε τὸν δεσπότην. Ἔφη γὰρ γείτονα παρθένον ἐρᾶν αὐτοῦ, καὶ αἰσχύνεσθαι ἐν φανερῷ προσιέναι. Ὁ δὲ συνῄει. Ποτὲ

DE CERTAMINIBUS.

1.

Milo Crotoniates, ut narrat Theodorus Hierapolitanus in libris De certaminibus, comedebat libras carnis viginti, totidemque panis; et vini congios bibebat tres. Olympiæ vero taurum quadrimum humeris impositum per stadium circumcirca gestavit: dein eundem dissectum paratumque uno die solus comedit.

2.

Astydamas Milesius, Olympiæ tribus continuis vicibus victor in certamine pancratii, ad cœnam vocatus ab Ariobarzane Persa, quum se ad eum contulisset, pollicitus est omnia se comesturum quæ cunctis parata fuissent: et comedit. Dein rogatus a Persa, ut dignum aliquid istis viribus faceret, lenticulam lecti æneam fregit, et a se mollitam extendit, ut idem narrat Theodorus. Post ejus mortem, cremato cadavere, una urna non capiebat ossa hominis, sed duæ vix sufficiebant. Quæ autem solus apud Ariobarzanem devorarit, ea novem aiunt viris parata fuisse.

3.

Theodorus Samothrax Jovem, postquam natus esset, per septem dies absque intermissione risisse ait, et propter hoc septenarium numerum esse sacrum.

TROICA.

4.

Palæphatus Abydenus historicus Alexandri Macedonis temporibus vixit, et Aristotelis philosophi amasius fuit, ut Philo ait et Theodorus in secundo Troicorum.

δὲ θελήσας τὴν ἐρῶσαν μαθεῖν, φῶς ᾔτησεν· ἰδὼν δὲ, ξιφήρης τὴν ἀσελγεστάτην ἐδίωκεν. Ἡ δὲ κατὰ πρόνοιαν Ἀφροδίτης εἰς ὁμώνυμον δένδρον μετεμορφώθη, καθὰ Θεόδωρος ἐν ταῖς Μεταμορφώσεσιν. (Cf. Stob. Florileg. 66, 34.)

Probus ad Virgil. Georg. I, extr.: *dilectæ Thetidi Alcyones] Varia est opinio harum volucrum originis. Itaque in altera sequitur Ovidius Nicandrum, in altera Theodorum putatur. Nam Ceyx Luciferi filius cum Alcyone Æoli filia mutatur in has volucres. Idem refert Alcyonen Scyronis filiam latronis Attici Polypemonis filii, quum pater ei præciperet ut quæreret maritum, arbitratam promissum sibi ut concumberet cum quibus vellet, ab irato patre dejectam in mare mutatam in hanc volucrem. Idcirco autem dilectas Thetidi dicit has aves, quod per septem dies, quibus excludunt fætus, in mari tranquillitas est, ut tuta sit navigatio.* Hæc, quæ in editis desiderantur, Dübneri schedulis accepta refero.

Theodorus Phocæus *De tholo Delphico* scripsisse dicitur ap. Vitruv. præfat. VII. Ibidem Theodorus *De vite Junonis Samiæ* citatur.

Subjungo mentionem Theodori τοῦ παναγοῦς, qui Περὶ τοῦ κηρύκων γένους scripsisse perhibetur apud Photium: Ἡμεροκαλλές, ἄνθος σπειρόμενον ὁ Δίδυμος· οὐκ ἔστι δὲ ἄνθος, ἀλλὰ φοινικοῦν ἔριον διαπεποικιλμένον, ᾧ χρῶνται πρὸς τὰς ἱερουργίας Ἀθήνησιν, ὡς Θεόδωρος ὁ παναγὴς προσαγορευόμενος ἐν τῷ α' Περὶ τοῦ κηρύκων γένους, καὶ τὴν αἰτίαν τοῦ ὀνόματος ἀποδιδοὺς γράφει δέ· « Καλεῖται ἡμεροκαλλὲς διὰ τὸ πεπλύσθαι καὶ βεβάφθαι καὶ εἰργάσθαι ἐν μιᾷ ἡμέρᾳ· κάλλη δὲ προσαγορεύεται τὰ ἄνθη. » Ead. Etym. M.

THEOGNIS.

ΠΕΡΙ ΤΩΝ ΕΝ ΡΟΔΩ ΘΥΣΙΩΝ.

E LIBRO SECUNDO.

Athenæus VIII, p. 360, B: Καὶ χελιδονίζειν δὲ καλεῖται παρὰ Ῥοδίοις ἀγερμός τις ἄλλος, περὶ οὗ Θέογνίς φησιν ἐν δευτέρῳ Περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν, γράφων οὕτως· « Εἶδος δέ τι τοῦ ἀγείρειν χελιδονίζειν οἱ Ῥόδιοι καλοῦσιν, ὃ γίνεται τῷ Βοηδρομιῶνι μηνί. Χελιδονίζειν δὲ λέγεται διὰ τὸ εἰωθὸς ἐπιφωνεῖσθαι·

Ἦλθ', ἦλθε χελιδὼν,
καλὰς ὥρας ἄγουσα,
καλοὺς ἐνιαυτοὺς,
ἐπὶ γαστέρα λευκὰ,
ἐπὶ νῶτα μέλαινα.
Παλάθαν οὐ προκυκλεῖς
ἐκ πίονος οἴκου,
οἴνου τε δέπαστρον,
τυροῦ τε κάνιστρον
καὶ πυρῶν;
ἁ χελιδὼν καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται. Πότερ' ἀπίωμες, ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μὴ, οὐκ ἐάσομες·
ἢ τὰν θύραν φέρωμες, ἢ θὐπέρθυρον,
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, ῥᾳδίως μιν οἴσομες.
Ἐὰν φέρῃς δέ τι, μέγα δή τι καὶ φέροις.
Ἄνοιγ' ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

Τὸν δὲ ἀγερμὸν τοῦτον κατέδειξε πρῶτος Κλεόβουλος ὁ Λίνδιος ἐν Λίνδῳ χρείας γενομένης συλλογῆς χρημάτων. »

Theognidem hunc Schweighæuserus in Ind. ad Athen. p. 205 esse putat fortasse sophistam Chium, cujus meminit Athenæus I, p. 14, E, ubi: Διαβόητοι δὲ ἐπὶ σφαιρικῇ Δημοτέλης ὁ Θεόγνιδος τοῦ Χίου σοφιστοῦ ἀδελφός. Sophista ille haud magis innotuit. Noster homo fuerit Rhodius.

DE SACRIS RHODIORUM.

Etiam χελιδονίζειν (*hirundinare*) apud Rhodios est aliqua stipis collectio; de qua Theognis loquitur secundo libro De sacris quæ Rhodi celebrantur, ubi sic scribit: « Rationem aliquam colligendi stipem *hirundinare* appellant Rhodii, quæ fit mense Boedromione. Habet autem nomen ex eo, quod solent acclamare:

Venit, venit hirundo,
pulcra tempora reducens
pulcrosque annos,
sub ventre candida,
in tergo nigra.
Ficuum offam nonne expromis
pinguibus ex ædibus,
vinique pocillum,
caseique canistrum
et tritici?
Hirundo nec placentulam
aspernabitur. Abibimusne, an accipiemus?
Si dederis, abibimus: si nihil, non desistemus
quin januam abstulerimus, aut limen superius,
aut tuam intus ipsam sedentem uxorculam;
parva est, facillime quidem asportabimus.
Si quid nobis impertis, haud exiguum illud sit.
Aperi, aperi foras! ne sperne hirundinem!
Nec senes enim, ut vides, sed pueri sumus.

Hujus rationis stipem petendi primus auctor fuerat Cleobulus Lindius, quum in Lindiorum civitate necessitas extitisset colligendæ pecuniæ. »

THEOLYTUS (METHYMNÆUS).

ΩΡΟΙ.

E LIBRO SECUNDO.

Athenæus XI, p. 470, B: Θεόλυτος δ' ἐν δευτέρῳ Ὥρων ἐπὶ λέβητός φησιν αὐτὸν (Herculem) διαπλεῦσαι, τοῦτο πρώτου εἰπόντος τοῦ τὴν Τιτανομαχίαν ποιήσαντος. Φερεκύδης (fr. 33 b, tom. I, p. 80) κτλ.

Θεόλυτος codd. A. B. P; Θεόκλυτος V. L. ap. Dindf. De re cf. Müller. *Dor.* I, p. 426.

Apollon. Rhod. I, 622 sq. narrat Thoantem regem Lemniorum, ut cædem effugeret, ab Hypermnestra impositum esse arcæ, quam per mare piscatores transvexerint in Œneam prope Eubœam insulam, quæ postmodum nominata sit Sicinus de Sicino Thoantis ex Naide filio. Ad hæc schol. vulg.: Εἴληφε τὴν ἱστορίαν παρὰ Θεολύτου. Ibidem vero hæc quoque leguntur: Ὅτι δὲ ἐνθάδε Θόας ἐσώθη καὶ Κλέων ὁ Κουριεὺς ἱστορεῖ καὶ Ἀσκληπιάδης Μυρλεανὸς δεικνὺς ὅτι παρὰ Κλέωνος τὰ πάντα μετήνεγκεν Ἀπολλώνιος (Cleon ille Argonautica scripsit; cf. schol. Apoll. I, 587. 77). Fortasse Apollonius sua e Cleone, Cleon e Theolyto mutuatus est; modo recte habeat nomen Θεόλυτος. Ceterum Ὧροι Theolyti nescio an fuerint Λεσβίων. Certe Theolyti Methymnæi, vel ejusdem cum nostro vel alius, meminit Athenæus VII, p. 296, A: Τὸν δὲ Γλαῦκον τὸν θαλάττιον δαίμονα Θεόλυτος μὲν ὁ Μηθυμναῖος ἐν τοῖς Βακχικοῖς ἔπεσιν ἐρασθέντα φησὶν Ἀριάδνης, ὅτ' ἐν Δίᾳ τῇ νήσῳ ὑπὸ Διονύσου ἡρπάσθη, καὶ βιαζόμενον ὑπὸ Διονύσου ἀμπελίνῳ δεσμῷ ἐνδεθῆναι, καὶ δεηθέντα ἀφεθῆναι, εἰπόντα·

Ἀνθηδών νύ τις ἐστὶν ἐπὶ πλευροῖο θαλάσσης
ἀντίον Εὐβοίης, σχεδὸν Εὐρίποιο ῥοάων·
ἔνθεν ἐγὼ γένος εἰμί· πατὴρ δέ με γείνατο Κωπεύς.

(Cf. Müller, *Min.* p. 238.) — Schweighæuserus ad Athen. p. 470, B, Theolytum nostrum eundem esse putavit cum *Theocrito*, quem laudat Fulgentius Myth. I, 26; quo loco nos Theochresti nomen reponendum esse censemus. Vide tom. II, p. 86.

THEOPHILUS.

Theophilus a schol. Nicandri (v. fr. 5) vocatur *Zenodoteus*. Vixisse igitur videtur sub Ptolemæo Euergete. Ceterum quænam scripta ad hunc, quænam ad alios Theophilos pertineant, parum liquet.

ΙΤΑΛΙΚΑ.

E LIBRO TERTIO.

1.

Plutarch. Par. min. c. 13, p. 309, A: Ῥωμαῖοι πολεμοῦντες πρὸς Τοῦσκον, ἐχειροτόνησαν Βαλέριον Τουρκουᾶτον· οὗτος θεασάμενος τοῦ βασιλέως τὴν θυγατέρα, τοὔνομα Κλουσίαν, ᾐτεῖτο παρὰ τοῦ Τούσκου τὴν θυγατέρα· μὴ τυχὼν δὲ, πορθεῖ τὴν πόλιν. Ἡ δὲ Κλουσία ἀπὸ τῶν πύργων ἔρριψεν ἑαυτήν· προνοίᾳ δ' Ἀφροδίτης κολπωθείσης τῆς ἐσθῆτος, διεσώθη ἐπὶ τὴν γῆν· ἣν ὁ στρατηγὸς ἔφθειρε· καὶ τούτων πάντων ἕνεκα ἐξωρίσθη κοινῷ δόγματι ὑπὸ Ῥωμαίων εἰς Κέρσικαν νῆσον πρὸ τῆς Ἰταλίας· ὡς Θεόφιλος ἐν τρίτῳ Ἰταλικῶν.

ΠΕΛΟΠΟΝΝΗΣΙΑΚΑ.

E LIBRO SECUNDO.

2.

Plutarch. Par. min. c. 32, p. 313, C: Ἐν τῷ Πελοποννησιακῷ πολέμῳ Πεισίστρατος Ὀρχομένιος τοὺς μὲν εὐγενεῖς ἐμίσει, τοὺς δ' εὐτελεῖς ἐφίλει. Ἐβουλεύσαντο δὲ οἱ ἐν τῇ βουλῇ φονεῦσαι, καὶ διακόψαντες αὐτὸν εἰς τοὺς κόλπους ἔβαλον, καὶ τὴν γῆν ἔξυσαν. Ὁ δὲ δημότης ὄχλος ὑπόνοιαν λαβὼν ἔδραμεν εἰς τὴν βουλήν. Ὁ δὲ νεώτερος υἱὸς τοῦ βασιλέως, Τλησίμαχος, εἰδὼς τὴν συνωμοσίαν, ἀπὸ τῆς ἐκκλησίας ἀπέσπασε τὸν ὄχλον, εἰπὼν ἑωρακέναι τὸν πατέρα μεθ'

ANNALES.

Theolytus in secundo Annalium ait in lebete Herculem navigasse (per oceanum), primo hoc dicente Titanomachiæ auctore.

ITALICA.

1.

Romani bello in Etruscos præfecerunt Valerium Torquatum. Is quum vidisset filiam regis Tuscorum Clusiam, eam petivit; quumque non impetrasset, urbem vastavit. Clusia de turri se ipsam dejecit: veste autem sinuata (curaverat hoc Venus) incolumis ad terram delata est: cui quum vitium Torquatus obtulisset, ob istæc facta communi Romanorum decreto deportatus est in Corsicam, quæ est insula ante Italiam. Narrat hæc Theophilus Italicorum tertio.

PELOPONNESIACA.

Bello Peloponnesiaco durante, Pisistratus Orchomenius infensus nobilitati, tenuibus favebat. Itaque senatus eum per insidias necavit, discerptumque in frusta sinubus injectum egesserunt, erasa (ne vestigia cædis apparerent) terra. Plebeia autem turba suspicione facti concitata ad curiam concursum ut fecit, Tlesimachus junior regis filius, conjurationis conscius, multitudinem a concione avertit, quod diceret a se conspectum patrem suum, qui forma quam

ὁρμῆς εἰς τὸ Πισαῖον ὄρος φέρεσθαι, μείζονα μορφὴν ἀνθρώπου κεκτημένον. Καὶ οὕτως ἠπατήθη ὁ ὄχλος· ὡς Θεόφιλος ἐν δευτέρῳ Πελοποννησιακῶν.

Ejusdem librum Περὶ λίθων laudat Plutarchus De fluv. c. 24, 1 : Τίγρις ποταμός ἐστι τῆς Ἀρμενίας τὸν ῥοῦν καταφέρων εἴς τε τὸν Ἀράξην καὶ τὴν Ἀρσακίδα λίμνην· ἐκαλεῖτο δὲ τὸ πρότερον Σόλλαξ, ὅπερ μεθερμηνευόμενόν ἐστι κατωφερής· ὠνομάσθη δὲ Τίγρις δι' αἰτίαν τοιαύτην. Διόνυσος κατὰ πρόνοιαν Ἥρας ἐμμανὴς γενόμενος, περιήρχετο γῆν τε καὶ θάλατταν, ἀπαλλαγῆναι τοῦ πάθους θέλων. Γενόμενος δ' ἐν τοῖς κατ' Ἀρμενίαν τόποις, καὶ τὸν προειρημένον ποταμὸν διελθεῖν μὴ δυνάμενος, ἐπεκαλέσατο τὸν Δία· γενόμενος δ' ἐπήκοος ὁ θεὸς, ἔπεμψεν αὐτῷ τίγριν, ἐφ' ἧς ἀκινδύνως προσενεχθεὶς, εἰς τιμὴν τῶν συμβεβηκότων τὸν ποταμὸν Τίγριν μετωνόμασε· καθὼς ἱστορεῖ Θεόφιλος ἐν α' Περὶ λίθων.

ΠΕΡΙΗΓΗΣΙΣ ΣΙΚΕΛΙΑΣ.

E LIBRO UNDECIMO.

3.

Steph. Byz. : Παλική, πόλις Σικελίας. Θεόφιλος δ' ἐν ἑνδεκάτῳ Περιηγήσεως Σικελίας Παλικίνην κρήνην φησὶν εἶναι.

(ΠΕΡΙ ΙΟΥΔΑΙΩΝ.)

De Judæis, nescio num peculiari libro an data occasione, Theophilum quendam egisse patet ex sequentibus :

4.

Alexander Polyhistor (fr. 19) ap. Euseb. Pr. Ev. IX, c. 34, p. 452 : Θεόφιλος δέ φησι τὸν περισσεύσαντα χρυσὸν (sc. post exstructum templum) τὸν Σαλομῶνα τῷ Τυρίων βασιλεῖ πέμψαι· τὸν δὲ εἰκόνα τῆς θυγατρὸς ζῷον ὁλοσώματον κατασκευάσαι, καὶ ἔλυτρον τῷ ἀνδριάντι τὸν χρυσοῦν κίονα περιθεῖναι.

Josephus Contra Apion. I, 23 et ex eo Euseb. l. l. p. 458, A, Theophilum cum Theodoto, Mnasea, aliis, inter eos recenset, qui summam Judæorum antiquitatem testati sint.

E LIBRIS INCERTIS.

5.

Schol. Nicandri Theriac. 11 : Ὁ δὲ *Ζηνοδότειος* Θεόφιλος ἱστορεῖ, ὡς ἄρα ἐν τῇ Ἀττικῇ δύο ἐγένοντο ἀδελφοὶ, Φάλαγξ μὲν ἄρσην, θήλεια δ' Ἀράχνη τοὔνομα· καὶ ὁ μὲν Φάλαγξ ἔμαθε παρὰ τῆς Ἀθηνᾶς τὰ περὶ τὴν ὁπλομαχίαν, ἡ δὲ Ἀράχνη τὰ περὶ τὴν ἱστοποιίαν· μιγέντας δὲ ἀλλήλοις στυγηθῆναι ὑπὸ τῆς θεοῦ καὶ μεταβληθῆναι εἰς ἑρπετὰ, ἃ δὴ καὶ συμβαίνει ὑπὸ τῶν ἰδίων τέκνων κατεσθίεσθαι.

6.

Athenæus I, p. 6, B : Θεόφιλος δέ φησιν· « Οὐχ ὥσπερ Φιλόξενον τὸν Ἐρύξιδος· ἐκεῖνος γὰρ, ὡς ἔοικεν, ἐπιμεμφόμενος τὴν φύσιν εἰς τὴν ἀπόλαυσιν ηὔξατό ποτε γεράνου τὴν φάρυγγα σχεῖν· ἀλλὰ πολὺ μᾶλλον ἵππον ὅλως ἢ βοῦν ἢ κάμηλον ἢ ἐλέφαντα δεῖ σπουδάζειν γενέσθαι. Οὕτω γὰρ αἱ ἐπιθυμίαι καὶ αἱ ἡδοναὶ πολλῷ μείζους καὶ σφοδρότεραι· πρὸς γὰρ τὰς δυνάμεις ποιοῦνται τὰς ἀπολαύσεις. » Cf. Aristotel. Ethic. ad Nic. III, 10; Plutarch. Mor. p. 668, C. 1128, B; Suidas v. Φιλόξενος.

7.

Fulgentius Mythol. lib. II, 17 : *Beatinius augur dicere solitus erat, diversarum urbium honores somnialiter peragi urbicario mimologo... Credo enim quod Theophili philosophi sententiam legerat, dicentis* μῖμος ὁ βίος, *id est : mimus vita.*

Chronographus Theophilus, cujus meminit Malala p. 29, 4; 59, 17; 85, 9; 157, 20; 195, 20; 220, 17; 223, 18; 252, 16; 429, 13. 17 ed. Bonn. ad nos nihil attinet; namque vixit post Justinianum, uti patet ex p. 429, 13. Cf. Chron. Paschale p. 41.

---

humana est augustiore ad Pisæum montem se proriperet. Itaque deceptus est populus. Theophilus secundo Peloponnesiacorum.

SICILIÆ PERIEGESIS.

3.

Palice, urbs Siciliæ. Theophilus undecimo Periegeseos Siciliæ Palicinum fontem esse ait.

(DE JUDÆIS.)

4.

Theophilus ait quidquid reliquum ex auro fuerit, Tyrio regi a Salomone missum esse : illum vero filiæ simulacrum integrum ex eo conflasse, ipsumque aurea columna quasi theca et involucro quodam inclusisse.

5.

Theophilus Zenodoteus narrat in Attica fuisse Phalangem fratrem et Arachnen sororem; illum a Minerva didicisse armorum fabricationem, hanc vero texendi artem. At quum frater cum sorore concubuisset, ambos odio habuisse deam, eosque in reptilia mutasse, quæ a sua ipsorum prole comedi solent.

6.

Theophilus ait : « Philoxenum, Eryxidis filium, non debemus imitari : ille enim, ut aiunt, naturam accusans, quo diutius frueretur cibi ac potionis voluptate, collum sibi gruis optabat. Quin potius precandum est, ut equus omnino, aut bos, aut camelus, aut elephas fias. Sic enim et appetitiones et voluptates multo majores erunt, acrioresque : quanto enim plus valent horum corpora, tanto majoribus fruuntur voluptatibus. »

Laudatur denique Theophili cujusdam Geographicum opus apud Ptolemæum, Geogr. I, 14 : Ἀλλ' ἵνα μὴ δόξωμεν καὶ αὐτοὶ πρὸς κείμενόν τι πλῆθος ἐφαρμόζειν τὰς τῶν ἀποχῶν εἰκασίας, παραλάβωμεν τὸν ἀπὸ τῆς Χρυσῆς Χερρονήσου μέχρι Καττιγάρων πλοῦν, συγκείμενον ἔκ τε εἴκοσιν ἡμερῶν, τῶν ἐπὶ Ζάβας, καὶ ἐξ ἄλλων τινῶν τῶν ἐπὶ τὰ Καττίγαρα, ὥσπερ ἀπὸ τῶν Ἀρωμάτων ἐπὶ τὸ Πράσον ἄκρον, συγκείμενον καὶ αὐτὸν ἔκ τε τῶν ἴσων ἡμερῶν, εἴκοσιν τῶν ἐπὶ τὰ Ῥαπτὰ, κατὰ Θεόφιλον, καὶ ἐξ ἄλλων πολλῶν τῶν ἐπὶ τὸ Πράσον, κατὰ Διόσκορον, ἵνα καὶ κατὰ τὸν Μαρῖνον ἐν ἴσῳ θῶμεν τάς τινας ἡμέρας ταῖς πολλαῖς εἰκάσαντα. Reliquos Theophilos missos facio.

THEOTIMUS.

ΠΕΡΙ ΚΥΡΗΝΗΣ.

1.

E LIBRO PRIMO.

Schol. Pindar. Pyth. V, 33 : Κάρρωτος, ὄνομα κύριον, περὶ οὗ μέμνηται πρὸς τὸν Ἀρκεσίλαον· οἱ δὲ τὸν ἡνίοχον τούτου, ὅν φησιν ὁ Πίνδαρος (scr. Δίδυμος) τῆς Πυθιακῆς νίκης αἴτιον γενέσθαι τῷ Ἀρκεσιλάῳ, κατάγειν δὲ αὐτῷ καὶ στρατιωτικὸν ἀπὸ τῆς Ἑλλάδος ἀθροίσαντα. Ταῦτα δὲ πιστοῦται παρατιθέμενος τὰ Θεοτίμου ἐκ τοῦ πρώτου Περὶ Κυρήνης ἔχοντα οὕτως· « Διαπίπτουσαν δὲ τὴν πρᾶξιν αἰσθόμενος ὁ Ἀρκεσίλαος καὶ βουλόμενος δι' αὐτοῦ τὰς Ἑσπερίδας οἰκίσαι, πέμπει μὲν εἰς τὰς πανηγύρεις ἵππους ἀθλήσοντας Εὔφημον ἄγοντα, νικήσας δὲ τὰ Πύθια καὶ τὴν ἑαυτοῦ πατρίδα ἐστεφάνωσε καὶ ἐποίκους εἰς τὰς Ἑσπερίδας συνέλεγεν. Εὔφημος μὲν οὖν ἐτελεύτα· Κάρρωτος δὲ τῆς Ἀρκεσιλάου γυναικὸς ἀδελφὸς διεδέξατο τὴν τῶν ἐποίκων ἡγεμονίαν. » Ὁ τοίνυν Πίνδαρος τοῖς ἑταίροις καθομιλῶν τὸ καταπραχθὲν τῷ Εὐφήμῳ τῷ Καρρώτῳ προσῆψε.

Arcesilaus est quartus hujus nominis, qui Pythia vicit Olymp. 78, 3. De historia ejus exponit Bœckh. ad Pyth. IV et V, quem vide.

2.

Idem ad Pyth. IV, 61 : Κυβερνήτης (Argûs navis) ὁ Εὔφημος ἦν καὶ πρωρεύς· τοῦτο γὰρ ἱστορεῖν ἴσμεν Θεότιμον.

De *Euphemi* nomine mythico et historico ap. Cyrenenses v. Müller. *Min.* p. 341.

3.

Pindarus Ol. VII, 33, Rhodum insulam appellat Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας ἐμπόλῳ. Ad hæc schol. : Θεότιμος δὲ ἐν τῷ περὶ τοῦ Νείλου ὅρου ἱστοριῶν διὰ τοῦ υ γράφει εὔβολον, καὶ οὕτω προσαγορεύεσθαι διὰ τὸ ἐν καλῷ τόπῳ κεῖσθαι τὴν νῆσον. Corrupta hæc esse apparet. Si recte habent verba περὶ τοῦ Νείλου, fort. deinceps scrib. παριστορῶν.

ΙΤΑΛΙΚΑ.

E LIBRO SECUNDO.

3.

Plutarch. Par. M. c. 8 : Πορσίνας, Τούσκων βασιλεὺς, πέραν Θύμβριος ποταμοῦ στρατεύσας ἐπολέμησε Ῥωμαίοις, καὶ τὴν ἀπὸ σιτίων φερομένην εὐθηνίαν μέσην λαβὼν, λιμῷ τοὺς προειρημένους ἔτρυχεν. Ὁράτιος δὲ Κάτλος, στρατηγὸς χειροτονηθεὶς, τὴν ξυλίνην κατελάβετο γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βουλόμενον ἐπεῖχε. Πλεονεκτούμενος δὲ ὑπὸ τῶν πολεμίων, προσέταξε τοῖς ὑποτεταγμένοις κόπτειν τὴν γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βουλόμενον ἐκώλυσε. Βέλει δὲ τὸν ὀφθαλμὸν πληγεὶς, ῥίψας ἑαυτὸν εἰς τὸν ποταμὸν, διενήξατο εἰς τοὺς οἰκείους· ὡς Θεότιμος δευτέρῳ Ἰταλικῶν.

DE CYRENE.

Carrhotus, nomen proprium, de quo verba facit poeta ad Arcesilaum. Nonnulli dicunt Carrhotum aurigam ejus fuisse, eumque Didymus ait Arcesilao auctorem victoriæ fuisse, eundemque etiam milites in Græcia conscriptos ad Arcesilaum adduxisse. Hæc vero Didymus confirmat apposito testimonio Theotimi, qui in primo De Cyrene libro ita habet : « Elabi hanc rem sentiens Arcesilaus volensque Hesperidas colonis frequentare, ad ludos misit cum equis certatoribus Euphemum, et Pythiis victor patriam suam coronavit et novos colonos in Hesperidas ducendos per Euphemum colligendos curavit. Euphemus quidem tunc mortuus est; post quem Carrhotus, Arcesilai uxoris frater, suscepit colonorum præfecturam. »

2.

Argûs navis gubernator et proreta Euphemus erat. Hoc enim Theotimum narrare scimus.

3.

Theotimus in libro De Nilo data occasione de hoc loco agens, per υ literam εὔβολον scribit, atque sic Rhodum insulam ob situm præclarum vocari ait.

ITALICA.

3.

Porsena, Etruriæ rex, positis trans Tiberim castris, bellum Romanis intulit, interceptaque commeatus subvectione, fame eos pressit. Horatius autem Cocles dux creatus Sublicium occupavit pontem, hostesque transire volentes inhibuit : multitudineque eorum superatus, suis mandavit ut pontem rescinderent, hostiumque turbam transitu prohibuit; sagitta autem oculum ictus in amnem se abjecit et ad suos tranavit. Sic Theotimus secundo Rerum Italicarum.

THESEUS.

Suidas : Θησεύς, ἱστορικός. Βίους ἐνδόξων ἐν βιβλίοις ε', Κορινθιακὰ (Κορινθιακῶν codd.) ἐν βιβλίοις γ', ἐν οἷς (sic Eudoc.; ἐν ᾧ Suid.) δηλοῖ (καὶ add. Eud.) τὴν κατάστασιν τοῦ Ἰσθμιακοῦ ἀγῶνος. Ead. Eudoc. p. 233. Alium quendam Theseum habes in Inscr. Att. ap. Boeckh. C. Inscr. I, p. 386.

ΚΟΡΙΝΘΙΑΚΑ.

E LIBRO TERTIO

Tzetzes ad Lyc. 644 : Ἄρνη πόλις ἐστὶ Βοιωτίας ἀπὸ Ἄρνης τῆς Ποσειδῶνος τροφοῦ, ἥτις Κρόνου ζητοῦντος Ποσειδῶνα, ἀπηρνήσατο μὴ ἔχειν αὐτὸν, ὅθεν ἡ πόλις ἐκλήθη Ἄρνη, πρότερον Σινόεσσα λεγομένη, ὥς φησι Θησεὺς ἐν τρίτῃ Κορινθιακῶν. Paullo aliter Etym. M. p. 145, 47 : Ἄρνη, νύμφη, ἡ τροφὸς Ποσειδῶνος. Εἴρηται δὲ (καὶ) Ἄρνη ἡ νύμφη Σινόεσσα (sc. πρότερον) καλουμένη, ὅτι τὸν Ποσειδῶνα λαβοῦσα παρὰ τῆς Ῥέας ἐκτρέφειν, πρὸς τὸν Κρόνον ζητοῦντα ἀπηρνήσατο· καὶ ἐντεῦθεν Ἄρνη ὠνομάσθη. Οὕτω Θησεὺς ἐν Κορινθιακῶν τρίτῳ. Cf. Müller. *Min.* p. 392.

De Isthmiorum institutione ex Thesei Corinthiacis nihil proditur, verum ex Musæo afferuntur hæc : Schol. Apoll. Rh. III, 1240 : Μουσαῖος ἐν τῷ Περὶ Ἰσθμίων δύο φησὶ γενέσθαι ἀγῶνας ἐν τῷ Ἰσθμῷ· καὶ τὸν μὲν Ποσειδῶνος εἶναι, τὸν δὲ Μελικέρτου. Cf. schol. Pind. Introduct. in Isthm. et Passov. *Musæus* p. 78; Meinek. ad Euphor. p. 106 sqq. (Ex schol. Apoll., Tzetze ad Lyc. 109, aliis sua corrasit Natalis Com. V, 4, qui iis, quæ ap. Tzetzem leguntur, testem affinxit *Theseum in Corinthiacis.*)

Schol. Eur. Med. 10 : Ὅτι καὶ ἀθάνατος ἦν ἡ Μήδεια Μουσαῖος ἐν τῷ Περὶ Ἰσθμίων ἱστορεῖ, ἅμα καὶ περὶ τῶν τῆς Ἀκραίας Ἥρας ἑορτῶν ἐκτιθείς. De Junone Acræa Corinthiorum cf. schol. Eur. Med. 1375; Pausan. II, 24, 1; Apollodor. I, 9, 28; Zenob. Prov. I, 27. Müller. *Dor.* I, p. 396. — Ex hoc igitur loco patet Musæum libro, quo de Isthmiis agebat, simul etiam de aliis quæ ad cultum Corinthiorum pertinebant exposuisse. Quare scriptum istud etiam Κορινθιακῶν titulo citari potuit. Similiter Euphorionis Κορινθιακὰ et Περὶ Ἰσθμίων librum unum idemque fuisse opus statuimus (tom. III, p. 72). Jam vero recte procul dubio censent Moreрus (*Diction.* VI, p. 506) et Passovius (l. l. p. 91) Musæum istum esse Ephesium, de quo ita Suidas : Μουσαῖος... Ἐφέσιος, ἐποποιὸς τῶν εἰς τοὺς Περγαμηνοὺς καὶ αὐτός· (*) Κύκλους ἔγραψε, Περσηΐδος βιβλία δέκα, καὶ εἰς Εὐμένη καὶ Ἄτταλον. Ceterum quum fabulæ de Melicerta deque Junonis Acrææ cultu sint mysticæ, ideoque optime cadant in ea quæ de Musæo vate, τελετῶν καὶ καθαρμῶν auctore, feruntur, dubium vix est quin Ephesio illi nomen Musæi non a parentibus sit sed a carminibus inditum. Verum auctoris nomen esse *Ctesiam* sagaciter monuit Welckerus (De Cycl. Hom. p. 50). Nam Ctesiam tanquam *Ephesium* et *Perseidis* auctorem adducit Plutarch. De fluv. c. 18 : Μυκῆναι, ait, ἐκαλοῦντο τὸ πρότερον Ἄργιον ἀπὸ Ἄργου τοῦ πανόπτου· μετωνομάσθη δὲ Μυκῆναι δι' αἰτίαν τοιαύτην. Περσέως Μέδουσαν ἀποκτείναντος, Σθενὼ καὶ Εὐρυάλη, ὡς τῆς προειρημένης ἀδελφαὶ τῆς πεφονευμένης, τὸν ἐπίβουλον ἐδίωκον· γενόμεναι δὲ κατὰ τοῦτον τὸν λόφον, καὶ ἀπελπίσασαι τῆς συλλήψεως διὰ τὴν συμπάθειαν μυκηθμὸν ἀνέδωκαν. Οἱ δ' ἐγχώριοι τὴν ἀκρόπολιν ἀπὸ τοῦ συγκυρήματος Μυκήνας μετωνόμασαν, καθὼς ἱστορεῖ Κτησίας Ἐφέσιος ἐν α' Περσηΐδος. Ceterum de Ctesia Ephesio aliunde non constat. Quare in præfat. ad Ctes. fragm. p. 11, nomen corruptum videri et pro Κτησίας reponendum esse Θησεὺς suspicatus sum. (Simili modo pro *Ctesias* corrupte legitur *Thesias* ap. Serv. ad Virg. G. I, 182.) Sententiam eo niti vides, quod et Theseus noster et ille Musæus-Ctesias Ephesius de Isthmiorum institutione deque aliis rebus, quæ ad Corinthiorum cultum spectant, exposuerunt. — Simile opus Περὶ τελετῶν scripsit Neanthes Cyzicenus, qui et ipse Pergamenus grammaticus erat, atque sicuti Noster libros Περὶ ἐνδόξων et De rebus Attali composuit. Num ab eodem Musæo Ephesio profectus sit liber Περὶ Θεσπρώτων (v. Clem. Strom. p. 266, coll. Welcker. *Cycl.* p. 311), uti Passovius p. 55 suspicatur, non dijudico.

Ex libris Περὶ ἐνδόξων nihil superstes, quod diserte iis adscriptum sit. Argumentum ex parte fuerit de viris doctis, poetis, philosophis etc., ut ex Neanthis opere atque aliis libris eodem

(*) Ante vocem Κύκλους interpunxi; fortasse temere. Vulgo interpungitur post κύκλους. Corruptum locum censet Bernhardy. Kusterus Περγαμηνοὺς κύκλους significare putat *cœtus virorum doctorum, qui Pergami erant.* Vertit : « *poeta epicus, unus eorum qui in Museum Pergamenum allecti erant.* » Quæ rejecit Welcker. *Cycl. ep.* p. 50. Toupius sententiam Kusteri sequens scribi voluit : εἷς τῶν τοῦ Περγαμηνοῦ καὶ αὐτὸς κύκλου. Fortasse fuit ἐποποιὸς τῶν εἰς τοὺς Περγαμηνοὺς Εὐμένη καὶ Ἄτταλον, quæ postrema verba in seqq. delenda forent. Ceterum pro κύκλους, unus cod. κύκλας.

1.

CORINTHIACA.

Arne, urbs Bœotiæ, sic dicta ab Arne Neptuni nutrice, quæ, quum Saturnus Neptunum quæreret, se eum habere negavit (ἠρνήσατο). Hinc Arne (urbs) dicta, cui prius Sinoessa nomen erat, ut ait Theseus in tertio Corinthiacorum.

titulo inscriptis colligas. Nescio an recte conjecerim eosdem libros Κύκλων nomine a Suida (v. Μουσαῖος) designari, ita scilicet, ut Theseus κύκλον virorum bello, doctrina, artibus etc. clarorum distinxerit (cf. κύκλον σοφιστῶν κ. ἐποποιῶν ap. Welck. l. l. p. 51). Ne confidentius loquamur, obstat Suidiani loci ratio critica. — Sequuntur fragmenta duo, quæ ex libris Περὶ ἐνδόξων petita esse videntur.

2.

Stobæi Floril. VII, 70 : Ἐκ τῶν Θησέως. Λοιμοῦ κατασχόντος τὴν Λακεδαίμονα διὰ τὴν ἀναίρεσιν τῶν κηρύκων τῶν ἀπεσταλμένων παρὰ Ξέρξου αἰτοῦντος γῆν καὶ ὕδωρ, ὥσπερ ἀπαρχὰς δουλείας, χρησμὸς ἐδόθη ἀπαλλαχθήσεσθαι αὐτούς, εἴ γέ τινες ἕλοιντο Λακεδαιμονίων παρὰ τοῦ βασιλέως ἀναιρεθῆναι. Τότε Βούλης καὶ Σπέρχης ἀφικόμενοι εἰς βασιλέα ἠξίουν ἀναιρεθῆναι· ὁ δὲ θαυμάσας αὐτῶν τὴν ἀρετήν, ἐπανιέναι προσέταξεν. V. Wesseling. et Valcken. ad Herodot. VII, 134.

3.

Stobæus Floril. VII, 67 : Ἐκ τῶν Θησέως. Λακεδαιμόνιοι καὶ Ἀργεῖοι περὶ χωρίου Θυρεάας (Θυρεάτιδος m.) ἐν μεθορίῳ κειμένης, μέχρι μέν τινος ὅλοις τοῖς στρατεύμασι παρετάσσοντο πρὸς ἀλλήλους, τέλος ἔδοξεν αὐτοῖς ἐπιλέξαι παρ' ἑκατέρων τριακοσίους, κἀκείνων μαχεσαμένων τοῖς κρατήσασιν διαφέρειν τὸ χωρίον. Οὗπερ γενομένου, Ὀθρυάδης Λακεδαιμόνιος στρατιώτης πολλοὺς ἀποκτείνας καὶ πολλὰ τετρωμένος ἔκειτο μεταξὺ τῶν ἀνῃρημένων Λακεδαιμονίων μόνος περιλειφθείς, Ἀργείων δὲ δύο Ἀλκήνωρ καὶ Χρόμιος· ὧν ἀπελθόντων εἰς Ἄργος ἀπαγγεῖλαι τὴν νίκην, Ὀθρυάδης πολλοὺς σκυλεύσας τῶν πολεμίων τρόπαιον ἔστησε, καὶ χρησάμενος τῷ τῶν τραυμάτων αἵματι, ἐπέγραψεν· Λακεδαιμονίων κατ' Ἀργείων· καὶ τοῦτο πράξας ἀπέθανεν.

TIMAGETUS.

ΠΕΡΙ ΛΙΜΕΝΩΝ.

1.

Schol. Apoll. Rhod. IV, 259 : Τιμάγητος δὲ ἐν α' Περὶ λιμένων τὸν Ἴστρον φησὶ καταφέρεσθαι ἐκ τῶν Κελτικῶν ὀρῶν, εἶτα ἐκδιδόναι εἰς Κελτικὴν λίμνην· μετὰ δὲ ταῦτα εἰς δύο σχίζεσθαι τὸ ὕδωρ, καὶ τὸ μὲν εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλειν, τὸ δὲ εἰς τὴν Κελτικὴν θάλασσαν· διὰ δὲ τούτου τοῦ στόματος πλεῦσαι τοὺς Ἀργοναύτας, καὶ ἐλθεῖν εἰς Τυρρηνίαν. Κατακολουθεῖ δὲ αὐτῷ καὶ Ἀπολλώνιος. Cf. Ukert. Geogr. II, 2, p. 25. 45.

Cf. idem IV, 284 : Ἴστρον μιν καλέοντες : Τὸν Ἴστρον φησὶν ἐκ τῶν Ὑπερβορέων καταφέρεσθαι καὶ τῶν Ῥιπαίων ὀρῶν· οὕτω δὲ εἶπεν ἀκολουθῶν Αἰσχύλῳ ἐν Λυομένῳ Προμηθεῖ λέγοντι τοῦτο· γενόμενον δὲ μεταξὺ Σκυθῶν καὶ Θρᾳκῶν σχίζεσθαι· καὶ τὸ μὲν (εἰς τὴν καθ' ἡμᾶς θάλασσαν ἐκβάλλειν ῥεῖθρον· τὸ δὲ) εἰς τὴν Ποντικὴν θάλασσαν ἐκπίπτειν· τὸ δέ, εἰς τὸν Ἀδριατικὸν κόλπον.... Οὐδεὶς δὲ ἱστορεῖ, διὰ τούτου τοὺς Ἀργοναύτας εἰσπεπλευκέναι εἰς τὴν ἡμετέραν θάλασσαν, ἔξω Τιμαγήτου, ᾧ ἠκολούθησεν Ἀπολλώνιος. Igitur Timagetus Apollonio antiquior.

2.

Idem IV, 306 : Καλὸν δὲ διὰ στόμα : Τρία στόματα ἔχει ὁ Ἴστρος· ὧν ἓν λέγεται Καλὸν στόμα, ὥς φησι Τιμάγητος ἐν τῷ Περὶ λιμένων· εἰς ὅ φησι πλεῦσαι τὸν Ἄψυρτον, [τὸ δὲ Ἄρηος ἢ Ἄρηκος cod. Paris.; τὸ Νάρακον στόμα ap. Arr. Ponti Peripl. p. 23; τὸ Ναράκιον Anon. Per. p. 11; *Naracustoma* Plin. IV, 14, 24; Ἰναριάκιον corr. Ptolem. III, 10, 5].

2.

E libris Thesei. Peste Lacedæmonem tenente propter cædem præconum, quos Xerxes miserat, ut terram et aquam, utpote servitutis primitias, postularent, oraculum editum est, fore liberationem, si qui ex Lacedæmoniis a rege se occidendos darent. Tum Boles et Sperches ad regem accedentes occidi ipsos jusserunt. Ille vero virtutem virorum admiratus redire eos jussit.

3.

E libris Thesei. Lacedæmonii et Argivi de Thyreatide regione in confiniis sita contendentes aliquamdiu universis cum exercitibus prœlia inter se commiserunt, tandem vero placuit trecentos viros utrinque seligere, atque iis, quorum manus prœlio superior futura esset, regione illa cedere. Quo facto, Othryades Lacedæmonius miles post multorum cædem multis confectus vulneribus, jacebat inter occisos Lacedæmonios solus superstes; ex Argivis vero duo superstites erant Alcenor et Chromius. Quibus Argos profectis, ut victoriam nuntiarent, Othryades, spoliis multorum hostium detractis, tropæum erexit, et sanguine vulnerum utens inscripsit ei : *Lacedæmonii contra Argivos*; eoque facto exspiravit.

DE PORTUBUS.

1.

Timagetus libro De portubus Istrum dicit deferri ex Celticis montibus, deinde in lacum Celticum influere; post hæc in duos scindi alveos, quorum alter in Pontum Euxinum, alter in Celticum mare se exoneret. Per hoc ostium navigantes Argonautas in Tyrrheniam venisse.

2.

Inter tria habet ostia, quorum unum dicitur *Pulcrum ostium* (ut ait Timagetus in opere De portubus), in quod Apsyrtum innavigasse poeta dicit, alterum vero Areis vel Arecis.

3.

Schol. Apoll. IV, 324 : Ἀγγούρου ὄρεος] Πλησίον Ἴστρου ποταμοῦ. Μνημονεύει δὲ αὐτοῦ Τιμάγητος ἐν Λιμέσιν. V. Ukert. III, 2, p. 125 sq.

4.

Idem II, 1031 : Τὴν Ἀρητιάδα νῆσόν φασιν ὑπὸ Ὀτρήρας τῆς Ἄρεος κατοικισθῆναι. Περὶ δὲ τῶν ἐν αὐτῇ ὀρνέων μέμνηται Τιμάγητος. Εἰσὶ δὲ σιδηρόπτεροι, αἳ λέγονται Στυμφαλίδες.

5.

Idem I, 224 : Εἰ δὲ ἐπὶ κίνδυνον αὐτοὺς (τοὺς Ἀργοναύτας) ἔπεμπεν ὁ Πελίας, διὰ τί ὁ υἱὸς αὐτοῦ ἐξήρχετο; καὶ οὗτος μέν φησιν, ἄκοντος τοῦ πατρός. Δημάγητος δὲ, ὅτι ἐκέλευσεν ὁ Πελίας τὴν Ἀργὼ ἀραιοῖς γόμφοις παγῆναι, ἵνα ταχέως ἀπολέσῃ αὐτούς· ὁ δὲ Ἄργος τοὐναντίον πεποίηκεν. Τὸ δὴ πιστὸν ἔχων παρὰ τοῦ τέκτονος ὁ Ἄκαστος ἐπέβη.

Δημάγητος] Idem procul dubio qui reliquis locis Τιμάγητος vocatur.

6.

Stephanus Byz. : Ἀκτή· οὕτως ἡ Ἀττικὴ ἐκαλεῖτο ἀπὸ Ἀκταίου τινός... Ἔστι καὶ Ἀκτὴ Μαγνησίας, ἀφ' ἧς Ἄκτιος καὶ Ἐπάκτιος Ἀπόλλων τιμᾶται. Ἔστι καὶ ἑτέρα Ἀκαρνανίας, ἧς μέμνηται Δημάγητος.

Δημάγητος] Δημάρατος voluit Berkel.

TIMAGORAS.

ΘΗΒΑΙΚΑ.

1.

Schol. Eur. Phœn. 670 : Ἐκ τῶν ὀδόντων ἐξεκύησεν ἡ γῆ ὁπλοφόρους ἄνδρας. Εἰσὶ δὲ οὗτοι ἐξ αὐτῶν ὑπολειφθέντες, Πέλωρ, Ἐχίων, Οὐδαῖος, Χθόνιος, Ὑπερήνωρ, κατὰ δὲ Τιμαγόραν καὶ Κρέων.

2.

Stephan. Byz. : Σπάρτη, Λακωνικὸν χωρίον, ἀπὸ τῶν μετὰ Κάδμου Σπαρτῶν, περὶ ὧν Τιμαγόρας φησὶν, ἐκπεσόντας (δὲ) αὐτοὺς εἰς τὴν Λακωνικὴν Σπάρτην ἀφ' ἑαυτῶν ὀνομάσαι.

3.

Schol. Eur. Phœn. 159 : Περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτὸς Εὐριπίδης ἐν Κρεσφόντῃ φησί·... « Καὶ δὶς ἑπτ' αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν. » Ὅμως (l. ὁμοίως) καὶ Αἰσχύλος ἐν Νιόβῃ, καὶ Ἀριστοφάνης δὲ ἐν δράματι Νιόβης ὁμοίως ζ' αὐτὰς λέγουσιν, εἶναι δὲ ἑπτὰ καὶ τοὺς ἄρρενας. Τιμαγόρας δὲ ἐν τοῖς Θηβαϊκοῖς φησὶν ὡς κακῶς πάσχοντες ὑπὸ τῶν περὶ Ἀμφίονα οἱ Σπαρτοὶ ἀνεῖλον αὐτοὺς λοχήσαντες ἀπιόντας εἰς Ἐλευθερὰς ἐπὶ πατρικὴν θυσίαν, τὴν δὲ Νιόβην εἴασαν ζῆν διὰ Πέλοπα· ἄλλοι δὲ ἄλλως ἱστοροῦσι περὶ αὐτῆς.

θυσίαν] sic em. Valcken. pro οὐσίαν. Cod. Taur. εἰς πατριουσίαν, et paullo ante κακῶς π. οἱ περὶ τὸν A. οἱ Σπαρτιᾶται. Cf. Müller. *Min.* p. 229, et not. ad frag. 1 Demagoræ.

Subjicio mentionem libri Περὶ ποταμῶν, quem semel affert Plutarch. De fluv. c. 12, 3 : Φύεται δὲ καὶ βοτάνη (sc. ad Caicum Mysiæ fl.) Ἠλιφάρμακος καλουμένη, ἣν οἱ ἰατροὶ ταῖς αἱμορροούσαις τιθέασι, καὶ τῶν φλεβῶν μεσολαβοῦσι τὴν ἔκρυσιν· καθὼς ἱστορεῖ Τιμαγόρας ἐν α' Περὶ ποταμῶν. Eadem Stobæus Floril. C, 17.

3.

Angurus mons prope Istrum situs est. Meminit ejus Timagetus in opere De portubus.

4.

Aretiadem insulam ab Otrera Martis filia incolis frequentatam esse aiunt. De avibus in ea degentibus exponit Timagetus. Ferreis illæ alis instructæ sunt, vocanturque Stymphalides.

5.

Sin ad periculum Argonautas Pelias emisit, cur filius ejus cum iis exiit? Apollonius ait eum invito patre exiisse. Demagetus (*Timagetus*) vero narrat jussisse Peliam Argo navem clavis infirmis compingi, quo citius illos perderet. Argus vero contrarium fecit. Itaque securus a parte architecti Acastus navem conscendit.

6.

Acte. Sic Attica vocabatur ab Actæo quodam. Est etiam Acte Magnesiæ, a qua Actius et Epactius Apollo colitur. Est etiam Acte Acarnaniæ, cujus meminit Demagetus (*Timagetus*).

THEBAICA.

1.

Ex dentibus terra enixa est viros armiferos. Ex quibus superstites relicti sunt hi : Pelor, Echion, Udæus, Chthonius et Hyperenor ; secundum Timagoram vero etiam Creon.

2.

Sparta in Laconia nomen habet a Spartis qui cum Cadmo erant. De iis Timagoras ait pulsos et in Laconiam transgressos Spartam de ipsorum nomine nuncupasse.

3.

De numero Niobidarum ipse Euripides in Cresphonte ait : *Et bis septem Niobes liberi Loxii pereuntes sagittis.* Ceterum Æschylus quoque in Niobe et Aristophanes in Niobe eodem modo septem ejus filias septemque item filios fuisse dicunt. Timagoras vero in Thebaicis narrat Spartos, quum ab Amphione ejusque sociis male haberentur, Niobidas occidisse Eleutheras proficiscentes ad celebrandum sacrum patrium, Nioben vero vitam reliquisse propter Pelopem. Alii denique aliter de Niobe narrant.

TIMOLAUS.

ΦΡΥΓΙΑΚΑ.

E LIBRO PRIMO.

Plutarch. De fluv. c. 9 : Μαίανδρος ποταμός τῆς Ἀσίας· ἐκαλεῖτο δὲ πρότερον Ἀναβαίνων· μόνος γὰρ ἐκ πάντων τῶν ποταμῶν ἀπὸ τῶν ἰδίων ἀρχόμενος πηγῶν εἰς ἑαυτὸν παλινδρομεῖ. Προσηγορεύθη δὲ Μαίανδρος ἀπὸ Μαιάνδρου, τοῦ Κερκάφου καὶ Ἀναξιβίας παιδὸς, ὃς πρὸς Πεσσινουντίους πόλεμον ἔχων ηὔξατο τῇ Μητρὶ τῶν θεῶν, ἐὰν ἐγκρατὴς γένηται τῆς νίκης, θύσειν τὸν πρῶτον αὐτῷ συγχαρέντα ταῖς ἀνδραγαθίαις, τρόπαια φέρων. Ὑποστρέψαντι δὲ τῷ προειρημένῳ πρῶτος συνεχάρη συναντήσας ὁ παῖς Ἀρχέλαος, μετὰ τῆς μητρὸς καὶ τῆς ἀδελφῆς· ὁ δὲ τῆς προειρημένης δεισιδαιμονίας ἀναμνησθεὶς, κατ' ἀνάγκην βωμοῖς κατήγαγε τοὺς προσήκοντας. Ἀθυμήσας δ' ἐπὶ τοῖς πραχθεῖσιν ἔρριψεν ἑαυτὸν εἰς ποταμὸν Ἀναβαίνοντα, ὃς ἀπ' αὐτοῦ Μαίανδρος προσηγορεύθη· καθὼς ἱστορεῖ Τιμόλαος ἐν α' Φρυγιακῶν. Μέμνηται δὲ τούτων καὶ Ἀγαθοκλῆς ὁ Σάμιος ἐν τῇ Πεσσινουντίων πολιτείᾳ.

Fortasse Timolaus hic idem est cum Timolao Macedone, cujus mentio fit ap. schol. ad Hom. Odyss. γ, 267 (et Eustath. l. l.) : Τὸν δὲ Δημόδοκον εἰς Μυκήνας λαβὼν Ἀγαμέμνων ἔταξε τὴν Κλυταιμνήστραν τηρεῖν. Ἐτίμων δὲ λίαν (Ἐτίμα γὰρ λίαν, φησὶ, sc. Δημήτριος, Eust.) τοὺς ᾠδοὺς ὡς διδασκάλους τῶν τε θείων καὶ παλαιῶν ἀνδραγαθημάτων, καὶ τῶν ἄλλων ὀργάνων πλέον τὴν λύραν ἠγάπων· δηλοῖ δὲ καὶ Κλυταιμνήστρα τὴν αὐτῶν τιμήν. Οὐ γὰρ φονεύειν ἀλλ' ἀφορίζειν αὐτὸν ἐκέλευσε (ἀφῆκε Eust.). Τιμόλαος δὲ ἀδελφὸν αὐτόν φησιν εἶναι Φημίου, ὃν ἀκολούθως ἔταξαν καὶ τῇ Πηνελόπῃ εἰς Ἰθάκην πρὸς παραφυλακὴν αὐτῆς. Διὸ καὶ βίᾳ τοῖς μνηστῆρσιν ἀείδει. Τοσοῦτον δὲ καὶ πρὸς τὰ πολιτικὰ διέτεινεν ἡ τῶν κιθαρῳδῶν μουσικὴ ὡς τῶν Σπαρτιατῶν τὴν πόλιν ὠφελεῖσθαι λέγουσιν ὑπὸ τούτων τῶν ἀνδρῶν τὰ μέγιστα καὶ πρὸς ὁμόνοιαν καὶ πρὸς τὴν τῶν νόμων φυλακήν. Cf. schol. Od. α, 325 : Οὗτος ὁ ἀοιδὸς (Phemius) ἀδελφὸς ἦν Χαρίου τοῦ Κλυταιμνήστρας ᾠδοῦ, συνέρας ἀπὸ Λακεδαίμονος Ἰθάκῃ (lege Πηνελόπῃ). Scilicet Clytæmnestræ cantorem τινὲς Χαρίδημον (Χαριάδην Eust.), οἱ δὲ Δημόδοκον καλοῦσιν, οἱ δὲ Γλαῦκον, schol. Odyss. γ', 267.

Eustath. ad. Odyss. λ, p. 1697, 57 : Ἐδόθησαν δὲ καὶ ἄλλοις τῶν ἡρώων μνήμονες, οἷον τῷ Ἀχιλλεῖ πρὸς τῆς μητρὸς, ὡς ἱστορεῖ καὶ Λυκόφρων, καὶ τῷ Πατρόκλῳ δὲ ὑπ' Ἀχιλλέως Εὔδωρος μετὰ τὴν μῆνιν ἐν τῇ ναυμαχίᾳ, ὥστε μὴ πρόσω χωρεῖν, ἀναιρεθῆναι δ' αὐτὸν εὐθὺς ἐν τῇ συμβολῇ ὑπὸ Πυραίχμου· διὸ καὶ αὐτὸν πρῶτον ἀναιρεθῆναι ὑπὸ Πατρόκλου ἱστορεῖ Τιμόλαος ὁ Μακεδών.

Antecedunt similia de Chalcone Cyparissensi, quem Nestor Antilocho filio custodem dederit. Quæ narrantur ex Asclepiade Myrleano. Ex eodem auctore Werferus (Act. Phil. Monac. tom. II, p. 542) etiam Timolai reliquorumque auctorum, qui ibi laudantur, mentionem fluxisse censet probabiliter. Cæterum Macedo ille nihil adeo obstat quin sit Timolaus Anaximenis discipulus, de quo ita Suidas habet : Τιμόλαος, Λαρισσαῖος ἐκ Μακεδονίας, Ἀναξιμένους τοῦ Λαμψακηνοῦ μαθητής· ὃς καὶ ποιητικῶς ἔχων παρενέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον, καὶ ἐπέγραψε τὸ σύνταγμα Τρωικόν (Τρωϊκά Eustath. in Proœm. Odyss., ubi eadem)·

> Μῆνιν ἄειδε θεὰ Πηληιάδεω Ἀχιλῆος,
> ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης,
> οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε
> μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτος.
> Πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
> Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί.

Ἔγραψε καὶ ἄλλα τινά. — Timolaus Cyzicenus, Platonis discipulus, ap. Diogenem Laert. III, 46.

TIMOMACHUS.

ΚΥΠΡΙΑΚΑ.

1.

Athenæus XIV, p. 638, A : Τιμόμαχος δ' ἐν τοῖς Κυπριακοῖς Στήσανδρον λέγει τὸν Σάμιον ἐπὶ πλεῖον αὐξῆσαι τὴν τέχνην, καὶ πρῶτον ἐν Δελφοῖς κιθαρῳδῆ-

PHRYGIACA.

Mæander fluvius est Asiæ, qui prius vocatus est Anabænon (*Retrogradus*). Solus enim ex omnibus fluviis a suis incipiens fontibus in se ipsum recurrit. Dictus autem est Mæander a Mæandro, Cercaphi et Anaxibiæ filio, qui moto contra Pessinuntios bello, Matri deorum pollicitus est, si victoriæ tropæa reportaret, eum, qui primus sibi congratularetur ob præclare gesta, sacrificaturum. Accidit autem ut ei reverso primi occurrerent Archelaus filius, ejus soror et mater, quos ex necessitate, licet proximos jure sanguinis, pollicitationis suæ non immemor, ad aram ducendos mactandosque curavit. Sed quum ob ea quæ gesta erant vehementer doleret, conjecit se in Anabænonta fluvium, quem ab eo postea dixere Mæandrum, ut docet Timolaus primo De rebus Phrygiis. Meminit horum etiam Agathocles Samius in Republica Pessinuntiorum.

DE REBUS CYPRIIS.

Timomachus in opere De rebus Cypriis ait Stesandrum Samium plurimum amplificasse artem (cithara psallendi), et primum Delphis Homericas pugnas cithara cantasse, ab Odyssea facto initio.

σαι τὰς καθ' Ὅμηρον μάχας, ἀρξάμενον ἀπὸ τῆς Ὀδυσσείας.

2.

Vit. Hom. ed. Iriart. p. 233 : Τιμόμαχος δὲ καὶ Ἀριστοτέλης ἐξ Ἴου τῆς νήσου (sc. τὸν Ὅμηρον γεγονέναι φασίν). Vide Welcker. *Cycl.* p. 301. 183.

TIMONAX.

Timonactem eundem esse putarem cum Demonacte Seleuci et Antiochi duce, quem de Iaxartis nomine Scythico laudat Plinius IV, s. 18, nisi dubitationem injiceret Solinus pro *Demonacte* afferens *Demodamam*, atque Stephanus, de urbe Indica *Demodamantem* citans (vid. tom. II, p. 444).

ΣΚΥΘΙΚΑ.

E LIBRO PRIMO.

1.

Schol. Apollon. Rh. IV, p. 321 : Οἱ περὶ Λαύριον] Λαύριον πεδίον τῆς Σκυθίας. Τῆς δὲ Σκυθίας ἔθνη πεντήκοντα Τιμῶναξ (Τίμων cod. Par.) ἀναγράφει ἐν πρώτῳ Περὶ Σκυθῶν. Κατὰ δὲ τὸ τῶν Σίνδων πεδίον σχίζεται ὁ ποταμὸς Ἴστρος, καὶ τὸ μὲν αὐτοῦ ῥεῦμα εἰς τὸν Ἀδρίαν, τὸ δὲ εἰς τὸν Εὔξεινον πόντον εἰσβάλλει... Καὶ Ἱππῶναξ (fr. 61, p. 523 ed. Bgkh.) δὲ μνημονεύει· « Πρὸς τὸ Σινδικὸν διάσφαγμα. »

2.

Idem IV, 1217 : Τιμῶναξ ἐν πρώτῳ τῶν Σικελικῶν (scr. Σκυθικῶν) ἐν Κόλχοις φησὶν Ἰάσονα Μήδειαν γῆμαι, Αἰήτου αὐτῷ ἐγγυήσαντος. Ὁ δὲ αὐτός φησι· « Δείκνυνται παρὰ τὸν παράπλουν ἔνδον τοῦ Πόντου κῆποί τινες Ἰασόνιοι καλούμενοι, καθ' ὃν τὴν ἀπόβασιν ἐποιήσατο· καὶ κατὰ τὴν Αἶαν γυμνάσια καὶ δίσκοι, καὶ τῆς Μηδείας θάλαμος, καθ' ὃν τότε ἐνυμφεύθη· καὶ πρὸς τῇ πόλει ἱερὸν ἱδρυμένον Ἰάσονος, καὶ πρὸς τούτοις ἱερὰ πολλά. »

Pro Σικελικῶν scribendum puto Σκυθικῶν, quamquam de eadem fabula in Siculis dixerat Timæus, quem in antecedentibus et in subsequentibus scholiasta laudat. Sed ipsa hæc Timæi vicinia fortasse causa fuit, cur Scythica in Sicula abirent.

E LIBRO SECUNDO.

3.

Idem III, 1236 : Ὁ Ἄψυρτος καὶ Φαέθων ἐκαλεῖτο, ὥς φησι Τιμῶναξ ἐν δευτέρῳ Σκυθικῶν.

TIMOTHEUS.

ΑΡΓΟΛΙΚΑ.

Plutarch. De fluv. c. 18, 3 : Εὑρίσκεται δ' ἐν αὐτῷ (τῷ Ἰνάχῳ) καὶ λίθος βηρύλλῳ παρόμοιος· ὃν ἐὰν κρατήσωσιν οἱ ψευδομαρτυρεῖν ἐθέλοντες, μέλας γίνεται. Κεῖνται δὲ πολλοὶ ἐν τῷ τεμένει τῆς Προσυμναίας Ἥρας· καθὼς ἱστορεῖ Τιμόθεος ἐν τοῖς Ἀργολικοῖς.

Opus Περὶ ποταμῶν laudatur ab eodem Plutarcho De fluv. c. 3, 1 : Ἕβρος ποταμός ἐστι τῆς Θρᾴκης, προσηγορίαν εἰληχὼς ἀπὸ τῆς συστροφῆς τῆς καταφορᾶς τοῦ ὕδατος. Κάσανδρος δὲ, ὁ βασιλεὺς τῶν τόπων, γήμας Κροτωνίκην, ἐγέννησεν ἐξ αὐτῆς υἱὸν Ἕβρον· ἀποταξάμενος δὲ τῇ συμβιώσει τῆς προτέρας γυναικὸς, ἐπέγημε τῷ τέκνῳ Δαμασίππην τὴν Ἀτρακος· ἥτις εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τοῦ προγόνου, λόγους αὐτῷ περὶ συνόδων ἀπέστειλεν. Ὁ δ' ὡς Ἐριννῦν φυγὼν τὴν μητρυιὰν, προσηυκαίρει κυνηγίαις. Ἀποτυχοῦσα δὲ τῆς προαιρέσεως ἡ ἀσελγὴς, κατεψεύσατο τοῦ σώφρονος, ὡς βιάσασθαι αὐτὴν θελήσαντος. Κάσανδρος

2.

Timomachus et Aristoteles ex Io insula Homerum oriundum esse dicunt.

SCYTHICA.

1.

Laurium, campus Scythiæ. Scythiæ vero gentes quinquaginta Timonax recenset libro primo De Scythis. In Sindorum campo Ister fluvius in duos scinditur alveos, quorum alter in Adriaticum mare, alter in Euxinum Pontum se exonerat. Ejus campi Hipponax quoque meminit : « Ad Sindicam scissuram. »

2.

Timonax in primo De Scythis narrat apud Colchos Iasonem uxorem duxisse Medeam, ab Æeta ei desponsam. Idem dicit : « Monstrantur ad parapium intra Pontum horti quidam Iasonii quos vocant, ubi descensum Iason fecit; et in Æa gymnasia et disci et Medeæ thalamus, in quo marito tunc data est; et prope urbem fanum Iasoni consecratum, et prope hoc alia fana multa. »

3.

Apsyrtus (*Medeæ frater*) etiam Phaethon vocabatur, ut Timonax ait secundo Scythicorum.

ARGOLICA.

1.

Reperitur in Inacho lapis beryllo similis, qui niger efficitur, si, qui falso testari volunt, eum tenuerint. Horum lapidum multos exstare in templo Junonis Prosymnææ refert Timotheus in Argolicis.

δὲ τῷ ζήλῳ συμπεριενεχθεὶς, μεθ' ὁρμῆς ἐπὶ τὴν ὕλην ἤχθη, καὶ σπασάμενος τὸ ξίφος, ἐδίωκε τὸν υἱὸν, ὡς ἐπίβουλον τῶν πατρῴων γάμων. Ὁ δὲ υἱὸς περικατάληπτος γενόμενος, ἑαυτὸν ἔρριψεν εἰς ποταμὸν Ῥόμβον, ὃς ἀπ' αὐτοῦ Ἕβρος μετωνομάσθη· καθὼς ἱστορεῖ Τιμόθεος ἐν ια' Περὶ ποταμῶν.

Eundem Timotheum fortasse laudat Stephanus Byz. v. Γάλλος (v. Promathidæ fr. 5), nisi malis hunc esse Timotheum theologum, qui de Phrygiis diis multa disseruit teste Arnobio V, 5, collat. Macrob. V, 5, et Plutarch. De Is. et Osir. c. 28 (v. Manethonis fr. 62). Is æqualis fuit Manethonis. Fieri etiam potest ut theologus ab eo qui Περὶ ποταμῶν scripsit, non sit diversus.

Timotheum Atheniensem ἐν τῷ Περὶ βίων (sc. philosophorum) laudat Diogen. III, 5 : Ἰσχνόφωνος ἦν (Πλάτων), ὡς καὶ Τιμόθεός φησιν ὁ Ἀθηναῖος ἐν τῷ Περὶ βίων. — V, 1 : Οὗτος (Ἀριστοτέλης), γνησιώτατος τῶν Πλάτωνος μαθητῶν, τραυλὸς τὴν φωνὴν, ὥς φησι Τ. ὁ Ἀθ. ἐν τῷ Περὶ βίων. — IV, 4 : Ἦν δὲ (Σπεύσιππος) καὶ τὸ σῶμα διακεχυμένος, ὥς φησι Τ. ἐν τῷ Π. β. — VII, 1 : (Ζήνων ὁ Κιττιεὺς) τὸν τράχηλον ἐπὶ θάτερα νενευκὼς ἦν, ὥς φησι Τ. ὁ Ἀθ. ἐν τῷ Π. β. Fortasse idem est cum *Timotheo Pergameno* quem Clem. Alex. p. 213 Sylb. laudat ἐν τῷ Περὶ τῆς τῶν φιλοσόφων ἀνδρείας.

Timotheus, chronologus, homo christianus ævi serioris, citatur ap. Malalam p. 158, 5. 159, 2. 228, 13. 232, 6. 429, 13. 17; Cedren. p. 58; Hesych. fragm. de Christ. natal.; Tzetz. Exeg. Il. p. 21, 17. Reliquos Timotheos nihil curo.

URANIUS.

Uranius de Arabia opus scripsit dialecto Ionica (fr. 12). Fide dignum auctorem esse expresse monet Stephanus Byzant. (fr. 31). De ætate viri non constat, etsi Constantino juniorem fuisse e fr. 28 collegeris. Fuerunt qui Arabicorum auctorem eundem haberent cum Uranio Syro medico et philosopho, qui sub Justiniano apud Chosroem Persarum regem in honore erat. Hominis istius arrogantiam et ineptiam multis traducit Agathias II, c. 29 sqq. (unde nonnulla excerpsit Suidas v. Οὐράνιος [*]. Cf. etiam Photius cod. 242.) Scriptum vero aliquod ab eo relictum esse nemo tradit.

ΑΡΑΒΙΚΑ.

E LIBRO PRIMO.

1.

Steph. Byz. : Αὔαθα καὶ Αὔαρα, οὐδετέρως, συνοικία Ἀράβων, ὡς Οὐράνιος ἐν Ἀραβικῶν πρώτῃ. Οἱ οἰκήτορες Αὐαθηνοὶ καὶ Αὐαρηνοί.

Ex eodem auctore fluxerint quæ mox sequuntur : Αὔαρα, πόλις Ἀραβίας, ἀπὸ χρησμοῦ δοθέντος Ὀβόδᾳ κληθεῖσα ὑπὸ τοῦ υἱοῦ αὐτοῦ Ἀρέτα. Ἐξώρμησε γὰρ Ἀρέτας εἰς ἀναζήτησιν τοῦ χρησμοῦ· ὁ δὲ χρησμὸς ἦν, Αὔαρα τόπον ζητεῖν, ὅ ἐστι κατὰ Ἄραβας καὶ Σύρους λευκήν· καὶ φθάσαντι τῷ Ἀρέτᾳ καὶ λοχῶντι ἐφάνη φάσμα αὐτῷ λευκοείμων ἀνὴρ ἐπὶ λευκῆς δρομάδος προϊών· ἀφανισθέντος δὲ τοῦ φάσματος σκόπελος ἀνεφάνη, αὐτόματος κατὰ γῆς ἐρριζωμένος, κἀκεῖ ἔκτισε πόλιν. Τὸ ἐθνικὸν Αὐαρηνός. De Auaris, urbe Arabiæ Petrææ, v. Ptolem. V, 17. Verba φθάσαντι... λοχῶντι vereor ne sana non sint. Χολῶντι cod. Vossianus. Ceterum v. Bochart. Geogr. sacra II, 1, 44; Ritter. *Erdk.* XII, p. 121. 126.

2.

Idem : Σέννονες, ἔθνος Γαλατικὸν, ὡς Οὐράνιος ἐν Ἀραβικῶν πρώτῳ.

3.

Idem : Σίγγαρα, πόλις Ἀραβίας πρὸς τῇ Ἐδέσσῃ, ὡς Οὐράνιος ἐν πρώτῳ Ἀραβικῶν. Ὁ πολίτης Σιγγαρηνός.

4.

Idem : Χατραμωτῖτις, χώρα πλησίον τῆς Ἐρυθρᾶς θαλάσσης. Οἱ πολῖται Χατραμωτῖται. Στράβων ἑκκαιδεκάτῃ (p. 768)... Οὐράνιος δ' ἐν πρώτῳ Ἀραβικῶν Χατραμώτας αὐτοὺς καλεῖ· « Καμηλοκόμοι Χατραμῶται, Σαβαῖοι καὶ Ὁμηρῖται. »

[*] Ad alium Uranium spectat Suidas vv. μαγιστριανὸς et καθωσιωμένος, ubi : Οὐράνιος ὁ καθωσιωμένος μαγιστριανὸς εὐσεβῆ γράμματα ἀποδέδωκε τῷ ὁσιωτάτῳ ἀρχιεπισκόπῳ Καλανδίωνι (Antiochiæ. V. Euagr. Hist. Eccl III, 16). Uranio cuidam epistolam inscripsit Synesius p. 180, B.

ARABICA.

1.

Auatha et Auara, genere neutro, Arabum colonia, ut Uranius in Arabicorum primo. Incolæ Auatheni et Auareni.

2.

Sennones, gens Arabica, ut Uranius in Arabicôn primo.

3.

Singara, urbs Arabiæ, ad Edessam, ut Uranius primo Arabicorum. Civis Singarenus.

4.

Chatramotitis, regio prope mare Rubrum. Cives, Chatramotitæ. Uranius autem in Arabicorum primo Chatramotas eos vocat : « Camelorum altores Chatramotæ, Sabbæi et Homeritæ. »

E LIBRO SECUNDO.

5.

Idem : Αἰαμήνη, Ναβαταίων χώρα, ὡς Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. Τὸ ἐθνικὸν Αἰαμηνός.

6.

Idem : Αἰανῖτις, Ναβαταίων χώρα. Οὐράνιος Ἀραβικῶν δευτέρῳ. Τὸ ἐθνικὸν Αἰανίτης.

7.

Idem : Ἐρυθρὰ ἡ θάλασσα, ἀπὸ Ἐρύθρου τοῦ ἥρωος. Οὐράνιος δ' ἐν Ἀραβικῶν δευτέρᾳ· ἀπὸ τῶν παρακειμένων ὀρῶν, ἃ ἐρυθρὰ δεινῶς εἰσι καὶ πορφυρᾶ, καὶ ἐπὴν βάλλῃ εἰς αὐτὰ ὁ ἥλιος τὴν αὐγὴν, καταπέμπει εἰς τὴν θάλασσαν σκιὰν ἐρυθράν· καὶ ὄμβρῳ δὲ κατακλυσθέντων τῶν ὀρέων κάτω συρρέοντι εἰς θάλασσαν, οὕτω γίγνεται ἡ θάλασσα τὴν χρόαν. Stephanum exscripsit Eustath. ad Dionys. 38.

8.

Idem : Μήδαβα, πόλις τῶν Ναβαταίων. Ὁ πολίτης Μηδαβηνὸς, ὡς Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ.

9.

Idem · Μώβα, μοῖρα τῆς Ἀραβίας. Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. Οἱ οἰκοῦντες Μωβηνοὶ, καὶ θηλυκῶς Μωβηνή· ἔοικε δ' ἐνδεῖν τὸ α· ἦν γὰρ Μώαβα· καὶ τὸ ἐθνικὸν Μωαβίτης, τὸ θηλυκὸν Μωαβῖτις.

10.

Idem : Πάλμυρα, φρούριον Συρίας, οὗ μέμνηται Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. Τὸ ἐθνικὸν Παλμυρηνός. Οἱ δ' αὐτοὶ Ἀδριανοπολῖται μετωνομάσθησαν ἐπικτισθείσης τῆς πόλεως ὑπὸ τοῦ αὐτοκράτορος.

11.

Idem : Ταηνοί, ἔθνος ἀπὸ τῶν Σαρακηνῶν πρὸς μεσημβρίαν, ὡς Οὐλπιανὸς ἐν Ἀραβικοῖς καὶ Οὐράνιος ἐν Ἀραβικῶν δευτέρῳ. « Quis sit iste Ulpianus haud facile dictu est; nam et fuit ejus nominis Antiochenus sophista, qui Constantini imp. temporibus vixit, et alter Emesenus, et alius Gazæus et præterea Isidori frater; quos quattuor Suidas refert, ut de Ulpiano Tyrio, uno ex collocutoribus Athenæi et de Domitio Ulpiano Icto nihil nunc dicam. » Voss. p. 507.

E LIBRO TERTIO.

12.

Idem : Ἀβασηνοὶ, ἔθνος Ἀραβίας. Οὐράνιος ἐν Ἀραβικῶν τρίτῳ· « Μετὰ τοὺς Σαβαίους Χατραμῶται καὶ Ἀβασηνοί, » καὶ πάλιν· « Ἡ χώρη τῶν Ἀβασηνῶν σμύρνην φέρει· καὶ ὄσσον καὶ θυμίαμα καὶ κέρπαθον· γεωργοῦσι δὲ καὶ πορφυρῆν ποίην εἰκέλην αἵματι Τυρίου κοχλίεω. » V. Salmas. ad Solin. p. 453.

13.

Idem : Ἄδανα... Ἔστι δὲ καὶ ἑτέρα πόλις ἐν μεσογείῳ τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιός φησιν ἐν Ἀραβικῶν τρίτῳ.

14.

Idem : Ἀτραμῖται, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιος ἐν τρίτῃ. Ἀρτεμίδωρος Ἀτραμωτίτας αὐτοὺς καλεῖ.

15.

Idem : Ἄχομαι καὶ Ἀχόμενοι, ἔθνος τῆς εὐδαίμονος Ἀραβίας, ὡς Οὐράνιος ἐν τρίτῃ.

5.

Æamene, Nabatæorum regio, ut ait Uranius Arabicorum secundo. Gentile Æamenus.

6.

Æanitis, Nabatæorum regio. Uranius Arabicorum secundo. Gentile Æanites.

Idem III, 28: Ὑπὸ τοῖς χρόνοις Ζήνωνος ἱστορεῖ Ἰωάννης ὁ ῥήτωρ Μαμμιανὸν ἐξ ἐπιδιφρίων ἐπίσημον ἄνδρα γενέσθαι, καὶ τῆς συγκλήτου βουλῆς μετασχεῖν, καὶ ἐν Δάφνῃ τῷ προαστείῳ τὸν καλούμενον Ἀντίφορον οἰκοδομήσασθαι, πρώην ἀμπέλοις δεδεγμένον καὶ πρὸς γεωργίαν ἐπιτήδειον χωρίον καθεστῶτα, εὐθὺ τοῦ δημοσίου βαλανείου· οὗ Μαμμιανὸς ὁ φιλόπολις, ἡ χαλκῆ ἀνάκειται εἰκών. Ἀνὰ δὲ τὴν πόλιν δύο βασιλείους ἐργάσασθαι στοὰς, τῇ τε οἰκοδομίᾳ λίαν εὐπρεπεῖς καὶ ταῖς ἐκ λίθων περιφανείαις τε καὶ διαυγείαις κεκοσμημένας. Ὥσπερ δέ τι μεθόριον μέσον τῶν δύο βασιλείων στοῶν τετράπυλον ἀναστῆσαι, κίοσί τε καὶ τῇ ἐκ χαλκοῦ ὕλῃ μάλα κομψῶς ἠσκημένον. Καὶ τὰς μὲν βασιλείους κατειλήφαμεν στοὰς, μετὰ τῆς προσηγορίας ἔτι λείψανα τῆς πρώην εὐκοσμίας φερούσας, τῶν ἐκ Προκοννήσου λίθων τῷ ἐδάφει συγκειμένων, οὐ μὴν τὴν οἰκοδομίαν ἐχουσάν τι τῶν ἐπισήμων. Ἐκ τῶν γεγενημένων γὰρ παθημάτων ἔναγχος τὴν οἰκοδομίαν ἐδέξαντο, οὐδενὸς ἐς κόσμον ταύταις προστεθέντος. Τοῦ δὲ τετραπύλου τοῦ ὑπὸ Μαμμιανοῦ γεγενημένου οὐδὲ ψιλὸν ἴχνος κατειλήφαμεν.

Idem IV, 5: Ὑπὸ τοῖς αὐτοῖς Ἰουστίνου χρόνοις ἐμπρησμοί τε συχνοὶ καὶ δεινοὶ κατὰ τὴν Ἀντιόχου γεγόνασιν, ὥσπερ ἡγούμενοι τῶν γεγενημένων ἐν αὐτῇ φοβερωτάτων κλόνων, καὶ προοίμιον τοῖς πάθημασι παρεχόμενοι. Μετὰ γὰρ βραχύν τινα καιρὸν, ἐν τῷ ἑβδόμῳ ἔτει τῆς αὐτοῦ βασιλείας μηνὶ δεκάτῳ, ἀνὰ τὸν Ἀρτεμίσιον μῆνα ἤτοι Μάϊον, ἐνάτῃ καὶ εἰκοστῇ αὐτοῦ ἡμέρᾳ, κατ' αὐτὸ τῆς μεσημβρίας τὸ σταθερώτατον, τῆς ἕκτης ἡμέρας τῆς καλουμένης ἑβδομάδος, βρασμὸς καὶ σεισμὸς ἐπελθόντες τῇ πόλει, μικροῦ πᾶσαν ἀνατρέψαντες κατήγαγον· οἷς καὶ πῦρ εἵπετο, ὥσπερ τὴν συμφορὰν μετ' αὐτῶν διανειμάμενον. Ἃ γὰρ ἐκεῖνοι οὐ κατέλαβον, τὸ πῦρ ἀμφινεμόμενον ἐξηνθράκωσέ τε καὶ ἀπετέφρωσε. Καὶ ὅσα μὲν τῆς πόλεως πέπονθεν, ὅσοι τε τοῦ πυρὸς καὶ τῶν σεισμῶν ἔργον γεγόνασιν, ὡς τὸ εἰκὸς ὑπέθετο, ὁποῖά τε παράδοξα καὶ λόγου κρείττω συμβέβηκε, περιπαθῶς ἀφήγηται Ἰωάννῃ τῷ ῥήτορι, ὧδε τῆς ἱστορίας καταλήξαντι. Τελευτᾷ δ' οὖν ἐγκαταληφθεὶς τοῖς πτώμασι καὶ ὁ Εὐφράσιος, ἄλλη τῆς πόλεως συμφορὰ, ἵνα μὴ τῶν ἐπιτηδείων ὁ προνοῶν ᾖ. « Male Euagrius hunc terræ motum refert anno imperii Justini septimo, quum octavum potius dicere debuisset. Hic enim terræ motus contigit indictione 4, Olybrio solo cons., ut testatur Marcellinus Comes et Theophanes in Chronico (p. 263 ed. Bonn.); qui fuit annus Christi 526. Quo quidem anno octavus ejusdem imperii ad mensem usque Julium currebat. » *Valesius.* — Ceterum cum Euagrio vel potius Joanne facit etiam Malala p. 419, qui in ampla hujus infortunii descriptione, accidisse rem dicit: τῷ ἑβδόμῳ ἔτει τῆς αὐτοῦ (Ἰουστίνου) βασιλείας ,.... ἐν μηνὶ Μαΐῳ, ὑπατείας Ὀλυβρίου.

transcripserunt, dum ipse duces profitetur Africanum, Eusebium, Papiam, Didymum, alios (v. fr. 2). — In Romana historia primum exscripsit Dionem Cassium et Eutropii versionem græcam, quam si Capitoni Lycio vindicare volueris, jam nihil refragor; quamquam aliter statuebam in introd. ad fragm. Capitonis Lyc. tom. IV, p. 133. Etenim quum græca hæc Joannis modo breviora modo fusiora, semper vero elegantiora (*) sint latinis Eutropii, quum denique hic illic proxime accedant ad verba Dionis Cassii, subesse putabam historiam græce scriptam, quæ fuerit communis fons et Eutropii et Joannis. At græca e latinis Eutropii versa esse postea intellexi. Probatur res fragmento 171, ubi insigne habes vitium, quod ex latinis Eutropii male intellectis duxit originem. Dionis vero recensione Joannes eadem usus est, quam adhibuit scriba tituli De sententiis. Ceterum hæc Chronicorum pars nonnulla habet, quæ quum in breviatis nostris Dionis libris non legantur, confidenter tamen ad Dionem referre licet. — Inde a Commodi temporibus (fr. 119 sqq.), relicto Cassio, Joannes ad Herodianum se convertit, quem pæne totum in Chronica sua recepit, interpositis tamen nonnullis, quæ aliunde petita sunt. Absoluto Herodiano, ad Eutropium redit eique jungit Zosimum, cujus lacunam ex Joan. fragmento 160 coarctare licet. Post hæc multa exscripsit ex Socratis Hist. Eccles. Dehinc Prisco duce usus est. In postrema autem parte quemnam scriptorem de Zenonis rebus secutus sit, certius dicere non audeo. Quicumque fuerit, fuit optimus, et quæ ex eo in Joannis fragmentis servata habemus, maximi sunt momenti.

(*) Qua de re monuit etiam Bernhardyus ad Suidam v. Πομπήιος : « Hæc si fideliter et integra Suidas propagavit, fatendum sane Eutropii metaphrasten, nunc resectis quæ legisse nihil attinebat, nunc suaviter emollitis quæ latinus scriptor ariditate consueta paullo solutius pronuntiasset, partes jucundæ narrationis eleganter explevisse. »

ΙΩΑΝΝΟΥ ΑΝΤΙΟΧΕΩΣ

ΙΣΤΟΡΙΑ ΧΡΟΝΙΚΗ.

(1.)

Exc. Salmasii in Crameri Anecd. Par. II, p. 383—388:

Ἀρχαιολογία Ἰωάννου Ἀντιοχέως,
ἔχουσα καὶ διασάφησιν τῶν μυθευομένων.

1. Ὁ παρ' Ἕλλησιν ἀρχαῖος Ὤγυγος καὶ Φορωνεὺς ὁ υἱὸς Ἰνάχου κατὰ τὴν διὰ Μωσέως ἀπ' Αἰγύπτου ἔξοδον τοῦ λαοῦ ἦσαν. Ἀπὸ γὰρ Ὠγύγου μέχρι τῆς νε' Ὀλυμπιάδος, ἤγουν μέχρι τοῦ Κύρου τοῦ Περσῶν βασιλέως ἔτη ͵ασλε'. Ὅτε τὸ Πάσχα καὶ ἡ τῶν Ἑβραίων ἔξοδος ἀπ' Αἰγύπτου ἐγένετο, ὁ ἐπὶ Ὠγύγου γέγονε κατακλυσμός. Καὶ εἰκότως· τῶν γὰρ Αἰγυπτίων ὀργῇ Θεοῦ χαλάζαις καὶ χειμῶνι μαστιζομένων, εἰκὸς ἦν μέρη τινὰ συμπάσχειν τῆς γῆς· ἔτι τε Ἀθηναίους τῶν αὐτῶν Αἰγυπτίοις ἀπολαύειν εἰκὸς ἦν, ἀποίκους ἐκείνων ὑπονοουμένους, ὥς φασιν. Ὅτι δὲ Ὠγύγῳ συνήκμαζε Μωσῆς, Πολέμων [fr. 13] ἐν πρώτῳ Ἱστοριῶν Ἑλληνικῶν ἱστορεῖ λέγων· « Ἐπὶ Ἄπιδος τοῦ Φορωνέως μοῖρα τοῦ Αἰγυπτίων στρατοῦ ἐξέπεσεν Αἰγύπτου, οἳ ἐν τῇ Παλαιστίνῃ καλουμένῃ Συρίᾳ οὐ πόρρω Ἀραβίας ᾤκησαν. » Δῆλον δὲ ὅτι τούτους φησὶ τοὺς μετὰ Μωσέως ἐξελθόντας ἐκεῖθεν Ἑβραίους.

2. Οἱ Ἀναξαγόρειοι τὴν Ἀθηνᾶν εἰς τὴν τέχνην ἀλληγοροῦσιν, ὅθεν καὶ τὸ,

Ὀλλυμένων χειρῶν ἔρρει πολύμητις Ἀθήνη.

(3) Ὁ Ἀϊδωνεὺς βασιλεὺς ἦν Μολοττῶν, παμμεγέθη κύνα ἔχων Κέρβερον, ὃς διεχρήσατο Πειρίθουν· τὸν δὲ Θησέα Ἡρακλῆς ἐρρύσατο. Διὰ δὲ τοῦ κινδύνου τὸ προὖπτον ἐξ ᾅδου ἀναγαγεῖν αὐτὸν Ἡρακλῆς ἐμυθεύθη. (4) Ἀπὸ Ἀτθίδος τῆς Κραναοῦ τοῦ αὐτόχθονος θυγατρὸς ἡ Ἀττικὴ ἐκλήθη. (5) Τριπτόλεμος μακρῷ πλοίῳ προσβάλλων ταῖς πόλεσι, καὶ τὸν σῖτον διαδιδούς, πτερωτὸς ὄφις ἐμυθεύθη· εἰκὸς δὲ καὶ τὴν ναῦν τοιούτου σχήμα-

Fr. 1. « Hæc descripta sunt e Cod. Reg. 1763, form. in-4°, chartaceo et recentissimo, quippe ipsius cl. Salmasii manu exarato. Unde autem hæc depromserit Salmasius non liquet. Excerpta sunt, ut opinor, ex magno opere Joannis Antiocheni, non Malalæ, ut annotavit aliquis in prima codicis pagina, sed illius e quo Excerpta habemus inter Collectan. Constantini Porphyrog. Vales. et in prima hujus voluminis parte Περὶ ἐπιβουλῶν. His enim cum Malala collatis facile apparebit, quod dico verum esse, licet nonnulla utrique sint communia. » Cramer.

§ 1. Petita hæc ex Africani libro tertio. Vide Syncell. p. 148, D (p. 281 Bonn.); not. ad Polemon. fr. 13; Castoris fr. 13. — § 2. Cf. Syncell. p. 149, C: Τούτοις τοῖς χρόνοις, ὥς φασι, Προμηθεὺς ἦν, ὃς ἐμυθεύετο πλάττειν ἀνθρώπους ἐξ ἀπαιδευσίας καὶ ἀλογίας εἰς παίδευσιν μετάγων, ὡς Πλάτων, ὁ τὴν παλαιὰν κωμῳδίαν, ἐν Σοφισταῖς·

Προμηθία γάρ ἐστιν ἀνθρώποις ὁ νοῦς.

Ἑρμηνεύουσι δὲ οἱ Ἀναξαγόρειοι τοὺς μυθώδεις θεούς, νοῦν μὲν τὸν Δία, τὴν δὲ Ἀθηνᾶν τέχνην, ὅθεν καὶ τό,

Χειρῶν ὀλλυμένων ἔρρει πολύμητις Ἀθήνη.

Eumdem versum exhibet Cedrenus I, p. 144, 17 ed. Bonn., et Meletius in Cram. Anecd. Oxon. III, p. 618, 10, nisi quod hic pro πολύμητις scribit πολύεργος. — § 3. Eadem iisdem verbis plenius leguntur ap. Syncellum p. 157, C. Cf. Euseb. Arm. ad an. Abrah. 618, p. 288 ed. Mai. Utrumque locum habes in Philochori fragm. 46. — § 4. Cf. Syncell. p. 157, B. Euseb. ad an. 511. — § 5. Eadem Syncell. p. 158, D. Eusebius ad an. 611, ex Philochoro (fr. 28). —

τος εἶναι. (6) Τὴν Ὠρείθυιαν ὁ Ἀστρέου (l. Ἀσπραίου) Βορέας ὁ Θρᾷξ ἥρπασεν, οὐχ ὁ ἄνεμος. (7) Ὁ Φρίξου μυθώδης κριὸς πλοῖον ἦν οὕτω καλούμενον, ἢ ὁ διασώσας αὐτὸν τροφεύς. (8) Ἡ Γοργὼν ἑταίρα ἦν εὔμορφος διὰ κάλλος ἐξιστῶσα τοὺς θεατὰς, ὡς ἀπολιθοῦσθαι δοκεῖν· καὶ ὁ Πήγασος αὐτῆς ἦν κτῆμα, ἵππος ὀξὺς ὤν· Παλαίφατος δὲ Βελλεροφόντου τοῦτό φησι πλοῖον.

9. Ὅτε Κάδμος ἔκτιζε Θήβας, οἱ πλησιόχωροι ἐνέπεσον ἐξαίφνης αὐτῷ, καὶ διὰ τὸ πανταχόθεν [ὡς ἀπὸ γῆς add. Sync.] συρρεῖν [κατ' αὐτοῦ add. Sync.], Σπαρτοὶ ὠνομάσθησαν [ὡς Παλαίφατος ἐν πρώτῳ φησίν Sync.]. (10) Οἱ παρ' Ἀμφίονος θελγόμενοι λίθοι ἠλίθιοί τινες ἦσαν ἀκροαταί. (11) Δαίδαλος ἔδοξεν ἀγάλματα κινούμενα ποιεῖν διὰ τὸ πρῶτον διαστῆσαι τοὺς πόδας αὐτῶν, τῶν ἄλλων συμπεφυκότας ποιούντων· ὃς φεύγων Μίνωα, διὰ τὸ ἀνεύρετον ἔδοξεν ἀποπτῆναι, πλοίου τυχὼν ἅμα τῷ υἱῷ Ἰκάρῳ. (12) Ἡ Σφίγξ γυνὴ οὖσα Κάδμου διὰ ζῆλον Ἁρμονίας ἀπέστη, καὶ Θηβαίοις ἐπολέμει· Οἰδίπους δὲ ἐπιστρατεύσας, εἷλεν αὐτήν. (13) Ὅτε Σαμψὼν ἡγεῖτο τοῦ λαοῦ, Ἡρακλῆς ἐτέλει τοὺς ἄθλους· ἰσχυρὸς δὲ ὤν, ἄτεχνος ἦν παλαιστής· ὁ δὲ Ἀνταῖος ἔμπειρος τῶν παρὰ τοῖς παλαισταῖς χαμαὶ καλουμένων, ὡς ὑπὸ γῆς τῆς μητρὸς βοηθεῖσθαι δοκεῖν. Ταῦτα φεύγων ὁ Ἡρακλῆς, ζώσας αὐτὸν τοῖς ἅμμασι, καὶ μετέωρον ἄρας ἀπέκτεινε. (14) Λέγει Πλάτων (Euthyd. p. 206, E) καὶ τὴν ὕδραν σοφίστριαν εἶναι δεινήν. (15) Οἱ Κένταυροι Θεσσαλῶν ἦσαν ἱππεῖς ἄριστοι.

16. Τὸν Μινόταυρον θηρίον μυθεύονται καταθοινώμενον παῖδας Ἀττικούς· στρατηγὸς δὲ ἦν ὁ Μίνως (l. ἦν Μίνωος), Ταῦρος καλούμενος διὰ τὸ θυμοειδὲς καὶ τοῦ τρόπου τὸ ἄγριον. Ἐπεὶ δὲ [Μίνως] ἀγῶνα ἐτίθει ἐπ' Ἀνδρόγεῳ, ὃν ἀπέκτειναν Ἀθηναῖοι, ἐδίδουν αὐτῷ (l. ἐδίδου αὐτῷ vel Ταύρῳ) ἔπαθλα παῖδας Ἀττικούς, ὡς νικῶντι πάντας· ἰσχυρὸς γὰρ ἦν. Ὡς δὲ τοῦ ἀγῶνος μετείληφε [καὶ] Θησεὺς καὶ ἐνίκησε Μίνωα (deb. Ταῦρον), ἐπαύθη τὸ κατὰ τοὺς παῖδας. (17) Ἡρακλῆς εἰς λοιμὸν ἐμπεσὼν εἰς πυρὰν ἥλατο. Ἡ μυθευομένη Σκύλλη τριήρης ἦν Τυρρηνῶν ληιζομένων τοὺς παραπλέοντας· αἱ δὲ Σειρῆνες ἑταῖραι ἐπιβουλεύουσαι τοῖς παραπλέουσι. (18) Φασί τινες Ὅμηρον καὶ Ἡσίοδον Δαυὶδ συνακμάσαι, οἱ δὲ ὀλίγῳ πρότερον, οἱ δὲ μετὰ ταῦτα γενέσθαι.

19. Ξάνθου τοῦ Βοιωτοῦ Θυμοίτην εἰς μονομαχίαν προκαλουμένου, μὴ ὑπακούσαντος αὐτοῦ, ὁ Ἀνδροκόμπου υἱὸς Μέλανθος Πύλιος τὸ ἐκείνου σχῆμα ἀναλαβὼν, ἐμονομάχησε καὶ νενίκηκεν· ὅθεν ἡ τῶν Ἀπατουρίων ἑορτή.

20. Ἐπ' Ἀρχεμόρῳ τὰ Νέμεα πρὸς τῶν Ἀργείων ἄγεται· ἐπὶ Μελικέρτῃ ὑπὸ Κορινθίων τὰ Ἴσθμια· ὑπὸ Δελφῶν τὰ Πύθια ἐπὶ Δελφύνῃ τῷ δράκοντι· οἱ δέ φασιν ἐπὶ Δελφύνῃ ἀρχαίᾳ ἡρωίδι. Ἀπὸ τῆς ἁμίλλης τῶν Ἀεθλίου παίδων ἀθληταὶ ἐκλήθησαν οἱ ἀγωνισταί.

21. Αἰγύπτιοί φασιν ὡς Ἥφαιστος αὐτῶν ἐβασίλευσεν ἀπείρους τινὰς χρόνους· μετὰ τοῦτον Ἥλιος ὁ Ἡφαίστου ἔτη ͵ζψοζ'· μετ' αὐτὸν Σῶς, ἤτοι Ἄρης, μεθ' ὃν Κηβ τοῦ Ἡλίου, ἤτοι Κρόνος. Ὁ ἀπὸ Χὰμ τοῦ υἱοῦ Νῶε Μεστρὲμ εἰς Αἴγυπτον ἀπῳκίσθη, καὶ ἀπ' αὐτοῦ ἐκλήθη ἡ χώρα· τὸ γὰρ Μεστρὲμ Ἑβραϊστὶ Αἴγυπτον δηλοῖ. Ἐπὶ Βινώριος βασιλέως Αἰγύπτου φασὶ τὸν Νεῖλον μέλιτι α' ῥυῆναι. Ψίωφ ἑξαέτης ἀρξάμενος βασιλεύων διεγένετο μέχρις ἐτῶν ρ'.

22. Σεμίραμις ἡ περιβόητος πολλαχοῦ τῆς γῆς ἤγειρε χώματα, προφάσει μὲν διὰ τοὺς κατακλυσμούς· τάδ' ἦσαν ἄρα τῶν ἐρωμένων ζώντων κατορυσσομένων οἱ τάφοι, [ὡς] Κτησίας ἱστορεῖ.

23. Σέσωστρις βασιλεὺς Αἰγύπτου θ' ἔτεσι τὴν ἅπασαν Ἀσίαν ἐχειρώσατο, καὶ τῆς Εὐρώπης τὰ μέχρι Θρᾴκης· καὶ μνημόσυνα πεποίηκε τῆς τῶν ἐθνῶν ἁλώσεως, ἐπὶ μὲν τοῖς γενναίοις ἀνδρῶν, ἐπὶ δὲ τοῖς ἀγεννέσι γυναικῶν [ταῖς στήλαις ἐγ]χαράσσων μόρια.

24. Ἐπὶ Βοχχόρεως βασιλέως Αἰγύπτου ἀρνίον ἐλά-

— § 6. Eadem Syncell. p. 161, A, ex Philochoro (fr. 30.) — § 8. Eadem plenius Syncell. p. 162, A. Eusebius an. 669. — § 9. Ead. Sync. p. 162, B. Euseb. an. 711. — § 10. Ead. Sync. p. 156, D. De Amphionis fabula Nostrum laudat Tzetzes Chil. I, 316: Ὁ λυρῳδὸς Ἀμφίων μὲν οὗτος σύναμα Ζήθῳ Υἱοὶ Διὸς καθ' Ὅμηρον, μητρὸς τῆς Ἀντιόπης· Κατὰ δ' ἑτέρους χρονικοὺς καὶ τὸν Ἀντιοχέα Υἱοὶ τοῦ Θεοβόωντος, μητρὸς δὲ τῆς ῥηθείσης. — § 11. Cf. Syncell. p. 162, C. — § 12. Ead. Syncell. p. 156, D. Euseb. an. 761, ex Palæphato. — § 13. Cf. Syncell. p. 163, A; Euseb. an. 770. Post v. καλουμένων excidisse videtur τρόπων. Syncellus ita: Ἡρακλῆς τοὺς ἄθλους ἐτέλει καὶ Ἀνταῖον ἐν Λιβύῃ καταπαλαίσας ἀναιρεῖ τὸν λεγόμενον γηγενῆ, διὰ τὸ ἐπιστήμονα εἶναι τὸν λεγόμενον παρὰ τοῖς παλαισταῖς τρόπον χαμὰς, ὡς ἀπὸ τῆς μητρὸς γῆς βοηθεῖσθαι δοκεῖν. — § 14. Ead. Sync. p. 163, B. Euseb. an. 776. — § 15. Ead. Sync. l. l., Euseb. an. 777. — § 16. Eadem narrat Syncell. p. 163, C, et Euseb. an. 787, e Philochoro (fr. 39). — § 17. De Hercule eadem Syncell. p. 164, A. Euseb. an. 826. — Τυρρηνῶν] Cramer., τυράννων cod. V. Palæphat. Incred. c. 21. — § 18. Cf. Chron. Anonym. cod. Paris. 854 in Cramer. Anecd. II, p. 261. — § 19. Ξάνθου... Μέλανθος] Ξανθίππου... Μελάνθιος cod. — Πύλιος τὸ] ποῖόν τι cod. Syncellus p. 178, B: Ἐπὶ τούτου ἡ τῶν Ἐρεχθειδῶν βασιλεία κατελύθη παρὰ Ἀθηναίοις Ἀττικῶν λεγομένη, καὶ μετῆλθεν εἰς ἕτερον γένος. Θυμοίτην γὰρ προκαλεσαμένου Ξάνθου τοῦ Βοιωτίου, καὶ μὴ ὑπακούσαντος τοῦ Θυμοίτου, Μέλανθος Ἀνδροκόμπου Πύλιος ἀναδεξάμενος ἐμονομάχησε καὶ νικήσας ἐβασίλευσεν. Ἔνθεν Ἀθήνησι ἡ τῶν ἀπατουρίων ἑορτὴ ἄγεται διὰ τὸ σὺν ἀπάτῃ γενέσθαι τὴν νίκην. Ead. Euseb. ad an. 889. — § 20. Ἀεθλίου] ἀεθλίων cod. V. Euseb. p. 140 ed. Mai. — § 21. ͵ζψοζ] i. e. 7777. Codex habet: ͵ζψοζ', quod aperte corruptum. Fortasse reponendum dicas ͵δυοζ (4477), quem numerum præbent Chron. Pasch. I, p. 82 et Malala p. 23, 2 (ed. Bonn.), et infra (fr. 6, § 8) ipse etiam Joannes noster. Sed his nihil dirimitur, quum ea quæ infra ap. Joannem leguntur, ex aliis fontibus hausta esse debeant. Ceterum cf. Manethon. fragm. in tom. II, p. 533. — Βινώριος] Apud Manethonem Africani (fr. 8, p. 542) rex ille, sub quo mel Nilus fluxit, appellatur *Nephercheres*. Apud Eusebium nomen ejus desideratur. Antecedit vero apud Euseb. mentio regis Βιόφιος; fortasse ex hoc natum est nostrum Βινώριος. — Φίωψ] Φιὼψ Cramer. — § 23. ἁλώσεως] reponendum videtur κατασχέσεως vel σχέσεως ex Africano et Eusebio ap. Syncell. p. 69, B (v. Manethon. fr. 34, p. 560). Mox [ταῖς στήλαις ἐγ] addidi e Syncello. — § 24. Cf. Syncell. et Euseb. in Maneth. fr. 65. Verba ἀνθρω-

λησεν [φωνῇ] ἀνθρωπίνῃ, ὃν Σαβάκων ὁ Αἰθιόπων βασιλεὺς αἰχμάλωτον λαβὼν, ζῶντα κατέκαυσεν· οἱ δέ φασιν ὡς ἐξέδειρεν.

25. Σέλευκός τις ψευδόμενος ἐκ γένους εἶναι τοῦ μεγάλου Σελεύκου τῇ βασιλίσσῃ Βερενίκῃ συνεβασίλευεν· ὕστερον δὲ γνωσθεὶς ἰδιώτης εἶναι, ὑπ' αὐτῆς ἀνῃρέθη.

26. Ἀπὸ Αἰγιαλέως βασιλέως Σικυῶνος Αἰγιάλεια ἡ νῦν Πελοπόννησος.

27. Λεωνίδης μόνος καὶ πρῶτος ἐπὶ τέσσαρας Ὀλυμπιάδας στεφάνους ἔσχε δώδεκα. Χιόνου τοῦ Λάκωνος τὸ ἅλμα ποδῶν ἦν νδ'. Πολυμνήστωρ ὁ Μιλήσιος ἐκ ποδῶν κατέλαβε λαγών. Καὶ Ἰουδαῖός τις ἱστορεῖται ταχίων δορκάδος γενέσθαι. Μίλων ὁ Κροτωνιάτης ἐνίκησεν Ὀλύμπια ἑξάκις, Ἴσθμια δεκάκις, Νέμεα ἐννάκις.

28. Ὁ Ὀλοφέρνης τοῦ δευτέρου Ναβουχοδονόσορ, ὃν Ἕλληνες Καμβύσην καλοῦσιν, ἦν στρατηγός.

2.

Codex Paris. N°. 1630, fol. 234 :

1. Ἀπὸ τῆς ἐκθέσεως Ἰωάννου Ἀντιοχέως τῆς περὶ χρόνων καὶ κτίσεως κόσμου πονηθείσης, ὥς φησιν, ἀπὸ βίβλων Μωσέως, Ἀφρικανοῦ, Εὐσεβίου, Παππίου καὶ Διδύμου καὶ ἑτέρων.

2. Πρῶτος ἐκ γῆς ἄνθρωπος πλασθεὶς ὁ Ἀδὰμ ἀπὸ θεοῦ εἶχε μέτρον ἡλικίας ποδῶν ϛ' μετὰ τῆς αὐτοῦ κεφαλῆς, ὡς εἶναι τὴν αὐτοῦ ἡλικίαν δακτύλων ϟϛ'· ἡ δὲ σπιθαμὴ αὐτοῦ εἶχε δακτύλους ιϛ', ὁ δὲ πῆχυς αὐτοῦ δακτύλους κδ', ὁ δὲ ποὺς ιϛ'. Ἔζησε δὲ ἔτη ϡλ'. Ἡ δὲ τούτου γυνὴ ἐλέγετο Εὔα, καὶ ἐγέννησεν υἱοὺς τὸν Κάϊν, τὸν Ἄβελ καὶ τὸν Σὴθ, καὶ θυγατέρας τὴν Ἀζουρὰν καὶ τὴν Ἀσουάμ.

3. Ὁ δὲ Ἀδὰμ [κατὰ κέλευσιν Θεοῦ] ἔθηκεν ὀνόματα πᾶσι τοῖς τετραπόδοις καὶ πετεινοῖς καὶ ἀμφιβίοις καὶ ἑρπετοῖς καὶ ἰχθῦσι καὶ τοῖς ἑαυτοῦ τέκνοις· τὸ γὰρ ἑαυτοῦ ὄνομα καὶ τῆς αὐτοῦ γυναικὸς ἄγγελος Κυρίου εἶπεν αὐτοῖς. (4) Ὁ δὲ υἱὸς αὐτοῦ Σὴθ εἶχε σοφίαν ἀπὸ θεοῦ, καὶ κατὰ κέλευσιν θεοῦ ἔθηκεν ὀνόματα τοῖς ἄστροις πᾶσι καὶ τοῖς πέντε πλανήταις εἰς τὸ γνωρίζεσθαι ὑπὸ τῶν ἀνθρώπων· καὶ τὸν πρῶτον πλανήτην ἐκάλεσε Κρόνον, τὸν [β'] Ζῆνα, τὸν γ' Ἄρεα, τὸν δ' Ἀφροδίτην, τὸν ε' Ἑρμῆν· τοὺς δὲ β' φωστῆρας τοὺς μεγάλους αὐτὸς ὁ Θεὸς ἐκάλεσεν. Ὁ αὐτὸς δὲ Σὴθ εὗρε καὶ τὰ ζ' φωνήεντα ἐκ τῶν ε' ἀστέρων καὶ τῶν β' φωστήρων, καὶ τὰ Ἑβραϊκὰ γράμματα. (5) Ἔλαβε δὲ Σὴθ γυναῖκα Ἀζουρὰν, καὶ ἐγένετο αὐτῶν γενεὰ πολλὴ ἐν τῇ γῇ ἀνδρῶν τε καὶ γυναικῶν. (6) Ἐν τοῖς μέσοις οὖν αὐτῶν χρόνοις μετετέθη Ἐνὼχ, ἕβδομος ὢν ἀπὸ Ἀδάμ. (7) « Ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο, » ὥς φησι Μώσης (I, 6, 2). Καὶ ἐγέννησαν ἑαυτοῖς υἱοὺς τοὺς γίγαντας. (8) Ἔτη [δὲ ἀπὸ Ἀδὰμ ἕως τοῦ ἐπιθυμῆσαι τοὺς υἱοὺς τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων], ͵βρκβ'.

9. Ἐν τοῖς χρόνοις τούτοις σφαῖραν πυρὸς ἔπεμψεν ὁ θεὸς ἐκ τοῦ οὐρανοῦ κατὰ τῶν ὄντων ἐν τῇ Κελτικῇ χώρᾳ γιγάντων, καὶ ἔκαυσεν αὐτὴν καὶ αὐτούς. Καὶ εἰς τὸν Ἠριδανὸν ποταμὸν ἐνεχθεῖσα ἡ σφαῖρα ἐσβέσθη. (10) Τοῦτο ἱστοροῦσι τὸ πῦρ [οἱ Ἕλληνες], καὶ λέγουσι τὸν υἱὸν τοῦ Ἡλίου εἶναι, ὃν Φαέθοντα εἶπον, πεπτωκότα ἐκ τοῦ ἅρματος εἰς τὴν γῆν. Καὶ ποιητικῶς μὲν οὕτω τὴν ἱστορίαν συνεγράψατο Ὀβίδιος, ἀληθέστερον δὲ εἶπεν ὁ Χαιρωνεὺς Πλούταρχος. (11) Τούτους ἰδόντες οἱ λοιποὶ γίγαντες κεραυνοβοληθέντας, ἔμειναν

πίνῃ... ἐξέδειρεν ap. Syncell. et Euseb. non leguntur. — § 25. Σέλευκος] sc. *Seleucus Cybiosactes*. V. Strabo p. 796; Dio Cass. XXXIX, 57. — § 27. Λεωνίδης κτλ.] Ead. Euseb. p. 155. At male habent. Nam Leonides in quattuor Olympiadibus (154-157) nonnisi quattuor coronas tulit; duodecim vero tulit ex his et ex reliquis suis victoriis. V. Pausan. VI, 13, 4; Philostrat. Heroic. c. 19. — Χιόνου] V. Euseb. Olymp. 29. — ἐκ ποδῶν] αἰπολῶν legitur apud Euseb. p. 146 ad Olymp. 46.

Quæ hucusque de priscis Græcorum barbarorumque temporibus legimus optime conveniunt cum melioris notæ chronicis Africani, Eusebii, Syncelli. Exspectaveris excerptorum istorum seriem iisdem ducibus jam ad certiorem historiam nos deducturam esse. At non ita se res habet. Nam quæ deinceps in Salmasii codice leguntur (fr. 3), denuo redeunt ad antiquissimam Assyriorum, Ægyptiorum, Græcorum memoriam, eamque eodem plane modo explicant, quem ex deterioris farinæ chronologis, ex Malala, Cedreno, similibus, bene novimus. Ad posteriorem hanc antiquæ historiæ expositionem pertinent, quæ ex Joanne excerpta præbent Tituli Constant. Περὶ ἀρετῆς et Περὶ ἐπιβουλῶν, nec non codex Paris. 1630. Quæ quum ita sint, haud temere contendere mihi videor Excerpta ista Salmasiana ex duobus chronicis fluxisse, eorumque partem priorem, quam modo apposui, ab Joanne nostro alienam esse.

Fr. 2. Codicis hujus chartacei, in-8°, sæc. XIV, minutis literis scripti, meminit et nonnulla ex eo transscripsit Cramerus in Anecd. Paris. II, p. 379. Excerpta hæc ex Joanne obiter tantum delibavit, quod ea Joannis Malalæ, quem habemus, non vero nostri Joannis esse putabat. Sed fefellit virum doctiss. opinio. Sane quidem Malala eodem fere modo, iisdemque sæpe verbis res exponit, idque magis etiam appareret, si pro minutis excerptis codex integram auctoris sui narrationem exhiberet; verum hoc nihil probat; nam alter hujus generis scriptor alterius solet esse simia; porro Antiochenum seniorem ex seniore sua hausisse per se probabile est; denique codicis illius Excerpta ad Nostrum referenda esse inde colligitur, quod complura iis insunt, quæ in editis Joannis Malalæ Chronicis non leguntur; sic, ut unum afferam, frustra in iis quæris narrationem de Hercule, quam iisdem verbis exhibent excerpta Const. Περὶ ἀρετῆς. — § 1. Παππίου] Idem haud dubie est *Papias* (vel *Pappias*) ex quo plura habent Anonymi Παρατάσεις σύντομοι χρονικαὶ ad calcem Georgii Codini De antiqq. Const. p. 175 sqq. ed. Bonn. 1843. *Didymum* in explicatione fabularum de Tantalo, Hercule et Antæo, Diomede, laudat Joannes Malala p. 81 R., 86, 17 166, 22 Bonn. — § 3. κατὰ κέλευσιν] e Malala p. 232, 3 in Anecd. Crameri, qui primus initium Chronicorum Malalæ ex cod. Paris. 1336 edidit. — § 8. Inclusa e Malala p. 232, 26 supplevi. — Ἠριδανὸν] Ἰορδάνην codex, Κηδανὸν Mal. cod.; em. Cramer. — § 10. οἱ Ἑλλ.] add. e Malala. Quæ mox sequitur Ovidii, Pisandri (fr. 21 ed. Dubner.), et Servii mentio apud Malalam nulla

ἀπειθεῖς· καὶ ὀργισθεὶς ὁ Θεὸς εἶπεν· « Οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν αὐτοῖς διὰ τὸ εἶναι αὐτοὺς σάρκας. » (12) Τούτους Πείσανδρος, ποιητὴς Ἑλλήνων, ὠνόμασε δρακοντόποδας, ἐκ τῆς γῆς γεννηθέντας, καὶ τολμήσαντάς τινα κατὰ τῶν ὑψίστων θεϊκῶν δυνάμεων, ἕως τὸ θεῖον διαφόροις πληγαῖς ἠνάλωσεν. (13) Ὁ δὲ Σέρβιος εἶπεν ἐν βαθείᾳ πεδιάδι διάγοντας ἐσχηκέναι πόλεμον μετά τινων οἰκούντων ἐν ὑψηλοῖς ὄρεσι, καὶ ταῖς κοιλίαις συρομένους φονευθῆναι ὑπὸ τῶν ἐν τοῖς ὑψηλοῖς οἰκούντων.

14. Τότε ἐγένετο Νῶε, ἄνθρωπος ἀγαπώμενος ὑπὸ τοῦ Θεοῦ, καὶ ἐγένετο ὁ κατακλυσμὸς, καθὼς ἐν τοῖς Βιβλίοις φέρεται. Ἔτη ἀπὸ Ἀδὰμ ἕως τοῦ κατακλυσμοῦ ͵βφνβʹ. Ἐν δὲ τῷ χβʹ ἔτει τῆς ζωῆς αὐτοῦ ἐξῆλθε Νῶε ἀπὸ τῆς κιβωτοῦ, καὶ πᾶσα ψυχὴ τοῦ γένους αὐτοῦ. Καὶ μετὰ τὸ παύσασθαι τὸν κατακλυσμὸν ἐκάθισεν ἡ κιβωτὸς, ὡς μὲν Πέργαμος συνεγράψατο, ἐν τοῖς ὄρεσι Ἀραρὰτ τῆς Πισιδίας ἐπαρχίας, ἧς μητρόπολις ἡ Ἀπάμεια· ὡς δὲ Ἰώσηπος (II, 3, 5) καὶ ἄλλοι, ἐν τοῖς ὄρεσι Ἀραρὰτ τῆς Ἀρμενίας μεταξὺ Πάρθων καὶ Ἀρμενίων [Ἀ]διαβηνῶν.

15. Ἡ δὲ γενεὰ τοῦ Νῶε ἐτεκνοποίησε, καὶ ἐγένετο πλῆθος ἀνδρῶν τε καὶ γυναικῶν, καὶ ἐποίουν πυργοποιΐαν· οἵτινες καὶ τὴν κατασκευὴν τῆς κιβωτοῦ ἐπιστάμενοι, πρῶτοι ἐποίησαν πλοῖα, καὶ ἐν τοῖς ὕδασι ἔθεντο αὐτὰ νήχεσθαι. Ἐγένετο οὖν ἀπὸ τοῦ κατακλυσμοῦ ἕως τῆς πυργοποιΐας ἔτη τοʹ.

16. Ἐγέννησε Σὴμ, υἱὸς Νῶε, τὸν Ἀρφαξὰδ, ἄνδρα σοφὸν, καὶ ὁ Ἀρφαξὰδ τὸν Καϊνὰν, ὅστις μετὰ τὸν κατακλυσμὸν συνεγράψατο τὴν ἀστρονομίαν, εὑρηκὼς τὰς τῶν ἄστρων ὀνομασίας ἐν πλακὶ λιθίνῃ [ἐγγε]γλυμμένας, ὡς Ἰώσηπος συνεγράψατο. Οἱ [γὰρ] τοῦ Σὴθ ἔγγονοι, ἄνδρες ὄντες θεοσεβεῖς καὶ προεγνωκότες τὴν τῶν ἀνθρώπων μέλλουσαν ἔσεσθαι φθορὰν ἤτοι ἐναλλαγὴν, ποιήσαντες στήλας βʹ, τὴν μὲν λιθίνην, ἑτέραν δὲ πλινθίνην, ἔγραψαν ἐν αὐτοῖς τὰ ἐκ τοῦ Σὴθ τοῦ πάππου αὐτῶν ἐκτεθέντα πάντα οὐράνια· λογισάμενοι ὅτι, εἰ μὲν δι' ὕδατος ἐναλλαγείη ὁ τῶν ἀνθρώπων κόσμος, ἡ λιθίνη στήλη μενεῖ καὶ τὰ ἐν αὐτῇ γεγραμμένα, εἰ δὲ διὰ πυρὸς, ἡ πλινθίνη στήλη μενεῖ. Ἥτις λιθίνη στήλη ἔμεινεν μετὰ τὸν κατακλυσμὸν εἰς τὸ Σίριδος ὄρος, ὡς Ἰώσηπος (I, 2, 3) ἐξέθετο.

17. Διεμερίσθησαν αἱ φυλαὶ τῶν υἱῶν Νῶε. Καὶ ἔλαχεν ἡ φυλὴ [τοῦ] Σὴμ ἀπὸ Περσίδος καὶ [Βάκτρων] ἕως Εὐφράτου (ἕως Ἰνδικῆς καὶ Ῥινοκορούρων Chron. anon. cod. 854)· ἡ δὲ τοῦ Χὰμ ἀπὸ [Ῥινοκο]ρούρων τῆς Αἰγύπτου ἕως μέρους τῆς δύσεως, καὶ πᾶσαν τὴν Λιβύην, τὸν Νεῖλον τὸν λεγόμενον Χρυσορρόαν ἕως Μαυριτανίας καὶ τῶν Ἡρακλεωτικῶν στηλῶν καὶ τῆς μεγάλης θαλάσσης τῆς Ἀδριαν[ῆς]. Ἡ δὲ τοῦ Ἰαφὲθ ἀπὸ Μηδίας τὴν ἐπὶ τὸν ἄρκτον ἕως Βρεττανικῶν νήσων [καὶ] πάντα τὰ τοῦ πόντου ἐ* (ἐπὶ?) τὸν Δάνουβιν [καὶ] τὸν Τάναϊν τοὺς ποταμοὺς, τὴν ἐπὶ Καυκάσια ὄρη καὶ Ἀβασγούς. * Ἀπὸ Τίγριδος καὶ ἕως τῆς Ποντικῆς θαλάσσης, τὰ ἀπὸ * τὸν Ῥόδον καὶ Κύπρον καὶ τὴν ἀ. . . . . . Διεμερίσθησαν δὲ αἱ φυλαὶ καὶ ἔμειναν ἔθνη οβʹ.

3.

Exc. Salmas. p. 386 : Ἐκ τῆς φυλῆς Σὴμ τοῦ υἱοῦ Νῶε ἐγένετό τις Νεβρὼδ κυνηγὸς πρῶτος, ὃν οἱ Ἀσσύριοι ἀποθεώσαντες ἔταξαν ἐν τοῖς ἄστροις, καὶ καλοῦσιν Ὠρίωνα, διὸ καὶ τὸν κύναστρον αὐτῷ συνῆψαν. — Ἐκλήθη δὲ ὑπὸ τῶν ἐπιχωρίων καὶ Κρόνος, καὶ ἔλαβε γυναῖκα τὴν Σεμιράμιδα, ἡ Ῥέα ἐκλήθη, καὶ ἔσχεν ἐξ αὐτῆς Πῖκον τὸν καὶ Δία, καὶ Ἥραν καὶ ἄλλους παῖδας. Οὗτος ἐάσας τὸν Δία τῶν Ἀσσυρίων κρατεῖν, ἀπῆρεν ἐπὶ δύσιν, καὶ ἔσχεν υἱὸν Ἄφρον, ὥπερ ἔδωκε τὴν Λιβύην· ἐξ οὗ καὶ ἡ Ἀφρική· ἔσχε δὲ οὗτος ὁ Ἄφρος Ἀφροδίτην θυγατέρα. Ὁ δὲ Ζεὺς ἐάσας τὴν Ἀσσυρίων ἀρχὴν τῷ ἀδελφῷ Νίνῳ, πρὸς τὸν πατέρα Κρόνον ἀπήρθη· καὶ ἐκράτησεν ἐκεῖ, παραχωρήσαντος αὐτῷ τοῦ πατρὸς, καὶ ἀφανοῦς γενομένου. Νῖνος δὲ ἔγημεν Ῥέαν τὴν [καὶ] Σεμίραμιν, τὴν οἰκείαν μητέρα· ἐξ οὗ ὁ νόμος παρὰ Πέρσαις γαμεῖν τὰς μητέρας. Τότε ἐφάνη καὶ Ζωροάστρης ὁ ἀστρονόμος, ὅστις ηὔξατο ὑπὸ πυρὸς οὐρανίου τελευτῆσαι, εἰπὼν Ἀσσυρίοις τὴν ἑαυτοῦ τέφραν τηρεῖν· οὕτω γὰρ αὐτῶν τὴν βασιλείαν μὴ ἐκλείπειν.

4.

Codex. Paris. 1630 : Ἐκ τῆς φυλῆς τοῦ Σὴμ ἐγεννήθη ὁ Χοὺς ὀνόματι Αἰθίοψ, ὅστις ἐγέννησε τὸν Νεβρὼδ γίγαντα τὸν τὴν Βαβυλωνίαν κτίσαντα, ὃν λέγουσιν οἱ Πέρσαι ἀποθεωθέντα καὶ γενόμενον ἐν τοῖς ἄστροις τοῦ οὐρανοῦ, ὃν καλοῦσι Ὠρίωνα. Οὗτος πρῶτος (καὶ) κατέδειξε τὸ κυνηγεῖν. — Ἐκ δὲ τῆς αὐτῆς φυλῆς τοῦ Σὴμ, τοῦ πρώτου υἱοῦ τοῦ Νῶε, ἐγεννήθη ὁ Κρόνος.

2. Περὶ τῶν λεγομένων παρ' Ἕλλησι θεῶν. Γεννηθεὶς δὲ ὁ τοιοῦτος Κρόνος ἐγεννήθη ἄνθρωπος γιγαντογενής· ἐπεκλήθη δὲ Κρόνος ὑπὸ τοῦ ἰδίου πατρὸς εἰς τὴν ἐπωνυμίαν τοῦ πλανήτου ἀστέρος. Ἐγένετο δὲ δυνατὸς καὶ πικρός· ὅστις πρῶτος κατέδειξε τὸ

---

est. — Σέρβιος] Σέρπιος cod., em. Cramer. Cf. Symeon Logothet. Chron. in cod. Paris. 1762 fol. 22 v., lin. 7 : ἢ ὡς Σέρβιος ἱστορεῖ, ὅτι πόλεμον ἔχοντες μετά τινων οἰκούντων ἐν ὑψηλοῖς, εἶτα χερσὶ [καὶ ποσὶ add. ego] καὶ κοιλίαις ὡς δράκοντες κατ' αὐτῶν ἀνέρποντες, ὑφ' ὧν καὶ πολλοὶ πολλάκις ἄνωθεν ἀνῃροῦντο βαλλόμενοι, δρακοντόποδες ἐκέκληντο. — 14. Πέργαμος] De hoc auctore mihi non constat. — 17. ἔλαχεν] ἔλαβεν cod. In seqq. complura lacera sunt culpa excerptoris; quæ fere intacta reliqui. — Βάκτρων] addidi e Chron. anon. cod. 854, ap. Cram. II, p. 250.

Fr. 3. Cf. Chronicon Paschal. I, p. 64 sqq. Malala p. 235. Cedren. I, p. 28; Georg. Hamartolus, ex quo Malalæ liber primus suppletus, p. 16 ed. Bonn. — ἐκλήθη δὲ] Breviator perperam ita loquitur, quasi hoc ad Nebrodum pertineret. — τῷ ἀδελφῷ Νίνῳ] τῷ υἱῷ V. cod. — ἔγημεν Ῥέαν] ἔγ. Ἥραν cod. V. id. fr. 4 et Chronica laudata.

Fr. 4. § 1. Κατέδειξε] ex Malala; κατάρξαι τὸ κυνηγεῖν codex; possis κατάρξαι λέγεται τοῦ κυνηγεῖν.

ἄρχειν ἐπὶ τῆς γῆς. Ἐβασίλευσε δὲ Ἀσσυρίας ἔτη πολλά. Εἶχε γυναῖκα Σεμίραμιν τὴν καὶ Ῥέαν καλουμένην παρὰ τοῖς Ἀσσυρίοις διὰ τὸ καὶ αὐτὴν εἶναι ὑπερήφανον καὶ ἀλαζόνα ἐκ τῆς αὐτῆς φυλῆς.

3. Ἔσχε δὲ Κρόνος υἱὸν ὀνόματι Πῖκον, ὅστις ὑπὸ τῶν γονέων ἐκλήθη Ζεύς, εἰς ὄνομα καὶ αὐτὸς τῆς ἐπωνυμίας τοῦ πλανήτου ἀστέρος.

4. Ἔσχε δὲ καὶ ἕτερον υἱὸν ὀνόματι Νῖνον καὶ θυγατέρα Ἥραν. Ἔλαβε δὲ εἰς γυναῖκα Πῖκος ὁ καὶ Ζεὺς τὴν ἰδίαν αὐτοῦ ἀδελφήν, Ἥραν, ἣν καὶ ζυγίαν Νέμεσιν ἐκάλουν τινὲς εὐχαριστοῦντες αὐτῇ ὡς ἀγαθῇ καὶ δικαίᾳ. Ἔσχε δὲ ἐξ αὐτῆς ὁ Πῖκος Ζεὺς υἱόν, ὃν ὠνόμασε Βῆλον διὰ τὸ ὀξύτατον εἶναι. Ὁ δὲ προπάτωρ Κρόνος ἐάσας τὸν αὐτοῦ υἱὸν Πῖκον ἐν τῇ Ἀσσυρίᾳ, καὶ τὴν ἑαυτοῦ γυναῖκα Ῥέαν, καὶ λαβὼν πολλὴν βοήθειαν ἀνθρώπων, ἀπῆλθεν εἰς τὴν δύσιν ἀβασίλευτον οὖσαν, καὶ ἐκράτησεν αὐτῆς ἔτη πολλά· καὶ ἔσχε ἐκεῖ γυναῖκα ὀνόματι Φιλύραν, ἐξ ἧς ἔσχε υἱὸν Ἄφρον· ὃς Ἄφρος γήμας Ἀστυνόμην ἐγέννησε θυγατέρα, ἣν ἐκάλεσεν Ἀφροδίτην, εἰς ὄνομα καὶ αὐτὴν τοῦ πλανήτου ἀστέρος, φιλόσοφον γενομένην, ἥτις γαμηθεῖσα Ἀδώνιδι Ἀθηναίῳ, καὶ αὐτῷ φιλοσόφῳ, ἐκεῖνοι ὁμοῦ φιλοσοφοῦντες ἄχρι θανάτου. Ἔσχε δὲ ἐκ τῆς αὐτῆς Φιλύρας ὁ Κρόνος καὶ ἄλλον υἱὸν Χείρωνα, φιλόσοφον καὶ αὐτόν.

5. Βασιλεύσας δὲ Πῖκος ὁ καὶ Ζεὺς ἐν Ἀσσυρίᾳ ἔτη λ', καὶ ποιήσας Βῆλον βασιλέα Ἀσσυρίων ἀπῆλθεν ἐπὶ τὴν δύσιν, ἐπὶ τὸν ἑαυτοῦ πατέρα Κρόνον. Ὁ δὲ Κρόνος ταλαιπωρήσας χρόνῳ κατέστησε βασιλέα τὸν ἑαυτοῦ υἱὸν Δία. ·Καὶ ἐβασίλευσε Ζεὺς ἔτη ξ* (ξϛ' Mal.).

6. Μετὰ δὲ Βῆλον βασιλεύσαντα ἔτη [ξ] β' ἐκράτησε Νῖνος, ὁ ἄλλος υἱὸς Κρόνου, ὅστις καὶ τὴν ἑαυτοῦ μητέρα Σεμίραμιν ἔλαβε γυναῖκα. Ἐξ οὗ νόμος Πέρσαις γαμεῖν τὰς ἑαυτῶν μητέρας καὶ τὰς ἀδελφάς. Καὶ τελευτᾷ ὁ Κρόνος. Ὁ δὲ Νῖνος ἐπικρατὴς γενόμενος τῆς Συρίας κτίζει τὴν Νινευὶ πόλιν Ἀσσυρίων.

5.

Exc. Salmas. p. 386 sq : Μετὰ Νῖνον ἐβασίλευσε Θούρας, ὃν Ἄρεα ὠνόμασαν· ἦν δὲ σφόδρα δεινὸς καὶ πολεμικός, καὶ προσεκύνησαν αὐτῷ Ἀσσύριοι ὡς θεῷ, ὀνομάσαντες αὐτὸν Βῆλον, ἤτοι Ἄρεα πολέμων θεόν. Ὁ δὲ Ζεὺς ἐν τῇ δύσει Φαῦνον τὸν [καὶ] Ἑρμῆν γεννᾷ, καὶ θανὼν θάπτεται ἐν Κνωσσῷ τῆς Κρήτης. Οὗτος ὁ Ἑρμῆς εὗρε μέταλλα χρυσοῦ καὶ ἀργύρου, διὸ καὶ πλουτοδότης ἐκλήθη, καὶ ἐβασίλευσεν Αἰγύπτου μετὰ Μεστραΐμ. Μετὰ δὲ Ἑρμῆν ἐβασίλευσεν Αἰγύπτου Ἥφαιστος, ὃς πολεμῶν ἐπλήγη τὸν πόδα, καὶ γέγονε χωλός. Ἐνομοθέτησε δὲ οὗτος πρῶτος μονανδρίαν ταῖς γυναιξί, καὶ δι' εὐχῆς ὀξυλάβην ἀπὸ τοῦ ἀέρος ἐδέξατο, καὶ κατεσκεύασεν ἀπὸ σιδήρου πολεμικὰ ὅπλα. Μετὰ Ἥφαιστον Ἥλιος ὁ υἱὸς αὐτοῦ καὶ οὗτος * Αἰγύπτου, ὃς τὴν τοῦ πατρὸς φυλάττων νομοθεσίαν, εὑρὼν μοιχευομένην γυναῖκα, ἐθριάμβευσεν αὐτήν· ὁ Ὅμηρος εἰς μῦθον μετέβαλε. Σέσωστρις βασιλεὺς Αἰγύπτου ἐκ φυλῆς Χὰμ ἐκράτησε πάσης Ἀσίας, καὶ κατῴκισεν (κατῴκησεν ?) ἐν τῇ Ἀσσυρίων χώρᾳ.

6.

Cod. Paris. 1630 : Μετὰ δὲ Νῖνον ἐβασίλευσε Ἀσσυρίων Θούρας, ὅντινα μετεκαλέσατο ὁ τούτου πατὴρ Ζάμης, ὁ τῆς Ἥρας ἀδελφός, εἰς τὸ ὄνομα τοῦ πλανήτου ἀστέρος Ἄρεα. Οὗτος ἐγένετο πικρὸς πολεμιστής. Ὧτινι Ἄρεϊ ἀνέστησαν πρῶτοι στήλας Ἀσσύριοι καὶ ὡς θεὸν προσεκύνουν αὐτόν· ὃν καὶ ἕως τοῦ νῦν καλοῦσι Περσιστὶ Βάαλ θεόν, ὅ ἐστι ἑρμηνευόμενον Ἄρης ὁ πολέμων θεός.

2. Μετὰ τελευτὴν Ἄρεος ἐβασίλευσε Λάμης, μετὰ Λάμην Σαρδανάπαλλος ὁ μέγας· ὅντινα Περσεὺς ὁ Δανάης ἐφόνευσε καὶ ἀφείλετο τὴν βασιλείαν Ἀσσυρίων, καὶ βασιλεύσας εἰς τὸ ἴδιον ὄνομα ἐκάλεσεν αὐτοὺς Πέρσας.

3. Ἔζησε δὲ Πῖκος ὁ καὶ Ζεὺς ἔτη ρκ', κρατῶν τὴν δύσιν καὶ βασιλεύων αὐτῆς. Καὶ ἔσχε υἱοὺς πολλοὺς καὶ θυγατέρας ἀπὸ τῶν εὐπρεπῶν γυναικῶν· ὑπενόθευε γὰρ αὐτάς· ἦν γὰρ καὶ μυστικὸς καὶ φαντασίας τινὰς ποιῶν καὶ ἐκπλήττων αὐτάς. Αἵτινες γυναῖκες καὶ ὡς θεὸν εἶχον αὐτὸν φθειράμεναι ὑπ' αὐτοῦ.

4. Ἔσχε δὲ ὁ αὐτὸς Πῖκος ὁ καὶ Ζεὺς μετὰ Μαιάδος τῆς Ἰταλικῆς υἱὸν ὄνομα Φαῦνον, ὃν καὶ Ἑρμῆν ἐκάλεσεν εἰς ὄνομα τοῦ πλανήτου ἀστέρος. Μέλλων δὲ τελευτᾶν, ἐκέλευσε τὸ λείψανον αὐτοῦ ἐν τῇ Κρήτῃ νήσῳ τεθῆναι. Καὶ κτίσαντες αὐτῷ ναὸν οἱ αὐτοῦ παῖδες ἔθηκαν αὐτὸν ἐκεῖ ἐν τῇ Κρήτῃ ἐν μνήματι. Ὅπερ μνῆμα ἔστιν ἕως τοῦ παρόντος ἐν Κρήτῃ. Ἐν τῷ μνήματι ἐπιγέγραπται· « Ἔνθα κεῖται θανὼν Πῖκος ὁ καὶ Ζεύς, ὃν καὶ Δία καλοῦσι. »

5. Μετὰ δὲ τὴν τοῦ Διὸς τελευτὴν ἐβασίλευσεν ὁ τούτου υἱὸς Φαῦνος ὁ καὶ Ἑρμῆς τῆς Ἰταλίας ἔτη λε'· ὃς ἦν ἀνὴρ πανοῦργος καὶ μαθηματικός. Ὅστις ἐφεῦρε μέταλλον χρυσοῦν ἐν τῇ δύσει πρῶτος, καὶ τὸ χωνεύειν. Γνοὺς δὲ ὅτι διαφθονοῦνται αὐτῷ οἱ ἀδελφοὶ ὄντες περίπου ο' (μετὰ πολλῶν γὰρ μιγνύμενος ὁ Ζεὺς ἐτεκνοποίει), ἀνεχώρησε μετὰ πολλοῦ χρυσοῦ σφόδρα, καὶ ἀπῆλθεν εἰς Αἴγυπτον πρὸς τὴν φυλὴν τοῦ Χάμ. Καὶ δεχθεὶς ἐν τιμῇ διέτριβεν ἐκεῖ μεγαλαυχῶν καὶ φορῶν χρυσῆν στολήν, λέγων καὶ μαντείας. Ἦν γὰρ σφόδρα λόγιος. Καὶ προσεκύνουν αὐτῷ, λέγοντες εἶναι θεόν, ὅτι προὔλεγε τὰ μέλλοντα· καὶ παρεῖχεν αὐτοῖς χρήματα· διὰ τοῦτο γὰρ καὶ πλουτοδότην ἐκάλουν. Τελευτήσαντος οὖν Μεστραΐμ βασιλέως Αἰγύπτου ἐκ φυλῆς Χάμ,

— § 4. ἐκεῖνοι ὁμοῦ φιλοσ.] Refingi possit, σὺν ἐκείνῳ ὁμοῦ ἐφιλοσόφει ἄχρι θανάτου.

Fr. 5. V. Malala p. 19-25; Cedrenus p. 20 sqq.; Chron. Paschal. p. 18 sqq. — Θούρας] Θούρρας cod. — ὀξυλάβην ὀξυλαβῆ Cramer. — καὶ οὗτος] fuerit καὶ αὐτὸς ἐβασίλευσεν Αἰγύπτου. — ἐθριάμβευσεν] ἥντινα... ἐπόμπευσεν ἐν πάσῃ τῇ χώρᾳ τῆς Αἰγύπτου τιμωρησάμενος Malal. p. 25, 11.

ἐποίησαν Αἰγύπτιοι Ἑρμῆν βασιλέα· καὶ ἐβασίλευσεν ἔτη λθ'.

6. Ἐγέννησε δὲ Ζεὺς καὶ ἕτερον υἱὸν ὀνόματι Ἡρακλέα μετὰ Ἀλκμήνης τῆς Θηβαίας, ὃς ἐκλήθη Τριέσπερος. Οὗτος Ἡρακλῆς κατέδειξε [πρῶτος] τὸ φιλοσοφεῖν ἐν τοῖς ἑσπερίοις μέρεσιν, ἤτοι τοῖς δυτικοῖς. Τοῦτον ἀποθειώσαντες οἱ τοῦ γένους αὐτοῦ μετὰ τὴν αὐτοῦ τελευτὴν, ἐκάλεσαν ἀστέρα οὐράνιον ὀνόματι αὐτοῦ τὸν ἀστροχίτωνα Ἡρακλέα· ὃν γράφουσι δορὰν λέοντος φοροῦντα καὶ τρία μῆλα κρατοῦντα· ἅπερ τρία μῆλα ἀφελέσθαι αὐτὸν ἐμυθολόγησαν τῷ ῥοπάλῳ φονεύσαντα τὸν δράκοντα, τουτέστι νικήσαντα τὸν πολυποίκιλον τῆς πονηρᾶς ἐπιθυμίας λογισμὸν διὰ τοῦ ῥοπάλου τῆς φιλοσοφίας, ἔχοντα περιβόλαιον φρόνημα ὡς δορὰν λέοντος· καὶ οὕτως ἀφείλετο τὰ τρία μῆλα, ὅπερ ἐστὶ τὰς τρεῖς ἀρετὰς, τὸ μὴ ὀργίζεσθαι, τὸ μὴ φιλαργυρεῖν, τὸ μὴ φιληδονεῖν. Διὰ γὰρ τοῦ ῥοπάλου τῆς καρτερικῆς ψυχῆς καὶ τῆς δορᾶς τοῦ θρασυτάτου καὶ σώφρονος λογισμοῦ ἐνίκησε τὸν υἱὸν τῆς φαυλῆς ἐπιθυμίας φιλοσοφήσας μέχρι θανάτου, καθὼς Ἡρόδοτος (l. Ἡρόδωρος) ὁ σοφώτατος συνεγράψατο, ὃς καὶ ἄλλους Ἡρακλεῖς ἱστορεῖ γεγενῆσθαι ἑπτά.

7. Μετὰ Ἑρμῆν ἐβασίλευσεν Αἰγυπτίων Ἥφαιστος, ὃν καὶ θεὸν ἐκάλουν· ἦν γὰρ πολεμιστὴς καὶ μυστικὸς, ὃς συμπεσόντος αὐτῷ ἵππου ἐν τῷ πολέμῳ πληγεὶς ἔμεινε χωλεύων. Ἀπὸ δὲ μυστικῶν εὐχῶν τὴν ὀξυλάβην ἐδέξατο ἐκ τοῦ ἀέρος εἰς τὸ κατασκευάζειν ἐκ σιδήρου ὅπλα· ὅθεν καὶ ἐπικρατὴς εὑρέθη εἰς τοὺς πολέμους· πρὸ γὰρ αὐτοῦ ῥοπάλοις καὶ λίθοις ἐπολέμουν. Ἐνομοθέτησε δὲ καὶ ταῖς Αἰγυπτίων γυναιξὶ μονανδρεῖν καὶ σωφρόνως διάγειν.

8. Μετὰ [δὲ τὴν] τελευτὴν Ἡφαίστου ἐβασίλευσεν Αἰγυπτίων ὁ υἱὸς αὐτοῦ Ἥλιος ἡμέραις ,δυοζ', ὡς εἶναι ἔτη ιβ' καὶ ἡμέρας ϛζ'. Οὔτε γὰρ ᾔδεισαν τότε Αἰγύπτιοι ἢ ἄλλοι τινὲς ἐνιαυτὸν ψηφίσαι, ἀλλ' ἄλλοι μὲν τὰς περιόδους τῆς σελήνης εἰς ἐνιαυτοὺς ἐψήφιζον, οἱ δὲ τὰς περιόδους τῶν ἡμερῶν· οἱ γὰρ τῶν ιβ' μηνῶν ἀριθμοὶ μετὰ ταῦτα ἐπενοήθησαν, ἐξ ὅτου ἐπωνομάσθη τὸ ὑποτελεῖς εἶναι τοὺς ἀνθρώπους τοῖς βασιλεῦσιν. Ὁ τοιοῦτος βασιλεὺς Αἰγύπτου Ἥλιος κατασχὼν γυναῖκα μοιχευομένην ἐτιμώρησεν αὐτὴν, στηρίζων τὴν τοῦ πατρὸς αὐτοῦ νομοθεσίαν· καὶ τοῦτό ἐστιν ὃ ποιητικῶς φησιν Ὅμηρος, ὡς Ἥλιος ἤλεγξε τὴν Ἀφροδίτην συμμιγνυμένην νυκτὸς Ἄρει. Ἀφροδίτην γὰρ ἐκάλεσε τὴν ἐπιθύμησιν τῆς πορνείας ὑπὸ Ἡλίου βασιλέως ἐλεγχθείσης. Τὸ δὲ ἀληθὲς Παλαίφατος ὁ σοφώτατος χρονογράφος συνεγράψατο.

9. Μετὰ τὴν Ἡλίου τελευτὴν ἐβασίλευσε Σῶσις. Μετὰ ταῦτα ἕτεροι δύο, καὶ μετ' αὐτοὺς Θοῦλις, ὃς παραλαβὼν πᾶσαν τὴν γῆν μετὰ (l. ἕως) τοῦ ὠκεανοῦ ἦλθεν ἐν τῇ Ἀφρικῇ εἰς τὸ μαντεῖον· καὶ θυσιάσας ἐπυνθάνετο λέγων· « Τίς πρὸ τῆς ἐμοῦ βασιλείας ἠδυνήθη ὑποτάξαι τὰ πάντα, ἢ τίς μετ' ἐμέ; » Καὶ ἐδόθη αὐτῷ χρησμὸς οὗτος· »

Πρῶτα θεὸς, μετέπειτα λόγος καὶ πνεῦμα σὺν αὐτοῖς.
[Ταῦτα δὲ] σύμφυτα πάντα καὶ [ἔντυμον] εἰς ἓν ἰόντα,
οὗ κράτος αἰώνιον (ἀέναον conj. Lobeck.).

10. Μετ' αὐτὸν ἐβασίλευσεν Αἰγυπτίων ἐκ τῆς φυλῆς Χὰμ Σῶστρις, ἐφ' οὗ μετῳκίσθησαν ἐν Περσίᾳ Σκύθαι. Ἐν τοῖς χρόνοις τοῦ Σώστριδος ἦν Ἑρμῆς ὁ τρισμέγιστος ὁ Αἰγύπτιος, ἀνὴρ φοβερὸς [ἐν σοφίᾳ], ὃς ἔφρασε τρεῖς μεγίστας δυνάμεις εἶναι, τὸ τοῦ ἀρρήτου καὶ δημιουργοῦ ὄνομα, [μίαν δὲ] θειότητα εἶπεν εἶναι· διὸ καὶ ἐκλήθη ὑπὸ τῶν Αἰγυπτίων Τρισμέγιστος. Ἐμφέρονται δὲ ἐν τοῖς πρὸς Ἀσκληπιὸν λόγοις αὐτοῦ ῥήματα ταῦτα·

11. « [Ἦν φῶς] νοερὸν πρὸ φωτὸς νοεροῦ καὶ ἦν ἀεὶ νοῦς νοὸς φωτεινός· καὶ οὐδὲν ἕτερον ἦν ἢ ἡ τούτου ἑνότης· ἀεὶ ἐν αὐτῷ ὢν, ἀεὶ τῷ αὐτοῦ νοΐ καὶ φωτὶ καὶ πνεύματι πάντα περιέχει. Ἐκτὸς τούτου οὐ θεὸς, οὐκ ἄγγελος, οὐ δαίμων, οὐκ οὐσία τις ἄλλη· πάντων γὰρ κτίστης καὶ πατὴρ καὶ θεὸς, καὶ πάντα ὑπ' αὐτὸν καὶ ἐν αὐτῷ ἐστιν. Ὁ γὰρ λόγος αὐτοῦ παντέλειος ὢν καὶ γόνιμος καὶ δημιουργὸς, ἐν γονίμῳ φύσει πεσὼν ἐν γονίμῳ ὕδατι ἔγκυον τὸ ὕδωρ ἐποίησε. » (12) Καὶ ταῦτα

Fr. 6. § 6. πρῶτος] supplevi e Cedreno p. 32, 2, ubi eadem fere. Hinc incipiunt Excerpta Περὶ ἀρετῆς p. 778 ed. Vales.: Ὅτι τὸν Ἡρακλέα τὸν τῆς Ἀλκμήνης φιλόσοφον ἱστοροῦσι· ὃν γράφουσι δορὰν φέροντα (sic) καὶ τρία μῆλα κρ. etc. ut in cod. 1630 usque ad verba ἄχρι (μέχρι cod. noster) θανάτου. — Τὰ τρία μ. καὶ τὰς τρ. ἀρ.] articulos e Exc. Val. addidi, ubi mox omittitur articulus ante φιληδονεῖν et φιλαργυρεῖν. — Ἡρόδοτος] Sic etiam Cedrenus, ubi Ἡρόδωρος (fr. 24, p. 34) em. Lobeck. in Aglaoph. p. 1310 ex Clemente. Alex. Strom. I, p. 369 Pott. — § 8. Eadem narrat Malala p. 23 sq. et Chron. Pasch. p. 84. — ἐπωνομάσθη] sic etiam Malala, ubi L. Dindorf. conj. ἐπενοήθη; ἐνομίσθη Chron. Pasch. — § 9. Σῶσις] e Malala; Σωσῆς codex; idem mox Θούλης. — ἕτεροι δύο] sc. Osiris et Orus. — In oraculo quæ uncis distinguuntur, supplevi ex Chronico Paschal. p. 84, ubi plenius oraculum exhibetur. Brevius itemque corruptum habes apud Malalam p. 25, Cedrenum p. 36, Suidam v. Θοῦλις, qui sua fortasse ex Joanne nostro hausit. Cf. Lobeck Aglaopham. p. 480. — § 10. Σῶστρις] sic etiam Malala; Σέσωστρις Cedren. et Chron. Pasch. — ἐν σοφίᾳ] supplevi e Malala, Cedreno et Chron. Elisæ in codice literæ, ut passim. — § 11. Eadem habent Exc. Salmasii, quæ post supra (fr. 5) allata, pergunt; Τότε ὁ τρισμέγιστος Ἑρμῆς ἀνεφάνη, ὃς καὶ ἐθεολόγησεν οὕτως· « Ἦν φῶς etc. Præterea verba hæc Trismegisti plus minus corrupta legere est ap. Cyrillum C. Jul. I, p. 35; Cedren. p. 37, Malal. p. 28; Chronicon Pasch. p. 86; Symeon. Logothetam in Chron. ms. (cod. Paris. 1702), Suidam v. Ἑρμῆς. — νοῦς νοὸς φωτ.] νοὸς ὁ φωτ. Exc. Salm. et Suidas. Ceterum verba ἦν φῶς ex Exc. Salm., aliis, supplevi, quum in cod. evanuerint. Malalas habet: ἓν μόνον ἐστὶ τὸ φῶς. Idem alia plura his præmittit verba Mercurii. — ἀεὶ ἐν αὐτῷ κτλ.] sic etiam Cyrillus; Exc. Salm. et Suidas post vocem ἑνότης pergunt: καὶ πνεῦμα πάντα περιέχον. — οὐ δαίμων] om. Exc. Salm. et Suid. — κτίστης] κύριος Exc. Salm. et Suid., Cedren., Mal. — παντέλειος] προελθὼν παντ. Cyrill., Cedren. et Mal. — δημιουργὸς] δημιουργικὸς Exc. Salm. et Suidæ codd. duo. — ἐν γονίμῳ... ὕδατι] om. Exc. Salm.; Suidas pro ἐν γονίμῳ ὕδατι præbet καὶ γ. ὁ

εἰρηκὼς ἤξατο λέγων· « ὁρκίζω σε, οὐρανὸν, θεοῦ μεγάλου σοφὸν ἔργον, ὁρκίζω σε φωνὴν πατρὸς, ἣν ἐφθέγξατο πρώτην, ἡνίκα τὸν πάντα κόσμον ἐστηρίξατο· ὁρκίζω σε κατὰ τοῦ μονογενοῦς αὐτοῦ λόγου καὶ τοῦ πνεύματος τοῦ περιέχοντος πάντα· ἵλεως, ἵλεως, ἵλεως ἔσο· » ὥστε οὖν καὶ Ἑρμῆς ὁ τρισμέγιστος καίτοι γε ἀγνοῶν τὸ μέλλον τριάδα ὁμοούσιον ὡμολόγησε.

13. Μετὰ Σῶστριν ἐβασίλευσε τῶν Αἰγυπτίων Φαραὼ ὁ καὶ Καραχὼ, ἀφ' οὗ οἱ τῶν Αἰγυπτίων δυνάσται τὴν ἐπωνυμίαν ἔλαβον Φαραώ.

14. Καθ' ὃν δὲ χρόνον ἐβασίλευσε τῶν Ἀργείων ἐν τοῖς δυτικοῖς μέρεσιν Ἴναχος ἐκ τῆς φυλῆς Ἰάφεθ καταγόμενος, καὶ κτίζει πόλιν εἰς ὄνομα τῆς σελήνης, Ἰώ· οὕτω γὰρ τὴν σελήνην ἐκάλουν Ἀργεῖοι· καὶ ἠγάγετο γυναῖκα Μηλίαν, ἀφ' ἧς ἔσχεν υἱοὺς δύο καὶ θυγατέρα Ἰὼ, ἣν Πῖκος ὁ καὶ Ζεὺς ἥρπασε, καὶ ἐξ αὐτῆς ἔσχεν θυγατέρα Λιβύην. Ἡ τοίνυν Ἰὼ λυπηθεῖσα ἐπὶ τῇ διαφθορᾷ, ἀφεῖσα τοὺς γονεῖς, τοὺς ἀδελφοὺς καὶ τὴν θυγατέρα Λιβύην, ἔφυγεν εἰς Αἴγυπτον, κἀκεῖθεν ἐπὶ τὴν Συρίαν ἀπῆλθεν εἰς τὸ Σίλπιον καλούμενον ὄρος, εἰς ὅπερ Σέλευκος ὁ Νικάτωρ ἔκτισε πόλιν καὶ εἰς ὄνομα τοῦ υἱοῦ Ἀντιόχειαν ἐκάλεσε, κἀκεῖ ἐτελεύτα. Καὶ ἀπελθόντες εἰς ἀναζήτησιν αὐτῆς οἱ ἀδελφοὶ καὶ εὑρόντες θανοῦσαν ἔκτισαν αὐτῇ ἱερὸν ὅπερ ἐκάλεσαν Ἰώπολιν.

15. Ἡ δὲ Λιβύη γαμηθεῖσα Ποσειδῶνί τινι ἔτεκεν ἐξ αὐτοῦ παῖδας γ', Ἀγήνορα, Βῆλον καὶ Ἐνυάλιον. Ὁ Βῆλος γαμήσας Σίδην ἔσχε δύο υἱοὺς, Αἴγυπτον καὶ Δαναόν· ἐξ οὗ Αἴγυπτος καὶ Σιδὼν ὠνομάσθησαν. Ὁ δὲ Ἀγήνωρ ἤγαγε τὴν Τυρώ· ἐξ οὗ Τύρος πόλις· καὶ ἔσχεν υἱοὺς δ' καὶ θυγατέρα μίαν, Κάδμον, Φοίνικα, Σύρον καὶ Κίλικα καὶ Εὐρώπην· καὶ ἔλαχον τὰς ἐπωνύμους χώρας Καδμείαν τὴν Θήβης, τὴν Φοινίκην, τὴν Συρίαν, τὴν Κιλικίαν καὶ τὴν Εὐρώπην. Τὴν Εὐρώπην δὲ ἁρπάσας ταῦρος, βασιλεὺς Κρήτης, ἔτεκε Μίνωα.

16. Κατὰ τούτους τοὺς χρόνους ἀνεφάνη τις ἐν Τύρῳ ἀνὴρ σοφὸς ὄνομα Ἡρακλῆς, ὃς εὗρε τὴν [βα]φὴν, τὴν καλουμένην κογχύλην, ἰδὼν κύνα ποιμενικὸν ἐσθίοντα κογχύλην καὶ τὸν [ποι]μένα ἐκμάσσοντα μετὰ πόκον προ[βάτου] τὸ τοῦ κυνὸς στόμα, καὶ προσαγαγὼν τὸν πόκον [ὡς μέγα δῶρον] τῷ βασιλεῖ. (17) Ὁ δὲ Σύρος εὗρε τὴν ἀριθμητικὴν, ἐδόξασε δὲ καὶ ἀσωμάτους ἀρχὰς καὶ μεταβολὴν τῶν ψυχῶν εἰς ἕτερα ζῶα.

18. Κατὰ τοὺς χρόνους τούτους ἐγνωρίζετο Φαλὲκ, ὁ υἱὸς Ἔβερ, περὶ οὗ Μωσῆς ἔγραψε, καὶ ἕτερος υἱὸς τοῦ Πίκου Διὸς ἀπὸ Δανάης γενόμενος ὀνόματι Περσεὺς, ὃν ἐδίδαξεν ὁ πατὴρ πάσας τὰς μυστικὰς φαντασίας· ὅστις βουλόμενος ἑαυτῷ καταστῆσαι βασιλείαν καὶ διὰ πολλῆς ἐρχόμενος γῆς, εἶδε παρθένον κόρην αὐχμηράν τε καὶ δυσειδῆ ὀνόματι Μέδουσαν· καὶ λαβὼν ἀπέτεμεν αὐτῆς τὴν κεφαλὴν, καὶ τελέσας αὐτὴν, ὡς ἐδιδάχθη, ἐβάσταζε καταπλήττων πάντας καὶ ἀναιρῶν τοὺς ὁρῶντας· ἥντινα κεφαλὴν ἐκάλεσε Γοργόνα διὰ τὴν ὀξύτητα τῆς ἐνεργείας.** γυναικὸς Ἀνδρομέδας, καὶ καταλαβὼν κώμην λεγομένην Ἀμάνδραν, ἐποίησεν αὐτὴν πόλιν, στήσας ἑαυτῷ στήλην βαστάζουσαν τὴν Γοργόνα· αὕτη μετεκλήθη ἕως νῦν Ἰκόνιον διὰ τὸ ἀντεικόνισμα τῆς Γοργόνος. Ἐπολέμησε δὲ καὶ Ἰσαύροις καὶ Κίλιξιν, ἔνθα πόλιν κτίζει ἣν ἐκάλεσε Ταρσὸν [ἐν τῇ κώμῃ τῇ] λεγομένῃ Ἀνδρασῷ. Χρηματισθεὶς (ἐχρηματίσθη?) γὰρ κατ' ὄναρ ὅτι ἐν τῷ (l. ᾧ) τόπῳ μετὰ τὴν πρὸς πολεμίους νίκην ἀποβὰς ἐκ τοῦ ἵππου τὸν ταρσὸν ἀπόθηται τοῦ ποδὸς, ἐκεῖ ὑπὲρ τῶν νικητηρίων κτίσαι πόλιν, καὶ κτίσας ταύτην ἐκάλεσε Ταρσόν. Μετὰ δὲ ταῦτα καὶ Μήδους νικήσας ἐκάλεσε τὴν χώραν Περσίδα, ἐδίδαξε δὲ καὶ πολλοὺς τῶν Περσῶν τὰς ἐπὶ τῆς Γοργόνος τελετάς. (18*) Καθ' ὃν δὴ χρόνον κατηνέχθη σφαῖρα πυρὸς ἐκ τοῦ οὐρανοῦ, ἐξ ἧς ἔλαβεν ὁ Περσεὺς πῦρ, καὶ παρέδωκε τιμᾶν αὐτό· [ὃ] καὶ μέχρι νῦν φυλάττουσι. (19) Συνέβαλε δὲ τῷ Κηφεῖ τῷ πατρὶ Ἀνδρο-

— § 12. Καὶ... λέγων] Ὁ δὲ αὐτὸς Ἑρμῆς καὶ ἐπηύξατο λέγων Exc. Salm. — ὁρκίζω σε κτλ.] Hæc Chronica alia paullo aliter efferunt, sed corrupte omnia. Quæ singula recensere supersedeo. Orpheo hæc tribuunt Justinus Martyr in Paræn. ad Gr. et Cyrillus l. l.; unde priscam formam restituere licet. Sic habent : « Οὐρανὸν ὁρκίζω σε, θεοῦ μεγάλου σοφὸν ἔργον· Αὐδὴν ὁρκίζω σε πατρὸς, ἣν φθέγξατο πρώτην, Ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς. » V. Lobeck Aglaopham. p. 737 sq. — ἵλεως] semel vox posita in Exc. Salm., qui deinde addunt : Ὁ δὲ Ἑρμῆς οὗτος σοφὸς ἦν Αἰγύπτιος. — § 13. Καραχὼ] Ναχὼρ Chron. Pasch. p. 86; Ναραχὼ Cedren. p. 37; Μαραχὼ Malal. p. 27. — § 14. Eadem brevius in Exc. Salm. p. 387, 22 : Ἴναχος ὁ Ἀργείων βασιλεὺς ἐκ φυλῆς ἦν Ἰάφεθ, οὗ τὴν θυγατέρα Ἰὼ Ζεὺς ἥρπασεν. Ἡ δὲ ἀπολιποῦσα διὰ τὴν διαφθορὰν τὸν πατέρα, ἐπὶ Συρίαν ἀπῆλθε, κἀκεῖθεν εἰς Ἀντιόχειαν. Ἣν οἱ οἰκεῖοι μὴ ἀνευρόντες, ἀλλὰ μαθόντες αὐτὴν αὐτοῦ τελευτῆσαι, κτίζουσιν αὐτῇ ἱερὸν, καὶ ἐκάλεσαν τὸν τόπον Ἰώπολιν. Fusam de his narrationem vide ap. Malal. et Cedren. l. l. Auctorem Malalas laudat Theophilum. — § 15. Cf. Malal. p. 30; Cedren. p. 38. — § 16. V. Malala p. 32 sq., et Chron. Pasch. p. 78, ubi laudatur Palæphatus (v. Westermanni Mythogr. p. 110). — § 17. ἀριθμ.] τὴν ἀριθμητικὴν φιλοσοφίαν Malala p. 34, 7, ubi de his laudatur Clemens. — § 18. Eadem Exc. Salmas. p. 387, 28 : Περσεὺς παρὰ τοῦ πατρὸς Διὸς τὰς μυσαρὰς τελετὰς μαθὼν, εὑρὼν γυναῖκά τινα Μέδουσαν ἀνεῖλεν αὐτὴν, καὶ τελέσας, ὡς ἐδιδάχθη, ἐβάσταζεν, ἀναιρῶν δι' αὐτῆς τοὺς ὁρῶντας· ἣν Γοργόνα ἐκάλεσαν (l. ἐκάλεσε) διὰ τὸ τῆς ἐνεργείας ὀξύ. Ἐλθὼν δὲ εἰς Ἀμάνδραν ἐποίησε πόλιν, στήσας στήλην βαστάζουσαν τὴν Γοργόνην (l. Γοργόνα)· καὶ ἐκλήθη ἡ πόλις Ἰκόνιον. Χρηματισθεὶς δὲ κτίσαι πόλιν, ἔνθα πρῶτον μετὰ τὴν τῶν πολεμίων νίκην ἀπόθηται τὸν ταρσὸν τοῦ ποδὸς, ἔκτισε τὴν νῦν λεγομένην Ταρσόν. Οὗτος ἐδίδαξε πολλοὺς τὰς μυσαρὰς τελετὰς, καὶ ἐκάλεσεν αὐτοὺς μάγους, καὶ σφαίρας πυρὸς κατενεχθείσης ἔλαβε καὶ παρέδωκε τοῖς ὑπ' αὐτοῦ κληθεῖσι Πέρσαις τιμᾶν αὐτήν. — γυναικὸς Ἀνδρομέδας] Nonnulla desiderantur. Scilicet in Æthiopiam profectus Perseus e Neptuni fano abduxit sibi uxorem Andromedam, cum qua in Assyriam tetendit. Vide Malalam p. 36, Cedren. p. 40. — ἀπόθηται] ex Exc. Salm.; ἀποθεῖται cod.; ὀδυνηθῇ sec. Cedren. p. 40, 20. Malalas p. 36, 23 : ἐχρηματίσθη ταῦτα, ὅτι « Ἀπὸ τοῦ ἰδίου ἵππου ἀποβὰς τὸν σὸν ταρσὸν τοῦ ποδὸς εἰς τὴν χθόνα πήξας νίκην λάβοις. Eadem modo Chron. Pasch. p. 71, 18*. — 18. Vide Pausaniæ fragm. ap. Malal. p. 37.

μέδας, τυφλῷ ὄντι ὑπὸ τοῦ γήρως, καὶ προσέβαλετο, καθ' ὅπερ εἶχεν ἔθος, εἰς βοήθειαν τὴν κεφαλὴν Γοργόνος· ὁ δὲ μὴ βλέπων οὐκ ἔ[θανεν]· ὁ δὲ Περσεὺς [ἀγνοῶν] δι' ἣν αἰτίαν ἐξέφυγεν ἐκεῖνος τὸν ἀπὸ τῆς Γοργόνος θάνατον, καὶ νομίσας μηκέτι ἐνεργεῖν τὴν ὑπ' αὐτοῦ φερομένην κεφαλήν, στρέψας εἰς ἑαυτὸν καὶ ταύτην ἑωρακὼς ἐτελεύτα. (20) Βασιλεύει μετ' αὐτὸν Περσῶν ὁ υἱὸς αὐτοῦ Μέρρος, ὅστις ἔκαυσε τὴν μυσαρὰν ἐκείνην κεφαλὴν τῆς Γοργόνος.

7.

Exc. Salmas. p. 388 : Διόνυσος πολεμήσας Πενθεῖ τῷ ἐξαδέλφῳ δέσμιος ἤχθη· Ἀγαυὴ δὲ ἡ μήτηρ Πενθέως ἔπεισεν αὐτοὺς σπείσασθαι ἐνώπιον τοῦ πάππου Κάδμου· ὁ δὲ Διόνυσος ἐνετείλατο τοῖς οἰκείοις ἀνελεῖν Πενθέα· καὶ ἐμυθεύθη ὅτι ἡ Ἀγαυὴ τὸν οἰκεῖον διεσπάραξεν, οἷα τοῦ θανάτου αὐτοῦ αἰτία γενομένη. Στασιασάντων δὲ τῶν πολιτῶν ἐπὶ τῷ θανάτῳ Πενθέως, Διόνυσος μὲν ἀπελαύνετο, προχειρίζεται δὲ Λυκοῦργος.

Tzetzes Hist. VI, 61, 581 :

Ὁ δ' Ἰωάννης χρονικὸς ἀλληγορῶν που λέγει·
Πενθεύς τε καὶ ὁ Λάβδακος, μᾶλλον δὲ Πενθεὺς πλέον,
ἀνῃρημένων τῶν λοιπῶν ἐγγόνων τῶν τοῦ Κάδμου,
τοῦ μὲν Ἀκταίωνος αὐτοῦ ὑπὸ κυνῶν ἰδίων,
Λεάρχου Μελικέρτου δὲ παρὰ πατρὸς μητρός τε,
εἶχεν ἐλπίδα κατασχεῖν τὰ σκῆπτρα καὶ τοὺς θρόνους.
Ὡς δ' ἤκουσε Διόνυσον ἔγγονον νόθον Κάδμου
ἀντιποιεῖσθαι τῆς ἀρχῆς, δεσμεῖ κρατήσας τοῦτον.
Λύσας λιταῖς δὲ τῆς μητρὸς κτείνεται δόλοις τούτου.
Διόπερ μῦθον ἔπλασαν, ἐκ τῆς μητρὸς κτανθῆναι.

8.

Cod. Paris. 1630 : Μετὰ δὲ Κάδμον ἐβασίλευσε τῆς Βοιωτίας Νυκτεύς, οὗ θυγάτηρ Καλλιόπη, ἐκ μίξεως Θεοβοίου Ζῆθον καὶ Ἀμφίονα ἔτεκεν, οἳ ῥιφέντες καὶ παρ' ἀγροίκου ἀνατραφέντες κρατοῦσι τῆς Βοιωτίας, ἐπαναστάντες τῷ Νυκτεῖ, καὶ κτίζουσι πόλιν τὴν πρώτην οὖσαν κώμην καὶ καλουμένην Ἐγχέλειαν, καὶ ὠνόμασαν αὐτὴν Θήβας εἰς ὄνομα τοῦ πατρὸς αὐτῶν. (2) Τούτων ἀπόγονος Λάϊος, ἀφ' οὗ Οἰδίπους γεννηθεὶς ἐξετέθη ξύλῳ τοὺς πόδας περικλεισθείς, καὶ Οἰδίπους ὠνομάσθη διότι ὠγκωμένους εἶχε τοὺς πόδας. Γέγονε δὲ ἀνδρεῖος καὶ τὴν χώραν ἐλῄστευε. Καθ' ὃν δὴ χρόνον καὶ ἡ λεγομένη Σφὶγξ ἐφάνη, γυνὴ δυσειδὴς καὶ θηριώδης τὴν φύσιν, ἥτις [ἀποβαλοῦσα] τὸν ἄνδρα, καὶ λῃστρικὴν συναγαγοῦσα χεῖρα καὶ τόπον καταλαβοῦσα δύσβατον τοὺς [παριόντας] ἐφόνευε καὶ τὰς Θήβας τῶν ἀναγκαίων ἐστένου. (3) Ὁ οὖν Οἰδίπους δεινότατον [τι] βουλευσάμενος [ἐς τὸ ἀναιρεῖν τὴν Σφίγγα, ἔλαβεν ἐκ τοῦ κτήματος ὅπου ἀνετράφη ἀγροίκους γενναίους, προσποιούμενος θέλειν] ἑαυτὸν μετ' αὐτῆς λῃστεύειν καὶ ἐπιτηρήσας καιρὸν λόγχῃ ἀναιρεῖται ταύτην, καὶ προάγει εἰς τὴν πόλιν. Οἱ δὲ Θηβαῖοι θαυμάσαντες ἀναβοῶσιν αὐτὸν βασιλέα. (4) Μάχης δὲ γενομένης Λάϊος λίθῳ τὴν κεφαλὴν βληθεὶς ἀναιρεῖται· Ἰοκάστη δὲ φοβουμένη τῆς βασιλείας ἐκπεσεῖν ἄγει τὸν Οἰδίποδα, καὶ χειροτονεῖ βασιλέα. Καὶ θεραπεύει τὸ πλῆθος, καὶ βασιλεύει χρόνους ιθ', καὶ τίκτει μετ' Ἰοκάστης υἱοὺς β' καὶ θυγατέρας β'. (5) Μετὰ δέ τινα χρόνον ἐρωτησάσης Ἰοκάστης περὶ τῶν γονέων αὐτοῦ, εἶπε Μελίβοιον τὸν θρεψάμενον· ἡ δὲ μετεστείλατο αὐτόν· καὶ εἶπε μὴ εἶναι τούτου υἱόν, ἀλλ' ἐν τῇ ὕλῃ εὑρεῖν· καὶ μαθοῦσα χρόνον εὗρεν ὅτι υἱὸς αὐτῆς ὑπῆρχε, καὶ εἶπε τῷ Οἰδίποδι. Ὁ δὲ ἀκούσας ἔλαβεν ἥλους καὶ πήξας τοὺς ὀφθαλμοὺς ἀπέθανεν ἅμα μητρὶ Ἰοκάστῃ.

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

1. Ἐπειδὴ δὲ ἀναγκαῖον εἰπεῖν ὅπως οἱ τότε ἄνθρωποι πολυθεΐαν ἐτίμησαν, λεκτέον ἡμῖν ἐντεῦθεν ἀρχομένοις. Σερούχ τις ἐκ τῆς τοῦ Ἰάφεθ φυλῆς καταγόμενος δόγμα παρέδωκε τιμᾶσθαι τοὺς πάλαι τελευτήσαντας καὶ ἀριστεύσαντας ἄνδρας ἢ διὰ εἰκόνων ἢ διὰ ἀνδριάντων, καὶ τούτους προσκυνεῖσθαι κατ' ἔτος ὡς ἔτι ζῶντας, καὶ μνήμας αὐτῶν ἐκτελεῖν καὶ ἐν ταῖς ἱερατικαῖς ἀναγράφεσθαι βίβλοις, καὶ θεοὺς αὐτοὺς ὀνομάζειν ὡς εὐεργέτας. [Ἐντεῦθεν εἰσήχθη ἡ πολυθεΐα καὶ ἡ εἰδωλολατρία.] Τοῦτο δὲ διέμεινε παρ' αὐτοῖς μέχρι τῶν χρόνων Θάρρα τοῦ πατρὸς Ἀβραάμ. Ἦν γὰρ ἀγαλματοποιὸς καὶ ἀπὸ διαφόρων ὑλῶν τῇ πόλει εἰκόνας ἐργαζόμενος καὶ λέγων τούτους εἶναι θεοὺς καὶ ὀφείλειν προσκυνεῖσθαι ὡς αἰτίους τῶν ἀγαθῶν. Ἐντεῦθεν δὲ διέδραμεν ἡ τοιαύτη δόξα εἰς τὰ πλεῖστα τῶν ἀνθρώπων γένη,

— § 20. Μέρρος] Μέρος Chr. Pasch. p. 73, 22; Μέρως Cedren. p. 42, 1. Apud Malalam nomen hoc non legitur.

Fr. 7. Vide Malalam p. 42 sq.; Cedren. p. 43.

Fr. 8. Θεοβοίου] sic etiam Cedrenus p. 44, 1 (Θεόβοιος ὁ υἱὸς Βράτωνος); Θεόβοον υἱὸν γενόμενον Βρόντωνός τινος, ἐπιβούλου τῆς Δίρκης, Malala p. 45, 17. Secundum Tzetzem Hist. I, 418 et Exeg. in Il. p. 132 Antiochenus Amphionem et Zetum filios Θεοβόωντος dixit : Κατὰ δ' ἑτέρους χρονικοὺς καὶ τὸν Ἀντιοχέα υἱοὶ τοῦ Θεοβόωντος. — Ἐγχέλειαν] Εὐθαλείαν cod., Ἐγχιλίαν Malal. p. 49, 6, ubi recte procul dubio L. Dindorfius : « Scripsisse videtur, ait, Ἐγχέλειαν. Nota est fabula de Cadmi et Harmoniæ ad Ἐγχελεῖς, gentem Illyricam, secessu. Unde fortasse explicandum hoc de primo Thebarum nomine commentum. » Cf. R. Unger. Theban. Parad. p. 20. — Οἰδίπους γενν.] Ἰώκκας (vel Ἰόκαστος, ut em. Valcken.) cum Malala p. 50, 1 dicendum erat. Postea demum Œdipi nomen accepit. — § 3. Inclusa h. l., ut passim, Malalæ et Cedreni ope resarcire studui. Quamquam hoc loco codex nonnisi unius vocabuli spatium vacuum habet.

Liber secundus § 1. Σερούχ τις κτλ.] Eadem habet Suidas v. Σερούχ in gloss. secunda. Brevius hæc leguntur in Exc. De virt., ap. Suidam v. Σερούχ in prima gloss.; item in Exc. Salmas., ubi sic : Σερούχ τις ἐκ τῆς Ἰάφεθ φυλῆς ἐνομοθέτησεν, ὡς δεῖ τοὺς ἀριστεύσαντας ἄνδρας καὶ ἀποθανόντας δι' εἰκόνων τιμᾶσθαι καὶ προσκυνεῖσθαι κατ' ἔτος. Ἔνθεν γέγονεν ἡ πολυθεΐα, καὶ κατεκράτησε μέχρι Θάρρα, τοῦ πατρὸς Ἀβραάμ· οὗτος γὰρ ἀγαλματοποιὸς ἦν. Μάλιστα δὲ μετέσχε ταύτης ἡ Ἑλλάς, τιμήσασα Ἕλληνα τὸν γίγαντα τὸν τῆς πυργοποιίας ἄρξαντα· δι' ἣν μερισθεισῶν τῶν γλωσσῶν, οἱ ἄνθρωποι μέροπες ἐκλήθησαν. Ceterum cf. Malalas p. 53; Cedren. p. 81; Chr. Pasch. p. 97. — ἐντεῦθεν εἰσήχθη... εἰδωλολατρία] addidi e Suida. — τῶν ἀνθρώπων] τῶν ἐθνῶν Suidas.

μάλιστα δὲ ἐν Ἑλλάδι. Ἤδη γὰρ ἦσαν οὗτοι τὴν τοιαύτην ἀναδεξάμενοι πλάνην, καὶ τιμήσαντες Ἕλληνα τὸν γίγαντα τὸν ἀπὸ φυλῆς τοῦ Ἰάφεθ καταγόμενον καὶ τῆς πυργοποιίας κοινωνὸν γενόμενον, δι' ἣν ἐμερίσθησαν αἱ γλῶτται τῶν ἀνθρώπων, καὶ ἐκλήθησαν μέροπες.

9.

Exc. De virt. p. 778 : Ὅτι ἡ εἰδωλολατρεία ἤρξατο ἀπὸ Σεροὺχ τινος καταγομένου ἐκ τῆς φυλῆς τοῦ Ἰάφεθ, δογματίσαντος εἰκόσι καὶ ἀνδριᾶσι τιμᾶσθαι τοὺς πάλαι ἀριστεύσαντας, καὶ τιμᾶσθαι ὡς εὐεργέτας. Καὶ τοῦτο ἐπεκράτησε μέχρι τῶν χρόνων Θάρρα τοῦ πατρὸς Ἀβραάμ. Ἀβραὰμ δὲ δίκαιος γενόμενος καὶ εἰς θεογνωσίαν ἐλθὼν καὶ λογισάμενος ὅτι ὁ πατὴρ αὐτοῦ τοὺς ἀνθρώπους πλανᾷ, παρασκευάζων αὐτοὺς εἰδώλοις καὶ ἀγάλμασι προσκυνεῖν, καὶ ποιητὴν ἁπάντων μὴ γνωρίζειν θεὸν, συντρίψας τὰ τοῦ πατρὸς ἔργα, ἀνεχώρησεν ἀπὸ Καρρῶν ὅρων Χαλδαίων τῆς μέσης τῶν ποταμῶν χώρας, καὶ ᾤκησεν εἰς τὰ μέρη τῆς νυνὶ καλουμένης Παλαιστίνης πέραν τοῦ Ἰορδάνου ποταμοῦ αὐτὸς καὶ οἱ αὐτοῦ συγγενεῖς καὶ Λὼτ ὁ υἱὸς τοῦ ἀδελφοῦ αὐτοῦ, πέμπτῳ καὶ ἑβδομηκοστῷ ἔτει τῆς ἑαυτοῦ ζωῆς. Εἰσὶν οὖν ἀπὸ τοῦ κατακλυσμοῦ ἕως Ἀβραὰμ ἔτη ,αυγ'. Ἀπὸ δὲ τοῦ Ἀδὰμ ἕως τοῦ Ἀβραὰμ ,γψμε'. Ἐγένετο δὲ Ἀβραὰμ πλούσιος σφόδρα ἐν κτήνεσι πολλοῖς, καὶ οὐκ ἐχώρει αὐτοὺς ἡ συνοικία αὐτῶν. Καὶ ἔδωκε Λὼτ οἰκεῖν τὰ πέραν τοῦ Ἰορδάνου. Καθ' ὃν δὴ χρόνον ἀπώλοντο δύω πόλεις Σόδομά τε καὶ Γόμορρα, θείου πυρὸς καταρραγέντος ἐπ' αὐτὰς, διότι τοὺς παριόντας ἐνύβριζον ξένους.

10.

Exc. Salmas. p. 388 : Ἰορδάνης λέγεται ὁ ποταμὸς, διότι δύο ἅμα μίγνυνται ποταμοὶ, Ἰόρ τε καὶ Δάνης, καὶ ἀποτελοῦσιν αὐτὸν, ὥς φησι Πλούταρχος.

Περὶ τοῦ Ἰορδάνου ἀπὸ τῆς ἱστορίας Φιλοστοργίου.

« Ἐπ' ἐσχάτοις τῆς Παλαιστίνης τέρμασι, μεθ' ἣν ἡ τῶν Φοινίκων ἐκδέχεται, κεῖται πόλις Δὰν ὀνομασθεῖσα πρότερον ἐκ τῆς τοῦ Δὰν φυλῆς, ὁπηνίκα χρόνον ἐπ' οὐκ ὀλίγον οὗτοι δὴ μόνοι τοῦ παντὸς ἔθνους πλανώμενοι, τελευταῖον τὰ ταύτῃ κατασχόντες χωρία, μόγις ἱδρύνθησαν, καὶ πόλιν ἐπὶ τοῖς ἄκροις αὐτῶν ὄρεσι δειμάμενοι, τὴν τοῦ φυλάρχου σφῶν ἐπέθηκαν κλῆσιν, καὶ τοῦτο ἦν τῆς Ἰουδαίας ὁ ἔσχατος πρὸς Φοινίκην ὅρος. Ταύτην χρόνῳ ὕστερον Ἡρώδης ὁ μέγας οἰκοδομήσας, Καισάρειαν Φιλίππου μετωνόμασε, νῦν δὲ Πανεάς ἐστι καλουμένη· τὸ γὰρ Πανὸς ἐν ταύτῃ βρέτας στησάμενοι, εἰς τοῦτο τὴν τῆς πόλεως ἔτρεψαν προσηγορίαν. Ἐν ταύτῃ τῇ Πανεάδι τῶν τοῦ Ἰορδάνου πηγῶν ἡ ἑτέρα τίκτεται, δυοῖν οὐσῶν, Δὰν ἐκ τοῦ παλαιοῦ ὀνόματος ἔτι καὶ νῦν ὀνομαζομένη· τὴν γὰρ ἑτέραν, ἥτις Ἰὸρ ἐπικαλεῖται, πόρρωθεν αὐτῆς ὡς ἀπὸ σταδίων ρξ', κολωνός τις τοῦ αὐτοῦ προΐησιν ὄρους· ὧν ἐξ ἑκατέρας προχεῖται ποταμὸς, ὁ μὲν Ἰοράτης, ὁ δὲ Δανίτης ἐπικαλούμενος· οἱ διὰ τοῦ ὄρους ἐνεχθέντες, ἐπειδὴ καταβαῖεν εἰς τὸ πεδίον, ἐνταῦθα ἤδη ξυνίασιν καὶ ἕνα μέγιστον ἀποτελοῦσι ποταμὸν τὸν Ἰορδάνην, ἐν ταὐτῷ ἤδη τό τε ῥεῦμα καὶ τὴν προσηγορίαν κιρνάμενοι· ὃς τὴν τῆς Τιβεριάδος διέξεισι λίμνην μέσην τέμνων αὐτὴν, καὶ δι' ὅλης αὐτῆς ἐν τῷ οἰκείῳ ὁλκῷ ῥεόμενος μέχρις ἂν ἐπὶ τὴν κατέναντι ἐκπέσειε (ἐκπεράσειε Val.) γῆν, ἴσος αὐτὸς αὑτῷ καὶ παραπλήσιος ὤν· κἀντεῦθεν ἤδη διὰ τῆς Παλαιστίνης ἐνεχθεὶς, ἅπας εἰς τὴν νεκρὰν καλουμένην εἰσπεσὼν ἀφανίζεται θάλασσαν. »

11.

Cod. Par. 1630 : Ἰορδάνης δὲ ποταμὸς οὕτω λέγεται διὰ τὸ συμμίγνυσθαι δύο ἅμα, Ἰόρ τε καὶ Δάνην. Καθ' ὃν δὴ χρόνον καὶ Μελχισεδὲκ ἐγνωρίζετο, ἀνὴρ εὐσεβὴς, καταγόμενος ἐκ γένους Σίδου, υἱοῦ Αἰγύπτου βασιλέως τῆς Λιβύης· ὅστις γενόμενος ἱερεὺς καὶ βασιλεὺς τῶν Χαναναίων ἔκτισε πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ [Σιὼν], καὶ καλέσας αὐτὴν Ἱερουσαλὴμ, ὅπερ ἐστὶν εἰρήνης πόλις, ἐβασίλευσεν ἐν αὐτῇ ἔτη ριγ', καθὼς Ἰώσηπος ἱστορεῖ. (2) Κατὰ τοῦτον τὸν χρόνον ἀπώλοντο δύο πόλεις, Σόδομα καὶ Γόμορρα θείου πυρὸς καταρραγέντος ἐπ' αὐτὰς, διότι τοὺς παριόντας ἐνύβριζον ξένους.

3. Ἀβραὰμ δὲ ἐγέννησε τὸν Ἰσαὰκ ἐκ τῆς Σάρρας καὶ τὸν Ἰσμαὴλ [ἐκ τῆς] παιδίσκης τῆς Ἄγαρ· ἐξ ὧν Σαρακηνοί τε καὶ Ἰσμαηλῖται προσαγορεύονται. Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακὼβ, τὸν κληθέντα Ἰσραὴλ, καὶ τὸν Ἡσαῦ, ἀφ' οὗ Ἴσαυροι καὶ Ἰσραηλῖται μετωνομάσθησαν. Ἰακὼβ δὲ ἐγέννησεν υἱοὺς ιβ'· ἐκ τούτων αἱ νῦν φυλαὶ τοῦ Ἰσραὴλ καὶ τὸ τῶν ἱερέων γένος ἀπεδείχθη, οἵ τε Ἑβραῖοι πάλαι λεγόμενοι Ἰουδαῖοι τότε προσηγορεύθησαν.

4. Καθ' ὃν χρόνον ἐγνωρίσθη παρ' Ἕλλησιν Ἡσίο-

Fr. 9. Eadem Suidas l. l. In brevius hæc contraxit codex 1630 : Ἀβραὰμ δὲ καταγνοὺς ὡς πλάνου τοῦ πατρὸς αὐτῶν, καὶ συντρίψας τὰ ἔργα αὐτοῦ ἀνεχώρησεν ἀπὸ Καρρῶν (Καρῶν cod.), ὅ ἐστιν ὅρος Χαλδαίας, καὶ ᾤκησεν εἰς τὰ μέρη τῆς Παλαιστίνης, ἅμα Λὼτ τῷ υἱῷ τοῦ ἀδελφοῦ αὐτοῦ. Καὶ εἰσὶν ἀπὸ τοῦ κατακλυσμοῦ ἕως Ἀβραὰμ ἔτη ,γψμε'. — Ἀπὸ Καρρῶν ὅρων κτλ.] ineleganter hæc enuntiata; non tamen vocem Καρρῶν (Χαῤῥὰν ap. Mosem, 1, 11, 31. Joseph. 1, 16 et scriptt. orient.) delendam esse cum Bernhardyo ad Suid. statuerim.

Fr. 10. Cf. codex Paris. (v. fr. 11). Suidas : Ἰορδάνης ὁ ποταμὸς ἐκλήθη διὰ τὸ συμμίγνυσθαι δύο ἅμα ποταμοὺς, Ἰορ καὶ Δάνην. — Φιλοστόργιος] sic secunda manu; Φιλοστράτου prima manu scriptum. Fragmentum jam Valesius exscripsit et inter Philostorgiana p. 541 edidit.

Fr. 11. Cf. Malalas p. 56 sq. — Ἰώσηπος] Nihil de annis istis apud Josephum (1, 10, 2) legitur. Quam temere Eusebius, Africanus, Josephus, alii sæpenumero apud Malalam auctores citentur, inter doctos constat. Eodem vitio jam Noster Joannes laborasse videtur. Ceterum Malalas p. 58, 11 ait : Καθὼς Ἰώσηπος ἐν τῇ ἀρχαιολογίᾳ ἐξέθετο. Καὶ Ἰωάννης δὲ καὶ Κύριλλος, οἱ ὁσιώτατοι ἐπίσκοποι, τὰ αὐτὰ εἶπον. — § 3. Eadem post superiora habent Exc. Salm.

δος ἀνὴρ σοφὸς, [ὃς τὰ Ἀσσυρίων γράμματα εἰς Ἑλλάδα γλῶσσαν μετέβαλεν]. Τότε δὲ καὶ ἐν τῇ χώρᾳ τῶν Καρῶν ἐγένετό τις Ἐνδυμίων ὀνόματι, ὅστις διὰ μυστικῶν εὐχῶν ἀπὸ τῆς σελήνης ἐβούλετο μαθεῖν τὸ τοῦ Θεοῦ ὄνομα, καὶ δι' ὀνείρου μαθὼν ἀπέψυξε. Καὶ μῦθός ἐστι μέχρι τοῦ νῦν, τὸ τούτου λείψανον δονεῖσθαι κατὰ τὴν Καρῶν χώραν. [Ὁ δὲ μῦθός φησιν αὐτὸν ὑπὸ τῆς Σελήνης φιλεῖσθαι.]

6. Ἰακὼβ δὲ ἐπορεύθη εἰς Αἴγυπτον πρὸς τὸν υἱὸν αὐτοῦ τὸν Ἰωσὴφ μέγαν γενόμενον. Ἰωσὴφ πρὸς τοὺς ρ' γεγονὼς ἐνιαυτοὺς μετήλλαξε τὸν βίον. Λευὶ δὲ ἐγέννησε τὸν Ἀβρακαὰδ, ὁ δὲ τὸν Ἄμρα, καὶ οὗτος τὸν Μωσέα καὶ τὸν Ἀαρών. Γίνεται δὲ ἀπὸ Ἀβραὰμ ἐπὶ Μωσέως ἔτη φε', τὰ δὲ ἀπὸ Ἀδὰμ ἕως Μωσέως ἔτη ,δσδ' (,δλς' Mal.). Μωσῆς δὲ ἀναληφθεὶς ὑπὸ τῆς θυγατρὸς Φαραὼ, ἐπαιδεύθη πᾶσαν σοφίαν Αἰγυπτίων· π' δὲ ἐνιαυτῶν γενόμενος ἀπῆρεν ἀπ' Αἰγύπτου, συλλαβὼν Ἰσραηλίτας, οὐ μείονας χ' χιλιάδων ὄντας, μετὰ ἐνιαυτοὺς λς', καὶ ἐπορεύθη διὰ τῆς Ἐρυθρᾶς φέρων καὶ τὰ ὀστᾶ τοῦ Ἰωσήφ· μ' δὲ ἔτη συμφιλοσοφήσας τῷ λαῷ τελευτᾷ ἐτῶν ρκ', διάδοχον Ἰησοῦν τὸν τοῦ Ναυῆ καταλιπών· ὃς διδάξας τὸν λαὸν ἔτη κζ' ἀπέθανε χρόνων [ὢν] ι' καὶ ρ'. Ἑξῆς δὲ κριταὶ διηγοῦνται τοῦ Ἰσραήλ.

12.

Exc. Salmas. p. 389, 18 : Οἱ δυνάσται τῶν ἐθνῶν ὑπὸ Ἰησοῦ τοῦ Ναυῆ διωκόμενοι, καὶ μὴ προσδεχθέντες παρ' Αἰγυπτίων, εἰς τὴν τῶν Ἄφρων χώραν μετοικήσαντες ἐπέγραψαν· « Ἡμεῖς ἐσμὲν Χαναναῖοι, οὓς ἐδίωξεν Ἰησοῦς ὁ λῃστής. »

13.

Cod. 1630 : Ἐν τοῖς χρόνοις δὲ τοῦ Ἰησοῦ ἐβασίλευσε τῆς Ἀττικῆς Ὠγύγης, ὃς κατακλυσμοῦ γενομένου ἀπώλετο μετὰ τῆς χώρας, καὶ ἔμεινεν ἐξ ἐκείνου ἔρημος καὶ ἀοίκητος ἡ Ἀττικὴ χρόνους σς', καθὼς Ἀφρικανὸς συνεγράψατο. (2) Τῆς δὲ Μολοσσῶν χώρας ἐβασίλευσε τότε Ἀϊδης, ὃς εἶχε θυγατέρα κόρην, ἤτοι ὡραίαν, Περσεφόνην. Ἐρῶντος δὲ Πειρίθου, γνοὺς αὐτὸ ὁ πατὴρ ἔστησε πρὸ τῆς θύρας τοῦ κοιτῶνος ὃν εἶχε κύνα καὶ ἐκάλει τρικέρβερον διὰ τὸ μέγεθος· καὶ (ὃς?) κατὰ σύνταξιν ἐλθόντα τὸν Πειρίθουν διεχρήσατο, πρὸς δὲ καὶ τὴν κόρην ἐξελθοῦσαν εἰς βοήθειαν αὐτοῦ. Καὶ τοῦτο ἐστιν ὃ ποιητικῶς εἴρηται ὅτι ὁ Πλούτων ἥρπασεν αὐτὴν, ὡς Παλαίφατος. (3) Ἡ δὲ Σικυῶνος βασιλεία ἤτοι τῆς Ἑλλάδος διήρκεσεν ἔτη ϡπε'. (4) Ἐν τούτοις τοῖς χρόνοις ἐγνωρίσθη Προμηθεὺς γραμματικῆς *, Ἐπιμηθεὺς μουσικῆς καὶ Ἄτλας ἀστρονομίας· δι' ὃ λέγουσιν ὅτι τὸν οὐρανὸν βαστάζει· καὶ ὁ πανόπτης Ἄργος, τὴν τεχνικὴν ἐπιστήμην περίβλεπτος. (5) Ἐπετέθη δὲ καὶ ἡ τῆς [Ἀττικῆς] βασιλεία εἰς Ἀθήνας, καὶ ἤρκεσεν ἔτη υζβ'. Ἐβασίλευσε δὲ πρῶτος Κέκροψ, [ὅστις δι]φυὴς ἐκλήθη διὰ τὸ τοῦ σώματος μέγεθος. Ὃς ἐνομοθέτησε γυναῖκας ἐκδίδοσθαι ἀνδρὶ ἑνὶ, πρότερον θηριωδῶς μιγνυμένας. Τοῦτο δὲ ἐποίησεν ὡς ἐξ Αἰγύπτου καταγόμενος, τὴν νομοθεσίαν Ἡφαίστου οὐκ ἀγνοῶν· ἔλεγε δὲ ὅτι καὶ διὰ τὴν τοιαύτην τῆς ἀσελγείας κακοήθειαν ἡ Ἀττικὴ κατεκλύσθη. (6) Μετὰ αὐτὸν ἐβασίλευσε Κράναος, Φορ[ωνεὺς] καὶ οἱ ἐφεξῆς μέχρι Κόδρου. Ἐκ τότε μετέπεσεν ἡ τῶν Ἀθηναίων βασιλεία εἰς ἀριστοκρατίαν, καὶ ἐγένετο πρῶτος Δράκων ὁ νομοθέτης, εἶτα Σόλων, μετὰ [τοῦτον] Θαλῆς, ἑξῆς Αἰσχύλος καὶ ἕτεροι. Καὶ ἐκράτησε τὰ πάντα ἔτη ϡπβ'. (7) Τότε καὶ Ὀρφεὺς ἐγνωρίζετο, σοφὸς ἄριστος γενόμενος καὶ πολλὰ μυστήρια διδαχθείς. Φέρονται αὐτοῦ καὶ περὶ θεογνωσίας λόγοι,

p. 389, 64 : Ἦν ἐπὶ τῶν ιβ' πατριαρχῶν ὁ Ἡσίοδος, ὅστις... μετέβαλεν (quæ postrema desunt in cod. 1630, ego inserui). Ὁ Ἐνδυμίων διὰ μυστικῶν etc... ἀπέψυξεν. Ὁ δὲ μῦθός φησιν αὐτὸν ὑπὸ τῆς Σελήνης φιλεῖσθαι. Cf. Malalas p. 59, 5 et p. 61, 2, unde hæc exscribere liceat :... Ἔστι τὸ λείψανον αὐτοῦ ἕως τῆς νῦν εἰς τὴν Καρίαν..· καὶ καθ' ἕκαστον ἔτος ἀνοίγουσι τὴν αὐτοῦ σορὸν ἐν τῇ χώρᾳ ἐκείνῃ, καὶ ὁρῶσι τὸ λείψανον αὐτοῦ δονούμενον, ὡς λέγουσιν. Ἅπερ συνεγράψατο Αὐλέας ὁ σοφώτατος· περὶ οὗ, φησὶ, τὴν σελήνην φιλεῖν τὸν Ἐνδυμίωνα ἱστοριογραφοῦσιν. Auleas homo ignotus. De Æschylo (in Caribus f.) cogitavit Bentlejus (Ep. ad Mill. p. 69), collato Malala p. 143, 1.

Fr. 13. § 1. Χρόνους σς'] ἐπὶ ἔτη σο', καθὼς ἐν τοῖς Ἀφρικανοῦ ἐμφέρεται συγγράμμασιν, Malal. p. 12, 5. Debebat ρζ', vel ρπθ', ut accuratiores scriptt. ex eodem Africano tradunt. — § 2. Eadem sic Exc. Salm. p. 389, 11 : Ἡ Περσεφόνη θυγάτηρ ἦν Ἀΐδου τοῦ βασιλέως Μολοττῶν, ἐκαλεῖτο δὲ Κόρη, οὕτω τῶν Μολοττῶν τὰς εὐμόρφους καλούντων. Ἐξελθοῦσαν δὲ ἐπὶ βοήθειαν Πειρίθου ὑπὸ τοῦ Κερβέρου ἀναιρουμένου, ἀναιρεῖται καὶ αὐτὴ, καὶ ἐμυθεύθη ὅτι ὁ Ἀΐδης ἥρπασεν αὐτήν. Fusius rem narrat Malalas p. 62. Cedren. p. 143. — § 3. ϡπε'] Cf. Malalas p. 69, 3, qui hunc numerum ponens addit : καθὼς Ἀφρικανὸς ὁ σοφώτατος συνεγράψατο. Id vero falsum est. V. Castor. fragm. 8, p. 169. Cedrenus p. 144, 8, pro 985 nonnisi 980 recenset. — § 4. De iisdem rebus Exc. Salm. p. 389, 25 : Προμηθεὺς σοφίαν ἀνθρώπους διδάξας ἤκουσεν ὅτι πλάττει ἀνθρώπους· Ἄτλας δὲ τὴν ἀστρονομίαν διδάξας, ὅτι βαστάζει τὸν οὐρανόν· καὶ ὁ Ἄργος πολυόμματος, ὅτι περίβλεπτος ἦν, καθ' ὃ τὴν τεχνικὴν ἐπιστήμην αὐτὸς ἐπενόησε πρῶτος. Locus cod. 1630 mancus est. Post v. γραμματικῆς excidit ἔμπειρος vel διδάσκαλος. Cf. Malalas p. 70, Cedren. p. 144. — 5. υζβ'] 492; sic ex Malala p. 89, 2 et Cedren. p. 145, 17 reposui pro τζβ, 392. — Κέκροψ κτλ.] Ead. in Exc. Salm: p. 389, 29 : Κέκροψ διφυὴς λέγεται διὰ τὸ μέγεθος, ἢ ὅτι πρὸ αὐτοῦ τῶν γυναικῶν θηριωδῶς μιγνυμένων οἷς ἐβούλοντο, καὶ ᾧ ἤθελον διδουσῶν τὸ τικτόμενον, αὐτὸς ἐνομοθέτησεν ἑνὶ ἐκδίδοσθαι ἀνδρί· ἔλεγε γὰρ ὅτι διὰ τὴν ἀσέλγειαν ἡ Ἀττικὴ κατεκλύσθη. Αἰγύπτιος δὲ ὢν ἀπὸ τῆς Ἡφαίστου τοῦ βασιλέως νομοθεσίας ἦγε τὴν μονανδρίαν. Eadem laudato Joanne Antiocheno tradunt Tzetzes ad Lyc. 111 et Eudocia p. 252. — θηριωδῶς] suprascriptum est χύδην. — 6. Φορωνεὺς] vocem supplevi ex Malala p. 72, 3. Φορνεὺς ap. Cedren. p. 145, 15. Noli mirari. — ϡπβ'] numerus corruptus. Scribi leni manu potest ωπβ' (882 = 14+63), qui antiquus est numerus annorum, qui fluxerunt a Cecrope usque ad institutionem archontum annuorum. Sed quum Malalas p. 72, 14 habeat ϡζ', fortasse apud Nostrum idem fuit, vel ϡβ'. — §7. Plenius hæc Suidas v. Ὀρφεὺς tradit, ex Joanne, uti nostro loco docemur.

ἐν οἷς εἶπεν, ὅτι τὸ ὑπέρτατον φῶς πάντα ἐδημιούργησεν, ὅπερ ὠνόμασε Βουλήν, Φῶς, Ζωήν· ταῦτα τὰ τρία ὀνόματα μίαν δύναμιν ἀπεφήνατο καὶ ἓν κράτος τοῦ δημιουργοῦ πάντων θεοῦ.

14.

Suidas: Ὀρφεύς. Ὅτι ἐπὶ τῶν παρὰ Ἰουδαίοις Κριτῶν, καταλυθείσης τῆς βασιλείας Ἀθηναίων, Ὀρφεὺς ἐγνωρίζετο, σοφὸς ἄριστος γενόμενος καὶ πολλὰ μυστήρια διδαχθείς. Φέρονται γὰρ αὐτοῦ καὶ περὶ θεογνωσίας λόγοι, ἐξ ὧν εἰσὶ ταῦτα. Εἶπε γὰρ ὅτι ἐξαρχῆς ἀνεδείχθη ὁ αἰθὴρ ὑπὸ τοῦ θεοῦ δημιουργηθείς· καὶ ἐνταῦθεν κἀκεῖθεν τοῦ αἰθέρος ἦν χάος, καὶ νὺξ φοβερὰ πάντα κατεῖχε καὶ ἐκάλυπτε τὰ ὑπὸ τὸν αἰθέρα· σημαίνων τὴν νύκτα προτερεύειν· εἰρηκὼς ἀκατάληπτόν τινα καὶ πάντων ὑπέρτατον εἶναι καὶ προγενέστερον καὶ δημιουργὸν ἁπάντων, τόνγε ὑπέρτατον αἰθέρα. Καὶ τὴν γῆν εἶπεν ἀόρατον. Ἔφησε δὲ ὅτι τὸ φῶς ῥῆξαν τὸν αἰθέρα ἐφώτισε τὴν γῆν καὶ πᾶσαν τὴν κτίσιν· ἐκεῖνο εἰπὼν τὸ φῶς, τὸ ὑπέρτατον πάντων, τὸ ἀπρόσιτον, τὸ πάντα περιέχον· ὅπερ ὠνόμασε Βουλήν, Φῶς, Ζωήν. Ταῦτα τὰ τρία ὀνόματα μίαν δύναμιν ἀπεφήνατο, καὶ ἓν κράτος τοῦ δημιουργοῦ πάντων θεοῦ, τοῦ πάντα ἐκ τοῦ μὴ ὄντος παραγαγόντος εἰς τὸ εἶναι, ὁρατά τε καὶ ἀόρατα. Περὶ δὲ τοῦ γένους τῶν ἀνθρώπων εἶπεν, ὅτι καὶ αὐτὸ ὑπὸ τοῦ δημιουργοῦ πάντων καὶ θεοῦ ἐπλάσθη, καὶ ψυχὴν ἔλαβε λογικήν, ἀκολουθήσας τοῖς Μωσέως· καὶ ταλαίπωρον εἰρηκὼς τὸ γένος τῶν ἀνθρώπων καὶ πολλοῖς ὑποκείμενον πάθεσι ψυχικοῖς τε καὶ σωματικοῖς, δεκτικόν τε ἀγαθῶν καὶ πονηρῶν ἔργων, καὶ τὰ πρὸς τὸ ζῆν ἀθλίως διακείμενον.

15.

Codex 1630: Ἐν τοῖς αὐτοῖς χρόνοις ὁ Μαρσύας ἐγένετο αὐλητής, καὶ τὰ κατὰ τὸν Ἰάσονα καὶ τοὺς Ἀργοναύτας ἐπράχθη, οἱ προσορμίσαντες ἐν Κυζικῷ καὶ μετὰ τὸ ξενωθῆναι κατὰ ἄγνοιαν συμβαλόντες καὶ ἀνελόντες Κυζικὸν τὸν βασιλέα, καὶ πενθήσαντες, ἔκτισαν ἱερὸν εἰς μνήμην αὐτοῦ, ἐκεῖθέν τε ἀπελθόντες εἰς τὰ καλούμενα Πύθια θερμὰ καὶ θυσιάσαντες ἐπηρώτων τὸν Ἀπόλλωνα τίνος ἐστὶ τὸ ἱερὸν ὅπερ αὐτοὶ ᾠκοδόμησαν. Καὶ ἐδόθη αὐτοῖς χρησμὸς περιέχων οὕτως· « Ἀδαὴς κόρη ἔγκυος ἔσται· ὁ γὰρ ἐξ αὐτῆς προϊὼν ἅπαντα κόσμον ζωγρήσας πατρὶ προσάξει δῶρον· αὐτῆς ἔσται δόμος οὗτος. Μαρία δὲ τοὔνομα αὐτῆς. » Οἱ δὲ νομίσαντες περὶ Ῥέας ταῦτα λελέχθαι, ἐπωνόμασαν αὐτὸν τῆς Ῥέας. Ὅστις οἶκος ἐπὶ Ζήνωνος τοῦ βασιλέως, ἐκκλησία γέγονε τῆς δεσποίνης ἡμῶν καὶ θεοτόκου Μαρίας. (2) Ἐκεῖθέν τε ἀναπλέοντες διὰ τῆς Βιθυνίας ὡρμημένοι τὴν Ποντικὴν διαπεράσαι θάλασσαν, καὶ φθάσαντες περὶ τὸν καλούμενον Ἀνάπλουν, ἔμαθον ὅτι τὸ στενὸν ἐκεῖνο τῆς θαλάσσης βάρβαρός τις Ἄμυκος κατέχει καὶ τοὺς πλέοντας λῃστεύει καὶ φονεύει, καὶ καταφυγόντες ἐν κόλπῳ δασυτάτῳ ἐθεάσαντο ἐν ὀπτασίᾳ τινὰ φοβερὰν [ἀνδρὸς] εἰκόνα ἀετοῦ ἔχοντος πτέρυγας κατὰ τῶν ὤμων, προθεσπίζοντος αὐτοῖς τὴν κατὰ Ἀμύκου νίκην. Συμβαλόντες γοῦν ἀναιροῦσι τὸν Ἄμυκον, καὶ ὑποστρέψαντες ᾠκοδόμησαν ἐν ἐκείνῳ τῷ τόπῳ ἱερόν, γράψαντες ἐν εἰκόνι ὅπερ εἶδον ἐκτύπωμα, καὶ ὀνομάσαντες τὸν τόπον Σωσθένιον· ὅπερ ἱερὸν χρόνοις ὕστερον ὁ τοῦ Βυζαντίου βασιλεὺς Κωνσταντῖνος ὁ μέγας εἰς ὄνομα τοῦ ἀρχαγγέλου Μιχαὴλ ὠνόμασεν. (3) Ἐκεῖθεν οἱ περὶ Ἰάσονα διὰ τῆς Ποντικῆς θαλάσσης εἰς Κολχίδα παραγενόμενοι ἔλαβον τὴν Μήδειαν καὶ τὸ χρυσοῦν λεγόμενον δέρας, ὅπερ ἦν οὐχ ὥσπερ ποιητικῶς φέρεται, ἀλλὰ βιβλίον ἐν δέρμασι γεγραμμένον, περιέχον ὅπως δεῖ γίνεσθαι διὰ χημείας χρυσόν. (4) Ἐν δὲ τῇ Φρυγῶν χώρᾳ ἦν τότε Τρὼς ὁ πατὴρ Ἴλου καὶ Γανυμήδους.

5. Ἐγένοντο δὲ κατὰ τοὺς αὐτοὺς χρόνους Κριταὶ τῶν Ἰουδαίων Χουσαρθὼμ χρόνους ζ', Γοθονοὴλ χρόνους ν' (l. μ'), Γεδεών, Ἰεφθάε, ὃς ταξάμενος τὸ πρῶτον ὑπαντῆσαν αὐτῷ ἐν τῷ οἴκῳ αὐτοῦ καταθύειν, ἀνεῖλε τὴν θυγατέρα αὐτοῦ, Σαμψών, παῖς Μανωέ, ὃς ὑπὸ Δαλίλας ὑπεκλάπη τὸν νοῦν, καὶ τῆς σωφροσύνης ἅμα καὶ τῆς ἰσχύος ἐξέπεσεν· καὶ ἐδόθη ἀλήθειν ἐν μύλῳ, δέσμιος εἰς Γάζαν ἀχθείς.

Fr. 14. Cf. Malalas p. 74 sq., Cedrenus p. 147.

Fr. 15. Μαρσύας] Probabiliter ex Nostro fluxerunt, quae ap. Suidam v. Μαρσύας leguntur: Ἐν τοῖς χρόνοις τῶν Ἰουδαίων Κριτῶν καὶ Μαρσύας ἐγένετο σοφός, ὅστις ἐφεῦρε διὰ μουσικῆς αὐλοὺς ἀπὸ καλάμων καὶ χαλκοῦ· ὃς παραφρονήσας ἔρριψεν εἰς ποταμὸν ἑαυτόν, καὶ ἀπώλετο· καὶ ὠνομάσθη ὁ ποταμὸς Μαρσύας· περὶ οὗ μῦθος φέρεται, ὅτι ἑαυτὸν ἀποθεώσας ἀπώλετο. Κατὰ δὲ τοὺς αὐτοὺς χρόνους ἐγένετο καὶ τὰ κατὰ τὸν Ἰάσονα καὶ τοὺς Ἀργοναύτας, ὡς Ἀπολλώνιος ὁ Ῥόδιός φησι. Λέγεται δὲ μῦθος (l. λέγει δὲ ὁ μῦθ.), ὅτι ἐξεδάρη ὑπὸ Ἀπόλλωνος. Eundem in modum fab. narrant Malala p. 76 et Cedrenus p. 648. — ἀδαὴς κόρη κτλ.] Plenius hoc oraculum praebet Malal. p. 77. Cedren. p. 209 sq. — ὅστις οἶκος... ἐκκλησία γέγονε] ὅστις ἐπὶ Ζήνωνος τοῦ β[ασιλέως] οἶκος γέγονε, codex. Mutavi ex Malala. — § 3. De his ita Exc. Salm. p. 390, 2: Οἱ Ἀργοναῦται διὰ τὸν Ἀμύκου φόβον ἐν δάσει [κόλπῳ] καταφυγόντες, εἶδον ὀπτασίαν ἀγγέλου, ὃς προεῖπεν αὐτοῖς νίκην· καὶ ἐξελθόντες καὶ νικήσαντες Ἄμυκον ᾠκοδόμησαν τῷ φανέντι ἱερόν, ὀνομάσαντες τὸν τόπον Λαοσθένην (Σωσθένιον in cod. 1630 et Cedreno p. 210, 15. Malalas p. 78, 19 ita: καλέσαντες τὸν αὐτὸν τόπον ἢ τὸ ἱερὸν αὐτὸ Σωσθένην, διότι ἐκεῖ φυγόντες ἐσώθησαν. Attamen *Leosthenium* verum esse loci nomen asserit P. Gyllius De Bosp. Thrac., II, c. 14 et 10). Pluribus haec exponunt Cedrenus et Malalas l. l. — § 3. Ead. Exc. Salm. p. 390, 6: Τὸ μυθολογούμενον χρυσοῦν δέρας βιβλίον ἦν ἐν δέρματι γεγραμμένον, περιέχον ὅπως δεῖ διὰ χημείας χρυσὸν ἐργάζεσθαι. Cum codice 1630 ad verbum concinit Suidas v. Δέρας. Idem post v. διὰ χημείας χρυσόν addit: Εἰκότως οὖν οἱ τότε χρυσοῦν ὠνόμαζον αὐτὸ δέρας διὰ τὴν ἐνέργειαν τὴν ἐξ αὐτοῦ. Joannes sua sumpserit e Charace (fr. 14), quem de alia re Malalas laudat p. 81. Ceterum quae modo legimus de libro isto chemico, neque Malalas neque Cedrenus habet. — § 5. Judicum seriem mancam esse patet.

16.

Exc. De virt. p. 781 : Ὅτι Σαμψὼν, παῖς Μανωὲ, κριτὴς καὶ ἀνὴρ ἰσχυρός. Ἄχρι μὲν οὖν οὗτος ἐκράτει τῶν τοῦ σώματος ἡδονῶν, τῶν πολεμίων κατεδυνάστευσεν· ἐπειδὰν δὲ ὑπὸ Δαλιλᾶ τῆς πόρνης ὑπεκλάπη τὸν νοῦν, ἅμα καὶ σωφροσύνης καὶ τῆς ἰσχύος ἐξέπεσεν· ὑπό τε τῶν ἐναντίων ἁλοὺς δέσμιος εἰς Γάζαν ἀπήχθη, καὶ τῶν ὄψεων στερηθεὶς ἐδόθη ἀλήθειν ἐν μυλῶνι. Διὸ δὴ συμπεσὼν τοῖς τοῦ ἱεροῦ κίοσι συναπώλετο τοῖς ἐναντίοις εἰπών· « Ἀπελθέτω δὴ Σαμψὼν μετὰ τῶν ἀλλοφύλων. » Καὶ ὁ μὲν οὕτω διεφθάρη κρίνας τὸν λαὸν ἔτη εἴκοσι.

17.

Codex 1630 : Ἠλεὶ (δέ), μυριάδων λαοῦ τεσσάρων καὶ τῶν παίδων αὐτοῦ ἀναιρεθέντων, ὑπὸ τῆς ἀθυμίας ἐξέπνευσε. Καὶ ἡ κιβωτὸς διαρπαγεῖσα παρὰ τῶν βαρβάρων πάλιν ἀπεδόθη μετὰ εἰκοσαετῆ χρόνον, λιμῷ περιπεσόντων τῶν βαρβάρων. Καὶ διήρκεσαν οἱ κριταὶ χρόνους τλζ'. Ἔπειτα περιστάντος τοῦ πλήθους καὶ βιαζομένου χειροτονῆσαι Σαμουὴλ βασιλέα, καθάπερ εἶχον τὰ ἔθνη, πρῶτος ἀνεδείχθη βασιλεὺς Σαοὺλ. Βοὰζ δὲ δίκαιος ἀνὴρ ἐκ τῆς εὐσεβοῦς γυναικὸς Ῥοὺθ ἐγέννησε τὸν Ὠβὴδ, Ὠβὴδ δὲ τὸν Ἰεσσαὶ, Ἰεσσαὶ δὲ τὸν Δαυὶδ, ὃς τὸν βάρβαρον Γολιὰθ καταγωνισάμενος ἐκρίθη ὑπὸ πάντων μέγας, Σαοὺλ δὲ ὑπεκορίζετο. Ἡνίκα δὲ Σαοὺλ ὑπὸ τῶν πολεμίων ἥλω καὶ τὸν βίον μετήλλαξεν, εὐθέως βασιλεὺς ἀπεδείχθη τοῦ Ἰσραήλ. Δαυὶδ δὲ διάδοχον τῆς βασιλείας τὸν ἑαυτοῦ παῖδα Σολομῶνα ἀπέδειξεν· ἐν οἷς καὶ ὁ Τρωϊκὸς ἐκινήθη πόλεμος· ὅστις Σολομῶν οἰκοδομεῖ τὸν ἐν Ἱερουσαλὴμ ναόν· ἐδίκαζέ τε τῷ λαῷ ἐν σοφίᾳ. Γυναῖκας δὲ χιλίας ἀγαγόμενος πείθεται ὑπ' αὐτῶν εἰδωλολάτρης γίνεσθαι· διὸ καὶ προσέταξεν ὁ Θεὸς διαμερισθῆναι τὴν αὐτοῦ βασιλείαν.

18.

Exc. De virt. p. 781 : Ὅτι ὁ Σαοὺλ ὁ βασιλεὺς τῶν Ἰουδαίων ὑπὸ δαίμονος κατείχετο, καὶ οὔτε ἐκάθευδεν οὔτε ἐκοιμᾶτο. Ὅντινα ὁ Δαβὶδ ταῖς μελῳδίαις κατέθαλπεν.

2. Ὅτι ὁ Δαβὶδ ὁ βασιλεὺς ἐν πολέμοις ἄριστος ἦν καὶ τῶν νόμων ἀκριβὴς φύλαξ, καὶ πάντας τοὺς πολεμίους ἐχειρώσατο. Ὀλίγοις τέ τισι πταίσμασι τὸ σῶμα πιεσθεὶς θείαις ἐπαιδεύετο μάστιξι. Πρὸς γὰρ τῶν ἑαυτοῦ παίδων μικροῦ δεῖν τῆς βασιλείας ἐξέπεσεν, γέλως τε τοῖς πολεμίοις ἀπεδείχθη. Καὶ ταῦτα μὲν μετανοίαις καὶ δάκρυσιν ἐθεράπευσεν.

3. Ὅτι Σολομῶν ὁ υἱὸς Δαβὶδ ὁ βασιλεὺς Ἰουδαίων φρονήσει τε καὶ δυνάμει καὶ πλούτῳ περιφανὴς ἦν. Δικάζων τε τῷ λαῷ ἐν σοφίᾳ τοῦ κρείττονος οὐ διέλειπεν. Ἤσκει τε πᾶσαν σοφίαν θείας χάριτος γέμουσαν, καὶ τῆς διδασκαλίας ἀκροατὰς πλείστους τῆς ἰδίας ἐποιεῖτο. Ταῦτά τε καὶ τὰ τοιαῦτα διαπραττόμενος τῷ τῆς φύσεως εὐαλώτῳ περὶ τὰς τοῦ σώματος ἡδονὰς ὑπαγόμενος, ἄγεται μὲν γυναῖκας χιλίας τὸν ἀριθμόν· πείθεται δ' ὑπ' αὐτῶν εἰδωλολάτρης γίνεσθαι. Διὸ προσέταξεν ὁ Θεὸς μερισθῆναι τὴν αὐτοῦ βασιλείαν, οὐκ ἐπὶ τῶν χρόνων αὐτοῦ, διὰ μνήμην Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ μετὰ τὴν αὐτοῦ τελευτήν.

19.

Exc. De ins. p. 4 ed. Cramer. : Ὅτι Σεναχειρὶμ ὁ τῶν Ἀσσυρίων βασιλεὺς ὑπὸ τοῦ ἰδίου παιδὸς ἀνῃρέθη, πρὸς Αἰθίοπας ἀγωνιζόμενος.

20.

Exc. cod. 1630 : Ἐν δὲ τῇ τῶν Ἑλλήνων χώρᾳ Λάπαθος ὁ βασιλεὺς ἔσχεν υἱοὺς δύο, τὸν Ἀχαιὸν καὶ τὸν Λάκωνα· καὶ τελευτῶν ἐμέρισεν αὐτοῖς τὴν βασιλείαν, καὶ ὁ μὲν Ἀχαιὸς τὴν ἰδίαν αὐτοῦ μοῖραν ἐκάλεσεν Ἀχαΐαν, ὁ δὲ Λάκων, Λακωνικήν. [Καὶ μετ' αὐτὸν ἐβασίλευσαν Λακώνων ἄλλοι τινὲς] ἄχρι τῆς βασιλείας Θεστίου. Ὁ [δὲ] Θέστιος ἔσχε θυγατέρας γ', τὴν Λήδαν, τὴν Κλυτίαν καὶ τὴν Μελανίππην. Ἔσχεν οὖν ἡ Λήδα [ἄνδρα] Τ[υνδαρέα], ἐξ οὗ ἔσχε θυγατέρα Κλυταιμνήστραν τὴν γαμηθεῖσαν Ἀγαμέμνονι. Ἡ τοίνυν Λήδα μοιχευθεῖσα ὑπό τινος ἀνδρὸς ἐπιφανοῦς Κύκνου, ἐκύησεν ἅμα παῖδας τρεῖς, Κάστορα καὶ Πολυδεύκην καὶ Ἑλένην τὴν Μενελάου γυναῖκα.

21.

Exc. De virt. p. 782 : Ὅτι Σθενέβοια ἡ Προίτου γυνὴ φιλήσασα τὸν Βελλεροφόντην, καὶ μὴ ἐπιτυχοῦσα διὰ τὴν ἐκείνου σωφροσύνην, τοὐναντίον διέβαλεν αὐτὸν τῷ Προίτῳ, ὡς βουλόμενον αὐτὴν μοιχεῦσαι. Καὶ ἀγανακτήσας ὁ Προῖτος ἔπεμψεν αὐτὸν τῷ Ἰοβάτῃ, τῷ πατρὶ τῆς Σθενεβοίας, ἵνα ἐκεῖνος αὐτὸν φονεύσῃ.

Fr. 16. Eadem Suidas v. Σαμψών. — Δαλιλᾶ] Δαλιδὰ cod., item ap. Suidam cod. A, Δαλδᾶς cod. E V.

Fr. 18. § 1. Eadem Suidas v. Σαούλ. Quæ præter hæc ap. Suid. s. v. Σαοὺλ leguntur excerpta duo, probabiliter ad eundem Joannem referre licet. — § 2. Eadem Suidas v. Δαυίδ, et ex parte Exc. De ins. p. 1 ed. Cramer. : Ὅτι Δαβὶδ ὁ βασιλεὺς Ἱερουσαλήμ, ἕως μὲν ἦν τῶν νόμων φύλαξ, πάντας τοὺς πολεμίους ἐχειρώσατο· ὀλίγοις δὲ etc. usque ad v. ἐξέπεσεν. — ἀκριβής] sic Suidas. ἀκ. ἦ. cod. — τὸ σῶμα] sic Suidas; τοῦ σώματος cod. — μετανοίαις] Suidas; μετανοίᾳ cod. Ceterum quæ antecedunt apud Suidam : Διώκοντος αὐτὸν τοῦ Σαοὺλ, μετανοίᾳ κτλ., ad quæ proxime accedit Cedrenus p. 156, item Joanni vindicaverim. — § 3. Eadem Suidas v. Σολομών. Cf. fr. 17. — τῷ λαῷ] τὸν λαὸν Suidas. — Ante σοφίᾳ Suidas addit : φρονήσει καί. — τῆς ἰδίας om. Suidas.

Fr. 19. Quum in seqq. Excerptis De ins. sermo sit de Græcorum rebus antetrojanis, intelligis auctorem, antequam ad hæc accederet, historiam Judaicam usque ad Ezechiæ tempora recensuisse. Similiter Cedrenus. Aliter Malalas.

Fr. 20. Cf. Malalas p. 81, Cedrenus p. 211. — Καὶ μετ' αὐτὸν... ἄλλοι τινὲς] supplevi e Mal. et Cedreno. — Μελανίππην] sic Malalas p. 82, 10; Cedren. p. 212, 4 Μελίππην, codex noster Μελίτην. — Κύκνου] κυάνου cod.

Fr. 21. Eadem Suidas v. Σθενέβοια. Cf. Mal. p. 83; Cedren. 212.

Ὁ γὰρ Προῖτος ἀνελεῖν αὐτὸν οὐκ ἠβουλήθη, ἐπειδὴ ἐν τάξει τέκνου ἀνεθρέψατο αὐτόν. Αἰσθόμενος δὲ ὁ Ἰοβάτης ὅτι ψευδής ἐστιν ἡ κατ' αὐτοῦ κατηγορία, ἐφείσατο τοῦ Βελλεροφόντου. Μετὰ δὲ τὴν βασιλείαν τοῦ Προίτου Ἀκρίσιος ἐβασίλευσεν.

22.

Exc. De insid. p. 390 : Αἰγεύς, ἀγγελθέντος αὐτῷ ψεύδους, ὅτι ὁ υἱὸς αὐτοῦ Θησεὺς ὑπὸ Μινωταύρου ὤλετο, ἔρριψεν ἑαυτὸν εἰς τὴν θάλασσαν καὶ ἐκλήθη ὁ τόπος Αἰγαῖος.

23.

Exc. De virt. p. 782 : Ὅτι Πρίαμος ὁ Φρυγῶν βασιλεὺς συνελθὼν Ἑκάβῃ εἶχεν ἐξ αὐτῆς Πάριν τὸν καὶ Ἀλέξανδρον. Ἥτις ἔγκυος οὖσα ἔδοξε λαμπάδα πυρὸς τίκτειν. Καὶ ἐπερωτήσας εἰς τὸ μαντεῖον ὁ Πρίαμος ἔλαβε χρησμόν, ὅτι τριακονταέτης γενόμενος ἀπολέσῃ τὴν Τροίαν. Καὶ τοῦτον ἀπέπεμψεν εἰς τὸ Πάριον λεγόμενον. Παρελθόντος δὲ τοῦ τριακοστοῦ ἐνιαυτοῦ μεταστειλάμενος τοῦτον ὁ πατὴρ ἐν τῇ Τροίᾳ ἑορτὴν ἐπετέλεσε. Καὶ δεδωκὼς αὐτῷ δῶρα, καὶ πρὸς τοὺς τοπάρχας ἀποστείλας ἀπέστειλεν αὐτὸν θυσιάσαι τοῖς κατὰ τὴν Ἑλλάδα ἱεροῖς. Καὶ παραγενόμενος εἰς Σπάρτην τὴν ὑπὸ Μενελάου τότε βασιλευομένην εὗρε τὸν μὲν Μενέλαον πλεῖν μέλλοντα ἐπὶ τὴν Κρήτην, τάγματος ἕνεκα καὶ θυσίας ἐξ ἔθους προσαγομένης παρ' αὐτοῦ τῇ Εὐρώπῃ, ἐξ ἧς ἔλεγεν ἔχειν τὸ γένος. Ὁ τοίνυν Μενέλαος ὡς ἐδέξατο τὸν Ἀλέξανδρον καὶ τὰ γράμματα τοῦ Πριάμου καὶ τὰ δῶρα, ἐν τιμῇ τε ἐποιήσατο τὸν ἄνδρα καὶ κατέστησεν αὐτὸν ἐν τῷ παλλατίῳ διαιτᾶσθαι· καὶ ᾔτησεν αὐτὸν ἀναμεῖναι τὰς ὀλίγας ἡμέρας, ἄχρις ἂν αὐτὸς τὴν εὐχὴν ἐκτελέσας ἀπὸ τῆς Κρήτης ἐπανέλθῃ. Οὕτω τοίνυν Ἀλεξάνδρου διατρίβοντος ἐν τῇ Σπάρτῃ, συνέβη τὴν Ἑλένην τὴν Μενελάου γυναῖκα οὖσαν ἐν παραδείσῳ θεαθῆναι ὑπ' αὐτοῦ. Συνῆσαν δὲ αὐτῇ Αἴθρα τε καὶ Κλυμένη, ἐκ τοῦ γένους καταγόμεναι Πέλοπος καὶ Εὐρώπης. Ὡς οὖν εἶδεν ὁ Πάρις τὸ κάλλος τῆς Ἑλένης, ἔρωτι βληθεὶς εἰς αὐτὴν διὰ τῆς Αἴθρας τε καὶ Κλυμένης ὑπονοθεύει ταύτην, καὶ φεύγει διὰ τῶν πλοίων ὧν εἶχεν. Λαβὼν οὖν αὐτὴν μετὰ χρημάτων λιτρῶν τριακοσίων καὶ ἀργύρου πολλοῦ καὶ κόσμου ἀπέπλευσεν εἰς Σιδῶνα, ἐκεῖθέν τε εἰς Αἴγυπτον πρὸς τὸν βασιλέα Πρωτέα. Καὶ ἔμεινεν ἄχρι τινὸς παρ' αὐτῷ καταφρονήσας ὧν ἐκελεύσθη θυσιῶν. Ὡς οὖν ἐγνωρίσθη τοῦτο τοῖς τὴν βασιλικὴν φυλάττουσιν αὐλὴν τοῦ Μενελάου, παραχρῆμα ἀπέστειλάν τινα ἐν Γορτύνῃ τῇ πόλει τῆς Κρήτης ἀπαγγελοῦντα Μενελάῳ τὸ γεγονός. Ὁ δὲ ἀκούσας ἐπανῆλθεν εὐθέως ἐν τῇ Σπάρτῃ, πέμπων εἰς ἀναζήτησιν αὐτῶν ἐν παντὶ τόπῳ. Καὶ ὅτε ἔμαθε τούτους εἶναι ἐν τῇ Τροίᾳ, ἔπεμψε κατασκόπους ὀφείλοντας αὐτῷ τὴν ἀλήθειαν ἀπαγγεῖλαι· καὶ ἀποστέλλει πρέσβεις ὁ Μενέλαος μετὰ χρημάτων ἀποδοθῆναι αὐτοῖς τὴν Ἑλένην. Ἀπράκτων δὲ τούτων ἐπανελθόντων, πάλιν ἀπέστειλεν. Ὡς δὲ οὐδὲν ἔδρα, ταραττομένου τοῦ δήμου πρὸς τὸ ἀποδοθῆναι αὐτήν, οἱ τοῦ Πριάμου παῖδες ἀνθίσταντο. Ὁ δὲ Μενέλαος ὑποστραφεὶς σὺν Ἀγαμέμνονι τῷ βασιλεῖ περιῄει τοὺς τοπάρχας τῆς χώρας, παρακαλῶν μὴ παριδεῖν τὴν ὕβριν τῆς Ἑλλάδος, ἀλλὰ συμμαχεῖν αὐτῷ καὶ συναγωνίσασθαι κατὰ τῶν ταῦτα τολμησάντων βαρβάρων. Καὶ συνήγαγον βασιλεῖς καὶ τοπάρχας, καθώς φησιν Ὅμηρος καὶ Δίκτυς.

24.

Exc. Salm. p. 390 : Ὁ Πάρις ἐγκώμιον ἐξέθετο τῆς Ἀφροδίτης, ἤγουν τῆς ἐπιθυμίας, καὶ συγκρίνας αὐτὴν μετὰ Ἥρας καὶ Ἀθηνᾶς, δέδωκεν αὐτῇ τὸ μῆλον, ἤτοι τὴν νίκην, εἶπε δὲ [εἰς] αὐτὴν καὶ ὕμνον τὸν λεγόμενον κεστόν.

2. Ὁ Παλαμήδης διὰ τῆς τάβλας τὸν γήϊνον κόσμον ᾐνίξατο, τὸν ζῳδιακὸν κύκλον διὰ τῶν δώδεκα κάσων, διὰ τοῦ ψηφοβόλου καὶ τῶν ἐν αὐτῷ ἑπτὰ κοκκίων τὰ ἑπτὰ ἄστρα τῶν πλανήτων· διὰ δὲ τοῦ πύργου τὸ ὕψος τοῦ οὐρανοῦ, ἐξ οὗ δίδοται πᾶσι καλά τε καὶ φαῦλα.

3. Δίκτυς ὁ μετὰ Ἰδομενέως συστρατεύσας ἐπὶ Τροίαν φησὶν ὅτι Πρίαμος ἔπεμψε καὶ πρὸς τὸν Δαυὶδ πρεσβείαν, καὶ πρὸς Ταυτάνην βασιλέα Ἀσσυρίων· καὶ ὁ μὲν Δαυὶδ οὐ προσήκατο ταύτην, ὁ δὲ Ταυτάνης ἔπεμψε τὸν Τιθωνὸν καὶ τὸν Μέμνονα μετὰ πλήθους Ἰνδῶν. (4) Φησὶ δὲ καὶ ὅτι Ἕκτορι εἰς ὑπάντησιν Πενθεσιλείας τῆς Ἀμαζόνος ἐξερχομένῳ νυκτὸς ἐπιθέμενος Ἀχιλλεὺς αὐτόν τε καὶ τοὺς σὺν αὐτῷ ἀπέκτεινεν. (5) Ὁ αὐτὸς λέγει ὅτι καὶ τὸν παρὰ Πολυμνήστορος φυλαττόμενον Πολύδωρον Πριάμου παῖδα ἔλαβεν Αἴας ὁ μέγας πολεμῶν Πολυμνήστορι· ἀναγαγόντος οὖν αὐτόν, οἱ Ἕλληνες πρὸ τοῦ τείχους τῆς πόλεως διεκηρύκευον λαβεῖν τὴν Ἑλένην καὶ δοῦναι τὸν παῖδα· ὡς δ' οὐκ ἐπείθοντο, πάντων ὁρώντων κατετοξεύθη.

Fr. 22. V. Malalas p. 87, cujus narratio quum proxime accedat ad ea quae Suidas v. Αἰγεὺς habet, nihil dubito quin ex Joannis nostri Excerptis Suidiana fluxerint.

Fr. 23. Eadem fusius exponunt Malalas p. 92 sqq. et Cedrenus p. 216 sqq. Post verba εἰς τὸ Πάριον ex serie narrationis ponenda sunt ea quae de Paride judice Joannes ἀλληγορεῖ in fr. 24, § 1, collato Malala p. 92, 10—20.

Fr. 24. § 1. Cf. Tzetzes in Allegor. fabularum Homer. expositione (quem locum e cod. Bodlej. laudat Humphredus Hodius in Prolegg. ad Joann. Mal. p. XXVI) : Καὶ ῥήτωρ δὲ γενόμενος (sc. Πάρις) γράφει πολλὰ μὲν ἄλλα, Εἰς ἓν δὲ τούτων σύγγραμμα τὰς τρεῖς θεὰς συγκρίνει, Τὴν Ἀθηνᾶν τὴν φρόνησιν, τὴν Ἥραν τὴν ἀνδρείαν, Καὶ τὴν ἐπιθυμίαν δὲ φημὶ τὴν Ἀφροδίτην· Ἧ καὶ τὸ μῆλον δέδωκε, τῆς νίκης τὰ πρωτεῖα, Ὡς Ἰωάννης χρονικὸς Ἀντιοχεύς που γράφει, Αὐτὸ μόνον ἀλληγορῶν, τ' ἄλλα παραλιμπάνων. — § 2. V. Malal. p. 103, Cedren. p. 220. — τάβλας] ταύλας codex. — § 3. Ταυτάνης, deb. Τεύταμον. V. Diodor. II, 22. Epistolam Priami ad Teutam. habes ap. Cephallonem in Euseb. Chron. p. 41 Mai. — § 4. V. Malalas p. 123, 3. — § 5. V. Mal. p. 102 sq. Cedren. p. 223.

6. Ῥῆσος τὰς οἰκήσεις ἔχων ἐν Βυζαντίῳ ἐν τῷ λεγομένῳ Ῥηάτῳ (Ῥησίῳ S.), ὅπου νῦν ἐστιν ὁ τοῦ μεγαλομάρτυρος ἁγίου Θεοδώρου ναός. (7) Τὸ ἐν Τροίᾳ Παλλάδιον ζώδιον ἦν μικρὸν, ὑπὸ Ἀσίου τινὸς φιλοσόφου κατασκευασθὲν εἰς φυλακὴν τῆς πόλεως. (8) Ἐν τῷ μέλλειν τὴν Τροίαν ἁλίσκεσθαι, κατὰ τὴν ἑορτὴν τῶν ἀναθημάτων, τὸ τοῖς θύμασιν ἐπιβαλλόμενον πῦρ οὐχ ἧπτεν, ἀλλ' ἐσβέννυτο· τοῦτο εἰπὼν Ὀδυσσεὺς τοῖς Ἕλλησιν ἤδη ἀπαγορεύσασιν καὶ μέλλουσιν ὑποχωρεῖν, ἐθάρρυνεν αὐτούς.

9. Ἡ Σικελία τρίγωνος οὖσα ὑπὸ τριῶν ἀδελφῶν ἐβασιλεύετο, ὧν ὁ μὲν ἐλέγετο Κύκλωψ, ὁ δὲ Πολύφημος. Καταπονηθεὶς δὲ ὑπ' αὐτοῦ, καὶ πολλοὺς τῶν οἰκείων ἀποβαλὼν, δώροις δελεάσας αὐτὸν καὶ οἴνῳ, τὴν αὐτοῦ μονογενῆ θυγατέρα ἁρπάσας ἔφυγεν, ὡς Σίσυφος ὁ Κῷος ἱστορεῖ. Ὅτι γοῦν ἀλλήλοις συνήρχοντο οἱ τρεῖς ὠνομάζοντο Κύκλωπες, καὶ ἐμυθεύσαντο ὅτι τρεῖς ὀφθαλμοὺς εἶχον, σημαίνοντες τοὺς τρεῖς ἀδελφοὺς ἀλλήλοις συγκειμένους· ὁ δὲ Πολύφημος ἕνα, ὃν διὰ πυρὸς διετύφλωσεν Ὀδυσσεὺς, ὅτι τὴν αὐτοῦ θυγατέρα ἐκκαυθεῖσαν ἔρωτι ἀφείλετο. (10) Καλυψὼ καὶ Κίρκη Ἡλίου καὶ Σελήνης ἦσαν ἱέρειαι.

25.

Exc. De ins. p. 4 : Ὅτι ὁ βασιλεὺς Ἀγαμέμνων ἀποπλεύσας ἀπὸ τῆς Ἰλίου εἰς τὴν ἰδίαν πατρίδα, εὗρε τὴν ἑαυτοῦ γυναῖκα Κλυταιμνήστραν ὑπὸ Αἰγίσθου μοιχευομένην. Ἀκούσασα γὰρ αὕτη ὅτι τὴν Κασσάνδραν ἔλαβεν ἐν τῇ Τροίᾳ γυναῖκα, καὶ ἀφορμὴν εὑρηκυῖα, θάνατον κατασκευάζει σὺν τῷ Αἰγίσθῳ τῷ ἑαυτῆς μοιχῷ, καὶ αὐτῷ γένους ὄντι βασιλικοῦ. Ἐνδύσασα γὰρ τὸν ἄνδρα χιτῶνα πανταχόθεν ὑφασμένον, παρεσκεύασεν αὐτὸν ὑπὸ Αἰγίσθου σφαγῆναι· καὶ λαμβάνει τοῦτον ἄνδρα, καὶ ἔσχεν ἐξ αὐτοῦ θυγατέρα Ἠριγόνην. Ταῦτα τοίνυν ἀκούσας ὁ Ὀρέστης, ὁ τοῦ Ἀγαμέμνονος υἱὸς, ἦλθεν ἀπὸ τοῦ Σχοινέως, τοῦ θρέψαντος αὐτὸν, τοῦ πατρὸς τὸν θάνατον ἐκδικήσων. Οἱ δὲ περὶ τὸν Αἴγισθον καὶ τὴν Κλυταιμνήστραν ἐβουλεύοντο καὶ αὐτὸν ἀνελεῖν, ἀλλ' ἡ τούτου ἀδελφὴ Ἠλέκτρα, ἐξεῖπεν αὐτῷ τὴν βουλήν· καὶ σὺν τῷ Στροφίῳ γενόμενος, καὶ τῷ υἱῷ αὐτοῦ Πυλάδῃ, συγγενῶν ὄντων τοῦ Ἀγαμέμνονος, παραγίνεται εἰς τὸ μαντεῖον, καὶ λαμβάνει χρησμὸν, ὅτι δεῖ αὐτὸν ἐκδικῆσαι τὸν θάνατον τοῦ πατρὸς, καὶ ἀνελεῖν τὸν Αἴγισθον καὶ τὴν αὐτοῦ μητέρα, καὶ τὴν βασιλείαν ἀναλαβεῖν τοῦ πατρός. Ὅπερ πέπραχεν ἐπιλαβόμενος καιροῦ, καὶ ἐπελθὼν αὐτοῖς ἐν τῷ παλλατίῳ, ἀμφοτέρους κατασφάζει. Κινήσεως οὖν κατ' αὐτοῦ γενομένης ὑπό τε τοῦ πατρὸς Κλυταιμνήστρας καὶ τῶν συγγενῶν Αἰγίσθου, καὶ δίκης ἀγωνισθείσης παρὰ τῷ Ἀρείῳ πάγῳ, ψῆφον ἔλαβεν ὁ Ὀρέστης, δικαίως ἀνελεῖν τὴν μητέρα. Τούτῳ τοίνυν τῷ τρόπῳ, διαφυγὼν τὰς κατηγορίας, βασιλεύει τοῦ Ἄργους. Καὶ εἰς μανίαν ἐλθὼν μετὰ ταῦτα ἀπεδήμησε τῆς χώρας, ἐν ὅλοις τοῖς ἱεροῖς θυσιάζων, καὶ δεόμενος ἀπαλλαγῆναι τῆς μανίας, ἄχρις οὗ παραγέγονεν εἰς τὸ Σίλπιον ὄρος, ἐν ᾧ νῦν Ἀντιόχεια ἡ μεγάλη κεῖται· καὶ ἐκεῖ θεραπευθεὶς ἐπανῆλθε. Καὶ παραγενόμενος ἐν Σκυθίᾳ πρὸς τὴν ἑαυτοῦ ἀδελφὴν Ἰφιγένειαν, ἱέρειαν οὖσαν τῆς Ἀρτέμιδος, καὶ προσάγουσαν τοὺς ξένους εἰς θυσίαν, λέγει τῷ Πυλάδῃ· « Ἰδοὺ τοσούτων ἐκφυγόντες κινδύνων, μέλλομεν εἰς θυσίαν προσάγεσθαι· πολλῶν γὰρ ἀνθρώπων ὁρῶμεν ἐνταῦθα ἐρριμμένα ὀστέα. » Ὁ δὲ πρὸς αὐτὸν ἔφη· « Ἄγωμεν εἰς τὸ ἱερὸν, καὶ ἐρωτήσωμεν εἰ ζῇ Ἰφιγένεια ἡ σὴ ἀδελφὴ, καὶ προσπίπτοντες αὐτῇ σωζώμεθα. » Καὶ ποιήσαντες τοῦτο, καὶ γνωρισθέντες

— § 6. Eadem accuratius Suidas : Ῥῆσος, ὄνομα κύριον· στρατηγὸς τῶν Βυζαντίων, τὰς οἰκήσεις ἔχων πρὸ τῆς πόλεως ἐν τόπῳ ἐπιλεγομένῳ Ῥησίῳ, ἔνθα νῦν ὁ οἶκος τοῦ μεγάλου μάρτυρος Θεοδώρου γνωρίζεται. Ἦλθεν εἰς συμμαχίαν τῶν Τρώων, καὶ καταλύσας ἐν τῷ πεδίῳ τῷ πρὸ τῆς πόλεως κειμένῳ, ἀτυχῶς ἀπήλλαξε· διὰ νυκτὸς γὰρ Διομήδης καὶ Ὀδυσσεὺς τοῦτον κατασφάζουσι. — § 7. De his Joannem nostrum Antiochenum laudat Tzetzes ad Lyc. 355 p. 537 : Ἰωάννης δὲ ὁ Ἀντιοχεὺς οὐκ ἐξ οὐρανοῦ λέγει πεσεῖν τὸ Παλλάδιον, Ἄσιον δέ τινα φιλόσοφον μαθηματικὸν τοῦτο ποιῆσαι ὡροσκοπίᾳ καλλίστῃ, εἰς τὸ ἀπόρθητον εἶναι τὴν πόλιν ἐκείνην, ἔνθα ἂν τοῦτο μένῃ πεφυλαγμένον καὶ ἄσυλον. Χαρίσασθαι δὲ τὸ τοιοῦτο Παλλάδιον τῷ Τρωΐ. Τὰς δὲ ἀλληγορίας καὶ τὸ ἔτι ἐπεκτεῖναι τὴν ἱστορίαν ἐατέον· οὗτος γὰρ, ὡς μυριάκις ἔφην, μυθικῶς γράφει. Ead. tangit Tzetzes Exeg. Il. p. 134 ed. Herm. Ex Joanne fluxerunt etiam quæ leguntur apud Suidam : Παλλάδιον. Τοῦτο ἦν ζώδιον μικρὸν ξύλινον, ὃ ἔλεγον εἶναι τετελεσμένον, φυλάττον τὴν βασιλείαν τῆς Τροίας· ἐδόθη δὲ Τρωῒ τῷ βασιλεῖ, κτίζοντι τὴν πόλιν, ὑπὸ Ἀσίου τινὸς φιλοσόφου καὶ τελεστοῦ· διὸ δὴ εἰς τιμὴν Ἀσίου τὴν ὑπ' αὐτοῦ βεβασιλευμένην χώραν, πρότερον Ἤπειρον λεγομένην, Ἀσίαν ἐκάλεσεν. Οἱ δὲ ποιητικῶς γράψαντες ἐκ τοῦ ἀέρος εἶπον τὸ Παλλάδιον τοῦτο κατενεχθῆναι τῷ Τρωῒ βασιλεύοντι Φρυγῶν. Τοῦτο Διομήδης καὶ Ὀδυσσεὺς, ὅτε τὴν πρεσβείαν ἐποιήσαντο πρὸς Πρίαμον, ἐκ τοῦ ἱεροῦ ἐσύλησαν, προδεδωκυίας αὐτὸ Θεανοῦς, τῆς τοῦ Ἀντήνορος γυναικὸς, ἱερείας τυγχανούσης καὶ φυλαττούσης αὐτό· ἦσαν γὰρ ἀπὸ χρησμοῦ καὶ Ἀντήνορος μαθόντες, ὅτι ἕως οὗ μένει τὸ Παλλάδιον ἐν τῇ Τροίᾳ, ἀσάλευτος ἔσται ἡ βασιλεία τῶν Φρυγῶν. Πολλὴ τοίνυν μεταξὺ Αἴαντος καὶ Ὀδυσσέως ἐκινήθη ἔρις, τίς τοῦτο εἰς τὴν ἰδίαν ἀπενέγκοι πατρίδα, δικαζόντων αὐτοῖς τῶν ἄλλων βασιλέων καὶ προμάχων. Πολλῶν τοίνυν μεταξὺ λόγων κινηθέντων, καὶ γενομένης ὀψίας, ἔδοξεν αὐτοῖς παραθέσθαι τὸ βρέτας Διομήδει, μέχρις ἂν γένηται πρωΐ. Καὶ τούτου γενομένου, διὰ τῆς νυκτὸς εὑρέθη ὁ Αἴας ἐσφαγμένος ἀδήλως· ὑπενόουν δὲ δόλῳ φονεῦσαι αὐτὸν τὸν Ὀδυσσέα. Καὶ φιλονεικήσαντες πρὸς ἀλλήλους ἀπέπλευσαν. Eadem verba habet schol. Hom. Il. ζ, 311. Eodem modo rem narrant Malalas p. 109, Cedren. p. 229. Cf. Eustath. in Dion. 620. — § 8. Τοῦτο εἰπὼν Ὀδ.] sc. Ulysses cum Diomede Trojam ingressus erat, ὅτε τὰς ἑορτὰς τῶν ἀναθημάτων εἶχον οἱ Φρύγες καὶ οἱ Ἕλληνες. — § 9. V. Malalas p. 114. — τριῶν] tertii nomen est *Antiphates*, qui erat rex Læstrygonum. — καταπονηθεὶς] sc. Ὀδυσσεὺς ὑπὸ Πολυφήμου. V. Mal. p. 116. — θυγατέρα] Ἔλπην dicunt Malalas et Tzetzes Hist, X, 934. — § 10. Ead. Malalas p. 117, 21.

Fr. 25. Eadem iisdem sæpe verbis narrant Cedrenus p. 234 et Malalas p. 133 sqq. (ex Dictyis libro sexto) et Anon. Chron. cod. Paris. 854 in Cramer. Anecd. II, p. 222.

ὑπ' αὐτῆς, ἔλαβον αὐτὴν σὺν τῷ ἀγάλματι τῷ χρυσῷ τῆς Ἀρτέμιδος. Καὶ περιελθόντες γῆν πολλὴν ἐπανέρχονται εἰς Μυκήνας τὴν ἰδίαν πατρίδα· καὶ δίδωσι τὴν Ἠλέκτραν τὴν ἀδελφὴν πρὸς γάμον τῷ Πυλάδῃ. Μαθὼν δὲ ὁ τῆς Σκυθίας βασιλεὺς ἔπεμψε στρατιώτας πολλοὺς ἐπιδιώκοντας αὐτούς. Οἱ δὲ κατὰ τὴν Παλαιστίνην ἐλθόντες, καὶ ἀρεσθέντες τοῖς τόποις, ᾤκησαν ἐν αὐτῇ, τὴν πρώην λεγομένην Νύσαν Σκυθῶν μετονομάσαντες πόλιν.

26.

Exc. De virt. p. 786 : Ὅτι Μανασσῆς ὁ τῆς Ἱερουσαλὴμ βασιλεὺς ἐξέκλινεν ἀπὸ τῆς ὁδοῦ τοῦ θεοῦ καὶ πρὸς τὰ ἀγάλματα τὸν νοῦν ἐπλανήθη, τὰ τῶν καλουμένων Ἑλλήνων ἀποδεχόμενος δόγματα· διεπολέμει δὲ καὶ τοῖς ἐκλεκτοῖς τοῦ θεοῦ, τόν τε Ἡσαΐαν ξυλίνῳ πρίονι διελών, καὶ τοὺς ἄλλους προφήτας φυγάδας καταστήσας τῆς Ἱερουσαλήμ. Διὸ παρεδόθη εἰς χεῖρας τῶν ἐναντίων αὐτοῦ. Καὶ βασανισθεὶς ἐν πέδαις σιδηραῖς, ἐπέγνωσε τὸν θεὸν οὐρανοῦ καὶ τῆς γῆς, καὶ προσελθὼν οὐ παρώφθη. Βασιλεύσας δὲ ἔτη πέντε καὶ πεντήκοντα μετήλλαξε τὸν βίον.

27.

Exc. De ins. p. 5 : Ὅτι Καμβύσης ὁ Περσῶν βασιλεὺς καθεῖλε τὰς Αἰγυπτίας Θήβας, καὶ ταύτας εἰς ἔδαφος κατέσκαψεν· Ἄμασίς τε ὁ τῶν Αἰγυπτίων βασιλεὺς ἅμα τῷ βίῳ καὶ τὴν βασιλείαν κατέστρεψεν, τοῦ ἔθνους τῶν Αἰγυπτίων τελεῖν ὑπὸ Πέρσας ὁμολογήσαντος. Ἐπὶ δὲ τὴν ἐνδοτέραν ἐλαύνειν προθυμούμενος, ὑπὸ τῆς εἱμαρμένης ἐκωλύθη, δολοφονηθεὶς ὑπὸ τῶν περὶ αὐτὸν μάγων, βασιλεύσας ἔτη η'. Οὗτοι γὰρ μετὰ τὸν Καμβύσου θάνατον τῇ ἀρχῇ προσπηδήσαντες, μῆνας ζ' κατετρύφησαν, ἄχρις οἱ τῶν Περσῶν ἄρχοντες αὐτοὺς μὲν ἐπὶ τῆς αὐλῆς κατεχρήσαντο, τῆς δὲ βασιλείας προστάτην ἀπέδειξαν Δαρεῖον.

28.

Ibid. p. 5 : Ὅτι ἐπὶ τῆς ἀναγορεύσεως Ἀλεξάνδρου τοῦ Μακεδόνος, τῶν Αἰγυπτίων ἐβασίλευε Νεκτανεβώ. — Καὶ ὁ τῶν Ἀργείων βασιλεὺς Δαναὸς διὰ τῶν αὐτοῦ ν' θυγατέρων τοῖς τοῦ ἀδελφοῦ Αἰγύπτου παισὶ ν' οὖσιν ἐμηχανήσατο θάνατον, πλὴν Λυγκέως.

29.

Exc. Salmas. p. 391 : Οἰνόμαος πρῶτος ἐφεῦρε τὰ τοῦ ἱπποδρόμου χρώματα, καὶ ἐποίει τὸν ἀγῶνα Μαρτίου κδ', γῆς καὶ θαλάσσης. Ἐβάλλοντο κλῆροι, καὶ ὃς ἔλαχεν ὑπὲρ τῆς γῆς ἀγωνίσασθαι, ἐφόρει χλοανὸν, ὃς δὲ ὑπὲρ τῆς θαλάσσης, κυανόν. Ἐτίθει δὲ Οἰνόμαος ἔπαθλον τὴν ἑαυτοῦ θυγατέρα, καὶ ὁ νικηθεὶς ὑπὸ τοῦ πλήθους τῶν θεωμένων ἀνῃρεῖτο. Εἶχον οὖν σημεῖον οἱ τότε, καὶ εἰ μὲν τὸ χλοανὸν ἐνίκα, τῆς γῆς εὐφορίαν ἤλπιζον, καὶ οὕτως ἐγίνετο· εἰ δὲ τὸ κυανὸν, τῆς θαλάττης εὔπλοιαν· καὶ ηὔχοντο οἱ μὲν γεωργοὶ τὸ χλοανὸν νικᾶν, οἱ δὲ ναυτίλοι τὸ κυανόν. Πρῶτον δὲ Ἐνυαλίου τινὸς διπώλῳ χρησαμένου ἅρματι, ἐν τούτῳ πρῶτος Οἰνόμαος τετραπώλῳ ἐχρήσατο.

30.

Ibid. p. 391 : Οἱ Ῥόδιοι θαλασσοκρατήσαντες στήλην ἔστησαν, ἣν διὰ τὸ μέγεθος Κολοσσὸν ἔλεγον, καὶ διὰ τοῦτο ὠνομάσθησαν Κολοσσαεῖς. Ἡ Καρχηδὼν χώρα ὑπὸ Καρχηδόνος τοῦ Τυρίου ἐκτίσθη.

31.

Ibid. p. 391 : Ῥωμύλος πρῶτος ἐν Ῥώμῃ ἔκτισεν ἱππικὸν, καὶ διεῖλε τὸν δῆμον εἰς μέρη δ', εἰς τιμὴν τῶν δ' στοιχείων, καὶ τὰς ιβ' θύρας κατὰ τύπον τοῦ ζωδιακοῦ κύκλου ἱστόρηκεν, τὸ δὲ πέλμα τῆς γῆς πάσης, καὶ τὸν Εὔριπον τῆς θαλάσσης ὑπὸ [τῆς] γῆς μεσαζομένης· τὸν ἐπὶ τὰς θύρας καμπτὸν, τὴν ἀνατολὴν, καὶ τὸν ἐπὶ τὴν σφενδόνην, τὴν δύσιν, ὥς φησι Χάραξ· τὰ ἑπτὰ σπάτια τὸν δρόμον [τῶν] ἑπτὰ πλανητῶν. Τὸ βένετον ἀπὸ Βενετίας ὠνόμασεν, ἐν ᾗ γίνονται κυανᾶ χρώματα· καὶ προσεκόλλησε τῷ πρασίνῳ, ἤτοι τῇ γῇ (ὅπερ ἀπὸ τοῦ πραίσεται ὠνόμασε διὰ τὸ παραμένον), τὸ λευκὸν, ἤτοι τὸν ἀέρα, διότι ἑκάτερα τῆς ἀλλήλων συγκράσεως δέονται. Τὸ δὲ ῥούσιον, ἤτοι τὸ πῦρ, τῷ κυανῷ, ἤτοι τῷ ὕδατι, ὑπέταξε, διότι τὸ πῦρ ὑπείκει τῷ ὕδατι.

32.

Exc. De insid. p. 5 sq. : Ὅτι Ῥωμύλος βασιλεύσας Ῥωμαίων διετέλει εἰς μὲν τοὺς πολέμους διαπρέπων, εἰς δὲ τοὺς πολίτας ὑπερφρονῶν, καὶ μάλιστα εἰς τοὺς τῆς βουλῆς ἐξέχοντας. Τοῖς μὲν γὰρ στρατευομέ-

Fr. 29. V. Malal. p. 173, Cedren. p. 207, Chron. Pasch. p. 208, Anonym. in Cram. An. II, p. 191. Interponunt hæc chronologi modo laudati eo loco, quo de ludis a Romulo institutis sermonem faciunt. Ducta videntur ex Historiis Characis (cujus vide fragm. 19, tom. III, p. 640).

Fr. 30. Vide Malalam p. 149.

Fr. 31. Μεσαζομένης] sic Malalas ceterique; βασταζομένης codex. — σπάτια] ὑπάτια codex. — τὸ βένετον] Ante hæc excerptor omisit nonnulla. Malalas p. 175, 20 ita habet : Καὶ ἐπέθηκεν ὁ Ῥῶμος τοῖς αὐτοῖς τέτρασι στοιχείοις τὰ ὀνόματα, τῇ γῇ τὸ Πράσινον μέρος, ὅ ἐστι τὸ χλοῶδες· τῇ δὲ θαλάσσῃ, ὅ ἐστι τοῖς ὕδασι, τὸ Βένετον μέρος, ὡς κυανόν· τῷ δὲ πυρὶ τὸ Ῥούσιον μέρος, ὡς ἐρυθρόν· τῷ δὲ ἀέρι τὸ Ἄλβον μέρος, ὡς λευκόν. Κἀκεῖθεν ἐπενοήθη τὰ τέσσαρα μέρη ἐν Ῥώμῃ. — πραίσεται] πραίσεντος? Cedren. p. 258, 22 : τὸ δὲ πράσινον ἐκάλεσε ἀπὸ μεταφορᾶς τοῦ πρεσέντου, διὰ τὸ εἶναι παράμονον· ἴδιον γὰρ τῆς γῆς τὸ χλοῶδες διὰ παντός. Chron. Paschal. p. 208, 20 : ἐκάλεσε δὲ τὸ πράσινον μέρος πραίσεντον, ὅ ἐστι ῥωμαϊκὴ λέξις, ἥτις ἑρμηνεύεται ἐμπαράμονον· πραισεντεύειν (sic etiam Mal. p 173, 3; παραμένειν chron. Anon. ap. Cram. p. 191, 20) γὰρ λέγεται τὸ παραμένειν κτλ. — ὑπείκει] Ap. Cedren. 259, 3 legitur ὑπόκειται. Malalas p. 176, 11 : καθότι σβεννύει τὸ ὕδωρ τὸ πῦρ, ὡς ὑποτεταγμένον αὐτῷ. Eodem modo Chron. Paschale.

Fr. 32. Cf. Plutarch. Rom. 28 sqq.

νοις προσφιλὴς ἦν, καὶ χώρας αὐτοῖς νέμων, καὶ τῶν λαφύρων διδούς· πρὸς δὲ τὴν γερουσίαν οὐχ ὁμοίως διέκειτο· ὅθεν μισήσαντες αὐτὸν καὶ περιέχοντες ἐν τῷ βουλευτηρίῳ δημηγοροῦντα διεσπάραξάν τε καὶ διέφθειραν. Συνήρατο δὲ αὐτοῖς πρὸς τὸ λαθεῖν ζάλη μεγίστη τοῦ ἀέρος καὶ ἔκλειψις ἡλίου· ὅπερ που καὶ ὡς ἐγεννᾶτο γέγονε. Καὶ ὁ μὲν Ῥωμύλος αὐταρχήσας ζʹ καὶ λʹ ἔτη τοιοῦτον ἔσχε τὸ τέλος. Ἀφανισθέντος τε οὕτως αὐτοῦ, τὸ πλῆθος καὶ οἱ στρατιῶται μάλιστα ἐκεῖνον ἐζήτουν. Αὐτοὶ δ' ἐν ἀπόρῳ ἦσαν, μήτε ἐξειπεῖν τὸ πραχθὲν ἔχοντες, μήτε βασιλέα καταστῆσαι δυνάμενοι. Ταρασσομένων οὖν αὐτῶν, καί τι παρασκευαζομένων δρᾶσαι, Ἰούλιός τις Πρόκλος, ἀνὴρ ἱππεύς, στειλάμενος, ὡς καὶ ἑτέρωθέν ποθεν ἥκων, εἰσεπήδησεν ἐν τῷ μέσῳ, καὶ ἔφη· « Μὴ λυπεῖσθε Κυρῖται· ἐγὼ γὰρ αὐτὸς τὸν Ῥωμύλον εἰς τὸν οὐρανὸν ἀνιόντα εἶδον· καί μοι ἔφη, εἰπεῖν τε ὑμῖν ὅτι θεὸς ἐγένετο, καὶ ὅτι Κυρῖνος ὀνομάζεται, καὶ προσπαραινεῖσθαι ὑμῖν βασιλέα τε πάντως εὐθὺς ἑλέσθαι τινά, καὶ τούτῳ πολιτεύματι κεχρῆσθαι. » Λεχθέντων τούτων, ἅπαντες ἐπίστευσαν, καὶ τῆς ταραχῆς ἀπεπαύσαντο· εὐθέως τε ναὸν Κυρίνῳ ᾠκοδόμησαν, καὶ πᾶσι μὲν ἐδόκει βασιλεύεσθαι, οὐ μέντοι καὶ ὡμοφρόνουν· οἵ τε γὰρ καταρχὰς Ῥωμαῖοι καὶ οἱ ἐκ τῶν Σαβίνων προσοικισθέντες, ἑκάτεροι ἐξ ἑαυτῶν βασιλέα γενέσθαι ἠξίουν· ἐκ τούτου τε ἀναρχία συνέβαινεν. Ἐνιαυτὸν γοῦν ὅλον ἡ σύγκλητος τὸ κῦρος τῶν κοινῶν εἶχε πραγμάτων, πενθήμερον ἀρχὴν τοῖς ἐπιφανεστάτοις τῶν βουλευτῶν ἐκ διαδοχῆς κατανέμουσα, οὓς μεσοβασιλεῖς ὠνόμασεν.

33.

Exc. Salmas. p. 392 : Νουμᾶς ὁ βασιλεὺς ἐκέλευσεν ἐν τοῖς ὑποδήμασι Ῥωμαίων τῶν πατρικίων τυποῦσθαι τὸ Ῥωμαϊκὸν κάππα, ὃ παρὰ τοῖς Ἕλλησιν ἐστὶ βῶ, οἱ διὰ τὸ τῶν κοινῶν ἐπιμελεῖσθαι πατέρων ἔσχον ἐπωνυμίαν. Ἐφόρουν οὖν οἱ πατρίκιοι τὰ καππάγια, ὡς οὐκ ἐξὸν ἄλλως ὁρᾶσθαι τῷ βασιλεῖ. (2) Ὁ αὐτὸς πρῶτος ἀπὸ χαλκοῦ καὶ σιδήρου ἐποίησεν ἀσσάρια, τῶν πρὸ αὐτοῦ δι' ὀστρακίνων καὶ σκυτίνων τὴν χρείαν πληρούντων, ἅπερ ἀπὸ τοῦ οἰκείου ὀνόματος νουμία ἐκάλεσε. Τὸ δεσμωτήριον (?) τὸ νούμερον καὶ τὰ ὀρύγματα οἱ ὑπόνομοι ἀπὸ τοῦ Νουμᾶ τοῦ βασιλέως ὀνομάζονται, ὡς πρώτου ἐπινοησαμένου αὐτά.

34.

Exc. De ins. p. 6 : Ὅτι Πρίσκος Ταρκύνιος ὁ τῆς Ῥώμης βασιλεὺς τριακοστῷ καὶ ὀγδόῳ τῆς βασιλείας ἔτει ὑπὸ τῶν Μαρκίου παίδων, τοῦ πρότερον δυναστεύσαντος τῆς Ῥώμης, ἀναιρεθείς, ὁμοῦ τε τῆς βασιλείας καὶ τοῦ βίου παύεται.

35.

Ibid. p. 6 : Ὅτι Σέρβιος Τούλλιος ἐπὶ βιωφελεστάταις πράξεσι κοσμούμενος, τετάρτῳ καὶ τεσσαρακοστῷ τῆς ἀρχῆς ἔτει διαφθείρεται, δολοφονηθεὶς ὑπὸ Ταρκυνίου Σουπέρβου, συνοικοῦντος μὲν τῇ αὐτοῦ Σερβίου θυγατρὶ Τουλλίᾳ, ἕλκοντος δὲ τὸ γένος ἀπὸ Ταρκυνίου Πρίσκου τοῦ πρὸ Σερβίου βασιλεύσαντος· συνεφαψαμένης, ὥς φασι, τῆς γυναικὸς τοῦ μιάσματος, καὶ χεῖρας ἐναγεῖς τῷ τοῦ πατρὸς προσενεγκούσης φόνῳ.

36.

Exc. De virt. p. 786 : Ὅτι Ταρκύνιος Σούπερβος τῆς ἀρχῆς ἐπιλαβόμενος μετεκαίνισεν ἐπὶ τὸ αὐθαδέστερον, καὶ βαρυτέραν τὴν πολιτείαν ἀπέφηνεν, οἷα δὴ ἐκ τοιούτων παρελθὼν εἰς τὴν ἡγεμονίαν δραμάτων· τούς τε νόμους μεταθείς, καὶ ἄρχοντας παρὰ τὸ σύνηθες προβαλλόμενος, καὶ δι' αὐτῶν τὸν δῆμον αἰκιζόμενος, δεσμά τε καὶ μάστιγας, κλοιοὺς ξυλίνους καὶ σιδηροῦς, πέδας, ἀλύσεις, μέταλλα καὶ ἐξορίας ἐφευρών· φιλοπόλεμός τε εἰ καί τις ἄλλος πώποτε γέγονεν,

— στειλάμενος] Suidas : Στειλάμενος, εὐσταλῶς ἐπελθών. — θεὸς ἐγένετο] ὡς ἐγ. cod. — Κυρῖνος] Cramer.; κύριος cod. Cf. Suidas . Κυρῖνος· οὕτως Ἰούλιός τις Πρόκλος ἐπλάσατο κεκλῆσθαι ἀκηκοέναι Ῥωμύλον. Quæ fort. sunt ex Joanne nostro petita. — ἐπιφανεστάτοις] ἐπιφανεστέροις Suidas v. μεσοβασιλεῖς, ubi postrema hæc, absque fontis mentione, exscribuntur. — ὠνόμασεν] sic cod. A ap. Suidam; ὀνόμασθεν cod.; ὠνόμασαν vgo ap. Suid.

Fr. 33. § 1. Cf. Plutarch. Qu. Rom. p. 282, A. Castor. fr. 25. — § 2. Cf. Suidas : Ἀσσάρια, οἱ ὀβολοί. Νουμᾶς ὁ πρῶτος μετὰ Ῥωμύλον βασιλεὺς Ῥωμαίων γεγονὼς ἀπὸ σιδήρου (ἀσήμου inepte Cedren.) καὶ χαλκοῦ πεποιημένα πρῶτος ἐχαρίσατο Ῥωμαίοις, τῶν πρὸ αὐτοῦ πάντων διὰ σκυτίνων (καὶ ξυλίνων addit Cedren. ex dittogr.) καὶ ὀστρακίνων τὴν χρείαν πληρούντων· ἅπερ ὠνόμασεν ἐκ τοῦ ἰδίου ὀνόματος νουμμία (νουμία Cedren.), ὥς φησι Τράγκυλλος (sc. Suetonius Περὶ ὀνομάτων κυρίων καὶ ἰδεῶν, ἐσθημάτων καὶ ὑποδημάτων). Eadem Cedren. p. 259. Chronicon Paschale horum loco ex eodem Suetonio quædam affert de togis purpuratis, quas a Pelasgis Numa adoptaverit. Utrumque ex eodem Joanne nostro fluxerit. Porro vix erraverim ex Joannis Excerptis descripta esse statuens quæ leguntur ap. Suidam : Νουμᾶς Πομπίλιος. Τοῦτον οἱ Ῥωμαῖοι, καὶ μὴ ἐπιδήμιον ὄντα, προεβάλοντο μετὰ τοὺς μεσοβασιλεῖς, καὶ αὐτῷ πᾶσαν τὴν ἡγεμονίαν ἐκ προβουλεύματος ἔδοσαν. Καὶ τὰ πολιτικὰ ἔθη οὗτος διφκήσατο· ἐνιαυτόν τε πρῶτος εὕρατο, εἰς δώδεκα μῆνας τὴν ἡλιακὴν κατανείμας περίοδον, χύδην τε καὶ ἀκατανοήτως παντάπασι πρὸ αὐτοῦ παρὰ Ῥωμαίοις φερομένην· ἱερά τε καὶ τεμένη ἱδρύσατο καὶ τοὺς λεγομένους Ποντίφικας καὶ Φλαμινίους τοῖς ἱερεῦσιν ἐπέστησε· Σαλίους τε τοὺς τὴν ὄρχησιν ἀσκήσαντας· τάς τε Ἑστιάδας παρθένους τοῦ πυρὸς καὶ ὕδατος τὴν ἐπιμέλειαν ἔχειν ἐπέτρεψεν· αἳ τὴν μὲν ἄκραν τιμὴν παρὰ Ῥωμαίοις εἶχον, διὰ βίου δὲ τὴν παρθενίαν ἐφύλαττον· κἄν τις αὐτῶν ἠνδρώθη, κατεχώννυτο· καὶ διὰ τοῦτο οὐ μύρῳ, οὐκ ἄνθεσιν, οὐχ ἱματίῳ χρῆσθαι συνεχωροῦντο, πλὴν λευκοῦ. Cum his cf. Cedren. p. 259. — νούμια] νοννουμία cod.

Fr. 35. Σέρβιος Τούλλιος] Σέρβιος Ταρκύνιος codex.

Fr. 36. Eadem Suidas v. Ταρκύνιος Σούπερβος, omissis verbis δεσμά τε... ἐφευρών; sed hæc quoque exhibet s. v. Σούπερβος. Porro Joannem exscribit Cedrenus pag. 262. — πώποτε] om. Suidas. — δεσμά τε κτλ.] « Eadem memorantur in Historia miscella : *Iste excogitavit primus vincula, taureas, fustes et lautumias, compedes, catenas, exilia, metalla, carceres*, quæ iisdem pæne verbis leguntur in Isidori Originibus, l. IV extremo. » Valesius.

ὑπερόπτης τε καὶ ἀλαζών· ὅθεν καὶ τὴν ἐπωνυμίαν ταύτην ἀπηνέγκατο· Σουπέρβους γὰρ τοὺς ὑπερηφάνους ὠνόμαζον Ῥωμαῖοι.

37.

Exc. De insid. p. 7 : Ὅτι Ταρκύνιος Σούπερβος ἤδη γέρων ὢν ἐκπίπτει τῆς δυναστείας, πάλαι μὲν ἀδήλως διὰ τὸν τρόπον μισούμενος, τότε δὴ καὶ νεύσαντος τοῦ πλήθους ἐς φανερὰν ἀπόστασιν τῇ τοῦ ὁμωνύμου παιδὸς ἀκολασίᾳ. Ὁ μὲν γὰρ ἔτυχεν τὴν Ἀρδεατῶν περικαθήμενος πόλιν καὶ (l. δίχα) πρὸς τοῖς ρ' σταδίοις τῆς Ῥώμης ἀπῳκισμένην. Ταρκύνιος δὲ, ὁ τοῦ βασιλέως ὁμώνυμος, Λουκρητίαν γυναῖκα, γένους παρὰ Ῥωμαίοις γνωριμωτάτου, Κολλατίνῳ συνοικοῦσαν, ἐμίανεν. Ἐπανελθούσης, καὶ τῷ πατρὶ τῇ τε λοιπῇ κατεμήνυσε συγγενείᾳ τῷ τε ἀνδρὶ, ἐπαρασαμένη τε πολλὰ τοῖς ἀφ' αἵματος, εἰ τὴν συμφορὰν αὐτῆς καταλείποιεν ἀτιμώρητον, σπασαμένη τὸ ξίφος, ὅπερ ὑπὸ τοῖς κόλποις ἀφανῶς ἔφερεν, ἑαυτὴν ἐν ὄψει τῶν παρόντων κατειργάσατο. Τοῦτο δὲ τούς τε ἄλλους εἰς ὀργὴν ἀνῆψεν ἐλέῳ τῆς ἀνθρώπου (παρῆσαν γὰρ οὐκ ὀλίγοι Ῥωμαίων ἐπὶ θέαν τοῦ πάθους), καὶ οὐχ ἥκιστα Βροῦτον, προσήκοντα μὲν κατὰ γένος ἐκείνῃ, ἄνδρα δὲ δημοτικόν τε καὶ μισοτύραννον, ὃς μάλιστα τὸ πλῆθος εἰς τὴν τῶν βασιλέων ἤγειρεν ἀπόστασιν, ἀφείλετό τε τῆς ἐξουσίας παντελῶς τὸν Ταρκύνιον. Ἅμα γὰρ τῇ κατὰ τὴν πόλιν ἐπαναστάσει καὶ ἡ πρὸς τὴν Ἀρδέαν οὖσα στρατιὰ τῶν Ῥωμαίων, ἀπολιποῦσα τὸν τύραννον ᾤχετο, οὐδὲν οὔτε ἀνακαλοῦντος οὐδὲ μένειν δεομένου πεφροντικυῖα. Ταρκύνιος δὲ τοῖς παροῦσιν ἀμηχανῶν ἤλαυνεν ἐπὶ τὴν Ῥώμην, ὡς παύσων τῇ παρόδῳ τὴν ταραχὴν, καὶ τὴν δυναστείαν μετὰ πειθοῦς ἀναληψόμενος. Ἀπεωσθεὶς δὲ ὑπὸ τῶν πολιτῶν, ἀπεχώρει σὺν τοῖς οἰκείοις, βασιλεύσας ἔτη δ' πρὸς τοῖς κ'. Καθ' ὃν δὴ χρόνον ἡ πόλις ἀπελύθη τῆς τυραννίδος, ἑπτὰ μὲν δυναστῶν ἐφεξῆς ἀνασχομένη, τρία δὲ καὶ μ' καὶ σ' κατὰ μοναρχίαν ἔτη πολιτευσαμένη, συνεσταλμένων αὐτῇ τῶν τῆς ἀρχῆς ὅρων ἔτι, οὐ πέρα τε σταδίων ρ', ἔνθα δὴ μήκιστον, ἐκτισμένων. Ἐντεῦθεν ἐγένοντο β' κονσοῦλοι, οὓς Ἕλληνες ὑπάτους διὰ τὴν ὑπεροχὴν ἐκάλεσαν.

38.

Ibid. p. 7 : Ὅτι Δαρεῖος ὁ Περσῶν βασιλεὺς Ἀρσάμου παῖς, μέχρι τῆς κατὰ Βιθυνίαν Χαλκηδόνος τὰς στρατιὰς προβιβάσας, ὑπὸ πολλῶν τε βασιλέων δορυφορούμενος, καὶ μεγίσταις ἐντρυφῶν παρατάξεσι, τὸν μὲν ὑπὸ Βαγώου τοῦ προκοίτου θάνατον διαφυγὼν, αὐτόν τε τὸ προσφερόμενον πιεῖν ἀναγκάσας φάρμακον, παραχρῆμα διέφθειρεν. Καὶ ὁ μὲν Βαγώας δίκας ὑποστὰς ὧν περὶ τοὺς προτέρους ἥμαρτε βασιλέας, Ἀρσαμόν τε καὶ Ὦχον, ὑπὸ τοῦ ἰδίου φαρμάκου ἀναιρεῖται· ὁ δὲ Δαρεῖος ἓξ ἔτη πρὸς δυσὶ μησὶ δυναστεύσας, ἅμα τῷ βίῳ καὶ τὴν βασιλείαν κατέλυσεν.

39.

Exc. Salm. p. 392 : Δαρεῖος ὁ υἱὸς Ἀρσάμου, ὃν ὁ Μακεδὼν καθεῖλεν Ἀλέξανδρος, προσαχθείσης αὐτῷ κύλικος ὑπὸ Βαγώου τοῦ εὐνούχου, ἠνάγκασεν αὐτὸν πιεῖν, καὶ πιὼν ὁ Βαγώας ἀπέθανεν.

2. Ὅτι κατὰ τοὺς Ἀβραὰμ χρόνους Νῖνος καὶ Σεμίραμις ἐβασίλευον. Φαραὼ τινὸς βασιλέως Αἰγύπτου πολλοὺς τῶν προσοίκων καταγωνισαμένου, καὶ τοὺς λῃστρικοὺς ἄνδρας μεταρρυθμίσαντος πρὸς τὸ φιλάν-

Fr. 37. Eadem ferte Cedrenus p. 262. — καὶ νεύσαντος τοῦ πλήθους] κινεύσαντος τὸ πλῆθος codex; κινήσας τὸ πλ. conj. Cramer. — ἐπανελθούσης] Ab exc. corrupta. Cedren. : ἡ δὲ τὸ περὶ αὐτὴν ἀδίκημα τῷ τε ἀνδρὶ μικρὸν ὕστερον ἐπανελθόντι καὶ τῷ πατρὶ καὶ τῇ λοιπῇ κ. συγ. — Sumpta hæc ex versione Eutropii I, 8 : *Postea Ardeam oppugnans, in octavo decimo milliario ab urbe positam civitatem, imperium perdidit. Nam quum filius ejus, et ipse Tarquinius junior, nobilissimam feminam Lucretiam, eandemque pudicissimam, Collatini uxorem, stuprasset, eaque de injuria marito et patri et amicis questa fuisset, in omnium conspectu se occidit. Propter quam causam Brutus, parens et ipse Tarquinii, populum concitavit, et Tarquinio ademit imperium. Mox exercitus quoque eum, qui civitatem Ardeam cum ipso rege oppugnabat, reliquit ; veniensque ad urbem rex portis clausis exclusus est. Quumque imperasset annos viginti quinque, cum uxore et liberis suis fugit. Ita Romæ regnatum est per septem reges annis 243, quum adhuc Roma, ubi plurimum, vix usque ad quintum decimum milliarium possideret. Hinc consules cœpere pro uno rege duo hac de causa creari, ut, si unus malus esse voluisset, alter eum, habens potestatem similem, coerceret. Et placuit ne imperium longius quam annum unum haberent, ne per diuturnitatem potestatis insolentiores redderentur, sed civiles semper essent, qui se post annum scirent futuros esse privatos.*" — τὴν Ἀρδέαν] Cedren.; τὸν ἄνδρα cod. — ἀπεωσθεὶς] Cedren., ἀπεσωσθεὶς cod. — ὅρων] ὁρῶν ἔτη cod. — ἐντεῦθεν ἐγένοντο κτλ.] Plenius hæc (ex Exc. Joannis) tradit Suidas : Ὕπατοι, οἱ τὴν τῶν Ῥωμαίων πολιτείαν διοικοῦντες. Ἀποσεισαμένη γὰρ τὴν δουλείαν ἡ πολιτεία μετὰ θάνατον Ταρκυνίου δύο στρατηγοῖς, ἐνιαυσιαίαν ἔχουσιν ἀρχὴν, τὴν ἐξουσίαν ἐπέτρεψε· τῷ μὲν ἀριθμῷ τῶν ἀνδρῶν τὸν τῆς μοναρχίας διωθουμένη φόβον, τῷ δὲ συνεσταλμένῳ τῆς ἐξουσίας μετρίους τοὺς ἐν τῇ προστασίᾳ τῶν κοινῶν ἀπεργαζομένη. Ὁ γὰρ νῦν ὑπὸ πελέκεσί τε καὶ ῥάβδοις δορυφορούμενος καὶ στρατοπέδων ἐξηγούμενος, τῆς μετ' ὀλίγον μεταβολῆς εἰς ἔννοιαν καθιστάμενος, μέτριόν τε καὶ δημοτικὸν παρεῖχεν ἑαυτὸν τοῖς ἀρχομένοις· εἰ δ' ἄρα τις βαρέως τε καὶ ἀλαζονικῶς χρῷτο τῇ δυναστείᾳ, ῥᾳδίως οὗτος ὑπὸ θατέρου τῶν ἡγεμόνων, ἰσοπαλῆ δύναμιν ἔχοντος, γυμνοῦται τοῦ φρονήματος. Τούτῳ οὖν δὴ τῷ τρόπῳ τῆς πολιτείας φυγούσης τυραννίδος βαρύτητα καὶ δημοκρατίας ἀκολασίαν, προχειρίζεται πρώτους στρατηγοὺς αὐτοκράτορας ἄνδρας δύο, Κονσούλους αὐτοὺς ὀνομάσασα, οἷα δὴ προβούλους καὶ προηγόρους τινάς· οὓς Ἕλληνες μετὰ ταῦτα διὰ τὴν ὑπεροχὴν τῆς ἐξουσίας Ὑπάτους προσηγορεύκασι. Quæ deinde ap. Suidam sequuntur de Eutropio eunucho consule, item e Joannis Exc. Περὶ ἀρετῆς desumpta sunt. Vide infra. — Nonnulla ex h. l. Suidas repetit v. Κονσοῦλους.

Fr. 38. Cf. Diodor. XVII, 5. 6; Ælian. V. H. VI, 8. Nescio unde sua habeat Suidas v. Λαβάς· « Ὅτι Βαγώας ὁ Αἰγύπτιος ἔσφαξεν Ὦχον τὸν Πέρσην, καὶ τὰ μὲν κρέατα ἔφαγε, τὰ δὲ ὀστέα μαχαιρῶν εἰργάσατο λαβάς. »

Fr. 39. § 2. Fortasse Joannes postquam Asiæ et Ægypti regna ab Alexandro eversa esse dixerat, ad altiora adscendens paucis fortunam horum imperiorum recoluit.

θρωπον, καὶ οἱ λοιποὶ βασιλεῖς Αἰγύπτου εἰς τιμὴν ἐκείνου Φαραὼ ἐκαλοῦντο. Ἐβασίλευσαν ἐν Αἰγύπτῳ καὶ οἱ καλούμενοι ποιμένες· κατάγεσθαι δὲ δοκοῦσιν ἀπὸ τῶν υἱῶν Ἰακὼβ ὄντων ποιμένων.

40.

Exc. De insid. p. 8 : Ὅτι ἐπὶ Δαρείου τοῦ βασιλέως Περσῶν, Φιλίππου τῆς Μακεδονίας βασιλεύοντος χρόνους α' καὶ κ', πολλήν τε τῆς Ἑλλάδος καταστρεψαμένου μοῖραν, καὶ τοῦ τε πρὸς Ἀθηναίους καὶ τὸν στρατηγὸν Δημοσθένην ἐχομένου πολέμου ἐκκοπεὶς πρότερον τὸν δεξιὸν ὀφθαλμὸν, ὑπὸ Παυσανίου τοῦ ὑπασπιστοῦ διαφθείρεται ἐν θεάτρῳ· κινήσεώς τε μεγίστης τῶν στρατιωτῶν ἐπὶ τῷ θανάτῳ τούτου γενομένης, ἔμεινεν ἡ ἀρχὴ τετραετίαν γυμνή.

41.

Suidas v. Ἀλέξανδρος : Ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν θαυμαστὸν βίον ἐβίωσε. Πίστιν δὲ τοῖς εἰρημένοις ἐχέγγυον ἡ τῶν ἀγώνων παρέσχε πρᾶξις. Οὐδὲ γὰρ ἔστιν εὑρεῖν ἐν παντὶ τῷ τοῦ κόσμου κύκλῳ ἕνα ἄνδρα τοσούτοις κατορθώμασι πλεονεκτοῦντα. Τοῖς τε γὰρ ἀρίστοις ἀνδράσιν εἰς (τε) λόγους οὐ μείων τῶν εἰς ἄκρον ἐπαινουμένων εὑρέθη, πρός τε τὰ πολέμια διελθὼν θαυμαστὰ μᾶλλον ἢ πειθοῦς ἄξια διεπράξατο. Καὶ πρὸς Δαρεῖον τὸν Περσῶν βασιλέα συνάψας πόλεμον, τοῦτον κατακράτος νικᾷ. Κἀκεῖνος αἰτεῖται εἰς διαλλαγὰς ἐλθεῖν καὶ δοῦναι αὐτῷ καὶ τὴν θυγατέρα Ῥωξάνην πρὸς γάμου κοινωνίαν. Ὁ αὐτὸς πάντα τὰ ἔθνη καταστρεψάμενος διεφθάρη τὸν νοῦν, etc., ut in loco sq.

Exc. De virt. p. 788 : Ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν τὴν τῶν Περσῶν βασιλείαν καθελὼν καὶ τὸν Δαρεῖον ἀνελὼν διεφθάρη τὸν νοῦν, καὶ πρὸς τὰς τοῦ σώματος ἡδονὰς διωλίσθησε, Περσικήν τε στολὴν ἐνδυσάμενος, μυρίοις δὲ νέοις δορυφορούμενος, τριακοσίαις τε παλλακαῖς χρώμενος, ὡς τὴν Μακεδονικὴν πᾶσαν τῶν βασιλέων συνήθειαν εἰς Πέρσας μεταρρυθμίσαι, ἐντεῦθέν τέ τινας τῶν ἰδίων διαβληθέντας ἀνελεῖν, Λαγχέα μὲν καὶ Παρμενίωνα τοῦ στρατοπέδου ἐξάρχοντας τῆς τε Μακεδονικῆς νεολαίας οὐκ ὀλίγους.

Suidas l. l : Ὕστερον δὲ εἰς Ἰνδίαν ἀφικόμενος ὑπὸ Κανδάκης τῆς βασιλίσσης συνελήφθη ἐν ἰδιώτου σχήματι. Καὶ εἶπεν αὐτῷ· « Ἀλέξανδρε βασιλεῦ, τὸν κόσμον παρέλαβες καὶ ὑπὸ γυναικὸς συνεσχέθης; » Καὶ εἰρήνην πρὸς αὐτὴν ἐποιήσατο, καὶ τὴν χώραν αὐτῆς ἀβλαβῆ διεφύλαξεν.

42.

Exc. De ins. p. 8 : Ὅτι Ἀλέξανδρος ὁ Μακεδὼν, ὥς φησι Ἰωάννης ὁ Ἀντιοχεύς, ἐπὶ τοσούτοις κατορθώμασιν ὑπὸ Κασάνδρου τοῦ ἰδίου στρατηγοῦ φάρμακον δεξάμενος τὸν βίον μετήλλαξεν.

Suidas v. Ἀλέξανδρος : « Ὅτι ὁ αὐτὸς ὀκτακοσίοις ἀνδράσιν ἐνέτυχεν ὑπὸ Περσῶν πάλαι ἐν Ἑλλάδι ληφθεῖσιν, ἀκρωτηριασμένοις τὰς χεῖρας, οὓς μεγάλαις δωρεαῖς ἐφιλοφρονήσατο καὶ παρεμυθήσατο. Εἰς δὲ τὴν λίμνην τὴν ἐν Ἀλεξανδρείᾳ ἀφικόμενος τὸ διάδημα ἀπέβαλεν, ὄμβρου πολλοῦ καταρραγέντος, καὶ μόλις ἐπὶ τὴν γῆν διενήξατο. Καὶ ὑπὸ Κασάνδρου τοῦ ἰδίου στρατηγοῦ φάρμακον δεξάμενος ἐσπαράχθη. Καὶ οὕτως ἐπὶ τοσούτοις κατορθώμασι τὸν βίον μετήλλαξεν.

43.

Exc. De virt. p. 788 : Ὅτι Λούκιος Βαλέριος Πο-πλικόλας ὕπατος καταλείπει τὸν βίον, οὕτω δὴ μέταιτός τε καὶ χρημάτων ἄπορος ὡς κοινοῖς ὑπὸ τοῦ δήμου ταφῆναι χρήμασι, τάς τε κατὰ τὴν πόλιν γυναῖκας παραπλησίως αὐτὸν ἀποθρηνῆσαι τῷ Βρούτῳ, ἐπειδὰν καὶ συνῆρξεν αὐτῷ τῆς τῶν τυράννων ἐξόδου.

44.

Exc. De ins. p. 8 : Ὅτι ἕκτῳ τῆς ὑπατείας χρόνῳ μετὰ τὴν τῶν τυράννων ἐξέλασιν, Κασσίου τε καὶ Σουλπικίου τὴν ἀρχὴν παραλαβόντων, ἐς πᾶν μὲν κινδύνου προῆλθεν ἡ πόλις, τοῦ δουλικοῦ πλήθους ὑπὸ τῶν τυράννων ἀναπεισθέντος ἐπιθέσθαι νύκτωρ τοῖς κεκτημένοις, καὶ διαφθεῖραι τοὺς ἄνδρας ἐν ταῖς εὐναῖς, ἐπειδὰν αὐτοί τε προσάγωσι, καὶ οἱ συλλαβόμενοι σφίσι τῶν πολιτῶν τὰ ἐρυμνὰ καταλάβοιεν τοῦ ἄστεως. Οὐ μὴν ἀπέβη τι τούτων, Σουλπικίου τοῦ ὑπάτου σωφρόνως τούς θ' ἡγεμόνας τῆς ἐπιχειρήσεως συλλαβόντος, καὶ τὸ κεκινημένον τοῦ δημοτικοῦ κατασπάσαντος.

45.

Ibid. p. 8 : Ὅτι ἐνάτῳ τῆς ἐλευθερίας ἐνιαυτῷ, Πόπλου Καμινίου καὶ Τίτου Λευκίου ὑπατευόντων,

Fr. 40. Eadem narrat Cedrenus p. 265. — ἀρχὴ τετραετίαν γυμνή] Quæ antecesserunt regnum Philippi cum iis quæ subsecuta sunt, auctor confundit.

Fr. 41. Exc. De virt. : Περσικήν τε] τε om. Suidas. — μεταρρυθμίσαι κτλ.] Suidas μεταρρυθμίσαι, καὶ τῶν ἰδίων τινὰς διαβληθέντας ἀνελεῖν· ὕστερον δὲ etc., quæ Excerpto De Virt. subjunximus. — Λαγχέα μὲν] In latinis Valesius habet *Lyncestem*. An Κλεῖτον τὸν μέλανα? Καλλισθένη?

Fr. 42. Eadem Cedrenus p. 271. Cf. Arrian. VII, 27; Plutarch. Alex. c. 77; Droysen. *Hellenism.* I, p. 706 sq.

Fr. 43. Eadem Suidas v. Μέταιτος, προσαίτης, ἐπαίτης. « Οὕτω δὲ μέταιτος ἐτελεύτησε καὶ χρημάτων ἄπορος, ὡς κοινοῖς ταφῆναι χρήμασι. » Eutropius I, 11 : *Quinto anno Valerius ille, Bruti collega et quater consul, fataliter mortuus est, adeo pauper, ut collatis populo nummis sumptum habuerit sepulturæ : quem matronæ sicut Brutum annum luxerunt.*

Fr. 44. Κασσίου τε κ. Σ.] Hæc a tabb. consul. nostris abhorrent. Sp. Cassius consul fuit an. 502; Serv. Sulpicius an. 500 a. C; ideoque ad nonum vel undecimum libertatis annum pertinerent.

Fr. 45. Πόπλου Καμ. κ. Τίτου Λευκίου] Debebat : Ποστουμίου Κομινίου καὶ Τίτου Λαρκίου (Dion. Hal. V, 50, Livius II, 18, Cassiodor.), coss. an. 501. — Ἐπειδὴ Μαμήλιος] ἐκ. Μάλιος perperam Suidas, qui s. v. Δικτάτωρ

ἐπειδὴ Μαμήλιος ἀνὴρ Λατῖνος μὲν τὸ γένος, καὶ μέγα παρὰ τοῖς ὁμοφύλοις δυνάμενος, συνοικῶν δὲ τῶν Ταρκυνίου θυγατρῶν τῇ νεωτάτῃ, ἀναστήσας πανδημεὶ τὸ Λατίνων γένος, χεῖρά τε μισθοφόρον πολλὴν ἀγείρας, τιμωρεῖν τοῖς κηδεσταῖς, ἀτίμως παρεωσμένοις τῆς δυναστείας, ἠξίου, ἡ βουλὴ (δὲ) καταδείσασα τὸ πλῆθος τοῦ πολεμίου νέφους, καινὸν ἡγεμονίας ἀνευρίσκει γένος, προχειρισαμένη τότε πρῶτον δικτάτορα, [ὃς καθ' Ἑλλάδα γλῶτταν κληθείη ἂν εἰσηγητὴς τῶν λυσιτελῶν· ὑπερέχων μὲν τῆς τῶν ὑπάτων ἀρχῆς, τοῖς δὲ βασιλεῦσι προσφερέστατος· ἀνυπεύθυνόν τε γὰρ τῶν ὅλων εἶχε τὸ κράτος, καὶ ἰσοτύραννον ἐν τῷ καθεστηκότι χρόνῳ τὴν ἐξουσίαν. Τοιγαροῦν Γάϊος Καῖσαρ πρότερον, καὶ μετὰ τοῦτον Αὔγουστος Ὀκταούιος, ὧν ὕστερον κατὰ τοὺς οἰκείους χρόνους μνημονεύσομεν, ὑπὸ τῷδε ὀνόματι τῆς μοναρχίας ἀντιλαμβάνεσθαι διέγνωσαν].

46.

Ibid. p. 9 : Ὅτι καὶ κατὰ τὴν πόλιν ἐμφύλιος ἀνεφλέγετο ταραχή, τοῦ δήμου πρὸς τὸ συνέδριον ἀπεχθῶς ἔχειν ἠρεθισμένου, ἀποστάντος δὲ σὺν ὅπλοις τῆς πόλεως, καὶ οὔτε συνοικεῖν ἔτι οὔτε κοινωνεῖν τῶν ἀγώνων βουλομένου τοῖς εὐπατρίδαις, εἰ μὴ τῶν τ' ὀφλημάτων ἀπολυθείη, καὶ δικασταῖς χρῆσθαι τὸ ἐντεῦθεν οἰκείοις ἐπιτραπείη, ὡς ἐπικουρίαν τοῦ δημοτικοῦ τε καὶ εὐτελοῦς ὄχλου, οἱ τοῖς παρὰ τὸ προσῆκον ὑπὸ τῶν δυνατῶν κατειργομένοις ἀρήξοιεν, καὶ τῶν πολλῶν ἐλεύθερα διαφυλάξαιεν τὰ σώματα. Δείσαντες δὲ οὖν οἱ ἐν τέλει, μὴ ἐν τούτῳ τι πρὸς τῶν περιοίκων νεωτερισθείη, τοῦ δήμου πολεμίου τε ὄντος καὶ πρὸς τὰς ἔξω στρατιὰς οὐχ ὑπακούοντος, τὰ ἐξαιτησόμενα ** καὶ διαλλαγὰς ἐπὶ τούτοις εὑρίσκονται.

47.

Ibid. p. 9 : Ὅτι Ποπλίου αὖθις καὶ Βαλερίου τὴν ἀρχὴν διαδεξαμένων, ἥ(τε) κατὰ πόλιν ἐμφύλιος ἀνάπτεται ζάλη, τοῦ δήμου πρὸς τοὺς πατρικίους στασιάζοντος. Καὶ πρῶτον μὲν Καίσαρα τὸν ἀπὸ ** περιπλεξάμενος εἰς οἶκτον τοὺς ὁρῶντας συνήλασεν· ἔπειτα καὶ Σαβῖνοι Σερδώνιον πρὸς τυραννίδα ἐκίνησαν, ὃς ταχείας ἔτυχε καθαιρέσεως, θεραπευθέντος τοῦ δήμου καὶ τοῖς ὑπάτοις συμπράξαντος.

48.

Exc. De virt. p. 789 : Ὅτι Κύντιος Κικιννάτος ὁ δικτάτωρ πολλαῖς μὲν καὶ πρότερον ἐνήθλησε στρατιαῖς, ἀρχαῖς τε καὶ τιμαῖς Ῥωμαϊκαῖς πολλάκις κεκοσμημένος. Οὕτω δὲ ἦν μέτριος καὶ σώφρων, ὡς ἐπὶ καλύβῃ λυπρᾷ καὶ ὀλίγου γῆς μέτρου ζῆν, τὸν αὐτουργόν τε ἀγαπᾶν βίον. Ὃς δικτάτωρ προβαλλόμενος ἔτυχε πρὸς ἀρότρῳ πονούμενος, ὅτε ἀφίκοντο πρὸς αὐτὸν οἱ τὰ παράσημα τῆς ἀρχῆς κομίζοντες· ἀπονιψάμενός τε [καὶ δεξάμενος] τὰ σύμβολα * πρὸ ἑστιάσεως ἅμα τῇ οἰκείᾳ δυνάμει τοῖς πολεμίοις ἐπιγίνεται φόνον τε πολὺν τῶν ἐναντίων ἐργασάμενος ἐπάνεισιν ἑκκαιδεκάτῃ μετὰ τὴν ἔξοδον ἡμέρᾳ, τοὺς μὲν οἰκείους τοῦ περιστάντος κινδύνου λυσάμενος, τὸν δὲ τῶν πολεμίων διαρπάσας χάρακα· καὶ τὸν στρατηγὸν τῶν Ἐκανῶν δέσμιον ἐπὶ τὴν πομπὴν κατάγει τὴν ἐπινίκιον.

---

locum nostrum exhibet. *Octavius Mamilius* ap. Liv. II, 18. — μισθοφόρον] sic etiam Suidæ codd. B E; reliqui Suidæ codices : μισθοφόρων. — τῆς δυναστείας ἠξίου] ἠξίου τῆς δυν. Suidas. — ἡ βουλὴ δὲ] δὲ non habet Suidas; aptiusque abesset particula; non est tamen, cur tollatur. — ἀνευρίσκει] Cramer.; ἀ εὑρίσκει codex; εὑρίσκει Suidas. — ὃς καθ' Ἑλλάδα κτλ] Hæc addidi e Suida. — Ceterum cum nostro fragm. conferri meretur Eutropius I, 12 : *Nono anno post reges exactos, quum gener Tarquinii, ad injuriam soceri vindicandam, ingentem collegisset exercitum, nova Romæ dignitas est creata, quæ dictatura appellatur, major quam consularis. Eodem anno etiam magister equitum factus est, qui dictatori obsequeretur. Neque quidquam similius potest dici, quam dictatura antiqua, huic imperii potestati, quam nunc tranquillitas vestra habet : maxime quum Augustus quoque Octavianus, de quo postea dicemus, et ante eum Caius Cæsar, sub dictaturæ nomine atque honore regnaverint.*

Fr. 46. De re [an. 490] v. Liv. II, 30; Dionys. H. VI, 39 sq.; Eutrop. I, 13; Dion. Cass. Exc. Vatic. p. 144 sqq. Mai (tom. I, p. 72 sqq. in Dion. ed. Gros.); Zonaras VII, 14. — ὡς ἐπικουρ.] malim εἰς; at cf. ὡς πέρας fr. 64. — Postrema fragm. pars mutila. Dio l. l. ita habet : Οἱ δὲ βουλευταὶ φοβηθέντες μὴ ἐπὶ πλεῖον οὗτοί τε ἐκπολεμηθῶσι, καὶ τοὺς περιοίκους πρὸς τὰ παρόντα συνεπιθῶνταί σφισι, διεκηρυκεύσαντο αὐτοῖς πάντ' ὅσα καθ' ἡδονὴν ἤλπιζον ἔσεσθαι προτείνοντες. Deinde, memorato Agrippæ apologo : Καὶ διὰ τοῦτ' ἠπιώτεροι ἐγένοντο καὶ κατηλλάγησαν, ἄφεσιν τῶν τε δανεισμάτων καὶ τῶν ὑπερημεριῶν εὑρόμενοι.

Fr. 47. Ποπλίου... διαδεξαμένων] Debebat : Ποπλίου Οὐαλερίου Ποπλικόλα αὖθις καὶ Γαΐου Κλαυδίου Σαβίνου τὴν ἀρχὴν διαδεξαμένων (an. 460 a. C; 294 ab u. c.). *Eo anno exules servique.. duce Herdonio* (Σερδωνίου Joan.) *Sabino nocte Capitolium atque arcem occupavere*, Liv. III, 15. V. Dionys. Hal. X, 14 sqq. — Καίσωνα κτλ.] Quid in his lateat non assequor. Cæso Quinctius, ferox juvenis, nobilitate gentis insignis, lingua manuque promptus, impetus tribunicios popularesque procellas strenue sustinebat, donec a Virginio tribuno accusatus exilio se condemnationi subduceret. V. Liv. III, 11 sqq. Dionys. X, 2. Ceterum hæc acta sunt anno præcedente, 461. Serdonius in Capitolio occisus est, sec. Liv. III, 18.

Fr. 48. Eadem Suidas v. Κύντιος Κικιννάτος, et brevius s. v. λυπρῷ. — καὶ δεξάμενος] suppl. Valesius. — πρὸ ἑστιάσεως] Locus mutilus in cod. nostro. Conspirat Suidas v. Κικιν. Idem v. λυπρῷ post vocem πονούμενος ita habet : ὃς ἀπονιψάμενος ἐπάνεισι, καὶ συμβαλὼν τοῖς πολεμίοις νικᾷ κατακράτος, καὶ τὸν στρατηγὸν τῶν πολεμίων ἄγει αἰχμάλωτον. Num scrib. τὰ σύμβολα τῆς προστάσεως? Bernhardyus vertit : *quum insignia magistratus induisset, protinus ut erat impransus Romam venit, ductoque in hostem exercitu etc.* Complura excidisse haud credo, quum eadem brevitate Eutropius, lib. I, 16 : *Is quum in opere et arans esset inventus, sudore deterso, togam prætextam accepit et cæsis hostibus liberavit exercitum.* Fusius Livius III, 26. — ἑκκαιδεκάτῃ] ἑνδεκάτῃ Suidas. — τὸν δὲ τῶν πολ.] τῶν δὲ πολεμίων διαρπάσας τὸν χάρακα Suidas. — τῶν Ἐκανῶν] i. e. *Equorum*; an Ἐκουλανῶν? τῶν ἐναντίων Suidas.

49.

Suidas v. Κελτοί : « Ὅτι Κελτοὶ κατὰ Ῥωμαίων ἐστράτευσαν. Ἀνὴρ δέ τις τῶν Κελτῶν ἡγεμονικὸς, τό τε σῶμα εὐπρεπὴς καὶ τὸν θυμὸν ἀλκιμώτατος, προελθὼν τοῦ οἰκείου πλήθους ἐς μονομαχίαν προὐκαλεῖτο τῶν ἐναντίων τὸν ἄριστον. Βαλέριος δέ τις ἡγεμὼν φάλαγγος ὑπέστη τὸ ἀγώνισμα, καὶ θείᾳ δέ τινι μοίρᾳ κατὰ γνώμην ἀποβάντος ἔτυχε τοῦ βουλεύματος. Ἐπεὶ γὰρ προῆλθε τοῦ οἰκείου τάγματος ὁπλισάμενος, κόραξ προσιζάνει τῷ δεξιῷ τοῦ ἀνδρὸς βραχίονι· ἀντιπρόσωπος δὲ τῷ Κελτῷ κατὰ τὸν ἀγῶνα φερόμενος, καὶ τοῖς τε ὄνυξιν ἀμύττων τὸ πρόσωπον καὶ τοῖς πτέρυξιν ἐπικαλύπτων τοὺς ὀφθαλμοὺς ἀφύλακτον τῷ Βαλερίῳ τὸν πολέμιον παραδέδωκεν· ὁμοῦ τήν τε νίκην τῷ ἀνδρὶ καὶ τὴν ἀπὸ τοῦ συμβεβηκότος ἐπωνυμίαν χαρισάμενος. Κορβῖνος γὰρ δὴ τοὐντεῦθεν ἐπεκλήθη, τῆς τε μαρτυρηθείσης ἀρετῆς ἕνεκα παρὰ τὰ καθεστηκότα Ῥωμαίοις νόμιμα τῆς ὑπατικῆς ἀρχῆς ἔτι μειράκιον ὢν τυγχάνει. »

50.

Exc. De virt. p. 789 : Ὅτι Μάρκελλος καὶ Σκιπίων οἱ ὕπατοι (222 a. C.) μετὰ τὴν νίκην τὴν κατὰ Γαλατῶν** — Κατὰ τὸν αὐτὸν καιρὸν (265 a. C.) καὶ Οὐολσινίους δόλῳ κρατηθέντας τε καὶ αἰκιζομένους πικρῶς ἠλευθέρωσαν. Οἱ γὰρ ταύτην οἰκοῦντες τὴν χώραν, ἐν πολλῇ τρυφῇ τοῦ σώματος διαιτώμενοι, αὐτοί τε τῶν ὅπλων καταφρονήσαντες τοῖς οἰκέταις ταῦτα χειρίζειν ἐπέτρεψαν. Ἐπειδὰν δὲ δυνάμεως ἐπελάβοντο, πρῶτα μὲν τὰς ἑαυτῶν δεσποίνας πρὸς βίαν κατῄσχυναν· ἔπειτα τοῖς δεσπόταις χεῖρας ἐπιβαλόντες τοὺς μὲν ὡς ἔτυχε διαφθείροντες, τοὺς δὲ τιμωρίαις αἰσχίσταις ὑποβαλόντες κατηνάλωσαν.

51.

Ibid. p. 789 : Ὅτι καὶ Μάρκος Μινούκιος Ῥοῦφος καὶ Πόπλιος Κορνήλιος οἱ ὕπατοι (221 a. C.) Ἰστριανοῖς κακουργοῦσι τὰς σιταγωγὰς Ῥωμαίων ὁλκάδας δίκην ἐπέθεσαν, ἅπαντας ὀλίγου τοῖς οἰκείοις ὑποθέντες ὅπλοις.

52.

Suidas : Διῆγε, παρεξέτεινεν. Ἰωάννης Ἀντιοχείας· « Ὃς ἔρυμνα χωρία παρειληφὼς ἐπὶ πολὺ διῆγε τὸν πόλεμον, ἀμβλύνων τὴν τοῦ Ἀννίβου ὀξύτητα χρονίαις διατριβαῖς. »

Idem : Ἀμβλύνω, τὸ ἐκλύω. « Ὁ δὲ ἐπὶ πολὺ διῆγε τὸν πόλεμον ἀμβλύνων τὴν τοῦ πολεμίου (πολέμου codd.) ὀξύτητα χρονίαις τε καὶ μακραῖς τοῦ ἔργου διατριβαῖς. »

53.

Exc. De ins. p. 9 : Ὅτι κατὰ τὸν χρόνον ὅτε Ἀννίβας ἐπολέμει τοῖς Ῥωμαίοις, Ἀντίοχος ὁ τῆς Συρίας βασιλεὺς ὑπὸ Πτολεμαίου τοῦ Αἰγυπτίων ἄρχοντος πολεμούμενος, Ξέρξῃ τῷ Ἀρμενίων τυράννῳ τὴν ἑαυτοῦ ἀδελφὴν συνοικήσας, ἐκεῖνον μὲν διὰ τῆς ἀδελφῆς διεχρήσατο, τὴν δὲ Περσῶν βασιλείαν αὖθις ἀνεκτήσατο.

Fr. 49. Quum loci quam plurimi, quibus Suidas cum Eutropio ad verbum fere conspirat, ex Joanne Antiocheno petiti sint, idem etiam de eo loco, quem modo apposui, sicuti de aliis nonnullis statuere licet, etsi ex Exc. nostris Joanneis rem probare non possis. Eutropius II, 3 ita habet : *Quæ* (legiones) *quum profectæ essent adversus Gallos, duce L. Furio, quidam ex Gallis unum e Romanis, qui esset optimus, provocavit. Tum se M. Valerius tribunus militum obtulit, et quum processit armatus, corvus ei supra dextrum brachium sedit. Mox commissa adversus Gallum pugna, idem corvus alis et unguibus Galli oculos verberavit, ne rectum posset adspicere. Ita a tribuno Valerio interfectus, non solum victoriam ei, sed etiam nomen dedit. Nam postea idem Corvinus est dictus. Ac propter hoc meritum, annorum trium et viginti consul est factus.* Fons vero, unde hic locus promanavit, Dio fuit Cassius, cujus ipsissima verba sæpenumero in Joanne nostro deprehendimus. Sic hoc quoque loco verba : Κόραξ προσιζάνει... παραδέδωκεν Dionis esse liquet ex Dionis Exc. Vatican. p. 534 ed. Rom. (cf. Dio Cass. ed. Gros tom. I, p. 134). Quæ verba Suidas repetit v. ἀμύσσειν. — Antecedit apud Eutropium (II, 3) narratio de T. Manlio Torquato, quam iisdem fere verbis græce habes in Dionis Exc. Vat. Planud. p. 530 ed. Mai, et paullo plenius in Suida v. Τορκουᾶτος, sed absque mentione auctoris, adeo ut de his quoque parum liqueat, an ex Dionis vel Joannis Exc. Suidas arripuerit.

Fr. 50. « Κατὰ τὸν αὐτὸν καιρὸν καὶ Οὐολσινίους] Male hæc cum superioribus cohærent, Joannisne Ant. culpa an exscriptoris haud facile dixerim : utriusque certe satis mihi comperta negligentia est. Hæc quidem Vulsiniensium calamitas vindicata est a Romanis anno Urbis 488 (265 a. C.) Q. Fabio et L. Manilio Coss., ut ex Dione tradit Zonaras. De quo consulendi sunt Fasti Sigonii ad hunc annum. Ejusdem rei meminit Orosius l. 4, c. 5, et Val. Max. l. 9, c. 1. Sed in Orosii codicibus depravati sunt numeri annorum. Marcelli vero et Scipionis consulatus incidit in annum Urbis 531 (222 a. C.), tanto post Vulsiniensem triumphum intervallo. » VALESIUS.

Fr. 51. Cf. Eutrop. III, 2 : *M. Minucio Rufo, P. Cornelio coss., Istris bellum illatum est, quia latrocinati naves Romanorum fuerant, quæ frumenta exhibebant, perdomitique omnes.* Orosius IV, 13; Zonar. VIII, 20, tom. II. p. 174 ed. Bonn., ubi pro ἐπ' Ἴατρου legendum ἐπ' Ἴστρους, monente Valesio.

Fr. 52. Eutrop. III, 4 : *Missus adversus Annibalem postea a Romanis Q. Fabius Maximus. Is eum differendo pugnam ab impetu fregit; mox inventa occasione vicit.* Vox Ἀντιοχείας non est cur mutetur in Ἀντιοχεύς. Vide Dindorf. præf. ad Malalam p. VII.

Fr. 53. Antiochum III pacem cum Xerxe ad Armosatam urbem iniisse eique Antiochidem filiam despondisse docemur a Polyb. Exc. lib. VIII, 25 (circa an. 215). Perfidum Antiochi consilium nescio an indicet Polybius l. l., ubi Antiochus, rebus sic compositis, Armeniorum amorem sibi conciliasse dicitur δόξας μεγαλοψύχως καὶ βασιλικῶς τοῖς πράγμασι κεχρῆσθαι. — ἐκεῖνον] ἐκεῖνος codex.

54.

Exc. de ins. p. 9: Ὅτι Πτολεμαίου (Ἀγαθόκλειαν) τὴν ἑαυτοῦ γυναῖκα ἐκβαλόντος, καὶ μιᾷ τινὶ τῶν ἑταιρίδων συναφθέντος, εἶτα τελευτήσαντος Πτολεμαίου, ἡ Ἀγαθόκλεια Ἀρσινόην διαφθείρει δόλῳ· καὶ ταύτης σὺν τοῖς βασιλείοις διαφθαρείσης, πολλῆς τε ταραχῆς ἐντεῦθεν Αἰγυπτίοις ἀναφθείσης, ὅ τε τῆς Συρίας βασιλεὺς Σέλευκος, καὶ τῆς Μακεδονίας Φίλιππος, ἐλπίδι τοῦ κρατήσειν τῆς χώρας σὺν προθυμίᾳ στρατεύουσιν· οὓς δὴ Ῥωμαῖοι φθάσαντες τῆς ἐγχειρήσεως, τὴν τῶν Αἰγυπτίων ἐμφύλιον ἀπέσβεσαν ἐπανάστασιν, Πτολεμαῖον τὸν Ἐπιφανῆ αὐτοκράτορα τοῦ ἔθνους ἀποδείξαντες, Προυσίου τότε τῶν Βιθυνῶν βασιλεύσαντος.

55.

Ibid. p. 10: Ὅτι Ἀντιόχου, οὗ ἐπώνυμός ἐστι πόλις παρὰ Ἀσσυρίοις, υἱὸς Σέλευκος καὶ Ἀντίοχος ὁ ἐπικληθεὶς Θεός· ἀλλ' ὁ μὲν Σέλευκος, ἐπιβουλεύειν ὑποπτευθεὶς τῷ πατρὶ, κατακτείνεται.

56.

Ibid. p. 10: Ὅτι Δημήτριος υἱὸς ἦν Φιλίππου τοῦ Μακεδόνων βασιλέως, ὃν οἱ Ῥωμαῖοι ὅμηρον ἔσχον· συμμαχήσαντος δὲ Φιλίππου τοῖς Ῥωμαίοις, τοῦτον ἀμειβόμενοι τῆς ἐννοίας (εὐν.?), ἀφιᾶσι τὸν παῖδα τῆς ὁμηρείας. Ἐπανελθόντα δὲ τὸν Δημήτριον ἐκποδὼν ὁ Φίλιππος ἐποιήσατο, πρῶτος τῶν ἀπὸ τοῦδε τοῦ γένους μιαιφονήσας ἐς τοὺς οἰκείους.

57.

Exc. De virt. p. 790: Ὅτι Αἰμίλιος ὁ ὕπατος, ὁ τὸν Περσέα τὸν τῶν Μακεδόνων βασιλέα χειρωσάμενος, ἀνὴρ ἦν σώφρων καὶ φέρειν εὐπραγίας εἰδὼς, καὶ ἱκανὸς ὤν. Ἅμα [γὰρ] βασιλικῇ θεραπείᾳ τὸν ἄνδρα ὑπεδέξατο, πεσεῖν τε βουληθέντα πρὸς τοῖς γόνασιν αὐτοῦ ἀναστήσας καὶ ἐπειπὼν, « Ἄνθρωπε, τί μου καταβάλλεις τὸ κατόρθωμα; » ἐπί τινος βασιλικοῦ θρόνου πάρεδρον ἑαυτῷ κατεστήσατο. Μακεδόνας δὲ καὶ Ἰλλυριοὺς, τῆς πρόσθεν δουλείας ἀπηλλαγμένους, ἐλευθέρους εἶναι καὶ αὐτονόμους προστάττει τὸ συνέδριον, δασμόν τε φέρειν βραχὺν, καὶ πολλῷ [τινι] τοῦ πάλαι κομιζομένου τοῖς ἑκατέρων βασιλεῦσι καταδεέστερον· ὡς ἂν ὁμολογοῖτο πρὸς ἁπάντων Ῥωμαίους τῶν ὑπαρξάντων εἰς αὐτοὺς ἀδικημάτων [ἤπερ ἐφέσει τῆς Μακεδονικῆς ἡγεμονίας ἐξενηνοχέναι τὸν πόλεμον. Ὁ γὰρ Αἰμίλιος ἐς τὴν ἁπάντων] τῶν παρόντων ἀκοὴν (ἦσαν δὲ πολλοὶ ἐκ πολλῶν ἐθνῶν συνειλεγμένοι) τὸ τῆς βουλῆς ἐξενεγκὼν δόγμα ἐλευθέρους εἶναι τοὺς ἄνδρας ἀπεφήνατο· τούς τε παρ' αὐτὸν ἀφικομένους τῶν Εὐρωπαίων [πρέσβεις] εἱστία πολυτελῶς, τῇ λαμπρότητι τοῦ συμποσίου φιλοτιμούμενος. Ἔλεγε γὰρ δὴ τῶν αὐτῶν ἀνδρῶν εἶναι, τῷ τε πολέμῳ κρατεῖν, καὶ ταῖς παρασκευαῖς τῶν συμποσίων ἐπιμελεῖς τε καὶ φιλοτίμους φαίνεσθαι.

58.

Exc. De ins. p. 10 sq.: Ὅτι Ἀντίοχος (sc. ὁ Ἐπιφανὴς), ὁ τῆς Συρίας βασιλεὺς, τοῦ Σελεύκου (sc. τοῦ Φιλοπάτορος) τοῦ ἀδελφοῦ παῖδα ὑποτοπήσας διέφθειρεν· ἑτέροις τὸν τούτου φόνον ἐπανεγκὼν, οὓς δὴ καὶ διὰ φόβον διεχρήσατο· αὖθίς τε πρὸς Πτολεμαῖον (sc. τὸν Φιλομήτορα) στρατεύει, ἀναπαλαίειν ταῖς συνθήκαις ἐπιχειροῦντα. Καὶ πολεμήσας αὐτῷ κατὰ τὸ Πηλούσιον, κρατήσας τε παντελῶς τοῖς ὅπλοις, φυγεῖν ἐπὶ τὴν Ἀλεξάνδρειαν ἠνάγκασεν.

Καὶ ὁ μὲν Πτολεμαῖος οὐ προσδεχθεὶς ὑπὸ τῶν Αἰγυπτίων, προσφεύγει τῷ γαμβρῷ Ἀντιόχῳ· ὁ δὲ τοῦτον πάλιν εἰς τὴν βασιλείαν ἀποκαθίστησιν· ἐκεῖθέν τε κατὰ Ἰουδαίων ὁρμήσας, αἱρεῖ μὲν αὐτῶν τὸ ἄστυ, καὶ τοὺς θησαυροὺς ἅπαντας καὶ τὰ ἱερὰ σκεύη, καὶ τοὺς ναοὺς συλήσας συνέχεε τὰ τοῦ ἔθνους νόμιμα, δειναῖς τε τιμωρίαις τοὺς ἄνδρας ὑποβαλὼν, ἑλληνίζειν ἠνάγκαζε· τόν τε πάτριον αὐτῶν ἀφελόμενος κόσμον, Διὸς

Fr. 54. Ἀγαθόκλειαν] Uncis errorem excerptoris coercui. Debebat: καὶ Ἀγαθοκλείᾳ μιᾷ τινι κτλ. — σὺν τοῖς βασιλείοις] Cramer.; σὺν τῆς βασιλείοις cod. Num igitur incendio regiæ, vel partis regiæ, Agathoclea Arsinoen occidit? Hoc si est, intelligitur quo spectent verba Polybii Fragm. Exc. Περὶ ἐπιβουλῶν in Fragm. Histor. tom. II, p. XXVII: Ἐπὶ δὲ τούτοις δύο κάλπιδας ἀργυρᾶς εἰσήνεγκαν, ὡς τῆς μὲν μιᾶς ἐχούσης τὰ τοῦ βασιλέως ὀστᾶ, τῆς δ' ἑτέρας τὰ τῆς Ἀρσινόης. Εἶχε δὲ ἡ μὲν μία κατ' ἀλήθειαν τὰ τοῦ βασιλέως, ἡ δ' ἑτέρα πλήρης ἦν ἀρωμάτων. Sunt tamen quæ obstare huic sententiæ videantur; nostrumque locum ita licet intelligere ut sermo sit de direptis regiæ thesauris.

Fr. 55. Antiochum Soterem duos filios habuisse, Antiochum et Seleucum, etiam Joan. Malalas tradit p. 205: ἀφ' ἧς (Στρατονίκης) εἶχεν υἱοὺς δύο, Σέλευκον, ὅστις μικρὸς ἐτελεύτησε, καὶ Ἀντίοχον τὸν ἐπικληθέντα θεοειδῆ. Nescio an alibi Seleuci hujus mentio fiat. Mortuus igitur est ante an. 261, quo Ant. Soter diem obiit.

Fr. 57. Eadem Suidas v. Αἰμίλιος. Codex noster habet Αἰμύλιος. — ἅμα γὰρ] γὰρ addidi e Suida. — τινι] add. e Suida. — ἁπάντων Ῥωμαίους] ἀπ. ὅτι Ῥ. Suidas. — ἤπερ.. ἁπάντων] suppl. e Suida. — ἐκ πολλῶν] καὶ ἐκ π. cod. A. ap. Suidam. — παρ' αὐτὸν] πρὸς αὐτὸν Suid. — Cf. Eutrop. Mox e Suid. add. πρέσβεις. IV, 4: *Ipse rex, quum desereretur ab amicis, venit in Paulli potestatem. Sed honorem ei Æmilius non quasi victo habuit. Nam et volentem ad pedes sibi cadere, non permisit, sed juxta se in sella collocavit. Macedonibus et Illyriis hæ leges a Romanis datæ, ut liberi essent, et dimidium eorum tributorum præstarent, quæ regibus præstitissent: ut appareret, populum Romanum pro æquitate magis quam avaritia dimicare. Atque in conventu finitimorum populorum Paullus hæc pronuntiavit, et legationes multarum gentium, quæ ad eum venerant, magnificentissimo convivio pavit, dicens: ejusdem hominis esse debere et bello vincere et convivii apparatu elegantem esse.*

Fr. 58. Σελεύκου παῖδα] Notus est Demetrius Soter, Seleuci Philopatoris f., qui postea regno potitus est, quemque Excerptor fr. 59 perperam Antiochi Epiphanis filium dicit. Alter vero Seleuci Philop. filius, quem Antiochus occidit, aliunde, quantum scio, non notus est. — κατὰ τὸ Πηλούσιον] V. Joseph. A. J. XII, 5, 2. — προσφεύγει.. ἀποκαθίστησιν] Minus accurate hæc narrantur.

Ὀλυμπίου ἀνέστησεν ἄγαλμα· ἐντεῦθέν τε ὡς ἐπὶ τὴν Σαμάρειαν ἀνῆλθε, καὶ Διὸς ξενίου τέμενος ᾠκοδόμησεν. Καὶ Ματθίας Ἀσμωνίου παῖς τὴν ἱερατείαν παρείληφεν ἐν Ἱερουσαλὴμ, καὶ τοὺς Ἀντιόχου στρατηγοὺς διεχρήσατο. Ἀλλ' ὁ μὲν ἀπὸ Σαμαρείας οἴκων*, αὐτόν τε τὸν Ματθίαν ἀναιρεῖ, καὶ τοὺς λεγομένους Μακκαβαίους κολάζει, τό τε ἱερὸν χοιρείοις αἵμασι βεβηλοῖ, καὶ στρατηγοὺς ἰδίους ἄρχειν τοῦ ἔθνους καθίστησιν. Αὐτός τε ἐπὶ τὴν Συρίαν ἀνελθὼν μεταλλάττει τὸν βίον, Ἀντιόχου τοῦ Εὐπάτορος τὴν ἀρχὴν διαδεξαμένου.

59.

Ibid. p. 11 : Ἐπειδὴ δὲ Δημήτριος Ἀντιόχου τοῦ Ἐπιφανοῦς υἱὸς παρὰ Ῥωμαίοις ὁμηρεύων, τὸν τοῦ πατρὸς ἐπύθετο θάνατον, καὶ τὴν βασιλείαν πρὸς τοῦ Εὐπάτορος ἁρπαγεῖσαν, ἱκετεύσας τὴν βουλὴν, καὶ πολλῆς ἐπικουρίας τυχὼν, ἐπὶ τὴν Συρίαν ἐπανέρχεται. Καὶ κατακτείνει μὲν τὸν Εὐπάτορα δύω ἔτεσιν ἐπιτρυφήσαντα, ἀναλαμβάνει [δὲ] τὴν βασιλείαν· καὶ σύμμαχος τοῦ Ῥωμαίων γένους κληθεὶς, βεβαίας ἀπήλαυσε τῆς ἡγεμονίας. Ἐνιαυτοὺς δὲ β' πρὸς τοῖς δέκα βιώσας, ὑπ' Ἀλεξάνδρου δολοφονεῖται, τοῦ καὶ τὴν ἀρχὴν διαδεξαμένου.

60.

Ibid. p. 11 : Ὅτι κατὰ τὴν Ἰβηρίαν Βορίανθος (deb. Βυρίατθος) ἦν ἀνὴρ ἀφανὴς τὸ γένος, εὐτελὴς τε τὴν ἐπιτήδευσιν, οὐδὲν ὅτι μὴ ποιμὴν τὸ κατ' ἀρχάς· οὗτος μετὰ ταῦτα λῃστρικοῦ τινος ἡγήσατο τάγματος· τελευταῖον τοσαύτην περιεβάλετο δύναμιν, καὶ τοσαῦτα κοινωνῆσαί οἱ τῆς ἐπιχειρήσεως ἀνέπεισε γένη, ὡς ἀξιόμαχος νομισθῆναι Ῥωμαίοις, ἱκανός τε πρὸς τὴν ἀρχαίαν καὶ πάτριον τοὺς Ἴβηρας ἐπαναγαγεῖν πολιτείαν. Πρῶτος γοῦν Κόϊντος Κεκίλιος Μέτελλος ἐπὶ τόνδε τὸν πόλεμον στρατηγὸς ἐκπέμπεται, [ὃς] ἄριστα καὶ τῆς Ῥωμαίων δυνάμεως ἀξίως τοῖς ἀποστᾶσι Κελτιβήρων προσεπολέμησε. Μηκυνομένου δὲ παρ' ἐλπίδα τοῦ πολέμου, Κόϊντος Πομπήϊος αὖθις στρατηγὸς ἐξέπλει, μεθ' ὃν Κόϊντος Καιπίων ἐπὶ τὸν αὐτὸν ἐξεπέμφθη πόλεμον. Ὧν μάλιστα πάντων ἕνεκα δείσαντες οἱ βάρβαροι, κτείνουσι τὸν Βορίανθον, τέσσαρα καὶ δέκα Ῥωμαίοις ἔτη ἐναντίως πολεμήσαντα· ταύτῃ προσάγεσθαι τὸν ἡγούμενον τῆς Ῥωμαϊκῆς στρατιᾶς εἰς εὔνοιαν αὐτῶν καὶ φειδὼ λογισάμενοι. Καὶ δὴ ἀφικόμενοι τῶν αὐθεντῶν τοῦ Βοριάνθου τινὲς ἆθλα τῶν περὶ τὸν ἄνδρα πεπραγμένων ἠξίουν παρὰ τοῦ ὑπάτου κομίζεσθαι. Οἷς ὁ Καιπίων ἀποκρίνεται, μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον ἐπαινεῖσθαι τὰς κατὰ τῶν στρατηγῶν τοῖς ἀρχομένοις ἐπιχειρουμένας ἐπιβουλάς.

61.

Ibid. p. 12 : Ὅτι ἐπὶ ὑπάτων Γαΐου Κεκιλίου Μετέλλου καὶ Γναΐου Κάρβωνος, ἐπὶ τῆς ρξζ' Ὀλυμπιάδος ὁ δουλικὸς πόλεμος ἐγένετο ἐν Σικελίᾳ. Οἱ γὰρ ταύτην νεμόμενοι τὴν χώραν, πολλῇ τῶν ἐπιτηδείων ἐντρυφῶντες δαψιλείᾳ, οὐ σταθμητὸν ἐκτήσαντο δούλων πλῆθος, πρός τε τὰς τῶν ἀγρῶν ἐξασκοῦντες αὐτὸ τριβὰς, καὶ τῇ πανοπλίᾳ γυμνάζοντες, οὐ μόνον τοὺς περιοίκους ἐληΐζοντο, ἀλλὰ καὶ τοῖς διοδευομένοις ξένοις ἐπαφιέντες τούτους, τῶν ἐπιφερομένων αὐτοὺς ἀφῃροῦντο φορτίων. Καὶ τοῖς μὲν δραπέταις οὐδὲν τῆς λείας παρεῖχον, αὐτοὶ δὲ πολλῶν γεγενημένοι κύριοι χρημάτων, ἐκράτουν μα-

---

— Ἀσμωνίου παῖς] Perperam. Josephus XII, 6, 1 : Ματταθίας, τοῦ Ἰωάννου, τοῦ Συμεῶνος τοῦ Ἀσαμωναίου. — τοὺς Ἀντ. στρατηγοὺς] τοῖς Ἀ. στρατηγοῖς codex. Joseph. XII, 7, 2 : τὸν στρατηγὸν τοῦ βασιλέως Ἀπελλῆν διεχρήσατο μετ' ὀλίγων στρατιωτῶν. — οἴκων] ἐλθὼν vel ὁρμῶν? Ceterum quæ sequuntur ab historia abhorrent. V. Josephum.

Fr. 59. Initio hujus loci dicendum erat : Ἐπειδὴ Δημήτριος Σελεύκου τοῦ Φιλοπάτορος υἱὸς... τὸν τοῦ Ἀντιόχου τοῦ Ἐπιφανοῦς ἐπύθετο θάνατον. — πολλῆς ἐπικουρίας τυχὼν] in Syria sc., non vero a Romanis; nam clam Roma aufugit, connivente, ut videtur, senatu. V. Polyb. XXXI, 12. 20. 24. — βιώσας] deb. βασιλεύσας.

Fr. 60. Eutropius IV, 7 : *Eodem tempore Metellus in Celtiberia apud Hispanos res egregias gessit. Successit ei Q. Pompejus, nec multo post Q. quoque Cæpio ad idem bellum missus est, quod quidam Viriatus contra Romanos in Lusitania gerebat. Quo metu Viriatus a suis interfectus est, quum quattuordecim annis Hispanias adversum Romanos movisset. Pastor primo fuit, mox latronum dux : postremo tantos ad bellum populos concitavit, ut assertor contra Romanos Hispaniæ putaretur. Quum interfectores ejus præmium a Cæpione consule peterent, responsum est, nunquam Romanis placuisse, imperatorem a suis militibus interfici.* In Dionis Exc. Vatican. p. 547 ed. Mai. (Dion. tom. II, p. 66 ed. E. Gros) posterior hujus fragmenti pars ita habet : Ὅτι Καιπίωνος (Σκηπ. cod.) μαχομένου τοῖς Ἴβηρσιν, οἱ βάρβαροι τοῦτον δείσαντες ἀποκτείνουσι τὸν αὐτῶν βασιλέα Βορίανθον· ὧν ἀφικόμενοί τινες πρὸς Καιπίωνα (Σκηπ. cod.) ἆθλα παρ' αὐτοῦ τῶν πεπραγμένων λαβεῖν ἠξίουν. Ὁ δὲ ἀποκρίνεται μηδαμῶς εἶναι Ῥωμαίοις ἔννομον ἐν ἐπαίνῳ ποιεῖσθαι τὰς κατὰ τῶν στρατηγῶν τοῖς ἀρχομένοις ἐπιβουλάς. Denique Joannis nostri Exc. exscripsit Suidas : Βορίανθος. Ὅτι βάρβαροί τινες κτείνουσι τυραννήσαντα, ταύτῃ προσάγεσθαι τὸν τῶν Ῥωμαίων στρατηγὸν ἡγούμενοι εἰς εὔνοιαν. Καὶ δὴ ἀφικόμενοι τῶν τοῦ Βοριάνθου αὐθεντῶν τινες.... ἠξίουν παρὰ Σκιπίωνος κομίζεσθαι. Ὁ δὲ Σκιπίων... ἔννομον ἐν ἐπαίνῳ ποιεῖσθαι κτλ. Pars horum repetitur s. v. ἐπιβουλή. — Βορίανθος] « Quemadmodum Romanorum literam *V* consonam in nominibus propriis ab aliis quidem librariis græcis per diphthongum ου, ab aliis vero par literam β expressam sæpenumero videmus : sic in codice, e quo fragmentum nostrum Suidas transcripsit, Βιρίατθος vel Βυρίατθος scribi debuerat : ex quo duarum literarum mutatione inauditum nomen Βορίανθος est exortum. » *Schweighæuser.* Opusc. II, p. 152. De varia *Viriathi* nominis scriptura græca latinaque vide quæ idem Schweigh. l. l. congessit. Adde E. Gros ad Dion. Cass. tom. II, p. 50. — In sqq. codex semel Κόϊντος, bis Κύντος; porro Κικίλιος, et Σκηπίων pro Καιπίων, obvia passim nominum confusione. — Ceterum cum Dionis narratione cf. Oros. V, 4. Reliquos scriptores de Cæpione aliter referre constat. V. Gros. l. l. p. 272 sq.

Fr. 61. Κάρβωνος] Κάρκων codex. C. Cæcilius Metellus et Cn. Papirius Carbo consules fuerunt Ol. [illegible], sive 113 a. C., quo anno bellum Cimbricum ortum est. Servile autem in Sicilia bellum a consulibus C. Fulvio Calpurnio Pisone et P. Rupilio gestum est annis 134-132; Ol. 161,3-162, 1. Igitur vehementer Joannes erravit. — δοῦλων πλῆθος] De re

νικῶς ἁπάσης τῆς Σικελίας. Οἱ γοῦν δραπέται τῇ σπάνει τῶν ἀναγκαίων βεβιασμένοι, τῇ τε τῶν ὅπλων θαρροῦντες ἀσκήσει, καὶ τῇ καθαρᾷ συνελαυνόμενοι δίκῃ, ἐπὶ τοὺς αὐθέντας τῶν δεινῶν μεταβάλλουσι τὰς χεῖρας, σύνθημα νυκτερινὸν ἐπαγγείλαντες παντὶ τῷ δουλικῷ πλήθει, Εὔνουν τέ τινα λεγόμενον δραπέτην, φύσει τε μιαρὸν καὶ πανοῦργον καὶ τῆς μυσαρᾶς μιαιφονίας αὐθέντην, [βασιλέα] ἀποδεικνύντες.

Ἐπειδὴ δὲ οὗτος τῆς νυκτερικῆς ἐκείνης μανίας βασιλεὺς ὠνομάσθη, συνεσκεύαζε τὰς ἀρχὰς δορυφόρους τε πλείστους, καὶ τῶν δραμάτων ἄρχοντας ἀπεδείκνυ. Καὶ πάλαι μὲν τοῖς ἑαυτοῦ δεσπόταις ταῦτα τερατευόμενος ἐπήγγελτο· ἐπειδὴ δὲ τῆς ὀλεθρίας ἐπελάβετο δυναστείας, μυριάδας (τε) πλείους ἢ τεσσαράκοντα συναθροίσας, ἐν αὐτοῖς τοῖς οἴκοις ἀναιρεῖ τοὺς δεσπότας· τοὺς μὲν αἰκίαις ὑποβάλλων, τοὺς δὲ καὶ κατὰ τῶν πλευρωμάτων ἀκοντίζων, ἑτέρους δὲ τῶν κεφαλῶν ζημιῶν διετίθει· γυναικῶν δὲ ὅσαι μὲν ἐν παρθενίᾳ ὑπῆρχον, συνηρπάζοντο δουλεύειν τοῖς δραπέταις ἠναγκασμέναι, ὅσαι δὲ τὸ πρὶν ἤδη τοῖς ἀνδράσι συνῴκουν, πρὸς βίαν ᾐσχύνοντο. Τοῦ δὲ πάθους καὶ ταῖς ἄλλαις πόλεσιν ἐπιδημοῦντος, μέλλοντός τε καὶ ἐπ' αὐτῇ ἐπιφοιτᾶν τῇ Ῥώμῃ, Πόπλιος Σκιπίων κατ' αὐτῶν στρατεύσας, τούτων τοὺς μὲν ἀναιρεῖ, τοὺς δὲ ὑπὸ ζυγὸν τίθησιν.

62.

Ibid. p. 12 : Ὅτι μετὰ τὴν τῶν ἀποστατῶν δούλων καθαίρεσιν, Σκιπίων Ἀφρικανὸς κατὰ τὸ βουλευτήριον Τιβέριον Γράκχον, ἄνδρα τῶν ἐν τέλει στρατηγῶν, νεωτέρων ἁπτόμενον καὶ τὸν δῆμον ἀνασείοντα, ξύλῳ παίσας κατέκτανεν.

63.

Ibid. p. 13 : Ὅτι ἐν τούτῳ τῷ χρόνῳ, ἐπαναστάντος τοῦ δήμου, Σκιπίων Ἀφρικανὸς φυγὰς τῆς πόλεως γίνεται, ζημιοῦται δὲ καὶ τὴν ἑαυτοῦ γυναῖκα σὺν παρθένῳ παιδί, καὶ τῆς οἰκίας ἅμα τοῖς ὑπάρχουσιν ἀποστερεῖται. Τὰ μὲν γὰρ πυρὶ κατεφλέχθη, τὰ δὲ ὑπὸ τοῦ δήμου διηρπάγη τε καὶ ἀνῃρέθη· ὡς δόγματι τῆς βουλῆς μετὰ ταῦτα ἐκ τοῦ δημοσίου μοῖραν οὐ μικρὰν τῷ ἀνδρὶ ἐπιδοθῆναι.

64.

Ibid. p. 13 : Ὅτι Ποπλίου Σκιπίωνος, ἐπίκλησιν Νασικᾶ, καὶ Καλπουρνίου Βεστίου ὑπατευόντων, αὖθις ἐς τὴν Λιβύην ἐπεραιοῦντο Ῥωμαῖοι, ἐναντία Ἰουγούρθα τῷ Νουμιδῶν δυνάστῃ πολεμήσοντες. Αἰτία δὲ τῆς πρὸς τὸν ἄνδρα διαφορᾶς τοιάδε τις ἦν. Μασσανάσης ἐγεγόνει κατὰ τοὺς ἄνω χρόνους βασιλεὺς τῆς Νουμιδίας, Ῥωμαίοις γεγονὼς πιστὸς σύμμαχος. Τούτῳ παῖδες γίνονται Μασθανάβαλλός τε καὶ Γολούσσας καὶ τρίτος Μεψίχας. Τελευτησάντων δὲ τῶν ἑτέρων νέων ἔτι, Μεψίχας χρόνοις ὕστερον τὴν βασιλείαν ἐκδέχεται· γενομένοις δὲ ἀφ' ἑαυτοῦ δύο παισὶ Ἀδερβάλλῳ τε καὶ Ἰεμψάλῳ, τὸ τῆς Νουμιδίας παραπέμπει τούτοις κράτος, συνάρχοντα τοῖς ἑαυτοῦ παισὶν ἀποφήνας τουτονὶ τὸν Ἰουγούρθαν, Μασθαναβάλλου μὲν τοῦ ἀδελφοῦ παῖδα τυγχάνοντα, τεχθέντα δὲ ἐκ παλλακίδος. Ὁ δὲ Ἰουγούρθας, τοῦ θείου μεταστάντος, οὐκ ἀγαπήσας τὴν οἰκείαν τῆς βασιλείας μοῖραν, ἐπιβουλεύει τοῖς περὶ τὸν Ἀδέρβαλλον, ἅμα τῷ παππῴῳ καὶ πατρῴῳ κλήρῳ καὶ τὴν πρὸς Ῥωμαίους εὔνοιάν τε καὶ φιλίαν διαδεξαμένοις, καὶ διαφθείρας τοὺς ἄνδρας, αὐτὸς ἁπάσης παρανόμως ἐκράτει τῆς Νουμιδίας. Ἐδόκει δὴ οὖν τῷ δήμῳ μὴ περιορᾶν ἀνδρῶν ἀνέκαθεν φίλων τε καὶ συμμάχων συμφοράν, ἀλλ' ἀμύνειν πάσῃ δυνάμει· καὶ δὴ στρατεύειν ἐπ' αὐτὸν ἅτερος τῶν ὑπάτων Βεστίας προστάττεται· ὃς τοῖς δώροις τοῦ Ἰουγούρθου διαφθαρείς, εἰς διαλλαγὰς αἰσχράς τε καὶ τῆς Ῥωμαίων δυνάμεως ἀναξίας ἀφίκετο. Ταύτας οὖν διαλῦσαν καὶ ἀκύρους εἶναι ψηφισάμενον τὸ συνέδριον, ἀπαλλάττει τῆς ἀρχῆς τὸν Βεστίαν, ἡγεμόνα δὲ τῷ κατόπιν ἐνιαυτῷ τοῦδε τοῦ πολέμου Σπόριον Ποστούμιον Ἀλβῖνον ἀποδείκνυσιν. Ἐπειδὴ δὲ καὶ οὗτος ἀμαθῶς τε καὶ λίαν ἀσθενῶς διὰ τοῦ ἀδελφοῦ τοῖς ἐναντίοις προσεπολέμησεν, ἥττων τῶν βασιλικῶν χρημάτων γενόμενος, τρίτον Κόϊντον Κεκίλιον Μέτελλον τὸν ὕπατον ἐπὶ τὸν αὐτὸν τοῦτον ἐκπέμπει πόλεμον. Ὃς ἀφικόμενος τὴν μὲν στρατιὰν διεφθαρμένην ὑπὸ τῆς κακίας τῶν ἔμπροσθεν ἡγησαμένων, φρονήματι γενναίῳ καὶ μετριᾳ τῶν ἁμαρτανομένων ἐπανορθώσει πρὸς τὸν Ῥωμαϊκὸν ἐπανήγαγε κόσμον, οὐδὲν ἀπηνὲς οὐδὲ πικρὸν ἐς οὐδένα τῶν ὑπηκόων εἰρ-

v. Diodorus Siculus, tom. II, p. 532 sqq. ed. Didot. — πρός τε τὰς] πρός γε τὰς codex. Verba πρός γε in sqq. male codex repetit; habet enim : καὶ πρός γε τῇ πανοπλίᾳ γυμνάζ. — αὐτὸ τρ.] vel αὐτοὺς τρ.; cod. αὐτοὶ τρ. — Σικελίας] Λιβύης cod., excerptoris negligentia. — βασιλέα] supplevi; κύριον dicit Diodorus, sec. quem postea demum *regis* titulum Eunus assumpsit. — συνεσκεύαζε] Cramer.; συνεσκίασε cod. — πάλαι.. ἐπήγγελτο] V. Diodor. XXXIV, 2, 7. — αἰκίαις] αἰκίας cod. — πλευρωμάτων] ῥευμάτων codex. — τῶν κεφαλῶν ζημιῶν] Possis : τὰς κεφαλὰς vel ταῖς κεφαλαῖς ζημιῶν, nisi excidit verbum : ut, τ. κεφαλῶν (ἀποτομίᾳ) ζημιῶν (κάκιστα) διετίθει. — ὅσαι δὲ] Cramer.; ὥστε δὲ cod. — Πόπλιος Σκιπίων] Nihil in his negotii fuit Scipioni.

Fr. 62. Σκιπίων Ἀφρικανός] inepte. *P. Cornelius Scipio Nasica*, pontifex, in Gracchanorum turbam irruit (v. Diodor. XXXIV, 7, 2. Appian. Bell. Civ. I, 15). Quo tempore Scipio Africanus Numantiam oppugnabat.

Fr. 63. Haec si de *Scipione Africano* Joannes narravit, hariolatus est. Probabiliter hoc quoque loco intelligendus est *Scipio Nasica* pontifex, qui quum ob necem Tiberii in odium multitudinis incurrisset, in Asiam legatus abiit, ubi haud ita multo post mortuus est, teste Plutarcho in Tib. Gracch. c. 21. Cic. Pro Flacco c. 31.

Fr. 64. Καλπουρνίου Βεστίου] Καλβεστίου codex. Consul an. 111. a. C. — Μασθανάβαλλός] Μαστανάβας Appian. Pun. 106, Zonar. IX, 27. — Μεψίχας] deb. Μικίψας. — Ἰεμψάλῳ] ἐμψάδῳ cod. — παραπ. τούτοις] π. τούτῳ cod. — διαδεξαμένοις] διαδεξάμενος cod. — ἀνέκαθεν] καθεν cod. — Βεστίας] ...τίας cod. Inde ab his eadem Eutropius IV, 11 : *Missus adversus eum consul Calpurnius Bestia, corruptus regis pecunia, pacem cum eo flagitiosissimam fecit, quæ*

γασμένος· τὸν δὲ Ἰουγούρθαν συχναῖς ἐταπείνωσε μάχαις, πόλεις τῶν Νουμιδῶν πολλὰς κατὰ κράτος ἐξελὼν, καὶ τῶν ἐλεφάντων τοὺς μὲν διαφθείρας, τοὺς δὲ ζῶντας χειρωσάμενος. Οὐ πόρρω γοῦν ἀπέχων τοῦ τέλους τῶν πραττομένων, παρελύθη τῆς ἀρχῆς, Γαΐου Μαρίου τὴν ἀρχὴν διαδεξαμένου. Παραλαβὼν δὲ τὰς δυνάμεις ὁ Μάριος κρατεῖ μὲν ἀντιταξαμένων τῶν περὶ τὸν Ἰουγούρθαν τὸν βασιλέα τῶν Μαυρουσίων, πόλεις δὲ καὶ οὗτός τινας τῶν Νουμιδῶν καθελὼν, ὡς πέρας εὐτυχὲς δι' ὀλίγου τοῦ παντὸς ἀγῶνος ἀφίκετο, ἔχων ὑπὸ χεῖρα τὸν βασιλέα τῶν ἐναντίων, προδοθέντα μὲν ὑπὸ Βόκχου τοῦ Μαυρουσίου συμμάχου τοῖς ἐναντίοις, ἀχθέντα δὲ αἰχμάλωτον ὑπὸ Κορνηλίου Σύλλου, ἀνδρὸς μεγάλου τε καὶ γενναίου τὰ πολεμικά. Ὁ γάρ τοι Βόκχος τιθασσευθεὶς ὑπὸ τοῦ Σύλλου, καὶ φιλοφροσύνῃ λόγου πρὸς εὔνοιαν ὑπαχθεὶς, τὸν μὲν Ἰουγούρθαν καταφυγόντα μετὰ τὴν ἧτταν ὡς αὐτὸν, καίτοι γαμβρὸν ὄντα, σὺν ὀλίγοις στρατιώταις ἀφικόμενος τῷ Σύλλᾳ δίδωσιν ἄγειν, αὐτὸς δὲ τὰ Ῥωμαίων εἵλετο. Οὕτως ἄρα λόγος μέτριος καὶ φιλοφροσύνη μείζονα πολλάκις τῶν ὅπλων καὶ τῶν πολυανθρώπων κατώρθωσε στρατοπέδων. Ὁ γοῦν Σύλλας ἐπὶ τούτων μεγαλαυχούμενος, καὶ πᾶν τὸ πραχθὲν περὶ τὸν Ἰουγούρθαν οἰκειούμενος, ἐς τοῦτο προῆλθε φιλοτιμίας, ὡς ἐντυπῶσαι δακτυλίῳ τὴν εἰκόνα τῆς πράξεως· ἐνεγέγλυπτο γὰρ ὁ μὲν Βόκχος παραδιδοὺς, ὁ δὲ Σύλλας τὸν Ἰουγούρθαν παραλαμβάνων· ἐφ' ᾧ δὴ χαλεπαίνειν αὐτῷ καὶ φθονεῖν ἀδήλως ὁ Μάριος ἤρξατο.

65.

Ibid. p. 15 : Ὅτι Τρύφων τὸν βασιλέα Συρίας Ἀντίοχον, οὗ μικρὸν πρόσθεν σύμμαχος ἐγεγόνει, διεχρήσατο δόλῳ· αὐτός τε τὴν ἀρχὴν διαδεξάμενος, αὐτίκα ὑπὸ τῶν Σύρων διαφθείρεται. Κρατεῖ δὲ τῆς ἡγεμονίας Ἀντίοχος ὁ Σιδήτης, Δημητρίου μὲν παῖς τοῦ προτέρου (sc. τοῦ Σωτῆρος) γεγονὼς, ἀδελφὸς δὲ τοῦ δευτέρου Δημητρίου (sc. τοῦ Νικάτορος).

66.

Ibid. p. 15 : Ὅτι Ἀντίοχος ὁ Σιδήτης ἐπίκλην, ὁ τὴν Ἱερουσαλὴμ πορθήσας, Συρίας βασιλεὺς, Ἀρσάκῃ τῷ Παρθυαίων δυνάστῃ προσπολεμήσας, ἀναιρεῖται, ἐνάτῳ τῆς βασιλείας ἐνιαυτῷ. Σέλευκος δὲ ἐπὶ τούτῳ τὴν ἀρχὴν διαδέχεται. Ἀλλ' ὁ μὲν ὑπὸ Δημητρίου αὖθις ἐπανελθόντος καθαιρεῖται τῆς ἐξουσίας, καταφεύγει τε πρὸς τὸν Παρθυαῖον, καὶ τὴν αὐτοῦ θυγατέρα λαβὼν, μένει κατὰ τὴν χώραν.

2. Σκυθῶν δὲ τότε τὴν μέσην τῶν ποταμῶν ἐπιτρεχόντων, καὶ τὴν Ἀρσάκου βασιλείαν ληιζομένων, αὐτός τε ὁ Παρθυαῖος κατὰ τὸν πόλεμον ἀναιρεῖται, καὶ ὁ μετὰ τοῦτον τὴν ἡγεμονίαν παρειληφὼς, ὑπόφορος γίνεται Σκύθαις.

3. Ἀλέξανδρος δὲ ὁ πρεσβύτερος, ἐκ τῆς Ἀραβίας ἥκων, πολύ τε πλῆθος ἀκοντιστῶν ἐπαγόμενος, Δημητρίῳ κατὰ τὴν Συρίαν ἐπολέμει. Ἐπὶ πολύ τε αὐτοῖς τῆς μάχης ἐκτεινομένης φεύγει Δημήτριος εἰς Τύρον, καὶ συλληφθεὶς ἀναιρεῖται, ἔτη δ' τῆς ἀρχῆς ἀπολαύσας. Συνδιαφθείρεται δὲ τούτῳ κατὰ τὴν Δαμασκὸν καὶ ὁ παῖς Σέλευκος, ὑπὸ τῆς ἑαυτοῦ μητρὸς δολοφονηθεὶς Ἀπάμης.

67.

Exc. De virt. p. 790 : Ὅτι αἰτίαν τῇ πολιτικῇ κινήσει παρεῖχε Γάϊος Μάριος, ἕκτον γεγονὼς ὕπατος. Ἡ μὲν γὰρ βουλὴ τῶν ὑπὸ τοῦ Μιθριδάτου νεωτερισθέντων αἰσθομένη τήν τε Ἀσίαν ἤδη καὶ τὴν Ἑλλάδα κατειληφότος, Κορνήλιον Σύλλαν τὸν ὕπατον

a senatu reprobata est. Postea contra eundem, insequenti anno, Spurius Albinus Postumius profectus est. Is quoque per fratrem ignominiose contra Numidas pugnavit. Tertio missus Q. Cæcilius Metellus consul, exercitum ingenti severitate ac moderatione correctum, quum nihil in quemquam cruentum faceret, ad disciplinam Romanam reduxit; Jugurtham variis prœliis vicit, elephantos ejus vel occidit vel cepit; multas civitates ejus in ditionem accepit. Et quum jam bello finem impositurus esset, successum est ei a C. Mario. Is Jugurtham et Bocchum, Mauritaniæ regem, qui auxilium Jugurthæ ferre cœperat, pariter superavit. Aliquanta et ipse oppida Numidiæ cepit, belloque terminum posuit capto Jugurtha per quæstorem suum Cornelium Syllam, ingentem virum: tradente Boccho Jugurtham, qui pro eo ante pugnaverat. — ὡς πέρας] malim εἰς π.

Fr. 66. τῷ Παρθυαίων] τῶς cod. — Σέλευκος... τὴν ἀρχὴν διαδέχεται] Porphyrius (v. tom. III, p. 713) postquam dixerat Antiochum Sideten prœlio contra Arsacen commisso cecidisse (an. 158), addit : *At ejus filium tenera ætate Seleucum, qui erat in patris comitatu, Arsaces captivum abduxit regioque more custodiendum curavit.* Præterea hujus Seleuci ab Arsace *capti* mentionem facit e Posidonii (fr. 19) Historiis Athenæus IV, p. 153, A, quo loco eum βασιλέα appellat. Fortasse igitur Seleucus captivus per aliquod tempus, usquedum Demetrius in Syriam redux regnum firmasset, *regis* titulum sibi vindicavit. Idque fecerit auctore Arsace, quem, devicto Antiocho, *pœnitere dimissi Demetrii cœpit : ad quem retrahendum quum turmas equitum festinato misisset, Demetrium, hoc ipsum metuentem, jam in regno missi invenerunt, frustraque omnia conati ad regem suum reversi sunt* (Justin. XXXIX, 10). Hæc porro ansam dederint falsæ isti narrationi, quam sequitur Joannes noster. — αὐτοῦ θυγατέρα] αὐτοῦ θ. codex. Magnopere vereor ne Seleucum Noster confuderit cum Demetrio Nicatore, cui captivo Arsaces Rodogunen filiam in matrimonium dederat. — 2. De morte Arsacis VII s. Phraati II. v. Justin. XLII, 1, deque ejus successore Arsace VIII Artabano II, v. ibid. c. 2. — 3. Ἀλέξ. ὁ πρεσβύτερος] sc. Alexander II Zabina, qui dicendus erat ὁ νεώτερος, quandoquidem hoc nomine distinguitur ab Alexandro I Bala. De Demetrii fine v. Justin. XXXIX, 2, Porphyrii fragm. chronol. tom. III, p. 713 ibique laudatos. — Ἀπάμης] Hoc falsum est. Apame uxor fuit *Seleuci Nicatoris* (v. Appian. Syr. 57); *Demetrius* vero *Nicator* duxerat *Cleopatram*, Ptolemæi Philometoris f.; quæ filium suum Seleucum necavit (an. 125). V. Appian. Syr. 68; Livius Epit. 60.

Fr. 67 Eutrop. V, 3 : *Caussam bello civili C. Marius, sexies consul, dedit. Nam quum Sylla consul contra Mithridatem gesturus bellum, qui Asiam et Achaiam occupaverat, mitteretur, isque exercitum in Campania pau-*

ἡγεμόνα τοῦδε τοῦ πολέμου προεχειρίσατο. Ἐπεὶ δὲ οὗτος κατὰ τὴν Καμπανίαν σὺν στρατιᾷ διέτριβε, τὸν κινηθέντα τῶν συμμάχων πόλεμον καθιστάμενος, ἀναιρῶν τε ὅπερ ἦν τῆσδε τῆς ταραχῆς λείψανον, ὁ Μάριος ἐπιθυμήσας τῆς ἐπὶ τὴν Ἀσίαν στρατηλασίας καὶ προσλαβὼν Σουλπίκιον τὸν δήμαρχον, ἄνδρα μοχθηρὸν καὶ μετὰ πάσης τόλμης καὶ ὠμότητος τὴν Ῥώμην ταράσσοντα, βιάζεται πλήθει καὶ ὅπλοις τὴν βουλὴν αὐτὸν ἀντιτάξαι τῷ Μιθριδάτῃ. Καὶ τὸν Σύλλαν ἀπὸ στρατοπέδου πάροντα μικροῦ μὲν ἐδέησεν ἀνελεῖν· ἐπεὶ δὲ συγχωρεῖν αὐτὸς ἔφη τοῖς γινομένοις, παρῆκεν ἀπαθῆ. Καὶ ὃς ἀφικόμενος αὖθις πρὸς τοὺς στρατιώτας, καὶ τὰ πεπραγμένα διεξελθὼν ἐπάγει τῇ πόλει συντεταγμένην τὴν στρατιὰν, καὶ κρατεῖ τῶν περὶ τὸν Μάριον ἀντιταξαμένων, πρῶτός τε Ῥωμαίων σὺν ὅπλοις ἐντὸς παρελθὼν τῆς πόλεως, Σουλπίκιον μὲν τὸν δήμαρχον καταμηνυθέντα πρὸς τοῦ θεράποντος ἀποσφάττει, Μάριον δὲ φυγάδα τῆς πόλεως **.

68.

Ibid. p. 793 : Ὅτι ληξάντων τῶν ἐμφυλίων πολέμων φόνοι καὶ προγραφαὶ τῶν ἐπιφανῶν οἴκων διεδέξαντο τὴν Ῥώμην, ἐς πᾶν ἐπεξιόντος τοῦ Σύλλου τοῖς ἀντιστασιώταις, ὡς τὴν Μαρίου τελευτὴν οὐκ ἀπαλλαγὴν, ἀλλὰ μεταβολὴν τυραννίδος νομισθῆναι Ῥωμαίοις. Τὰ μὲν γὰρ πρῶτα τοὺς ἐχθίστους οἱ τῶν πολιτῶν ἐκποδὼν ποιήσασθαι διεγνωκὼς, διὰ πάσης ὠμότητος ἐπεξῄει τήν τε πόλιν καὶ τὴν ἄλλην Ἰταλίαν. Τελευτῶν δὲ ἔστιν οὓς ἢ χρημάτων ἢ κτημάτων ἕνεκα ἐπ' ὠφελείᾳ τῶν ἑαυτοῦ φίλων διέφθειρε. Λέγεται γοῦν Κόϊντον ἄνδρα ἐπιφανῆ, ἐπιεικῆ τε καὶ σώφρονα, οὐδετέρας μὲν γεγονότα μερίδος, ἀδοκήτως δὲ ἐν τοῖς προγεγραμμένοις θεασάμενον ἑαυτὸν, « Οἴμοι τάλας, εἰπεῖν, διώκει με τὸ ἐν Ἀλβανοῖς χωρίον. » Καὶ ὀρθῶς γε Σαλούστιος ὁ Ῥωμαῖος συγγραφεὺς ἔφη καλοῖς αὐτὸν ἐγχειρήμασι κάκιστον ἐπενηνοχέναι τὸ τέλος. Εἰ μὲν γὰρ τὴν Μαρίου καταβαλὼν δυναστείαν, ἀνδρὸς ἀρχῆθέν τε χαλεποῦ καὶ ἐπιτείναντος ἐν τῇ ἐξουσίᾳ τὴν φύσιν, παρέδωκε τῇ βουλῇ καὶ τῷ δήμῳ τὴν πολιτείαν, θαυμαστὸς ἂν ἦν· νῦν δὲ μέτριος τὰ πρῶτα καὶ πολιτικὸς φανεὶς, καὶ δόξαν δημωφελοῦς ἡγεμόνος παρασχὼν, ἐπειδὰν τῶν ἐναντίων ἐκράτησεν, αὐτὸς ἀντ' ἐκείνου ἦν. Καὶ τυραννίδα φάσκων ἐλαύνειν ἐκ τῆς πόλεως ἑτέραν εἰσῆγε χαλεπωτέραν. Δικτάτωρα μὲν γὰρ ἀνεῖπεν ἑαυτόν· ἔμπληκτα δὲ καὶ ἀπάνθρωπα ἔς τε τοὺς πολίτας καὶ τοὺς ἄλλους ὑπηκόους ἐπιπολὺ διεπράττετο, οὐ μὴν ἀλλὰ οὕτω γε τῇ τύχῃ κατεπίστευσε πρὸς ἅπασαν αὐτῷ μεταβολὴν δεξιῶς ἑπομένῃ, ὥστε πολλοὺς μὲν ἀνῃρηκότα, καινότητα δὲ τοσαύτην εἰς τὴν πολιτείαν εἰσενεγκάμενον, ἀποθέσθαι τὴν ἀνυπεύθυνον ἀρχὴν, καὶ τὸν δῆμον αὖθις τῶν ὑπατικῶν ἀρχαιρεσιῶν ἀποφῆναι κύριον· καίτοι Λεπίδου παρελθεῖν εἰς τὴν ὑπατείαν διὰ τοῦ Πομπηίου περὶ τὸν ἄνδρα σπουδὴν προσδοκωμένου, ἀνδρὸς θρασυτάτου τε καὶ οἱ τὰ μάλιστα πολεμίου· ἀλλ' ὅμως ἐν ἰδιώτου τάξει καὶ ἰσηγορίᾳ τοῖς πολλοῖς ἐντεῦθεν ἦν. Ἀποδειχθέντος δὲ ὑπάτου Λεπίδου, χαίροντα τῷ γεγονότι Πομπήιον ἰδὼν, « Εὖγε, ἔφη, τῆς σπουδῆς, ὦ νεανία, ὅτι καὶ Κατούλου πρότερον ἀνηγόρευσας Λέπιδον, τοῦ πάντων ἀρίστου τῶν πολιτῶν τὸν ἐμπληκτότατον· ὥρα μέντοι σοι σκοπεῖν ὅπως ἰσχυρὸν γεγονότα καταγωνίσῃ τὸν ἀντίπαλον. » Τοῦτο μὲν οὖν ὁ Σύλλας ὥσπερ ἀπεθέσπισε. Μετ' ὀλίγον γὰρ ἐξυβρίσας ἐς τὴν ἀρχὴν ὁ Λέπιδος, πολέμιος κατέστη τοῖς περὶ τὸν Πομπήιον.

Κινήσεώς τε αὖθις ἐμφυλίου γενομένης Σύλλαν ἐπὶ τὴν ἀνυπεύθυνον ἀρχὴν ἡ Ῥωμαίων βουλὴ προεβάλετο. Τῶν γὰρ ἱππέων ἅμα πάντων συμφραξαμένων οὐκ ἀνεκτὸν ἦν τοῖς ἐν τέλει. Ὁ μὲν οὖν Σύλλας ἐπὶ τὴν εἰρημένην ἐλθὼν ἀρχὴν, σύνθημα τοῖς κατὰ τὴν Ἰταλίαν ἀνδράσι λαθὼν ἅπαντας τοὺς τῆς Ῥώμης ἔδωκεν, ἐγχειρίδιά τε αὐτοὺς ξίφη κομιζομένους εἰσελθεῖν εἰς τὴν πόλιν προσέταξεν, ὁπηνίκα τῆς Ῥέας ἡμέραν πανηγυρίζουσι Ῥωμαῖοι, ὡς ἂν δι' αὐτῶν τοὺς τῆς πόλεως ἱππεῖς διαχρήσηται. Ὁ μὲν οὖν περὶ τὴν Ἰταλίαν ὄχλος ἐναντία τοῖς στρατιώταις φρονῶν κατὰ τὴν ὡρισμένην ἀπήντησεν. Ἀρξάμενός τε τῆς ἐμφυλίου κινήσεως, ἅμα τε καὶ τὸν δῆμον προσλαβόμενος πολλοὺς τῶν ἱππέων διέφθειρε. Τούτων δὲ κατὰ τὴν πόλιν πραττομένων, ὁ Σύλλας βουληθεὶς τὸν ὄχλον τῆς ἐμφυλίου ταραχῆς ἀποστῆσαι, διεσοφίσατο μηνύσεις τινὰς ἐκ τῶν πανταχόθεν ὑπηκόων, βαρβάρων ἐπιδρομὰς ἐπιφαινούσας. Καὶ εὐθέως ἀναλαβὼν ἅπαντα τὰ στρατεύματα, ἐπιστήσας τε αὐτοῖς στρατηγοὺς, τοῦ παντὸς πλήθους τὴν πόλιν ἀπήλλαξεν.

---

lisper teneret, ut belli socialis (de quo diximus), quod intra Italiam gestum fuerat, reliquiæ tollerentur, Marius adfectavit, ut ipse ad bellum Mithridaticum mitteretur. Quare Sylla commotus cum exercitu ad urbem venit. Illic contra Marium et Sulpicium dimicavit. Primus urbem armatus ingressus est; Sulpicium interfecit, Marium fugavit. Cf. Orosius V, 19; Flor. III, 21; Plutarch. Mar. c. 34 sqq., Syll. c. 7 sqq.; Appian. B. C. I, 55 sqq.; Liv. Ep. 77.

Fr. 68. Hæc ex Dione Cassio transcripta esse liquet ex duobus Dionis fragmentis Vatican. p. 550 sq. ed. Mai. (v. Dion. ed. Gros. tom. II, p. 204 sqq.). Plura horum etiam Plutarchus in Sylla c. 30. 33 sqq. simili plane modo exponit. Neque tamen hinc colligas Joannem quoque Plutarchum adhibuisse. Nam constat Dionem et Plutarchum quampluriima ex iisdem hausisse fontibus, adeo ut verbotenus interdum consentiant. — τὰ μὲν γάρ... τὴν ἄλλην Ἰταλίαν] Hæc om. Exc. Vatican. — διέφθειρε] ἐτιμωρεῖτο Dion. Exc. Vat. — μερίδος] στάσεως Exc. Vat. — τὸ ἐν Ἀλβ. χωρίον] Hucusque pertinet primum fragm. Vaticanum. Alterum incipit a verbis Ἀποδειχθέντος δὲ ὑπάτου Λεπίδου, pertinetque usque ad v. τοῖς περὶ τὸν Πομπήιον. — ὑπάτου Λεπίδου] ὑπ. τοῦ Λεπ. Dio Cass. — Κινήσεώς τε αὖθις κτλ.] Unde hæc Joannes arripuerit, quæro.

69.

Exc. De ins. p. 15 : Ὅτι Μιθριδάτης ὁ τοῦ Πόντου βασιλεὺς χαλεπὸς ὢν καὶ τραχὺς, καταστασιασθεὶς ὑπὸ τοῦ παιδὸς Φαρνάκου παρὰ τοῖς οἰκείοις στρατιώταις, πρός τε θάνατον ἀναγκαῖον συνελασθεὶς, φάρμακον δηλητήριον ἐκπιὼν, τελευτᾷ περὶ τὸν Βόσπορον.

70.

Suidas : Πομπήιος. « Ὅτι Πομπήιος ὁ μέγας ἐπικληθεὶς, ὕπατος καὶ στρατηγὸς Ῥωμαίων, τὸν πρὸς Μιθριδάτην καὶ Τιγράνην πόλεμον ἀνεδέξατο. Καὶ τὸν μὲν Μιθριδάτην κατὰ τὴν μικρὰν Ἀρμενίαν νυκτομαχίᾳ κατηγωνίσατο, ὡς τὸ στρατόπεδον αὐτοῦ διαρπάσαι, καὶ τρεῖς μυριάδας ὁπλιτῶν καταβαλεῖν. Ὁ οὖν Μιθριδάτης γυμνωθεὶς παντάπασι τῆς δυνάμεως διαφεύγειν ἀγαπητῶς ἅμα τῇ γαμετῇ καὶ δύο τισὶν ἀκολούθοις ἱκανὸς γέγονεν· εἶτα καταστασιασθεὶς ὑπὸ τοῦ παιδὸς Φαρνάκου παρὰ τοῖς οἰκείοις στρατιώταις, καὶ πρὸς θάνατον ἀναγκαῖον ἐλαθεὶς, φάρμακον δηλητήριον ἐκπιὼν τελευτᾷ περὶ τὸν Βόσπορον. Ὁ δὲ δὴ παῖς αὐτῷ Φαρνάκης γίνεται διάδοχος τῆς ἀρχῆς. Ὁ δὲ Πομπήιος ἐπὶ Τιγράνην ἄγει τὴν στρατιάν. Ὁ δὲ Ἀρμένιος διὰ μάχης ἐλθεῖν τοῖς Ῥωμαίοις οὐ λυσιτελὲς ἡγησάμενος ἐνδιδοὺς ἑαυτὸν ἀφίκετο πρὸς Πομπήιον, καὶ πρὸς τοῖς γόνασιν αὐτοῦ πεσὼν καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀφελὼν ἐν ταῖς ἐκείνου χερσὶ κατέθετο. Οἷς δὴ καμφθεὶς τὸν θυμὸν ὁ Πομπήιος ἀνίστησί τε αὐτὸν καὶ τὸ διάδημα πάλιν ἀποδίδωσιν, αὐτὸς τῇ τοῦ Ἀρμενίου τοῦτο περιθεὶς κεφαλῇ, τά τε ἄλλα διὰ τιμῆς τὸν ἄνδρα ἦγεν· ἀφαιρέσει δὲ ὅμως μέρους τινὸς τῆς ἀρχῆς καὶ χρήμασι πολλοῖς ἐζημίωσε τὸν Ἀρμένιον. Συρίαν τε γὰρ καὶ Φοινίκην ἀπετέμετο, καὶ πεντακισχίλια τάλαντα ἀργυρίου τῷ Ῥωμαίων δικαίῳ (δήμῳ καταβαλεῖν Wolf.), ἅτε χειρῶν ἀδίκων ἀρξάμενον, προσηνάγκασε. Μετὰ ταῦτα Ἀλβανοὺς ὑπέταξε, καὶ τὸν βασιλέα τῶν Ἰβήρων Ἀρσάκην (l. Ἀρτάκην) φεύγειν ἠνάγκασε, καὶ τὴν μικρὰν Ἀρμενίαν Δηιοτάρῳ τῷ δυνάστῃ τῆς Γαλατίας ἐδωρήσατο, Ἄτταλόν τε καὶ Πυλαιμένεα ἐπὶ τὴν οἰκείαν ἀρχὴν τῆς Παφλαγονίας κατήγαγεν, ἐξεληλαμένους πρὸς τοῦ Μιθριδάτου. Κόλχοις τε ἐφίστησιν ἡγεμόνα. Ἐφ' οἷς Σύρους τε καὶ Ἄραβας κατεστρέψατο, καὶ Ἰουδαίους τρίτῳ μηνὶ παρεστήσατο. Ἐκ δὲ τῶν τοῦ ἱεροῦ ἀναθημάτων οὐδὲν διήρπασεν, ἀλλὰ πάντα ὑπὸ ἀναγραφὴν ποιησάμενος Ἀριστοβούλῳ παρέδωκεν. Ὑρκανὸν γὰρ εἰς τὴν Ῥωμαίων ἐξέπεμψεν δέσμιον.»

71.

Exc. De virt. p. 797 : Ὅτι Λούκιος Σέργιος Κατιλῖνος, ἀνὴρ γένους μὲν ὢν ἐπιφανεστάτου, ἄλλως δὲ πονηρὸς τὴν φύσιν, τολμητής τε καὶ μεγαλοπράγμων, καὶ τὸ ἦθος ποικίλος, ἐπ' ὀλέθρῳ τῆς πατρίδος συνώμοσε, τοὺς θρασυτάτους καὶ τολμηροτάτους τῶν εὐπατριδῶν εἰς τὴν ἑαυτοῦ πίστιν ἐνδησάμενος. Λέγεται γὰρ ἄνθρωπον καταθύσας γεῦσαι τοῦ αἵματος τοὺς συνωμότας, περιάγων εἰς πάντας τὴν κύλικα πλήρη οἴνου τε καὶ ἀνθρωπείου αἵματος, εἴτε καταγοητεύων τοὺς ἄνδρας τῷ τοιῷδε ὅρκῳ, εἴτε καὶ πρὸς πᾶν τόλμημα καὶ πᾶσαν ἐθίζων ἀνοσιουργίαν, ἅτε οἰκείῳ καὶ πολιτικῷ ἐπιχειρῶν αἵματι, καὶ μεταγαγεῖν τὴν πολιτείαν εἰς τυραννίδα φόνῳ τε πολλῷ τῶν ἀρίστων καὶ καταπρῆσαι τῆς πόλεως μηχανώμενος. Ἐπῆρε δὲ ἄρα τὸν Κατιλῖνον εἰς ταύτας τὰς ἀτόπους ἐννοίας βάρη τε ὀφλημάτων νικῶντα τὸ τίμημα τῆς οὐσίας, καὶ [τὸ] συνειδὸς ἐκθέ-

Fr. 69. V. Dio Cass. XXXVII, 12 sq. Livius ep. 62. Plutarch. Pomp. c. 41. Oros. VI, 5. Cf. Eutrop. VI, 10 : *Neque multo post, quum in suos sæviret, Pharnacis, filii sui, apud milites seditione ad mortem coactus, venenum hausit.*

Fr. 70. Hunc Suidæ locum ad Joannem referendum esse liquet e fragmento antecedente et ex comparato Eutropio, qui in nonnullis Joanne vel certe Joannis excerptore uberior ita habet VI, 10 sq : *Mox ei* (Pompeio) *delatum bellum etiam contra regem Mithridatem et Tigranem : quo suscepto Mithridatem in Armenia minore nocturno prælio vicit, castra diripuit; quadraginta millibus ejus occisis, viginti tantum de exercitu suo perdidit et duos centuriones. Mithridates cum uxore fugit et duobus comitibus. Neque multo post, quum in suos sæviret, Pharnacis, filii sui, apud milites seditione ad mortem coactus, venenum hausit. Hunc finem habuit Mithridates; periit autem apud Bosporum, vir ingentis industriæ consiliique : regnavit annis sexaginta, vixit septuaginta duobus : contra Romanos bellum habuit annis quadraginta. Tigrani deinde Pompeius bellum intulit. Ille se dedidit, et in castra Pompeii sexto decimo milliario ab Artaxata venit; ac diadema suum, quum procubuisset ad genua Pompeii, in manibus ejus collocavit : quod ei Pompeius reposuit, honorificeque eum habitum, regni tamen parte multavit, et grandi pecunia. Adempta est ei Syria, Phœnice, Sophene; sex millia præterea talentorum argenti, quæ populo Romano daret, quia bellum sine causa Romanis commovisset. Pompeius mox etiam Albanis bellum intulit, et eorum regem Orodem ter vicit. Postremo per epistolas et munera rogatus veniam ei ac pacem dedit. Iberiæ quoque regem Artacen vicit acie et in deditionem accepit; Armeniam minorem Deiotaro, Galatiæ regi, donavit, quia socius belli Mithridatici fuerat. Attalo et Pylæmeni Paphlagoniam reddidit, Aristarchum Colchis regem imposuit. Mox Ituræos et Arabas vicit : et quum venisset in Syriam, Seleuciam, vicinam Antiochiæ civitatem, libertate donavit, quod regem Tigranem non recepisset. Antiochensibus obsides reddidit : aliquantum agrorum Daphnensibus dedit, quo lucus ibi spatiosior fieret, delectatus amœnitate loci et aquarum abundantia. Inde ad Judæam transgressus, Hierosolymam, caput gentis, tertio mense cepit, duodecim millibus Judæorum occisis, ceteris in fidem acceptis*

Fr. 71. Eadem usque ad verba ἐξήλασε τῆς πόλεως leguntur apud Suidam v. Λούκιος Σέργιος. Eutrop. VI, 12 : *L. Sergius Catilina, nobilissimi generis vir, sed ingenii pravissimi, ad delendam patriam conjuravit cum quibusdam claris quidem, sed audacibus viris. A Cicerone urbe expulsus est; socii ejus deprehensi, in carcere strangulati sunt.* De iis quæ præter hæc Joannes habet, v. Dio. Cass. XXXXII, 20; Plutarch. Cic. 10; Sallust. Cat. 30. — Κατι-

σμων καὶ μυσαρῶν πράξεων. Τόν τε γὰρ υἱὸν ἔτι παῖδα ὄντα τοῦ τῆς Ὀρεστίλλης ἕνεκα γάμου διέφθειρε, καὶ θυγατρὶ παρθένῳ συνελθών. Δι' ἃ δὴ καὶ ὑπατείαν μετιὼν ἀπηλάθη, Κικέρωνος ἐς τὴν τοῦδε χώραν αἱρεθέντος. Ἐξ οὗ δὴ καὶ μάλιστα τὰ ἀτοπώτατα τῶν δραμάτων ὁ Κατιλῖνος ἐπὶ νοῦν ἐβάλετο, οὐδαμοῦ τῶν κακῶν ἱστάμενος, οὐδὲ ἀναπτύων τὴν γνώμην. Οὐ μὴν ἀλλὰ ὁ Κικέρων, εἰπεῖν τε δεινὸς ὢν καὶ τὸ ἀληθὲς ἀνευρεῖν ἱκανὸς, γνῶναί τε τὸ μέλλον ὀξύτατος, πολέμιον αὐτὸν ἀποφήνας ἐξήλασε τῆς πόλεως. Ὁ μὲν γὰρ οὐχ ὑπομείνας τοὺς ἐλέγχους, φεύγων ὡς Μάνλιον τὸν συνωμότην ᾤχετο, συχνὰς ἤδη δυνάμεις περί τε Ἀπουλίαν καὶ Τυρρηνίαν ἠθροικότα. Οἱ δὲ κοινωνήσαντες αὐτῷ τῶν κατὰ τῆς Ῥώμης βουλευμάτων, δίκης τῆς προσηκούσης ἐς τὸ δεσμωτήριον ἔτυχον.

72.

Exc. De ins. p. 15 : Ὅτι Κάσσιος ὁ ταμίας πρῶτος τὸν τοῦ Καίσαρος φόνον ἐπὶ νοῦν ἐβάλλετο, τοὺς περὶ Βροῦτον εἰς τὴν τοῦ ἔργου κοινωνίαν προελόμενος. Μετὰ δὲ τὴν τοῦ Κράσσου συμφορὰν, ὁ πολιτικὸς διεδέξατο πόλεμος, ἐπάρατός τε καὶ πολλῶν δακρύων γεγονὼς αἴτιος.

Ὅτι δὴ πρὸς ταῖς ἄλλαις ταῖς κατ' αὐτὸν συμβεβηκυίαις συμφοραῖς καὶ ἡ τύχη τοῦ δήμου ἐκ τοῦ ἡγεμονικοῦ μετέστη πρὸς τὸ ὑπήκοον. Γάϊος δὴ Καῖσαρ ἀναστρέφων ἐκ τῆς Γαλατίας, πολλῶν τε καὶ ἀλκίμων ἐθνῶν νικητὴς, ὑπατείαν ἐπήγγειλεν, ἀναμφιλόγως οἱ διὰ τῶν πεπραγμένων προστεθήσεσθαι ταύτην ὑπολαμβάνων. Ἀντειπόντων δὲ τῇ ἐξαιτήσει Μαρκέλλου τε τοῦ ὑπάτου καὶ Βιβούλου, ἔτι τε Πομπηίου καὶ τοῦ φιλοσόφου Κάτωνος, ἐπανιέναι πρὸς τὴν πόλιν, τὰς δυνάμεις διαφεὶς, παρατάττεται. (2) Οἱ δὲ οὐχ ὑπατείαν, ἀλλὰ θριάμβου καταγωγὴν αἰτοῦντι τῷ Καίσαρι ἐναντιωθῆναι τοὺς περὶ τὸν Πομπήιον· οἱ δὲ προσθήκην τινὰ τοῦ ὡρισμένου χρόνου λαβεῖν βουλόμενον, ἐπὶ τῷ πάντας ὁμοῦ τοὺς βαρβάρους καταγωνίσασθαι, οὐ προσδεχθῆναι μὲν ἀπὸ τῆς συγκλήτου βουλῆς· Κουρίωνος δὲ τοῦ κατ' ἐκεῖνο δημαρχοῦντος μόνου ψηφισαμένου, διαλύει μὲν τὸν πρὸς τοὺς βαρβάρους πόλεμον ὁ Καῖσαρ, θυμωθεὶς δὲ πολέμια κατὰ τῆς βουλῆς φρονεῖν ἤρξατο. (3) Ἄρα δὲ ἐξ Ἀριμινοῦ πόλεως, οὗ τὰς δυνάμεις εἶχεν ἠθροισμένας, συντεταγμένην ἐπῆγε τῇ πόλει τὴν στρατιάν. Οἱ δὲ ὕπατοι καὶ ὁ Πομπήιος ἅμα τῇ βουλῇ καὶ παντὶ τῶν ἀστῶν γνωριμωτέρῳ, καταδείσαντες τὴν τοῦ Καίσαρος ὁρμὴν, τὴν μὲν πόλιν ἐκλείπουσιν, ἐς δὲ τὴν Μακεδονίαν καὶ τὴν Ἤπειρον φεύγοντες ᾤχοντο. (4) Καὶ ὁ μὲν Πομπήιος σὺν τοῖς ἀπὸ τῆς βουλῆς ἐνταῦθα δυνάμεις ἤθροιζε, καὶ τὰ πρὸς τὸν πόλεμον ἐξηρτύετο. Καῖσαρ δὲ παρελθὼν εἰς τὴν Ῥώμην, οὐδενὸς ἐναντιουμένου, καὶ ἀποδείξας ἑαυτὸν δικτάτωρα, τούς τε δημοσίους θησαυροὺς ἀναρρήξας εἰς τοὺς στρατιώτας ἐκένωσεν, καὶ εὐθέως πρὸς τὰς ἐν Ἰβηρίᾳ δυνάμεις τοῦ Πομπηίου τρέπεται, ὡς μηδεὶς ὑπολείποιτο κατὰ νώτου πολέμιος.

5. Ἐπειδὴ γὰρ ὁ Πομπήιος ἔγνω προκατειλῆφθαι τὰ ἐν Ἰβηρίᾳ, ἐπὶ τὸ Βρεντήσιον στρατοπεδεύσας, ἐς χεῖρας τῷ Καίσαρι γίνεται. Διαμαρτήσας δὲ τῆς ἐλπίδος, αὖθις ἐπὶ τὸ Δυρράχιον καταφεύγει, πολύν τε διατρίψας χρόνον, ἅπαντα τὰ τοῦ πολέμου παρεσκευάζετο, καίτοι πρὸς μικρὸν ἀναβαλλόμενος ἐπεξελθεῖν τῷ πολέμῳ (πολεμίῳ?) ἕνεκεν σημείων τινῶν.

6. Αἱ μὲν οὖν Ῥωμαίων δυνάμεις μετέωροι πρὸς τὴν κατ' ἀλλήλων διέκειντο μάχην· ἥ τε σύγκλητος τὰ δίκαια τῆς Ῥώμης κατὰ τὴν Θετταλονίκην μεταγαγοῦσα, προεκάθητο τῶν πραττομένων· αὐτός τε Καῖσαρ καὶ Πομπήιος διὰ τῶν ὅπλων ἐκρίνοντο.

7. Τρεῖς δ' οὖν στρατιὰς ἐνταῦθα καὶ μεγάλας Καῖσαρ καταγωνισάμενος, ὑφ' ἡγεμόσι ταττομένας Λουκίῳ τε Ἀφρανίῳ καὶ Μάρκῳ Πετρονίῳ (l. Πετρηίῳ) καὶ Μάρκῳ Βάρωνι, ἐν οὐ πολλῷ χρόνῳ, διὰ μάχης ἐλθὼν τῷ Πομπηίῳ φεύγει τὸ πρῶτον ἐλαττωθεὶς, καὶ

λῖνος] sic Suidas; Κατιλινὸς codex h. l. et infra. — ἀνοσιουργίαν] Suidas; τὴν ἀνοσιουργίαν cod. — τὸν γὰρ υἱὸν κτλ.] τόν τε γὰρ παῖδα τῆς Ὀρ. διέφθειρε· δι' ἃ δὴ κτλ. Suidas corrupte. — ὁ Κατιλῖνος ἐπὶ νοῦν] ὁ Κατ. om. Suidas. Idem mox : τῶν κακῶν οὐδαμοῦ. Idem post v. γνώμην pergit : Ὁ δὲ Κικέρων. — τὸ ἀληθὲς] τἀληθὲς Suid.

Fr. 72. Cassii et Bruti tanquam Cæsaris interfectorum mentio anticipando est injecta. — Ὅτι δὴ] Hæc cum proxime antecedentibus arctissime cohærent. Quare scripserim : ὅτε δὴ. Eadem Eutropius VI, 16 : *Hinc* (post Crassi necem, an. 53) *jam bellum civile successit exsecrandum et lacrimabile; quo præter calamitates, quæ in præliis acciderunt, etiam Romani nominis fortuna mutata est. Cæsar enim, rediens e Gallia victor, cœpit deposcere alterum consulatum : atque quum sine dubietate aliqua deferretur, contradictum est a Marcello Cons., a Bibulo, a Pompeio, a Catone, jussusque dimissis exercitibus ad urbem redire.* — προστεθήσεσθαι] προσθήσεσθαι codex. — βουλόμενον] βουλόμενοι codex. — ψηφισαμένου] num ἀντιψηφισαμένου? De re v. Appian. Bell. civ. II, 27 ; Dio Cass. XL, 62 sqq.; Plutarch. Pomp. 58. Ceterum sententiarum junctio minus foret inconcinna, si scriptum esset : οὐ προσδεχθῆναι ἀπὸ τῆς βουλῆς, Κουρίωνος, τοῦ... δημαρχοῦντος, μόνου ἀντιψηφισαμένου. Τότε δὴ διαλύει μὲν κτλ. — θυμωθεὶς δὲ κτλ.] Eutropius post allata pergit : *Propter quam injuriam ab Arimino, ubi milites congregatos habebat, adversus patriam cum exercitu venit. Consules cum Pompeio, senatusque omnis atque universa nobilitas ex urbe fugit et in Græciam transiit : apud Epirum, Macedoniam, Achaiam, Pompeio duce, senatus contra Cæsarem bellum paravit. Cæsar vacuam urbem ingressus dictatorem se fecit. Inde Hispanias petiit.* — § 5. Quæ hoc et sequente segmine leguntur, aliunde interposuit auctor. — Βρεντήσιον] Βρεττήσιον cod. — § 6. προεκάθητο] προσεκάθη cod. Ceterum male hæc contracta sunt. Quid voluerit auctor, fusius explicat Dio XLI, 43, quem Noster in compendium redegit. — § 7. τρεῖς οὖν στρ. ἐνταῦθα] sc. in Hispania. His continuatur narratio segminis 4. Eutropius l. l. : *Inde Hispanias petiit. Ibi Pompeii exercitus validissimos et fortissimos cum tribus ducibus, L. Afranio, M. Petreio, M. Varrone, superavit. Inde regressus in Græciam transiit, adversus Pompeium dimicavit. Primo prælio victus et*

μικρὸν ἀποσχὼν ἐλαττωθῆναι παντάπασιν· οὐ γὰρ ἂν ὑπεξέδυ τὸ κακὸν, εἰ μὴ νὺξ ἐπιγενομένη τῷ ἔργῳ, τὸν μὲν ἅμα τοῖς ὑπολειπομένοις τῶν οἰκείων διέσωσε, Πομπήιον δὲ τὴν στρατιὰν ἀπάγειν θᾶττον ἢ δεῖ παρεσκεύασε, κατὰ σκότος ποιεῖσθαι τὴν δίωξιν οὐ προελόμενον. Φασὶ γοῦν τὸν Καίσαρα παρ' ὅσον ἦλθε κινδύνου λογιζόμενον, πολλάκις εἰπεῖν, ὡς μάχεσθαι μὲν ἀγαθὸς εἴη Πομπήιος, νικᾶν δὲ ἀμαθῶς ἔχοι· οὐ γὰρ ἐν ἑτέρῳ χρόνῳ ἢ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ γεγενῆσθαι τοῖς ἐναντίοις ἁλώσιμος. Μετὰ δὲ τοῦτο, πόλεως Θεσσαλικῆς Φαρσάλου πλησίον, μεγάλας αὖθις ἑκάτεροι δυνάμεις ἀγείραντες, συνῄεσαν. Πομπηίῳ μὲν οὖν τέσσαρες μυριάδες ὁπλιτῶν ἦσαν, καὶ ἱππεῖς πλείους ἢ τετρακισχίλιοι, καθ' ἑκάτερον τῶν κεράτων νενεμημένοι· πρὸς δὲ τούτοις τὸ ἐξ ἁπάντων τῶν ἑῴων ἐθνῶν συμμαχικὸν, καὶ πᾶν ὃ ἦν ἐπίσημον Ῥωμαίων εἵπετο, οἵ τε ἀπὸ τῆς βουλῆς, πλῆθος οὐκ εὐαρίθμητον ὄν, συνετάττοντο· ἐν [οἷς] στρατηγικοί τε καὶ ὑπατικοὶ ἄνδρες ἦσαν, πολλῶν ἤδη στρατοπέδων ἐξηγησάμενοι, καὶ πολλοὺς διαπεπραγμένοι πολέμους. Καίσαρί γε μὴν οὐδὲ ὅλαι τρεῖς μυριάδες ἀπεπλήρουν τὴν φάλαγγα, καὶ οἱ ἱππεῖς χίλιοι. Οὐδεπώποτε δὲ τοσαίδε Ῥωμαϊκαὶ συνῆλθον ἐς τὸ αὐτὸ δυνάμεις, οὐδὲ ὑπὸ βελτίοσιν ἡγεμόσι ταττόμενα· αἳ ῥᾳδίως ἂν ἅπασαν ἐσχατιὰν τῆς γῆς ὑποκύψαι Ῥωμαίοις ἠνάγκασαν, εἰ πρὸς ὀθνείους ἀλλὰ μὴ πρὸς ἐμφυλίους ἀγῶνας ἤχθησαν.

8. Τότε δ' οὖν συνελθόντες ἐμάχοντο καρτερῶς, οὐδέτεροι διά τε ἀρετὴν καὶ τὴν εἰς τοὺς ἐναντίους ἀπέχθειαν εἴκοντες. Πολλῆς τε διαφθορᾶς ἀφ' ἑκατέρων γενομένης, τέλος οἱ περὶ τὸν Πομπήιον ἐκλείπουσι, καὶ πολλοὶ μὲν αὐτοῦ πίπτουσι, πολλοὶ δὲ σποράδες ἀπεχώρουν, τὸ στρατόπεδον ἔρημον διαρπάσαι τοῖς ἐναντίοις παραδόντες. Αὐτὸς δὲ Πομπήιος ὀλίγοις ἅμα τῶν ἑταίρων καὶ τοῖς φιλτάτοις ἀπεχώρει, Αἴγυπτον καταλαβεῖν ἐν σπουδῇ ποιούμενος, ὡς ἂν δοθείη οἱ πρὸς τοῦ τότε δυναστεύοντος ὠφέλεια, οὗπερ δὴ πάλαι τὸν πατέρα ὑπὸ τῶν πολιτῶν φυγαδευθέντα εἰς τὴν βασιλείαν ἀποκατέστησεν.

9. Ὁ δὲ Πτολεμαῖος ἀναπεισθεὶς ὑπὸ Θεοδότου τοῦ Χίου, πονηροῦ τὸν τρόπον ῥήτορος, τῆς τῶν κρατούντων γενέσθαι μοίρας, ἐν οὐδενὶ δὲ θέσθαι τὰ τῶν φίλων ἀτυχούντων· πρὶν καταπλεῦσαι μηδὲν [μήτ' εἰπόντα] μήτε ὀδυρόμενον ἀναιρεῖ τὸν Πομπήιον. Ὡς γὰρ ᾔσθετο ὅτι οὔτε λαθεῖν οὔτε διαφυγεῖν δύναται, συνεκαλύψατο ἅμα καὶ ἀπώλετο. Ἀνοσίᾳ τε πράξει μεῖζον ἔτι προστιθεὶς ὁ Πτολεμαῖος ἀσέβημα, τῆς κεφαλῆς ἀφαιρεῖται τὸν ἄνδρα.

10. Μετὰ δὲ τὸ πάθος τοῦ Πομπηίου παρῆν εὐθὺς καὶ ὁ Καῖσαρ ἐς Αἴγυπτον, πάλαι μὲν διώκων τὸν πολέμιον, τότε δὲ ὡς παρὰ φίλον τὸν Πτολεμαῖον ἀφιγμένος. Ὁ δὲ ἄρα παραπλήσια καὶ κατὰ τοῦ Καίσαρος ἐβουλεύετο, ἀνελεῖν τὸν ἄνδρα λόγῳ διεγνωκώς. Ἀνοιχθείσης δὲ τῆς ἐπιβουλῆς, πολέμιος ὁ Πτολεμαῖος ἀναφαίνεται, καὶ διὰ μάχης ἐλθὼν τοῖς Ῥωμαίοις, κατ' αὐτὸν τὸν ἀγῶνα διαφθείρεται. Μικρὸν γοῦν ὕστερον ἐν τοῖς νεκροῖς ἀνευρέθη κρικωτὸν θώρακα χρυσοῦν περικείμενος. Αἴγυπτον δὲ Καῖσαρ ἑλὼν, Κλεοπάτρᾳ τὴν ἀρχὴν παραδίδωσιν, ἀδελφῇ μὲν τοῦ πρότερον βασιλεύοντος οὔσῃ, ἀπὸ δὲ τῆς ὥρας αὐτῷ τοῦ σώματος ἐγνωσμένῃ. Φασὶ γὰρ αὐτὴν τῷδε πρώτῳ Ῥωμαίων ἐς κοινωνίαν λέχους ἐλθεῖν. Ἐνδημοῦντος δὲ διὰ ταύτην τοῦ Καίσαρος ἐν Αἰγύπτῳ, λόγος κατέσχε τὸ πλῆθος, ὡς καὶ ἐπανάστασιν αὐτῷ παρὰ τῶν ἐγχωρίων γενέσθαι, καὶ πολλὰς μυριάδας ὑπὸ τῶν Ῥωμαϊκῶν ὅπλων ἐντεῦθεν διαφθαρῆναι.

11. Ὁ δὲ Καῖσαρ ἀκούσας τὸν Μιθριδάτου παῖδα Φαρνάκην αὖθις νεωτερίζειν ἀρξάμενον, ἀπῆρε μὲν ἀπὸ τῆς Αἰγύπτου· καὶ καταστρατευσάμενος ἐπ' αὐτὸν, καὶ περικλείσας ἐν τόπῳ τινὶ τῆς Θετταλίας, πρὸς αὐτόχειρα θάνατον τοῦτον ἐλθεῖν ἠνάγκασεν, ἐς ταύτην

fugatus, evasit tamen, quia nocte interveniente Pompeius sequi noluit : dixitque Cæsar, nec Pompeium scire vincere, et illo tantum die se potuisse superari. Deinde in Thessalia apud Palæopharsalum, productis utrimque ingentibus copiis, dimicaverunt. Pompeii acies habuit XL millia peditum, equites in sinistro cornu sexcentos, in dextro quingentos (aliter Joannes); *præterea totius Orientis auxilia, totamque nobilitatem, innumeros senatores, prætorios, consulares, et qui magnorum jam populorum victores fuissent. Cæsar in acie sua habuit peditum non integra XXX millia, equites mille. Numquam adhuc Romanæ copiæ in unum, neque majores, neque melioribus ducibus, convenerant, totum terrarum orbem facile subacturæ, si contra barbaros ducerentur.* — § 8. Eutrop. : *Pugnatum tamen est ingenti contentione, victusque ad postremum Pompeius et castra ejus direpta sunt. Ipse fugatus Alexandriam petiit, ut a rege Ægypti, cui tutor a senatu datus fuerat propter juvenilem ejus ætatem, acciperet auxilia; qui fortunam magis quam amicitiam secutus, occidit Pompeium, caput ejus et annulum Cæsari misit.* — οἱ πρὸς... ὠφέλεια] οἱ τῇ πρὸς τοῦτό τε δυναστεύοντος ὠφελείᾳ codex. — § 9. Inclusa supplevi e Dion. XLII, 4, ubi sic : ... ἀπέκτειναν αὐτὸν πρὶν καταπλεῦσαι, μηδὲν μήτ' εἰπόντα μήτ' ὀδυράμενον· ὡς γὰρ τάχιστα τῆς γε ἐπιβουλῆς ᾔσθετο, καὶ ἔγνω ὅτι οὔτ' ἀμύνασθαι σφᾶς οὔτε διαφυγεῖν δυνήσεται, συνεκαλύψατο. Theodoti mentio in nostro Dione non est. — § 10. Eutrop. VI, 17 : *Mox Cæsar Alexandriam venit. Ipsi quoque Ptolemæus parare voluit insidias; qua causa regi bellum illatum est. Victus in Nilo periit, inventumque est corpus ejus cum lorica aurea. Cæsar Alexandria potitus, regnum Cleopatræ dedit, Ptolemæi sorori, cum qua consuetudinem stupri habuerat.* — παραδίδωσι] περιδίδωσι cod. — ἐγνωσμένῃ] ἐγνωσμένης codex. — § 11. Eutropius : *Rediens inde Cæsar, Pharnacem, Mithridatis Magni filium, qui Pompeio in auxilium apud Thessaliam fuerat, rebellantem in Ponto, et multas populi Romani provincias occupantem, vicit acie; postea ad mortem coegit.* — Θετταλίας] Pharnaces prœlio victus est ad *Zeliam* urbem, uti constat. Thessaliæ mentio in nostro fragm. vel auctoris vel excerptoris negligentiæ debetur. Quid in fonte Joannis fuerit, intelligitur ex Eutropio. Quamquam hoc ipsum historiæ contrarium esse videtur. Nam sec. Cæsarem in Bello Alex. c. 69 et Dion. Cass. XLI, 63; XLII, 47, Pharnaces Pompeio ad Pharsalum pugnanti non tulerat auxilium. — αὐτόχειρα θάνατον] Hoc

αὐτὸν ἀγαγὼν τὴν τελευτὴν τοῦ βίου, ἐς ἣν αὐτὸς πρότερον τὸν πατέρα συνήλασεν.

12. Ἐπειδὴ ταῦτα διαπραξάμενος ἐπανῆλθεν ἐς τὴν Ῥώμην, τρίτον ἑαυτὸν ὕπατον ἀνειπὼν, καὶ κοινωνὸν τῆς ἀρχῆς προσελόμενος Μάρκον Αἰμίλιον Λέπιδον, ὃς κατὰ τὸν ἔμπροσθεν ἐνιαυτὸν ἵππαρχος ἦν αὐτῷ κατὰ μοναρχίαν ἐξηγουμένῳ, πολλούς τε τῶν Πομπηιανῶν ἀνακαλεσάμενος, τῷ τε δήμῳ Ῥωμαίων μεγάλας δωρεὰς καὶ ἀφέσεις χρεῶν χαρισάμενος, στρατηγούς τε τῶν ἀναγκαίων ἐπιμελητὰς, καὶ ἱερεῖς ὑπὲρ τὸ νενομισμένον καταστήσας τῇ πόλει, τούς τε ἱππέας καὶ ἑκατοντάρχας ἄλλους τέ τινας καταλέξας, Σαλουστίῳ τὴν πολιτικὴν διοίκησιν καταλιμπάνει καὶ τοὺς γεγηρακότας στρατιώτας, αὐτός τε ἐπὶ τὴν Λιβύην ἐπεραιοῦτο, ἔνθα τὸ πολὺ καὶ γνωριμώτατον τῆς Ῥωμαϊκῆς εὐγενείας συνελθὸν, συμμάχῳ τε χρώμενον Ἰώβᾳ τῷ βασιλεῖ τῶν Μαυρουσίων, ἀνενεοῦτο τὸν πόλεμον.

13. Ἡγοῦντο δὲ τῶν συνεληλυθότων ἐνταῦθα Ῥωμαίων Πόπλιος Κορνήλιος, Σκιπίωνος Ἀφρικανοῦ γεγονὼς, κηδεστὴς δὲ Πομπηίου τυγχάνων, καὶ Μάρκος Πετρήιος καὶ Κόϊντος Βάρος, καὶ Μάρκος Πόρκιος Κάτων ὁ φιλόσοφος, καὶ Κορνήλιος Φαῦστος Σύλλου τοῦ μοναρχήσαντος παῖς ὤν· οἷς ἀντιταξάμενος ὁ Καῖσαρ μετὰ πολλὰς προσβολὰς καὶ διαφόρους τῶν πραττομένων τύχας, κρατεῖ παντάπασιν· ὡς Κάτωνα μὲν καὶ Σκιπίωνα, Πετρήιόν τε καὶ Ἰόβαν αὐτόχειρας σφᾶς αὐτοὺς ἀνελεῖν, Φαῦστόν τε τὸν παῖδα Σύλλου συνοικοῦντα θυγατρὶ Πομπηίου, πρὸς αὐτοῦ διαφθαρῆναι τοῦ Καίσαρος.

14. Ἐνιαυτὸν δὴ οὖν ὕστερον ἀναστρέψας ἐπὶ τὴν Ῥώμην ὁ Γάϊος, τέταρτον ἑαυτὸν ἀπέδειξεν ὕπατον, καὶ τὰς δυνάμεις ἀναλαβὼν, εὐθὺ [ἐπὶ] τὰς Ἰβηρίας ἐχώρει. Οἱ γὰρ δὴ τοῦ Πομπηίου παῖδες, ἑαυτοῖς τε καὶ τῷ πατρὶ καθεστῶτες ὁμώνυμοι, Γναῖος Πομπήιος καὶ Σέξτος Πομπήιος, μεγάλας ἐγείραντες αὖθις δυνάμεις, ἀνενεοῦντο τὸν πόλεμον. Ἐπεὶ γοῦν Καῖσαρ ἀφίκετο, πολλαὶ μὲν καὶ καρτεραὶ συνίσταντο μάχαι· ἐσχάτη δὲ πόλεως Μούνδης πλησίον γίνεται· καθ' ἣν φασι παρὰ τόσον ἐλθεῖν κινδύνου τὸν Καίσαρα, ὡς παρερρηγμένης ἤδη τῆς οἰκείας φάλαγγος, σπάσαι καθ' ἑαυτοῦ τὸ ξίφος, τεθνάναι βουλόμενον πρὶν μετὰ τοσήνδε τῶν πολεμικῶν ἔργων δόξαν, ὑπὸ χεῖρα δύω μειρακίων πέσοι ἀνὴρ ἤδη πρὸς γῆρας σχεδὸν ἀφιγμένος. Ἀνακαλεσάμενος δὲ ὅμως τοὺς φεύγοντας, καὶ τὰς τάξεις ἀνανεωσάμενος, ἐπιπίπτει τοῖς ἐναντίοις, καὶ κρατεῖ περιφανῶς. Τῶν δὲ Πομπηίου παίδων ὁ μὲν πρεσβύτερος ἐν τῇ παρατάξει διαφθείρεται, ὁ δὲ νεώτερος ἀγαπητῶς διασῴζεται.

15. Ὁ τοίνυν Καῖσαρ, ἁπάντων ἤδη τῶν ἐμφυλίων πολεμίων (l. πολέμων) κατειργασμένων, ἐπὶ τὴν Ῥώμην ἀνεστρέφετο, τό τε φρόνημα ταῖς συνεχέσιν ἀνδραγαθίαις ἐξωγκωμένος, καὶ παρὰ τὸ σύνηθες τῇ Ῥωμαίων ἐλευθερίᾳ πρὸς τοὺς ἐντυγχάνοντας ἀλαζονευόμενος. Ἐπεὶ γοῦν τάς τε τιμὰς καὶ τὸ κῦρος τοῦ δήμου παρελόμενος αὐτὸς ἐπέτρεπεν οἷς ἐβούλετο, καὶ, τῆς βουλῆς πρὸς αὐτὸν ἰούσης, οὐχ ὑπανίστατο, ἀλλὰ βασιλικοῖς εἴτε, ἀληθέστερον εἰπεῖν, τυραννικοῖς χαίρων δῆλος ἦν ἐπιτηδεύμασιν (εἰκόνας τε γὰρ καὶ ἀνδριάντας καὶ ἀνιδρύματά τινες αὐτῷ τῶν κολάκων προσέφερον, ἄλλοι τε καὶ βασιλέα προσηγόρευον), οὕτω τοίνυν πάντων τῶν ἐν μνήμῃ Ῥωμαίων κρείττων φανεὶς, διὰ τὴν ὑπὲρ ἄνθρωπον δύναμιν θεὸς ὠνομάσθη. Εἰσὶ δὲ ἀπὸ τῶν Τρωϊκῶν ἐπὶ Ἰούλιον Καίσαρα ἐνιαυτοὶ χίλιοι ρκδ'.

16. Ἐπεὶ δὲ Καῖσαρ ὑπερόγκῳ φρονήματι ἐς τὴν σύγκλητον διεγένετο, βουλεύουσι κατ' αὐτοῦ θάνατον, φθόνῳ τε τοῦ προσήκοντος καὶ μίσει τοῦ προτετιμημένου, ἄνδρες ὑπὲρ ξ' τῶν τε ἀπὸ τῆς συγκλήτου καὶ τῶν ἐς τοὺς ἱππέας τελούντων, ὅρκῳ τὴν κατ' αὐτοῦ σύστασιν βεβαιωσάμενοι. Ἐνῆγον δὲ ἄρα μάλιστα πάντων τοὺς συνωμότας ἐς τὴν ἐπιχείρησιν Βροῦτοι δύω, γένους ὄντες ἀνέκαθεν αὐστηροτάτου· ἐς γὰρ δὴ τὸν παλαιὸν Βροῦτον τοῦ αἵματος ἀνέφερον τὴν ἀρχὴν, [ὃς] τοὺς τυράννους ἐν τοῖς ἀνωτάτω χρόνοις ἐκβαλὼν, πρῶτος ἀπεδείχθη παρὰ Ῥωμαίοις ὕπατος.

17. Καίτοι φασί τινες δημοτικοῦ γεγενῆσθαι πατρὸς

---

fictum est more poetarum. Non sua, sed aliorum manu Pharnaces periit. Vide locos laudatos. — § 12. Eutrop. VI, 18 : *Inde Romam regressus, tertio se consulem fecit cum M. Æmilio Lepido, qui ei dictatori magister equitum ante annum fuerat. Inde in Africam profectus est, ubi infinita nobilitas cum Juba, Mauritaniæ rege, bellum reparaverat.* — συνελθὸν] συνελθὼν cod. — ἀνενεοῦτο] ἐνεν. cod. — § 13. Eutr. : *Duces autem Romani erant P. Cornelius Scipio, ex genere antiquissimo Scipionis Africani (hic etiam socer Pompeii Magni fuerat), M. Petreius, Q. Varus, M. Porcius Cato, L. Cornelius Faustus, Syllæ dictatoris filius. Commisso prælio post multas dimicationes victor fuit Cæsar. Cato, Scipio, Petreius, Juba, ipsi se occiderunt; Faustus, Syllæ quondam dictatoris filius, Pompeii gener, a Cæsare interfectus est.* — § 14. Eutrop. c. 19 : *Post annum Cæsar Romam regressus, quarto se consulem fecit, et statim ad Hispanias est profectus, ubi Pompeii filii, Cnæus et Sextus, ingens bellum reparaverant. Multa prælia fuerunt; ultimum apud Mundam civitatem : in quo adeo Cæsar pæne victus, ut, fugientibus suis, se voluerit occidere, ne post tantam rei militaris gloriam in potestatem adolescentium, natus annos sex et quinquaginta, veniret. Denique reparatis suis vicit; et Pompeii filius major occisus est, minor fugit.* — § 15-18. Eutrop. brevius : *Inde Cæsar, bellis civilibus toto orbe compositis, Romam rediit, agere insolentius cœpit, et contra consuetudinem Romanæ libertatis. Quum ergo et honores ex sua voluntate præstaret, qui a populo ante deferebantur, nec senatui ad se venienti adsurgeret, aliaque regia ac pæne tyrannum faceret : conjuratum est in eum a LX vel amplius senatoribus equitibusque Romanis. Præcipui fuerunt inter conjuratos duo Bruti, ex eo genere Bruti, qui primus Romæ consul fuerat, et reges expulerat, C. Cassius et Servilius Casca. Ergo Cæsar, quum senatus die quadam inter ceteros venisset ad curiam, XXIII vulneribus confossus est.* — § 17. Ποσειδώνιος;[1] Eadem e Posidonio (fr. 17, tom. III, p. 272) narrat Plutarchus in Bruti c. 1.

αὐτοὺς, ἄρτι καὶ πρώην ἐς ἄρχοντας παρεληλυθότος· οὐ γὰρ τῷ παλαιῷ γε Βρούτῳ λειφθῆναι γένος, ἀνελόντι τοὺς υἱέας· οἷς ὁ φιλόσοφος ἀντιλέγων Ποσειδώνιος, τοὺς μὲν ἐν ἡλικίᾳ φησὶν ἀπολωλέναι τοῦ Βρούτου παῖδας, τρίτον δὲ λειφθῆναι νήπιον, ἀφ' οὗ τὸ γένος εἰς τούσδε καθήκειν. Μήτηρ δὲ αὐτοῖς ἀδελφὴ τοῦ φιλοσόφου Κάτωνος, ὃν μάλιστα Ῥωμαίων ὁ πρεσβύτερος ἐζήλωσε Βροῦτος, θεῖον ὄντα καὶ κηδεστὴν ὕστερον γενόμενον. Πορκίᾳ γὰρ δὴ τῇ **.

18. Ἐπὶ δὲ τοῖς Βρούτοις Γάϊος Κάσσιος ἦν ἐν τῇ συνωμοσίᾳ, ὁ Κράσσῳ ἐπὶ Παρθυαίους συστρατευσάμενος, καὶ Σερβίλιος Κάσκας, ὃς δὴ καὶ πρῶτος σπάσαι τὸ ξίφος κατὰ τοῦ Καίσαρος λέγεται. Ἐπιστάντος δὲ τοῦ καιροῦ, καθ' ὃν ἔδει τὴν βουλὴν συνελθοῦσαν χρηματίσαι τι περὶ τῶν κοινῶν, παρῆν καὶ ὁ Καῖσαρ ἐς τὸ βουλευτήριον, μεθέξων τῶν γινομένων. Ὡς δὲ τὰ ξίφη διεκόμισαν ἐν κιβωτίῳ τινὶ κατακρύψαντες, τρόπῳ δὲ συμβολαίων παρὰ τὸ συνέδριον ἤγαγον, αὐτίκα ἀναστάντες καὶ περιστάντες τὸν Καίσαρα κατετίτρωσκον. Ἐπιθεμένων δὲ αὐτῶν, τὰ μὲν πρῶτα διώθει τοὺς ἐπιόντας, καὶ κατὰ δύναμιν ἠμύνετο· ἐπεὶ δὲ τὸν Βροῦτον γυμνῷ τῷ ξίφει ἐπ' αὐτὸν χωροῦντα καὶ σὺν τοῖς πολεμίοις τεταγμένον ἐθεάσατο, ἐγκαλυψάμενος παρέδωκε παίειν τὸ σῶμα. Τρεῖς γοῦν καὶ κ' πληγὰς ἀναδεξάμενος ἀναλίσκεται, ἐτῶν (δὲ) τῇ πόλει μετὰ τὸν ἀνοικισμὸν ἐννέα που πρὸς τοῖς ψ' γεγονότων.

72 a.

Tzetzes Chil. III, 23, v. 16 :

Ἡ Πτολεμαίου σύναιμις, δέσποινα Κλεοπάτρα...
αὕτη σὺν ἀρχιτέκτονι Κυπρίῳ Δεξιφάνει
τὴν θάλασσαν χερσώσασα τὴν τῆς Ἀλεξανδρείας
ὅσον πρὸς τετραστάδιον, εἴτε μικρόν τι πλέον,
τὸν πύργον ἐξειργάσατο τὸν μέγιστον τῆς Φάρου,
ὁλκάσι φῶς σωτήριον μᾶλλον ἐν ζάλῃ φαίνειν.
Μέμνηται μὲν Βιργίλιος ταύτης τῆς Κλεοπάτρας,
Λουκιανὸς καὶ Γαληνὸς καὶ Πλούταρχος σὺν τούτοις,
Διόδωρος, Γεώργιος ὁ χρονικὸς σὺν ἄλλοις,
καὶ Ἰωάννης μετ' αὐτοὺς Ἀντιοχεὺς ὑστέρως.

73.

Exc. Salm. p. 392 : Γάϊος Ἰούλιος Καῖσαρ νέος ὢν ἔδοξε καθ' ὕπνους συνουσιάζειν τῇ ἰδίᾳ μητρί, καὶ ἐν ταῖς ἀγέλαις αὐτοῦ ἵππος ἐτέχθη χηλοὺς ἔχων ἀντὶ ὁπλῆς, καὶ οὐδένα ἕτερον ἀναβάτην ἐδέχετο, εἰ μὴ αὐτὸν μόνον, ὡς ὁ Βουκέφαλος τὸν Ἀλέξανδρον. Πρὸ δὲ μιᾶς ἡμέρας τοῦ θανάτου αὐτοῦ, ἔδοξεν ὁρᾶν ἡ γυνὴ αὐτοῦ πεπτωκυῖαν τὴν οἰκίαν αὐτοῦ, καὶ αὐτὸν τραυματίαν καὶ αἵματι κατάρρυτον ἐμπεσεῖν τοῖς κόλποις αὐτῆς. Προϊόντι δὲ αὐτῷ ἔδωκέ τις ἐν χάρτῃ τὴν κατ' αὐτοῦ ἐπιβουλήν· ὁ δὲ ἄλλο τι νομίσας εἶναι, καὶ διὰ τοῦτο μὴ ἀναγνοὺς, ἀλλὰ δοὺς τοῖς ὑπογραφεῦσιν, ἐσφάγη.

74.

Exc. De ins. p. 21 : Ἐπειδὴ Καῖσαρ ἀνῃρέθη κατὰ τὸ βουλευτήριον, αὖθις ἐμφύλιος ἀνήφθη πόλεμος. Τοὺς μὲν γὰρ αὐθέντας τοῦ Καίσαρος, οἷα τῆς κοινῆς ἐλευθερίας προστάτας, περιεῖπε τὸ συνέδριον· ὅ γε μὴν ὕπατος Ἀντώνιος, τοῖς ἀχθομένοις τῇ τοῦ Καίσαρος τελευτῇ προσθέμενος, πιέζειν τοὺς ἄνδρας καὶ καταναλίσκειν ἐκ παντὸς ἐπενόει τρόπου· καὶ οὐ καθῆκεν ἄχρις οὗ φυγάδας τῆς πόλεως τοὺς περὶ τὸν Βροῦτον κατέστησεν· οἱ μὲν γὰρ ὑπεξῆλθον, δείσαντες τὴν τοῦ Ἀντωνίου δύναμιν δημαγωγοῦντος κατ' αὐτῶν τὸ πλῆθος. Ἡ δὲ βουλὴ ἀρχάς τε καὶ τιμὰς τοῖς ἀνδράσι προσένειμεν, ἄρχειν Συρίας τε καὶ Μακεδονίας ψηφισαμένη. Ταραχθείσης δὲ τῆς πόλεως ἐν ἑαυτῇ, πολλά τε καὶ ἔκνομα τὸν Ἀντώνιον διαπραττόμενον, πολέμιον ἀνεῖπεν ἡ βουλὴ, ἐπί τε τῇ συλλήψει τοῦ ἀνδρὸς ἤδη τῆς πόλεως σὺν ταῖς οἰκείαις δυνάμεσιν ἀπεληλυθότος, Πάνσαν τε καὶ Ἵρτιον τοὺς ὑπάτους ἐκπέμπει, τρίτον ἡγεμόνα τούτοις ἐπιτάξασα τὸν Ὀκταούιον, ἔτι νέον ὄντα. Ζή[τει ἐν **.]

75.

Exc. De virt. p. 798 : Ὅτι Φολουία ἡ Ἀντωνίου γυνὴ Κικέρωνος τοῦ ῥήτορος ἀποτεμοῦσα τὴν κεφαλὴν, καὶ ἐπὶ τοῖς γόνασι λαβοῦσα, πολλὰ μὲν ἐς αὐτὴν ἐξυβρίσαι καὶ ἐμπτῦσαι. Τέλος δὲ τὸ αὐτῆς διανοίξασα στόμα, ἐκείνου τε τὴν γλῶτταν ἐξελκύσαι καὶ τῇ βελόνῃ τῇ κατὰ τὴν κεφαλὴν κατακεντῆσαι, πολλά τε καὶ μιαρὰ προσφθεγξαμένη, ἐπὶ τὸ βῆμα τεθῆναι προσέταξεν, ἵν' ὅθεν κατ' αὐτῆς δημηγορῶν ἠκούετο, ἐκεῖθεν καὶ ὁρῷτο.

Οὗτοί γε μόνοι ἐσώθησαν τότε, παρ' ὧν γε πλείονα ἔλαβον ἤπερ τελευτησάντων εὑρεῖν ἤλπισαν. Καὶ ἵνα μὴ κεναὶ ἐν τοῖς λευκώμασι τῶν ἀνδρῶν αἱ χῶραι ὦσιν, ἑτέρους ἀντέγραψαν ὅ τε Καῖσαρ καὶ Λέπιδος καὶ Ἀντώνιος. Τοιαῦτα μὲν περὶ τὰς σφαγὰς, πολλὰ δὲ καὶ

— Πορκίᾳ γὰρ τῇ] nonnulla exciderunt. Dixit auctor M. Junium Brutum, repudiata Claudia, uxorem duxisse Catonis filiam Porciam. — § 18. ἐν κιβωτίῳ κτλ.] Ex Dionis lib. XLIV, 16.

Fr. 72 *a*. Cf. Malalas p. 218, 14. Veriora v. ap. Strabon. XVII, p. 791, ibique Groskurd.

Fr. 73. Cf. Dio XLIV, 17 sq.

Fr. 74. Eutropius VII, 1 : *Anno urbis DCC fere ac nono, interfecto Cæsare, bella civilia reparata sunt. Percussoribus enim Cæsaris senatus favebat. Antonius consul, partium Cæsaris, civili bello opprimere eos conabatur. Ergo turbata republica multa Antonius scelera committens, a senatu hostis judicatus est. Missi ad eum persequendum duo coss. Pansa et Hirtius, et Octavianus adolescens.* — ὑπεξῆλθον] ὑπεξ. cod. — τιμὰς] τινὰς cod. — Ἵρτιος] Ἵρκτιος cod.

Fr. 75. Excerpta, male tamen, e Dion. XLVII, c. 9, ubi sic : Ὡς δ' οὖν καὶ ἡ τοῦ Κικέρωνός ποτε (κεφαλὴ) ἐκομίσθη σφίσιν, .. ὁ μὲν Ἀντώνιος πολλὰ αὐτῷ καὶ δυσχερῆ ἐξονειδίσας, ἔπειτ' ἐκέλευσεν αὐτὴν ἐκφανέστερον τῶν ἄλλων ἐν τῷ βήματι προτεθῆναι, ἵν' ὅθεν κατ' αὐτοῦ δημηγορῶν ἠκούετο, ἐνταῦθα μετὰ τῆς χειρὸς τῆς δεξιᾶς, ὥσπερ ἀπετέτμητο, ὁρῷτο. Ἡ δὲ δὴ Φουλουία ἔς τε τὰς χεῖρας αὐτὴν, πρὶν ἀποκομισθῆναι, ἐδέξατο, καὶ ἐπιπικρανομένη οἱ καὶ ἐμπτύσασα, ἐπί τε τὰ γόνατα ἐπέ-

περὶ τὰς τῶν ἄλλων οὐσίας συνέβαινε· καίτοι ταῖς τε γυναιξὶν τῶν ἀναιρουμένων τὰς προῖκας, καὶ τοῖς τέκνοις τὸ δέκατον τῆς οὐσίας μέρος παρεῖχεν ὁ Καῖσαρ. Ἐπορθεῖτο γοῦν πάντα ἀδεῶς. Τῶν μὲν γὰρ ἐνοικίων οἱ κτήτορες [τὸ ὅλον] ἀφῃροῦντο, τῶν δὲ προσόδων τὸ ἥμισυ. Καὶ πρός γε τοὺς στρατιώτας ἀπέτρεφον προῖκα. Δεκάτας τε αὖθις εἰσφέρειν τῶν προσόδων ἐπιτραπέντες μόλις αὐτοὶ δέκατον ἐκαρποῦντο μέρος. Αὐξήσεως γὰρ τῶν τελῶν πολλῆς γενομένης, καὶ πρὸς ἀνάγκης ἐς τὸ ναυτικὸν ἀπαιτούμενοι παῖδας, ἔστιν ὅτε καὶ ὠνούμενοι ἐδίδοσαν. Τάς τε ὁδοὺς οἰκείοις δαπανήμασιν ἐπεσκεύαζον. Μόνοι δὲ οἱ τὰ ὅπλα ἔχοντες ἐπλούτουν. Οἱ μὲν γὰρ τὰς οὐσίας τῶν τελευτησάντων ὅλας καὶ ᾔτουν καὶ ἐλάμβανον, οἱ δὲ καὶ ἐς τὰ τῶν ζώντων ἔτι γερόντων τε καὶ ἀτέκνων γένη ἐσεβιάζοντο. Ἐς τοσοῦτον γὰρ ἀπληστίας καὶ ἀναισχυντίας ἐχώρησαν, ὥστε τινὰ καὶ τὴν τῆς Ἀττίας τῆς τοῦ Καίσαρος μητρὸς ἀποθανούσης τότε καὶ δημοσίᾳ ταφῇ τιμηθείσης οὐσίαν παρ' αὐτοῦ τοῦ Καίσαρος αἰτῆσαι. Τοιαῦτα οἱ τρεῖς ἄνδρες ἐποίουν Καῖσαρ καὶ Λέπιδος καὶ Ἀντώνιος.

76.

Exc. De ins. p. 22 : Ὅτι μετὰ τὸ ἀνελεῖν Βροῦτον καὶ Κάσσιον τοὺς αὐθέντας Καίσαρα τὸν Αὔγουστον καὶ διαλαχεῖν κλήρῳ τὴν ἀρχήν, Ἀντώνιος ὁ ὕπατος πόλεμον ἔγνω κινεῖν κατὰ τὴν Ἰταλίαν ἐμφύλιον. Ἦν δὲ οὗτος ἀδελφὸς Μάρκου Ἀντωνίου, τοῦ σὺν Καίσαρι Βρούτῳ καὶ Κασσίῳ συμπολεμήσαντος. Οὐ πολλῷ γε μὴν χρόνῳ ἐν Περουσίᾳ πόλει Τυρρηνικῇ σφόδρα τῶν ἀναγκαίων ἐνδείᾳ πιεσθεὶς, ἥλω μὲν, οὐ μὴν ἀνῃρέθη, ἀλλ' ἐξηλάθη τῆς Ῥώμης πρὸς τοῦ Καίσαρος, σὺν τῇ γαμετῇ τοῦ Ἀντωνίου Φολουίᾳ· οὓς ὁ Καῖσαρ ἤλασεν ὡς νεωτεροποιοὺς καὶ πολυπράγμονας.

77.

Exc. De virt. p. 801 : Ὅτι μετὰ τὰς σπονδάς φασι δειπνεῖν παρὰ τῷ Πομπηίῳ τῷ παιδὶ Πομπηίου τόν τε Καίσαρα (Ἰούλιον) καὶ Ἀντώνιον, ἐν τῇ στρατηγίδι νηὶ παρασκευασαμένῳ τὸ δεῖπνον. Τοῦτο γὰρ ἔφη αὐτῷ μόνον καταλελεῖφθαι πατρῷον οἶκον. Ἤδη δὲ ἔνδον ὄντων καὶ τῆς συνουσίας ἀκμαζούσης Μηνᾶν τὸν πειρατὴν τὰ πλείστου ἄξια τῷ Πομπηίῳ ὑπηρετοῦντα, καὶ τότε προσελθεῖν τε αὐτῷ ἡσυχῇ, καὶ, « Βούλει, φάναι, τὰς ἀγκύρας τῆς νεὼς ὑποτεμὼν ποιήσω σε μὴ Σικελίας καὶ Σαρδόνος, ἀλλὰ τῆς Ῥωμαίων ἡγεμονίας κύριον; » Τὸν δὲ Πομπήιον ἀποκρίνασθαι· « Ἔδει σε, ὦ Μηνᾶ, τοῦτο πεποιηκέναι μὴ προειπόντα ἐμοὶ τὴν ἐπιχείρησιν. Νῦν δὲ οὐ πρὸς ἡμῶν ἐπιορκεῖν· τὰ παρόντα στέργωμεν. »

AUGUSTUS.

78.

Exc. Salmas. p. 392 : Ὀκταούϊος [ἐβασίλευσε] ἔτη ζ', ἡμέρας β'. Ἡμέρας μιᾶς πρὸ τεχθῆναι τοῦτον, εἶδεν ἡ μήτηρ αὐτοῦ, ὡς τὰ σπλάγχνα αὐτῆς ἐξαρπαγέντα εἰς οὐρανὸν ἐφέρετο· καὶ ἐν τῇ νυκτὶ ᾗ ἐγεννήθη, εἶδεν ὁ πατὴρ αὐτοῦ ὅτι ἐκ τῶν κόλπων τῆς αὐτοῦ γυναικὸς ἀνέτειλεν ὁ ἥλιος. Νιγίδιος δέ τις βουλευτὴς ἀστρολόγος, βραδύτερον προελθόντος τοῦ πατρὸς αὐτοῦ, ἠρώτησε τὴν αἰτίαν, ὁ δὲ ἔφη υἱὸν αὐτῷ τεχθῆναι· κἀκεῖνος, « Ὦ τί ἐποίησας; δεσπότην ἡμῖν ἐγέννησας, » ἀνεβόησε. Τρεφομένου δὲ τοῦ παιδὸς ἐν ἀγρῷ, ἀετὸς καταπτὰς ἄρτον ἐκ χειρῶν αὐτοῦ ἀφείλετο, καὶ ἐπανελθὼν πάλιν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ ἀπέθετο. Ἐν παισὶ δὲ τελοῦντα εἶδε καθ' ὕπνους αὐτὸν Κικέρων χρυσῇ ἁλύσει δεδεμένον, καὶ μάστιγα κρατοῦντα ἐν τῷ Καπιτωλίῳ χαλασθῆναι οὐρανόθεν. Ἐν δὴ τῷ μέλλειν αὐτὸν τελευτᾶν, κεραυνὸς ἐμπεσὼν εἰς τὴν εἰκόνα αὐτοῦ τὸ πρῶτον γράμμα τοῦ ὀνόματος αὐτοῦ ἠφάνισε, καὶ προεῖπον οἱ μάντεις ὅτι ἀποθανεῖται.

2. Οὗτος τοὺς λογίους τιμῶν μετεωρολέσχας ἀπήλαυνε, τόδε τὸ λόγιον προφερόμενος·

Μήτι πελώρια μέτρα γύης ὑπὸ σὴν φρένα βάλλου,
μηδὲ μέτρει μέτρῳ ἠελίου κανόνας συναθροίσας·
ἀιδίου βουλῇ φέρεται πατρὸς, οὐχ ἕνεκεν σοῦ·
ἀστέριον προκόλευμα σέθεν χάριν οὐκ ἐλοχεύθη.

3. Δρούσου θυγάτηρ Λιουία γαμετὴ ἦν Νέρωνός τι-

θηκε, καὶ τὸ στόμα αὐτῆς διοίξασα (l. διανοίξασα, ut ap. Xiphil. et n. l.), τήν τε γλῶσσαν ἐξείλκυσε καὶ ταῖς βελόναις, αἷς ἐς τὴν κεφαλὴν ἐχρῆτο, κατεκέντησε, πολλὰ ἅμα καὶ μιαρὰ προσεπισκώπτουσα. Καὶ οὗτοι δ' οὖν ὅμως ἔσωσάν τινας, παρ' ὧν γε καὶ πλείω χρήματα ἔλαβον ἢ τελευτησάντων εὑρήσειν ἤλπισαν. Καὶ ἵνα μή γε κεναὶ αἱ ἐν τοῖς λευκώμασι χῶραι τῶν ὀνομάτων αὐτῶν ὦσιν, ἑτέρους ἀντενέγραψαν. Sequentia simili modo exscripta sunt e cap. 15 sqq., ubi tu ipse videas.

Fr. 76. Eutrop. VII, 2 : *Primo prælio victi sunt Antonius et Cæsar, periit tamen dux nobilitatis Cassius : secundo Brutus et infinita nobilitas, quæ cum iis bellum gesserat. Ac sic inter eos divisa est respublica, ut Augustus Hispanias, Gallias, Italiam teneret, Antonius Asiam, Pontum, Orientem. Sed intra Italiam L. Antonius consul bellum civile commovit, frater ejus, qui cum Cæsare contra Brutum et Cassium dimicaverat. Is apud Perusiam, Tusciæ civitatem, victus et captus est, neque occisus.* — ἥλω μὲν] ἥλω μὴν, οὐ μὴν cod.

Fr. 77. Eadem de Sexto Pompeio habet Suidas : Πομπήιος, Ῥωμαίων στρατηγός· περὶ οὗ φασιν ὅτι μετὰ τὰς σπονδὰς δειπνεῖν τὸν Καίσαρα καὶ Ἀντώνιον παρὰ Πομπηίῳ τῷ παιδὶ Πομπηίου ἐν τῇ στρατηγίδι etc. — τοῦτο γὰρ] τοῦτον γὰρ ἔφη μόνον αὐτῷ Suid. — βούλει] sic pro vg. βούλῃ Suidæ codd. V E. — νεὼς] νηὸς scripsit Bernhardy ap. Suid. — στέργωμεν] e Suida; στέργομεν cod. Hæc etiam ap. Suidam v. στέρξω afferuntur ita : Πολύβιος· « Νῦν δὲ οὐ πρὸς ἡμῶν ἐπιορκεῖν· τὰ παρόντα στέρξωμεν. » — Partem hujus loci iterum affert Suidas v. τὰ πλείστου ἄξια. Ceterum de his Joannes, contra quam solet, Dione Cassio (XLVIII, 38) uberior est, ut suspicio nasci possit Dionem in his esse breviatum. Attamen fieri potest ut sua Joannes duxerit ex Plutarch. Anton. c. 32.

Fr. 78. § 1. ἐβασίλευσε] addidi, nescio an recte. Illud intellige tempus quod ab pugna Actiaca labitur usque ad an. 23, quo Octavianus nomen Augusti adscivit. De prodigiis, quæ in seqq. memorantur, disertiora vide ap. Sueton. Octav. c. 94 et 97. — § 2. τόδε τὸ λογ.] τὸ δὲ λόγ. codex. — § 3. Λιουία] Ἰουλία codex. Fluxerunt hæc ex Dione Cass.

νος, ἐξ οὗ καὶ παῖδα Τιβέριον εἶχεν· εἶτα ϛ' μηνῶν ἐγγύου οὔσης, ἠναγκάσθη Νέρων ὁ ταύτης ἀνὴρ, εἴτε ὑπὸ τοῦ πρώτου Καίσαρος, εἴτε ὑπὸ τοῦ Ὀκταυΐου, ἐκδοῦναι αὐτὴν αὐτῷ, ὡς πατήρ. Τεκούσης οὖν μετὰ τρεῖς μῆνας τοῦ γάμου, τὸ μὲν τεχθὲν Νέρωνι τῷ πατρὶ ἀπέπεμψεν. Ἐντεῦθεν δὲ αἴτιος γέγονε τοῦ λέγεσθαι παροιμίαν, « τοῖς εὐτυχοῦσι καὶ τρίμηνα παιδία. »

4. Οὗτος τοσοῦτον ὑπὸ πάντων ἠγαπᾶτο, ὥστε καί τις ἐκέλευσε τοῖς ἑαυτοῦ κληρονόμοις θῦσαι, ὅτι ζῶντα τὸν Σεβαστὸν καταλείπει. Δυστυχήσας δὲ περὶ γάμον καὶ τὰ εἰς παῖδας ἐκβεβηκότα, ἐβόα·

Αἴθ' ὤφελον ἄγαμός τ' ἔμεναι ἄγονός τ' ἀπολέσθαι.

Περὶ δὲ ὀρθογραφίαν ἐσπουδάκει, ὥστε καὶ διάδοχόν τινι τῶν ἀρχόντων ἔπεμψεν, ὅτι αὐτῷ ἐπιστέλλων τῆς ὀρθῶς ἐχούσης ἐσφάλη γραφῆς.

5. Τούτου ποτὲ δικάζοντος, καὶ πολλῶν θάνατον καταψηφισαμένων, Μηκήνας τις ἀνὴρ σοφὸς ἀγαπώμενος ὑπ' αὐτοῦ, μὴ δυνάμενος ἐντυχεῖν αὐτῷ διὰ τὸ πλῆθος, ἔγραψεν ἐν χάρτῃ « ἀνάστηθι, δήμιε, » καὶ σημηνάμενος ἔρριψεν ἐν τῷ κόλπῳ αὐτοῦ. Ὅπερ ἀναγνοὺς ἐκεῖνος ἀνέστη, καὶ ἐκέλευσεν ἀργῆσαι τὰ κριθέντα. Τινός ποτε τῶν συστρατευσαμένων αὐτῷ δεηθέντος τῆς εἰς τὸ βουλευτήριον αὐτοῦ παρουσίας, εἶπεν αὐτὸς μὲν ἀσχολεῖσθαι, ἐπιτρέψαι δέ τινι τῶν φίλων παραγενέσθαι καὶ τὴν χρείαν πληρῶσαι· καὶ ὃς ὀργισθεὶς ἔφη, « Ἐγὼ μέν τοι ὁσάκις τῆς ἐμῆς ἐπικουρίας ἐδεήθης, οὐκ ἄλλον ἀντ' ἐμοῦ ἔπεμψα. » Ἐρυθριάσας οὖν ὁ Καῖσαρ καὶ συναπῆλθε καὶ συνέπραξε.

6. Μανιώδης δὲ ἦν περὶ τὰς ἀλλοτρίας γυναῖκας, ὡς καὶ τοὺς ἄνδρας αὐτῶν ἐξυπηρετεῖν τῷ μιάσματι. Ἡνίκα γὰρ ἤρχετό τις τῶν βουλευτῶν πρὸς αὐτὸν, ὡραίαν ἔχων γυναῖκα, ἔπεμπε πρὸς αὐτὸν τὸν οἰκεῖον δακτύλιον, καὶ ἠξίου ἐμβαλεῖν τὴν γαμετὴν ἐν τῷ κατάστέγῳ φορείῳ, καὶ κατασημηνάμενον αὖθις τὸν δακτύλιον ἀντιπέμψαι· καὶ οὕτως δεχόμενος τὴν γυναῖκα ἐν τῷ φορείῳ ἀσελγαίνων ἐσφράγιζε καὶ ἀνταπέστελλε. Ποτὲ γοῦν ἐκέλευσέ τινι τὴν ὁμευνέτιν αὐτῷ πέμψαι. Ὁ δὲ μὴ δυνάμενος ἀντειπεῖν, ἀπωδύρετο. Ἐπιστὰς δὲ ὁ Ἀθηνόδωρος ὁ Ἀλεξανδρεὺς, ὃν ὡς σοφὸν ἀεὶ σύνοικον καὶ διδάσκαλον ἔσχεν ὁ Καῖσαρ, καὶ τὴν αἰτίαν μαθὼν, ἑαυτὸν ᾔτησεν ἐμβαλεῖν τῷ φορείῳ, καὶ κατασημηνάμενον ἀποστεῖλαι γυμνὸν ξίφος ἐπιφερόμενον. Ἀπαχθέντος δὲ, δοκῶν ὁ Καῖσαρ τὴν τοῦ συγκλητικοῦ εἶναι γυναῖκα, κλείσας τὰς θύρας ἀνέῳξε τὸ φορεῖον, καὶ ἐξέθορε ξιφήρης ὁ Ἀθηνόδωρος, καὶ πάνυ τὸν Καίσαρα κατέπληξε· δεδιότα δὲ αὐτὸν ἀνακτησάμενος ἐκεῖνος τοῖς μεγίστοις ὅρκοις κατέδησε, μηδέποτ' ἄλλοτε τοῦτο πρᾶξαι. Ὃν τοσοῦτον ὑπερηγάπησεν, ὥστε τὴν σύγκλητον συναγαγὼν καὶ πολλὰ τὸν Ἀθηνόδωρον ἐγκωμιάσας, καὶ τοῦτο προσέθηκεν, ὡς κακὸν βίον ἐσχηκὼς ὑπὸ Ἀθηνοδώρου ἐπηνωρθώθη.

7. Οὗτος ὁ φιλόσοφος ἠξίου τὸν Καίσαρα συγχωρῆσαι αὐτῷ εἰς τὴν πατρίδα ἐπανελθεῖν. Καὶ μόλις πείσας, ἀσπαζόμενος αὐτὸν, ἐπικύψας πρὸς τὸ οὖς παρεκάλει ἵνα ὁσάκις ὀργισθῇ, μὴ πρότερον κελεύσῃ τὸ πρακτέον, πρὶν ἂν καθ' ἑαυτὸν ἀριθμήσῃ τὰ [κδ'] γράμματα· ᾔδει γὰρ αὐτοῦ τὸ ὀξύθυμον καὶ εὐμετάβλητον. Ὁ δὲ Καῖσαρ ἀσπαζόμενος ἔφη, « Εὖγε ὑπέμνησάς με, ὡς ἀτελὴς εἰμὶ, καὶ οὐ συγχωρήσω σοι τέως τῆς ἐνεγκαμένης ἐπιβῆναι. » Παρεγγύησεν ὁ Καῖσαρ ἵνα ἐν τῇ τελευτῇ αὐτοῦ κροτήσωσι καὶ γελάσωσιν, ὡς ἐπὶ μίμου τελευτῇ, δηλονότι ἀποσκώπτων εἰς τὸν ἀνθρώπινον βίον.

79.

TIBERIUS.

Exc. De virt. p. 801 : Ὅτι Τιβέριος ὁ βασιλεὺς Ῥωμαίων ἰδιωτάτῃ φύσει ἐκέχρητο· οὔτε γὰρ ὧν ἐπεθύμει προσεποιεῖτό τι, καὶ ὧν ἔλεγεν οὐδὲν ὡς εἰπεῖν ἐβούλετο· ἀλλ' ἐναντιωτάτους τῇ προαιρέσει τοὺς λόγους ποιούμενος πᾶν [τε] ὃ ἐπόθει ἠρνεῖτο, καὶ πᾶν ὃ ἐμίσει προετίθετο. (2) Τοιοῦτος δή τις ὢν τοὺς ἄρχοντας οὓς ὑπὲρ τὸ διατεταγμένον λαμβάνοντας εὕρισκεν ἢ καὶ τὰ δημόσια σφετερίζοντας, ἐκόλαζε, λέγων· « Κείρε-

XLVIII, c. 44. Cf. Sueton. Oct. 62. Tiber. c. 4; Vellejus II, 94; Aurel. Vict. Epit. 4. Res pertinet ad an. 38. — ὑπὸ τοῦ πρώτου Καίσαρος] Quomodo hoc dicere auctor potuerit, haud capio. — ὡς πατήρ] Dio l. l. : ἐξέδωκεν αὐτὴν αὐτὸς ὁ ἀνὴρ ὥσπερ τις πατήρ. — ἐντεῦθεν κτλ.] Dio : Καῖσαρ τὸ γεννηθὲν Λιουίᾳ τῇ ἑαυτοῦ γυναικὶ παιδίον Νέρωνι τῷ πατρὶ ἀπέδωκε. Καὶ ἐκεῖνος τελευτῶν οὐ πολλῷ ὕστερον ἐπίτροπον καὶ τούτῳ καὶ τῷ Τιβερίῳ αὐτὸν τὸν Καίσαρα κατέλιπεν. Ὁ δ' οὖν ὅμιλος ἄλλα τε ἐπὶ τούτῳ πολλὰ διεθρύλλει, καὶ τοῖς εὐτυχοῦσι τρίμηνα παιδία γεννᾶσθαι ἔλεγεν· ὥστε καὶ ἐς παροιμίαν τὸ ἔπος προχωρῆσαι. — § 4. Οὗτος τοσοῦτον κτλ.] v. Sueton. Oct. c. 59. — δυστυχήσας δὲ] v. Sueton. Oct. 65. — διάδοχόν τινι] δ. τινα, cui suprascriptum est τινι, cod. De re vide Sueton. c. 68. — § 5. Τούτου vel τοῦ αὐτοῦ ποτὲ] ταῦτα ποτὲ codex. Quæ hoc segmine leguntur iisdem pæne verbis habet Chron. Anon. cod. Paris 854 in Cram. An. II, p. 276. Μηκήνας κτλ.] Μηκίνας cod. De re v. Dio Cass. LV, 7. Zonar. p 638, C. — Τινός ποτε κτλ.] vide Zonar. p. 538, A. — § 6. Paucis hæc tanguntur in nostris Dionis codd. libr. LVI, 43. Fusius rem narrat Zonaras p. 544, B. Cf. etiam Chron. cod. 854, p. 276 ed. Cram. — § 7. Eisdem verbis hæc narrat Chron. Anonym. l. l. Cf. Plutarch. Apophthegm. Regg. p. 207, D. Dio Cass. LII, 37.

Fr. 79. Idem excerptum in brevius contraxit Suidas v. Τιβέριος. — § 1. Prima hæc usque ad ὃ ἐμίσει προετίθετο exscripta sunt ex Dione Cass. LVII, 1 init. — λόγους] sic dedi e Dione pro λογισμοὺς, quod codex noster et Suidas exhibent culpa excerptoris. Mox part. τε ex eodem Dione addidi. — προετίθετο] scripsi pro προσετίθετο, quod codex et Suidas; certe ita scribere excerptor poterat; quamquam apud Dionem est : προετείνετο (προσετείνετο var. lect.); quodsi hoc ipsum nostro quoque loco restitui malis, nihil refragor. Vulgatam προσετίθετο quidam firmare studuerunt scribendo τούτῳ προσετ., uti est in Suidæ codicibus, non optimis quidem, sed plurimis. — § 2. Τοιοῦτος... λέγων] Pro his Suidas abrupte : τοὺς περισσὰ ἐπαίροντας ἄρχοντας ἐκόλαζε λέγων.

σθαί μου τὰ πρόβατα, ἀλλ' οὐκ ἀποξυρᾶσθαι βούλομαι. » (3) Οὕτω τε ἐς πάντα ἴσος καὶ ὅμοιος ἦν, ὥστε, ὀρχηστήν τινα τοῦ δήμου ἐλευθερωθῆναί ποτε βουληθέντος, μὴ πρότερον συνεπαινέσαι, πρὶν τὸν δεσπότην αὐτοῦ πεισθῆναι καὶ τὴν τιμὴν λαβεῖν. Τοῖς γε ἑταίροις ὡς ἐν ἰδιωτείᾳ συνῆν, δικαζομένοις συναγωνιζόμενος, καὶ θύουσι συνεορτάζων, νοσοῦντάς τε ἐπισκεπτόμενος, μηδεμίαν φρουρὰν ἐπαγόμενος. (4) Ἀλλὰ καὶ δόγμα προέθηκεν, ὥστε μήτε αὐτὸν μήθ' ἕτερόν τινα σηρικῇ ἐσθῆτι χρῆσθαι, τόν τε χρύσεον ὅλον κόσμον γυναιξὶ μόναις ἐπιτρέψας· πολλὰ δὲ καὶ εἰς ἐπανορθώσεις τῶν πόλεων δαπανήσας. (4) Τῶν τε Ἰουδαίων πολλῶν ἐς τὴν Ῥώμην συνελθόντων καὶ συχνοὺς τῶν ἐπιχωρίων ἐς τὰ σφέτερα ἔθη μεθιστάντων, τοὺς πλείονας ἐξήλασε. (5) Τοιοῦτος οὖν τις ὤν, αἰφνιδίως εἰς τὴν χείρονα γνώμην μετεβλήθη, ὥστε αὐτὸν καὶ παραφρονεῖν νομισθῆναι καὶ ὑπό τινος ἐλαύνεσθαι δαιμονίου. Πολλοῦ τε πάθους αἴτιος τοῖς Ῥωμαίοις ἐγένετο, κοινῇ τε καὶ ἰδίᾳ προσαναλίσκων τοὺς ἄνδρας. (6) Ἔδοξε γὰρ αὐτῷ τὰς τῶν κυνηγίων θέας τῆς πόλεως ἀπελάσαι. Καὶ διὰ τοῦτό τινες ἔξω ταύτας τελεῖν πειραθέντες, αὐτοῖς συνδιεφθάρησαν τοῖς θεάτροις ἔκ τινων σανίδων εἰργασμένοις. (7) Ὁ αὐτὸς τὰς τῶν ἐπισήμων ἀνδρῶν ἐνυβρίζων γυναῖκας, ἅπαντα δι' αὐτῶν τὰ κοινὰ κατεμάνθανε, καὶ πρός γε συνεργοὺς αὐτὰς τῶν μιαρῶν πράξεων, ὡς καὶ γαμηθησομένας, ἐποιεῖτο. Ἐπὶ τούτοις τε Μουκίαν καὶ τὸν ταύτης ἄνδρα ἅμα δυσὶ θυγατράσιν ἀνεῖλε διὰ τὴν πρὸς τὴν αὐτοῦ μητέρα φιλίαν. (8) Σεϊανόν τε, ἄνδρα ὑπ' αὐτοῦ τε καὶ τῆς βουλῆς ἐπὶ τοῖς μεγάλοις ἀξιώμασι προαχθέντα, αὐτοκράτορά τε ψηφισθέντα, παρὰ τὰς ἁπάντων ἐλπίδας διέφθειρεν. Ὃν γὰρ αὐτὸς καὶ παῖδα καὶ διάδοχον ἐκάλει, τοῦτον ἕλκεσθαι διὰ τῆς ἀγορᾶς παρεσκευάκει· καὶ ὃν ἅπαντες οἱ τῆς βουλῆς ἐδορυφόρουν, τοῦτον ἐκ τοῦ συνεδρίου ἐπὶ τὸ δεσμωτήριον ἀπήγαγον, ἀντὶ στεφάνου δεσμὰ καὶ ἀντὶ ἁλουργίδος τριβώνιον περιθέντες· ὡς καὶ διὰ τούτου ἄν τις τὴν ἀνθρωπείαν ἀσθένειαν κατεῖδε. Σεϊανὸς μὲν δή, μέγιστον τῶν πρὸ αὐτοῦ δυνηθεὶς, τοιοῦτον ἔσχε τέλος. (9) Φίλοι δὲ αὐτοῦ καὶ συγγενεῖς ἀδίκως διεφθείροντο. Ὡς τοσοῦτον ἐκλεῖψαι τὴν σύγκλητον, ὥστε μηδὲ ἐς τὰς κατ' ἔτος ἀρχαιρεσίας διαρκεῖν. Παρακαλούμενός τέ ποτε ὑπὸ τῶν φίλων τοῦτο δὴ τὸ ἀρχαῖον ἐφθέγξατο·

Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί.

Πολλάκις δὲ καὶ τὸν Πρίαμον ἐμακάρισεν, ὅτι μετὰ τῆς πατρίδος ἀπώλετο καὶ τῆς βασιλείας. (10) Οὕτω τοίνυν τὴν ἀρχὴν διῳκήσατο, φοβερᾷ μὲν ὠμότητι, μυσαρᾷ δὲ πλεονεξίᾳ, αἰσχρᾷ τε ἡδυπαθείᾳ χρησάμενος. Καὶ στρατεύσας κατὰ Περσῶν ἐπὶ συνθήκαις ὑπέστρεψεν.

79 *a*.

Suidas v. Τιβέριος. « Ἄριστος δὲ ὑπάρχων ἐν νεότητι καὶ πρὸς γῆρας ἐλθὼν αἰφνίδιον εἰς τὴν χείρονα μετεβλήθη γνώμην, ὥστε καὶ παραφρονεῖν αὐτὸν νομισθῆναι καὶ ὑπὸ δαίμονος ἐλαύνεσθαι πρὸς πᾶσαν ἀνοσιουργίαν τε καὶ μανίαν καὶ οἰστρηλασίαν, οὐ μόνον ἐν τοῖς κατὰ φύσιν, ἀλλὰ καὶ ἐν τοῖς παρὰ φύσιν, καὶ ἐν πάσῃ ἀδικίᾳ καὶ τυραννίδι. Οὕτω δὲ μεταπεσὼν εἰς κακίαν καταστρέφει τὸν βίον. » Hæc junge cum fr. 79, § 5.

— ἀποξυρᾶσθαι] ἀποξύρασθαι. Valesius; ξυρᾶσθαι Suidas; ἀποξύρεσθαι Dio Cass. LVII, 10 extr. Idem dictum ap. Sueton. Tiber. c. 32, Orosium VII, 4. — § 3. οὕτω... ἐπαγόμενος] Verba sunt Dionis LVII, 11, mutatis levissimis quibusdam. Suidas hæc partim corrupit, partim omisit. Ipse tu videas. — ὀρχηστὴν] Accium histrionem, teste Suetonio. — πεισθῆναι] καὶ π. Dio. — τοῖς γε] τοῖς γὰρ Suid.; Dio : τοῖς τε ἑτ. ὡς καὶ ἐν ἰ. συνῆν· καὶ γὰρ δικαζομένοις σφίσι συνηγωνίζετο, καὶ θύουσι συνεόρταζε, νοσοῦντάς τε ἐπεσκέπτετο, μηδ. φρ. ἐπεισαγόμενος. — ἐπανορθώσεις τῶν πόλεων] v. Dio LVII, 17. — § 4. Dio LVII, 15 ita : Ὁ Τιβέριος ἀπεῖπε μὲν ἐσθῆτι σηρικῇ μηδένα ἄνδρα χρῆσθαι (χρᾶσθαι noster cod. et Xiph. in cod. Coisl.), ἀπεῖπε δὲ καὶ χρυσῷ σκεύει μηδένα, πλὴν πρὸς τὰ ἱερὰ, νομίζειν (Cf. Tacit. II, 33). — § 4. τῶν δὲ Ἰουδαίων, etc.] « At hæc in Dionis exemplaribus hodie non leguntur, ob eam causam quam supra in notis ad Dionem adduxi, quia scilicet ii Dionis libri a nescio quo breviati ad nos pervenerunt. Ceterum de turba ac multitudine Judæorum qui Romæ omnes angiportus impleverant, testis sit Cicero in Orat. pro Flacco, ubi de auro Judaico loquitur. *Scis*, inquit, *quanta sit manus*, *quanta concordia*, *quantum valeat in concionibus*. Adeo verum est quod de iisdem Judæis ait Rutilius Numatianus in itinerario : *Latius excisæ gentis contagia serpunt*, *Victoresque suos natio victa premit*. » Valesius. — τοὺς πλείονας ἐξήλασε] « Anno Urbis 772 M. Silano, L. Norbano coss., ut scribit Tacitus l. 2 in fine, *Actum de sacris Ægyptiis Judaicisque pellendis*. Suetonius in Tiberio (c. 36), Philo in Legatione ad Caium, et omnium optime Josephus l. 18 Antiq. c. 4 et 5. » Valesius — § 5. τοιοῦτος ὢν κτλ.] De mutatis Tiberii moribus verbo monuit Dio LVII, 19 init. et c. 19 extr., qui locus ex Exc. Peirescianis additus est. Fortasse etiam nostra in integro Dionis opere legebantur. Ceterum hunc locum uberiorem exhibere licet ex alio Exc. titulo, quo Suidas usus est. Is enim ad Tiberium Justini II successorem inepte refert quæ ad Nostrum pertinent hæcce : Ἄριστος δὲ ὑπάρχων ἐν νεότητι etc., quæ subjunxi in fr. 79, a. — § 8. ἄν τις... κατεῖδεν] αὖθις... κατιδεῖν codex; em. Valesius. Etenim Dio LVIII, 11, narrata nece Sejani, dicit : Ἔνθα δὴ καὶ μάλιστα ἄν τις τὴν ἀνθρωπίνην ἀσθένειαν κατεῖδεν, ὡς μηδαμῇ μηδαμῶς φυσᾶσθαι. — § 9. ἐμοῦ θανόντος... τῆς βασιλείας] Verba Dionis LVIII, 23. Cf. Sueton. Tiber. c. 67. — § 10. τὴν ἀρχὴν διῳκήσατο... χρησάμενος] Eadem verba habes apud Suidam in eo articulo, quem sub num. 79 *b* apposui, quemque latine præbet Eutropius VII, 6 : *Tiberius ingenti socordia imperium gessit*, *gravi crudelitate*, *scelesta avaritia*, *turpi libidine. Nam nusquam ipse pugnavit : bella per legatos suos gessit : quosdam reges*, *per blanditias ad se evocatos*, *nunquam remisit : in quibus Archelaum Cappadocem*, *cujus etiam regnum in provinciæ formam redegit*, *et maximam civitatem appellari nomine suo jussit*, *quæ nunc Cæsarea dicitur*, *quum Mazaca ante vocaretur*. — καὶ στρατεύσας κτλ.] Inepta hæc Excerptoris negligentiæ debentur. Postquam de Archelao auctor dixerat, haud dubie addidit etiam contra Parthos Tiberium *astu et consiliis egisse*, *arma procul habuisse* (Tacit. Ann. VI, 32).

79 *b*.

Suid : Τιβέριος, Ὀκταβίου υἱὸς, βασιλεὺς Ῥωμαίων, ἐμπλήκτως καὶ ἀνοήτως τὴν ἀρχὴν διῳκήσατο, φοβερᾷ μὲν ὠμότητι, μυσαρᾷ δὲ καὶ ἀθέσμῳ πλεονεξίᾳ, αἰσχρᾷ τε ἡδυπαθείᾳ χρησάμενος· στρατείαν μὲν γὰρ ἅπασαν αὐτὸς ἠρνήσατο, διὰ δὲ τῶν ὑποστρατήγων γλίσχρως καὶ ῥαθύμως τοῖς ἐναντίοις προσπολεμῶν *. Κακοήθης δὲ ὢν ἔστιν οὓς τῶν συμμάχων βασιλεῖς τῶν οἰκείων ἀρχῶν ἀπάτῃ μετελθὼν ἀφείλετο· ὧν Ἀρχέλαος ἦν ὁ Καππαδόκων βασιλεὺς, ὃν ἠπίοις καὶ θεραπευτικοῖς καλέσας ὡς ἑαυτὸν λόγοις, οὐκέτι πρὸς τὴν οἰκείαν ἀπονοστῆσαι συνεχώρησεν, ἀλλ' ἐπαρχίαν τὴν Καππαδοκίαν ἀπέφηνε, καὶ τὴν μεγίστην τῶν τῇδε πόλεων, Μάζακα ἔμπροσθεν ὑπὸ τῶν ἐποίκων ὀνομαζομένην, ἀφ' ἑαυτοῦ φέρειν τὴν προσηγορίαν ἐπέταξεν· ἥπερ δὴ καθ' ἡμᾶς Καίσαρός ἐστι ἐπώνυμος. Ἐς γῆρας δὲ ὅμως μακρὸν προελθὼν θνήσκει. Cf. fr. 49, § 10.

80.

Exc. De ins. p. 22 : Ὅτι Ἡρώδης ὁ τὸν Πρόδρομον ἀποκεφαλίσας, γενόμενος ἐμπληθὴς, ἐκρίνετο μῆνας η', καὶ κατὰ τὸν αὐτοῦ κοιτῶνα ἀνῃρέθη ξίφει, συνειδυίας, ὥς φασι, καὶ τῆς γυναικὸς αὐτοῦ.

81.

Ibid. p. 22 : Ὅτι ἐπὶ Τιβερίου τοῦ βασιλέως γενόμενος ὁ Κύριος Ἰησοῦς ἐτῶν λγ', ὑπὸ τῶν Ἰουδαίων κατηγορεῖτο, ὡς καταλύων αὐτῶν τὴν δόξαν, καὶ ἑτέραν ἀντεισάγων καινήν. Καὶ συναχθέντες ἅπαντες ἐν Ἱεροσολύμοις, στάσιν ἐκίνουν κατ' αὐτοῦ, βλασφημίας καταχέοντες εἴς τε τὸν Θεὸν καὶ τὸν Καίσαρα. Ἐντεῦθεν παρρησίαν λαβόντες, καὶ κρατήσαντες αὐτὸν ἐν νυκτὶ, παρέδωκαν Ποντίῳ Πιλάτῳ τῷ ἡγεμόνι· ὅστις εἴτε διὰ δειλίαν τοῦ πλήθους, εἴτε δι' ἐπαγγελίαν χρημάτων, μηδεμίαν αἰτίαν εὑρηκὼς, ἐκέλευσεν αὐτὸν σταυρωθῆναι. Καὶ σταυρωθέντος αὐτοῦ, σεισμὸς ἐγένετο μέγας καὶ σκότος ἐπὶ πᾶσαν τὴν γῆν. Γευσάμενος δὲ θανάτου, ἀνέστη ἀπὸ τῶν νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελήφθη εἰς τοὺς οὐρανούς. Μάρτυρες γεγόνασι πολλοὶ θεασάμενοι καὶ συγγράψαντες.

82.

CAIUS CALIGULA.

Exc. De virt. p. 802 : Ὅτι ὁ Γάϊος μιαρώτατός τις καὶ ἀνοσιώτατος ἐγένετο. Καὶ τοσοῦτον ὁρμαθὸν κακῶν συνειληφὼς ἐπεκάλυψε τὰ [τοῦ] Τιβερίου μειονεκτήματα. Ὅσα γὰρ τῷ Αὐγούστῳ ἐν πολλῷ χρόνῳ περιεποιήθη, οὗτος ἐν μιᾷ ἡμέρᾳ ἀπεκτήσατο. Μοιχικώτατός τε ἀνθρώπων γενόμενος καὶ γυναῖκας ἡρμοσμένας καὶ γεγαμημένας ἐλάμβανε. Τήν τε ἑαυτοῦ τιθήνην ἐπιτιμήσας ἀνοίας ἐς ἀνάγκην ἑκουσίου θανάτου κατέστησεν. Ἐχρῆτο δὲ καὶ ταῖς ἀδελφαῖς καὶ παρανόμων ἐκοινώνει μίξεων, ὡς καὶ πατὴρ ἀνοσίας καταστῆναι γονῆς ἐκ μιᾶς αὐτῷ τῶν ἀδελφῶν ἀποκυηθείσης. Ναούς τε καὶ θυσίας ὡς ἡμιθέῳ γίνεσθαι παρεσκεύαζε. Τοιούτῳ τότε αὐτοκράτορι οἱ Ῥωμαῖοι παρεδόθησαν· ὥστε τὰ τοῦ Τιβερίου ἔργα, καίπερ χαλεπώτατα δόξαντα γεγονέναι, τοσοῦτον τὰ τοῦ Γαΐου, ὅσον τὰ τοῦ Αὐγούστου παρ' ἐκεῖνα παρενεγκεῖν. Τιβέριος μὲν γὰρ αὐτός τε ἦρχε, καὶ ὑπηρέταις τοῖς ἄλλοις πρὸς τὸ ἑαυτοῦ βούλημα ἐχρῆτο· Γάϊος δὲ ἤρχετο μὲν καὶ ὑπὸ τῶν ἁρματηλατούντων καὶ ὁπλομαχούντων καὶ σκηνικῶν καὶ τραγῳδῶν πολλάκις καὶ αὐτὸς ἐνδεικνύμενος, καὶ τὴν βουλὴν πρὸς ἀνάγκας μετακαλούμενος. Εἰκοστὸν γὰρ δὴ καὶ πέμπτον ἄγων ἔτος τὴν προτέραν γαμετὴν ἐκβαλὼν τὴν Κορνηλίου Ὀρέστου ἥρπασε θυγατέρα ἐν αὐτοῖς τοῖς γάμοις, ἐγγεγυημένην Καλπουρνίῳ. Πολλούς τε διὰ ταῦτα συκοφαντῶν ἀνῄρει· τὸ δὲ ἀληθὲς διὰ τὰς οὐσίας. Οἵ τε γὰρ θησαυροὶ ἐξανάλωντο, καὶ οὐδὲν αὐτῷ ἐξήρκει. Αὖθις δὲ ταύτην ἐκποδὼν ποιησάμενος, Λολίαν ἠγάγετο, αὐτὸν τὸν ἄνδρα αὐτῆς Μέμμιον Ῥηγοῦλον ἐγγυῆσαί οἱ τὴν γυναῖκα ἀναγκάσας, ἵνα μὴ καὶ ἀνέγγυον αὐτὴν παρὰ τοὺς νόμους λάβῃ. Ἐκ δὲ τῶν μοιχειῶν, ὡς καὶ τὴν πᾶσαν Κελτικὴν καὶ Βρεττανικὴν κεχειρωμένος, αὐτοκράτωρ τε πολλάκις Γερμανικὸς καὶ Βρεττανικὸς ἐπεκλήθη. Ἐπαρθείς τε ἐπὶ τούτοις Ζεύς τε ἐλέγετο, καὶ τὰς ἐκείνου στήλας εἰς αὐτὸν μετερρύθμιζε. Ταῖς τε γὰρ βρονταῖς ἐκ μηχανῆς τινος ἀντεβρόντα, καὶ ταῖς ἀστραπαῖς ἀντήστραπτεν· ὅπου (ὁπότε Dio) δὲ κεραυνὸς κατέπεσε λίθον ἀντηκόντιζεν.

Fr. 80. Cf. Malalas p. 239, 18 : Ὁ δὲ αὐτὸς βασιλεὺς Ἡρώδης ὁ Φιλίππου (Herodes Antipas, Philippi frater, Herodis M. filius), γενόμενος ἐμπληθὴς ἐκρίνετο ἐπὶ μῆνας η' καὶ ἐσφάγη ἐν τῷ κουβικλείῳ αὐτοῦ μετὰ τοὺς η' μῆνας, συνειδυίας καὶ τῆς γυναικὸς αὐτοῦ, καθὼς ὁ σοφώτατος Κλήμης συνεγράψατο. Pro ἐκρίνετο, quod nostra quoque Exc. exhibent, Chilmeadus ad Mal. scribi vult ἐκλίνετο. — ἐμπληθὴς] *ex obesitate decumbens*. Eandem vocem ἐμπλ. iterum habet Joannes ap. Suidam v. Νέρων. — Πρόδρομον dici constat Joannem Baptistam. Herodem Antipam in exilio obiisse tradit Josephus; de mortis genere tacet. Fortasse ex eodem Joanne sua habet Suidas v. Ἡρώδης. Ceterum mortem Antipæ Joannes anticipando commemoravit, ut ex serie fragmentorum colligitur.

Fr. 82. Eadem usque ad verba παρ' ἐκεῖνα leguntur apud Suidam v. Γάϊος p. 1060, 18 ed. Bernh., coll. v. ὁρμαθός. Excerpta sunt ex Dion. Cass. LIX, 5 sqq. Cf. Eutrop. VII, 7 : *Successit ei Caius Cæsar, cognomento Caligula,... sceleratissimus ac funestissimus, et qui etiam Tiberii dedecora purgaverit... stupra sororibus intulit : ex una etiam natam filiam agnovit*. Ceterum ex Joanne etiam fluxerit alter de Caio articulus, qui apud Suidam nostro loco præmittitur. — τὰ τοῦ Τιβ.] τοῦ add. e Suida. — ἐχρῆτο] ἐχρῶτο Val. — ἀποκυηθείσης] ἀπογεννηθείσης Suid. — τότε αὐτοκρ.] τότε om. Suidas, habet Dio Cass. LIX, 5 init. — παρ' ἐκεῖνα] sic Dio 59, 5; παρ' ἐκείνου codex.; fort. erat παρὰ τὰ ἐκείνου; παρ' ἐκείνῳ Suid. codd. A B E. — παρενεγκεῖν] παρήνεγκαν Suid. — πρὸς ἀνάγκας] velim saltem ὡς πρ. ἀν. Disertius Cassius l. l. : ὡς καὶ ἐπ' ἀναγκαῖόν τι βούλευμα μεταπεμψάμενος. — τὴν Κορνηλίου κτλ.] V. Dion. LIX, 8, ibiq. interpr. — ἐκ μηχανῆς τινος κτλ.] V. Dio 59, 28 p. 934, 30.

83.

Exc. Salm. p. 395 : Γάϊος τὰς δύο ἀδελφὰς αὐτοῦ διεπαρθένευσεν. Ἰδὼν δὲ πηλὸν ἐν στενωπῷ, ἐκέλευσεν ἀχθῆναι Οὐεσπασιανὸν, [τότε ἀγορανόμον] ὄντα, καὶ ἐμβληθῆναι τὸν πηλὸν εἰς τὸν κόλπον αὐτοῦ. Οὗτος κυβεύων ποτὲ ἐν Γαλλίαις, καὶ μαθὼν ὡς οὐκ ἔστιν αὐτῷ ἀργύριον, ἀναστὰς ἐκέλευσε πολλοὺς πλουσίους ἀναιρεθῆναι· καὶ ἐλθὼν πρὸς τοὺς συγκυβευτὰς εἶπεν, « Ἐν ᾧ ὑμεῖς περὶ ὀλίγου φιλονεικεῖτε, ἐγὼ πλῆθος χρημάτων συνήγαγον. » Ἐλέγετο δὲ Καλλιγόλας, ὅτι ἐκ μικρᾶς ἡλικίας ἐν τῷ στρατοπέδῳ τὰ πολλὰ ἐτρέφετο, καὶ τοῖς στρατιωτικοῖς ἐχρῆτο ὑποδήμασιν· ἐκ τῶν καλλίγων οὖν Καλλιγόλας ἐλέγετο.

84.

Exc. De ins. p. 22 : Ὅτι ποτὲ τὸν δῆμον συνελθόντα ἐν ἱπποδρομίῳ, καὶ τοῦτον ἐλέγχοντα ὑπὸ τῶν στρατιωτῶν διέφθειρεν· ἐξ οὗπερ πάντες ἐσιώπησαν, ἄχρις οὗ Κάσσιός τε Χαιρέας καὶ Κορνήλιος Σαβῖνος, καίτοι χιλιαρχίας παρ' αὐτοῦ πεπιστευμένοι, συνωμόσαντο, πάντες τε ὡς εἰπεῖν οἱ περὶ αὐτὸν ὑπέρ τε σφῶν καὶ τῶν κοινῶν ἐκινήθησαν· καὶ τηρήσαντες αὐτὸν ἐκ τοῦ θεάτρου ἐρχόμενον, ὅτε δὴ τοὺς ἐκ τῆς Ἑλλάδος παῖδας ἐπὶ τὸν ἴδιον ὕμνον μετεπέμπετο, ἐν στενωπῷ τινι τόπῳ προσπεσόντες τιτρώσκουσιν, ἄλλοι τε ἐκ τῶν σαρκῶν αὐτοῦ ἐγεύσαντο. Καὶ τὰ μὲν Γαΐου τοιαῦτα· τρισὶν ἔτεσι καὶ μησὶ θ', ἡμέρας τε η' καὶ κ' βασιλεύσαντος. Καὶ αὐτὸς τοῖς ἔργοις, ὡς οὐκ ἦν θεὸς, ἐξέμαθεν. Ὑφ' ὧν τε καὶ μὴ παρὼν προσεκυνεῖτο, τότε κατεπτύετο· καὶ ὑφ' ὧν τε Ζεὺς καὶ θεὸς ὠνομάζετό τε καὶ ἐγράφετο, σφάγιον ἐγίνετο· ἀνδριάντες τε αὐτοῦ καὶ εἰκόνες ἐσύροντο, μεμνημένου μάλιστα τοῦ δήμου ὧν ἐπεπόνθει δεινῶν. Οἱ δὲ στρατιῶται ὅσοι μὲν ἐκ τοῦ Γερμανικοῦ μέρους ἦσαν, ἐθορύβουν τε καὶ ἐστασίαζον, ὥστε καὶ σφαγὰς ποιεῖν· ὅσοι δὲ ἄλλως πως ἐπὶ τῇ βουλῇ ἐποιήσαντο, πεισθέντες τοῖς ὅρκοις ἡσύχασαν. Τούτων δὲ περὶ τὸν Γάϊον πραττομένων, Σέντιός τε καὶ Σεκοῦνδος οἱ ὕπατοι εὐθὺς ἐκ τῶν θησαυρῶν τὰ χρήματα εἰς τὸ Καπιτώλιον μετεκόμισαν, φυλακάς τε τοὺς πλείους τῆς γερουσίας ἐπέστησαν, καὶ στρατιώτας ἱκανοὺς, ἵνα μὴ διαρπαγὴ ὑπὸ τοῦ πλήθους γένηται. Οὗτοί τε ἅμα τοῖς ἐπάρχοις καὶ τοῖς περὶ Σαβῖνον καὶ Χαιρέαν τὸ πρακτέον ἐσκοποῦντο.

85.

CLAUDIUS.

Exc. De virt. p. 805 : Ὅτι Κλαύδιος ὁ βασιλεὺς Ῥωμαίων τὴν μὲν ψυχὴν οὐ φαῦλος ἐγεγόνει, ἀλλὰ καὶ ἐν παιδείᾳ ἤσκητο ὡς καὶ συγγράψαι τινά· τὸ δὲ δὴ σῶμα νοσώδης, ὥστε καὶ τῇ κεφαλῇ καὶ ταῖς χερσὶν

Fr. 83. τότε ἀγορανόμον] supplevi e Chron. Anon. cod. Par. 854, ap. Cram. An. II, p. 279. Ceterum v. Dio LIX, 12, p. 915, 78. — ὑμεῖς περὶ] ἡμεῖς πρὸ codex. Dionis verba (LIX, 22, p. 926, 25) in editis ita habent : κυβεύων δέ ποτε καὶ μαθὼν ὅτι οὐκ εἴη οἱ ἀργύριον, ᾔτησέ τε τὰς τῶν Γαλατῶν ἀπογραφὰς, καὶ ἐξ αὐτῶν τοὺς πλουσιωτάτους θανατωθῆναι κελεύσας, ἐπανῆλθέ τε πρὸς τοὺς συγκυβευτὰς καὶ ἔφη ὅτι « Ὑμεῖς περὶ ὀλίγων δραχμῶν ἀγωνίζεσθε, ἐγὼ δὲ εἰς μυρίας καὶ πεντακισχιλίας μυριάδας ἤθροισα. » Putaveris igitur suis verbis Nostrum narrationem Dionis reddidisse. Id vero non esse videtur. Nam Dionis Exc. Vaticana De sententiis, p. 204 ed. Rom. eandem rem *iisdem plane verbis*, quibus Noster utitur, exponunt, nisi quod addunt nonnulla, quæ Noster omisit. Ita locus habet : Ὅτι αὐτὸς (l. οὗτος, ut n. l., aut ὁ αὐτὸς) κυβεύων.... ἀναστὰς [ἐζήτησε τῶν εὐπόρων ἀπογραφὴν καὶ] ἐκέλευσε πολλοὺς ἐξ αὐτῶν ἀναιρεθῆναι, [καὶ τὰ χρήματα αὐτῶν εἰσενεχθῆναι] καὶ ἐλθὼν.... συνήγαγεν. Eadem discrepantia, et major etiam, aliis locis quam plurimis inter Dionem editum atque Exc. Vaticana intercedit, uti constat. Quod num recte explicetur ex codicum Dionis diversitate, ego dubito quam maxime. Locus noster, qualis in Dionis historiis editis legitur, vere Dioneum orationis habet colorem; in Exc. Vatican. autem agnoscis inferioris ingenii hominem, qui Dionis orationem pro libitu immutat; hunc vero non fuisse scribam Constantinianum loco Joannis nostri comprobatur. Immo exstitisse debet historia quædam Romana, quæ Dionis e libris congesta erat. Ex hac fluxerunt Exc. Vaticana, et quæ Joannes affert. Porro hæc historia ultra usque ad Constantini tempora perducta erat; nam Excerpta Vaticana non in Alexandri Severi temporibus subsistunt, sed ad Constantinum usque pertinent. — ἐλέγετο δὲ Καλλιγόλας κτλ.] Ead. Suidas v. Καλλιγόλας (codex noster Καλλιγούλας). Cf. Dio LVII, 5, p. 851, 95.

Fr. 84. ὑπὸ τῶν στρατιωτῶν διέφθειρεν] Dio Cassius noster (LIX, 28 extr.) h. l. ex Xiphilino suppletus, nihil nisi hæc habet : ... ἐς δὲ τὸν ἱππόδρομον εὐθὺς σπουδῇ συνέδραμον καὶ δεινὰ συνεβόησαν. Nihil ibi de populo trucidato. V. Joseph. XIX, 1, 4. — Κάσσιος... Σαβῖνος] Κάσιός τε καὶ Λεραίας, Κορνήλιός τε καὶ Σαβῖνος codex. V. Dio c. 29. — συνωμόσαντο] Cramer.; συνομόσατο codex; συνώμοσαν Dio l. l. — ὅτε δὴ... μετεπέμπετο] Hæc et seqq. male Excerptor contraxit. Ita Dio l. l. : Ἀλλὰ τηρήσαντες αὐτὸν ἐκ τοῦ θεάτρου ἐξελθόντα (ἵνα τοὺς παῖδας θεάσηται, οὓς ἐκ τῆς Ἑλλάδος καὶ τῆς Ἰωνίας τῶν πάνυ εὐγενῶν, ἐπὶ τῷ τὸν ὕμνον τὸν εἰς ἑαυτὸν πεποιημένον ᾆσαι, μετεπέμψατο δῆθεν) ἀπέκτειναν, ἐν στενωπῷ τινι ἀπολαβόντες. Καὶ αὐτοῦ συμπεσόντος οὐδεὶς τῶν παρόντων ἀπέσχετο, ἀλλὰ καὶ νεκρὸν αὐτὸν ὄντα ὠμῶς (ὅμως conj. Oddy) ἐτίτρωσκον· καί τινες καὶ τῶν σαρκῶν αὐτοῦ ἐγεύσαντο, τήν τε γυναῖκα καὶ τὴν θυγατέρα εὐθὺς ἔσφαξαν. — η' καὶ κ'] μ καὶ κ' codex. V. Dio LIX, 30. Pro diebus 28 nonnisi *octo* ponit Eutropius VII, 12; Zonaras, Clem. Alex. Strom. I, p. 339, Euseb. Chron. V. interpr. ad. Dion. — Καὶ ὑφ' ὧν et cetera usque ad finem fragmenti.] De his nihil Dio (LX, 4), nisi quod statuas Caii noctu tollendas Claudius curaverit. — οἱ δὲ στρατιῶται κτλ.] V. Joseph. XIV, 1, 15 sqq.

Fr. 85. Eadem Suidas v. Κλαύδιος (coll. v. φαῦλος), sed plenius nonnulla et accuratius, alia negligentius. Excerpta et pleraque ad verbum etiam transcripta sunt ex Dion. LX, c. 2. — ἐγεγόνει] om. Suidas; ἐγένετο Dio. — ἀλλὰ καὶ ἐν π.] Suidas et Dio; ἐν παιδείᾳ τε cod. — ὡς καὶ] ὡς ἀεὶ καὶ Dio. — τὸ δὲ δὴ] δὴ e Suid. et Dione additum. — νοσώδης, ὥστε καὶ] v. ἦν, καὶ... ὑποτρέμων cod. Pro ὑποτρέμειν Dionis ap. Suidam est τρέμειν.

ὑποτρέμειν. Καὶ διὰ τοῦτο καὶ τῷ φωνήματι ἐσφάλλετο, καὶ οὐ πάντα ὅσα εἰς τὸ συνέδριον εἰσέφερεν, αὐτὸς ἀνεγίνωσκεν, ἀλλὰ τῷ ταμίᾳ ὥς γε πλήθει ἀναλέγεσθαι ἐδίδου· ὅσα δ' αὐτὸς ἀνεγίνωσκε, καθήμενος ὡς τὸ πολὺ ἐπελέγετο. Καὶ μέντοι καὶ δίφρῳ κατα στέγῳ πρῶτος Ῥωμαίων ἐχρήσατο. Οὐ μέντοι καὶ διὰ ταῦτα οὕτως ὅσον ὑπὸ τῶν ἐξελευθέρων καὶ ὑπὸ τῶν γυναικῶν αἷς συνῆν ἐκακύνετο. Περιφανέστατα γὰρ ἐγυναικοκρατήθη καὶ ἐδουλοκρατήθη, ἅτε ἐκ παίδων ἐν νοσηλείᾳ καὶ ἐν φόβῳ τραφείς· καὶ διὰ τοῦτο ἐπὶ πλέον τῆς ἀληθείας εὐήθειαν προσεποιεῖτο, ὅπερ που καὶ αὐτὸς ὡμολόγησε. Καὶ πολὺν μὲν χρόνον τῇ τηθῇ Λιουίᾳ, πολὺν δὲ καὶ τῇ μητρὶ Ἀντωνίᾳ τοῖς τε ἀπελευθέροις συνδιαιτηθείς, καὶ προσέτι καὶ ἐν συνουσίαις γυναικῶν πλείοσι γενόμενος, οὐδὲν ἐλευθεροπρεπὲς ἐκέκτητο. Ἐπετίθεντο δὲ αὐτῷ ἔν τε τοῖς συμποσίοις μάλιστα καὶ ἐν ταῖς συμμίξεσι. Πάνυ γὰρ ἀπλήστως ἐν ἀμφοτέροις διέκειτο· καὶ ἦν ἐν τῷ καιρῷ τούτῳ εὐάλωτος. Πρὸς δὲ καὶ δειλίαν εἶχεν, ὑφ' ἧς πολλάκις ἐκπληττόμενος οὐδὲν τῶν προσηκόντων ἐξελογίζετο. Ἐκεῖνόν τε γὰρ ἐκφοβοῦντες ἐξεκαρποῦντο, καὶ τοῖς ἄλλοις δέος ἐνέβαλλον. Τοιοῦτος οὖν δή τις ὢν οὐκ ὀλίγα καὶ δεόντως ἔπραττεν, ὁσάκις ἔξω τῶν εἰρημένων παθῶν ἐγίνετο.

86.

Exc. De ins. p. 23 : Ὅτι ὁ Κλαύδιος ὁ βασιλεὺς τῶν Ῥωμαίων τόν τε Χαιρέαν καί τινας ἄλλους, καίπερ ἐπὶ τὸν τοῦ Γαΐου θάνατον ἡσθείς, πρῶτα μὲν τῆς πόλεως ἐξέβαλεν, ἔπειτα καὶ ἐδολοφόνησεν. Οὐ γὰρ ὅτι τὴν ἀρχὴν διὰ τὴν ἐκείνων πρᾶξιν εἰλήφει χάριν αὐτοῖς εἶχεν, ἀλλ' ὅτι ἐτόλμησαν αὐτοκράτορα ἀποσφάξαι ἐδυσχέραινεν.

87.

Exc. Salmas. p. 395 : Κλαύδιος δειλὸς ὢν πάντας τοὺς προσιόντας αὐτῷ [ἐποίησεν] ἀνερευνᾶσθαι, μή τι ξιφίδιον ἔχωσι, καὶ ἐν τοῖς συμποσίοις ὡπλισμένοι παρεστήκεσαν αὐτῷ.

88.

Exc. De virt. p. 808 : Ὅτι ὁ αὐτὸς ταῖς ὁπλομαχίαις ἀκορέστως προσκείμενος οὐ μόνον τὰ τῶν δορυαλώτων καὶ κατακρίτων κατανήλισκε σώματα, ἀλλὰ καὶ τῶν ἀπελευθέρων. Ταῖς τε τῆς γαμετῆς Βαλερίας Μεσσαλίνης γυναίου ἀκολάστου καὶ τυραννικοῦ διαβολαῖς ὑπαγόμενος, συχνοὺς τῶν ἐπισήμων τῆς βουλῆς διέφθειρεν. Ἀπείχετο δὲ οὐδὲ τῶν ἀφ' αἵματος. Καὶ γὰρ τούτων ἔστιν οἳ ἀπώλοντο, τοῦ μὲν ἀβασανίστως τὰς διαβολὰς δεχομένου, τῆς δὲ ἀφ' ἑτέρου εἰς ἕτερον ἀγούσης τὸν Κλαύδιον, τῇ τε κουφότητι τοῦ ἀνδρὸς κατακεχρημένης. Τὰς γοῦν δύω ἀδελφὰς διαβληθείσας ἀνεῖλεν, αὖθίς τε τοὺς γαμβροὺς μηδὲν ἡμαρτηκότας. Ἐκείνους γὰρ μάρτυρας τῶν κατηγοριῶν ἡ Μεσσαλίνα ἐποιεῖτο τοὺς τὸ κράτος ἔχοντας· καὶ τούς τι δυναμένους μηνῦσαι τῶν ὑπ' αὐτῆς πραττομένων, οὓς μὲν εὐεργεσίαις, οὓς δὲ τιμωρίαις προκατελάμβανεν, ὡς οὐ τὴν πολιτείαν μόνην ὑπ' αὐτῆς διοικεῖσθαι, ἀλλὰ καὶ τὰς στρατείας καὶ ἐπιτροπείας πάντα τε [τἆλλα] ἀφειδῶς πωλεῖν καὶ καπηλεύειν. Ἐξ οὗπερ ἀναγκασθῆναι τὸν Κλαύδιον, εἰς τὸ Ἄρειον πεδίον τοῦ πλήθους συνελθόντος, τὰς τιμὰς διατάξαι. Οὐ μὴν ἀλλὰ καὶ αὐτή γε, εἰς πᾶν ἀκολασίας τε καὶ ὠμότητος προελθοῦσα, καὶ μιγνυμένη μὲν ἀναίδην οἷς ἐπιθυμήσειεν, ἀναιροῦσα δὲ καὶ τῶν ὁμιλούντων αὐτῇ συχνούς, μόλις πρὸς τοῦ Κλαυδίου τῆς ἀτοπίας αἰσθομένου διαφθείρεται. Ἐπεὶ γὰρ οὐκ ἀπέχρησεν αὐτῇ μοιχεύεσθαι πολλάκις καὶ ἐπὶ οἰκήματος σὺν ταῖς ἄλλαις τῶν ἐπιφανῶν γυναιξὶ καθεζομένῃ, ἀλλ' ἐπεθύμησε κατὰ νόμον δὴ καὶ συμβόλαια πλείοσι συνοικεῖν ἀνδράσιν, ἐνταῦθα καταμηνυθεῖσα τῷ Κλαυδίῳ πρὸς Ναρκίσσου τινὸς ἀπελευθέρου τοῦ βασιλέως ἀναιρεῖται, τῶν μὲν βασιλείων ἐξωσθεῖσα, περὶ δὲ τοὺς Ἀσιατικοῦ κήπους πλανωμένη, ὧν ἕνεκα τὸν δείλαιον Ἀσιατικὸν μικρῷ πρόσθεν ἀπολωλέκει. Μεθ' ἣν καὶ τὸν ἑαυτοῦ δοῦλον ὁ Κλαύδιος ὑβρίσαντά τινα τῶν ἐν ἀξιώσει διέφθειρεν.

89.

Exc. De ins. p. 23 : Ὅτι Κλαύδιος ὑπὸ Ἀγριππίνης ἀναιρεῖται τρόπῳ τοιῷδε. Αὕτη γὰρ φάρμακον δηλητήριον ὑπὸ Λουκούστης ἀνελομένη, ἐν τοῖς καλουμένοις μύκησιν ἐνέβαλεν. Ὁ δὲ ὑπό τε τοῦ οἴνου καὶ τῆς ἄλλης διαίτης μηδέν τι τοιοῦτον ὑποπτεύων ἐπε-

— καὶ διὰ τοῦτο] Suid. et Dio; ἐξ οὗ δὴ cod. — φωνήματι] Dio; φρονήματι Exc. et Suid. cod. V. — ἐσφάλλετο] Post hæc codex plura omittens vel perperam mutans pergit : Τοιοῦτος δὲ ὢν ὑπὸ τῶν δούλων καὶ γυναικῶν αἷς συνεκάθευδεν ἐκακύνετο. — καὶ ἐδουλοκρατήθη] om. Suidas; habet Dio. — νοσηλείᾳ] sic Dio; ἀσφαλείᾳ cod. et Suidas. — εὐήθειαν] εὐηθείας codex Exc. — τηθῇ] sic etiam Dio; τῇ τιτθῇ καὶ τῇ μητρὶ συνδ. Suidas. Noster Dionem reddit, nisi quod articulum ponat ante v. Ἀντωνίᾳ, quem sustuli. — συνδιαιτηθείς] Dio et Suidas; ἐνδιαιτηθεὶς cod. — ἐν συνουσ.] ἐν om. Suidas. — συμμίξεσι] μίξεσι Dio. — ἐν ἀμφ. διεκ.] ἀμφοτέροις. προσέκειτο Dio. — εὐάλωτος] Hoc f. reponendum ap. Dion., ubi codices εὐαλωτότος (εὐαλωτότατος em. Steph.) — ἐκεῖνόν τε γὰρ etc.] Ante hæc non omittenda fuissent verba Dionis · καὶ αὐτοῦ καὶ τοῦτο προσλαμβάνοντες, οὐκ ἐλάχιστα κατειργάζοντο. — τοιοῦτος... ὢν] sic etiam Dio; οὗτος οὖν τοιοῦτος ὢν Suidas. — δεόντως ἔπρ. ὁσ.] τῶν δεόντων, ὁπότε Dio.

Fr. 86. Χαιρέαν καί τινας ἀλ.] e Dion. LX, 3 p. 941, 91. Χεραίαν καὶ τοὺς ἀλ. codex. — ἡσθείς... ἐδολοφόνησεν] Dio noster nihil nisi hoc : ... ἡσθεὶς ὅμως ἀπέκτεινεν.

Fr. 87. ἐποίησεν] addidi e Chron. cod. 854, p. 279 ed. Cramer., ubi eadem leguntur.

Fr. 88. Vid. Dio LX, 14 sqq. — τὰς τιμάς] i. e. pretia rerum venalium; τινὰ codex. Male hæc contracta sunt. Dio c. 17 : Ἡ δ' οὖν Μεσσαλίνα οἵ τε ἀπελεύθεροι αὐτοῦ οὕτως οὐ τὴν πολιτείαν μόνον, οὐδὲ τὰς στρατείας καὶ τὰς ἐπιτροπείας τάς τε ἡγεμονίας, ἀλλὰ καὶ τἆλλα πάντα ἀφειδῶς ἐπώλουν καὶ ἐκαπήλευον, ὥστε σπανίσαι πάντα τὰ ὤνια· κἀκ τούτου καὶ τὸν Κλαύδιον ἀναγκασθῆναι ἔς τε τὸ Ἄρειον πεδίον συναγαγεῖν τὸ πλῆθος, κἀνταῦθα ἀπὸ βήματος τὰς τιμὰς αὐτῶν διατάξαι. De seqq. v. Dio LX, 31.

βουλεύθη. Καὶ ἐκ μὲν τοῦ συμποσίου ὡς καὶ ὑπερχορῆς μέθης ἐξεκομίσθη, διὰ δὲ τῆς νυκτὸς ἐτελεύτησε, βιώσας ἔτη ξ' καὶ γ' καὶ μῆνας β', ἡμέρας ιγ', αὐταρχήσας δὲ ἔτη ι' καὶ γ'. Ταῦτα ἡ Ἀγριππῖνα ποιῆσαι ἠδυνήθη, ὅτι τὸν Νάρκισσον συνέβη [μὴ] παρεῖναι, ἐπεὶ παρόντος αὐτοῦ οὐκ [ἂν] ἐδεδράκει τοῦτο· τοιοῦτός τις φύλαξ τοῦ δεσπότου ἦν. Ἀποθανόντος δὲ τοῦ Κλαυδίου, καὶ αὐτὸς εὐθὺς διεφθάρη, παρὰ τῷ Μεσσαλίνης μνημείῳ ἔκ τινος συντυχίας, ὅπερ εἰς τιμωρίαν ἐκείνης ἐνομίσθη. Καὶ Κλαύδιος μὲν ὑπὸ τῆς Ἀγριππίνης τῆς γυναικὸς τῆς τε ἀδελφῆς, δι' ἣν τά τε ἄλλα καὶ ἐπιόρκησεν, ἐπιβουλεύθη ἐν τῷ σιτίῳ, καὶ διεφθάρη κακῶς, ἵνα τε ὁ υἱὸς αὐτῆς μοναρχήσῃ, καὶ ὁ Βρεττανικὸς αἵ τε ἀδελφαὶ αὐτοῦ ἀπόλωνται.

90.

ΝΕΡΩΝ.

Exc. De virt. p. 809 : Ὅτι βασιλεύοντος νέου τοῦ Νέρωνος Βοῦρρος καὶ Σενέκας διῴκουν τὰ πράγματα. Ὁ δὲ λόγοις ἐσχόλαζε φιλοσόφοις, καὶ τὰ περὶ τοῦ Χριστοῦ κατεμάνθανεν. Ἔτι γὰρ ἐνόμιζεν αὐτὸν τοῖς ἀνθρώποις συναναστρέφεσθαι. Καὶ μαθὼν ὅτι ὑπὸ τῶν Ἰουδαίων ἐσταυρώθη, ἠγανάκτησε. Καὶ προσέταξεν ἐλθεῖν τοὺς ἱερεῖς Ἄνναν καὶ Καϊάφαν καὶ αὐτὸν Πιλάτον, τὸν ἄρχοντα τότε γενόμενον, σιδηροδεσμίους. Καὶ [καθίσας ἐπὶ τῆς συγκλήτου] τὰ περὶ αὐτοῦ πεπραγμένα κατεμάνθανεν. Οἱ οὖν περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἔλεγον, ὅτι « Ἡμεῖς τοῖς νόμοις αὐτὸν παραδώκαμεν, καὶ εἰς καθοσίωσιν οὐχ ἡμάρτομεν. Ὁ γὰρ Πιλάτος ὢν ἄρχων ὅσα ἠβουλήθη ἔπραξε. » Καὶ τοῦτον ἐν τῷ δεσμωτηρίῳ κατέκλεισε, τοὺς δὲ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἀπέλυσεν. [Ἤκμαζε δὲ τότε καὶ Σίμων ὁ Μάγος. Καὶ διαλεγομένων Πέτρου καὶ Σίμωνος παρουσίᾳ Νέρωνος, ἤχθη Πιλάτος ἀπὸ τοῦ δεσμωτηρίου· καὶ παρισταμένων τῶν τριῶν τῷ Νέρωνι, ἐρωτᾷ τὸν Σίμωνα· « Σὺ εἶ ὁ Χριστός; » Ὁ δὲ λέγει· « Ναί. » Εἶτα ἐρωτᾷ τὸν Πέτρον· « Σὺ εἶ ὁ Χριστός; » Ὁ δὲ λέγει· « Οὔ· ἐμοῦ γὰρ παρισταμένου εἰς τὸν οὐρανὸν ἀνελήφθη. » Ἠρώτησε δὲ καὶ τὸν Πιλάτον, ποῖός ἐστιν ἐκ τούτων ὁ λεγόμενος Χριστός. Καὶ εἶπεν· « Οὐδὲ εἷς· ὁ μὲν γὰρ Πέτρος μαθητὴς αὐτοῦ γέγονε, καὶ εἰσηνέχθη παρ' ἐμοὶ ὡς μαθητὴς αὐτοῦ, καὶ ἠρνήσατο αὐτὸν λέγων· « Οὐκ οἶδα τὸν ἄνθρωπον· » καὶ ἀπέλυσα αὐτόν. Οὗτος δὲ ὁ Σίμων οὐδαμῶς ἔγνωσταί μοι, οὐδεμίαν δὲ ἔχει ὁμοιότητα πρὸς ἐκεῖνον· ἔστι γὰρ οὗτος καὶ Αἰγύπτιος καὶ ἐμπληθὴς καὶ κατάκομος καὶ μέλας, παντελῶς τῆς ἐκείνου μορφῆς ἀλλότριος. » Ἀγανακτήσας οὖν ὁ βασιλεὺς κατὰ μὲν τοῦ Σίμωνος, ὡς ψευσαμένου καὶ εἰπόντος ἑαυτὸν Χριστόν· κατὰ δὲ τοῦ Πέτρου, ὡς ἀρνησαμένου τὸν διδάσκαλον, ἐξέβαλεν αὐτοὺς ἐκ τοῦ συνεδρίου·] τὸν δὲ Πιλάτον τῆς κεφαλῆς ἀπέτεμεν, ὡς τηλικοῦτον ἄνθρωπον ἀνελεῖν τολμήσαντα δίχα βασιλικῆς κελεύσεως. Καὶ μετὰ ταῦτα Πέτρον μὲν ἐσταύρωσε, Παῦλον δὲ τῆς κεφαλῆς ἀπέτεμε.

Καὶ τὸ μὲν πρότερον τοιαῦτα ἔπραττεν ὁ Νέρων. Ἐπεὶ δὲ τρυφαῖς καὶ κώμοις καθημερινοῖς ὁ Νέρων ἐντραφεὶς πράττειν (τε) τὰ τῆς ἀρχῆς (ἐφ' ἧς) ἑαυτὸν ἠξίου, ταχὺ τὸ σεμνὸν καὶ μεγαλοπρεπὲς τῆς τῶν Ῥωμαίων ἡγεμονίας εἰς τὸ ἄκοσμόν τε καὶ ταπεινὸν μεταβέβληκεν, ἀήθη τινὰ μετιὼν καὶ δαπανηρὸν ἀκολασίας τρόπον, ἐκθέσμοις τε καὶ παρανόμοις ἐγχειρῶν δράμασι· λουτρὸν μὲν γὰρ ἦν αὐτῷ ζηλοῦντι τῆς πολυτελείας καὶ ἐκδιαιτήσεως τοῦ Καλιγόλα, οὐχ ὕδωρ, ἀλλὰ μύρον, τὸ μὲν θερμαινόμενον, τὸ δὲ ψυχόμενον, καὶ εἰς ἑκατέραν τὴν χρείαν τοῦ λουτροῦ παρασκευαζόμενον. Ἐχρῆτο δὲ δικτύοις παρὰ τὰς ἄγρας τῶν ἰχθύων χρυσοῖς, ἐξέλκων τοὺς κόλπους τῶν δικτύων καλῳδίοις ἐξ ἐρίου πεποιημένοις, ἀστράπτουσι τῇ βαφῇ τῆς κόχλου. Ἐς τοῦτό γε μὴν προϊὼν ἀτοπίας ἐλήλυθεν, ὡς παριέναι μὲν εἰς τὴν σκηνήν, ὑπὸ δὲ τῇ πάντων ὄψει ὀρχεῖσθαί τε καὶ ᾠδάς τινας διεξιέναι, ἀναλαμβάνοντα σκευὴν νῦν μὲν κιθαριστῶν, νῦν δὲ τραγῳδίας ὑποκριτῶν. Ἀλλὰ ταῦτα μὲν εἰ καὶ σφόδρα τὴν ἀρχὴν ἐλυμαίνετο, γελωτά γε ὅμως καὶ ἡδονὴν παρεῖχε τοῖς θεωμένοις. Τὸ δὲ πάντων αἴσχιστον καὶ δεινότατον ὅτι

Fr. 89. V. Dio LX, 34. μέθης] Dio; μίθη cod. — ἔτη ξγ' κτλ.] Dio : ζήσας ξ' καὶ γ' ἔτη, αὐταρχήσας ἔτη ι' καὶ γ' καὶ μῆνας ὀκτὼ καὶ ἡμέρας κ'. — παρὰ τῷ... ἐνομίσθη] De his nihil apud Dionem. — τά τε ἄλλα] verbum excidisse videtur.

Fr. 90. Primam hujus fragmenti partem, quæ de Pilato est, Suidas quoque exhibet v. Νέρων. — καὶ αὐτὸν Πιλάτον τὸν ἀρχ. τ. γενόμενον] e Suida. Codex nihil nisi : καὶ τὸν Πιλάτον. — καθίσας ἐ. τ. συγκλ.] addidi e Suida. — ἡμεῖς τοῖς νόμοις] τοῖς γὰρ νόμοις Suidas v. καθοσίωσις, ubi iterum hic locus occurrit. — Ὁ γὰρ Πιλάτος... κατέκλεισεν] Integriora sunt quæ Suidas habet : ὁ γὰρ ἐξουσίαν ἔχων, ὅσα ἠβουλήθη, ἔπραξεν. Ἀγανακτήσας οὖν ὁ Νέρων Πιλάτον ἐν τῷ δεσμωτηρίῳ ἐνέβαλε — καὶ Καϊάφαν] addidi e Suida, sicuti ea quæ deinceps sequuntur uncinis distincta. Cf. Malal. p. 251. Codex Valesii post ἀπέλυσεν pergit : Ὕστερον δὲ τὸν Πιλάτον τῆς κεφαλῆς ἀπέτεμεν κτλ. Pro quibus ex Suida dedimus : τὸν δὲ Πιλάτον κτλ. — κελεύσεως] προστάξεως Suidas. — πράττειν τε] illud τε abundat. Fortasse nonnulla exciderunt. Mox etiam verba ἐφ' ἧς uncis inclusi. Legi possit ἐφ' ἑαυτοῦ. De re cf. Dio (Xiphilin.) LXI, 4 sq. Deinde vero cum Nostro componendus Eutropius VII, 9 : *Successit huic Nero, ... qui imperium Romanum et deformavit et diminuit : inusitatæ luxuriæ sumptuumque, ut qui exemplo Caji Caligulæ calidis et frigidis lavaret unguentis, retibus aureis piscaretur, quæ blatteis funibus extrahebat. (Infinitam partem senatus interfecit; bonis omnibus hostis fuit.) Ad postremum se tanto dedecore prostituit, ut saltaret et cantaret in scena, citharœdico habitu vel tragico.* — ζηλοῦντι] Post hanc vocem excidisse videtur accusativus aliquis; nisi scribi velis aut τὴν πολυτέλειαν etc., aut τῆς πολυτελείας κ. ἐ. τὸν Καλιγόλαν. Cf. Dio LXI, 5 : ὡς δ' ἅπαξ ζηλῶσαι αὐτὸν (Caligulam) ἐπεθύμησε, καὶ ὑπερεβάλλετο. — ἐς τοῦτό γε κτλ.] excerpta ex Dion. LXI, 17 sq. — ὁπλομαχεῖν] μονομαχεῖν sec. Dion. c. 17, p. 997, 42.

καὶ ἄνδρας καὶ γυναῖκας οὐ μόνον τῶν εἰς τὸν δῆμον καὶ τοὺς ἱππεῖς τελούντων, ἀλλὰ καὶ τοῦ βουλευτικοῦ ἀξιώματος, καὶ οὐχ ὅπως νέους, ἀλλ' ἤδη καὶ παρηβηκότας ὁπλομαχεῖν ἐν τοῖς θεάτροις ἠνάγκαζε καὶ θηρία φονεύειν καὶ ὀρχεῖσθαι καὶ ᾄδειν καὶ πρὸς πᾶν ἀσχημοσύνης ἰέναι· ἵνα δὲ δὴ εὐπρεπὲς εἴη, καὶ αὐτὸς ἐς τὸ θέατρον παρῄει. Καὶ εἶδον οἱ τότε ἄνθρωποι τὰ γένη τὰ μεγάλα, τοὺς Φουρίους, τοὺς Ὁρατίους, τοὺς Φαβίους, τοὺς Πορκίους, τοὺς Βαλερίους κάτω ἑστηκότας καὶ τοιαῦτα δρᾶν ἀναγκαζομένους, ὧν ἔνια οὐδὲ ὑπὸ ἄλλων γινόμενα πρόσθεν ὁρᾶν ἠνείχοντο· Αἰλία γοῦν Κατέλλα γυνὴ τοῦτο μὲν γένει, τοῦτο δὲ καὶ πλούτῳ προήκουσα, πρὸς γῆράς τε μακρὸν ἀφιγμένη (ὀγδοηκοντοῦτις γὰρ ἦν) ἐπὶ τῆς σκηνῆς ὠρχήσατο, οἵ τε ἄλλοι τῶν ἐπιφανῶν, ἢ διὰ γῆρας ἢ διὰ νόσον οὐδὲν ἰδίᾳ ποιῆσαι δυνηθέντες, ᾖδον κατὰ χοροὺς ἱστάμενοι. Ἐπετέλει δὲ ταύτας τὰς ἐκθέσμους θέας ἐπί τε τῷ γενείῳ τὸ πρῶτον ψιλωθέντι, καὶ ἐπὶ τῷ τῆς μητρὸς φόνῳ· ἀπολελοίπει γὰρ αὐτὸν οὐδὲ τὸ φονικόν τε καὶ ἀπηνές, καίτοι γε παίζειν δοκοῦντα· ἀλλ' ἦν μὲν καθάπαξ τοῖς ἀγαθοῖς τε καὶ πεπαιδευμένοις ἔγκοτος. Τὸ δὲ πλεῖστον καὶ κράτιστον ἐπὶ παραλόγοις αἰτίαις ἀπανηλώκει τῆς βουλῆς μέρος, τοὺς μὲν ὅτι εὐγενεῖς, τοὺς δὲ ὅτι περιουσίας ἔχοντας, τοὺς δὲ ὅτι σώφρονες ἦσαν μισῶν τε καὶ κολάζων. Μουσώνιόν τε καὶ Κορνοῦτον μικροῦ μὲν ἐδέησεν ἀποκτεῖναι, τῆς δὲ Ῥώμης ἐξήλασεν· ἄλλο μὲν οὐδὲν ἐπικαλῶν, ὅτι δὲ σοφοὶ καὶ ἄριστοι [τὸν] βίον ἐγενέσθην. Συγγενῶν τε φόνοις ἑκάστης, ὡς εἰπεῖν, ἐμιαίνετο τῆς ἡμέρας. Τόν τε γὰρ Βρεττανικὸν ἀδελφόν οἱ εἶναι δοκοῦντα, πρῶτα μὲν εἰς τὴν ὥραν ἀσελγῶς ὕβρισεν, ἔπειτα δὲ παρὰ δεῖπνον δηλητηρίῳ φαρμάκῳ διέφθειρεν· ὡς δεινὸν μὴ μόνον ἀκούεσθαι, ἀλλὰ καὶ ὁρᾶσθαι· πελιδνὸς γὰρ ὅλος ἐγένετο, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀνεῳγμένοι καὶ τοὺς ἐφόρους πρὸς τιμωρίαν καλοῦντες. Καὶ τὴν ἑαυτοῦ γαμετὴν Ὀκταβίαν δι' ἣν εἰς τὴν ἀρχὴν οὐχ ἥκιστα παρεληλύθει, πρῶτον μὲν ἀπεπέμψατο, ἔπειτα καὶ ἀπέκτεινε. Καὶ ἐν νυκτὶ ἐκώμαζε κατὰ πᾶσαν [τὴν] πόλιν, ὑβρίζων τὰς γυναῖκας καὶ ἀσελγαίνων εἰς τὰ μειράκια, ἀποδύων τε τοὺς ἀπαντῶντας, παίων, τιτρώσκων, φονεύων· καὶ ἐδόκει λανθάνειν ἀλλοτρίαις ἐσθῆσι χρώμενος· τάς τε τῶν ἐλευθέρων γυναῖκας ἐξ ἐπηρείας ὑβρίζων, καὶ ταῖς παρθένοις ὡς καὶ ἑταιρίσι μετὰ τῶν φίλων χρώμενος. Ἡ δὲ Ἀγριππίνη ἔς τε τὰ συνέδρια ἐφοίτα, ταῖς τε πρεσβείαις ἐχρημάτιζε, καὶ ἐπιστολὰς δήμοις καὶ ἄρχουσι καὶ βασιλεῦσιν ἐπέστελλεν. Ἀλλὰ ταῦτα μὲν Ἀγριππίνη ἔπραττεν, ἄχρις οὗ ὁ Νέρων τὴν Σαβίνην ἠγάγετο. Τότε γὰρ καὶ τὴν μητέρα ἐφόνευσεν. Αἰτίαν δὲ τῆς ἀνοσιουργίας τῆσδε γεγενῆσθαι Σαβίναν γυναῖκα γένους ἐπιφανοῦς· ἧς ἐρασθεὶς ὁ Νέρων πρῶτον μὲν αὐτὴν πρὸς βίαν τοῦ ἀνδρὸς Ποπλίου ἀπήγαγεν· ἔπειτα σὺν ταῖς παλλακίσι τάττειν οὐκ ἀνασχόμενος, ἀλλὰ γαμετὴν ποιήσασθαι διεγνωκώς, τὴν μὲν Ἀγριππίνης ἀφαιρεῖται τιμήν, Αὐγούσταν δὲ τὴν Σαβίναν ἀποδείκνυσιν· ὡς ἐκ τούτου ἀνόσιόν τι καὶ μιαρώτατον ἔργον τὴν μητέρα αὐτοῦ μελετῆσαι. Ὥσπερ γὰρ τὸν θεῖον αὐτῆς τὸν Κλαύδιον εἰς ἔρωτα φαρμακείαις εἰσήγαγεν, οὕτω καὶ τὸν ἑαυτοῦ παῖδα πρὸς τὴν τοιαύτην δυσσέβειαν παρέτρεψεν. Ἀλλ' ὅμως καὶ μετὰ τὰς τοιαύτας πράξεις διαβληθεῖσαν οἱ πρὸς τῆς Σαβίνης, Ἀνικήτῳ τινὶ τῶν σωματοφυλάκων πρὸς διαφθορὰν ἐξέδοτο. Οὗ γενομένου, ἔγνω τε ἐκείνη καὶ ἀνεπήδησεν ἐκ τῆς κλίνης, τήν τε ἐσθῆτα περιερρήξατο, καὶ τὴν γαστέρα γυμνώσασα, « Παῖε, ἔφη, ταύτην, Ἀνίκητε, ὅτι Νέρωνα ἔτεκε. » Καὶ τὰς περιττὰς μιαρίας προεγράψαμεν ἐκ τῆς ἱστορίας Δίωνος, περί τε τῆς μητροκτονίας καὶ τοῦ Σπόρου τοῦ ἐρωμένου καὶ τῶν λοιπῶν.

91.

Exc. De ins. p. 24 : Ὅτι ἐν τῇ Ἰβηρίᾳ Γάϊος Ἰούλιος Οὐίνδιξ ἐπανίσταται τῷ Νέρωνι, πολλούς τε τῶν τῆς συγκλήτου βουλῆς φυγάδων προσλαβόμενος Γάλβαν ἀποδείκνυσι βασιλέα· ὃς τὰς δυνάμεις εὐθέως ἐξοπλίσας, καὶ πάντα τὰ πρὸς τὸν πόλεμον παρασκευασάμενος ἐπὶ τὴν Ῥώμην ἐλαύνει. Ὁ γοῦν Νέρων, οὐ μετρίως ἐπὶ τούτῳ ταραχθείς, στρατηγὸν τοῦ πολέμου Ῥοῦφον Γάλλον ἐκπέμπει· ὃς οὐδὲ ἐς χεῖρας ἐλθεῖν ἀνασχόμενος πρὸς τὸν Γάλβαν, ὁμολογεῖται καὶ σπένδεται πρὸς τὸν Οὐίνδικα· αὐτὸς μὲν τῶν Γαλλιῶν ἄρχειν ἐπιλεξάμενος, Οὐίνδικι δὲ τὴν Ἰβηρίαν προσήκειν, καὶ τῷ Γάλβᾳ πᾶσαν ὁμοῦ τὴν Ἰταλίαν, καὶ ὅσα τῇ Ῥωμαίων ἀρχῇ πρὸς ὑπακοὴν ἔθνη τυγχάνει. Τούτων αὐτοῖς διομολογηθέντων, τινὲς τῶν τοῦ Ῥούφου στρατιωτῶν ἐπιβουλεύουσι τῷ Οὐίνδικι, ἀγνοίᾳ μὲν τῶν ὁμιληθέντων, ζήλῳ δὲ τῆς πρὸς αὐτὸν δυναστείας. Ἀλλ' ὁ μὲν Οὐίνδιξ, καίτοι ῥᾳδίως δυνάμενος σωθῆναι, ἀγανακτήσας καὶ ὀλοφυράμενος, ὅτι ἐκ τῶν ὁμοφρονούντων ἐκακώθη, καὶ ὅτι τὰ ἐναντία τῷ Νέρωνι ἀμφότεροι πράττοντες ἑαυτοὺς ἀπώλλυσαν, καὶ προσέτι τοῦ ἀνθρωπείου βίου καταγνούς, καί τι πρὸς τὸ δαιμόνιον εἰπών, ὅτι τοιούτου πράγματος ἀρξάμενος οὐκ ἐπλήρωσεν, ἑαυτὸν προσκατειργάσατο. Ὁ γοῦν Ῥοῦφος δεινῶς ἐπὶ τῷ τοιούτῳ πάθει ὑπεραλγήσας, καί τινας τῶν στρατιωτῶν κολά-

— τοὺς Φουρίους] τ. Φορίους codex. Τοὺς Ὁρατίους non habet Xiphilin. l. l. — Αἰλία e Dion. c. 19, p. 998, 88 ; δείλαια codex. Ceterum ut Nostra passim e Xiphilino emendanda sunt, sic in nostris complura habes quæ ipsius Dionis verba accuratius quam Epitome ista repræsentant. — ψιλωθέντι] hac Dionis voce h. l. etiam usus fuerit Xiphilinus c. 51, ubi codd. ψιληθῆναι, quod Sturz. mutavit in ψιλωθῆναι. — Μουσώνιόν τε καὶ Κορνοῦτον] V. Dio 62, 27 de Rufo Musonio, c. 29 de Cornuto. — Βρεττανικὸν κτλ.] V. Dio 61, 7. — Ὀκταβίαν] V. Dio 62, 13. — Ἀγριππίνη] V. Dio 61, 3 sqq. — παῖε, ἔφη] V. Dio 61, 13. — Σπόρου] V. Dio 62, 27. 63, 12. Nihil de Sporo in Exc. nostris.

Fr. 91. Ἐν Ἰβηρίᾳ] deb. ἐν Γαλλίᾳ. V. Dio LXIII, 22 sqq. Complura nostris insunt, quæ in Xiphilino desiderantur.

σας ἐν ἀφασίᾳ κατέστη. Ταῦτα ὡς ἠγγέλθη τῷ Νέρωνι, οὐδεμίαν τοῦ λοιποῦ τῶν ὅπλων ἐλπίδα ἐποιήσατο, ἀλλ' ἐβουλεύσατο ἀμφ' αὐτὸν ἄλλο πρᾶξαι. Καὶ ἄλλων ἄλλα λεγόντων, τέλος ἔγνω τούς τε βουλευτὰς ἀποκτεῖναι, καὶ τὴν πόλιν καταπρῆσαι νύκτωρ, ἔς τε τὴν Ἀλεξάνδρειαν πλεῦσαι· εἰπὼν « ὅτι κἂν τῆς ἀρχῆς ἐκπέσωμεν, τό γε τέχνιον ἡμᾶς θρέψει. » Οἱ δὲ τῆς βουλῆς ἀκούσαντες ταῦτα, πρὸς τοὺς δορυφόρους καὶ τοὺς ἄλλους, οἳ τὴν βασίλειον φρουροῦσιν, αὐλὴν προσδιαλεχθέντες, πείθουσί τε αὐτοὺς ἅμα γενέσθαι, καὶ μεταποιήσασθαι τῆς Ῥωμαίων ἐπικρατείας. Ἐπειδὴ δὲ καὶ οὗτοι τῆς τῶν βουλευσάντων ἐγένοντο γνώμης, αὐτίκα μὲν τὸν τοῦ στρατοπέδου ἔπαρχον Σαίπουλον ἀναιροῦσιν· ἀφίστανται δὲ τῆς τοῦ βασιλέως φρουρᾶς.

Ὁ δὲ Νέρων ὡς καὶ ὑπὸ τῶν σωματοφυλάκων κατελείφθη, ἀποκτεῖναι μὲν ἑαυτὸν οὐκ ἐτόλμησεν, ἵνα τὴν αἰσχύνην κερδάνῃ· φυγεῖν δὲ ἐπεχείρησε, πρότερον κεραυνωθείσης αὐτοῦ τῆς τραπέζης· ἐσθῆτά τε φαύλην ἐνδυσάμενος, καὶ ἐφ' ἵππον οὐδὲν βελτίονα ἀναβάς, κατακεκαλυμμένος πρὸς χωρίον τι Φάωνος Καισαρείου μετὰ Ἐπαφροδίτου καὶ Σπόρου κατέφυγε. Νυκτὸς δὲ ἔτι οὔσης, καὶ αὐτοῦ ταῦτα πράσσοντος, σεισμὸς ἐξαίσιος ἐν τῇ Ῥώμῃ γέγονε. Καὶ αὐτὸν γνωρισθέντα ὑπό τινων ἀποβῆναι μὲν τοῦ ἵππου παραχρῆμα, ἔς τινα δὲ πλησίον καταφυγεῖν καλαμῶνα· ἐν ᾧ μέχρι πολλοῦ ἐρριμμένος, πάντα μὲν παριόντα ὑπετοπεῖτο, πᾶσαν δὲ φωνήν, ὡς καὶ ἀναζητοῦσαν [αὐτὸν], ὑπέτρεμε, θρηνῶν τε καὶ ὀλοφυρόμενος ἐν οἷς ἦν πρότερον, καὶ ὅτι ἐν κοπρίᾳ ἔρριπτο.

Νέρων μὲν οὖν αὐτὸς παρ' ἑαυτῷ ἐτραγῴδει, καὶ ὀψέ ποτε, ἐπεὶ μηδεὶς αὐτὸν ἑώρα, μετῆλθεν εἰς τὸ πλησίον ἄντρον, καὶ διψήσας ἔπιεν ὕδωρ. Ἡ δὲ τῶν Ῥωμαίων βουλὴ πολέμιον αὐτὸν ἀνειποῦσα, δοῦναι δίκας τῶν κατὰ τὴν ἀρχὴν ἡμαρτημένων τοιόνδε τινὰ τρόπον ἐψηφίσατο· ἀχθῆναι μὲν γὰρ ἐς τὸ δεσμωτήριον γυμνόν, κεραίας ἐπιβεβλημένης τῷ τραχήλῳ, προστάττεται, μετὰ δὲ σφοδρὸν αἰκισμὸν τοῦ σώματος ὠσθῆναι κατά τινος πέτρας. Ἃ δὴ προαισθόμενος ὁ Νέρων, τούς τε χωροῦντας ἐπ' αὐτὸν καταδείσας, προσέταξε τοῖς παροῦσι καὶ ἑαυτὸν καὶ ἑαυτοὺς ἀποκτεῖναι. Ἐπεὶ δέ γε οὐχ ὑπήκουσαν, τὸ μὲν ὅτι οὐκ ἐτόλμων, τὸ δὲ ὅτι τὴν ταφὴν αὐτοῦ προεφασίσαντο, δεινῶς ἀλγήσας ἐστέναξεν, ὅτι μηδὲν ἐδύνατο. Μετὰ δὲ τοῦτο τὸν Σπόρον βουληθεὶς ἀποκτεῖναι διήμαρτεν, ἀποφυγόντος ἐκείνου. Τότε ἔφη· « Ἐγὼ οὐδὲ φίλον οὐδὲ ἐχθρὸν ἔχω· » καὶ τοῦτο εἰπών, ἑαυτὸν ἐπάταξεν· δυσθανατοῦντα δὲ ὁ Ἐπαφρόδιτος προσκατειργάσατο. Καὶ ὁ μὲν Νέρων φὺς ἄριστα καὶ τραφεὶς κάκιστα, οὕτω τῆς ἀρχῆς ἐξέπεσε, λ' μὲν ἐξ αὐτῆς ὠδῖνος γεγονὼς ἔτη, βασιλεύσας δὲ ιδ' δυεῖν μηνῶν ἀποδέοντα. Καὶ ἡ πόλις στεφανώμασι καὶ δᾳδουχίαις κεκόσμητο, εὐχάς τε ἀληθεῖς καὶ ἑορτὰς ἐπετέλουν, καὶ τούς τε δυνηθέντας ἐπὶ τοῦ τυράννου φονεύοντες, ὡς καὶ αὐτὸν ἐκεῖνον αἰκίζοντες διετέλουν.

92.

Exc. Salm. p. 395 : Νέρων ἰδὼν τοὺς ἀναιρήσοντας αὐτόν, παρακαλεῖ τοὺς συνόντας ἀνελεῖν αὐτόν· ὡς δ' οὐδεὶς ὑπήκουεν, ἑαυτὸν διεχρήσατο· τελευτῶν δὲ ἔφη· « Ὦ Ζεῦ, οἷος (κιθαρῳδὸς) τεχνίτης ἀπόλλυμαι. » Ὅτε δὲ ἐτέχθη, εἶπον οἱ ἀστρολόγοι, ὅτι καὶ βασιλεύσει καὶ τὴν μητέρα φονεύσει· ἦν δὲ καὶ λόγιον·

Ἔσχατος Αἰνεαδῶν μητροκτόνος ἡγεμονεύσει.

93.

ΓΑΛΒΑΣ.

Exc. De ins. p. 26 : Ὅτι Γάλβας ὁ μετὰ Νέρωνα θαυμαζόμενος, ἐν τοῖς κατὰ τὴν ἀρχὴν ἐπιτηδεύμασιν ἔδοξέ πως εἶναι τραχύς τε καὶ πρόχειρος ἐν ταῖς τῶν ἁμαρτανομένων ἐπανορθώσεσι· βραχὺν γάρ τινα χρόνον τῆς ἡγεμονίας διατελέσας, ἐπιβουλευθεὶς ὑπὸ τοῦ Ὄθωνος, ἀναιρεῖται κατὰ μέσην ἀγοράν.

94.

ΟΘΩΝ.

Exc. De virt. p. 814 : Ὅτι Ὄθων ὁ μετὰ Γάλβαν βασιλεύσας γένους ἀσήμου καὶ ἀφανοῦς ὤν, καὶ τὸν

— τό γε τέχνιον] τὸ δὲ codex; Dio c. 27 : ἂν καὶ τῆς ἀρχῆς ἐκπέσωμεν, ἀλλὰ τό γε τέχνιον ἡμᾶς ἐκεῖ διαθρέψει. » — Φάωνος Καισαρείου] e Dione 63, 27; πρὸς χωρίον τι λεγόμενον Καισαρίου codex. Cf. Sueton. Nero. 48. — παριόντα] προϊόντα codex; καὶ πάντα μὲν τὸν παρόντα (παριόντα em. Sylb.), ὡς καὶ ἐφ' ἑαυτὸν ἥκοντα, ὑποπτεύων Dio. c. 27. — Mox e Dione addidi αὐτὸν post v. ἀναζητοῦσαν. — ὀλοφυρόμενος ἐν οἷς κτλ.] hæc male contracta. Dio : αὐτὸς καθ' ἑαυτὸν τῇ ψυχῇ καὶ ἐθρήνει καὶ ὠλοφύρετο· ἐλογίζετο γὰρ τά τε ἄλλα καὶ προσέτι ὅτι πολυανθρωποτάτῃ ποτὲ θεραπείᾳ γαυρωθείς μετὰ τριῶν ἐξελευθέρων ἐκύπταζε. — ἀχθῆναι κτλ.] non habet Xiphilinus. Cf. Eutrop. : *Quum quæreretur ad pœnam (quæ pœna erat talis ut nudus per publicum ductus, furca capiti ejus inserta, virgis usque ad mortem cæderetur, atque ita præcipitaretur de saxo), e palatio fugit* etc. Sueton. Nero c. 49; Victor. V, 7. — βασιλεύσας δὲ ιδ' δυεῖν μηνῶν ἀποδέοντα] scribi possit ιδ', δ' μηνῶν ἀποδέοντα. Nam 13 annis mensibusque octo regnasse Neronem Xiphilinus narrat. Sed accuratius Zonaras XI, 13 : ἔτη ιγ' καὶ μῆνας ὀκτὼ δυοῖν ἡμέραιν δέοντας. Idque ipsum etiam Dio dixerit, in eamque sententiam noster locus, si corrigere excerptorem licet, refingendus est. Vitæ tempus item Zonaras accuratius definit, fuisse dicens ann. 30, mens. 5, dierum 28. Ap. Xiphilinum legitur ἔτη λ' καὶ μῆνας θ; confusæ nimirum sunt, ut passim, siglæ θ' et ε'.

Fr. 92. ἀπόλλυμαι] ἀπόλλυται codex, consentiente Chron. Anon. in Cram. An. II, p. 280; κιθαρῳδὸς vocem inclusi. Zonar. XI, 13 : ὦ Ζεῦ, οἷος τεχνίτης ἀπόλλυμαι (παραπόλλυμαι Xiphil. 63, c. 29). Sueton. Nero 49 : *Qualis artifex pereo.* — ἔσχατος κτλ.] v. Dio 62, c. 18.

Fr. 93. V. Dio. LXIV, 2—6. Eutrop. VII, 10 : *Hujus* (Galbæ) *breve imperium fuit, et quod bona haberet exordia, nisi ad severitatem propensior videretur. Insidiis tamen Othonis occisus est imperii mense septimo, jugulatus in foro Romæ.* — χρόνον] πρὸς τὸν codex.

Fr. 94. Eadem Suidas v. Ὄθων. — ἀσήμου] μὴ ἀσήμου scribend. esse videtur, monente Küstero ad Suidam. Eu-

ἔμπροσθεν βίον ἐξίτηλός τις, καὶ τῷ Νέρωνι κατὰ τὸ τῆς ἐνδιαιτήσεως ὁμοιότροπον οἰκειότατος ἔν γε μὴν τῇ βασιλείᾳ τὸν συνήθη τοῦ βίου μετελθεῖν τρόπον οὐχ ἱκανὸς γέγονε, πολέμων αὐτῷ χαλεπῶν εὐθὺς ἐκραγέντων.

95.

Exc. De ins. p. 26 : Ὅτι Ὄθων ἀνελὼν τὸν Γάλβαν, ὡς παρῆλθεν εἰς τὴν ἡγεμονίαν, Βιτέλλιος ὑπὸ τῶν Γαλατικῶν τε καὶ Γερμανικῶν στρατοπέδων αὐτοκράτωρ ἀναγορευθεὶς, ἤλασεν ἐπ' αὐτόν. Ὄθων δὲ σὺν ταῖς οἰκείαις ὑπαντήσας δυνάμεσιν, ἐλαττοῦται κατὰ τὴν πρώτην συμβολὴν, καὶ τοῖς παροῦσιν ἀθύμως διατεθεὶς, καίτοι στρατιᾶς αὐτάρκους αὐτῷ καθεστηκυίας, ὑπεξάγειν ἑαυτὸν ἐκ παντὸς ἔγνω τρόπου. Δεομένων δὲ τῶν στρατιωτῶν, μὴ ταχέως οὕτω τὰς περὶ τοῦ παντὸς καταβαλεῖν ἐλπίδας, ἀποκρινάμενος, οὐδαμῶς ἄξιον ἑαυτὸν ἡγεῖσθαι τοσαύτης ἐμφυλίου ταραχῆς καὶ κινήσεως· ἑκουσίως ὑποδέχεται τὸν θάνατον, ὀγδόῳ καὶ λ' τῆς ἡλικίας ἔτει, τῆς γε μὴν βασιλείας ἡμέρᾳ ϛ' καὶ ζ'. Ἡ δὲ στρατιὰ ἐπένθησεν αὐτὸν, ἡττηθέντες τοῦ πάθους. Καὶ ὁ μὲν τὴν ἀσέλγειαν τοῦ ἔμπροσθεν βίου ἐν τούτοις θαυμαστῶς συνεσκιάσατο, βεβαίως τὸν τοιόνδε πόλεμον τῷ ἑαυτοῦ κατασβέσας αἵματι.

96.

ΒΙΤΕΛΛΙΟΣ.

Exc. Salm. p. 395 : Οὐιτέλλιος μῆνας ὀκτὼ ἡμέρας πέντε. Οὐιτέλλιος ἔθηκε πρόγραμμα τοὺς γόητας καὶ ἀστρολόγους ἐντὸς ῥητῆς ἡμέρας ἀπαλλαγῆναι τῆς Ἰταλίας, καὶ αὐτοὶ νυκτὸς ἀντιτεθείκασι πρόγραμμα παραγγέλλοντες, ἀπαλλαγήσεσθαι [αὐτὸν] τοῦ βίου ἐντὸς [τῆς] ἡμέρας, ἐν ᾗ τελευτᾶν ἔμελλεν.

97.

Exc. De virt. p. 814 : Ὅτι Βιτέλλιος βασιλεύσας τραχέως τε καὶ λίαν ἐπαχθῶς ἡγεῖτο, καὶ πᾶν αἶσχος ἀναδεδεγμένος ἔν τε τοῖς ἄλλοις τοῖς κατὰ τὸν βίον, καὶ οὐχ ἥκιστα τῷ γαστρὸς ἀκρατῶς τε καὶ ἀκορέστως ἔχειν. Πολλάκις γὰρ οὐ μόνον τῆς ἡμέρας, ἀλλὰ καὶ τῆς νυκτὸς σῖτον ᾑρεῖτο, καὶ παρὰ τὰς τῶν δείπνων παρασκευὰς τὸ πολὺ τῶν δημοσίων ἀπετρύετο. Δέκα γὰρ δὴ μυριάδας σταθμοῦ ἀργυρίου ἐπὶ δισχιλίαις καὶ πεντηκοσίαις ἐς τὰ δεῖπνα δεδαπανηκέναι ἱστόρηται, συνεχῶς μὲν καὶ ἀπλήστως ἐμφορούμενος, συνεχῶς δὲ ἅπαντα ἐξερευγόμενός τε καὶ ἐξεμῶν· ᾧ δὴ καὶ μόνῳ διεγένετο, ἐπεὶ οἵ γε σύσσιτοι αὐτοῦ καὶ πάνυ κακῶς εἶχον. Βίβιος γοῦν Κρίσπος, διὰ νόσον χρόνου τινὸς ἀπολειφθεὶς τοῦ συσσιτίου, μάλα στωμύλως ἔφη· « Εἰ μὴ ἐνενοσήκειν, ἀπωλόμην ἄν. » Ἐς τόδε [γοῦν καὶ τὸ παρὰ τῷ ἀδελφῷ] δεῖπνον τοῦ Βιτελλίου ἐπίσημον γεγονὸς διαμνημονεύεται· καθ' ὅ φασὶ δίχα τῆς λοιπῆς πολυτελείας δισχιλίους μὲν ἰχθῦς, ἑπτακισχιλίους δὲ ὄρνις ἐπὶ τὴν θοίνην παρενεχθῆναι. Ἐπῄνει δὲ καὶ τὰ Νέρωνος, καὶ τὸν νεκρὸν τοῦ Νέρωνος ἐς κοῖλόν τινα καὶ ἀφανῆ τάφον κατακείμενον ἀπεσέμνυνε. [Πρὸς δὲ

---

tropius : VII, 11 : *Otho, occiso Galba, invasit imperium, materno genere nobilior quam paterno, neutro tamen obscuro. In privata re mollis et Neronis familiaris : in imperio documentum sui non potuit ostendere. Nam quum iisdem temporibus, quibus Otho Galbam occiderat, etiam Vitellius factus esset a Germanicis exercitibus imperator, bello contra eum suscepto, quum apud Bebriacum in Italia levi prælio victus esset, ingentes tamen copias ad bellum haberet, sponte semet ipsum occidit. Petentibus militibus ne tam cito de belli desperaret eventu, quum tanti se non esse dixisset, ut propter eum civile bellum commoveretur, voluntaria morte obiit, trigesimo octavo ætatis anno, nonagesimo et quinto imperii die.*

Fr. 95. V. Eutrop. l. l. — ϛ' καὶ ζ'] Consentit de vitæ et imperii tempore præter Eutropium etiam Suetonius. Xiphilinus LXIV, 15 : Τοῦτο τὸ τέλος Ὄθωνι ἐγένετο ζήσαντι μὲν λζ' ἔτη, ἕνδεκα ἡμερῶν δέοντα, ἄρξαντι δὲ ἡμέρας ἐνενήκοντα. Sec. Joseph. B. J. IV, 9, 9, regnavit 92 dies. A vero longius recedunt Eusebius et Clemens. V. interpret. ad Xiphil. l. l.

Fr. 96. Οὐιτέλλιος] Οὐιτίλλιος cod. — μῆνας η' ἡμ. ε'] sic etiam Josephus B. J. IV, 11, 4. Secundum Eutropium : *periit imperii mense VIII, et die I.* Xiphil. LXV, 22 et Zonaras XI, 16 regnasse dicunt ἐνιαυτὸν δέκα ἡμερῶν ἐπιδέοντα. Illud a morte Othonis, hoc a die, quo imperator a militibus Vitellius declaratus est, computari debet. Utrumque, opinor, in Dione legere erat. Plura de his v. apud Tillemont. *Hist. des emp.* I., p. 623, et interpretes ad Xiphilin. — αὐτὸν] addidi ex Dionis Exc. Vatican. p. 218 ed. Rom., quæ ad verba nostri loci proxime accedunt. Possis etiam vocem αὐτῷ addere ante ἀντιτεθείκασι (ut Xiphilin. LXV, 1), vel juxta v. παραγγέλλοντες, uti Zonaras XI, 16. — τῆς ἡμ.] articulum addidi e Zonara et Xiphilino. Excerptum Vat. verba ἐντὸς τ. ἡμέρας omittit.

Fr. 97. Eadem Suidas v. Βιτέλλιος. — τραχέως... ἡγεῖτο] om. Suidas — σῖτον ᾑρεῖτο] sic Suidas l. l.; ἐσιτοποιεῖτο codex Exc. et Suidas v. ᾑρεῖτο, ubi hic locus repetitur. At quum locus vocis ᾑρεῖτο gratia adducatur, patet illud ἐσιτοποιεῖτο non esse genuinam Joannis vocem, sed ejus interpretamentum, monente Kustero et Bernhardyo. — τὸ πολὺ τῶν δημ. ἀπετρύετο] Suidas v. Βιτέλλ. et ἀπετρύετο; nisi quod art. τῶν omittunt codd. A B N E s. v. Βιτέλλιος Codex Exc. : τὰ πολυτελῆ τῶν δημ. ἀπετρώγετο. Quæ item e glossematis profecta sint. Ad v. τὸ πολὺ τ. δ. aliquis annotavit : τὰ τέλη vel τὸ πολὺ τῶν τελῶν τ. δημ. — σταθμοῦ] om. Suidas. Corrigenda hæc sunt, puto, ex Xiphilino LXV, 3, ubi : πρὸς πάντων ὁμοίως ὡμολόγηται δύο τε αὐτὸν μυριάδας μυριάδων καὶ δισχιλίας πεντακοσίας ἐν τῷ τῆς ἀρχῆς χρόνῳ ἐς τὰ δεῖπνα δεδαπανηκέναι, i. e. *novies mille sestertium*, uti est ap. Tacit. II, 95. — ἐξερευγ.] ἀπερ. Suidas. — Βίβιος] Βίβιος Exc. et Suidas. V. Xiph. XLV, 2, ubi Οὐίβιος. Cf. Dion. Exc. Vat. p. 218. — συσσιτίου] sic etiam Xiphil.; συμποσίου Suidas. — γοῦν... ἀδελφῷ] Hæc uncis inclusit Valesius; videntur igitur desiderari in cod. Exc., et e Suida accita esse; quamquam in notis Valesius de Suida ne verbum quidem habet. De re cf. Eutrop. VIII, 12 : *Notissima certe cœna memoriæ prodita est, quam ei frater Vitellius exhibuit; in qua super ceteros sumptus, duo millia piscium, septem avium millia apposita traduntur. Hic quum Neroni similis esse vellet, atque id adeo præ se ferret, ut etiam exsequias Neronis, quæ humiliter sepultæ fuerant, honoraret : a Vespasiani ducibus*

τῶν στρατηγῶν Οὐεσπασιανοῦ, μεταποιουμένου τῆς βασιλείας ἤδη, κατακτείνεται.]

98.

Exc. De ins. p. 26 : Ὅτι Βιτέλλιος βασιλεύσας κακῶς καὶ αἰσχρῶς, τῶν Ἰουδαίων νεωτερίζειν ἀρξαμένων, Βεσπασιανὸν στρατηγὸν ἐκπέμπει τῆς ἕω, τὴν τούτων κελεύσας αὐτῷ καταλῦσαι θρασύτητα. Ὡς οὖν ἐπολιόρκει τὴν Ἱερουσαλὴμ, οἱ στρατιῶται περὶ αὐτὸν ἀθροισθέντες, ἀναγορεύουσιν αὐτὸν βασιλέα. Ὅπερ ἀκηκοὼς Βιτέλλιος, Σαβῖνον τὸν ἀδελφὸν Βεσπασιανοῦ ἐν τῷ Καπιτωλίῳ προσφυγόντα συγκατέπρησε τῷ ἱερῷ. Κινήσεως δὲ ἐντεῦθεν μεγίστης γενομένης, ἐπειδὴ καὶ ὁ Βεσπασιανοῦ στρατὸς ἐγγίζειν ἔμελλε τῇ πόλει, συνδραμόντες ἅπαντες κρατοῦσι τὸν Βιτέλλιον, καὶ προσάγουσι τοῖς Βεσπασιανοῦ στρατιώταις, καὶ κατακρίνουσιν αὐτὸν τελευτῆς ἀσχήμονος, τῆς ἐπὶ τῷ Νέρωνι πρώην ἐψηφισμένης. Εἱλκύσθη γὰρ διὰ πάσης τῆς πόλεως γυμνὸς ἐσθήματος, ἀνελκομένου μὲν αὐτῷ τοῦ κρανίου διὰ τῆς κόμης, τοῦ δὲ ξίφους ὑποβεβλημένου τῷ ἀνθερεῶνι, βαλλόμενος ὑπὸ τῶν προστυγχανόντων, τέλος διατμηθεὶς τὸν λαιμὸν ἐνεβλήθη τῷ Θύβριδι, ἕβδομον καὶ ν' ἔτος ἄγων.

ΒΕΣΠΑΣΙΑΝΟΣ.

99.

Exc. De virt. p. 817 : Ὅτι Βεσπασιανὸς οὕτως ἦν ἤπιος καὶ προσηνὴς, ὡς μηδὲ τὰς εἰς αὐτόν τε καὶ τὴν βασιλείαν γινομένας ἁμαρτίας πέρα τιμωρεῖσθαι φυγῆς. Τάς τε γὰρ ἀπεχθείας καὶ τὰ προσκρούματα τῆς διανοίας ταχέως ἀπεσείετο, καὶ σκώμματα ῥητόρων, ὑφ' ὧν ἠρίετο, καὶ δήμων ἐς αὐτὸν ἀπορριπτούμενα κούφως τε καὶ γαληνῶς ἔφερεν· ἔς τε τὰς ἐντεύξεις κοινὸς καὶ δημοτικὸς ὢν, ἀπεσχήνου μὲν ὡς τὰ πολλὰ τῶν βασιλέων.

100.

Exc. De ins. p. 43 : Ὅτι ὁ Βεσπασιανὸς οὕτως ἄρα τὸ πεπρωμένον ἐπὶ τοῖς παισὶν ἐγίνωσκε τέλος, βίου τε αὐτῶν πέρι, καὶ τῆς ἐς τὴν ἡγεμονίαν παρόδου, ὡς πολλάκις μηνυθείσης ἐπιβουλῆς, μηδὲν μὲν ἐργάσασθαι τοὺς ἐπ' αὐτῷ συνεστῶτας κακὸν, διαρρήδην δὲ ἐν τῷ βουλευτηρίῳ ὑπὸ τῇ πάντων ἀκοῇ προσειπεῖν, ἢ τοὺς παῖδας ἕξειν ἢ μηδένα παντελῶς τῆς βασιλείας διάδοχον.

101.

Exc. Salm. p. 395 : Οὐεσπασιανὸς ἔτη δέκα. Οὐεσπασιανοῦ τελευτήσαντος οἶνος ἐν καπηλείῳ τινὶ τοσοῦτος ὑπὲρ τὸ ἀγγεῖον ἐξεχύθη, ὡς καὶ εἰς τὴν ὁδὸν προχωρῆσαι.

ΤΙΤΟΣ.

102.

Exc. De virt. p. 817 : Ὅτι Τίτος, Οὐεσπασιανοῦ υἱὸς, ἀνὴρ ἦν πᾶν ἀρετῆς συνειληφὼς γένος, ὡς πρὸς ἁπάντων ἔρως τε καὶ τρυφὴ τοῦ θνητοῦ προσαγορευθῆναι γένους. Εὐγλωττότατός τε γὰρ καὶ πολεμικώτατος καὶ μετριώτατος ἦν, καὶ τῇ μὲν Λατίνων ἐπιχωρίῳ γλώττῃ πρὸς τὰς τῶν κοινῶν ἐχρῆτο διοικήσεις, ποιήματα δὲ καὶ τραγῳδίας Ἑλλάδι φωνῇ διεπονεῖτο.

103.

Ibid. p. 817 : Ὅτι ἐπεὶ ᾑρήκει τὰ Ἱεροσόλυμα ὁ Τίτος, Συρία τε πᾶσα καὶ Αἴγυπτος καὶ ὅσα τῇ Παλαιστίνῃ πρόσοικα γένη ἐστεφάνουν τὸν ἄνδρα, νικητὴν ἀποκαλοῦντες. Ὁ δὲ διωθεῖτο τοὺς στεφάνους, οὐκ αὐτὸς λέγων εἰργάσθαι ταῦτα, θεῷ δὲ φήναντι ὀργὴν ἐπιδεδωκέναι τὰς ἑαυτοῦ χεῖρας. Οὕτως ἦν μέτριος καὶ σωφροσύνης μεστός.

104.

Exc. De ins. p. 27 : Ὅτι ἐπὶ Τίτου τοῦ Ῥωμαίων βασιλέως, ἀνήρ τις [Ἀσιανὸς] ὢν [ἦν?] τὸ γένος, Τερέντιος Μάξιμος ὄνομα, τά τε ἄλλα καὶ τὴν φωνὴν προσεοι-

---

occisus est, interfecto prius Sabino, Vespasiani imp. fratre, quem cum Capitolio incendit. Cf. fr. 98. — ἐπ ἧνει τὰ Νέρωνος] Cf. Xiphilin. XLV, 4. Dion. Exc. Vat. p. 218. — πρὸς δε... κατακτείνεται] e Suida addidi.

Fr. 98. Pergit Eutropius : *Interceptus autem et cum magno dedecore tractus per urbem Romam publice, nudus, erecta coma et capite, subjecto ad mentum gladio, stercore in vultum et pectus ab omnibus obviis appetitus, postremo jugulatus et in Tiberim dejectus, etiam communi caruit sepultura. Periit autem ætatis anno septimo et quinquasemo, imperii mense XIII et I (V?).* Cf. Xiph. LXV, 20, 21. — ἕβδομον καὶ ν'] Sic etiam Sueton. c. 18; Tacit. III, 86; Victor Ep. VIII, 5. Xiphilin. et Zonaras nonnisi 54 annos numerant. V. not. 114 ad Dion. lib. LXV.

Fr. 99. Eadem Suidas v. Βεσπασιανός, qui deinde alteram glossam subjicit, quæ Eutropii narrationem græce exhibet, ac probabiliter ex eodem Joanne petita est : Οὗτος τοῖς ἀρίστοις τῶν πώποτε βασιλέων παραβάλλεσθαι ἄξιος ἦν· ὅς γε καὶ τὸν ἰδιώτην ἑαυτοῦ βίον ἐπίδοξον πολλοῖς τε καὶ μεγάλοις ἀπετέλεσε κατορθώμασι. Κλαυδίῳ γὰρ τῷ βασιλεῖ στρατηγῶν ἐπὶ Γερμανοὺς καὶ Βρεττανοὺς, λ' καρτερὰς μάχας πρὸς τοὺς πολεμίους ἀντιπαρεστήσατο· εἰς δὲ τὴν ἡγεμονίαν παρελθὼν μετρίως τε καὶ σωφρόνως τὴν ἀρχὴν διῴκητο, ἐπιθυμητικῶς μὲν δοκῶν ἔχειν χρημάτων, οὐ μὴν ὥστε παρὰ δίκην ἀφαιρεῖσθαί τινα τῶν οἰκείων. Καὶ τὸν πλοῦτον οὐκ ἐς τὰς ἡδονάς, ἀλλ' ἐς τὰς δημοσίας χρείας ἐποιεῖτο. Οὔκουν εὕροι τις ἂν ἕτερον πρὸ τοῦδε βασιλέα οὔτε δαψιλέστερον οὔτε πρὸς τὸ ἴσον τε καὶ δίκαιον ἐξητασμένον τὴν πρὸς τὰς δωρεὰς ἐλευθεριότητα. Cum nostro loco cf. Xiphil. LXVI, 10 sqq.

Fr. 101. τοσοῦτος] sic pro τοσοῦτον dedi e Xiphilin. LXVI, 16.

Fr. 102. Eadem Suidas v. Τίτος. Eutropius VII, 14 : *Huic Titus filius successit, qui et ipse Vespasianus est dictus, vir omnium virtutum genere mirabilis adeo, ut amor et deliciæ humani generis diceretur. Facundissimus, bellicosissimus, moderatissimus. Caussas latine egit : poemata et tragœdias græce composuit.*

Fr. 103. Eadem Suidas v. Τίτος. — ἀποκαλοῦντες] ἀνακαλοῦντες Suidas.

Fr. 104. De secundo hoc Pseudo-Nerone nihil habet Xiphilinus; sed meminit ejus Zonaras XI, 18, p. 578, C : Ἐπὶ

κὼς τῷ Νέρωνι· καὶ γὰρ δὴ καὶ οὗτος ᾖδε πρὸς κιθάραν, Νέρων τε εἶναι ἐπλάττετο, καὶ διαπεφευγέναι πάλαι τοὺς ἐπ' αὐτὸν σταλέντας στρατιώτας, ἐν ἀφανεῖ δέ που πεποιῆσθαι τὰς διατριβὰς ἐς τόδε. Πολλοὺς γοῦν ἔκ τε τῆς κάτω Ἀσίας τούτοις ἀπατήσας τοῖς λόγοις, ἕπεσθαί οἱ ἀνέπεισεν, καὶ ἐπὶ τὸν Εὐφράτην προϊὼν πολλῷ πλείους προσεποιήσατο. Τέλος πρὸς Παρθυαίους, ὡς καὶ ὀφειλομένης αὐτῷ πρὸς ἐκείνων ἀμοιβῆς τινος διὰ τὴν τῆς Ἀρμενίας ἀπόδοσιν, κατέφυγεν. Οὐ μὴν ἄξιόν τι τῆς ἐπινοίας εἰργάσατο, ἀλλὰ φωραθεὶς ὃς ἦν, ταχέως ἀπώλετο.

105.

Ibid. p. 27 : Ὅτι πολλῶν ἀγαθῶν ἕνεκα πέρα τοῦ συνήθους πρὸς πάντων ποθούμενός τε καὶ θαυμαζόμενος νόσῳ τελευτᾷ τὸν βίον προστὰς τῆς ἡγεμονίας Ῥωμαίων β' ἔτη πρὸς μησὶν η'. Γέγονε μὲν οὖν πολλοῖς οὐ διὰ μικρᾶς ὑπονοίας ἐπιβουλευθέντα μὲν πρὸς τοῦ ἀδελφοῦ τεθνηκέναι, λαγὸν θαλάσσιον ἐν δείπνῳ τινὶ προσενεγκάμενον. Φασὶ δὲ προειπεῖν αὐτῷ τὸν Ἀπολλώνιον, φυλάττεσθαι μάλιστα τὴν ἀπὸ τῶν οἰκειοτάτων ἐπιβουλὴν, τοῦ δὲ ἐρομένου, « ἀποθανοῦμαι δὲ τίνα τρόπον »; εἰπεῖν τὸν Ἀπολλώνιον· « ὅν γε Ὀδυσσεὺς λέγεται »· φασὶ γὰρ κἀκείνῳ ἐκ θαλάττης ἀφικέσθαι τὸν θάνατον. Φασὶ δὲ [ὅτι Δομετιανὸς] αὐτὸν ἔτι ἔμπνουν ὄντα, καὶ τυχὸν περιγενόμενον, ἐς λάρνακα πλήρη χιόνος ἐμβαλὼν, ὡς ἂν θᾶττον ἀπὸ ψύχους ἐκλείποι, αὐτὸς ἐπὶ τὴν Ῥώμην παραληψόμενος τὴν βασιλείαν ἀφίππευσεν. Ὅδ' οὖν Τίτος ψυχορραγῶν ἤδη ἔφη « ἓν μόνον ἐπλημμέλησα· » τὸ δὲ τί τοῦτο ἦν, αὐτὸς μὲν οὐ διεσάφησεν· οἱ δὲ παρόντες ἐς τὸν Δομετιανὸν οὐκ ἔξω τοῦ εἰκότος ἀποτείνειν ἐλογίσαντο, ὅτι αὐτὸν ἐπιβουλεύσαντά οἱ πολλάκις λαβὼν μεθῆκε, καὶ περιέμεινεν αὐτὸς ὑπ' ἐκείνου διαφθαρῆναι, καὶ τὴν ἀρχὴν εἰς ἄνδρα κακὸν καὶ ἀνοσιουργὸν περιελθεῖν.

ΔΟΜΕΤΙΑΝΟΣ.

106.

Exc. De virt. p. 817 : Ὅτι Δομετιανὸς ὁ βασιλεὺς Ῥωμαίων, ἀδελφὸς Τίτου νεώτερος, Νέρωνι καὶ Καλιγόλᾳ καὶ Τιβερίῳ, τοῖς αἴσχιστα καὶ φαυλότατα προστᾶσι τῆς ἡγεμονίας, ἤπερ τῷ πατρὶ καὶ τῷ ἀδελφῷ προσεοικὼς τὸν τρόπον. Μετρίοις γὰρ δὴ τῆς ἀρχῆς προοιμίοις χρησάμενος, εὐθὺς εἰς πλείονά τε καὶ ἄτοπα τῆς γνώμης ἐκπίπτει μειονεκτήματα, πλεονεξίαν τε νοσῶν ἄμετρον καὶ ἀσέλγειαν, θυμοῦ τε ἀκρατὴς ὢν καὶ ἀπαραίτητος ἐν ταῖς κολάσεσι, φιλαπεχθήμων τε καὶ φιλάργυρος εἴ καί τις ἕτερος. Ταχέως γοῦν πρὸς ἁπάντων μῖσος ἐφειλκύσατο, ὡς τό τε τοῦ ἀδελφοῦ καὶ τοῦ πατρὸς ἀποσβέσαι κλέος. Σφαγαῖς τε γὰρ τῶν ἐπισήμων τῆς βουλῆς ἑκάστης ἡμέρας ἐμίαινε τὴν πόλιν, τάς τε ἴσας τοῖς κρείττοσι μεταδιώκων τιμὰς, οὐχ ὑπέμεινεν ἑτέρων αὐτῷ γίνεσθαι κατὰ τὸ Καπιτώλιον ἀνδριάντων στάσιν ἢ ἐκ χρυσοῦ τε καὶ ἀργύρου πεποιημένων. Ἀπέσχετο δὲ οὐδὲ τοῦ τῶν συγγενῶν φόνου, ἀλλ' ἐπὶ πάντας τοὺς ἀφ' αἵματος τὴν ἀνοσίαν ἤγαγε δεξιὰν, οὔτε θεοὺς ὁμογνίους, οὔτε δίκην αἰδούμενος, ἀλλ' ὁμοῦ τά τε θεῖα περιφρονῶν καὶ τὰ ἀνθρώπινα.

107.

Exc. De ins. p. 28 : Ὅτι ἅπασιν ὁ Δομετιανὸς διὰ τὸ φονικὸν καὶ θηριῶδες τῆς γνώμης ἔχθιστος ὤν, πρὸς τῶν οἰκείων συστάντων ἐπ' αὐτῷ κατακτείνεται, ε' καὶ λ' γενονὼς ἔτη, ἄρξας δὲ ιε'. Τό γε μὴν σῶμα τοῦ ἀνδρὸς ὑπὸ τῶν ἀτιμοτάτων τῆς πόλεως ἀφορηθὲν, ἀσήμῳ τε καὶ ἀπρεπεῖ παρεδόθη ταφῇ. Ἐπιβουλεῦσαι δὲ μάλιστα τούτῳ τὸν φόνον Παρθένιόν τε καὶ Σιγηρὸν τοὺς προκοίτους καὶ Ἔντελλον τὸν τὰ τῆς ἀρχῆς διέποντα βιβλίδια· οὔτε τῆς Δομετίας τῆς τοῦ τυ-

τούτου καὶ ὁ Ψευδονέρων ἐφάνη, ὃς Ἀσιανὸς ἦν, ἐκαλεῖτο δὲ Τερέντιος Μάξιμος, προσεοικὼς δὲ τῷ Νέρωνι καὶ τὸ εἶδος καὶ τὴν φωνήν· καὶ γὰρ καὶ ἐκιθαρῴδει. Ἔκ τε τῆς Ἀσίας τινὰς προσεποιήσατο, καὶ ἐπὶ τὸν Εὐφράτην προχωρῶν πολλῷ πλείους ἀνηρτήσατο, καὶ τέλος πρὸς Ἀρτάβανον τὸν τῶν Πάρθων κατέφυγεν ἀρχηγόν· ὃς καὶ δι' ὀργῆς τὸν Τίτον ποιούμενος ἐδέξατο τοῦτον καὶ καταγαγεῖν εἰς Ῥώμην παρεσκευάζετο.

Fr. 105. β' ἔτη πρὸς μησὶν η'] Regnavit Titus annos duos, mensesque duos et dies viginti, uti ex Xiphilino (LXVI, 18 et 26), Zonara (XI, 18, p. 578, A), Suetonio (Tit. c. 11), Victore (Ep. X, 1) constat; ac omnino res extra dubitationem posita est. Igitur n. l. scribendum foret μησὶ β', præsertim quum nihil frequentius sit permutatione literarum β' et η'. Nihilo secius manum abstinui. Nam neque scribæ neque excerptoris neque ipsius Joannis error subest; verum literæ istæ confusæ jam erant in fonte unde hauserunt Joannes et Eutropius, qui item habet : *morbo periit... post biennium, menses octo, dies viginti.* Cf. fr. 108 extr. — προειπεῖν αὐτῷ] πρ. αὐτὸν cod. Fluxerit hoc ex Philostrat. Vit. Apoll. p. 126 ed. Kayser. — ὅτι Δομετιανὸς] supplevi. — τυχὸν περιγενόμενον] περιγενησόμενον? καὶ τάχα περιγενέσθαι δυνάμενον Xiphilin. c. 26 et Zonaras l. l.

Fr. 106. Eadem Suidas v. Δομετιανός. Eutrop. VII, 15 : *Domitianus mox accepit imperium, frater ipsius junior; Neroni aut Caligulæ aut Tiberio similior quam patri vel fratri suo. Primis tamen annis moderatus in imperio fuit; mox ad ingentia vitia progressus libidinis, iracundiæ, crudelitatis, avaritiæ, tantum in se odium concitavit, ut merita et patris et fratris aboleret. Interfecit nobilissimos ex senatu : dominum se et deum primus appellari jussit : nullam sibi nisi auream et argenteam statuam in Capitolio poni passus est : consobrinos suos interfecit : superbia quoque in eo exsecrabilis fuit.* — προσεοικὼς] aut comparativus desideratur, aut vox μᾶλλον post v. Νέρωνι excidit. — τῆς γνώμης] τῆς om. Suidas. — πρὸς ἁπάντων μῖσος] τὸ πρ. ἁ. μ. cod. A. Suidas. — τοῦ πατρὸς] τοῦ add. e Suida. — ἑτέρων αὐτῷ] ἑ. αὐτοῦ Suidas.

Fr. 107. Eutrop. l. l. : *Verum quum ob scelera universis exosus esse cœpisset, interfectus est suorum conjuratione in palatio, anno ætatis XLV, imperii decimo quinto. Funus ejus cum ingenti dedecore per vespillones exportatum, et ignobiliter est sepultum.* — ε' καὶ λ'] scribæ vitio, ut videtur, pro ε' καὶ μ'. V. interpret. ad Dion. LXVII, 18, not. 106. — Ἔντελλον τὸν] ἐντελλόντων cod. Excerpta sunt ex Dion. LXVII, 15.

ράννου γαμετῆς (ἧκτο γὰρ δὴ ταύτην παῖδα τοῦ Τίτου τυγχάνουσαν) ἀγνοούσης τὴν ἐπιβουλὴν, οὔτε Νωρβάνου καὶ Σεκούνδου τῶν ὑπάρχων. Τούτους γὰρ δὴ μαθόντας, ὅτι σφᾶς ἐκποδὼν ἀθρόως ὁ Δομετιανὸς ποιήσασθαι διέγνωκε, καί τινα καὶ γράμματα περὶ τούτου θεασαμένους, οὐκ ἀναβάλλεσθαι τὴν πρᾶξιν, ἀλλ' ἐς τὴν ἐπιοῦσαν εὐθέως παρασκευασαμένους εἰσπέμψαι σὺν ξιφιδίῳ Στέφανον τὸν ἀπελεύθερον· καὶ τοῦτον προσπεσόντα Δομετιανῷ καθεύδοντι τὸ μεθημερινὸν, πατάξαι μὲν, οὐ μὴν καιρίαν. Ἀναπηδήσαντος γοῦν ἐκείνου, καὶ τὸν Στέφανον καταβάλλοντος, δείσαντας τοὺς περὶ τὸν Παρθένιον μὴ καὶ περιγένηται, ἐπεισελθεῖν, καὶ παντελῶς αὐτὸν προσκατεργάσασθαι.

Προσημῆναι δὲ τῷ Δομετιανῷ τὴν τελευτὴν ἄλλα τε πολλὰ, τοῦτο μὲν τέρατα, τοῦτο δὲ ὄψεις ὀνείρων, καὶ μάλιστα πάντων Λαργῖνον ἀστρολόγον τινά· τοῦτον γὰρ δὴ παρὰ τοῖς Γαλάταις προειπόντα δημοσίᾳ τὴν τελευτὴν τοῦ τυράννου καὶ τὸν χρόνον ἀποδηλώσαντα πρὸς τοῦ ὑπάρχου ἀναπεμφθῆναι τῷ Δομετιανῷ ἐπὶ κολάσει, καὶ αὖθις τὰ αὐτὰ εἰπόντα καὶ τὴν ἡμέραν προαγορεύσαντα καταδικασθῆναι μὲν, οὐ μὴν ἀποθανεῖν τοῦ τυράννου ἀναβαλλομένου τὴν τιμωρίαν ἐς τὸν ῥηθέντα χρόνον, ὅπως δὴ διαφυγὼν δικαιότερον αὐτὸν ὡς ψευσάμενον κολάσειε· κἂν τούτῳ ἀναιρεθέντος τοῦ Δομετιανοῦ, διαφυγεῖν τὸν ἄνδρα.

Κἀκεῖνο δὲ θαυμαστὸν παρὰ τὴν τοῦδε τελευτὴν συμβέβηκεν. Ἀπολλώνιον γὰρ τὸν Τυανέα κατ' ἐκείνην τὴν ἡμέραν, μᾶλλον δὲ παρ' αὐτὸν τὸν καιρὸν τῆς σφαγῆς, προειπεῖν Ἐφεσίοις ἐν κοινῷ τὸ περὶ τὸν Δομετιανὸν πάθος τοῖσδε τοῖς ῥήμασι, « Καλῶς, ὦ Στέφανε, εὖγε ὦ Στέφανε, παῖε τὸν μιαιφόνον. Ἔπληξας, ἔτρωσας, ἀπέκτεινας. »

10 .

Exc. Salm. p. 396 : Δομετιανὸς ἔτη πέντε [καὶ δέκα]. Προεῖπεν ἀστρολόγος καὶ πότε καὶ ὅπως τεθνήξεται. Ἠρώτησεν οὖν αὐτὸν ἐκεῖνος, ποίῳ τέλει αὐτὸς χρήσεται· καὶ εἰπόντος, θέλων ἀπελέγξαι αὐτὸν ψευδόμενον, ἐκέλευσε ζῶντα καυθῆναι, ἀφθέντος δὲ πυρὸς, ὑετὸς πολὺς καταρραγεὶς τὴν πυρὰν ἔσβεσε, καὶ κύνες ὀπίσω τὼ χεῖρε δεδεμένου τοὺς δεσμοὺς διεσπάραξαν. Δομετιανὸς δὲ εἶδε πρὸ μιᾶς ἡμέρας τοῦ θανάτου αὐτοῦ, ὡς ἵππῳ μέλανι ἐπεκάθητο ἔνοπλος· καὶ πεσόντων αὐτομάτως ἐξ αὐτοῦ τῶν ὅπλων σὺν τῷ ἵππῳ εἰς τὸ χάσμα κατηνέχθη. Λαργῖνος δὲ Πρόκλος ἐν Γερμανίᾳ προεῖπε δημοσίᾳ τὴν ἡμέραν ἐν ᾗ ὁ βασιλεὺς τεθνήξεται· διὸ δέσμιος Δομετιανῷ εἰς Ῥώμην ἐπέμφθη. Καὶ εἶπεν αὐτῷ εἰς ὄψιν τὸ αὐτό. Ὁ δὲ ἐκέλευσεν αὐτὸν φυλαχθῆναι, ὡς ἂν τῆς ἡμέρας ἐκείνης διαδραμούσης ἀναιρεθῇ· ἀλλὰ θανόντος τοῦ βασιλέως, ἀπελύθη ἀβλαβής. Πρὸ Δομετιανοῦ Τίτος πρεσβύτερος ἀδελφὸς αὐτοῦ, ἔτη δύο, μῆνας ὀκτὼ, ἡμέρας κ'.

ΝΕΡΒΑΣ.

109.

Ibid. p. 396 : Νέρβας ἔλεγεν ὡς « Οὐδὲν τοιοῦτον πεποίηκα, ὥστε μὴ δύνασθαι τὴν ἀρχὴν καταθέσθαι καὶ ἀσφαλῶς ἰδιωτεῦσαι. » Καί τισι δὲ ἔδωκε ξίφη, λόγῳ μὲν ἵνα ἐπισκέψωνται αὐτὰ εἰ ὀξέα εἰσὶν, ἔργῳ δὲ ἐνδεικνύμενος, ὡς οὐδὲν αὐτῷ μέλει κἂν παραχρῆμα ἀποθάνῃ. Οὗτος ἀπηγόρευσεν ἐκτέμνειν ἐν Ῥώμῃ.

110.

Exc. De ins. p. 29 : Ὅτι Νέρβας, ἐπειδὴ πρός τινων διὰ τὸ γῆρας καταφρονηθεὶς ἐπεβουλεύθη πολλάκις, καὶ τὸν Πετρώνιον καὶ τὸν Παρθένιον, προσφιλεστάτους ὄντας, ἐκδοῦναι τοῖς στρατιώταις πρὸς Αἰλιανοῦ τοῦ τῶν δορυφόρων ἡγουμένου ἐβιάσθη· ἐφ' οἷς δὴ καὶ σφόδρα ἠνιᾶτο. Λέγεται δὲ Τραϊανῷ ἄλλα τέ τινα τελευτῶν αὐτοχειρὶ ἐπιστεῖλαι, καὶ τὸν Ὁμηρικὸν (Il. α, 42) ἐπιθεῖναι στίχον,

Τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσιν.

ΤΡΑΪΑΝΟΣ.

111.

Exc. De virt. p. 818 : Ὅτι Τραϊανὸς τοῖς Χριστιανοῖς ἀνακωχήν τινα τῆς τιμωρίας παρέσχεν. Οἱ γὰρ κατὰ καιρὸν ὑπὸ τῶν Ῥωμαίων τὰς ἀρχὰς ὠνούμενοι, πρὸς θεραπείαν τῶν τότε βασιλέων διαφόρους ἐπῆγον τοῖς Χριστιανοῖς κολάσεις. Ὅθεν καὶ Τιβεριανὸς ἡγε-

— παῖδα τοῦ Τίτου] immo Corbulonis filia Domitia erat. Confundit excerptor Domitiam cum Julia, Titi f., cum qua rem Domitianus habuit. — Νωρβανοῦ] Νορβ. codex. Ceterum excerptum hoc etiam Suidas v. Δομετιανὸς habet, sed valde mutilum : Οὗτος διὰ τὸ φονικὸν καὶ θηριῶδες ἔχθιστος ὢν πρὸς τῶν οἰκείων συστάντων ἐπ' αὐτῷ κατακτείνεται, καὶ * παρασκευασαμένους εἰσπέμψαι σὺν ξιφιδίῳ Στεφανὸν τὸν ἀπελεύθερον · καὶ τοῦτον προσπεσόντα Δομετιανῷ καθεύδοντι τὸ μεθημερινὸν πατάξαι μὲν, οὐ μὴν καιρίαν · ἀναπηδήσαντος γοῦν ἐκείνου **. — Λαργῖνον] Λαργίκνον codex. V. Xiphilin. LXVII, 16 ; Zonaras p. 581, C. — ἀποδηλώσαντα] ἀπολώσαντα codex. — κἀκεῖνο δὲ θαυμαστὸν κτλ.] V. Xiphilin. LXVII, 18 ; Zonar. p. 582, A ; Philostratus VIII, 26 sq. Tzetzes Chil. III, v. 962.

Fr. 108. Τοὺς δεσμοὺς διεσπάραξαν] V. Xiphilinus LXVII, 16, ubi nunc legitur : ἡ δὲ πυρὰ ἐσβέσθη, κἀκεῖνον κυνὲς ὀπίσω τὼ χεῖρε δεδεμένον καὶ ἐπικείμενον ἐπ' αὐτῆς εὑρόντες διεσπάραξαν. Sic etiam Sueton. Dom. c. 15. At liberatum potius a canibus hominem esse, cum nostro refert Manasses Chron. p. 43. — ἐπεκάθητο ἔνοπλος] non se ipsum, sed Minervam vidit. Xiphilin. l. l. : τὴν Ἀθηνᾶν, ἣν ἐν τῷ κοιτῶνι ἱδρυμένην εἶχε, τὰ ὅπλα ἀποβεβληκέναι, καὶ ἐπὶ ἅρματος ἵππων μελάνων ἐς χάσμα ἐσπίπτειν ἔδοξε. Cf. Sueton. l. l. — Λαργῖνος] λάργιος codex.

Fr. 109. V. Xiphilin. LXVIII, 3. — τισιν] sc. Calpurnio Crasso ejusque sociis conjurationis. — ἐκτέμνειν] εὐνουχίζεσθαι Xiph. l. l. c. 2.

Fr. 110. Αἰλιανοῦ] κλιανοῦ codex. V. Xiphilin. LXVIII, 3. De seqq. cf. idem c. 4, Zonar. p. 584, A.

Fr. 111. Eadem Suidas v. Τραϊανός. Antecedit apud Suidam locus, quem ad eumdem Antiochenum probabiliter referas : Τραϊανὸς, βασιλεὺς Ῥωμαίων, ὃς ἀγαθὸς καὶ μισοπονηρὸς καὶ δίκαιος τοσοῦτον ὑπῆρχεν, ὥστε ποτὲ γυμνώσας ῥομφαίαν

μονεύων τοῦ πρώτου Παλαιστίνων ἔθνους ἀνήγαγεν αὐτῷ λέγων, ὡς οὐκ ἐπαρκεῖ λοιπὸν τοὺς Χριστιανοὺς φονεύειν, ἐκείνων αὐτομάτως ἐπεισαγόντων ἑαυτοὺς τῇ κολάσει. Ἐντεῦθεν ὁ Τραϊανὸς πᾶσιν ἅμα τοῖς ὑπ' αὐτὸν ἀπηγόρευσε τοῦ τιμωρεῖσθαι τούτους.

112.

Exc. De ins. p. 29 : Ὅτι ὁ Τραϊανὸς τὸ πιστὸν πρὸς τοὺς φίλους οὕτως εἶχεν ἀκίνητον, ὥστε Σούραν Λικίνιον, ἄνδρα μέγα μὲν παρ' αὐτῷ δυνάμενον, διαβληθέντα δὲ πρός τινων φθονούντων οἱ τῆς εὐπραγίας, μήτε ὑποπτεύσας, μήτε μισήσας, ἐγκειμένων τῶν διαβαλλόντων καὶ ἐπιβουλεύειν αὐτῷ τὸν ἄνδρα φασκόντων, ἐπὶ δεῖπνον ὡς τὸν Λικίνιον ἀπῆλθε ἄκλητος, καὶ πᾶσαν τὴν φρουρὰν ἀποπεμψάμενος, πρῶτα μὲν τὸν ἰατρὸν τὸν τοῦ Λικινίου καλέσας, ὑπ' ἐκείνου τοὺς ὀφθαλμοὺς ὑπηλείψατο, ἔπειτα δὲ τὸν κουρέα μετακαλεσάμενος, ξυρεῖν ἐκείνῳ τὸ γένειον παραδέδωκεν. Ἐπεὶ δὲ ἀπῆλθεν οἴκαδε πρὸς τοὺς εἰωθότας διαβάλλειν τὸν ἄνδρα, « Εἰ ἤθελέ με Σούρας ἀποκτεῖναι, χθὲς ἂν ἀπέκτεινεν ». Οὕτως ἄρα τὸ πιστὸν τῆς γνώμης ἐξ ὧν αὐτῷ συνῄδει πεπραγότι μᾶλλον ἢ ἐξ ὧν ἕτεροι ἐδόξαζον, ἐβεβαιοῦτο. Διὸ δὴ ζῶν τε ὁμοίως ἔτι καὶ μετὰ τοῦτο τοῦ βίου παυσάμενος, κατ' ἴσον προσεκυνεῖτο τοῖς κρείττοσιν.

113.

ΑΔΡΙΑΝΟΣ.

Exc. De virt. p. 818 : Ὅτι Ἀδριανὸς ἦν ἡδὺς μὲν ἐντυχεῖν, καὶ ἐπήνθει τις αὐτῷ χάρις, τῇ τε Λατίνων καὶ Ἑλλήνων ἄριστα γλώττῃ χρώμενος· οὐ μὴν ἐπὶ πρᾳότητι τρόπων ἐθαυμάζετο· περί τε τὴν τῶν δημοσίων χρημάτων ἐσπουδακὼς ἄθροισιν.

114.

Exc. Salm. p. 396 : Ἀδριανὸς Σίμιλίν τινα, ἄνδρα φρονήσει καὶ ἐπιεικείᾳ κεκοσμημένον, ἠνάγκασε τὴν ἀρχὴν τῶν δορυφόρων παραλαβεῖν, καὶ μόλις μὲν, ἔπεισε δ' οὖν. Ὀλίγον δὲ ἐπισχὼν καὶ δεηθεὶς ἐξέστη τῆς ἀρχῆς, καὶ ἐν ἀγρῷ ἔτη ζ' διαγαγὼν τελευτᾷ, ἐπιγραφῆναι προστάξας ἐν τῷ μνημείῳ αὐτοῦ· « Σίμιλις ἐνταῦθα κεῖται, βιοὺς μὲν ἔτη ν', ζήσας δὲ ἔτη ζ'. » Ἐγένετο δὲ μετὰ θάνατον Ἀδριανῷ τηλικοῦτον ἄγαλμα μετὰ τεθρίππου, ὥστε διὰ τοῦ ὀφθαλμοῦ ἑκάστου ἵππου παχύτατον ἄνδρα διιέναι· οἱ δὲ ἐν γῇ βαδίζοντες, ἐκ τῆς ὑπερβολῆς τοῦ ὕψους τοῦ κτίσματος, αὐτούς τε τοὺς ἵππους βραχυτάτους καὶ τὸν Ἀδριανὸν νομίζουσι.

115.

ΑΝΤΩΝΙΝΟΣ Ο ΕΥΣΕΒΗΣ.

Exc. De virt. p. 818 : Ὅτι Ἀντωνῖνος ὁ βασιλεὺς ἄριστος ἦν, καὶ μάλιστα Νουμᾷ κατὰ τὸ τῆς ἡγεμονίας ὁμοιότροπον ἄξιος παραβάλλεσθαι, καθάπερ δὴ Ῥωμύλῳ Τραϊανὸς ἐνομίσθη παραπλήσιος. Τόν τε γὰρ ἰδιώτην ὁ Ἀντωνῖνος ἄριστα καὶ ἐντιμότατα διετέλεσε βίον, καὶ κατὰ τὴν ἡγεμονίαν ἀμείνων ἔδοξεν εἶναι καὶ σωφρονέστερος· οὐδενὶ τραχὺς οὐδὲ φορτικὸς, ἀλλὰ πρὸς ἅπαντας χρηστός τε καὶ ἤπιος ὤν· ἔν γε μὴν τοῖς πολεμικοῖς τὴν ἀπὸ τοῦ δικαίου μᾶλλον ἢ τοῦ κερδαλέου δόξαν θηρώμενος, φυλάττειν σώους ἤπερ εἰς μέγεθος ἐκφέρειν τοὺς τῆς ἀρχῆς * ἐγίνωσκεν· ἄνδρας, ὡς ἔνι μάλιστα πλείστην τοῦ δικαίου ποιουμένους ἐπιμέλειαν, ταῖς τῶν δημοσίων ἐφιστὰς διοικήσεσι, τοὺς μὲν ἀγαθοὺς τῶν ἡγεμόνων ταῖς παρ' αὐτοῦ τιμαῖς ἀμειβόμενος, τούς γε μὴν φαύλους δίχα τινὸς τραχύτητος τῶν κοινῶν ἀπελαύνων πραγμάτων. Οὔκουν ὑπὸ τῶν οἰκείων μόνων, ἀλλ' ἤδη καὶ πρὸς τῶν ἀλλοφύλων ἐθαυμάζετο· ὡς τῶν προσοίκων τινὰς βαρβάρων τὰ ὅπλα κατατιθεμένους, ἐπιτρέποντάς τε τῷ βασιλεῖ τὰς δίκας, διαλύεσθαι ταῖς ἐκείνου ψήφοις. Αὐτὸς δὲ παρὰ τὸν ἰδιώτην βίον πολύ τι πλῆθος χρημάτων κεκτημένος,

---

ἐνώπιον τῶν μεγιστάνων αὐτοῦ ἐπέδωκε τῷ ὑπάρχῳ, λέγων· « Δέξαι τὸ ξίφος τοῦτο, καὶ εἰ μὲν καλῶς ὑπάρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ μὴ, κατ' ἐμοῦ χρῆσαι. » Cf. Xiphil. LXVIII, 16.

Fr. 112. E Dione. V. Excerp. Peir. in Dion. LXVIII, 16. — Σούραν Λικίννιον] Cramer.; Σ. λίννιον codex. — ὑπηλείψατο] e Dione; ἀπηλείψατο cod. — ἐξ ὧν αὐτῷ] Cramer.; ἐξῆν αὐτῷ codex.

Fr. 113. Eadem Suidas v. Ἀδριανός. Eutropius VIII, 13 : *Facundissimus latino sermone, græco eruditissimus fuit : non magnam clementiæ gloriam habuit; diligentissimus tamen circa ærarium et militum disciplinam.*

Fr. 114. Σίμιλιν] Σιμίλιον codex. V. Xiphilin. LXIX, 19. — αὐτούς τε τοὺς ἵπ.] αὐτοὺς δὲ τ. ἵ. codex.

Fr. 115. Eadem Suidas v. Ἀντωνῖνος. — Νουμᾷ] Cf. Eutrop. VIII, 4 : *Vir insignis et qui merito Numæ Pompilio conferatur, ita ut Romulo Trajanus æquatur. Vixit ingenti honestate privatus, majori in imperio, nulli acerbus, cunctis benignus; in re militari moderata gloria, defendere magis provincias, quam amplificare studens; viros æquissimos ad administrandam rempublicam quærens, bonis honorem habens, improbos sine aliqua acerbitate detestans; regibus amicis venerabilis non minus quam terribilis, adeo ut barbarorum plurimæ nationes, depositis armis, ad eum controversias suas litesque deferrent, sententiæque ejus parerent. Hic ante imperium ditissimus, opes quidem omnes suas stipendiis militum et circa amicos liberalitatibus minuit, verum ærarium opulentum reliquit. Pius propter clementiam dictus est.* — ἐνομίσθη] ὤφθη Suidas. — τὴν ἀπὸ τοῦ δ.] τὴν om. Suid. — τοὺς τῆς ἀρχῆς] Excidit aliquid vel corruptum est. Leunclavius et Kusterus ad Suidam supplent ὅρους. In sequentibus Suidas pro ποιουμένους habet ποιούμενος. In quo acquiescens Bernhardyus jungit τοὺς τῆς ἀρχῆς ἄνδρας, contra Kusterum monens hæc : « Librorum tamen fidem confirmat Capitolini Pius c. 9 a Salmasio dudum adhibitus : *Quum semper amaverit pacem, eo usque ut Scipionis sententiam frequentarit, qua ille dicebat, malle se unum civem servare quam mille hostes occidere.* » Verum multo magis ad rem nostram pertinet contulisse Eutropiana ista : *defendere magis provincias quam amplificare studens.* — τῶν ἡγεμόνων] τὴν ἡγεμονίαν Suidas, male. — ἀλλοφύλων] e Suida; ἄλλων codex. — ἐπιτρέποντάς τε] τε om. nonnulli codd. Suidæ, cum iisque ed. Bernh. « Ota-

ἐπειδὴ παρῆλθεν εἰς τὴν ἡγεμονίαν, τὴν μὲν ἑαυτοῦ περιουσίαν εἴς τε τῶν στρατιωτῶν καὶ τῶν φίλων ἀπανάλωσε δωρεάς· τῷ δὲ δημοσίῳ θησαυρῷ πλῆθος παντοδαπῶν ἀπέλιπε χρημάτων· τήν τε τοῦ Εὐσεβοῦς ἐπίκλησιν πρῶτος ἁπάντων αὐτοκρατόρων ἐκ τῆς τοῦ ἤθους ἁπλότητος ἀπηνέγκατο.

116.

ΜΑΡΚΟΣ ΑΥΡΗΛΙΟΣ ΑΝΤΩΝΙΝΟΣ.

Ibid. p. 821 : Ὅτι Μάρκος ἀνὴρ ὃν ἐκπλήττεσθαι σιωπῇ μᾶλλον ἢ ἐπαινεῖν ῥᾴδιον, οὐδενὸς λόγου ταῖς τοῦ ἀνδρὸς ἀρεταῖς ἐξισουμένου. Ἐκ πρώτης γὰρ [ἤδη] τῆς ἡλικίας εὐσταθῆ τε καὶ ἡσύχιον βίον ὑποστησάμενος, οὔτε κατὰ δέος οὔτε καθ' ἡδονὴν τραπεὶς τὸ πρόσωπον ὤφθη πώποτε. Ἐπῄνει δὲ τῶν φιλοσόφων τοὺς ἀπὸ τῆς στοᾶς· καὶ ἦν ἄρα ἐκείνων μιμητής, οὐ μόνον κατὰ τὴν τῶν διαιτημάτων ἐπιτήδευσιν, ἀλλὰ καὶ κατὰ τὴν τῶν μαθημάτων σύλληψιν. Οὕτω γοῦν ἐκ νέας κομιδῇ τῆς ἡλικίας ἐξέλαμπεν, ὡς πολλάκις τὸν Ἀδριανὸν ἐπὶ τοῦτον ἐθελῆσαι τὸν τῆς βασιλείας ἀγαγεῖν κλῆρον. Ἐπεὶ δὲ ἔφθασε τὸν Εὐσεβῆ πρότερον κατὰ νόμον παῖδα ποιησάμενος, ἐκείνῳ μὲν τὴν ἑαυτοῦ διαδοχὴν ἐφύλαξε, τοῦτον δὲ συνοικεῖν ἔγνω διὰ τῆς ἐπιγαμίας τῷ Εὐσεβεῖ, ὡς ἂν κατὰ τὴν τοῦ γένους διαδοχὴν ἐς τὴν ἡγεμονίαν παρέλθοι. Τόν τε γοῦν ἰδιώτην βίον ἐν ἰσηγορίᾳ τοῖς πολλοῖς Ῥωμαίοις ἐβίω, οὐδὲν τῇ ἰσοποιήσει τοῦ βασιλείου γένους ἀλλοιωθείς. Καὶ ἐπεὶ παρῆλθεν εἰς τὴν ἡγεμονίαν κατὰ μοναρχίαν ἐξηγούμενος, καὶ τὴν ἄκραν δυναστείαν καρπούμενος, πρὸς οὐδεμίαν ἀλαζονείαν ὑπήχθη πώποτε· ἀλλ' ἦν ἐλευθέριος μὲν καὶ δαψιλὴς ἐν τοῖς εὐεργετήμασιν, ἀγαθὸς δὲ καὶ μέτριος ἐν ταῖς τῶν ἐθνῶν διοικήσεσιν.

117.

Exc. Salm. p. 396 : Μάρκος ἔτη ιθ'. Πρὸ τοῦ Μάρκου Τίτος Αὐρήλιος Φοῦλβος Βοιώνιος Ἀντωνῖνος Πῖος (ὁ κληθεὶς Εὐσεβής) ἔτη κδ'. Μάρκος Ἀντωνῖνος, ἐν πολέμῳ τῶν δημοσίων ἐξηντλημένων ταμείων, πράξασθαι μὲν χρήματα παρὰ τὸ σύνηθες οὐκ ἠνέσχετο, πάντα δὲ τὸν βασιλικὸν κόσμον ἐπ' ἀγορᾶς ἀγαγὼν πρὸς χρυσίον ἀπέδοτο. Καταστάσης δὲ τῆς βαρβαρικῆς κινήσεως, τοῖς μὲν ἐκουσίαν ποιουμένοις τὴν τῶν βασιλικῶν σκευῶν ἀνάδοσιν, τὸ αὐτὸ μέτρον τῆς τιμῆς ἀπεδίδου, τοὺς δὲ μὴ θέλοντας οὐκ ἠνάγκαζε. Τούτῳ ἡ βουλὴ μετὰ τελευτὴν χρυσοῦν ἀνδριάντα ἔστησεν διὰ τὴν ἀρετὴν αὐτοῦ. Μετὰ Μάρκον ὁ υἱὸς αὐτοῦ Κόμοδος ἔτη ιγ'. Μετὰ Κόμοδον Περτίναξ μῆνας ϛ'. Μεθ' ὃν Δίδιος Ἰουλιανὸς ἡμέρας ξ'.

118.

Exc. De ins. p. 29 : Ὅτι Κάσσιος ὁ τῆς Συρίας ἡγούμενος, ἀνὴρ δεινὸς τὰ πολέμια, πλεῖστά τε καὶ λόγου ἄξια κατὰ τὸν Παρθικὸν πόλεμον ἀποδειξάμενος, ἄλλως δὲ ὢν νεωτεροποιός, καινοτομεῖν ἐπήρθη, πρὸς τῆς Φαυστίνης τῆς τοῦ Μάρκου γαμετῆς ἐς τήνδε προαχθεὶς τὴν ἔννοιαν. Αὐτὴ γὰρ τὸν Μάρκον ἀρρωστήσαντα τεθνήξεσθαι ἄλλως τε καὶ νοσώδη ὄντα οἰηθεῖσα, μὴ εἰς ἕτερον περιελθούσης τῆς ἡγεμονίας ἰδιωτεύσῃ, τοῦ Κομόδου ἔτι νέου ὄντος καὶ ἄρχειν οὐκ ἐπιτηδείου, ἔπεισε τὸν Κάσσιον, κρύφα πέμψασα τῶν αὐτῇ πιστῶν τινάς, ἐπιθέσθαι τῇ βασιλείᾳ, ἢν αἴσθηται τὸν Μάρκον τεθνεῶτα, συνοικήσειν τε αὐτῷ καὶ τἄλλα συμπράξειν ὑποσχομένη. Ὃς, φήμης τινὸς ψευδοῦς τεθνηκέναι οἱ δηλωσάσης τὸν βασιλέα, προεξανέστη τῆς ἀληθείας, ἄκων τε πολέμιος ἀνεφάνη τῷ αὐτοκράτορι.

Τούτων μὲν οὖν ἕνεκα ὁ Μάρκος τόν τε Κόμοδον ἐκ τῆς Ῥώμης διεπέμψατο, καὶ ἐπὶ τὴν Συρίαν ἐκ τῆς Παιονίας ἐστάλη· οὐ μὴν ὅπλων αὐτῷ κατὰ τῶν ἐπαναστάντων ἐδέησεν· ὁ γάρ τοι Κάσσιος ἀναιρεθεὶς πρός τινος τῶν ἀμφ' αὐτὸν ἔφθασε. Καθ' ἡσυχίαν δ' οὖν τήν τε Συρίαν καὶ Αἴγυπτον ἐπελθών, οὔτε δῆμον οὔτε πόλιν, οὔτε ἰδιώτην οὔτε ἄρχοντα ἐσπουδακέναι τὰ τοῦ Κασσίου δόξαντα ἐπολυπραγμόνησεν ἢ ἐκόλασεν, ἀλλὰ

---

tionis series et sensus potius requirit, ut legatur ἐπιτρέπειν τῷ βασιλεῖ. » *Küster.* Præter necessitatem. Post δίκας interpunxi. — τῷ δὲ δημ. θησαυρῷ] τῶν τε δημοσίων θησαυρῶν Suidas. — ἐπίκλησιν κτλ.] ἐπίκλησιν ἐκ τοῦ ἤθους πρῶτος ἀπηνέγκατο Suidas.

Fr. 116. Eadem Suidas v. Μάρκος. Eutropius VIII, 6 : *Post eum Marcus Antoninus solus rempublicam tenuit : vir quem mirari facilius quis quam laudare possit. Principio vitæ tranquillissimus, adeo ut ex infantia quoque vultum nec ex gaudio nec ex mœrore mutaret. Philosophiæ deditus stoicæ; ipse etiam non solum vitæ moribus sed etiam eruditione philosophus; tantæ admirationis adhuc juvenis, ut eum successorem paraverit Adrianus relinquere : adoptato tamen Antonio Pio, generum esse ei idcirco voluerit, ut hoc ordine ad imperium perveniret.... Hic cum omnibus Romæ æquo jure egit, ad nullam insolentiam elatus imperii fastigio; liberalitatis promptissimæ, provincias ingenti benignitate et moderatione tractavit.* — γὰρ ἤδη] ἤδη add. e Suida v. Μάρκος; idem γὰρ δὴ habet v. ὑποστησάμενος, ubi hæc iterum apponuntur. — ἐξέλαμπεν] in ἐξέλαμψεν mutavit Valesius. — τοῦ βασιλείου γένους] βασ. om. Suidas. — Ἐλευθέριος] Ἐλεύθερος Suidas.

Fr. 117. Eutrop. l. l. : *Ad hujus belli sumptum, quum ærario exhausto largitiones nullas haberet, neque indicere provincialibus aut senatui aliquid vellet, instrumentum regii cultus, facta in foro divi Trajani sectione, distraxit : vasa aurea, pocula crystallina et murrhina, uxoriam ac suam sericam et auream vestem, multa ornamenta gemmarum; ac per duos continuos menses venditio habita est, multumque auri redactum. Post victoriam tamen emptoribus pretia restituit, qui reddere comparata voluerunt; molestus nulli fuit, qui maluit semel empta retinere.* — Βοιώνιος] Βοτώνιος codex.

Fr. 118. ἄλλως τε καὶ] τε καὶ ἄλλως codex. — οἰηθεῖσα, μὴ] οἰηθεῖσα τὸ μὴ codex. Fortasse erat οἰηθεῖσα, φοβηθεῖσά τε, vel οἰηθεῖσα, ἐφοβεῖτο μὴ ... καὶ ἔπεισεν. Cf. Xiphilin. LXXI, 22 : αὕτη γὰρ τὸν ἄνδρα ἀρρωστήσαντα προσδοκήσασα ὅσον οὐκ ἤδη τελευτήσειν, ἐφοβήθη μὴ τῆς ἀρχῆς ἐς ἄλλον τινὰ (ἅτε τοῦ Κομμόδου καὶ νέου καὶ ἁπλουστέρου τοὺς

καὶ ὑπὲρ τῶν ἐν Ῥώμῃ συνειλημμένων (ἐξεληλεγμένοι γὰρ ἦσαν κἀνταῦθα τῶν βουλευτῶν συχνοὶ τὰ τοῦ Κασσίου περιφανῶς ἐσπουδακότες) ἐπέστειλε τῇ βουλῇ, μηδὲν χαλεπὸν γνῶναι, τούτοις ἄντικρυς τοῖς ῥήμασι χρησάμενος· αὐτὰ γὰρ εἰρήσεται, τὴν χρηστότητα τοῦ ἀνδρὸς σαφῶς ἐνδεικνύμενα. Ἦν δ' οὖν τοιαῦτα· « Ἱκετεύω ὑμᾶς, ὦ βουλὴ, καθαράν μου τὴν ἀρχὴν ἀπὸ « παντὸς αἵματος βουλευτικοῦ φυλάξασθαι. Μὴ γένοιτό « τινα ἐξ ὑμῶν ἐπ' ἐμοῦ ἢ τῇ ἐμῇ ἢ τῇ ὑμετέρᾳ ψήφῳ θανατωθῆναι. » Καὶ τέλος ἔφη, ὅτι « Ἂν μὴ τούτου τύχω, ἀποίσομαι πρὸς τὸν θάνατον » καὶ οὐκ ἐπῆρε τὸν Μάρκον, οὐδὲ προσηγάγετο ἐκβῆναι τῶν συνήθων λογισμῶν οὐ τὸ ἄδικον καὶ ἀνόσιον τῶν τετολμημένων, οὐχ ἡ ἀπιστία τῶν τολμησάντων οὐ τὸ ὑπὲρ ὁμοίων ἐς αὖθις δέος.

119.

ΚΟΜΜΟΔΟΣ.

Ibid. p. 30 : Ὅτι μέχρι μέν τινος ὁ Κόμοδος πάντα ἔπραττε τοῖς πατρικοῖς φίλοις συμβούλοις χρώμενος. Ἐπειδὴ δὲ Περέννιον ἔπαρχον τῶν στρατοπέδων κατέστησεν, ἄνδρα τὸ μὲν γένος Ἰταλιώτην, πονηρὸν [δὲ] τὸ ἦθος, αὐτὸς μὲν τρυφαῖς καὶ συμποσίοις ἐσχόλαζεν, οὗτος [δὲ] πάσης τῆς ἀρχῆς τὴν ἐξουσίαν ἐνδυσάμενος, τούς τε πατρῴους φίλους πρώτους διαβάλλειν ἤρξατο, καὶ ὅσοι πλούσιοι ἦσαν, τούτους εἰς ὑποψίαν ἄγων, τὸ μειράκιον ἐξεφόβει, ὡς ἂν αὐτοὺς διαχρησάμενος ἀφορμὴν αὐτῷ παράσχοι ἁρπάζειν τὰ ἐκείνων. Μέχρι μὲν οὖν τινὸς ἐπεῖχε τὸν νέον ἡ τοῦ πατρὸς μνήμη καὶ ἡ τῶν φίλων αἰδώς· ἀλλ' ὥσπερ τινὸς βασκάνου τύχης ἀνατρεπούσης αὐτοῦ τὴν κοσμίαν ἀρχὴν, συνέβη τι τοιοῦτον. Λουκίλλα ἦν τῷ Κομόδῳ πρεσβυτάτη ἀδελφή· αὕτη πρότερον Λουκίῳ Βήρῳ αὐτοκράτορι συνῴκει, ὃν κοινωνὸν τῆς βασιλείας Μάρκος ἐποιήσατο. Ἐπειδὴ οὖν συνέβη τὸν Λούκιον τελευτῆσαι, μενόντων τῇ Λουκίλλῃ τῶν τῆς βασιλείας συμβόλων, Πομπηϊανῷ ὁ πατὴρ ἐξέδοτο αὐτήν· ἀλλὰ καὶ ὁ Κόμοδος ἐφύλαττε τὰς τιμὰς τῇ ἀδελφῇ. Ἐπειδὴ δὲ ἠγάγετο αὐτὸς Κρισπίναν, ἀνάγκη τε ἐγένετο τὴν προεδρίαν ἀπονέμεσθαι τῇ τοῦ βασιλεύοντος γυναικὶ, δυσφόρως τοῦτο φέρουσα ἡ Λουκίλλα, τῷ μὲν ἀνδρὶ οὐκ ἐθάρρησεν εἰπεῖν, Κοδράτῳ δέ τινι, εἰς ὃν καὶ διεβάλλετο, ὑπέθετο τὸν Κόμοδον ἀνελεῖν· ὁ δὲ Κυιντιανῷ νεανίᾳ θρασυτάτῳ τε καὶ φονικωτάτῳ τὴν ὀλεθρίαν ἐπέτρεψε πρᾶξιν. Ὅστις λαβὼν ἐγχειρίδιον, καὶ ὑποστὰς ἐν τῇ τοῦ θεάτρου εἰσόδῳ (ἔστι δὲ αὕτη ζοφώδης), ὥρμησε κατὰ τοῦ Κομόδου. Ὡς δὲ διήμαρτε τῆς πληγῆς, κρατηθεὶς ὑπὸ τῶν σωματοφυλάκων, ἅπαντα διήλεγξε. Καὶ αὐτὸς μὲν παραχρῆμα δίκην ἀνοίας ὑπέσχεν· ὁ δὲ Κόμοδος ἔκτοτε κοινοὺς ἐχθροὺς ἅπαντας ἐλογίζετο. Ὑπῆρξε δὲ καὶ τῷ Περεννίῳ πρόφασις, ἣν ἐζήτει· τήν τε γὰρ ἀδελφὴν ὁ Κόμοδος διεχρήσατο, καὶ πάντας ἀφειδῶς τούς τε ὄντας ἐν τῇ συνωμοσίᾳ καὶ τοὺς ὡς ἔτυχε διαβαλλομένους ἀπεσκευάζετο, μάλιστα τοὺς πατρῴους καὶ ἀναγκαίους φίλους.

2. Τοῦτο τοῦ Περεννίου κατασκευάζοντος ποιησάμενός τε (γὰρ) ἑαυτὸν ὑπὸ ἐξουσίαν, ἐπιβούλευε τῇ ἀρχῇ, τόν τε Κόμοδον κατεργάσασθαι βουλόμενος, καὶ τοῖς ἑαυτοῦ παισὶ τὴν βασιλείαν διανεῖμαι. Ἐγνώσθη δὲ ἡ ἐπιβουλὴ παραδόξως ὑπὸ φιλοσόφου τινὸς ἐν τῷ θεάτρῳ μεγάλῃ τῇ φωνῇ ἀνακράζοντος· καὶ ὁ μὲν ὑπὸ τοῦ Περεννίου δίκας τῆς παρρησίας λαβὼν, πυρὶ παρεδόθη· ὁ δὲ Κόμοδος ὑπετόπει τε τὸν Περέννιον, καὶ ἐμέμνητο τῶν λεχθέντων. Ὀλίγου δὲ χρόνου διελθόντος, στρατιῶταί τινες τῶν Ἰλλυριῶν, λαθόντες τὸν Περεννίου παῖδα, νομίσματα ἐκόμισαν ἐκτετυπωμένα τὴν ἐκείνου εἰκόνα· ἅπερ ἑωρακὼς ὁ Κόμοδος, πεισθεὶς δὲ τοῖς λεχθεῖσιν αὐτῷ πολλάκις, πέμψας διὰ νυκτὸς, ἀποτέμνει τὴν κεφαλὴν τοῦ Περεννίου, καὶ τὴν ταχίστην ἐκπέμπει πρὸς τὸν αὐτοῦ παῖδα (ὃς ἦν ἔπαρχος τοῦ ἐν Ἰλλυριοῖς στρατοπέδου) τὰ ἐπὶ τῆς Ῥώμης ἔτι ἀγνοοῦντα, κελεύει τε αὐτὸν διά (τε) φιλικῶν γραμμάτων ἥκειν ἐν τῇ Ῥώμῃ, ὡς καὶ τοῦ πατρὸς αὐτοῦ βουλομένου, καὶ τὴν ὕπατον ἀρχὴν αὐτοῦ ληψομένου. Ὁ δὲ, τῶν ἀγγέλων εἰπόντων ταῦτα, ἀσχάλλων μὲν ὅτι ἀτελῆ κατέλιπε τὰ τῆς τυραννίδος, θαρρῶν δὲ τῇ τοῦ πατρὸς δυνάμει, ποιεῖται τὴν ὁδοιπορίαν. Γενόμενον δὲ αὐτὸν κατὰ τὴν Ἰταλίαν, οἷς τοῦτο ἐντέταλτο, διεχρήσαντο. Τοιοῦτον μὲν δὴ τέλος ἐκείνους κατέλαβεν.

3. Ὁ δὲ Κόμοδος δύο τοὺς ἐπάρχους καταστήσας, ἀσφαλέστερον ᾠήθη πράττειν. Χρόνου δέ τινος διαδραμόντος, ἑτέρα τις ἐπιβουλὴ κατ' αὐτοῦ γέγονε. Μά-

τρόπους ὄντος) περιελθούσης, ἰδιωτεύσῃ· καὶ ἔπεισε τὸν Κάσσιον δι' ἀπορρήτων παρασκευάσασθαι, ἵν', ἄν τι ὁ Ἀντωνῖνος πάθοι, καὶ αὐτὴν καὶ τὴν αὐταρχίαν λάβῃ. — ὅς, φήμης] ὡς φήμης codex. — Ἱκετεύω ὑμᾶς κτλ.] plenius hæc quam quæ Xiphilinus LXXI, 30 præbet. — ἐπ' ἐμοῦ] sic etiam ap. Xiphilinum scribendum pro vulgata ἐπ' ἐμοί. — θανατωθῆναι] σφαγῆναι Xiph. — ἀποίσομαι] σπεύσω Xiph.

Fr. 119. A Commodi regno Historiarum initium sumpsit Herodianus, quem in sequentibus præ ceteris ducem Joannes sibi selegit. Quæ in hoc fragmento leguntur, excerpta sunt ex Herodian. I, 8 sq. — αὐτοὺς διαχρησ.] Herodian. I, 8; αὐτὸς δ. codex. — Κρισπίναν] Herod.; Σκιρπίναν codex. — εἰς ὃν καὶ διεβάλλετο] ἐφ' οὗ καὶ λανθανούσῃ συνουσίᾳ διεβάλλετο Herod. — Κυιντιανῷ] Herod.; Κυντιανῷ cod. — § 2. κατασκευάζοντος, ποιησάμενός τε κτλ.] Oratio claudicat. Herodian. I, 9 : Ὁ δὲ Περέννιος ἀποσκευασάμενος πάντας... ποιησάμενός τε αὑτὸν ἐπ' ἐξουσίαν, ἐπιβούλευε τῇ ἀρχῇ. — ὑπὸ] ἐπὶ Herod., quod etiam nostro loco reponendum videtur; nisi forte velis ὑφ' ἑαυτὸν τὴν ἐξουσίαν. — τὴν βασιλείαν διανεῖμαι] ἐγχειρίσαι τὴν πρόνοιαν τῶν Ἰλλυρικῶν στρατευμάτων Herod. — ἀνακράζοντος] Verba philosophi, quæ excidisse videntur, hæc sunt (Herod. I, 9) : Οὐ πανηγυρίζειν σοι καιρὸς, Κόμμοδε, νῦν, οὐδὲ θέαις καὶ ἑορταῖς σχολάζειν· ἐπίκειται γάρ σου τοῖς αὐχέσι τὸ τοῦ Περεννίου ξίφος. — διά τε φιλικῶν] τε abundat, excerptoris culpa. Sc. Herodianus : γράμματά τε φιλικὰ ποιήσας καὶ μείζοσι φήσας καλεῖν ἐλπίσιν αὐτόν. — ἐντέταλτο] ἐντέλτατο cod. — § 3. κατ' αὐτοῦ] vel κατὰ τὸ αὐτὸ, uti est ap. Herod.; κατ' αὐτοὺς codex. — δεινὰ] Her.; δυνὰ cod. — χα-

τερνός τις, ἐκ τῶν στρατιωτῶν φυγάς, πολλὰ καὶ δεινὰ διαφόρως τολμήσας, πείσας τέ τινας ἀπὸ τῶν αὐτῶν ἔργων, χεῖρα πολλὴν κακούργων συναθροίζει· καὶ πρότερον μὲν τὰς πλησίον ἐλῄστευσε πόλεις· εἶτα καὶ μείζονα τολμήσας, εἰς τὴν Ἰταλίαν εἰσέδυ· καὶ ἐπιτηρήσας ἡμέραν, ἐν ᾗ ὁ βασιλεὺς πανδημεὶ ἑορτὰς ἐπιτελεῖ, καὶ πάντες τὰ ἑαυτῶν σχήματα διήλλαττον ὡς ἐβούλοντο, καιρὸν ἐπιτήδειον νομίσας, λαβών τε δορυφόρου σχῆμα ἐπεπήδησε διαχρήσασθαι τῷ Κομόδῳ. Ἀλλ' εἷς τῶν τῶν αὐτῷ κακούργων παροξυνθεὶς ὑπὸ φθόνου, προδιαγγέλλει τοῖς τοῦ βασιλέως οἰκείοις· καὶ συλλαβόντες τὸν Μάτερνον, ἀπέτεμον αὐτοῦ τὸν αὐχένα. Κόμοδος δὲ τοῖς ἑαυτοῦ θεοῖς ὁμολογήσας χαριστηρίους τινάς, ὑπέρ τε τῆς σωτηρίας καὶ τῆς βασιλείας ἐπανηγύριζεν.

4. Ὁ δὲ Κόμοδος ἐκφυγὼν τὴν Ματέρνου ἐπιβουλήν, πλείονί τε φρουρᾷ ἐχρήσατο, καὶ σπανίως τοῖς δήμοις ἐφαίνετο, τὰ πλεῖστα ἐν προαστείοις διατρίβων. Συνέβη γὰρ κατ' ἐκεῖνον τὸν χρόνον καὶ λοιμώδη νόσον κατασχεῖν τὴν Ἰταλίαν, καὶ πολλοὺς διαφθείρειν. Ἐπέσχε δὲ καὶ λιμὸς κατ' αὐτὸ τοὺς ἀνθρώπους ἐκ τοιαύτης αἰτίας. Κλέανδρός τις, τῷ μὲν γένει Φρύξ, συναυξηθείς τε τῷ Κομόδῳ, εἰς τοσοῦτον ὑπ' αὐτοῦ τιμῆς προῆλθεν, ὡς καὶ τὴν τοῦ σώματος φρουρὰν καὶ τὴν τοῦ θαλάμου καὶ τῶν στρατιωτῶν πρόνοιαν ἐγχειρισθῆναι· ὑπὸ δὲ πλούτου καὶ τρυφῆς ἀνεπείσθη καὶ πρὸς βασιλείας ἐπιθυμίαν προῆλθεν· ὠνούμενος δὲ πλεῖστον σῖτον, ἀπέκλειεν, ἐλπίζων τόν τε δῆμον καὶ τὸ στρατόπεδον ἐν σπάνει καταστήσας, ἐπιδόσεσι λαμπραῖς ἁλόντας ὑπαγαγέσθαι· καὶ γυμνάσιον καὶ λουτρὸν μέγιστον κατασκευάσας, τούτους ἐδελέαζεν. Οἱ δὲ Ῥωμαῖοι ἀπεχθῶς ἔχοντες πρὸς αὐτόν, καὶ τῶν δεινῶν τὰς αἰτίας εἰς ἐκεῖνον ἀναφέροντες, τὰ μὲν πρῶτα ἐν τοῖς θεάτροις κακῶς ἠγόρευον, τὸ δὲ τελευταῖον καὶ ἐν τῷ προαστείῳ τοῦ Κομόδου πανδημεὶ ἐπελθόντες κατεβόων, καὶ τὸν Κλέανδρον πρὸς θάνατον ᾔτουν. Ταραχῆς δὲ οὔσης, τῷ μὲν Κομόδῳ ἐκώλυσε γνωσθῆναι, αὐτὸς δὲ στρατιώτας ἐπαφῆκε τῷ δήμῳ, καὶ μέχρι τῆς πόλεως διωκόμενον ἔκοπτεν· ὡς δὲ ἐν τῇ πόλει εἰσῆλθεν, οἱ ἐν αὐτῇ μείναντες, αἰσθόμενοι τὸ κατειληφὸς πάθος, ἀποκλείσαντες τὰς εἰσόδους, ἐκ τῶν δωμάτων λίθοις καὶ κεράμοις ἔβαλλον τοὺς ἱππέας. Οἱ δὲ ἔπασχον ἅπερ ἐδράκεισαν· τιτρωσκόμενοι τοίνυν καὶ μὴ φέροντες εἰς φυγὴν ἐτράπησαν, πολλοὶ δὲ καὶ διεφθάρησαν.

5. Ἐμφυλίου τε πολέμου τηλικούτου τὴν Ῥώμην κατέχοντος, ἄλλος μὲν οὐδεὶς ἀγγεῖλαι τῷ Κομόδῳ τὰ πραττόμενα ἐβούλετο, δέει τῆς Κλεάνδρου ἐξουσίας· ἡ δὲ πρεσβυτάτη τῶν ἀδελφῶν τοῦ βασιλέως λυσαμένη τὰς τρίχας, καὶ ῥίψασα ἑαυτὴν ἐπὶ τῆς γῆς, ἅπαντα διηγόρευε τὰ τῷ Κλεάνδρῳ πεπραγμένα, καὶ ὅτι τῆς βασιλείας ἐκβάλλονται, εἰ μὴ τὴν ταχίστην πρὸς θάνατον ἐκδοθείη. Τότε καὶ τῶν παρόντων τινὲς θαρρήσαντες τοῖς τῆς ἀδελφῆς λόγοις τὸν Κόμοδον ἐξετάραξαν. Ἐκπλαγεὶς δὲ ἐκεῖνος τόν τε ἐπικείμενον κίνδυνον καταλαβών, τὴν κεφαλὴν ἀποτμηθῆναι κελεύει τοῦ Κλεάνδρου, καὶ ἐπὶ δόρατος μακροῦ ἐκπέμπει τῷ δήμῳ. Ὁ δὲ παραχρῆμα τῆς μανίας ἐπαύσατο, προσανελὼν μέντοι καὶ τοὺς υἱοὺς τοῦ Κλεάνδρου. Καὶ ὁ μὲν Κλέανδρος οὕτω τε ἤνθησεν ἐν ὀλίγῳ, καὶ οὕτω διεμαράνθη.

6. Ὁ δὲ Κόμοδος εἰσελθὼν ἐν τῷ ἄστει μεγαλοφρόνως ὑπεδέχθη· πειραθεὶς δὲ τοσούτων κινδύνων, ἀπίστως προσεφέρετο πᾶσιν ἀφειδῶς τε φονεύων καὶ πάσαις διαβολαῖς πιστεύων, σχολάζων τε ἀλλεπαλλήλοις καὶ ἀκολάστοις τοῦ σώματος ἡδοναῖς, ἡνιόχοις τε καὶ ὑποκριταῖς καὶ θηρίων σφαγαῖς· ὑπὸ δέ τινος τύχης ἐλαυνόμενος, εἰς τοσοῦτον μανίας καὶ παροινίας προὐχώρησεν, ὡς τὴν ἰδίαν προσηγορίαν παραιτήσασθαι. Ζήτει ἐν τῷ Περὶ κακίας καὶ ἀρετῆς.

120.

Exc. De virt. p. 822 : Ὅτι ὁ Κόμοδος ὑπό τινος τύχης ἐλαυνόμενος ἐς τοσοῦτον μανίας καὶ παροινίας προὐχώρησεν, ὡς τὴν ἰδίαν προσηγορίαν παραιτήσασθαι, Ἡρακλέα τε καὶ Διὸς υἱὸν ὀνομάζεσθαι, τούς τε μῆνας ἀφ' ἑαυτοῦ φέρειν τὰς προσηγορίας προσέταξεν οὕτως· Ἀμαζόνιος, Κόμοδος, Αὔγουστος, Ἡράκλειος, Ῥωμαῖος, Ὑπεραίρων, Ἀνίκητος, Εὐσεβής, Εὐτυχής, Λούκιος, Αἴλιος, Αὐρήλιος. Ἀποδυσάμενός τε τὸ Ῥωμαίων σχῆμα, λεοντῆν ὑπεστρώννυτο καὶ ῥόπαλον ἐπεφέρετο· οὕτω τε θηρίοις καὶ ἀνθρώποις δημοσίᾳ ἐμονομάχει, εὐστόχως τε κατὰ τὸ ἀληθὲς ἀκοντίζων, καὶ παρὰ πάντων, ὡς εἰπεῖν, θαυμαζόμενος. Ἐπειδὰν δὲ εἰς πολλὴν μιαιφονίαν ἐτράπη, πάντας ἀφειδῶς τοὺς ἀθλίους καὶ λελωβημένους ἄνδρας εἰς τὸ θέατρον συναγαγών, δρακοντοειδῆ τέ τινα περιθεὶς ἐκ τῶν γονάτων ὑφάσματα, ὡς γίγαντας τῷ ῥοπάλῳ κατειργάσατο. Καθεύδων γὰρ ἐν τοῖς μονομαχείοις, ἐκεῖθεν ἐς

ριστηρίους τινάς] Herodian. I, 10 : ὁ δὲ Κόμμοδος θύσας τε τῇ θεῷ καὶ χαριστήρια ὁμολογήσας, τὴν ἑορτὴν ἐπετέλει, παρέπεμπέ τε τὴν θεὸν χαίρων· καὶ σωτήρια τοῦ βασιλέως ὁ δῆμος μετὰ τῆς ἑορτῆς ἐπανηγύριζε. — § 4. συναυξηθείς τε] οἰκέτης δὲ βασιλικὸς γενόμενος συναυξηθείς τε Herod. I, 12. — εἰς τοσοῦτον] Her.; εἰς τοῦτον codex. — καὶ τὴν τοῦ θαλ.] τὴν add. ex Herod. — προῆλθεν] melius abesset, ut ap. Herod. Possis tamen : προελθεῖν. — λαμπραῖς] Her., λαπραῖς cod. — ὑπαγαγέσθαι] ὑπαγέσθαι cod. — κατεβόων] Cramer., ἐβόων Her., κατεύου codex. — δωμάτων] δομάζων cod. — § 5. ἄλλος μὲν οὐδ.] ἄλλως μ. ο. cod. — θαρρήσαντες τοῖς] Herod. I, 13. ἐθάρρησαν, καὶ τοῖς cod. — πειραθεὶς] Her., παραθεὶς codex.

Fr. 120. Eadem Suidas v. Κόμοδος. V. Herodian. I, 14-16. — τὰς προσηγορίας] Suidas; τὴν προσηγορίαν cod. Nomina mensium ap. Herodianum I, 14 non traduntur. Habes apud Xiphilinum LXXII, 15 (et Zonaram) tum nomina mensium tum ordinem, quem Noster neglexit. Vide interpretes ad Xiphil. (not. 88, pag. 738 ed. Sturz) et qui ibi laudantur. — εὐστόχως τε] τε om. Suidas. — ὡς εἰπεῖν] om. Suidas. — τῶν γονάτων] τῶν om. Suid. — ὑφάσματα] φάσματα Suid.

τὰς πανηγύρεις καὶ ἑορτὰς πρὸς τῆς συγκλήτου βουλῆς ὑπαντώμενος, ἐκ πάντων μὲν κακῶς διεβάλλετο, ὥστε καὶ τὴν Μαρκίαν, ἣν εἶχε τῶν παλλακῶν τιμιωτάτην, καταγνῶναι αὐτοῦ καὶ ἀπαγορεῦσαι τοῖς πραττομένοις. Πολλοὶ δὲ καὶ ἄλλοι ἱκέτευον αὐτὸν μηδὲν ἀνάξιον τῆς βασιλείας ποιεῖν.

121.

Exc. De ins. p. 34 : Ὅτι μετὰ τοῦτο ὁ Κόμοδος ἐπὶ τοῖς οἰκείοις ἀσχάλλων, τοὺς μὲν ἀπεπέμψατο, αὐτὸς δὲ ἐπανελθὼν ἐς τὸ δωμάτιον, ὡς δῆθεν καθευδήσων, λαβὼν δέλτον, γράφει ὅσους χρὴ φονευθῆναι (ὧν πρώτη μὲν ἦν Μαρκία, εἵποντο δὲ Λαῖτος καὶ Ἔκλεκτος· ἐπὶ δὲ τούτοις πολὺ πλῆθος τῶν τῆς συγκλήτου πρωτευόντων), ὥς ποτε τὰς Στυμφαλίδας ὄρνεις κατατοξεῦσαι τούτους ἐν τῷ θεάτρῳ βουλόμενος, τοὺς μὲν (γὰρ) ὡς πρεσβύτας καὶ πατρῴους φίλους αἰδούμενος ἔχειν αἰσχροῦ βίου σεμνοὺς ἐπόπτας, τῶν δὲ πλουσίων τὰς οὐσίας χαρίσασθαι βουλόμενος μονομάχοις. Τὴν δὲ δέλτον τίθησιν ἐπὶ τοῦ σκίμποδος, ἔνθα μηδεὶς εἰσῄει. Παιδίον δέ τι μικρὸν, ὅπερ ἠγάπα ὁ Κόμοδος καὶ ἐπετέρπετο, Φιλοκόμοδόν τε ὠνόμασε, τοῦτον λαβὼν τὴν δέλτον, ἔπαιζεν ἐπὶ τοῦ σκίμποδος. Αἰφνιδίου δὲ τοῦ Κομόδου προελθόντος, ἔμεινε παρὰ τῷ παιδίῳ τὸ γραμματεῖον· ὅπερ ἀνελομένη ἡ Μαρκία, δεδοικυῖα μή τι τῶν ἀναγκαίων ὑπὸ νηπιότητος διαφθείρῃ, γνωρίσασα τὴν τοῦ Κομόδου χεῖρα, διεξῆλθε, καὶ εὗρεν αὐτὸ θανατηφόρον, καὶ πρὸ πάντων αὐτῇ· ἀνοιμώξασα δὲ καθ' ἑαυτὴν, τὸν Ἔκλεκτον μεταπέμπεται· δοῦσα δὲ τὸ γραμματεῖον, « Ὅρα, ἔφη, ποίαν μέλλομεν παννυχίζειν ἑορτήν. » Ὁ δὲ ἀναγνοὺς κατεπλάγη, καὶ τοῦτο διά τινος πιστοτάτου παραπέμπει παραχρῆμα τῷ Λαίτῳ. Ταραχθεὶς δὲ κἀκεῖνος ἀφικνεῖται πρὸς Μαρκίαν, ὡς δὴ συσκεψόμενος αὐτοῖς· οὐδὲ γὰρ ἦν καιρὸς μελλήσεως. Ἀρέσκει δὲ δοῦναι φάρμακον τῷ Κομόδῳ· ὑπέσχετο δὲ ῥᾷστα δώσειν ἡ Μαρκία· εἰώθει γὰρ αὐτὴ κιρνᾶν αὐτῷ ἐν τῷ δείπνῳ τὴν πρώτην δόσιν. Ἐλθόντι δὲ αὐτῷ ἀπὸ λουτροῦ δίδωσι καλῶς κεράσασα· ὁ δὲ πιὼν ἀναισθήτως, αὐτίκα ἔπεσεν εἰς ὕπνον, ὑπό τε τοῦ κόπου καὶ τῆς ἀλλεπαλλήλου ἡδονῆς ἑλκόμενος· καὶ μικρόν τι ἡσυχάσας ἤρξατο ἐμεῖν σὺν τῇ προεγκειμένῃ τροφῇ καὶ τὸ φάρμακον· ἡ δὲ Μαρκία φοβηθεῖσα μὴ (εἰς) πᾶν ἐξεμεθῇ, ἢ διὰ τὴν πλήμμην τῆς τροφῆς ἢ διὰ τὸ προλαμβανόμενον ὑπὸ τῶν βασιλέων ἀλεξιφάρμακον, καὶ πάντες ἀπόλωνται, μετακαλεῖται νύκτωρ τὸν Λαῖτον καὶ τὸν Ἔκλεκτον. Οἱ δὲ ὡς ταῦτα ἐπύθοντο, θαρροῦσι τοῦτο Ναρκίσσῳ τινὶ ἀκμαιοτάτῳ ἀποπνῖξαι τὸν Κόμοδον. Ὁ δὲ εἰσδραμὼν καὶ παρειμένον εὑρὼν ὑπὸ τοῦ φαρμάκου καὶ τῆς μέθης, ἀποσφίγξας τὸν τράχηλον, φονεύει. Τοιούτῳ μὲν τέλει βίου ὁ Κόμοδος, βασιλεύσας ἔτεσι ιγ' μετὰ τὴν τοῦ πατρὸς τελευτὴν, ἐχρήσατο.

122.

ΠΕΡΤΙΝΑΞ.

Ibid. p. 35 : Οἱ δὲ ἐπιβουλεύσαντες αὐτῷ, κρύψαι τὸ γενόμενον βουλευσάμενοι, εἰς στρωμνήν τινα εὐτελῆ ὑποβαλόντες τὸ σωμάτιον, καὶ καταρράψαντες, δι' οἰκετῶν, πάντας λαθόντες, τῆς βασιλείου αὐλῆς ἐξεφόρησαν· αὐτοὶ δὲ τὸ πρακτέον ἐβουλεύοντο, φήμην ἐγκατασπείραντες, ὅτι ἐν τῷ μονομαχίῳ ἀποπληξίᾳ ὁ Κόμοδος ἐτελεύτησεν. Ἔδοξεν δὲ αὐτοῖς ἐπιλέξασθαι ἄνδρα πρεσβύτην τινὰ, τὸν διαδεξόμενον τὴν ἀρχὴν, ὅπως ἀπὸ τῆς πικρᾶς καὶ ἀκολάστου τυραννίδος πάντες ἀναπνεύσειεν.

2. Καθ' ἑαυτοὺς δὲ λογιζόμενοι, οὐδένα οὕτως ἐπιτήδειον εὕρισκον ὡς Περτίνακα, τὸ μὲν γένος Ἰταλιώτην, ἐν [δὲ] πολλαῖς πράξεσι στρατιωτικαῖς εὐδοκιμήσαντα, μόνον τῶν Μάρκου φίλων περιλειφθέντα· πρὸς ὃν τῆς νυκτὸς ἀκμαζούσης παραγίνονται, αὐτοί τε καί τινες ὀλίγοι τῶν συνωμοτῶν. Ἐπιστάντες δὲ ταῖς θύραις διεγείρουσι τὸν φύλακα. Ἀνοίξας δὲ ἐκεῖνος, καὶ θεασάμενος στρατιώτας καὶ τὸν ἔπαρχον, ἀγγέλλει τῷ δεσπότῃ. Ὁ δὲ ἥκειν αὐτοὺς κελεύει, προσδοκῶν παραχρῆμα ἀποτέμνεσθαι. Εἰσελθόντας δὲ αὐτοὺς ἠσπάσατο, καὶ τὸ κελευσθὲν γίνεσθαι προέτρεπε. « Τοῦτο γὰρ, ἔφη, διὰ παντὸς ἐνενόουν, μόνος περιλειφθεὶς τῶν πατρῴων αὐτοῦ φίλων. » Προέτεινέ τε πολλάκις τὸν τράχηλον ἀπὸ τοῦ σκίμποδος. Πρὸς ταῦτα ὁ Λαῖτος· « Παῦσαι, » φησὶν « ἀνάξια σαυτοῦ καὶ τῶν προβεβιωμένων σοι λέγων. Οὐ γὰρ ἐπ' ὀλέθρῳ τῷ σῷ ἥκομεν, ἀλλ' ἐπὶ σωτηρίᾳ τῇ τε ἡμῶν αὐτῶν καὶ τῆς Ῥώμης· κεῖται μὲν [γὰρ] ὁ τύραννος, δίκην δοὺς τὴν προσήκουσαν, [καὶ] ἅπερ αὐτὸς ἡμᾶς δρᾶσαι διενοεῖτο [ταῦτα πρὸς ἡμῶν παθών]. Ἡμεῖς δὲ ἥκομεν [σοὶ] τὴν βασιλείαν ἐγχειριοῦντες, ὃν ἴσμεν προὔχοντα ἐν τῇ συγκλήτῳ βουλῇ βίῳ, μεγέθει, ἀξιώματι, ἡλικίᾳ, σεμνότητι, πόθῳ τε τοῦ δήμου. »

3. Ὁ δὲ Περτίναξ· « Παύσασθε χλευάζοντες πρε-

— καὶ ἑορτάς] om. Suid. — τῶν παλλακῶν] τῶν om. Suid. — τοῖς πραττομένοις] τὰ πραττόμενα Suid.

Fr. 121. Hæc ex Herodiano (I, 17) petita continuam cum superioribus narrationem efficiunt. — δῆθεν] δὴ Her. — πρώτη μὲν] Her.; πρῶτον cod. — ὥς ποτε... ἐν τῷ θεάτρῳ βουλόμενος] Hæc in Herodiano non leguntur. — τοὺς μὲν γὰρ] γὰρ inclusi; excerptoris est negligentis. Ita Herodianus : τοὺς μὲν γὰρ πρεσβυτέρους καὶ λοιποὺς πατρῴους φίλους ἀποσκευάσασθαι πάντας ἤθελεν, αἰδούμενος ἔχειν κτλ. — ἔνθα μηδεὶς εἰσῄει] οἰηθεὶς μηδένα ἐκεῖσε εἰσελεύσεσθαι Her. — μετακαλεῖται] μεγακαλεῖ καὶ cod.

Fr. 122. V. Herodian. II, 1-2. — § 2. γίνεσθαι προέτρεπε] γένεσθαι πρ. cod. — ἐνενόουν] ἐνεννόει codex. Herodianus : Πάλαι μὲν καὶ πάσης νυκτὸς τόδε τὸ τέλος τοῦ βίου εἶχον δι' ἐλπίδος· μόνος τε τῶν πατρῴων περιλειπόμενος φίλων ἔτι, ἐθαύμαζον ἐπ' ἐμοὶ Κόμμοδον βραδύνοντα. — [καὶ] ἅπερ] ἥπερ codex. Inclusa ex Herod. supplevi. — βίῳ, μεγέθει κτλ.] Herodianus II, 1, ita habet : ὃν ἴσμεν προὔχοντα ἐν τῇ συγκλήτῳ βουλῇ σωφροσύνῃ βίου, μεγέθει τε ἀξιώματος καὶ ἡλικίας σεμνότητι, ποθούμενόν τε καὶ τιμώμενον ὑπὸ τοῦ δήμου.

σβύστην. » « Ἀλλὰ μὴν, ἔφη ὁ Ἔκλεκτος, ἀνάγνωθι τὸ γραμματεῖον· γνωρίζεις δὲ τὴν Κομόδου χεῖρα. » Ἐπιγνοὺς δὴ τὰ γεγραμμένα ὁ Περτίναξ, πεισθείς τε ἀνδράσι καὶ πρότερον αὐτοῦ φίλοις, πάντα πυθόμενος τὰ πεπραγμένα, ἐπιδίδωσιν ἑαυτόν. Καὶ συμπαραλαβόντες καὶ τῶν λοιπῶν ὅσοι παρῆσαν, ἐπὶ τὸ στρατόπεδον ἠπείγοντο. Διαπέμπουσι δέ τινας τοὺς διαβοήσοντας, ὅτι Κόμοδος [μὲν] τέθνηκε, Περτίναξ δὲ ἐπὶ τὸ στρατόπεδον ἄπεισι βασιλεύς. Διαδραμούσης δὲ τῆς φήμης, πᾶς ὁ δῆμος ἐνθουσιῶντι ἐοικὼς ἐξεβάκχευε καὶ διέτρεχε, βοῶν τε ἀπρεπῆ, καὶ ὅσα πρότερον ἐπεῖχεν ὁ φόβος, ταῦτα, προελθούσης ἀδείας καὶ ἐλευθερίας, [ῥᾳδίως] ἐλέγετο. Ἐπεὶ δὲ ἐγένοντο ἐν τῷ στρατοπέδῳ, ὅ τε Λαῖτος καὶ Ἔκλεκτος εἰσῆλθον ἄγοντες τὸν Περτίνακα· καὶ ἀναγορεύεται βασιλεύς.

4. Ὅτι εὐταξίας καὶ εὐμοιρίας κατεχούσης τὸν βίον, βασιλεύοντος Περτίνακος, μόνοι οἱ δορυφόροι ἀσχάλλοντες μνήμῃ μάλιστα τῆς προγεγενημένης αὐτοῖς τυραννίδος, ἁρπαγάς τε καὶ βίας ποθοῦντες, ἐβουλεύσαντο ἀποσκευάσασθαι τὸν Περτίνακα, ζητῆσαι δέ τινα τὸν πάλιν αὐτοῖς παρέξοντα ἀκόλαστον ἐξουσίαν. Αἰφνιδίως τοίνυν, οὐδενὸς προσδοκῶντος, ἀλλὰ πάντων ἡσυχαζόντων, προσπηδῶσι τοῖς βασιλείοις τὰ ξίφη σπασάμενοι. Οἱ δὲ ἐν τῇ βασιλείῳ ὑπηρεσίᾳ ταραχθέντες, οὐκ ἔμενον, ἀλλ' ἕκαστος ἣν εἶχε φρουρὰν καταλιπὼν ἔφυγεν. Ὀλίγοι δέ τινες ἀπαγγείλαντες τῷ Περτίνακι τὴν ἔφοδον, συνεβούλευον φυγεῖν, καὶ τῇ τοῦ δήμου καὶ τῇ τῆς συγκλήτου βοηθείᾳ ἑαυτὸν ἐπιδοῦναι. Ὁ δὲ οὐκ ἀνασχόμενος, βασιλείας οὐκ ἄξια ταῦτα νομίσας, ἐξῆλθε τοῦ δωματίου, προσδοκῶν πείθειν αὐτοὺς καὶ παύσειν τῆς ἀλόγου ὀργῆς, αἰδουμένους τὸ τοῦ βασιλέως σχῆμα καὶ τὴν τοῦ ἀνδρὸς φιλοσοφίαν. Ἔτι δὲ λαλοῦντος τοῦ πρεσβύτου καὶ πολλὰ παραινοῦντος, ἐπιπίπτουσί τε αὐτῷ καὶ φονεύουσι, δράσαντες ὄντως ὠμὸν ἔργον· καὶ δεδιότες τὴν ἔφοδον τὴν τοῦ δήμου, εἰς τὸ στρατόπεδον δρόμῳ ἀναχωρήσαντες καὶ τὰς πύλας ἀποκλείσαντες, ἐπὶ τοῦ τείχους ἀνῆλθον, φρουρὰς καταστήσαντες, ἀμυνούμενοι τοὺς ἐπιόντας.

5. Ἐπειδὴ δὲ διεφοίτησεν εἰς τὸν δῆμον ἡ τοῦ βασιλέως ἀναίρεσις, ταραχή τε καὶ πένθος πάντας κατεῖχε, διέθεόν τε ἐνθουσιῶσιν ἐοικότες, μηδὲ εὑρεῖν μηδὲ ἀμύνασθαι δυνάμενοι τοὺς δεδρακότας. Μιᾶς δέ που καὶ δευτέρας ἡμέρας διαδραμούσης, οἱ μὲν δημόται ἕκαστος καθ' ἑαυτὸν δεδιὼς ὑπανεχώρει, οἱ δὲ ἐν ἀξιώμασιν ὄντες ἐς τὰ πορρωτάτω τῆς πόλεως κτήματα ἀπεδίδρασκον, ὡς ἂν μή τι δεινὸν ἐκ τῆς ἐσομένης ἀρχῆς παρόντες πάθοιεν. Τοιοῦτον μὲν δὴ τέλος τῷ Περτίνακι βασιλεύσαντι μῆνας ἕξ.

6. Οἱ δὲ στρατιῶται, ὡς εἶδον μηδένα τολμῶντα ὑπεξελθεῖν τῷ φόνῳ, ἀναβάντες ἐπὶ τὸ τεῖχος ἐκήρυττον, « Τίς βούλεται τὴν βασιλείαν ὠνήσασθαι; » Ὡς [δὲ] διεφοίτησεν ἡ φήμη, Ἰουλιανός τις, ἤδη μὲν τετελεκὼς τὴν ὕπατον ἀρχὴν, ἐν εὐπορίᾳ δὲ πολλῇ [εἶναι δοκῶν], ζῶν δὲ κραιπάλαις καὶ τρυφαῖς, καὶ ἄλλοις κακοῖς **.

123.

ΙΟΥΛΙΑΝΟΣ.

Exc. De virt. p. 822 : Ὅτι Ἰουλιανὸς ὁ ὕπατος, ὁ ὠνησάμενος τὴν βασιλείαν, ἐπεὶ παρῆλθεν εἰς τὴν ἀρχὴν, εὐθέως τρυφαῖς καὶ κραιπάλαις ἐσχόλαζε, τῇ μὲν τῶν δημοσίων ἐπιμελείᾳ ῥαθύμως προσφερόμενος, εἰς δὲ τὸ ἁβροδίαιτον ἐπιδιδοὺς ἑαυτόν. Εὑρίσκετο δὲ καὶ τοὺς στρατιώτας ψευσάμενος· οὔτε γὰρ οἴκοθεν ἦν αὐτῷ τοσαῦτα χρήματα, καὶ οἱ δημόσιοι θησαυροὶ ἐκεκένωντο ὑπὸ Κομόδου. Ἐκ ταύτης τῆς αἰτίας οἵ τε στρατιῶται ἠγανάκτουν, καὶ ὁ δῆμος ἐν τοῖς θεάτροις ἐν καταφρονήσει αὐτὸν ἐποίει.

124.

ΝΙΓΡΟΣ.

Exc. De ins. p. 37 : Ἐκ ταύτης τῆς αἰτίας οἵ τε στρατιῶται ἠγανάκτουν, καὶ ὁ δῆμος αἰσθόμενος ἐν καταφρονήσει αὐτὸν ἐποιεῖτο, καὶ Νίγρον ἐν τοῖς θεάτροις ἐπεκάλει, βοηθόν τε αὐτὸν γενέσθαι τὴν ταχίστην τῇ Ῥωμαίων [ἀρχῇ] ἠξίου, ὡς ἐφύβριστα πασχούσῃ. Καὶ τοῦτον ἀναγορεύουσι βασιλέα. Ὁ δὲ καὶ αὐτὸς ἐξυπτιάζεται πρὸς τὴν τῶν πραγμάτων ἐπιμέλειαν, καὶ ἀνειμένως τοῖς Ἀντιοχεῦσι συνευφραίνετο, εἰς ἑορτὰς καὶ θέας ἐπιδιδοὺς [ἑαυτὸν], τῆς τε εἰς τὴν Ῥώμην ἀφόδου ἠμέλει, τοῖς τε Ἰλλυρικοῖς στρατεύμασι δέον ἐπιφοιτῆσαι τὴν ταχίστην, καὶ φθάσαι οἰκειωσάμενον αὐτὰ, οὐδὲ τῶν πραττομένων τι αὐτοῖς ἐδήλου, ἐλπίζων πάντας ὁμογνώμονας ἔσεσθαι τῇ Ῥωμαίων εὐχῇ. Ταῦτα δὲ αὐτοῦ πράττοντος, διηγγέλθη εἰς Ἰλλυριοὺς καὶ πᾶν τὸ ἐκεῖσε στρατιωτικὸν, ὃ ταῖς ὄχθαις Ἴστρου τε καὶ Ῥήνου ἐπικείμενον ἀπείργει τοὺς ἐπέκεινα βαρβάρους, καὶ φρουρεῖ τὴν Ῥωμαίων ἀρχήν. Ἡγεῖτο δὲ τούτων Σεβῆρος, τὸ μὲν γένος Λίβυς, εἰς δὲ πραγμάτων διοίκησιν γενναῖος.

125.

ΣΕΒΗΡΟΣ.

Exc. De virt. p. 825 : Οὗτος ὁ Σεβῆρος τὸ μὲν γένος ἦν Λίβυς, ἐς δὲ πραγμάτων διοίκησιν γενναῖος ἅμα καὶ θυμοειδής, σκληρῷ τε βίῳ καὶ τραχεῖ ἐνειθισμένος, πόνους τε ἀνέχων ῥᾷστα, νοῆσαί τε ταχὺς καὶ τὸ νοηθὲν ἐπιτελέσαι ὀξύς.

— § 4. Novum incipit excerptum. Vide Herodian. II, 5. — τοὺς ἐπιόντας] τοῖς ἐπιοῦσιν cod. — § 5. V. Herodian. II, 6. — τοὺς δεδρακότας] τοῖς δεδρακόσι codex. — § 6. Finis hujus segminis mutilus (vide Herodianum c. 6). Quæ sequuntur continuo in Exc. de insid. : Ἐκ ταύτης τῆς αἰτίας (fr. 124), jungenda sunt cum extremis verbis fragmenti sequentis.
Fr. 123. Eadem Suidas v. Ἰουλιανός p. 1012 ed. Bernh. Petita sunt ex Herodian. II, 7.
Fr. 124. V. Herodian. II, 7 sqq. — τῇ Ῥωμαίων εὐχῇ] Herod. II, 9; τῇ Ῥ. ἀρχῇ codex.
Fr. 125. Eadem Suidas v. Σεβῆρος p. 701 ed. B. Descripta ex Herodian. II, 9. — πόνους ἀνέχων] πόνοις ἀντέχων Herodian. — ταχὺς.. ὀξύς] ὀξύς... ταχὺς Herod. Sequuntur ap. Herod. quæ leguntur fragm. seq.

126.

Exc. De ins. p. 37 : Οὗτος πυθόμενος τὴν Ῥωμαίων ἀρχὴν μετέωρον φερομένην ἁρπάζεσθαι, καταγνοὺς τοῦ μὲν ῥᾳθυμίαν, τοῦ δὲ δυσπραγίαν (ἐνέπειθον δὲ αὐτὸν καὶ ὀνείρατα καὶ χρησμοὶ καὶ σύμβολα· τό γε τελευταῖον ᾠήθη τὸν Περτίνακα ἰδεῖν ἐφ' ἵππου προϊόντα, τὸν δὲ ἵππον ἐκεῖνον μὲν ἀποσεισάμενον, Σεβῆρον δὲ ἀναλαβόντα) · οὕτω τοίνυν ὁ Σεβῆρος ἀρθεὶς τὴν γνώμην ἀπόπειραν τῶν στρατιωτῶν ἐποιεῖτο. Τὰ μὲν πρῶτα κατ' ὀλίγους ἡγεμόνας τε καὶ χιλιάρχους οἰκειούμενος, περὶ τῆς Ῥωμαίων ἀρχῆς διελέγετο, ὡς ἐρέρριπτο, οὐδενὸς ὄντος τοῦ κατ' ἀξίαν αὐτὴν λαμβάνοντος καὶ Περτίνακος φόνον ζητοῦντος· ἡγεμὼν γὰρ τῶν Ἰλλυριῶν ἐπὶ Μάρκου καταστὰς ὁ Περτίναξ μνήμης εἶχε παρ' αὐτοῖς μεγάλως.

2. Τοιαῦτα τοίνυν λέγοντος τοῦ Σεβήρου, ἐπέδοσαν ἑαυτοὺς οἱ στρατιῶται, μάλιστα διὰ τὸν Περτίνακος φόνον, ὥστε παραχρῆμα καὶ αὐτοκράτορα ἀποδεῖξαι τὸν Σεβῆρον. Ὁ δὲ τὴν ἀρχὴν ὑποδεξάμενος, καί τινα προδιαλεχθεὶς τῷ στρατοπέδῳ, εὐθέως τὴν ἐπὶ τὴν Ῥώμην ἄφιξιν προηγόρευσεν, ὀλίγον τινὰ δοὺς καιρὸν τοῖς στρατιώταις ἀναπαύσεως. Ὡς δὲ τῆς ὁδοιπορίας ἤρξατο, οὐδαμοῦ τρυφὴν βασιλικὴν ἐνδεικνύμενος, ἀλλὰ σὺν τοῖς στρατιώταις διαιτώμενος, ἐπέστη τε τοῖς τῆς Ἰταλίας ὅροις, τήν τε φήμην προφθάσας τοῖς ἐκεῖσε παρὼν ὤφθη· καὶ πάντες αὐτὸν δαφνηφοροῦντες καὶ ταῖς πύλαις ἠνεωγμέναις ἐδέχοντο. [Ὡς δὲ ταῦτα τῷ Ἰουλιανῷ ἀπηγγέλλετο, ἐν ἐσχάτῃ ἀπογνώσει ἦν,] τοῦ μὲν στρατοῦ τὴν δύναμιν καὶ τὸ πλῆθος ἀκούων, οὔτε δὲ τῷ δήμῳ πιστεύων, οὔτε τοῖς στρατιώταις θαρρῶν οὓς ἐψεύσατο. Καὶ διὰ τοῦτο οὐδὲ τῆς πόλεως προελθεῖν ἐτόλμα, ἀλλὰ τὰ ἔνδον παρασκευάζετο, ὡς τὴν Σεβήρου μάχην ἐν τῇ πόλει ποιησόμενος.

3. Ἐκείνου δὲ ταῦτα βουλομένου, ὁ Σεβῆρος κατέλαβε τὰ τείχη, καὶ κελεύει διὰ πάσης ὁδοῦ λανθάνοντας καὶ κρύπτοντας τὰ ὅπλα ἐν ἰδιωτῶν σχήματι εἰσδῦναι τοὺς στρατιώτας· καὶ ἤδη οἱ πολέμιοι ἔνδον ἦσαν, τοῦ Ἰουλιανοῦ ἐξυπνιάζοντος καὶ ἀγνοοῦντος τὰ πραττόμενα. Ἐπειδὴ δὲ ταῦτα διάπυστα τῷ δήμῳ ἐγένετο, ἐν πολλῇ ταραχῇ ὄντι διὰ τὴν δύναμιν τοῦ Σεβήρου, τὰ ἐκείνου φρονεῖν προσεποιοῦντο, τοῦ μὲν Ἰουλιανοῦ καταγινώσκοντες ἀνανδρείαν, τοῦ δὲ Νίγρου μέλλησίν τε καὶ ῥᾳθυμίαν. Ὁ δὲ Ἰουλιανὸς ἀφασίᾳ τε [καὶ ἀπορίᾳ] καταληφθεὶς πέμπει πρὸς τὸν Σεβῆρον, κοινωνὸν αὐτὸν τῆς βασιλείας ἀποφηνάμενος.

4. Ἡ δὲ σύγκλητος ὁρῶσα τὸν Ἰουλιανὸν ἐν ἀπογνώσει, τῷ δὲ Σεβήρῳ πάντας ἤδη προσχωροῦντας, συνέδριον ποιησαμένη ἐν ἐκείνῳ τῷ τόπῳ, ἐν ᾧ ποτε οἱ ὕπατοι τὰ πράγματα διῴκουν, ψηφίζεται τὸν μὲν ἀναιρεθῆναι, ἀποδειχθῆναι δὲ μόνον αὐτοκράτορα Σεβῆρον. Πρεσβείαν τε πρὸς αὐτὸν ἐκπέμπει διὰ τῶν ἐξοχωτάτων τῆς βουλῆς, πάσας τε αὐτῷ προσφέρει τὰς σεβασμίους τιμάς· ἐπὶ δὲ τὸν Ἰουλιανὸν χιλίαρχον, ἀποκτενοῦντα ἄνανδρον καὶ ἄθλιον πρεσβύτην, ἰδίοις χρήμασιν ὠνησάμενον οὕτω πονηρὸν τέλος. Ὁ μὲν οὖν εὑρεθεὶς ἔρημος, αἰσχρῶς ὀλοφυρόμενος ἐφονεύθη. Ἐπεὶ δὲ τὰ παρὰ τῆς συγκλήτου ἐδηλώθη τῷ Σεβήρῳ, ἥ τε τοῦ Ἰουλιανοῦ ἀναίρεσις, ἀναβὰς ἐπὶ τοῦ βήματος, αὐτοκράτωρ καὶ Αὔγουστος ὑπὸ Ῥωμαίων ἀνηγορεύθη.

127.

Exc. Salm. p. 397 : Σεβῆρος ἔστειλε γράμματα εἰς Ῥώμην ὑπαντῆσαι αὐτῷ τοὺς στρατιώτας. Συνελθόντας δὲ ὠνείδισεν, εἰπών, ὅτι κἂν μὴ αὐτοὶ ἐγένοντο αὐτόχειρες Περτίνακος τοῦ βασιλέως, ἀλλὰ δέον αὐτοὺς ἀνελεῖν τοὺς ἀποκτείναντας ἐκεῖνον· τοῦτο μὴ ποιήσαντες ὑπ' αἰτίασιν εἰσὶ φόνου. « Ἐπὶ φυλακῇ γὰρ βασιλικῇ ταχθέντες, ἔφη, οὐκ ἐν τῷ ἀριστερῷ μέρει τὰ ξίφη διαζώννυσθε, ἀλλ' ἐν τῷ δεξιῷ. » Καὶ ἀπολαβὼν τὰ ὅπλα καὶ τοὺς ἵππους, ἀπεδίωξεν αὐτούς. Εἷς δὲ στρατιώτης, οὐκ ἀνασχομένου τοῦ ἵππου ἀπολιπεῖν αὐτόν, ἀλλ' ἀκολουθοῦντος καὶ χρεμετίζοντος, ὑπεραλγὴς γενόμενος, τὸν ἵππον ἀπέσφαξε καὶ ἑαυτόν.

Οὗτος ὁ βασιλεὺς τὸ Βυζάντιον παραλαβὼν τὰ τείχη καθεῖλεν. Εἶχε δὲ πύργους ἑπτὰ ἐκ τῶν Θρᾳκίων πυλῶν ἀρχομένους καὶ ἐπὶ τὴν ἀρκτῴαν καθήκοντας θάλασσαν. Καὶ τούτων εἴ τις ἑτέρῳ τῳ πύργῳ προσῆλθεν, οὐδεμία αἴσθησις τοῖς ἄλλοις ἐγένετο· εἰ δὲ τῷ πρώτῳ ἐνεβόησεν ἢ λίθον ἐ[νέ]βαλεν, αὐτός τε ἤχει, καὶ σιωπήσας

Fr. 126. ἁρπάζεσθαι] ἁρπάσαι codex. — ζητοῦντος] i. e. ἐπεξελθόντος τῷ φόνῳ ; nisi potius fuit ἀμύνασθαι ζητοῦντος. Herodian. : Ἔλεγε δὲ δεῖν ἐπαμῦναι καὶ ἐπεξελθεῖν τῷ Περτίνακος φόνῳ. — § 2. ἄφιξιν] ἔξοδον Herod. II, 11. — τρυφὴν] Her. ; τροφὴν cod. — ὡς δὲ ταῦτα κτλ.] inclusa supplevi e Herodiano. — τοῦ μὲν στρατοῦ] ex Herod. ; codex : τὸ γὰρ πλῆθος τοῦ στρατοῦ τὴν δύναμιν καὶ τὸ πλῆθος ἀκούων. — προελθεῖν] προσελθεῖν cod. — § 3. διάπυστα] διάπιστα codex. — διὰ τὴν δύναμιν] διά τε τὴν δύν. codex. — § 4. τῷ δὲ Σεβήρῳ πάντας] τῶν δὲ Σεβήρου π. codex. — χιλίαρχον] melius oratio procederet si cum Herodiano dicere auctor voluisset : ἀποπέμπεται χιλίαρχον ἀποκτεῖναι ἄνανδρον κτλ. — ἀναίρεσις, ἀναβὰς] Inter v. ἀναίρεσις et ἀναβὰς complura omissa sunt. Scilicet nuntiata nece Juliani, Severus Romam misit, qui juberent milites absque armis ex urbe obviam ire, imperatorem salutaturos. Quo facto, cinxit inermes, necem Pertinacis iis exprobrat, ac deinceps dispellit. Vide fr. 127. Post haec Romam ingressus in senatu verba facit.

Fr. 127. Severi ad milites Romanos orationem habes ap. Herodianum II, 13 ; sed nostra ibi non leguntur. Joannes sua hausit e Dione, ex quo etiam sequentia, εἷς δὲ στρατιώτης κτλ., exscripsit. Vide Xiphilin. LXXIV, 4. — ἀλλ' ἐν τῷ δεξιῷ] Monet de his Salmasius ad Æl. Spartianum in Sever. c. 6, quo loco etiam Excerptorum nostrorum mentionem facit. Cf. interpr. ad Xiphil. l. l. — Βυζάντιον] De capto Byzantio v. Herodian. III, 6, et Xiphilin. LXXIV, 14. Quæ de turribus vocalibus sequuntur, ex Dione petita sunt. — ἑτέρῳ τῳ πύργῳ] ἐν ἑτέρῳ πύργῳ codex. — τῷ πρώτῳ ἐνεβόησεν] e Xiphil. ; ἐν τῷ πρ. ἀνεβόησεν codex. — σιωπήσας] hoc excerptoris est. Ita Xiphilin. : αὐτός δὲ ἤχει καὶ ἐλάλει, καὶ τῷ δευτέρῳ τὸ αὐτὸ τοῦτο ποιεῖν παρεδίδου · καὶ οὕτω διὰ πάντων ὁμοίως ἐχώρει. Ceterum eadem habet Suidas v. Βυζάντιον, præmissis verbis Herodiani (III, 1, 6) : Ὅτι τὸ Βυζάντιον ἐπὶ Σεβήρου τοῦ βασιλέως τῶν Ῥωμαίων τετείχιστο

τῷ δευτέρῳ μετεδίδου τῆς ἠχοῦς, καὶ εἶτα τῷ τρίτῳ, καὶ ἐφεξῆς.

128.

Exc. De ins. p. 39 : Ὁ δὲ Σεβῆρος θυμῷ καὶ ὀργῇ εὐθέως πρὸς τοὺς ἐν Ῥώμῃ φίλους αὐτοῦ ἐχρήσατο, καὶ τοῦ Ἀλβίνου τὴν κεφαλὴν δημοσίᾳ ἀνασταυρωθῆναι ἔπεμψεν· αὐτὸς δὲ τὰ κατὰ τὴν Βρεττανίαν διοικήσας, δύο τε ἡγεμόνας ἀντὶ ἑνὸς καταστήσας, πάντας τε τοὺς Ἀλβίνου φίλους φονεύσας, εἰς τὴν Ῥώμην εἰσήλασεν.

129

Exc. De virt. p. 825 : Ὅτι Σεβῆρος μετὰ τὸ εἰσελθεῖν εἰς τὰ βασίλεια, τῶν Ἀλβίνου φίλων ἐπὶ τῆς συγκλήτου κατηγόρει, γράμματά τε αὐτῶν καὶ ἐλέγχους προέφερεν· ἄλλας τε ἄλλοις ἐπιφέρων αἰτίας, πάντας τοὺς ἐξέχοντας τότε τῆς συγκλήτου, καὶ τοὺς κατὰ ἔθνη πλούτῳ τε καὶ γένει ὑπερέχοντας διέφθειρε. Πάνυ δὲ ἦν αὐτῷ καὶ τὸ φιλόχρυσον, ὡς ὑπερβάλλειν τὰ πλεονεκτήματα τῆς ἀνδρείας.

130.

Exc. De ins. p. 39 : Ὅτι Σεβῆρος τῷ υἱῷ Ἀντωνίνῳ τὴν τοῦ Πλαυτιανοῦ θυγατέρα κατεγγύησεν, ὃς ἦν ἔπαρχος. Ὁ δὲ Ἀντωνῖνος ἀπαρεσκόμενος τῷ γάμῳ, τήν τε γυναῖκα ἐμυσάττετο, καὶ τῷ πατρὶ αὐτῆς ἠπείλει. Ὁ δὲ Πλαυτιανὸς ὁρῶν τὸν μὲν Σεβῆρον πρεσβύτην καὶ ὑπὸ νόσου ὀχλούμενον, τὸν δὲ Ἀντωνῖνον ἐμβριθῆ καὶ θρασὺν νεανίαν, δεδιώς τε αὐτοῦ τὰς ἀπειλάς, δρᾶσαί τι μᾶλλον φθάσας ἢ παθεῖν ἀναμείνας, μηχανᾶται τὸν Σατουρνῖνον ἀναπεῖσαι, ὃς ἦν χιλίαρχος τῶν στρατιωτῶν, οἰκειότατος δὲ τοῦ Πλαυτιανοῦ, ὑποσχόμενος αὐτῷ τὴν ἐπαρχότητα παρασχεῖν, εἰ τῆς βασιλείας ἐπιτύχοι. Ταῦτά τε καὶ τοιαῦτα ἀκούσας ὁ ἀνὴρ, ἐξεπλάγη μὲν τὴν ψυχὴν, οὐκ ἐτόλμησε δὲ ἀντειπεῖν, ὡς μὴ παρ' αὐτὰ κολασθείη. Εἰδὼς δὲ ἀδύνατον ὂν δύο βασιλεῖς διαχρήσασθαι, καὶ ταῦτα ἐν διαφόροις οἴκοις διατρίβοντας, μηνύει τε ἑαυτὸν τῷ Σεβήρῳ, καὶ διαγγέλλει ἅπαντα, δεικνύει τε αὐτῷ καὶ γραμματεῖον τῆς ὑποσχέσεως. Τοιαῦτα δέ τινα λέγοντος αὐτοῦ, ὡς εἶδε τὸν Σεβῆρον μὴ πιστεύοντα διὰ τὸ πρὸς Πλαυτιανὸν φίλτρον, ἀλλὰ μᾶλλον καὶ τὸν υἱὸν ὑποπτεύοντα, ἔφη· « Δέσποτα, κελεύσατέ μοι δηλῶσαι αὐτῷ διά τινος τῶν ἐμῶν, ὅτι δὴ τὸ ἔργον κατείργασται, καὶ εὐθέως ὄψεσθε αὐτὸν ἐνταῦθα προερχόμενον, οἰόμενον ἔρημα τὰ βασίλεια καταλήψεσθαι· ἡσυχίαν δὲ εἶναι τῶν πραττομένων κελεύσατε. »

2. Ταῦτα εἰπὼν ἐντέλλεταί τινι τῶν πιστοτάτων· ὁ δὲ ἄγει τὸν Πλαυτιανὸν παραχρῆμα ἐνδυσάμενον θώρακα τῆς τοῦ σώματος ἀσφαλείας χάριν. Ὡς δὲ πάντες αὐτὸν ὑπεδέχοντο, οἰόμενοι ὑπὸ τῶν βασιλέων κεκλῆσθαι, ὅ τε χιλίαρχος ἐνεδρεύων προσεῖπεν αὐτοκράτορα, καὶ τῆς χειρὸς λαβόμενος εἰς τὸ δωμάτιον εἰσήγαγεν, ἔνθα ἔφασκεν ἐρρίφθαι τὰ τῶν βασιλέων σώματα· ἤδη δὲ παρεσκευάκει ὁ Σεβῆρος νεανίας τῶν περὶ αὐτὸν σωματοφυλάκων, οἳ συλληψόμενοι εἰσελθόντα ἐτάχθησαν. Ὁ δὲ Πλαυτιανὸς, ὡς εἶδε τοὺς βασιλεῖς ἑστῶτας, ἑαυτὸν δὲ συνεχόμενον, ἀπολογεῖσθαι ἐβούλετο· ὡς δὲ καὶ τὸ τοῦ θώρακος ὑπεφάνη μέρος, τότε ὁ Ἀντωνῖνος τοῖς σωματοφύλαξιν ἐπέτρεψεν ἀνελεῖν αὐτὸν, καὶ δημοσίᾳ ῥῖψαι. Ὁ μὲν οὖν Πλαυτιανὸς τοιούτῳ ἐχρήσατο τέλει.

3. Ὁ δὲ Σεβῆρος τοῦ λοιποῦ δύο ἐπάρχους τῶν στρατοπέδων κατέστησεν, αὐτὸς δὲ τὰ πλεῖστα διέτριβεν ἐν τοῖς βασιλικοῖς προαστείοις, τοῖς παραλίοις τῆς Καμπανίας, δικάζων τε καὶ τὰ πολιτικὰ διοικῶν· τὴν δὲ τοῦ Πλαυτιανοῦ θυγατέρα καὶ τὸν ταύτης ἀδελφὸν εἰς Σικελίαν ἐξέπεμψεν, αὐτάρκη δοὺς περιουσίαν, μιμησάμενος τὸν Σεβαστόν· καὶ γὰρ ἐκεῖνος τοῖς Ἀντωνίου παισὶν οὕτως ἐχρήσατο. Ἐπειρᾶτο δὲ καὶ τοὺς παῖδας συνάγειν εἰς φιλίαν, μύθοις τε ἀρχαίοις χρώμενος, καὶ τὰ παρεσκευασμένα ὑποδεικνύς· οἱ δὲ οὐδαμῶς ἐπείθοντο, ἀλλὰ καὶ εἰς τὸ χεῖρον ἐτράποντο, οἷά τε νεανίαι ὄντες, καὶ ὑπὸ βασιλικῆς ἐξουσίας εἰς πάσας ἡδονῶν ῥοπὰς ἀπλήστως ὁρμώμενοι· καὶ ἤσχαλλεν ἐπὶ τῷ τοιούτῳ βίῳ τῶν παίδων. Νικήσας δὲ τοὺς Βρεττανικοὺς, καὶ ἤδη γηραιὸς ὢν, καὶ ὑπὸ τῆς νόσου ὀχλούμενος, ἠναγκάζετο οἴκοι μένειν· τὸν δὲ Ἀντωνῖνον ἐπειρᾶτο ἐκπέμπειν, διοικήσοντα τὰ τῶν στρατοπέδων· ὅστις τοῦ μὲν πολέμου κατεφρόνει, μοναρχήσειν δὲ ἠπείγετο, καὶ τὸν πατέρα βραδύνοντα πρὸς τὸν θάνατον, ὀχληρὸν ἐνόμιζεν, καὶ τοὺς μὲν ἰατροὺς καὶ ὑπηρέτας ἀνέπειθε κακουργῆσαι περὶ τὴν θεραπείαν τοῦ γέροντος, ὡς ἂν θᾶττον αὐτοῦ ἀπαλλαγείη. Πλὴν ἀλλὰ μόλις ποτὲ Σεβῆρος, λύπῃ τὸ πλεῖστον διαφθαρεὶς, ἀνεπαύσατο, βασιλεύσας ι' καὶ η' ἔτη.

131.

ΑΝΤΩΝΙΝΟΣ Ο ΚΑΡΑΚΑΛΛΟΣ.

Ibid. p. 41 : Ὁ δὲ Ἀντωνῖνος τοῦ πατρὸς ἀποθανόντος λαβόμενος ἐξουσίας, εὐθὺς πάντας φονεύειν ἤρ-

γενναίῳ τείχει, πεποιημένῳ μυλίτῃ λίθῳ, ἐς τετράγωνον εἰργασμένῳ. Ἑπτὰ μὲν γὰρ ἦσαν ἀπὸ τῶν Θρᾳκίων πυλῶν πύργοι etc., ut ap. Xiphil. Quæ probabiliter fluxerunt ex Joanne Dionem et Herodianum miscere solito. Idem fortasse statuendum est de iis quæ v. Σεβῆρος præter ea quæ ex Exc. De virt. hausta sunt (fr. 125 et 129), apud Suidam exstant.

Fr. 128. Excripta sunt ex Herodian. III, 8 init.

Fr. 129. Ex Herodian. III, 8. Eadem Suidas v. Σεβῆρος. — εἰς τὰ βασίλεια] Herodian. : Κατελθὼν ἐς τὴν σύγκλητον βουλὴν, ἀνελθών τε εἰς τὸν βασίλειον θρόνον, πικρῶς κατηγόρησε τῶν Ἀλβίνου φίλων. — προέφερεν] προσέφερεν cod. et Suidas; προκομίζων Herod.

Fr. 130. Ex Herod. III, 10—15.

Fr. 131. Ex Herodian. III, 15—IV, 1. ὡς δὲ αὐτοὺς κτλ.] Male hæc excerpta. Herodianus IV, 1, ita : Ὡς δὲ ἐφ᾽

ξατο, τούς τε ἰατροὺς μάλιστα, οἳ μὴ ὑπήκουσαν αὐτῷ· ἰδίᾳ τε δώροις καὶ μεγάλαις ὑποσχέσεσι τοὺς τῶν στρατιωτῶν ἡγεμόνας ἐθεράπευεν, ὡς ἂν μόνον αὐτὸν αὐτοκράτορα ἀποδείξωσιν. Οὐ μὴν ἔπειθε τὸ στρατιωτικόν. Μεμνημένοι γὰρ τοῦ Σεβήρου, ἴσην αὐτοῖς τιμήν τε καὶ εὔνοιαν παρείχοντο. Ὁ δὲ Ἀντωνῖνος, ἐπεὶ μὴ προσεχώρει αὐτῷ τὰ τῶν στρατοπέδων, σπεισάμενος εἰρήνην εἰς τοὺς βαρβάρους, ἐπὶ τὴν Ῥώμην ἠπείγετο. Καὶ ἐπειδὴ κατέλαβε τὴν μητέρα καὶ τὸν ἀδελφὸν ἐν τοῖς μεθορίοις τῆς Ῥώμης, ἅμα αὐτοῖς ἐπὶ τὴν πόλιν ἀφίκετο. Ὡς δὲ αὐτοὺς ὁ δῆμος δαφνηφορῶν ὑπεδέξατο, ἥ τε σύγκλητος αὐτοκράτορας προσηγόρευσεν· καὶ κηδεύσαντες τὸν πατέρα ἀνῆλθον εἰς τὰ βασίλεια· διελόμενοι δὲ αὐτὰ ἑκάτερος ᾤκει, παραφράττεσθαι κελεύσας πάσας εἰσόδους, εἴ τινες λανθάνουσαι ἦσαν· μόναις δὲ [ταῖς] δημοσίαις ἐχρῶντο, ἰδίας φρουρὰς ἐπιστήσαντες, οὐδὲ συνιόντες, [εἰ μὴ πρὸς ὀλίγον, ὅσον δημοσίᾳ εἴποτε ὀφθῆναι. Ἐπετέλεσαν δὲ πρὸ ἁπάντων] τὴν πρὸς τὸν πατέρα τιμήν. [Ἐξ ἐκείνου δὲ] ἐστασίαζον πρὸς ἀλλήλους, ἐμίσουν τε καὶ ἐβουλεύοντο κατ' ἀλλήλων, καὶ [πάντα ἔπραττεν ἑκάτερος,] τίς πρῶτος τὸν ἕτερον ἀποσκευάσεται. Ἐμερίζοντο δὲ καὶ πάντων αἱ γνῶμαι, ὅσοι ἐν ἀξιώμασιν ἦσαν.

2. Ὁ μὲν γὰρ Γέτας ἐπιεικείας τρόπον ἐπεδείκνυτο, ὁ δὲ Ἀντωνῖνος ὠμότητος. Τούτους δὲ ἡ μήτηρ [συνάγειν ἐπειρᾶτο] μέλλοντας διαιρεῖσθαι τὴν ἀρχήν. Καὶ τοῦ μὲν Ἀντωνίνου πάντα τὰ ὑπ' Εὐρώπην δεχομένου, τοῦ δὲ Γέτα τὴν ἀντικειμένην ἤπειρον Ἀσίαν καλουμένην πᾶσαν, ἤρεσκε τὸν μὲν Ἀντωνῖνον ἐπὶ τῷ Βυζαντίῳ ἱδρῦσαι τὸ στρατόπεδον, τὸν δὲ Γέταν ἐν Χαλκηδόνι τῆς Βιθυνίας· οὕτω τε τήν τε σύγκλητον καὶ τὰ ἔθνη καὶ τοὺς στρατιώτας μερίσασθαι.

3. Ταῦτα δὲ αὐτῶν διατυπούντων, οἱ μὲν ἄλλοι πάντες σκυθρωποῖς προσώποις εἰς τὴν γῆν ἔνευσαν· ἡ δὲ Ἰουλία, « Γῆν μέν, ἔφη, ὦ τέκνα, καὶ θάλασσαν εὑρίσκετε ὅπως νείμησθε, τὴν δὲ μητέρα πῶς ἂν διέλοισθε, καὶ πῶς ἡ ἀθλία εἰς ἑκάτερον ὑμῶν νεμηθείην; πρῶτον δὴ ἐμὲ φονεύσατε, καὶ διελόντες ἑκάτερος παρ' ἑαυτῷ τὸ μέρος θαπτέτω. » Ταῦτα λέγουσα μετὰ δακρύων καὶ οἰμωγῆς, ἀμφοτέροις τε τὰς χεῖρας περιβάλλουσα, καὶ ὑπὸ τὰς ἀγκάλας λαβοῦσα, συνάγειν ἐπειρᾶτο. Πάντας δὲ οἴκτου λαβόντος, διελύθη τὸ συνέδριον, τὸ δὲ μῖσος καὶ ἡ στάσις ηὔξετο. Εἰς πάντα γὰρ τὰ ἐναντία ἀλλήλοις ἐφρόνουν, καὶ οἰνοχόους καὶ ὀψοποιοὺς ἀνέπειθον ἐμβαλεῖν δηλητήρια φάρμακα. Οὐ ῥᾳδίως δὲ αὐτῶν οὐδετέρῳ προὐχώρει· πολλῇ γὰρ ἐχρῶντο περὶ τὰ τοιαῦτα φρουρᾷ. Τέλος δὲ μὴ φέρων ὁ Ἀντωνῖνος, ἀλλ' ὑπὸ τῆς περὶ τὴν μοναρχίαν ἐπιθυμίας ἐλαυνόμενος, διὰ ξίφους ἐχώρησε, καὶ τὸν ἀδελφὸν ἐπὶ τοῖς στήθεσι τῆς μητρὸς καταφυγόντα διεχρήσατο.

4. Κατεργασθέντος οὖν αὐτῷ τοῦ φόνου, προπηδᾷ τοῦ οἴκου θέων, φερόμενός τε δι' ὅλων τῶν βασιλείων, ἐβόα μέγαν κίνδυνον ἐκπεφευγέναι, μόλις τε σωθῆναι· τούς τε στρατιώτας οἳ φρουροῦσι τὰ βασίλεια, κελεύει αὐτὸν ἁρπάσαντας ἀπάγειν εἰς τὸ στρατόπεδον. Πιστεύσαντές τε ἐκεῖνοι, τό [τε] πεπραγμένον ἔνδον οὐκ εἰδότες, θέοντι αὐτῷ συνεξέδραμον πάντες· ταραχή τε τὸν δῆμον κατεῖχεν, ὁρῶντες περὶ δείλην διὰ μέσης φερόμενον τῆς πόλεως δρόμῳ τὸν βασιλέα. Ὡς δὲ εἰσεπήδησεν εἰς τὸ στρατόπεδον ἔς τε τὸν ναόν, ἔνθα τὰ σημεῖα ἔκειτο, ῥίψας ἑαυτὸν [εἰς γῆν] ὡμολόγει χάριτας τῆς σωτηρίας· καὶ τοῖς μὲν στρατιώταις τὸ πραχθὲν οὐχ ὡμολόγει· ἐβούλετο γὰρ νοεῖσθαι μᾶλλον ἢ ἀκούεσθαι· καὶ διὰ τοῦτο ὅσα ἐν [ἔτεσι] ιη' ὁ Σεβῆρος ἤθροισεν, ἐν μιᾷ ἡμέρᾳ εἰς τοὺς στρατιώτας ἐξέχεεν, ἵνα τὸν ἀδελφοῦ θάνατον κυρώσωσι, καὶ τοῦτον αὐτοκράτορα ψηφίσωνται.

5. Καὶ ἐπιβὰς τοῦ θρόνου, τοῦ τε ἀδελφοῦ πολλὰ κατηγόρει, καὶ τοὺς αὐτοῦ φίλους δριμέα διεβλέπετο. Οἱ δὲ καὶ ὀδυρόμενοι ἐπὶ τοῖς πεπραγμένοις, αὐτοκράτορα αὐτὸν καὶ μονάρχην προσηγόρευσαν. Ὁ δὲ Ἀντωνῖνος τρέμοντας καὶ ὠχριῶντας τοὺς πλείστους καταλιπών, ἀνέδραμεν ἐπὶ τὰ βασίλεια· ὅσοι τε τῆς συγκλήτου βουλῆς, καὶ ὅσοι γένει ἢ πλούτῳ περιεῖχον, [ἀνῃροῦντο,] καὶ ἡ Κομόδου ἀδελφή, πρεσβῦτις ἤδη καὶ ὑπὸ πάντων ὡς Μάρκου θυγάτηρ τιμωμένη, προσαπώλετο, διὸ ἐδάκρυσε παρὰ τῇ μητρὶ αὐτοῦ ἐπὶ τῷ τοῦ παιδὸς φόνῳ. Τήν τε γυναῖκα γενομένην αὐτῷ Πλαυτίλλαν, οὖσαν ἐν Σικελίᾳ, καὶ τὸν ἀνεψιὸν αὐτοῦ Σεβήρῳ τε ὁμώνυμον καὶ τὸν Περτίνακος υἱόν, τῆς τε Κομόδου ἀδελφῆς Λουκίλλης υἱόν, καὶ εἴ τι γένος ἦν βασιλικὸν [ἢ] ἐν συγκλήτῳ ἐξ εὐπατριδῶν καταβαῖνον, πᾶν ἐξέκοψεν. Εἰς τε τὰ ἔθνη πέμπων ἡγεμόνας τε καὶ ἐπιτρόπους, ὡς ἐκείνου φίλους, διεχρήσατο πάντας. Πᾶσά τε νὺξ ἔφερε φόνους παντοδαπῶν ἀνθρώπων, καὶ ἐν ἱπποδρομίᾳ πολλοὺς ἐφόνευσεν.

132.

Exc. De virt. p. 825 : Ὅτι ἐπὶ Ἀντωνίνου τοῦ υἱοῦ Σεβήρου πρὸς τοῖς ἄλλοις κακοῖς καὶ ταῖς μιαιφονίαις καὶ οἱ στρατιῶται, τοῦ βιάζεσθαί τε καὶ ἁρπάζειν λαβόντες ἐξουσίαν, οὐκέτι κατ' οὐδὲν διεκρίνοντο·

κοντο εἰς τὴν Ῥώμην, ὅ τε δῆμος αὐτοὺς δαφνηφορῶν ὑπεδέξατο ἥ τε σύγκλητος προσηγόρευσεν. Seqq. ex Herodiano resarcivi. — § 2. ὑπ' Εὐρώπην] Herod.; ὑπὲρ Εὐρ. codex. — ἐπὶ τῷ Βυζαντίῳ] Her.; ἐπὶ τὸ Βυζάντιον cod. — § 3. νείμησθε] Her.; νείμεσθε cod. — διέλοισθε] Her., διέλησθε cod. — ὑμῶν] Her., ἡμῶν cod. — πρῶτον δὴ] Her., πρ. δὲ cod. — περιβάλλουσα] Her., περιβαλοῦσα cod. — συνάγειν ἐπειρᾶτο] σ. τε ἐπ. cod. — § 4. εἰσεπήδησεν] ἐσέπεσεν Her. — § 5. ἐπιβὰς τοῦ θρόνου] sc. in senatu, in quem die caedem subsecuto se contulit. V. Herod. IV, 5. — καὶ ὅσοι γένει] καὶ ὅσοι delenda puto. Herodian IV, 6 : τῆς τε συγκλήτου βουλῆς ὅσοι γένει ἢ πλούτῳ ὑπερεῖχον. — ὑπὸ πάντων] πρὸς πάντων βασιλέων in Her. legitur. — Πλαυτίλλαν] Πλαυτίαν cod.; scribi etiam possit : Πλαυτιανοῦ [θυγατέρα] οὖσαν, uti est in Herodiano. — ἔφερε φόνους παντοδαπῶν ἀνθρώπων] ex Herod.; ἔφερε τῶν ἀνθρώπων φόνους πάντων ἀνθρώπων codex.

Fr. 132. Eadem brevius Suidas v. Ἀντωνῖνος. Vide Herodian. IV, 6—12. — βιάζεσθαί τε καὶ] τε om. Suid. —

Τοιαῦτα δὲ πράττων ὑπό τε τῶν ἔργων ἐλαυνόμενος, καὶ πρὸς τὴν ἐν τῇ πόλει διατριβὴν ἀπεχθῶς ἔχων, ἀπεδήμει τῆς Ῥώμης, ὡς δὴ καὶ τὰ στρατόπεδα διοικήσων καὶ τὰ ἔθνη ἐποψόμενος. Ἐπεὶ δὲ τὸν Ἴστρον κατέλαβε, καὶ τοὺς ἐκεῖσε Γερμανοὺς ἐφιλοποιήσατο, ὡς καὶ συμμάχους παρ' αὐτῶν λαβεῖν καὶ τοῦ σώματος φρουρούς, καὶ ταῖς φορεσίαις αὐτῶν χρῆσθαι. Οὕτω τε ὑπὸ τῶν βαρβάρων καὶ ὑπὸ τῶν στρατιωτῶν ἠγαπᾶτο, κοινὸς ὢν πρὸς ἅπαντας, ὡς συστρατιώτης μᾶλλον ἢ βασιλεὺς παρ' αὐτῶν χαίρειν λεγόμενος. Ἐπεὶ δὲ καὶ εἰς τὴν Μακεδονίαν ἀφίκετο, εὐθέως τε Ἀλέξανδρον ἑαυτὸν ὠνόμασεν· ἐκεῖθέν τε εἰς Πέργαμον παρεγένετο καὶ ἐπὶ τὸν Ἀχιλλέως τάφον, καὶ στεφάνοις κοσμήσας καὶ ἄνθεσι, τὸν Ἀχιλλέα ἐμιμεῖτο. Καὶ διὰ τῆς Ἀσίας καὶ τῶν ἄλλων ἐθνῶν εἰς Ἀντιόχειαν ἀφίκετο, καὶ διατρίψας χρόνον τινά, ἐπὶ τὴν Ἀλεξάνδρειαν ἐστέλλετο, πρόφασιν ποιούμενος ποθεῖν τὴν Ἀλεξάνδρου πόλιν. Ὡς δὲ εἰσήλασεν ἐν αὐτῇ σὺν παντὶ τῷ στρατῷ, ὑπεδέχθη παρὰ τῶν Ἀλεξανδρέων, ὡς οὔπω τις βασιλέων πρότερον. Καὶ ἐλθὼν εἰς τὸ Ἀλεξάνδρου μνῆμα, τήν τε χλαμύδα ἣν ἐφόρει καὶ τὸν δακτύλιον καὶ τὴν ζώνην καὶ εἴ τι πολυτελές, περιελόμενος ἐπέθηκε τῇ ἐκείνου σορῷ. Ὁ δὲ δῆμος ὁρῶν ὑπερέχαιρε παννυχίζων τε καὶ ἑορτάζων, οὐκ εἰδὼς τὴν τούτου λανθάνουσαν γνώμην. Ἔγνω γὰρ ἐν τῇ Ῥώμῃ ὡς ὅτι πολλὰ εἰς αὐτόν τε καὶ τὴν μητέρα ἀπέσκωψαν. Ὀργίλος τε ὢν φύσει ὁ Ἀντωνῖνος, ὡς εἶδε πᾶσαν τὴν πόλιν πλήθους μεγίστου πεπληρωμένην, διὰ προγράμματος τὴν νεολαίαν εἴς τι πεδίον κελεύει συνελθεῖν, φήσας εἰς τὴν Ἀλεξάνδρου τιμὴν φάλαγγα βούλεσθαι συστήσασθαι. Ταύταις αὐτοῦ ταῖς ὑποσχέσεσι πεισθέντες οἱ νέοι συνῆλθον ἅμα γονεῦσι καὶ ἀδελφοῖς συνηδομένοις αὐτῶν ταῖς ἐλπίσιν. Ὁ δὲ Ἀντωνῖνος ὡς εἶδεν αὐτοὺς ἑστῶτας στιχηδόν, αὐτὸς μὲν ὑπεξῆλθε μεθ' ἧς εἶχε φρουρᾶς· τοὺς δὲ στρατιώτας ἐπαφῆκε, καὶ πᾶσαν [τὴν] ἐν μέσῳ νεολαίαν συνέκοψεν. Οὐκ ὀλίγοι δὲ καὶ τῶν στρατιωτῶν ἀπώλοντο. Τοσοῦτος δὲ ἐγένετο φόνος ὡς καὶ πάντα τὸν Νεῖλον ὑπὸ τοῦ αἵματος φοινιχθῆναι. Τοιαῦτά τινα ἐργασάμενος πάλιν εἰς Ἀντιόχειαν ἀφίκετο. Καὶ μετὰ τὸ ψεύσασθαι τὸν γάμον τοῦ Παρθυαίου διέτριβεν ἐν τῇ Μεσοποταμίᾳ, ἡνιοχείαις καὶ θηρίων σχολάζων σφαγαῖς, δύω τοὺς στρατοπέδων ἐπάρχους ἔχων ἅμα, Ἀδούεντον καὶ Μακρῖνον. Ὁ μὲν γὰρ στρατιωτικός, ὁ δὲ λογικός. Διὸ καὶ πολλάκις ἀπέσκωπτε τὸν Μακρῖνον ὡς διαίτῃ ἐλευθερίῳ χρώμενον.

133.

Exc. De ins. p. 43. Ὅτι ἔδει τὸν Ἀντωνίνου βίον τέλος λαβεῖν· περιεργότατος γὰρ ὤν, ἐβουλήθη μαθεῖν τὸν μετ' αὐτὸν βασιλεύσοντα, ὑποπτεύων τε πάντας αὐτῷ πρὸς κολακείαν θεσπίζοντας, ἐπιστέλλει Ματερνιανῷ τινί, τότε πάσας αὐτῷ τὰς ἐν Ῥώμῃ πράξεις ἐγκεχειρισμένῳ, πιστοτάτῳ τε εἶναι δοκοῦντι, κελεύει τε αὐτῷ μάγων τοὺς ἀρίστους ζητήσαντι, νεκυίᾳ τε χρησάμενον μαθεῖν. Ὁ δὲ ἀδεῶς τοῖς κελευθεῖσι χρησάμενος, καὶ μαθὼν σημαίνει τῷ βασιλεῖ. Οἱ δὲ διακομίζοντες ἐφίστανται τῷ Ἀντωνίνῳ, ἤδη τε σκευὴν ἡνιόχου ἀναλαβόντι καὶ τοῦ ἅρματος ἐπιβαίνοντι, προσκομίζουσί τε τὸν σύνδεσμον τῶν ἐπιστολῶν, ἐν αἷς ἦν καὶ τὰ περὶ Μακρίνου γράμματα. Ὁ δὲ Ἀντωνῖνος ὁρμὴν ἤδη περὶ τὴν ἱπποδρομίαν ἔχων, κελεύει τῷ Μακρίνῳ ἰδιάσαντι ἐντυχεῖν τοῖς γράμμασι, καὶ εἴ τι ἐπεῖγον εἴη, ἄγειν πρὸς αὐτόν. Ὁ δὲ ἀναγνούς, καὶ περιτυχὼν τῇ κατ' αὐτοῦ θανατηφόρῳ γραφῇ, ταύτην μὲν ἀποκρύπτει, περὶ δὲ τῶν λοιπῶν ἀγγέλλει. Φοβηθεὶς δὲ μὴ καὶ δεύτερον ταῦτα ὁ Ματερνιανὸς ἐπιστείλῃ, τολμᾷ δή τι τοιοῦτον.

2. Ἦν τις ἑκατόνταρχος Μαρτιάλιος τῶν σωματοφυλάκων Ἀντωνίνου· τούτου τὸν ἀδελφὸν ἀνῃρήκει ἐπὶ ψευδεῖ διαβολῇ, ἠπείλει τε καὶ αὐτῷ τῷ Μαρτιαλίῳ. Τοῦτον ἐπιστάμενος ὁ Μακρῖνος ἀλγοῦντα, πείθει ἐπιβουλεῦσαι τῷ Ἀντωνίνῳ. Καιροῦ δέ τινος δραξάμενος, ὅτε ὁ βασιλεὺς ἀπὸ τῆς ἐν Κάρραις αὐλῆς ἐπὶ τὸν νεὼν ἠπείγετο τῆς Σελήνης (ἀφειστήκει δὲ τῆς πόλεως οὐ μικρόν), ἐπειχθέντα αὐτὸν πρὸς χρείας ὑποτοπεῖ, καὶ μονωθέντα παίει. Καιρίου δὲ τῆς πληγῆς γενομένης, καὶ πεσόντος αὐτοῦ, πηδήσας ἵππῳ ἔφυγεν ὁ Μαρτιάλιος, καὶ ἐπιδιωχθεὶς κατηκοντίσθη.

134.

Exc. Salm. p. 397 : Ἀντωνῖνος ἔτη ς', μῆνας β'. Μετὰ Ἀντωνῖνον τὸν Καράκαλλον Μακρῖνος ἔτος α', μεθ' ὃν Βασιανός, ὃν ὡς ἱερωμένον ἡλίῳ, ὃν Φοίνικες Ἐλεάβαλον λέγουσιν, Ἡλιογάβαλον ἔλεγον. Ὠνομάσθη δὲ Ἀντωνῖνος, ὡς τοῦ Καρακάλλου λεγόμενος εἶναι υἱός, καὶ ἐκράτησεν ἔτη ς'· μεθ' ὃν Ἀλέξανδρος ὁ Μαμαίας, ἐξάδελφος αὐτοῦ, ἔτη ιδ'. Μετὰ Ἀλέξανδρον Μαξιμῖνος.

τῶν ἔργων] τῆς τῶν ἔργων συνέσεως Herod. IV, 7, 1. — ἐν τῇ πόλει] τῇ om. Suid. — οὕτω δὲ ὑπὸ] οὕτω τε καὶ ὑπὸ Suid. — χαίρειν λεγόμενος] χαίρειν om. Suidas. συστρατιώτης τε ὑπ' αὐτῶν μᾶλλον ἢ βασιλεὺς καλούμενος χαίρειν προσεποιεῖτο Herod. — εὐθέως τε] om. Suidas. Part. τε melius abesset; εὐθὺς Ἀλέξανδρος ἦν Herod. IV, 8, 1. — παρεγένετο] παραγέγονε Suidas. — ὁ δὲ δῆμος ὁρῶν κτλ.] Suidas : ὁ δὲ δῆμος ἔχαιρεν, οὐκ εἰδὼς τὴν etc. — ἐν τῇ Ῥώμῃ ὡς] om. Suid. — ἀπέσκωψαν... προγράμματος] ἀπέσκωψαν· διὰ δὲ προγραμμάτων Suidas. — συστήσασθαι] Post hanc vocem Suidas nihil nisi haec habet : Οἱ δὲ συνῆλθον ἀγαθαῖς ἐλπίσι. Στιχηδὸν δὲ ἑστῶτας ἰδὼν αὐτὸς μὲν ἐξῆλθεν, ἐπαφῆκε δὲ τοὺς στρατιώτας· καὶ πάντας συνέκοψαν. Τοσοῦτος δὲ ἐγένετο φόνος, ὥστε τὸν Νεῖλον φοινιχθῆναι. — Ἀδούεντον] Ἀδουέντιον codex. Est *M. Coclatinus Adventus*. V. interpret. ad Herodian. VI, 12, 1; Dion. LXXVIII, 13, not. 74.

Fr. 133. V. Herodian. IV, 12-13. — Μαθεῖν τὸν μετ' αὐτὸν βασιλεύσοντα] τὰ θεῖά τε καὶ τὰ δαιμόνια πολυπραγμονεῖν Herod. — ἐπιστέλλει Μ.] Her., ἐπὶ τέλει Μαρτενίῳ cod. — χρησάμενον μαθεῖν] χρησάμενον μαθεῖν περὶ τοῦ τέλους τοῦ βίου αὐτοῦ, καὶ μή τις ἄρα ἐπιβουλεύοι τῇ ἀρχῇ Herod. — ὁ δὲ ἀδεῶς] ex Her., ὁ δὲ ὡς cod. — § 2. Κάρραις] Cramer; Κάραις cod.

Ἀντωνίνῳ τῷ Καρακάλλῳ Σεραπίων ὁ μάγος εἶπεν, ὡς τεθνήξεται, καὶ Μακρῖνος αὐτὸν διαδέξεται, δείξας αὐτὸν τῷ δακτύλῳ. Ὁ δὲ ὑπὸ θυμοῦ, μᾶλλον δὲ ὑπὸ τύχης, ἕτερον ὑπονοήσας, ἀνεῖλεν ἐκεῖνον. Τούτου τὴν τελευταίαν ἔξοδον ἀπὸ Ἀντιοχείας ποιουμένου, ξιφήρης ὁ πατὴρ [ὄναρ] ἐπέστη λέγων, « ὡς σὺ τὸν ἀδελφὸν ἀπέκτεινας, κἀγώ σε [ἀποσφάξω]. » Ἀπέκτεινε γὰρ οὗτος τὸν μικρὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ κόλπῳ τῆς μητρὸς, ὕστερον δὲ καὶ αὐτὸς ἐσφάγη.

135.

Exc. De ins. p. 44 : Οἱ δὲ ἐν τῷ στρατοπέδῳ συνέδραμον ἅπαντες· καὶ πρῶτος ὁ Μακρῖνος ἐπιστὰς τῷ πτώματι, ὀλοφύρεσθαί τε καὶ θρηνεῖν προσεποιεῖτο· οἱ δὲ λοιποὶ ἐχαλέπαινον· συστρατιώτην γὰρ καὶ οὐκ ἄρχοντα ᾤοντο ἀποβεβληκέναι, καὶ οὐδεμίαν ἐπιβουλὴν ὑπώπτευον ἐκ τοῦ Μακρίνου. Οὕτω μὲν οὖν ἕκαστος εἰς τὰς σκηνὰς ἐπανῄεσαν. Ὁ δὲ Μακρῖνος πυρὶ παραδοὺς τὸ σῶμα, καὶ τὴν κόνιν ἐν κάλπῃ βαλὼν ἔπεμψε τῇ μητρὶ αὐτοῦ ἐν Ἀντιοχείᾳ διατριβούσῃ. Ἐκείνη δὲ ἐπὶ ταῖς τῶν παίδων συμφοραῖς ἀπεκαρτέρησε. Τοιούτῳ μὲν δὴ τέλος ἐχρήσατο Ἀντωνῖνος καὶ ἡ μήτηρ αὐτοῦ. Ὁ δὲ χρόνος ἐν ᾧ ἐμονάρχησεν ἐν ἓξ ἔτεσι συνετελέσθη.

136.

ΜΑΚΡΙΝΟΣ.

Ibid. p. 44 : Ὅτι Μακρῖνος ὁ βασιλεὺς Ῥωμαίων ἐν Ἀντιοχείᾳ διατρίβων, τρόπῳ τέ τινι φιλοσόφου τὸ γένειον καὶ τὸ βῆμα φυλάττων ἐπεβουλεύθη. Οἱ γὰρ στρατιῶται παραβάλλοντες τὰς Ἀντωνίνου μνήμας, κατεγίνωσκον τῆς Μακρίνου διαίτης, ἐλυποῦντο δὲ διότι μὴ ἐπὶ τὴν Ῥώμην ἠπείγετο, ἀλλ' ἐν ἀλλοδαπῇ διέτριβε χώρᾳ, ἔσθ' ὅτε καὶ τῶν ἀναγκαίων σπανίζοντες. Ὁρῶντες δὲ τὸν Μακρῖνον ἐν τρυφῇ καὶ χλιδῇ ζῶντα, προφάσεως ὀλίγης λαβέσθαι ηὔχοντο εἰς τὸ ἀποσκευάσασθαι τὸ λυποῦν. Ἐχρῆν δὲ ἄρα Μακρῖνον ἐνιαυτοῦ μόνου τῇ βασιλείᾳ ἐπιτρυφήσαντα ἅμα τῷ βίῳ καὶ τὴν ἀρχὴν καταλῦσαι, μικρὰν καὶ εὐτελῆ πρόφασιν τοῖς στρατιώταις τῆς τύχης παρασχούσης.

3. Μαισὰ ἦν τις ὄνομα, τὸ γένος Φοίνισσα, ἀπὸ Ἐμέσου καλουμένης οὕτω πόλεως, ἀδελφὴ δὲ Ἰουλίας τῆς Σεβήρου γυναικὸς, Ἀντωνίνου δὲ μητρός· παρὰ πάντα οὖν τὸν τῆς ἀδελφῆς βίον ἐν τοῖς βασιλείοις διέτριψε. Ταύτην ὁ Μακρῖνος μετὰ τὴν τῆς ἀδελφῆς τελευτὴν προσέταξεν εἰς τὴν πατρίδα ἐπανελθοῦσαν, ἐν τοῖς οἰκείοις καταβιῶναι, πάντα ἔχουσαν τὰ ἑαυτῆς· πλείστων γὰρ ἦν χρημάτων πλήρης. Ἐπανελθοῦσα δὲ διέτριβε [ἐν] τοῖς ἑαυτῆς.

4. Ἦσαν δὲ θυγατέρες αὐτῇ δύο, Σοαιμὶς μὲν ἡ πρεσβυτέρα, ἡ δὲ ἑτέρα Μαμαία. Παῖδες ἦσαν, τῇ μὲν πρεσβυτέρᾳ Βασσιανὸς ὄνομα, τῇ δὲ νεωτέρᾳ Ἀλεξιανός· ὑπὸ δὲ ταῖς μητράσι καὶ τῇ μάμμῃ ἀνετρέφοντο. Καὶ ὁ μὲν Βασσιανὸς περὶ ἔτη γεγονὼς τεσσαρακαίδεκα, ὁ δὲ Ἀλεξιανὸς δεκάτου ἐπιβεβηκὼς ἔτους, ἱερῶντο, σχήματι βαρβάρῳ χιτῶνάς τε χρυσοϋφεῖς φοροῦντες, καὶ ἁλουργίδας ἐνδιδυσκόμενοι. Οὕτω τε ὁ Βασσιανὸς ὡραῖος τοῖς στρατιώταις ἐφαίνετο, γένους τε βασιλικοῦ ὑπάρχων, καὶ ἀκμῇ ἡλικίας, ἄλλως τε καὶ τοὺς Φοίνικης στρατιώτας ἔχων ὑπερασπίζοντας, ἔτι δὲ καὶ Ἀντωνίνου υἱὸς ἐφημίζετο, βασιλεύς τε παρὰ παντὸς τοῦ στρατεύματος ὠνομάζετο.

5. Ὡς δὲ ταῦτα διηγγέλθη, ἐπέδωκεν ἑαυτὴν ἡ πρεσβῦτις, ἑλομένη πάντα κίνδυνον ἀναδέξασθαι. Νύκτωρ τε λάθρα τῆς πόλεως ὑπεξῆλθε σὺν ταῖς θυγατράσι καὶ τοῖς ἐγγόνοις. Καὶ γενόμενοι πρὸς τῷ τείχει τοῦ στρατοπέδου, ῥᾷστα ὑπεδέχθησαν. Εὐθέως τε τὸν παῖδα πᾶν τὸ στρατόπεδον Ἀντωνῖνον προσηγόρευσε, τῇ τε πορφυρᾷ χλαμύδι περιβαλόντες εἶχον [ἔνδον]· πάντα τε τὰ ἐπιτήδεια, καὶ παῖδας καὶ γυναῖκας, ὅσα τε εἶχον ἐν κώμαις ἢ ἀγροῖς τοῖς πλησίον, εἰσκομίσαντες, καὶ τὰς πύλας ἀποκλείσαντες, ἑαυτοὺς παρεσκεύαζον.

6. Ὡς δὲ ταῦτα ἀπηγγέλθη τῷ Μακρίνῳ ἐν Ἀντιοχείᾳ διατρίβοντι, ἥ τε φήμη διέδραμεν ἀνὰ τὰ λοιπὰ στρατόπεδα, ὅτι τε Ἀντωνίνου υἱὸς εὑρέθη, καὶ ὅτι ἡ Ἰουλίας ἀδελφὴ χρήματα δίδωσι· πάντα τὰ λεγόμενα ἀληθῆ πιστεύσαντες τὰς ψυχὰς ἐξεπτόηντο. Ἐνῆγε δὲ αὐτοὺς εἰς πραγμάτων καινοτομίαν τὸ Μακρίνου μῖσος καὶ ἡ Ἀντωνίνου μνήμη καὶ πρό γε πάντων ἡ τῶν χρημάτων ἐλπὶς, ὡς πολλοὺς καὶ αὐτομολοῦντας φοιτᾶν.

7. Ὁ δὲ Μακρῖνος καταφρονῶν τοῦ πράγματος ὡς παιδαριώδους, χρώμενός τε τῇ συνήθει ῥᾳθυμίᾳ, αὐτὸς μὲν οἴκοι μένει, πέμπει δὲ ἕνα τῶν ἐπάρχων τοῦ στρατοπέδου, δύναμιν δοὺς ὅσην ᾤετο ἐκπορθήσειν τοὺς ἀνθεστηκότας. Ἦν δὲ ὁ ἔπαρχος Ἰουλιανός. Οὗτος ὡς

Fr. 134. Σεραπίων ὁ μάγος εἶπε κτλ.] Nihil de his Herodianus. Petita sunt e Dione, ut videtur. V. mutilam narrationem Xiphilini. LXXVIII, 4, ubi hæc accidisse dicuntur paucis diebus antequam Macrinus insidias regi pararet. Eadem e Nostro, puto, Cedrenus refert I, p. 448 ed. Bonn. : Σεραπίων δέ τις μαθηματικὸς ἔλεγεν ὡς τεθνήξεται οὐκ εἰς μακρὰν Ἀντωνῖνος, καὶ Μακρῖνος αὐτὸν διαδέξεται· καὶ ἔδειξεν αὐτὸν τῷ δακτύλῳ παρεστῶτα μετὰ τῆς συγκλήτου. Ὁ δὲ ὑπὸ θυμοῦ, μᾶλλον δὲ ὑπὸ τῆς τύχης, οὐ συνῆκε τὸ πρόσωπον Μακρίνου, ἀλλὰ ἕτερον τῶν πλησίον ἐκέλευσεν ἀποκτανθῆναι. — ὄναρ et ἀποσφάξω] addidi ex Xiphilin. LXXVIII, 7. Cedrenus l. l. verba ὡς σὺ κτλ. Macrino tribuit.

Fr. 135. V. Herodian. IV, 13. θρηνεῖν] Her., θνήσκειν cod. — κάλπῃ] Her. κάλπει cod. — συνετελέσθη] Her. συνετέλεσεν cod.

Fr. 136. V. Herodian. V, 2. — τὸ γένειον] τὸν νηὸν codex corrupt. Herod. V, 2 : ἐν δὲ τῇ Ἀντιοχείᾳ διέτριβε, γένειόν τε ἀσκων, βαδίζων τε πλέον τοῦ δέοντος ἠρεμαίως. — παραβάλλοντες] Her., παραλαβόντες cod. — τὸ λυποῦν] Her., τὸ λοιπὸν cod. — § 3. Μαισὰ] Her., μέσα cod. — § 4. Σοαιμὶς] Her., σοσγμία cod. — οὕτω τε κτλ.] pessime hæc excerpta sunt. — § 5. χλαμύδι] Her., χλανίδι cod. — εἶχον ἔνδον] Her., ἦγον cod. — ἑαυτοὺς παρεσκεύαζον] addit Her. : ὡς, εἰ δέοι, ὑπομενοῦντες πολιορκίαν. — § 6. τὰς ψυχὰς] τάς τε ψυχὰς cod. — χρώμενός τε] Her., χρώμενος δὲ cod.

τῷ τείχει τοῦ στρατοπέδου παρέστη, οἱ ἔνδοθεν στρατιῶται ἀνελθόντες ἐπὶ τοὺς πύργους, τὸν παῖδα τῷ ἔξωθεν στρατῷ δεικνύουσιν, Ἀντωνίνου υἱὸν εὐφημοῦντες, βαλάντιά τε χρημάτων μεστὰ ἐπεδείκνυον. Οἱ δὲ πιστεύσαντες αὐτοῖς, τοῦ μὲν Ἰουλιανοῦ τὴν κεφαλὴν ἀποτέμνουσι, καὶ πέμπουσι τῷ Μακρίνῳ· αὐτοὶ δὲ πάντες εἰς τὸ στρατόπεδον εἰσεδέχθησαν. Οὕτως ἡ δύναμις αὐξηθεῖσα, οὐ μόνον ἦν πρὸς τὸ ἀπομάχεσθαι πολιορκίᾳ, ἀλλὰ καὶ ἐξ ἀντιστάσεως ἀγωνίζεσθαι ἀξιόχρεως.

8. Ὁ δὲ Μακρῖνος, ὡς ταῦτα ἐπύθετο, ἀθροίσας πάντα ὃν εἶχε στρατὸν ἀπῄει· καὶ ὁ Ἀντωνῖνος οὐκ ἀναμείνας ὑπήντησε. Συμμιξάντων δὲ ἀλλήλοις τῶν στρατοπέδων, προεδόθη τε ὁ Μακρῖνος, καὶ φοβηθεὶς ἀποδιδράσκει ἐν ἰδιώτου σχήματι. Καὶ ὁ μὲν ἔφευγεν, ὁ δὲ στρατὸς ἑκατέρωθεν ἐμάχετο, ἄχρις οὗ Ἀντωνῖνος διεκηρυκεύσατο, τήν τε Μακρίνου φυγὴν διαγγέλλων, καὶ ἀμνηστίαν τοῖς ὑπὲρ ἐκείνου μαχομένοις ἔνορκον ὑπισχνούμενος. Οἱ μὲν οὖν πεισθέντες προσεχώρησαν. Ὁ δὲ Ἀντωνῖνος ἐκπέμπει τοὺς διώξοντας τὸν Μακρῖνον, καὶ καταλαβόντες αὐτὸν ἐν Χαλκηδόνι τῆς Βιθυνίας κρυπτόμενον, τὴν κεφαλὴν ἀπέτεμον· *ἐλέγετο* δὲ εἰς τὴν Ῥώμην σπεύδειν. Τέλει μὲν δὴ τοιούτῳ ἐχρήσατο ὁ Μακρῖνος, συναιρεθέντος αὐτῷ καὶ τοῦ παιδὸς, βασιλεύσας ἐνιαυτὸν ἕνα.

137.

ΑΝΤΩΝΙΝΟΣ Ο ΕΛΕΓΑΒΑΛΟΣ.

Exc. De virt. p. 829 : Ὅτι Ἀντωνῖνος ὁ νέος μετὰ τὸ ἀναγορευθῆναι βασιλέα ἐν Νικομηδείᾳ ὢν ἐξεβάκχευεν, ἐνδύμασί τε ξένοις χρώμενος, ὑπὸ τυμπάνοις καὶ αὐλοῖς προερχόμενος· τὴν γὰρ Ῥωμαϊκὴν πᾶσαν ἐσθῆτα ἐμυσάττετο. Ἡ δὲ Μαισὰ ταῦτα ὁρῶσα πάνυ ἤσχαλλε, πείθειν τε ἐπειρᾶτο μεταμφιέσασθαι τὴν Ῥωμαϊκὴν στολὴν, μέλλοντα εἰς τὴν πόλιν καὶ ἐς τὴν σύγκλητον ἐσελεύσεσθαι. Ὁ δὲ καταφρονήσας τῶν ὑπὸ τῆς πρεσβύτιδος λεχθέντων, μηδὲ ἄλλῳ τινὶ πεισθεὶς (οὐδὲ γὰρ προσίετο εἰ μὴ τοὺς ὁμοιοτρόπους τε καὶ κόλακας αὐτοῦ τῶν ἁμαρτημάτων), δούς τε τὰς συνήθεις τῷ δήμῳ νομὰς ἐπὶ τῇ τῆς βασιλείας διαδοχῇ, φιλοτίμους τε ἐπιτελέσας θέας, νεών τε μέγιστον κατασκευάσας, ἑκάστοτε προϊὼν ἑκατόμβας ἔθυε, καὶ περὶ τοὺς βωμοὺς ἐχόρευεν ὑπὸ παντοδαποῖς ἤχοις ὀργάνων. Περιειστήκει δὲ πᾶσα ἡ σύγκλητος καὶ τὸ ἱππικὸν τάγμα ἐν θεάτρου σχήματι. Ὅμως δὲ, καίτοι χορεύειν ἀεὶ καὶ ἱερουργεῖν δοκῶν, πλείστους ἀπέκτεινε τῶν ἐνδόξων, διαβληθέντας αὐτῷ ὡς σκώπτοντας αὐτοῦ τὸν βίον. Ὁ αὐτὸς νεὼν μέγιστον ἐν τῷ προαστείῳ κατασκευάσας τούς τε θεοὺς αὐτοῦ ἐπὶ ἅρματι χρυσῷ καὶ λευκοῖς ἑξαζύγοις ἵπποις ἀναβιβάσας, αὐτός τε ἡνιόχει, καὶ πάντες οἱ Ῥωμαῖοι μετὰ παντοδαπῆς δᾳδουχίας καὶ ἀνθέων προεπόμπευον. Ὡς δὲ ἐν τῷ ναῷ ἱδρύσθησαν, ἀναβὰς ὁ Ἀντωνῖνος ἐπὶ πύργον ἐρρίπτει τοῖς ὄχλοις ἐκπώματα χρυσᾶ καὶ ἀργυρᾶ ἐσθῆτάς τε καὶ ὀθόνας παντοδαπὰς, ζῶά τε πάντα ὅσα ἥμερα, πλὴν χοίρων· πολλοὶ δὲ καὶ ἐν ταῖς ἁρπαγαῖς διεφθείροντο. Αὐτὸς δὲ ἑωρᾶτο πολλάκις ὀρχούμενος, ἡνιοχῶν, προῄει τε ὑπογραφόμενος τοὺς ὀφθαλμοὺς καὶ τὰς παρειὰς ἐρυθραίνων, φύσει τε πρόσωπον ὡραῖον ὑβρίζων βαφαῖς ἀσχήμοσιν. Ὁρῶσα δὲ ταῦτα ἡ Μαισὰ, ὑποπτεύουσά τε τοὺς στρατιώτας ἀπαρέσκεσθαι, πείθει αὐτὸν θέσθαι υἱόν.

138.

Ibid. p. 829 : Ὅτι ἡ Μαμαία τὸν υἱὸν αὐτῆς Ἀλέξανδρον ἀπῆγε μὲν τῶν αἰσχρῶν καὶ ἀπρεπῶν τοῖς βασιλεῦσιν ἔργων, διδασκάλους τε πάσης παιδείας λάθρα μετεπέμπετο, παλαίστραις τε καὶ τοῖς ἀνδρῶν γυμνασίοις [εἴθιζεν]. Ἐφ' οἷς Ἀντωνῖνος ἤσχαλλε καὶ μετεγίγνωσκε, τούς τε διδασκάλους ἀπεσόβει. Ἐς τοσοῦτον δὲ ἐξώκειλεν, ὡς ἂν πάντας τοὺς ἀπὸ τῆς σκηνῆς καὶ τῶν δημοσίων θεάτρων μεταγαγεῖν ἐπὶ τὰς μεγίστας ἀρχὰς, καὶ τοῖς μὲν στρατοπέδοις ἔπαρχον ἐπιστῆσαι ὀρχηστήν τινα γεγονότα, τῆς τε τῶν ἱππέων ὑποστάσεως προέστησεν ἡνίοχον. Τοῖς τε δούλοις αὐτοῦ καὶ ἀπελευθέροις τὰς τῶν μεγίστων ἐθνῶν ἐξουσίας ἐνεχείριζε. Πάντων δὲ οὕτως τῶν πάλαι δοκούντων σεμνῶν ἐς ὕβριν καὶ παροινίαν ἐκβεβακχευμένων, οἵ τε ἄλλοι πάντες ἄνθρωποι καὶ μάλιστα οἱ στρατιῶται ἤχθοντο. Ἐμυσάττοντο δὲ αὐτὸν ὁρῶντες τὸ μὲν πρόσωπον καλλωπιζόμενον, περιδεραίοις τε χρυσοῖς καὶ ἐσθῆσιν ἁπαλαῖς ἀνάνδρως κοσμούμενον. Ἐπιρρεπεστέρας τοίνυν τὰς γνώμας πρὸς τὸν Ἀλέξανδρον εἶχον.

139.

Exc. De ins. p. 46 : Ὅτι οἱ στρατιῶται ὁρῶντες τὸν νέον καλλωπιζόμενον καὶ ἀνάνδρως κοσμούμενον, ἐπιρρεπεστέρας τὰς γνώμας πρὸς τὸν τῆς Μαμαίας Ἀλέξανδρον εἶχον, καὶ ἐλπίδας κρείττους· ἐφρούρουν τε αὐτὸν παντοίως ὁρῶντες ἐπιβουλευόμενον ὑπὸ τοῦ Ἀντωνίνου. Ἥ τε μήτηρ αὐτοῦ οὔτε ποτὸν οὔτε ἐδώδιμόν τι εἴα τὸν παῖδα προσφέρεσθαι τῶν ὑπ' ἐκείνου πεμπομένων. Ὀψοποιοῖς τε καὶ οἰνοχόοις ὁ παῖς ἐχρῆτο, οὐ τοῖς βασιλικοῖς, ἀλλὰ τοῖς τῆς μητρός. Ἐδίδου καὶ χρήματα λαθραίως τοῖς στρατιώταις. Ταῦτα μαθὼν Ἀντωνῖνος παντὶ τρόπῳ ἐπεβούλευε τῷ Ἀλεξάνδρῳ καὶ τῇ μητρὶ αὐτοῦ· ἀλλὰ τὰς ἐπιβουλὰς διεκώλυεν ἡ κοινὴ μάμμη. Ὡς δὲ τὰ τῆς ἐπιβουλῆς αὐτῷ [οὐ] προὐχώρει, παραλῦσαι τῆς τοῦ Καίσαρος τιμῆς ἠθέλησε τὸν παῖδα· καὶ οὔτε ἐν ταῖς προσαγορεύσεσιν οὔτε ἐν ταῖς προόδοις Ἀλέξανδρος ἐτιμᾶτο· οἱ δὲ στρατιῶται ἐπεζήτουν τε αὐτὸν, καὶ ἠγανάκτουν, μηδὲ τὴν συνήθη φρουρὰν τῷ Ἀντωνίνῳ πέμποντες.

2. Ὁ δὲ Ἀντωνῖνος, ἐν δέει πολλῷ γενόμενος, πα-

Fr. 137. V. Herodian. V, 5—7. τούς τε θεοὺς] τόν τε θεόν Herod. V, 6.
Fr. 138. V. Herodian. V, 7—8.
Fr. 139. V. Herodian. V, 8. — προσφέρεσθαι] προφ. cod. — ἐτιμᾶτο] Her.; ἑωρᾶτο cod.

ραλαβὼν τὸν Ἀλέξανδρον κατῆλθεν εἰς τὸ στρατόπεδον. Οἱ δὲ ἀνοίξαντες τὰς πύλας, ἐδέξαντο αὐτούς, ὑπερφυῶς τὸν Ἀλέξανδρον εὐφημοῦντες. Ἐφ' οἷς ὁ Ἀντωνῖνος ἀγανακτήσας, ἐκέλευσέ τινας πρὸς τιμωρίαν ἐκδοθῆναι. Ἐκεῖνοι δὲ μᾶλλον ταραχθέντες, ἄλλως τε καὶ τὸν Ἀντωνῖνον ἀποσκευάσασθαι θέλοντες, ἀσχημονοῦντα βασιλέα, τότε δὴ καὶ τοῖς συλλαμβανομένοις ἐπαμύνειν δεῖν ἡγούμενοι, καιρὸν εὔκαιρον καὶ πρόφασιν δικαίαν νομίζοντες, τὸν μὲν Ἀντωνῖνον αὐτόν τε καὶ τὴν μητέρα Σοαιμίδα (παρῆν γάρ) ἀναιροῦσι, τούς τε περὶ αὐτὸν πάντας, ὅσοι ἔνδον κατελήφθησαν, ὑπηρέται [τε] καὶ συνεργοὶ ἐδόκουν εἶναι τῶν ἁμαρτημάτων. Τὰ δὲ σώματα τοῦ τε Ἀντωνίνου καὶ τῆς μητρὸς παρέδοσαν σύρειν τε καὶ ὑβρίζειν τοῖς βουλομένοις· ἅπερ ἐπὶ πολὺ διὰ μέσης τῆς πόλεως συρέντα καὶ λωβηθέντα, εἰς τοὺς ὀχετοὺς ἀπερρίφη τοῦ Θύβριδος. Ἀντωνῖνος μὲν οὖν, εἰς ἕκτον ἔτος ἐλάσας τῆς βασιλείας, καὶ χρησάμενος τῷ προειρημένῳ βίῳ, οὕτως ἅμα τῇ μητρὶ κατέστρεψεν.

140.

ΑΛΕΞΑΝΔΡΟΣ ΣΕΒΗΡΟΣ.

Exc. De virt. p. 830 : Ὅτι Ἀλέξανδρος ὁ Μαμαίας σὺν τῇ μητρὶ ἄρξας ὑπ' ἐκείνῃ τὰ πάντα διῴκει, ἥτις πανταχόθεν ἐφρούρει τὴν ἀρχήν. Δικάζειν τε οὖν αὐτὸν ἔπειθεν ἐπὶ πλεῖστον, ὡς ἂν ἐν τούτοις ἀσχολούμενος μὴ ἔχοι καιρὸν εἰς τὸ ἐπιτηδεύειν τι τῶν ἁμαρτημάτων. Ὑπῆρχε δὲ αὐτῷ καὶ φυσικὸν ἦθος πρᾶον καὶ ἥμερον, εἴς τε τὸ φιλάνθρωπον πάνυ ἐπιρρεπές. Εἰς τεσσαρεσκαιδέκατον οὖν ἐλάσας ἔτος τῆς βασιλείας, ἀναιμωτὶ ἦρξε, καίτοι τινῶν μεγίσταις αἰτίαις ὑποπεσόντων, ὡς μετὰ τὴν Μάρκου τελευτὴν τὴν βασιλείαν θαυμάζειν Ἀλεξάνδρου. Ἠτιᾶτο δὲ καὶ τὴν μητέρα, καὶ πάνυ ἤσχαλλεν, ὁρῶν αὐτὴν οὖσαν φιλοχρήματον, καὶ πολλὰ ἐξ ἐπηρειῶν θησαυρίζουσαν. Πολλὰ δὲ ἠναγκάζετο ὑπ' αὐτῆς πράττειν. Ἦρχε γὰρ αὐτοῦ ὑπερβαλλόντως ἡ μήτηρ.

141.

Exc. De ins. p. 47 : Ὅτι Ἀλεξάνδρου τοῦ Μαμαίας μετὰ τὴν ἐν Πέρσαις συμφορὰν κατὰ τὴν Ἀντιόχειαν διατρίβοντος, ἀγγέλλεται αὐτῷ, ὅτι Γερμανοὶ Ῥῆνον καὶ Ἴστρον διαβάντες, τὴν Ῥωμαίων πορθοῦσι γῆν, καὶ τὰ ἐπὶ ταῖς ὄχθαις στρατόπεδα κατατρέχουσι, πόλεις τε καὶ κώμας ἐμπιπρᾶσι· δεῖσθαι τοίνυν τῆς αὐτοῦ παρουσίας. Δηλωθέντα δὲ ταῦτα τὸν Ἀλέξανδρον ἐτάραξε, καὶ τοὺς ἐκ τοῦ Ἰλλυρικοῦ στρατιώτας ἐλύπησε, διπλῇ δοκοῦντας κεχρῆσθαι συμφορᾷ, ἔκ τε ὧν ἐπεπόνθεσαν Πέρσαις μαχόμενοι, καὶ ἐξ ὧν ἐπυνθάνοντο τοὺς οἰκείους ὑπὸ Γερμανῶν ἀπολωλότας. Ἠγανάκτουν οὖν καὶ τὸν Ἀλέξανδρον εἶχον ἐν αἰτίᾳ. Ἦν δὲ καὶ αὐτῷ δέος περὶ τῆς Ἰταλίας· οὐδὲ γὰρ πολλὴν ὁδὸν ἀπέχει ἀπὸ τῶν Ἰλλυριῶν ἐθνῶν τὰ Ῥωμαίων. Ἐπαγγέλλει δὴ καὶ ἄκων τὴν ἔξοδον, καταλιπὼν δύναμιν αὐτάρκη ταῖς Ῥωμαίων ὄχθαις. Ἀνύσας δὲ τὴν ὁδοιπορίαν, ἐφίσταται τῷ Ῥήνῳ, καὶ τὰ πρὸς τὸν Γερμανικὸν πόλεμον παρεσκεύαζε· τόν τε ποταμὸν ναυσὶ γεφυρώσας, Παρθυαίους τε καὶ Μαυρουσίους πολλοὺς τῷ Ῥωμαίων στρατῷ συμμίξας, ἤρτυε τὸν πόλεμον. Ἔδοξε δὲ πρότερον πρεσβείαν πέμψαι πρὸς αὐτοὺς καὶ χρήματα ἐπαγγείλασθαι, ὡς ἂν τῇ φιλαργυρίᾳ πεισθέντες παύσωνται τοῦ πολέμου. Καὶ οἱ μὲν στρατιῶται χαλεπῶς ἔφερον, διατριβῆς τε ματαίας αὐτοῖς γινομένης, καὶ μηδὲν πρόθυμον ἢ γενναῖον παρέχοντος τοῦ Ἀλεξάνδρου, ἀλλ' ἐν ἡνιοχείαις τε καὶ τρυφαῖς σχολάζοντος.

2. Ἦν δέ τις ἐν τῷ στρατῷ Μαξιμῖνος ὄνομα, τὸ μὲν γένος Θρᾷξ μιξοβάρβαρος· πρότερον μὲν ἐν παιδὶ ποιμαίνων, ἐν ἀκμῇ δὲ γενόμενος εἰς τοὺς ἱππεῖς στρατιώτας ταγείς, εἶτα κατ' ὀλίγον αὐτὸν χειραγωγούσης τῆς τύχης, καὶ ἐθνῶν ἀρχὰς πιστευθείς. Τότε δὴ ὁ Ἀλέξανδρος πάσης αὐτὸν τοῦ στρατοῦ νεολαίας ἐπέστησεν, ὡς ἂν ἀσκοίη τε αὐτοὺς καὶ εἰς τὸ πολεμεῖν ἐπιτηδείους παρασκευάζοι. Ὁ δὲ μετὰ πάσης σπουδῆς τὰ ἐγκεχειρισμένα ποιούμενος, εὔνοιαν πολλὴν παρὰ τῶν στρατιωτῶν ἐκτήσατο. Ὅθεν οἱ νεανίαι, ἐν οἷς ἦν τὸ πολὺ πλῆθος [Παιόνων] μάλιστα, τῇ μὲν ἀνδρείᾳ τῇ Μαξιμίνου ἔχαιρον, τὸν δὲ Ἀλέξανδρον ἐπέσκωπτον, ὡς ὑπὸ τῆς μητρὸς ἀρχόμενον. Ὑπεμίμνησκον δὲ ἀλλήλους τῶν τε ὑπὸ ταῖς ἀνατολαῖς διὰ μέλλησιν αὐτοῦ πταισμάτων, καὶ ὅτι μηδὲν γενναῖον παρέχοιτο ἐς Γερμανοὺς ἐλθών. Ὄντες οὖν καὶ ἄλλως εἰς τὸ καινοτομεῖν ἐπιτήδειοι, καὶ τὸ μὲν [παρὸν] τῆς ἀρχῆς βαρὺ διὰ μῆκος ἐξουσίας ἡγούμενοι, ἀκερδές τε ἤδη, πάσης προαντηλωμένης φιλοτιμίας, ἐβουλεύσαντο ἀποσκευάσασθαι μὲν τὸν Ἀλέξανδρον, ἀνειπεῖν δ' αὐτοκράτορα καὶ Αὔγουστον τὸν Μαξιμῖνον.

3. Ἀθροισθέντες οὖν εἰς τὸ πεδίον ὡπλισμένοι, ὡς ἐπὶ τὰ συνήθη γυμνάσια προελθόντα καὶ ἐπιστάντα αὐτοῖς Μαξιμῖνον, πορφύρᾳ περιβαλόντες βασιλικῇ, αὐτοκράτορα ἀναγορεύουσιν. Ὁ δὲ τὰ μὲν πρῶτα παρῃτεῖτο, καὶ τὴν πορφύραν ἀπέρριπτεν· ὡς δὲ ἐνέκειντο ξιφήρεις ἀποκτείνειν ἀπειλοῦντες, τοῦ παρόντος κινδύνου τὸν μέλλοντα προελόμενος, ἀνεδέξατο τὴν τιμήν. Ὡς δὲ ταῦτα ἠγγέλθη τῷ Ἀλεξάνδρῳ, ἐν μεγίστῃ ταραχῇ γενόμενος, προπηδήσας τῆς σκηνῆς, ἐνθουσιῶν

— § 2. ἄλλως τε καὶ τὸν Ἀντωνῖνον] Herodian. : ἄλλως μὲν μισοῦντες τὸν Ἀντωνῖνον, καὶ ἀποσκευάσασθαι θέλοντες ἀσχημονοῦντα βασιλέα, τότε δὲ καὶ etc. — Σοαιμίδι] Σοάγμιδι cod. — μέσης τῆς πόλεως] πάσης τ. π. cod. — τοὺς ὀχετοὺς] τὰς ὄχθας cod.; Herodian. : εἰς τοὺς ὀχετοὺς ἀπερρίφθη τοὺς εἰς τὸν Θύβριν ποταμὸν ῥέοντας.

Fr. 140. Eadem Suidas v. Ἀλέξανδρος. Vide Herodian. VI, 1. — τὰ πάντα] τὰ om. Suidas. — ἐλάσας] sic etiam Herodian.; ἄρξας Suid., qui post fragmenti verba ultima ὑπερβαλλόντως ἡ μήτηρ, alia quædam assuit, quæ in antecedente Exc. De virt. fragmento leguntur.

Fr. 141. Vide Herodian. VI, 6—9. — § 2. μιξοβάρβαρος] Her. VI, 8, μεσοβάρβαρος cod. — ἐν παιδὶ] Her.; ἐν πεδίῳ cod. — τότε δὴ] τὸν δὴ Μαξιμῖνον τοῦτον Her. — § 3. βούλοιντο] βούλονται cod.

καὶ δακρύων καὶ τρέμων, τοῦ τε Μαξιμίνου τῆς ἀπιστίας κατηγόρει, καὶ τοὺς νεανίας ἔλεγε ταῦτα [προπετῶς καὶ ἐπιόρκως] τετολμηκέναι, δώσειν τε πάντα ὑπισχνεῖτο ὅσα αὐτοὶ βούλοιντο.

4. Ὡς δὲ ὁ Μαξιμῖνος ὤφθη πλησίον, βοή τε καὶ ἦχος ἐξηκούσθη, πάλιν ὁ Ἀλέξανδρος τοὺς στρατιώτας ἐλιπάρει, προμαχεῖν καὶ σώζειν ὃν ἀνεθρέψαντο, καὶ ὑφ' ᾧ βασιλεύοντι τεσσαρεσκαίδεκα ἔτεσιν ἀμέμπτως βεβιώκεισαν· πάντας τε εἰς οἶκτον καὶ ἔλεον προκαλούμενος, ὁπλίζεσθαι ἐκέλευσεν. Οἱ δὲ στρατιῶται τὰ μὲν πρῶτα ὑπισχνοῦντο, κατ' ὀλίγους δὲ ἀνεχώρουν, καὶ οὐδὲ ὅπλα λαβεῖν ἤθελον, ἀλλὰ καὶ τὸν ἐπάρχοντα καὶ τοὺς οἰκείους Ἀλεξάνδρου ᾔτουν πρὸς ἀναίρεσιν. (Παπιανὸς δὲ ἦν ὁ νομοθέτης.) Οἱ δὲ καὶ τὴν μητέρα ἐμέμφοντο. Καὶ μέχρι μέν τινος τοιαῦτα βοῶντες προσέμενον.

5. Ὡς δὲ ὁ τοῦ Μαξιμίνου στρατὸς ἤγγισεν, [καὶ] βοῶντες οἱ νεανίαι προὐκαλοῦντο τοὺς συστρατιώτας, καταλιπεῖν μὲν γύναιον μικρολόγον καὶ μειράκιον δειλὸν μητρὶ δουλεῦον, προσιέναι δὲ συστρατιώτῃ ἐν ὅπλοις ἀεὶ καὶ πολεμικοῖς ἔργοις διητημένῳ· πεισθέντες οἱ στρατιῶται, τὸν μὲν Ἀλέξανδρον καταλιμπάνουσιν, αὐτοὶ δὲ προσίασι τῷ Μαξιμίνῳ· αὐτοκράτωρ τε ὑπὸ πάντων ἐκεῖνος ἀναγορεύεται. Ὁ δὲ Ἀλέξανδρος τρέμων καὶ λειποψυχῶν, μόλις εἰς τὴν σκηνὴν ἐπανέρχεται, καὶ τῇ μητρὶ περιπλακεὶς καὶ ἀποδυρόμενός τε καὶ αἰτιώμενος αὐτήν, ἀνέμενε τὸν φονεύσοντα.

6. Ὁ δὲ Μαξιμῖνος ὑπὸ πάντων Σεβαστὸς προσαγορευθείς, πέμπει τινὰς τοὺς φονεύσοντας τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, καὶ εἴ τινες ἀνθίσταντο τῶν σὺν αὐτῷ. Οἱ δὲ ἐπιπηδήσαντες τῇ σκηνῇ, αὐτόν τε ἀναιροῦσι καὶ τὴν μητέρα, καὶ εἴ τινες ἐδόκουν ἐκείνῳ φίλοι, πλὴν τῶν πρὸς ὀλίγον φυγεῖν δυνηθέντων· πάντας γὰρ ὁ Μαξιμῖνος μετ' οὐ πολὺ συλλαβὼν ἀπέκτεινεν. Τέλος μὲν δὴ τοιοῦτο κατέλαβε τὸν Ἀλέξανδρον καὶ τὴν μητέρα, βασιλεύσαντα ἔτεσι ιδ', ὅσον πρὸς τοὺς ἀρχομένους, ἀμέμπτως καὶ ἀναιμωτί· φόνου τε γὰρ καὶ ὠμότητος ἀκρίτων τε ἔργων ἀλλότριος ἐγένετο, εἴς τε τὸ φιλάνθρωπον καὶ εὐεργετικὸν ἐπιρρεπής. Πάνυ γοῦν [ἂν] ἡ Ἀλεξάνδρου βασιλεία εὐδοκίμησεν εἰς τὸ ὁλόκληρον, εἰ μὴ διεβέβλητο αὐτῷ τὰ τῆς μητρὸς εἰς φιλαργυρίαν τε καὶ μικρολογίαν.

142.

ΜΑΞΙΜΙΝΟΣ.

Exc. De virt. p. 830 : Ὅτι Μαξιμῖνος παραλαβὼν τὴν ἀρχήν, πολλὴν τὴν μεταβολὴν ἐποιήσατο, τραχύτατα καὶ μετὰ πολλοῦ φόβου τῇ ἐξουσίᾳ χρώμενος, ἔκ τε ἡμέρου βασιλείας εἰς τυραννίδος ὠμότητα μεταγαγεῖν πάντα ἐπειρᾶτο. Φύσει δὲ ἦν τὸ ἦθος, ὥσπερ καὶ τὸ γένος, βάρβαρος, τό τε φονικὸν πάτριον ἔχων. Εὐθέως οὖν τούς τε φίλους πάντας, οἳ συνῆσαν τῷ Ἀλεξάνδρῳ, σύνεδροί τε ὑπὸ τῆς συγκλήτου ἐπιλεχθέντες, ἀπεσκευάσατο, μόνος εἶναι βουλόμενος ἐν τῷ στρατῷ, καὶ μηδένα αὐτῷ παρεῖναι ἐκ συνειδήσεως εὐγενοῦς [κρείττονα]. Πλείστους δὲ αὐτῶν καὶ ἀπέκτεινεν ἐπιβουλὰς ὑποπτεύων. Τόν τε γὰρ Μάγνον καὶ τοὺς σὺν αὐτῷ διὰ τὴν πρὸς Γερμανοὺς νομισθεῖσαν προδοσίαν ἀνεῖλεν. Εἴχετο γὰρ τῆς πρὸς αὐτοὺς μάχης.

143.

Exc. De ins. p. 49 : Ὅτι ἐπὶ Μαξιμίνου τοῦ βασιλέως ἐγένετό τις καὶ Ὀσροηνῶν ἀπόστασις, οἳ πάνυ ἀλγοῦντες ἐπὶ τῇ Ἀλεξάνδρου τελευτῇ, τινὶ Κουαρτίνῳ, τὴν ὕπατον ἀρχὴν διανύσαντι, φίλῳ δὲ γενομένῳ τοῦ Ἀλεξάνδρου, πορφυρίδα τε ὀλεθρίαν περιέβαλον ἄκοντι, καὶ αὐτοκράτορα ὠνόμασαν. Ἐκεῖνος μὲν οὖν ἐν τῇ σκηνῇ καθεύδων ἐπιβουλευθεὶς νύκτωρ ἀνῃρέθη ὑπό του συνοντος αὐτῷ φίλου πρὸς χάριν τοῦ Μαξιμίνου.

144.

Exc. De virt. p. 833 : Ὅτι καὶ ἀποστάσεις ἐγίνοντο ἐπὶ Μαξιμίνου. Ἔτι γὰρ εἰς τραχύτητα μᾶλλον καὶ ὠμότητα ἠκόνησαν τὴν τοῦ Μαξιμίνου ψυχήν, καὶ πρότερον οὕτω πεφυκυῖαν. Ἦν δὲ καὶ τὴν ὄψιν φοβερώτατος καὶ μέγιστος τὸ σῶμα.

145.

Ibid. p. 833 : Ὅτι ἐπὶ Μαξιμίνου πολλή τις ἦν περὶ τοὺς ὑπηκόους ἀπανθρωπία καὶ φόνοι πολλοί. Ἀνεσείσθη γὰρ πᾶσα ἡ Ῥωμαίων πολιτεία συκοφάνταις τε καὶ δούλοις ἐκδοθεῖσα. Ἑκάστης γοῦν ἡμέρας ἦν ἰδεῖν τοὺς χθὲς πλουσίους μεταιτοῦντας. Τοσαύτη τις ἦν τῆς τυραννίδος ἡ φιλοχρηματία. Πολλοὶ δὲ καὶ φυγαῖς καὶ θανάτοις ἐζημιοῦντο. (Καὶ) ἐφ' ὅσον μὲν οὖν εἰς τοὺς καθ' ἕνα ταῦτα ἐπράττετο, οὐ πάνυ τι τοῖς δήμοις ἔμελε· τὰ γὰρ τῶν εὐδαιμονεῖν δοκούντων ἢ πλουσίων πταίσματα πρὸς τῶν ὄχλων οὐ μόνον ἀμελεῖται, ἀλλά τινας τῶν κακοήθων καὶ φαύλων ἔσθ' ὅτε καὶ εὐφραίνει τῷ φθόνῳ. Ἐπεὶ δὲ ὁ Μαξιμῖνος τοὺς πλείστους τῶν ἐνδόξων οἴκων εἰς πενίαν περιστήσας, ᾠήθη μετελθεῖν εἰς τὰ δημόσια, καὶ εἴ τινα χρήματα ἦν πολιτικὰ καὶ εἰς εὐθηνίας ἢ νομὰς τῶν δημοτῶν ἠθροισμένα, εἰς ἑαυτὸν μετήγαγε, ναῶν τε ἀναθήματα καὶ ἀγάλματα πόλεων, καὶ εἴ τι καλλώπισμα ἦν, ἐχωνεύετο (ὅπερ μά-

— § 4. Παπιανὸς... νομοθέτης] Hæc non sunt ap. Herodianum. E margine irrepserint. — § 5. προὐκαλοῦντο] Her., προσεκ. cod. — δειλὸν] μικρὸν Her. — φονεύσοντα] Her., φονεύσαντα cod. — § 6. πρὸς ὀλίγον] Her., προσολίγων cod. — πάντας γὰρ] οὓς πάντας Her.

Fr. 142. Eadem Suidas v. Μαξιμῖνος. Vide Herodian. VII, 1, 1-20. — μηδένα αὐτῷ] Herod.; μηδὲν αὐτῷ cod. et Suidas. Mox κρείττονα ex Herodiano supplevi. — τόν τε γὰρ Μάγνον κτλ.] Hæc om. Suidas.

Fr. 143. V. Herodian. VII, 1, 21. — Κουαρτίνῳ] Herod., Κουαρτίωνι codex.

Fr. 144. V. Herodian. VII, 1, 25, qui postquam de Quartino verba fecit, subjicit : Τοιαῦται μὲν δή τινες αἰτίαι ἔτι μᾶλλον εἰς τραχύτητα καὶ ὠμότητα κτλ., ut ap. Nostrum.

Fr. 145. V. Herodian. VII, 3, 1-17. — Καὶ ἐφ' ὅσον] Ἐς ὅσον Her. — εὐδαιμονεῖν] Her., εὐδοκιμεῖν cod. — ἀγάλματα πόλεων] θεῶν ἀγ. Her. Fort. : καὶ εἴ τι πόλεων κ.

λιστα τοὺς δήμους ἐλύπει, πένθος τε δημόσιον ἐνεποίει, δίχα μάχης ὄψις πολιορκίας, ὥς τινας τῶν δημοτῶν καὶ εἰς χεῖρας ἐλθεῖν)· ἐντεῦθεν μάλιστα αἱ ψυχαὶ τῶν ἁπάντων ἀπηρέσκοντο, οἵ τε στρατιῶται ὠνειδίζοντο, ὡς δὴ δι' αὐτοὺς ταῦτα πράττοντος Μαξιμίνου. Αἰτίαι μὲν οὖν αὗται εἰς μῖσος καὶ ἀπόστασιν ἅπαντας παρώξυνον.

146.

Exc. De ins. p. 50 : Ὅτι διὰ τὴν τραχύτητα καὶ ὠμότητα τοῦ Μαξιμίνου εἰς μῖσος καὶ ἀπόστασιν πάντες παρωξύνοντο, ἄρξασθαι δὲ οὐδεὶς ἐτόλμα, ἄχρις οὗ Λίβυες ἐπανέστησαν, ἐξ αἰτίας τοιᾶσδε. Ἐπετρόπευέ τις τῆς Καρχηδονίας χώρας τραχύτατα καὶ μετὰ πάσης ὠμότητος, καταδίκας τε ποιῶν καὶ χρημάτων εἰσπράξεις, βουλόμενος εὐδοκιμεῖν παρὰ τῷ Μαξιμίνῳ. Ἐκεῖνός (τε) γὰρ τοὺς ἁρμόζοντας τῇ αὐτοῦ γνώμῃ ἐπελέγετο. Διὸ τῆς Λιβύης ἄρχων πᾶσιν μὲν βιαίως ἐπεφέρετο, νεανίσκους δέ τινας τῶν παρ' ἐκείνοις εὖ γεγονότων [καὶ] πλουσίων, καταδίκαις περιβαλών, εἰσπράττειν [τὰ] χρήματα εὐθέως ἐπειρᾶτο, πατρῴων τε καὶ προγονικῶν οὐσιῶν αὐτοὺς ἀναιρεῖσθαι. Ἐφ' οἷς ἀλγήσαντες οὗτοι, τὰ μὲν χρήματα δώσειν ὑπέσχοντο, τριῶν ἡμερῶν αἰτήσαντες ἀνάθεσιν· συνωμοσίαν δὲ ποιησάμενοι, πάντας οὓς ᾔδεισαν ἢ πεπονθότας τι δεινὸν ἢ παθεῖν δεδοικότας, πείσαντες, κελεύουσι νύκτωρ κατελθεῖν τοὺς ἐκ τῶν ἀγρῶν νεανίσκους, ξύλα τε καὶ πελέκεις ἐπιφέρεσθαι. Οἱ δὲ μέγα τι πλῆθος συνελθόντες, ἅμα τῷ περιόρθριον γενέσθαι εἰς τοὺς τῶν δεσποτῶν οἴκους ἀπαντῶσι, καὶ σὺν αὐτοῖς πάντες ὁρμῶσι ξιφήρεις· καὶ πρότερον μὲν τὸν ἐπίτροπον αἰφνιδίως ἀναιροῦσι, καὶ πολλοὺς τῶν περὶ αὐτὸν στρατιωτῶν· ἔπειτα καὶ τὸν τῆς χώρας ἡγούμενον.

2. Ὡς δὲ ταῦτα αὐτοῖς προεχώρησεν, ἐν ἔργοις μείζοσιν ᾔδεσαν [μόνην ἑαυτοῖς σωτηρίαν ὑπάρχουσαν]· πᾶν τε τὸ ἔθνος ἀναπείσαντες εἰς ἀπόστασιν (ὅπερ ᾔδεσαν πάλαι μὲν εὔχεσθαι μίσει Μαξιμίνου, φόβῳ δὲ κωλύεσθαι), μεσαζούσης ἡμέρας [ἐπίασιν] ἐπὶ τὴν τοῦ ἀνθυπατεύοντος οἰκίαν· Γορδιανὸς δὲ ἦν ὄνομα, κλήρῳ μὲν τὴν ἀνθύπατον λαχών, πρεσβύτης δὲ εἰς ἔτος π' ἐληλακώς, πολλῶν τε πρότερον [ἄρξας ἐθνῶν, ἔν τε πράξεσι μεγίσταις ἐξετασθείς].

3. *** πράξεις ὑπατικάς (Σαβῖνος δὲ ἦν ὄνομα αὐτῷ), βουλόμενον κωλῦσαι τὰ γινόμενα, ξύλῳ παισθέντα κατὰ τοῦ κρανίου τελευτῆσαι. Καὶ ὁ μὲν δῆμος ἐν τούτοις ἦν. Ἡ δὲ σύγκλητος ἅπαξ ἀναρριφθέντος κινδύνου, πάντα ἔπραττεν εἰς τὸ ἀποστῆσαι τὰ ἔθνη, πρεσβείαν πρὸς πάντας ἡγουμένους πέμπουσα, καὶ τὴν Ῥωμαίων γνώμην δηλοῦσα, δεομένη τε συναίρεσθαι τῇ πατρίδι. Οἱ πλεῖστοι μὲν οὖν προσήκαντο τὴν πρεσβείαν· ὀλίγοι δέ τινες διεχρήσαντο τοὺς ἐλθόντας.

4. Καὶ τὰ μὲν κατὰ τὴν Ῥωμαίων πόλιν τε καὶ γνώμην τοιαῦτα ἦν. Ἐν δὲ τῇ Καρχηδόνι οὐχ ὡς ἤλπισαν τὰ πράγματα προυχώρει. Καπελλιανὸς γὰρ ἦν τις ὄνομα τῶν ἀπὸ συγκλήτου· ἡγεῖτο δὲ Μαυρουσίων τῶν ὑπὸ Ῥωμαίοις Νομάδων, ἔχων καὶ στρατιωτῶν οὐκ εὐκαταφρόνητον δύναμιν. Τοῦτον ὁ Γορδιανὸς τῆς ἀρχῆς παραλύσας, τοῦ ἔθνους ἐξελθεῖν ἐκέλευσεν. Ὁ δὲ τὸν στρατὸν ἀθροίσας, κατῆλθεν ἐπὶ τὴν Καρχηδόνα. Ὡς δὲ ἀπηγγέλθη τῷ Γορδιανῷ ὁ στρατὸς προσιὼν τῇ πόλει, αὐτός τε ἐν ἐσχάτῳ δέει ἦν, οἵ τε Καρχηδόνιοι ταραχθέντες, οἰόμενοί τε ἐν πλήθει ὄχλου, οὐκ ἐν εὐταξίᾳ στρατοῦ, νικᾶν, πανδημεὶ πάντες ἐξίασιν.

5. Ὁ Γορδιανὸς μὲν οὖν ὁ πρεσβύτης ἅμα τῷ τῆς Καρχηδόνος ἐπιβῆναι ἐν ἀπογνώσει γενόμενος, ἐννοῶν τὴν δύναμιν Μαξιμίνου, οὐδὲν δὲ ὁρῶν ἐν Λιβύῃ ἀξιόμαχον, ἀνήρτησεν ἑαυτὸν βρόχῳ. Κρυπτομένης [δὲ] αὐτοῦ τῆς τελευτῆς, τὸν υἱὸν αὐτοῦ στρατηγήσοντα τοῦ πλήθους εἵλοντο. Γενομένης δὲ συμβολῆς, ἅπαντες οἱ Καρχηδόνιοι διεφθάρησαν· οὐχ ὑπομείναντες γὰρ τὴν ἔφοδον τῶν βαρβάρων, ἀλλὰ πάντα ἃ ἐπεφέροντο ὅπλα ῥίψαντες ἔφυγον· ὠθούμενοι δὲ ὑπ' ἀλλήλων οἱ πλείους ἀπώλοντο. Ἔνθα καὶ ὁ τοῦ Γορδιανοῦ υἱὸς ἀνῃρέθη, καὶ οἱ περὶ αὐτὸν πάντες, ὡς διὰ πλῆθος πτωμάτων μηδὲ τοὺς νεκροὺς ταφῆναι μηδὲ τοῦ Γορδιανοῦ τοῦ νέου εὑρεθῆναι σῶμα. Πολλὴ δὲ οἰμωγὴ κατὰ τὴν πόλιν γυναικῶν τε καὶ παίδων ἐγένετο. Τοιούτῳ μὲν δὴ τέλει ὁ Γορδιανὸς ἐχρήσατο, βιώσας τὰ πρῶτα εὐδαιμόνως, ἐν εἰκόνι τε βασιλείας τελευτήσας.

6. Ὁ δὲ Καπελλιανὸς εἰς Καρχηδόνα εἰσελθών, πάντας τε τοὺς πρωτεύοντας ἀπέκτεινεν, καὶ εἴ τινες διεσώθησαν ἐκ τῆς μάχης, ἐφείδετο οὐδενός, οὔτε ἱερῶν συλήσεως, οὔτε χρημάτων ἁρπαγῆς· ἀλλὰ καὶ τὰς λοιπὰς περιῄει πόλεις τοιαῦτα δρῶν. Ὡς δὲ ἐς τὴν Ῥώμην ἐδηλώθη ἡ τοῦ πρεσβύτου τελευτή, ἐν πολλῇ ἀφασίᾳ ἐγένοντο. Ἔδοξεν οὖν αὐτοῖς συνελθεῖν καὶ περὶ τῶν πρακτέων σκέψασθαι, καὶ προστησαμένους ἐπιλέξασθαι βασιλέα. Συνῆλθον [οὖν] εἰς τὸ Καπιτώλιον, καὶ ψηφίζονται βασιλεῖς Μάξιμόν τε καὶ Βαλβῖνον, εὐθέως τε αὐτοκράτορας ὀνομάζουσιν.

7. Ὁ δὲ Μαξιμῖνος ἥσθη μὲν ἐπὶ τῇ τῶν Ἰταλιωτῶν εὐθὺς φυγῇ, ἐλπίζων πάντας τοῦτο ποιήσειν· ὁ δὲ στρατὸς ἤχθετο, ἐν ἀρχῇ λιμοῦ πειρώμενος. Διανυκτερεύ-

— καὶ εἰς χεῖρας ἐλθεῖν] male; καὶ χεῖρας ἀνατείνειν καὶ τοὺς νεὼς φρουρεῖν Herod.

Fr. 146. V. Herodian. VII, 4, 1 usque ad finem operis. — ἐπετρόπευέ τις] Her., ἐπιτροπεύεται cod. — ἐκεῖνός τε γὰρ] τε bene habet ap. Herodianum; male in Excerpto nostro. — νεανίσκους] Her., νεανίους cod. — ἔπειτα καὶ τὸν τῆς χώρας ἡγούμενον] i. e Gordianum. Sed eum tunc non interfecerunt, ut ex seqq. patet. De suo hæc excerptor adjecit. — § 2. ἐν ἔργοις] ἐνέργοις cod. Dein codex : μ. ἴδοσαν, quod ex Herod. in ᾔδεσαν mutavi adjecto supplemento. — πολλῶν δὲ πρότερον] sententiam explevi ex Herodian. VII, 5, 3. Deinde lacunæ signum posui. Etenim quæ continuo sequuntur in codice verba πράξεις πρότερον, Σαβῖνος δὲ κτλ., ea leguntur in Herodian. VII, 7, 8. Folium codicis ejus ex quo noster codex descriptus est, excidisse videtur. — § 4. Καπελλιανὸς] Herodian. VII, 9, 1; Καπελιανὸς cod. — νικᾶν] deb. cum Herodiano : τὸ εὔελπι τῆς νίκης εἶναι. — § 6. καὶ εἴ τινες] καὶ οἵτινες cod. εἴ τινες καὶ... ἐφείδετό τε οὔτε ἱερῶν κτλ. Herod. — § 7. διανυκτερεύοντες cod.

σαντες οὖν [οἱ μὲν ἐν τῇ πόλει, οἱ δ' ἐν τῷ πεδίῳ] ἐπὶ τὰς Ἄλπεις ἤγοντο, ὄρη ὑψηλά. Ὡς δὲ ταύτας διέβησαν ἀκωλύτως, καταβαίνοντες εἰς τὸ πεδίον, ἤδη ἀνεθάρρησάν τε καὶ ἐπαιάνισαν. Ἔνθα ἦν πόλις Ἀκυληΐα· πρὸς ἣν καταχθεὶς ὁ Μαξιμῖνος εὗρε μὲν τὰς πύλας κεκλεισμένας, τὸν δὲ στρατὸν ἤδη ἀπαγορεύειν καὶ ἀναχωρεῖν βουλόμενον τῆς πολιορκίας, βαλλόμενον λίθοις τε καὶ δόρασιν. Ὁ δὲ Μαξιμῖνος ἀγανακτήσας πρὸς τοὺς στρατηγοὺς, ὡς ἀμελέστερον μαχομένους, αὐτὸς τῆς μάχης εἴχετο.

8. Οἱ δὲ ἀπὸ τῆς Ἀκυληΐας πανδημεὶ ἐπὶ τῶν τειχῶν νύκτωρ καὶ μεθ' ἡμέραν ἀπεμάχοντο. Ἐστρατήγουν δὲ αὐτῶν καὶ πάντα διὰ φροντίδος εἶχον ἄνδρες β' ἀπὸ ὑπατείας, ἐπιλεχθέντες δὲ ὑπὸ τῆς συγκλήτου· ὧν ὁ μὲν Κρισπῖνος, ὁ δὲ Μηνόφιλος ἐκαλεῖτο· καὶ μετὰ πολλῆς προνοίας τὰ ἐπιτήδεια εἰσεκομίσαντο. Ἦν δὲ καὶ ὕδατος ἀφθονία. Τῷ δὲ Μαξιμίνῳ ἔδοξε πέμπειν ἐν σχήματι πρεσβείας τοὺς κάτωθεν διαλεξομένους, εἰ ἄρα πείσειαν αὐτοὺς ἀνοῖξαι τὰς πύλας. Ὁ δὲ Κρισπῖνος περιέθεε, δεόμενος μὴ πείθεσθαι ὑποσχέσεσι τυράννου ἐπιόρκου, ἀλλὰ πρὸς τὴν Ῥωμαίων σύγκλητον εὔνοιαν φυλάττειν· πολλῶν δὲ καὶ χρησμῶν αὐτοῖς καὶ μαντείων αἰσίων γενομένων, ἔπεισεν αὐτοὺς ἀποδιῶξαι τοὺς πρέσβεις.

9. Ὁ δὲ Μαξιμῖνος ταῦτα μαθὼν πλείονι τῷ θυμῷ ἐχρήσατο, καὶ γεφυρώσας τὸν παραρρέοντα ποταμὸν, προσήγγισε τῷ τείχει, καὶ τειχομαχεῖν ἤρξατο παντὶ σθένει. Πολλῶν δὲ σχεδὸν ἑκάστης ἡμέρας γενομένων προσβολῶν, καὶ παντὸς τοῦ στρατοῦ ὥσπερ σαγηνεύοντος τὴν πόλιν, μετὰ πολλῆς βίας καὶ προθύμου μάχης ἀντεῖχον οἱ Ἀκυλήσιοι πανδημεὶ ἅμα γυναιξὶ καὶ παισὶν, οὐδέ τις ἦν, ὃς μὴ μετεῖχε τῶν ὑπὲρ πατρίδος πόνων· οὐδὲ ᾤετο Μαξιμῖνος ἄλλως αὐτῷ τὴν ἐπὶ Ῥώμην ὁδὸν ἔσεσθαι εὐπρεπῆ, εἰ μὴ πρότερον τὴν ἀντιστᾶσαν τῆς Ἰταλίας πόλιν καθέλῃ. Ὑποσχέσεσί τε οὖν καὶ δωρεαῖς αὐτός τε καὶ ὁ παῖς αὐτοῦ, ὃν πεποιήκει Καίσαρα, περιθέοντες τὸν στρατὸν ἀνέπειθον.

10. Οἱ δὲ Ἀκυλήσιοι λίθοις τε [καὶ] κιρνῶντες θείῳ καὶ ἀσφάλτῳ πίσσαν καὶ ἔλαιον ἔβαλλον τὸν στρατόν· πυρώσαντες γὰρ ταῦτα, ὄμβρου δίκην κατεχώννυον, ὥστε γυμνοῦσθαι αὐτοὺς τῶν ὅπλων καιομένους, καὶ διαφθείρεσθαι τά τε πρόσωπα καὶ τὰς χεῖρας ἀκρωτηριαζομένους· ἀλλὰ μὴν καὶ τὰς προσαγομένας μηχανὰς ταύτῃ τῇ σοφίᾳ κατέκαιον. Τῶν μὲν οὖν πρώτων ἡμερῶν ἀντίπαλός πως καὶ ἰσόρροπος ἔμενεν ἡ τύχη τῆς μάχης· χρόνου δὲ γενομένου, ὅ τε στρατὸς τοῦ Μαξιμίνου ὀκνηρὸς ἐγένετο, καὶ πταίων τῆς ἐλπίδος ἀθύμως διέκειτο· οἱ δὲ Ἀκυλήσιοι ἐρρώννυντό τε καὶ τῶν στρατιωτῶν κατεφρόνουν, ὥστε καὶ σκώπτειν τὸν Μαξιμῖνον, καὶ ὕβρεις αἰσχρὰς [εἰς] αὐτὸν ἀπορρίπτειν· ἐφ' αἷς ἐκεῖνος κινούμενος τοὺς ἰδίους ἐκόλαζεν, ὡς ῥαθύμως καὶ ἀνάνδρως προσφερομένους τῇ πολιορκίᾳ· ὅθεν αὐτῷ περιεγένετο πρὸς μὲν τῶν οἰκείων μῖσός τε καὶ ὀργὴ, πρὸς δὲ τῶν ἀντιπάλων καταφρόνησις.

11. Συνέβαινε δὲ τοῖς Ἀκυλησίοις πολλὴν ὑπάρχειν τῶν ἐπιτηδείων ἀφθονίαν, πάντων ἐν τῇ πόλει σεσωρευμένων· ὁ δὲ στρατὸς τοὐναντίον ἐν σπάνει πάντων ὑπῆρχεν, ὑπὸ σκηναῖς τε αὐτοσχεδίοις καὶ γυμνῷ τῷ ἀέρι διατρίβων. Οἱ γὰρ Ῥωμαῖοι πάντα προκατέλαβον, ὑπατικοὺς ἄνδρας προχειρισάμενοι τῆς κατὰ τὴν Ἰταλίαν φρουρᾶς. Συνέβαινε δὲ καὶ τὸν στρατὸν δοκοῦντα πολιορκεῖν, αὐτὸν πολιορκεῖσθαι· ὅθεν ἐν ἀπογνώσει γενόμενοι οἱ στρατιῶται, τά τε κατὰ τὴν Ῥώμην καὶ πᾶσαν τὴν Ἰταλίαν πυθόμενοι, αἰφνιδίως, ἀναπαυομένου τοῦ Μαξιμίνου ἐν τῇ σκηνῇ, καὶ τῆς ἡμέρας ἐκείνης ἐν ἀνέσει τοῦ πολέμου οὔσης, τῶν τε πλείστων εἰς τὰς σκηνὰς ἀνακεχωρηκότων, ἔδοξε τοῖς στρατιώταις, οἳ πρὸς τῇ Ῥωμαίων πόλει στρατόπεδον εἶχον ὑπὸ τὸ καλούμενον Ἀλβανὸν, ἔνθα παῖδας καὶ γυναῖκας καταλελοίπεσαν, φονεῦσαι τὸν Μαξιμῖνον, ὡς παύσαιντο χρονίου πολιορκίας, μηκέτι [δὲ] πορθοῖεν Ἰταλίαν ὑπὲρ τυράννου κατεγνωσμένου καὶ μεμισημένου. Τολμήσαντες οὖν ἐπίασι τῇ σκηνῇ περὶ μέσην ἡμέραν, συναραμένων αὐτοῖς καὶ τῶν δορυφόρων, τάς τε εἰκόνας ἐκ τῶν σημείων κατασπῶσι, καὶ αὐτὸν σὺν τῷ παιδὶ ἀναιροῦσι. Φονεύουσι δὲ καὶ τὸν ἔπαρχοντα τοῦ στρατοῦ, πάντας τε ἀναιροῦσι τοὺς ἐκείνῳ θυμήρεις· ῥίψαντές τε τὰ σώματα τοῖς βουλομένοις ἐνυβρίζειν, [εἴασαν κυσί τε καὶ ὄρνισι βοράν]· τούτων δὲ τὰς κεφαλὰς ἐς Ῥώμην ἔπεμψαν. Τοιούτῳ μὲν δὴ τέλει Μαξιμῖνος καὶ ὁ παῖς αὐτοῦ ἐχρήσαντο, βασιλεύσαντες ἔτη γ', δίκας πονηρᾶς ἀρχῆς ὑποσχόντες.

ΜΑΞΙΜΟΣ ΚΑΙ ΒΑΛΒΙΝΟΣ.

12. Ὁ δὲ στρατὸς ὡς ἐπύθετο τὰ γενόμενα, πρὸς τὴν Ἀκυληΐαν παραγενόμενος ἐν εἰρηνικῷ σχήματι, ἐντὸς μὲν τῶν τειχῶν οὐχ ὑπεδέχθη, τοὺς δὲ ὑπὸ τῆς συγκλήτου ἀναδειχθέντας αὐτοκράτορας εὐφήμει· οὕτω τε ἔμεινεν παρὰ τὰ τείχη, κομιζόμενος τὰ χρειώδη παρὰ τῶν ἔνδον. Οἱ δὲ ἱππεῖς οἱ τὴν Μαξιμίνου κεφαλὴν κομίζοντες, μεταξὺ Ἀλτίνου τε καὶ Ῥαβέννης περιέτυχον Μαξίμῳ αὐτοκράτορι, διατρίβοντι ἐν Ῥαβέννῃ, ἔνθα τούς τε ἀπὸ Ῥώμης ἐπιλέκτους καὶ τοὺς ἀπὸ Ἰταλίας λογάδας ἤθροιζεν· ἀφῖκτο δὲ αὐτῷ καὶ συμμάχων πλῆθος. Παρασκευάζοντι δὲ αὐτῷ τὰς δυνάμεις προσίασιν [οἱ] τὴν κεφαλὴν Μαξιμίνου φέροντες καὶ τοῦ παιδός· εὐθέως τε Μάξιμος πέμπει τοὺς ἱππεῖς ἐς τὴν Ῥώμην, ἀγγέλλοντας τὰ πραχθέντα τῷ δήμῳ, καὶ τὴν κεφαλὴν κομίζοντας τοῦ πολεμίου ἀνεσκολοπισμένην, ὡς πᾶσι περίοπτος εἴη. Καὶ οὐδὲν εἰπεῖν ἔστιν λόγῳ ἐκείνης τῆς ἡμέρας τὴν ἑορτήν. Οὐδὲ γὰρ ἡλικία τις ἦν ἣ μὴ πρὸς τοὺς βωμούς τε καὶ τὰ ἱερὰ ἠπείγετο· [οὔτε τις ἔμενεν οἴκοι, ἀλλ' ὥσπερ ἐνθουσιῶντες ἐφέροντο,]

— ἐπαιώνησαν cod. — § 10. πίσσαν καὶ ἔλαιον] καὶ πίσσῃ καὶ ἐλαίῳ cod. Herodian. VIII, 4, 26 : οἱ δὲ Ἀκυλήσιοι λίθοις τε ἔβαλλον ἄνωθεν, καὶ κιρνῶντες θείῳ καὶ ἀσφάλτῳ πίσσαν ἐλόντες (l. ἔλαιόν τε)... κατεσκεδάννυσαν.

συνηδόμενοί τε ἀλλήλοις καὶ ἐς τὸν ἱππόδρομον συνθέοντες [ὥσπερ ἐκκλησιάζοντες χωρίῳ. Ὁ δὲ Βαλβῖνος] καὶ αὐτὸς ἑκατόμβας ἔθυεν· ἀρχαί τε πᾶσαι καὶ ἡ σύγκλητος, ἕκαστός τε ὥσπερ ἀποσεισάμενος πέλεκυν τοῖς αὐχέσιν ἐπικείμενον, ὑπερευφραίνετο, εἰς τε τὰ ἔθνη ἄγγελοι καὶ κήρυκες διεπέμποντο. Καὶ ὁ Μάξιμος ἐπιστὰς τῇ Ἀκυληΐᾳ, ὑπεδέχθη μεγαλοφρόνως, πρεσβείας τε ἐκ πάσης τῆς Ἰταλίας δεχόμενος, εἰκόνας τε καὶ ἀγάλματα καὶ στεφάνους. Καὶ αὐτὸς δὲ ὁ στρατὸς ὁ τὴν Ἀκυληΐαν πορθήσας προῄει ἐν εἰρηνικῷ σχήματι δαφνηφορῶν ἀνάγκῃ· ἠγανάκτουν γὰρ ὁρῶντες τὸν μὲν ὑπ' αὐτῶν ἐπιλεχθέντα βασιλεύειν καθῃρημένον, κρατοῦντας δὲ τοὺς ὑπὸ τῆς συγκλήτου ᾑρημένους.

13. Ὁ δὲ Μάξιμος, συγκαλέσας πάντας, βασιλικῶς ἀπεφήνατο, ἀμνηστίαν τε πάντων ὑποσχόμενος καὶ χρημάτων πολλῶν διανομάς· ὀλίγων τε ἡμερῶν διατρίψας, τὴν εἰς τὴν Ῥώμην ἐπάνοδον συνεκρότει. Καὶ τὸ μὲν ἄλλο στρατιωτικὸν ἀπέπεμψεν εἰς τὰ ἔθνη καὶ εἰς τὰ οἰκεῖα στρατόπεδα, αὐτὸς δὲ ἐπανῆλθεν εἰς τὴν Ῥώμην σὺν τοῖς δορυφόροις καὶ τοῖς ὑπὸ Βαλβίνῳ στρατευομένοις. Ἐπανῆλθον δὲ καὶ οἱ ἀπὸ Γερμανίας ἐληλυθότες σύμμαχοι· ἐθάρρει γὰρ αὐτῶν τῇ εὐνοίᾳ, ὡς καὶ τοῦ ἔθνους ἐπιεικῶς πρότερον ἄρξας, ὅτε ἰδιώτευεν. Εἰσιόντι δὲ αὐτῷ εἰς τὴν Ῥώμην ὅ τε Βαλβῖνος ὑπήντετο, ἐπαγόμενος Γορδιανὸν Καίσαρα, ἥ τε σύγκλητος καὶ ὁ δῆμος εὐφημοῦντες ὥσπερ θριαμβεύοντα ὑπεδέχοντο· ἔχαιρέ τε ὁ δῆμος αὐτοῖς, σεμνυνόμενος εὐπατρίδαις καὶ ἀξίοις τῆς βασιλείας.

14. Οἱ δὲ στρατιῶται διοίδαινον τὰς ψυχὰς ἐβαροῦντό [τε] αὐτῶν αὐτὴν τὴν εὐγένειαν, καὶ ἠγανάκτουν ὅτι ἄρα ἔχοιεν ἐκ συγκλήτου βουλῆς βασιλέας. Ἐλύπουν δὲ αὐτοὺς καὶ οἱ Γερμανοὶ παρόντες· ἀντιπάλους γὰρ ἤλπιζον ἔχειν· τό τε Σεβήρου ὑπόδειγμα αὐτοὺς ἐτάραττεν, ὃς τοὺς Περτίνακα ἀποκτείναντας ἀπέσωζεν. Ἐπιτελουμένου δὲ ἀγῶνος τοῦ τῶν Καπιτωλίων, πάντων τε περὶ τὴν πανήγυριν ἀσχολουμένων, αἰφνιδίως ἣν εἶχον γνώμην λανθάνουσαν ἐξέφηναν, καὶ τοῦ θυμοῦ μὴ κρατήσαντες ἀνῆλθον ὁμοθυμαδὸν εἰς τὰ βασίλεια, καὶ τοῖς πρεσβύταις βασιλεῦσιν ἐπεισῆλθον. Συνέβαινε δὲ κἀκείνους μὴ πάνυ τι ἀλλήλοις ὁμονοεῖν, οἷάπερ ἡ μοναρχίας ἐπιθυμία εἴωθε ποιεῖν· ὅπερ αὐτοῖς γέγονεν ἀπωλείας αἴτιον. Ὡς γὰρ ἐπύθετο ὁ Μάξιμος ἀφικνεῖσθαι τοὺς πραιτωριανοὺς καλουμένους, ἐβούλετο μεταπέμψασθαι τοὺς Γερμανοὺς συμμάχους. Ὁ δὲ Βαλβῖνος οἰόμενος δόλον τινὰ εἶναι κατ' αὐτοῦ καὶ σόφισμα (ᾔδει γὰρ τοὺς Γερμανοὺς τῷ Μαξίμῳ εὐνοοῦντας), ἐκώλυε, φάσκων οὐ διὰ τοὺς πραιτωριανοὺς αὐτοὺς ἀφίξεσθαι, ἀλλ' εἰς τὸ περιποιῆσαι τῷ Μαξίμῳ τὴν μοναρχίαν. Ἐν ᾧ δὴ περὶ τούτων διεφέροντο, εἰσδραμόντες οἱ στρατιῶται, ἐκστάντων αὐτοῖς τῶν πυλωρῶν, ἁρπάζουσι τοὺς πρεσβύτας· περιρρήξαντες δὲ ἃς εἶχον ἐσθῆτας, γυμνοὺς τῆς βασιλείου αὐλῆς ἐξάγουσιν μετὰ πάσης αἰσχύνης καὶ ὕβρεως, παίοντες καὶ ἀποσκώπτοντες, γενείων τε καὶ ὀφρύων σπαραγμοῖς [καὶ πάσαις ταῖς τοῦ σώματος λώβαις ἐμπαροινοῦντες. Ἐπεὶ δὲ ταῦτα πυθόμενοι] οἱ Γερμανοὶ ὅπλα ἐλάμβανον ὡς ἀμυνοῦντες αὐτοῖς, μαθόντες οἱ πραιτωριανοὶ ἀφικνουμένους αὐτούς, [φονεύουσιν] ἤδη πᾶν τὸ σῶμα λελωβημένους τοὺς βασιλέας, [καὶ] ἐπὶ τῆς λεωφόρου ἀπέρριψαν· ἀράμενοί τε τὸν Γορδιανὸν αὐτοκράτορα ἀναγορεύουσιν, ἐπειδὴ πρὸς τὸ παρὸν ἄλλον οὐχ εὗρον· βοῶντές τε πρὸς τὸν δῆμον, ὅτι ἄρα εἴησαν ἀποκτείναντες, οὓς ὁ δῆμος ἐν ἀρχῇ οὐκ ἐβούλετο ἄρξαι, Γορδιανόν τε ἐπελέξαντο, ἐκείνου τε ἀπόγονον, καὶ ὃν αὐτοὶ Ῥωμαῖοι ἐξεβιάσαντο· ἔχοντές τε αὐτὸν ἀπῆλθον εἰς τὸ στρατόπεδον, καὶ κλείσαντες τὰς θύρας ἡσύχαζον. Οἱ δὲ Γερμανοὶ μαθόντες ἀνῃρημένους καὶ ἐρριμμένους, ὧν χάριν ἠπείγοντο, οὐχ ἑλόμενοι πόλεμον μάταιον ὑπὲρ ἀνδρῶν τεθνηκότων, ἐπανῆλθον ἐς τὸ αὐτῶν καταγώγιον. Τέλει μὲν δὴ τοιούτῳ ἐχρήσαντο οἱ προειρημένοι πρεσβῦται.

147.

ΓΟΡΔΙΑΝΟΣ.

Ibid. p. 56 : Ὅτι ἐπειδὴ καὶ Γορδιανὸν ἔμελλε τὸ κοινὸν τοῦ βίου καταλαβεῖν τέλος, ὁ τῆς Συρίας ἡγούμενος ἐπιστέλλει τὸν Περσῶν βασιλέα τοὺς ἰδίους ὅρους ὑπερβάντα τὴν τῶν Ῥωμαίων γῆν κατατρέχειν, καὶ δεῖσθαι τῆς αὐτοῦ παρουσίας τὸν πόλεμον. Ταῦτα Γορδιανὸς ὁ νέος πυθόμενος, λίαν τε ἐν ἀθυμίᾳ γενόμενος, ὅμως ἐπαγγέλλει τὴν ἐπὶ Πέρσας ἔξοδον, καὶ τὰς τοῦ Ἰανοῦ πύλας ἀναπετάσας, αἵπερ ἐπὶ τῶν μεγίστων πολέμων διηνοίγοντο, ᾤχετο πρὸς τὴν ἕω. Καὶ ὡς εἰς τὸν Εὐφράτην ἀφίκετο εἴς τε τὰ τοῦ Τίγρητος στόμια, συμβαλὼν τοῖς βαρβάροις, εὐτυχέστατα τὸν πόλεμον διεχείρισε, μεγάλοις ἀγῶσι τὰς Παρθικὰς δυνάμεις καταβαλών. Ἐκεῖθεν δὲ μετὰ τὸ πέρας ἐπανιών, ἕκτῳ τῆς ἡγεμονίας ἐνιαυτῷ, πρὸς αὐτοῖς ἤδη τοῖς ὅροις τῆς οἰκείας ἀρχῆς, ὑπὸ Φιλίππου, τὴν βασιλείαν διαδεξαμένου, τοῦ κατ' ἐκεῖνο καιροῦ τὴν τῶν στρατιωτῶν νεολαίαν ἀσκοῦντος, ἐδολοφονήθη· καὶ Φίλιππος ἀνηγορεύθη βασιλεύς.

148.

ΦΙΛΙΠΠΟΣ.

Ibid. p. 57 : Ὅτι Φίλιππος βασιλεύσας καὶ τοὺς Σκύθας νικήσας, ἐπὶ τὸ Βυζάντιον ἤλαυνεν. Καὶ ἐλθὼν ἐς Πέρινθον, ὡς ἠγγέλθη αὐτῷ ἐμφυλίους στάσεις συμβῆναι κατὰ τὴν Ῥώμην, ἅστινας Δέκιος ἐποίησεν, ἀπὸ

Fr. 147. διεχείρισεν] διεχείρησεν codex. Joannes, quem inde a Commodi temporibus Historias Herodiani exscripsisse vidimus, nunc redit ad fontem exiliorem. Cf. Eutropius IX, 2 : *Gordianus... Janum geminum aperuit, et ad orientem profectus, Parthis bellum intulit, qui jam moliebantur erumpere. Quod quidem mox feliciter gessit, præliisque ingentibus Persas afflixit. Rediens, haud longe a Romanis finibus, interfectus est fraude Philippi, qui post eum imperavit.* — ἀνηγορεύθη] ἀναγορευθεὶς cod.

ὑπάτων καὶ ἔπαρχος τῆς πόλεως, τοὺς δυναμένους ἐπισχεῖν τὰ πραττόμενα στέλλει, καὶ τὴν Δεκίου προκαταληψομένους ἐπανάστασιν· αὐτός τε σὺν τοῖς παισὶν ἐπακολουθεῖν ἐπηγγείλατο. Ὡς δὲ ἐς τὴν Ῥώμην ἔφθασαν οὓς ἔπεμψε Φίλιππος, δώροις τε καὶ κολακείαις τοῦ δήμου καὶ τῆς βουλῆς ὑπαχθέντες, ἀπαγορεύουσί τε Φιλίππῳ καὶ τὸν Δέκιον αὐτοκράτορα σὺν τοῖς Ῥωμαίοις προσαγορεύουσι. Τούτων ἀγγελθέντων τῷ Φιλίππῳ, κατὰ τὴν Βερόην φεύγοντι** καὶ τοῖς ὑποκολπίοις ξίφεσιν ἀναιροῦσιν, πέμπτον ἐνιαυτὸν προστάντα τῶν πραγμάτων. Ἐν δὲ τῇ Ῥώμῃ τὸν παῖδα τούτου οἱ τῆς πόλεως στρατιῶται διέφθειραν. Καὶ τὰ μὲν κατὰ τούτους τοιοῦτον ἔσχε τέλος.

149.

ΔΕΚΙΟΣ.

Exc. De virt. p. 384 : Ὅτι Δέκιος ὁ Ῥωμαίων βασιλεὺς Φιλίππου διάδοχος βασιλικῷ θεσπίσματι τοὺς τὰ Χριστιανῶν δοξάζοντας ἐθανάτου καὶ τοὺς οὐ θεοὺς προσκυνεῖν θέλοντας ἠνάγκαζε.

150.

ΓΑΛΛΟΣ ΚΑΙ ΒΟΛΟΥΣΙΑΝΟΣ.

Exc. De ins. p. 57 : Ὅτι ἐπὶ Γάλλου καὶ Βουλουσιανοῦ Αἰμιλιανὸς ὁ τῆς Μυσίας ἔπαρχος καινοτομεῖν ἐπεβάλετο, αὑτῷ τε τὴν βασιλείαν ἐκ προγόνων ἁρμόττειν φιλονεικῶν, καὶ τῆς Ῥωμαίων βουλῆς μεγίστας κατηγορίας ποιούμενος· ἐφ' οὗ οἱ τῆς Ῥωμαίων προστατοῦντες ἐξουσίας, μεγίστῳ πλήθει στρατεύσαντες, ὑπὸ τῶν οἰκείων ἐπιβουλευθέντες διεφθάρησαν, οὔπω τρίτον ἐνιαυτὸν ἐν τῇ προστασίᾳ τῶν κοινῶν διατετελεκότες, οὐδέ τι λαμπρὸν ἢ βασιλείας ἄξιον κατειργασμένοι, ἐν μνήμῃ δὲ μόνῃ τῶν βασιλέων γενόμενοι. Ὅ γε μὴν Αἰμιλιανὸς ἐπιπηδήσας τῇ ἀρχῇ κατὰ τὴν Σκυθῶν χώραν καὶ τὴν ἐπὶ Ῥώμην ἄφιξιν προθυμούμενος, τετάρτῳ μηνὶ τῆς τυραννίδος προδιεφθάρη τε καὶ ἐκ τῶν ἀνθρώπων ἠφάνισται.

151.

Exc. Salm. p. 397 : Γάλλου βασιλεύσαντος, ιε' ἔτη (μῆνας?) ἐκράτησε λοιμὸς, κινηθεὶς ἀπὸ Αἰθιοπίας ἕως τῆς δύσεως· μετεδίδοτο δὲ ἀπὸ ἱματίων καὶ ψιλῆς θέας· καὶ οἱ Σκύθαι περάσαντες τὸν Ἴστρον ἔλαβον φ' πόλεις. Τὰς γυναῖκας βουλομένας ἐγκύους γενέσθαι λέγουσι πίνειν ἀπὸ τοῦ Στρυμόνος ποταμοῦ καὶ κύειν.

152.

ΓΑΛΛΙΗΝΟΣ.

Exc. De ins. p. 57 : Ὅτι Γαλλιηνὸς ἀνῃρέθη πρὸς τῶν οἰκείων στρατιωτῶν, ἐς ὀργὴν ἀναφθέντων, ὅτι δὴ πόλιν Μογοντίναν, συναραμένην Λολλιανῷ, ὃν νεωτερίσαντα καθεῖλε Ποστούμιος, διαρπάσαι μετὰ τὴν νίκην οὐ συνεχώρησε. Μετὰ δὲ τοῦτον Μάριος, ἀνὴρ εὐτελὴς καὶ τῶν περὶ τὰς βαναύσους γεγονὼς τέχνας, τὴν ἁλουργίδα περιθέμενος, δευτέρᾳ τῆς βασιλείας ἡμέρᾳ κατακτείνεται. Ἐφ' ᾧ Βικτωρῖνος τῶν Γαλλιῶν τὸ κράτος ἐκδέχεται· ἄριστος μὲν ἐν τοῖς πολέμοις, ταῖς δὲ τοῦ σώματος ἡδοναῖς ἡττημένος, ἀλλοτρίους τε ἐνυβρίζων γάμους, καὶ παρθένους ἁρπάζων. Ὅθεν ἐν Ἀγριππίνῳ, πόλει Γαλατικῇ, πρός τινος στρατιώτου διαφθείρεται, δευτέρῳ τῆς ἡγεμονίας ἐνιαυτῷ. Καὶ τοῦτον τῆς ἀρχῆς διαδέχεται Τέτρικος τῶν ἀπὸ τῆς συγκλήτου βουλῆς· ὃς τὴν Ἀκυτανίαν πρότερον ἡγεμονεύων, βασιλεὺς ὑπὸ

Fr. 148. Σὺν τοῖς παισὶ] σὺν τῷ παιδί? — καὶ κολακείαις] καὶ λακίαις codex. Possis etiam : καὶ λαλιαῖς. Mox lacunæ signum posui. Eutropius IX, 3 : *Ambo deinde ab exercitu interfecti sunt, senior Philippus Veronæ, Romæ junior. Annis quinque imperaverunt.*

Fr 150. Series narrationis eadem ap. Eutrop. IX, 4 : *Mox imperatores creati sunt Gallus, Hostilianus et Galli filius Volusianus. Sub his Æmilianus in Mœsia res novas molitus est ; ad quem opprimendum quum ambo profecti essent, Interamnæ interfecti sunt, non completo biennio. Nihil omnino clarum gesserunt. Sola pestilentia et morbis atque ægritudinibus notus eorum principatus fuit. Æmilianus obscurissime natus obscurius regnavit, ac tertio mense exstinctus est.* — Βουλουσιανός] sic etiam in Syncelli codd. p. 376, A, nomen scribitur ; ubi Scaliger correxit Βολουσ. — Αἰμιλιανὸς] Αἰμ. cod. — ἐφ' οὗ] ἐφ ὧν cod. — οὔπω τρίτον ἐνιαυτὸν] *non completo biennio* Eutrop., Syncell. : οἳ καὶ βασιλεύουσι κατὰ Δέξιππον (fr. 16) μῆνας ιη', πράξαντες οὐδὲν ἀξιόλογον· κατὰ δὲ ἄλλους τινὰς ἔτη γ', καὶ καθ' ἑτέρους ἔτη β'. Tres annos habet Chron. Pasch. p. 505 ed. Bonn. Plura de his v. ap. Tillemont, tom. III, p. 508 sqq. — τετάρτῳ μηνὶ] *tertio mense* Eutrop. Cum nostro facit Zonaras p. 629, A (592 ed. Bonn.) : Κτείνουσι τὸν Αἰμιλιανὸν οὔπω τέσσαρας μῆνας ἡγεμονεύσαντα. Quattuor menses ei tribuit Victor et Chron. An. cod. Paris. 854.

Fr. 151. Ex eodem fonte vel ex ipso Joanne hausit Chron. Anonym. cod. Paris. 754 in Cramer. An. II, p. 289 : Γάλλος καὶ Βουλουσιανὸς ἐβασίλευσαν ἔτη β', μῆνας η'. Γέγονε δὲ ἐν ταῖς ἡμέραις αὐτῶν λοιμὸς, κινηθεὶς ἀπὸ ἀνατολῆς μέχρι τῆς δύσεως· καὶ οὐδεμία πόλις εὑρέθη ἄμοιρος ταύτης τῆς ἀπειλῆς· ἐκράτησε δὲ ἔτη ιε' (ιε' μ. fr.), ἀρχόμενος ἀπὸ φθινοπώρου καὶ λήγων τῇ τοῦ Κυνὸς ἐπιτολῇ. Μετεδίδοτο δὲ ἡ νόσος αὕτη ἀπό τε ἱματίων καὶ ψιλῆς θέας. Καὶ οἱ Σκύθαι περάσαντες τὸν Ἴστρον, πᾶσαν τὴν δύσιν καὶ Ἰταλίαν, ἀνατολήν τε καὶ Ἀσίαν ἐπόρθησαν καὶ κατέλαβον, δίχα μόνης Ἰλίου καὶ Κυζίκου.

Fr. 152. Ὅτι Γαλλιηνὸς] Hæc excerptoris culpa turbata sunt. Debebat : ὅτι ἐπὶ Γαλλιηνοῦ Ποστούμιος ἀνῃρέθη... καθεῖλε, διαρπάσαι κτλ. Eutrop. IX, 7 : *Qui* (Postumus) *seditione militum interfectus est, quod Moguntiacum, quæ adversus eum rebellaverat, Lolliano res novas moliente, diripiendam militibus tradere noluisset. Post eum Marius, vilissimus opifex, purpuram accepit, et secundo die interfectus est. Victorinus postea Galliarum accepit imperium, vir strenuissimus. Sed quum nimiæ libidinis esset, et matrimonia aliena corrumperet, Agrippinæ occisus est, actuario quodam machinante dolum, imperii sui anno secundo. Huic successit Tetricus senator, qui Aquitaniam honore præsidis administrans, absens a militibus imperator electus est, et apud Bur-*

τῶν στρατιωτῶν καὶ μὴ παρὼν ᾑρέθη· περιθέμενός τε τὴν πορφύραν ἐν Βουρδογάλῳ πόλει τῆς Γαλατίας μεγίσταις ἀνέπεσε ταραχαῖς.

2. Ὅτι Ὀδέναθος ἐξ ἐπιβουλῆς Γαλλιηνοῦ ἀναιρεῖται· καὶ τῶν ἐκεῖσε πραγμάτων ἀντιλαμβάνεται Ζηνοβία, συνοικοῦσα μὲν Ὀδενάθῳ, φρονήματι δὲ ἀνδρείῳ χρωμένη, καὶ διὰ τῶν ἐκείνῳ συνόντων τὸν θάνατον τοῦ ἀνδρὸς ἐκδικοῦσα.

3. Ὅτι Γαλλιηνὸς περὶ Μεδιόλανον πόλιν, σὺν τῷ ἀδελφῷ Βαλεριανῷ, μετὰ τὴν τοῦ πατρὸς τελευτήν, ὃς ἐβασίλευσεν ἐνιαυτοὺς ἕξ, ἀπὸ τοῦ Δελματῶν ἱππάρχου κατακτείνεται· οὗτος δὲ ἦν Ἡρακλειανός, ὃς συμπραξάμενος Κλαυδίῳ διά τινος τῶν τολμηροτάτων κατὰ τὸ δεῖπνον τὸν Γαλλιηνὸν ἀποσφάττει.

153.

ΚΛΑΥΔΙΟΣ.

Exc. De ins. p. 58 : Ὅτι ἐπὶ Κλαυδίου τοῦ βασιλέως Αὐρίολος ἐπὶ χρόνον συχνὸν ἔξω τῆς Γαλλιηνοῦ καταστήσας ἑαυτὸν ἐξουσίας, ἐπικηρυκεύεται παραχρῆμα πρὸς Κλαύδιον, καὶ παραδοὺς ἑαυτόν, ὑπὸ τῶν περὶ τὸν βασιλέα στρατιωτῶν ἀναιρεῖται τῇ διὰ τὴν ἀπόστασιν ἐχομένων ὀργῇ.

154.

ΚΥΝΤΙΛΛΟΣ.

Ibid. p. 58 : Ὅτι Κυντίλλος ἀδελφὸς Κλαυδίου, ὃς ἐβασίλευσε Ῥωμαίων, ἅμα τῷ γνῶναι τὴν βασιλείαν Αὐρηλιανῷ παραδεδομένην, ἑκόντα τῆς ἀρχῆς ἀποστῆναι [λέγεται] καὶ τῶν ἰατρῶν τινὸς τεμόντος φλέβα αὐτῷ, καὶ ἐνδόντος ῥεῦσαι τὸ αἷμα, μέχρις αὖος ἐγένετο.

155.

ΑΥΡΗΛΙΑΝΟΣ.

Exc. De virt. p. 835 : Ὅτι Αὐρηλιανὸς ὁ βασιλεὺς τὰ πολέμια δεινῶς ἦν ἠσκημένος, ἀκάθεκτος δὲ περὶ τὴν γνώμην, καὶ πολὺ πρὸς ὠμότητα ῥέπων. Τῶν τε κατὰ πόλιν ἐπισήμων θανάτῳ πολλοὺς ἐζημίωσεν ὑπὸ Ζηνοβίας ἐλεγχθέντας, χαλεπός τις καὶ φονικὸς ὑπάρχων, καὶ μᾶλλον ἀναγκαῖος στρατηγὸς ἤπερ αἱρετὸς βασιλεύς, ἐν παντὶ δὲ καιρῷ δυσχερὴς καὶ ἀπρόσιτος, ὡς μηδὲ τοῦ τῶν οἰκείων αἵματος διαμεῖναι καθαρός· τὴν γὰρ τοῦ παιδὸς γαμετὴν καὶ ἀνέγκλητον διεχρήσατο. Τοῦ δὲ τῶν στρατιωτῶν τάγματος καὶ τῶν ἐξιτήλων καὶ διαλελυμένων ἠθῶν ὡς ἐπίπαν γενναῖος ἐπανορθωτὴς ἦν.

156.

Exc. De ins. p. 58 : Ὅτι Αὐρηλιανὸς ἕκτῳ τῆς ἡγεμονίας ἐνιαυτῷ διαφθείρεται, τῶν εἰς τάχος γραφόντων οἰκετῶν τινὸς κατασκευάσαντος αὐτῷ τὸν θάνατον· ὃς τὴν τοῦ ἀνδρὸς μιμησάμενος χεῖρα, πρός τινας χιλιάρχους αὐτῷ τε τῷ Αὐρηλιανῷ φίλους γραμματίδιόν τι ἐκόμισε, τὰς τῶν ἀνδρῶν τούτων φέρον προσηγορίας σεσημειωμένας, ἐπιψευσάμενος ταῦτα τὸν Αὐρηλιανὸν ἀναγεγραφέναι. Οἱ δὲ τὸ πιστὸν ἐκ τῆς τοῦ βασιλέως πρὸς ἅπασαν πρᾶξιν ἄτοπον καὶ σκληρὰν ὀξύτητος εἰληφότες, φθάσαι τι δράσαντες πρὶν ἢ παθεῖν ἔγνωσαν· διαφθείρουσί τε αὐτὸν κατὰ μέσην τὴν πορείαν, ἐκ Βυζαντίου πρὸς Ἡράκλειαν ἰόντα, περὶ τὸ λεγόμενον Καινὸν φρούριον. Οὐ μὴν ἀτιμώρητος ἐτελεύτα. Οἵ τε γὰρ φονεῖς αὐτοῦ δίκας ὑπέσχον, καὶ αὐτὸς τοῖς θείοις τῶν αὐτοκρατόρων * ἐψηφίσθη.

157.

ΤΑΚΙΤΟΣ.

Ibid. p. 59 : Ὅτι Τακίτου τὰ τῆς Ῥώμης ἀναδεξαμένου βασίλεια, Σκύθαι διὰ τῆς Μαιώτιδος λίμνης ἐπεραιώθησαν· οὓς καταπολεμήσας ἐπὶ τὴν Εὐρώπην ἐξώρμησεν. Ἔνθα δὴ καὶ εἰς ἐπιβουλὴν ἐμπεσών, ἐξ αἰτίας ἀναιρεῖται τοιᾶσδε. Μαξιμίνῳ γένει προσήκοντι τὴν Συρίας ἀρχὴν παραδέδωκεν. Οὗτος τοῖς ἐν τέλει τραχύτατα προσφερόμενος, εἰς φθόνον ἅμα καὶ

digalam purpuram sumpsit : seditiones multas militum pertulit. — § 2. Hæc sumpta e Zosimo I, 36, 4 : Ἐπεὶ δὲ διατρίβων κατὰ τὴν Ἔμεσαν καί τινα γενέθλιον ἄγων ἑορτὴν ἐξ ἐπιβουλῆς ἀνῃρέθη, τῶν ἐκεῖσε πραγμάτων ἀντιλαμβάνεται Ζηνοβία, συνοικοῦσα μὲν Ὀδενάθῳ, φρονήματι δὲ ἀνδρείῳ χρωμένη καὶ διὰ τῶν ἐκείνῳ συνόντων τὴν ἴσην εἰσφέρουσα τοῖς πράγμασιν ἐπιμέλειαν. — Γαλλιηνοῦ] Hæc vereor ne de suo male dederit excerptor. Suorum insidiis Odenathus sublatus est sec. Zosimum et Pollionem in Trig. Tyr. c. 14, Syncell. p. 382, C. — § 3. Excerpta e Zosim. I, 40, 3. — ὃς συμπραξ.] ὁ συμπρ. cod.

Fr. 154. Hæc iisdem verbis habes ap. Zosimum I, 41, 2.

Fr. 154. Exscripta e Zosim. I, 47. — Κύντιλλος] κυντίλιος cod. — ἅμα τῷ γν.] ἅμα δὲ τῷ γν. cod. — λέγεται] supplevi. — τινὸς] Zos.; τιμὸς cod. — ἐνδόντος] εἰδόντος cod. — αὖος] Zos.; ἄναυδος cod. Ceterum ex eodem Zosimo vel ex Joanne suo hausit Anon. Chron. cod. Paris 854, p. 290 ed. Cramer.

Fr. 155. Eadem Suidas v. Αὐρηλιανός. Eutrop. IX, 9 : *Aurelianus... vir in bello potens, animi tamen immodici et ad crudelitatem propensioris .. Plurimos nobiles capite damnavit; sævus et sanguinarius, ac necessarius magis in quibusdam quam in ullo amabilis imperator, trux omni tempore, etiam filii sororis (filii uxoris* sec. Joan. Exc.) *interfector : disciplinæ tamen militaris et morum dissolutorum magna ex parte corrector.*

Fr. 156. Eutrop. l. l. : *Occiditur servi sui fraude, qui ad quosdam militares viros, amicos ipsius, nomina pertulit adnotata, falso manum ejus imitatus, tanquam Aurelianus ipsos pararet occidere. Itaque ut præveniretur, ab iisdem interfectus est in itineris medio quod inter Constantinopolim et Heracleam est stratæ veteris. Locus Cænophrurium* (l. *Cænophrurium*) *appellatur. Mors tamen ejus inulta non fuit. Meruit quoque inter divos referri.* — πρός τινας χιλιάρχους] πρός τινος χιλιάρχου cod. Deinde codex φέρων et σεσημειωμένων.

Fr. 157. Hæc exscripta sunt ex Zosimo (I, 63), cujus verba Joannes in nonnullis integriora præbet, quam in edi-

φόβον τὸν βασιλέα κατέστησε. Τεκόντων δὲ τούτων μῖσος, τὸ λειπόμενον εἰς ἐπιβουλὴν ἐτελεύτησεν, ἧς κοινωνοὺς ποιησάμενοι τοὺς Αὐρηλιανὸν ἀνελόντας, αὐτῷ μὲν ἐπιθέμενοι τῷ Μαξιμίνῳ κατέσφαξαν· διώξαντες δὲ ἀναζευγνύντα ἐπὶ τὴν Εὐρώπην Τάκιτον ἀναιροῦσιν, ἕξ μησὶ τοῖς ὅλοις βασιλεύσαντα.

158.

ΠΡΟΒΟΣ.

Ibid. p. 59 : Ὅτι Πρόβος καὶ Φλωριανὸς οἱ δύο ἅμα συνεβασίλευσαν. Καὶ ὁ Πρόβος οὐ κατὰ τὴν αὐτοῦ προαίρεσιν ἀνεῖλε τὸν Φλωριανὸν, μῆνας β′ πρὸς ἡμέρας κ′ ἀπολαύσαντα τῆς ἐξουσίας.

2. Ὅτι Πρόβου βασιλεύσαντος Ῥωμαίων, Σατουρνῖνος τῷ γένει Μαυρούσιος, ὢν εἰς τὰ μάλιστα τῷ βασιλεῖ προσφιλὴς, διὰ τοῦτό τε καὶ τὴν τῆς Συρίας ἀρχὴν ἐπιτετραμμένος, τῆς βασιλέως ἀποστὰς πίστεως, εἰς ἐπαναστάσεως ἔννοιαν ἦλθεν. Ὅπερ ἀκούσαντι τῷ Πρόβῳ καὶ διανοουμένῳ τὸ ἐγχείρημα μετελθεῖν, ἔφθησαν οἱ κατὰ τὴν ἑῴαν στρατιῶται, συγκατασβέσαντες τῇ τυραννίδι τὸν ἄνθρωπον. Ἔπαυσε δὲ καὶ ἄλλην ἐπανάστασιν ἐν τῇ Βρεττανίᾳ, μελετηθεῖσαν διὰ Βικτωρίνου Μαυρουσίου τὸ γένος. Ὥπερ πεισθεὶς ἔτυχε τὸν ἐπαναστάντα τῆς Βρεταννίας ἄρχοντα προστησάμενος. Καλέσας δὲ τὸν Βικτωρῖνον πρὸς ἑαυτὸν, καὶ ἐπὶ τῇ συμβουλῇ μεμψάμενος, τὸ πταῖσμα ἐπανορθώσοντα πέμπει. Ὁ δὲ ἐπὶ τὴν Βρεττανίαν εὐθὺς ἐξορμήσας, περινοίᾳ οὐκ ἄφρονι τὸν τύραννον ἀναιρεῖ.

159.

Exc. Salm. p. 398 : Πρόβου ἀρχθέντος, βροχὴ γέγονε σῖτον κατάγουσα, ὃν συναγαγόντες σωροὺς μεγάλους ἐποίησαν. Ἐπὶ Αὐρηλιανοῦ ψεκάδες ἀργυραῖ κατηνέχθησαν.

160.

Exc. De ins. p. 60 : Ὅτι πολλὰ διαπραξαμένου τοῦ Πρόβου, καλῶς τε καὶ δικαίως οἰκονομήσαντος τὴν ἀρχὴν, ἐπανάστασις ἐκ τῆς ἑσπέρας ἀγγέλλεται, τῶν ἐν Ῥαιτίᾳ καὶ Νωρικῷ δυνάμεων Κάρῳ περιθέντων τὴν ἁλουργίδα. Τοῦ δὲ δύναμιν ἐναντιωσομένην αὐτῷ στείλαντος, οἱ μὲν πεμφθέντες πρὸς Κάρον μετέστησαν· αὐτοὶ δ' ἐπὶ πάντας ἐρήμῳ βοηθείας τῷ Πρόβῳ, κωλύοντος οὐδενὸς, διεχρήσαντο βασιλεύσαντα ἐνιαυτοὺς ἕξ, μῆνας δ′.

ΚΑΡΟΣ.

161.

Exc. Salm. p. 398 : Νουμεριανὸς τυφλωθεὶς ἐν κεκαλυμμένῳ φορείῳ ἀπὸ Περσίδος ἐβαστάζετο· ὃν λάθρα ἀνεῖλεν ὁ πενθερὸς, καὶ ἔλαθεν νεκρὸς φερόμενος ἕως ἐκ τῆς δυσωδίας ἐδηλώθη. Καρῖνος ὠμότατος ἦν· ὃς καὶ τούς ποτε ἐν τῷ παιδευτηρίῳ σκώψαντας εἰς αὐτὸν ἠμύνατο.

162.

Exc. De virt. p. 834 : Ὅτι Καρῖνος ὁ τοῦ Κάρου υἱὸς βασιλεύσας πρᾶγμα μὲν εἰς κοινὸν ὄφελος φέρον οὐδὲν εἰργάσατο, τρυφῇ δὲ καὶ ἐκδεδιῃτημένῳ βίῳ τὰ καθ' ἑαυτὸν παραδοὺς, παρανάλωμα τῆς τρυφῆς ἐποιεῖτο φόνους οὐδὲν ἠδικηκότων ἀνθρώπων, κατά τι προσκε-

tionibus Zosimi leguntur. — Μαξιμίνῳ γένει] Μαξίμῳ γ. cod. — τὸν βασιλέα] om. Zos. — Αὐρηλιανὸν] Αὐρήλιον cod. Verba ἐπὶ τὴν Εὐρώπην desunt in edit. Zosimi, leguntur vero in codice Parisino.

Fr. 158. § 1. Negligenter hæc excerpta sunt. Joannes sua transcripsit e Zosim. (I, 64, 3, quem vide). De regni tempore, quod in Zosimo nostro non notatur, cum Joanne facit Eutropius. — § 2. Verba sunt Zosimi I, 66. — συγκατασβέσαντες] Zos., συγκαταδήσαντες cod. — ἔπαυσε δὲ] part. δὲ Zosimo restituenda. — ᾧπερ] Zos., ὅπερ cod. — καλέσας δὲ] hoc repone ap. Zosim., ubi vgo καλ. γάρ. — συμβουλῇ] συμβολῇ cod.

Fr. 159. ἀρχθέντος] Sic codex. Forte : τῆς ἐπαγωγῆς τῶν ἐπιτηδείων εἰρχθέντος, vel tale quid; nisi excerptor voluit scribere ἄρξαντος. Zosimus I, 67, 1 : Ἐνισταμένου δὲ τοῦ πολέμου καὶ λιμοῦ πᾶσι τοῖς αὐτόθι τόποις ἐνσκήψαντος, ἄπλετος ὄμβρος καταρραγεὶς συγκατήγαγε ταῖς ψεκάσι καὶ σῖτον, ὥστε καὶ σωροὺς αὐτομάτως ἐν τόποις τισὶ συντεθῆναι. Cf. Zonar. XII, 29.

Fr. 160. Ex his Zosimum supplere licet. Etenim post verba οἰκονομήσαντος τὴν ἀρχὴν in Zosimi codd. ingens lacuna est, quæ finem primi libri et initium secundi absumpsit. — αὐτοὶ δ' ἐπὶ πάντας] αὐτῷ δ' ἐπιστάντες?

Fr. 161. Eutrop. IX, 12 : *Numerianus quoque, filius ejus* (Cari), *quem secum ad Persas duxerat, adolescens egregiæ indolis, quum oculorum dolore correptus in lecticula veheretur, impulsore Apro, qui socer ejus erat, per insidias occisus est : et quum dolo occultaretur ipsius mors, quousque Aper invadere posset imperium, fœtore cadaveris prodita est. Milites enim, qui eum sequebantur, fœtore commoti, diductis lecticulæ palliis, post aliquot dies mortem ejus notam habere potuerunt. Interea Carinus, quem Cæsarem in Parthos proficiscens Carus in Illyrico, Gallia, Italia reliquerat, omnibus se sceleribus coinquinavit : plurimos innoxios fictis criminibus occidit : matrimonia nobilia corrupit : condiscipulis quoque, qui eum in auditorio vel levi fatigatione taxaverant, perniciosus fuit. Ob quæ omnibus bonis invisus, non multo post pœnas dedit.*

Fr. 162. Eadem Suidas v. Καρῖνος, et ex parte iterum v. παρανάλωμα, ubi pro Καρῖνος in codd. perperam scriptum est Μακρῖνος. Ceterum ut in antecedentibus sæpius jam vidimus Joannem nostrum præter Eutropium ad verbum exscripsisse Zosimi historias, sic noster quoque locus una cum sequente ad explendam qua hiulcat Zosimea narratio lacunam adhiberi debet. Zosimus in hac historiarum parte secutus est Eunapium, uti constat. Eundem vero fontem etiam ex nostro loco licet intervidere, collatis inter se verbis παρανάλωμα τῆς τρυφῆς ἐποιεῖτο φόνους οὐδὲν ἠδικηκότων et Eunapianis illis (Eun. fr. 4, p. 14) : ὁ δὲ ἐγκλήματά τε ἀνέπλαττε καὶ ἐδίκαζε τοῖς ἀδικουμένοις, καὶ τῶν δικαζομένων οὐδεὶς ἐσώζετο· ὅπου γε πολλῆς οὔσης καὶ ἀδιηγήτου τῆς φθορᾶς, παρανήλισκοντό τινες τῶν εὐδαιμόνων, ὥσπερ ἐν κοινοῖς δείπνοις ἀλεκτορίδες, ἐς τὴν Καρίνου τρυφήν.

κρουκέναι νομισθέντων αὐτῷ. Βαρυνομένων δὲ πάντων ἐπὶ τῇ πικρᾷ τυραννίδι συνανσμιχθείσῃ νεότητι, καὶ πάντα ἐκμελῶς καὶ δίχα λογισμοῦ πραττούσῃ **.

163.

Exc. De ins. p. 60 : Ὅτι Καρίνου βασιλεύσαντος τοῦ υἱοῦ Κάρου, καὶ πάντα ἐκμελῶς καὶ λογισμοῦ δίχα πράττοντος, ἀγγελθείσης τοῖς ἐν Ἰταλίᾳ τῆς Νουμεριανοῦ τελευτῆς, ἐπὶ τῇ Καρίνου περὶ πάντα ἐκμελείᾳ καὶ ὠμότητι δυσχεράναντες οἱ τῶν ἐκεῖσε στρατοπέδων ἡγούμενοι, Σαβίνῳ Ἰουλιανῷ τὴν ὕπαρχον ἀρχὴν ἔχοντι βασιλικὴν στολὴν περιθέντες, μάχεσθαι σὺν αὐτῷ διενοοῦντο Καρίνῳ. Καρῖνος δὲ γνοὺς τὴν ἐπανάστασιν, ἐπὶ τὴν Ἰταλίαν ἐστέλλετο. Τότε δὴ τῶν στρατιωτῶν συμφρονῆσαι σφίσιν τοὺς ἀπὸ Περσῶν ἐπανελθόντας ἀναπεισάντων, Διοκλητιανὸν ἤδη κατὰ τὴν Νικομήδειαν τὴν ἁλουργίδα περιθέμενον ἄγουσι κατὰ τὴν Ἰταλίαν. Ἔτι δὲ ὄντος αὐτοῦ κατὰ τὴν ὁδὸν, συμβαλὼν ὁ Καρῖνος τοῖς Σαβίνου Ἰουλιανοῦ στρατιώταις, καὶ στρέψας ἐν τῇ μάχῃ τούτους, τῶν σὺν αὐτῷ τινῶν ἐπελθόντων, αἰφνίδιον ἀναιρεῖται, τῶν χιλιάρχων ἑνὸς, οὗ τὴν γυναῖκα διαφθείρας ἔτυχεν, ἀνελόντος αὐτόν.

ΔΙΟΚΛΗΤΙΑΝΟΣ.

164.

Ibid. p. 60 : Ὅτι ἐπὶ Διοκλητιανοῦ Καραύσιός τις ἀνὴρ τεχθεὶς μὲν ἐν ἀφανεστάτῃ πόλει, περὶ δὲ στρατιωτικὰ σπουδῇ καὶ γενναιότητι διαφέρων κατὰ μικρὸν δόξαν ἀρίστην κτησάμενος, ἐκ τοιαύτης αἰτίας νεωτερίζειν ἤρξατο. Βελγικὸν καλούμενον κλίμα, κατὰ τὴν τῆς ἁλμυρίδος θάλασσαν, Φράγκοι τε καὶ Σάξονες, ἔθνη Κελτικὰ, διετάραττον, ληϊζόμενοι τοὺς ἐμπόρους, καὶ τῶν χωρίων πορθοῦντες τὰ ἐπιθαλάσσια. Σταλεὶς τοίνυν οὗτος ἐκ Βονωνίας πόλεως Γαλατικῆς, ἐπειδὴ πολλοὺς μὲν τῶν βαρβάρων ἐχειρώσατο, τὴν δὲ λείαν τὴν ἐκ τοῦ πολέμου οὔτε τοῖς ἐποίκοις τῶν ἐθνῶν ἀπεδίδου οὔτε τοῖς βασιλεῦσιν ἀπέπεμπεν, ἑκουσίως προπέμπειν τοὺς πολεμίους ὑπωπτεύθη· ἀναιρεθῆναι τοίνυν ὑπὸ τοῦ Ἑρκουλίου προσταχθεὶς, τήν τε πορφύραν περιέθετο, καὶ τὴν Βρεττανίαν καταλαμβάνει. Καὶ τούτου τοῦτο πεπραχότος, καὶ κεκινημένων πάντων τῶν πραγμάτων, καὶ Ἀχιλλεὺς κατὰ τὴν Αἴγυπτον ἐνεωτέριζεν, καὶ ἡ Ἀφρικὴ πρὸς πέντε ἀνδρῶν, Γεντιανῶν τὴν προσηγορίαν, ἐπεπολέμητο.

165.

Exc. De virt. p. 834 : Ὅτι Διοκλητιανὸς μνήμῃ καὶ ὀργῇ τῶν περὶ τὴν ἀρχὴν νεωτερισθέντων περὶ τὴν Αἴγυπτον, οὐ μετρίως οὐδὲ ἡμέρως τῷ κρατεῖν ἀπεχρήσατο, ἀλλὰ προγραφαῖς τε καὶ φόνοις τῶν ἐπισήμων μιαίνων ἐπῆλθε τὴν Αἴγυπτον. Ὅτε δὴ καὶ τὰ περὶ χημείας ἀργύρου καὶ χρυσοῦ τοῖς παλαιοῖς αὐτῶν γεγραμμένα βιβλία διερευνησάμενος ἔκαυσε, πρὸς τὸ μηκέτι πλοῦτον Αἰγυπτίοις ἐκ τῆς τοιαύτης περιγίνεσθαι τέχνης μήτε χρημάτων αὐτοὺς θαρροῦντας περιουσίᾳ τοῦ λοιποῦ Ῥωμαίοις ἀνταίρειν. Διοκλητιανὸς μὲν ποικίλος τις καὶ πανοῦργος ἦν, τῷ δὲ λίαν συνετῷ καὶ ὀξεῖ τῆς γνώμης ἐπεκάλυπτε πολλάκις τὰ τῆς οἰκείας φύσεως ἐλαττώματα, πᾶσαν σκληρὰν πρᾶξιν ἑτέροις ἀνατιθείς. Ἐπιμελὴς δὲ ὅμως καὶ ταχὺς ἐν ταῖς τῶν πρακτέων ἐπιβολαῖς, καὶ πολλὰ τῶν τῆς βασιλικῆς θεραπείας

— πραττούσῃ **] In media sententia excerptor substitit, quod quæ sequebantur ap. Joannem, reservata essent Excerptis De Virtutibus. Excidit probabiliter solenne istud : Ζήτει ἐν τοῖς Περὶ ἀρετῆς καὶ κακίας.

Fr. 163. Σαβίνῳ Ἰουλ.] Σαβινίῳ Ἰ. h. l. codex. Sabinus Julianus Venetiæ præfectus erat. — ἐπὶ τὴν Ἰταλίαν] fort. fuit ἐπὶ τὴν Ἰλλυρίαν. Carinus in Illyriam tetendit contra Diocletianum ; in ipso itinere obviam factus ei Julianus, quem ad Veronam prœlio victum occidit ; deinde apud Margum cum Diocletiano congressus pugna vincit quidem, sed hostem persequens a centurione, cujus uxorem stupraverat, occiditur. Sic Aurel. Vict. Cæs. c. 39. Aliter Noster, modo integra sit narratio. — στρέψας] f. leg. τρέψας.

Fr. 164. Eutropius IX, 13 : *Per hæc tempora etiam Carausius, qui vilissime natus, strenuæ militiæ ordine famam egregiam fuerat consecutus, quum apud Bononiam per tractus Belgicæ et Armoricæ pacandum mare accepisset, quod Franci et Saxones infestabant, multis barbaris sæpe captis, nec præda integra aut provincialibus reddita, aut imperatoribus missa, quum suspicio esse cœpisset, consulto ab illo admitti barbaros, ut transeuntes exciperet, atque hac se occasione ditaret, a Maximiano jussus occidi, purpuram sumpsit et Britannias occupavit. — Ita quum per orbem terrarum res turbatæ essent, et Carausius in Britanniis rebellaret, Achilleus in Ægypto, Africam Quinquegentiani infestarent, Narseus Orienti bellum inferret : Diocletianus Maximianum Herculium ex Cæsare fecit Augustum* etc. — Βελγικὸν] Σελβινὸν cod. — κεκινημένων πάντων] κ. ὄντων cod.

Fr. 165. Eadem Suidas v. Διοκλητιανός, ubi : οὗτος ὁ ἄνους καὶ μισόχριστος μνήμῃ καὶ ὀργῇ etc. Antecedit alius locus de Diocletiano Christianos atrociter persequente, nescio an ex eodem Joanne repetitus. — Eutrop. IX, 15 : *Diocletianus obsessum Alexandriæ Achilleum octavo fere mense superavit, eumque interfecit. Victoria acerbe usus est : totam Ægyptum gravibus proscriptionibus cædibusque fœdavit. Ea tamen occasione ordinavit provide multa et disposuit, quæ ad nostram ætatem manent.* — χημείας] χημίας cod. χυμείας Suid. v. Διοκλ., χημείας s. v. χημεία, ubi h. l. repetitur. « Herm. Conring. De hermet. medic., quum nesciret ex quo scriptore hæc forent derivata, Suidæ non esse credendum censuit audacius quam par erat. Eum refellit Ol. Borrich. in Hermet. et Ægypt. Chemic. sap. Vind. p. 84 sqq. » *Hemsterhus.* ad Suid. — Διοκλητιανὸς μὲν... πανοῦργος ἦν] ἦν δὲ τὸ ἦθος... πανοῦργος Suidas. Eutropius IX, 16 : *Diocletianus moratus callide fuit, sagax præterea, et admodum subtilis ingenio, et qui severitatem suam aliena invidia vellet explere. Diligentissimus tamen et sollertissimus princeps, et qui imperio Romano primus regiæ consuetudinem magis quam Romanæ libertatis invexit, adorarique se jussit, quum ante eum cuncti salutarentur.*

ἐπὶ τὸ αὐθαδέστερον παρὰ τὰ καθεστηκότα Ῥωμαίοις πάτρια μετασκευάσειν.

166.

Ibid. p. 837 : Ὅτι Ἑρκούλιος καὶ δίχα παντὸς προκαλύμματος ἄγριός τε ἦν καὶ τυραννικὸς, τὸ τῆς οἰκείας γνώμης τραχὺ τῷ καταπληκτικῷ τοῦ προσώπου παραδηλῶν. Τῇ γοῦν ἑαυτοῦ φύσει παντάπασιν ἐνδιδοὺς, καὶ τῷ Διοκλητιανῷ πρὸς ἅπαν ἄτοπόν τε καὶ σκληρὸν βούλευμα ἑκούσιος ὑπουργὸς καθίστατο.

167.

Exc. Salm. p. 398 : Θρίαμβος ὠνομάσθη ἀπὸ τῶν πρώτων ἐπῶν τῶν εἰς τὸν Διόνυσον· θρίασιν γὰρ τὴν τῶν ποιητῶν μανίαν φασίν· ἢ ἀπὸ τῶν θρίων, τῶν φύλλων, τῆς συκῆς ἀνακειμένης Διονύσῳ· πρὶν γὰρ ἐπινοηθῆναι τὰ προσωπεῖα, συκῆς φύλλοις τὰ ἑαυτῶν ἐκάλυπτον πρόσωπα, καὶ δι' ἰάμβων ἀπέσκωπτον. Ἐποίουν δὲ τοῦτο καὶ οἱ στρατιῶται, καὶ εἰς τοὺς θριαμβεύοντας ἔσκωπτον.

2. Διοκλητιανὸς καὶ Μαξιμιανὸς μὴ δυνηθέντες περιγενέσθαι τοῦ Χριστιανισμοῦ, καὶ μανέντες, τὴν βασιλείαν κατέθεντο. Καὶ Διοκλητιανὸς μὲν δώδεκα ἔτη πρωτεύσας ἀπέθανε· Μαξιμιανὸς δὲ βουληθεὶς πάλιν ἀναλαβέσθαι τὴν βασιλείαν, καὶ ἀποτυχὼν, ἀπήγξατο.

ΚΩΝΣΤΑΝΤΙΟΣ ΚΑΙ ΓΑΛΕΡΙΟΣ.

168.

Exc. De virt. p. 837 : Ὅτι Κωνστάντιος ὁ ἀπὸ Καίσαρος βασιλεύσας, μετὰ τὴν διακλήρωσιν ἀποχρῆν ἡγούμενος τήν τε τοῦ Αὐγούστου καὶ αὐτοκράτορος ἐπίκλησιν, τῆς τε Ἰταλίας καὶ Λιβύης ἑκουσίως ἀπέστη τῷ συνάρχοντι, τὸ εὔδαιμον οὐκ ἐν μεγέθει ἀρχῆς, ἀλλ' ἐν τῷ ἡσύχῳ τε καὶ ἀπράγμονι θέμενος. Ἀνὴρ ἄριστος καὶ δημοτικὸς διαφερόντως τὸν τρόπον, καὶ τοὺς μὲν τῶν ἰδιωτῶν οἴκους περιέπων, τὰς δὲ τῶν βασιλείων θησαυρῶν αὐξήσεις οὐ σφόδρα διὰ σπουδῆς ἄγων. Βέλτιον γὰρ οἱ εἶναι ἐδόκει τὰς δημοσίας χορηγίας ἐν ταῖς τῶν ὑπηκόων περιουσίαις ἔχειν τὸ βέβαιον, ἢ ὑπὸ ἓν κλεῖθρον τὸν ἁπάντων κατακεκλεῖσθαι πλοῦτον. Οὕτω δὲ ἄρα μέτριός τις ἦν καὶ λιτὸς ἔς τε τὰ ἄλλα καὶ ἐς τὴν καθ' ἡμέραν τοῦ βίου δίαιταν, ὡς μήτε κοῖλον ἄργυρον ἐς πλῆθος κεκτῆσθαι, μηδὲ ἕτερόν τι πρὸς τρυφὴν βλέπον, ἀλλὰ παρὰ τὰς ἱερὰς καὶ δημοτελεῖς εὐφροσύνας τῷ τῶν ἰδιωτῶν ἀργύρῳ καὶ στρωμναῖς κοσμεῖν τὰ βασίλεια, ὅθεν καὶ Παῦπερ ὠνομάζετο. Ἐποίει γὰρ δὴ πολλὴν τὴν ἐπ' αὐτὸν τῶν ἀρχομένων εὔνοιαν ὅ τε οἰκεῖος τρόπος πρὸς τὸ βέλτιστον καὶ ὠφελιμώτατον ἠσκημένος, καὶ οὐχ ἥκιστα ἡ τῶν ἔμπροσθεν ἡγησαμένων φύσις, ἀσμένως τῶν Γαλατῶν (τήν τε ὕποπτον Διοκλητιανοῦ σύνεσιν καὶ τὴν Μαξιμιανοῦ ὠμότητα ἐννοούντων) τοὺς αὐχένας ὑποκλινάντων τῇ τούτου πρᾳότητι.

169.

Exc. De virt. p. 61 : Ὅτι ὁ Γαλέριος ἐπειδὴ τῶν κατὰ τὴν Ῥώμην ᾔσθετο νεωτερισθέντων, ἐν μεγάλῳ τὸ πραχθὲν ποιούμενος, ἐπὶ καταλύσει τῆς τε τῶν Πραιτωριανῶν στάσεως, οἵτινες Μαξιμιανὸν Ἑρκούλιον ἀνεῖπον βασιλέα, καὶ τῆς Μαξεντίου ἀρχῆς Σεβῆρον σὺν ἀποχρώσῃ στρατιᾷ καταπέμπει τὸν Καίσαρα. Ὃς ἀφικόμενος πρὸς τὴν Ῥώμην, τὰ μὲν πρῶτα περιμὼν ἐπολιόρκει τὸν Μαξέντιον. Καταληφθεὶς δὲ ἀδοκήτως ὑπὸ τῶν τῆς ἐναντίας γενομένων μοίρας, φεύγει, καὶ ἁλοὺς ἐν Ῥαβέννῃ διαφθείρεται. Συνέβη γοῦν ἐντεῦθεν τὰς τοῦ Μαξεντίου αὐξηθῆναι δυνάμεις, καὶ τὴν ἀρχὴν αὐτῷ βεβαιωθῆναι. Ἀλλ' ὅμως ὁ Ἑρκούλιος μανικῶς τῆς δυναστείας ἐρῶν, οὐ πολλῷ ὕστερον, ἐγερθέντων εἰς τὸ αὐτὸ τῶν στρατοπέδων, ἀφελέσθαι τὸν παῖδα τῆς ἁλουργίδος ἐπεχείρησε. Καταστασιασθεὶς δὲ ὑπὸ τῶν στρατιωτῶν, καὶ κινδυνεύσας ἀναιρεθῆναι, ἀπῆλθεν ἐς τὴν Γαλατίαν, ἐξεῶσθαι πρὸς τοῦ υἱοῦ τῆς Ἰταλίας πλαττόμενος, ὡς ἂν ὑπὸ τοῦ Κων-

Fr. 166. Eadem Suidas v. Ἑρκούλιος. Eutrop. IX, 16 : *Herculius autem propalam ferus et incivilis ingenii, asperitatem suam etiam vultus horrore significans. Hic naturæ suæ indulgens Diocletiano in omnibus etiam severioribus consiliis obsecutus est.*

Fr. 167. Eadem Suidas v. θρίαμβος. Sumpta ex eo loco, ubi de triumpho Diocletiani sermo erat. Similiter hac occasione de origine triumphi quædam interponunt Zonaras XII, 32, et anonymus Dionis Cassii continuator fr. 13, p. 198. — εἰς τὸν Διόνυσον] εἰς Δ. γεγραμμένων, ἐξ Ἰνδίας ἐπὶ ἅρματος τίγρεων ἐπανερχόμενον Suidas. — Idem mox : ἢ ἀπὸ τοῦ θρία, τὰ φύλλα, τῆς etc. — πρὶν γὰρ] καὶ ὅτι πρῶτον πρὶν ἐπιν. τ. πρ. σ. φ. ἐκάλυπτον πάντες τὰ ἑαυτῶν πρόσωπα Suidas. — οἱ στρατιῶται] addit Suidas : μιμούμενοι τοὺς ἐπὶ σκηνῆς.

Fr. 168. Eutropius X, 1 : *His igitur abeuntibus ab administratione reip., Constantius et Galerius Augusti creati sunt; divisusque inter eos ita Romanus orbis, ut Galliam, Italiam, Africam Constantius; Illyricum, Asiam, Orientem Galerius obtineret, sumptis duobus Cæsaribus. Constantius tamen, contentus dignitate Augusti, Italiæ atque Africæ administrandæ sollicitudinem recusavit : vir egregius et præstantissimæ civilitatis, divitiis provincialium ac privatorum studens, fisci commoda non admodum affectans, ducensque melius, publicas opes a privatis haberi, quam intra unum claustrum reservari. Adeo autem cultus modici, ut feriatis diebus, si cum amicis numerosioribus esset epulandum, privatorum ei argento ostiatim petito triclinia sternerentur. Hic non modo amabilis, sed etiam venerabilis Gallis fuit; præcipue quod Diocletiani suspectam prudentiam et Maximiani sanguinariam temeritatem imperio ejus evaserant.*

Fr. 169. Eutropius X, 2 : *Sed adversus motum prætorianorum atque Maxentii Severus Cæsar Romam missus a Galerio cum exercitu venit, obsidensque urbem, militum suorum* (Joann. : τῆς ἐναντίας μοίρας, sc. in ipso Galerii exercitu) *scelere desertus est. Auctæ Maxentio opes, confirmatumque imperium. Severus fugiens Ravennæ interfectus est. Herculius tamen Maximianus post hæc in concione exercitus filium Maxentium denudare conatus, seditionem et convicia militum tulit. Inde ad Gallias profectus est, dolo composito, tanquam a filio esset*

στεντίνου, κηδεστοῦ ὄντος, ἀνυπόπτως ὑποδεχθείη. Γνώμην δὲ ἐποιεῖτο καιροῦ πρὸς ἐπιβουλὴν ἀφικόμενος τοῦ κατακτεῖναι τὸν Κωνσταντῖνον. Πολλὴ δέ τις κατεῖχεν εὔνοια τοὺς στρατιώτας εἰς τὸν Κωνσταντῖνον, διά τε τὰ ἄλλα καὶ τὴν ἐν πολέμοις εὐτυχίαν. Φραγκοὺς γάρ τε καὶ Ἀλαμανούς, οἱ Κελτῶν εἰσὶ δυνατώτεροι, πανστρατιᾷ διαφθείρας, καὶ τοὺς ἡγεμόνας τούτων ἑλών, ἐν τῇ τῶν ἐπινικίων πανηγύρει διαγωνίσασθαι πρὸς θηρία παρεσκεύασεν. Ἀνοιχθείσης οὖν τῆς ἐπιβουλῆς διὰ Φαύστης τῆς τοῦ Μαξιμιανοῦ θυγατρὸς (αὐτὴ γὰρ συνοικοῦσα τῷ Κωνσταντίνῳ κατεμήνυσε τὸν τοῦ πατρὸς δόλον), φεύγει μὲν ὁ Ἑρκούλιος, καταληφθεὶς δὲ περὶ Μασσαλίαν, ὡς πρὸς τὸν παῖδα πάλιν ἀπαίρειν εἰς Ἰταλίαν διεγνώκει, τιμωρίαν ἐξέτισεν, ἀναιρεθεὶς ἐν δίκῃ.

170.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ.

Exc. De virt. p. 838 : Ὅτι Κωνσταντῖνος, ὥς φησιν οὗτος ὁ Ἰωάννης, τῆς ἀδελφῆς τὸν υἱὸν Κομμόδης διαφθείρει δόλῳ, καὶ τῶν φίλων πολλοὺς καὶ ἐπιτηδείων. Διὸ δὴ τὰ πρῶτα δόξας ἄριστος εἶναι βασιλεύς, καὶ τοῖς ἐπαινετοῖς τῶν αὐτοκρατόρων ἄξιος παραβάλλεσθαι, μετ' ὀλίγον τοῖς εἰρημένοις μειονεκτήμασι πρὸς τὸ χεῖρον τῆς δόξης μεταβέβληκεν· καίτοι τῆς φύσεως αὐτόν, καὶ τῶν ὅσα παρὰ τοῦ δαιμονίου φοιτᾶν ἀνθρώποις εἴωθεν, ἄριστον ἀναμφιβόλως ἀποφαινόντων. Οὐ γὰρ ῥᾴδιον εἰπεῖν ὁπόσαι τῆς ψυχῆς τε καὶ τοῦ σώματος διέλαμπον ἀρεταὶ τὸν ἄνδρα, τὴν ἐκ τῶν πολεμικῶν δόξαν μεταδιώκοντα, καὶ παρὰ τὰς μάχας τύχῃ τε ὁμοῦ δεξιωτάτῃ καὶ τῶν στρατηγικῶν ἐπιστήμῃ οὐ μείονι χρώμενον. Οὐ γὰρ ἐν τοῖς ἐμφυλίοις πολέμοις μόνοις περιῆν τῶν ἐναντίων, ἀλλὰ καὶ μετὰ τούτους Σκύθαις πολλάκις προσπολεμήσας ὑποκύψαι τούτους ἠνάγκασεν, ἔς τε σπονδῶν αἴτησιν καταφυγεῖν. Ὧν μεταδοὺς καὶ οὐκ ἀποχρησάμενος τοῖς προτερήμασι, μεγίστας παρὰ τοῖς βαρβάροις ἔθνεσι δικαιοσύνης τε καὶ ἰσχύος μνήμας ἀπέλιπεν. Ἔχαιρε δὲ ἀνέκαθεν ἐλευθερίοις μαθήμασι καὶ ἐν ἐπαίνῳ παιδείαν ἐποιεῖτο καὶ λόγους. Δίκαιόν γε μὴν ἐξ ἁπάντων ἔρωτα θηρώμενος ἐτύγχανε τῆς σπουδῆς, τῷ δεξιῷ τε τῆς φύσεως καὶ περὶ τὰς δωρεὰς δαψιλεῖ. Ὡς γὰρ δὴ πρός τινας τῶν γνωρίμων ὑπούλως τε καὶ οὐχ ὑγιῶς ἔσχεν, οὕτως ἄρα πρὸς τοὺς πολλοὺς βέβαιος ὤφθη καὶ πιστότατος, οὐδένα καιρὸν παρείς, οὐδὲ ἀπολιπὼν τι φροντίδος, ὡς δυνατωτέρους τε χρήμασι καὶ λαμπροτέρους ταῖς τύχαις ἀποφαίνοι τοὺς ἐπιτηδείους.

171.

Exc. Salm. p. 398 : Κωνσταντῖνος ὁ μέγας λίθους πολυτελεῖς πέμψας τοῖς πέρας Ἴστρου ἔθνεσιν, ἐπέγραψε « Τῷ μείζονι τῷ δῶρον. » Τοῦτο γέγονεν αὐτοῖς αἴτιον ἀπωλείας.

171 a.

Codinus De ædif. Const. p. 113, 16 ed. Bonn. · Περὶ δὲ τοῦ Βοσπορίου ἐπωνυμίας ταῦτα φησὶν Ἰωάννης ὁ Ἀντιοχεύς, ὅτι εἰς τὸ σιγματοειδὲς τοῦ τείχους εἶχον ἔθος πωλεῖν τοὺς βόας (ὃ καὶ ἐκράτει μέχρι τοῦ Κοπρωνύμου), εἷς δέ ποτε βοῦς οἰστρηλατήσας εἰσῆλθε τὴν θάλασσαν καὶ ἐπέρασεν εἰς Χρυσόπολιν, καὶ διὰ τοῦτο ἐκλήθη Βοσπόριον.

ΚΩΝΣΤΑΣ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΟΣ.

172.

Exc. De virt. p. 838 : Ὅτι Κώνστας ὁ παῖς τοῦ μεγάλου Κωνσταντίνου χρόνον τινὰ προὔστη τῆς ἡγε-

---

expulsus, ut Constantino genero jungeretur : moliens tamen Constantinum reperta occasione interficere, qui in Galliis et militum et provincialium ingenti jam favore regnabat, cæsis Francis atque Alamannis, captisque eorum regibus, quos etiam bestiis, quum magnificum spectaculum muneris parasset, objecit. Detectis igitur insidiis per Faustam filiam, quæ dolum viro nuntiaverat, profugit Herculius, Massiliæque oppressus (ex ea etenim navigare ad filium præparabat), pœnas dedit justissimo exitu. — Ἀλαμανούς] Ἀλβανούς cod. — ἀναιρεθεὶς ἐν δίκῃ] Post hæc in cod. sequuntur, tanquam ad eandem rem pertinentia : ὀγδόη γάρ που καὶ εἰκοστῇ etc., quæ leguntur in fragm. 174.

Fr. 170. Eutropius X, 4 : *Verum insolentia rerum secundarum aliquantum Constantinum ex illa favorabili animi docilitate mutavit. Primum necessitudines persecutus Crispum filium, egregium virum et sororis filium, commodæ indolis juvenem* (τῆς ἀδελφῆς τὸν υἱὸν Κομμόδης Joann.), *interfecit; mox uxorem, post numerosos amicos. Vir primo imperii tempore optimis principibus, ultimo mediis comparandus. Innumeræ in eo animi corporisque virtutes claruerunt. Militaris gloriæ appetentissimus, fortuna in bellis prospera fuit, verum ita, ut non superaret industriam. Nam etiam Gothos, post civile bellum, varie profligavit, pace his ad postremum data, ingentemque apud barbaras gentes memoriam gratiæ collocavit. Civilibus artibus et liberalibus studiis deditus, affectator justi amoris, quem ab omnibus sibi et liberalitate et docilitate quæsivit. Sicut in nonnullos amicos dubius, ita in reliquos egregius : nihil occasionum prætermittens, quo opulentiores eos clarioresque præstaret.* — Κομμόδης] Latina Eutropii non satis intellexit interpres. — ἀποχρησάμενος] Hunc locum citat Suidas v. ἀποχρησάμενος.

Fr. 171. *a.* Codex Paris. 3058 hæc ita habet : Ὅτι τὸ Βοσπόριον, καθώς φησιν Ἰωάννης ὁ Ἀντιοχεύς, ὅτε Βύζας ἔκτισε τὸ Βυζάντιον, βοῦν ἀπέστειλεν ἀπὸ τοῦ προσφορίου (βοοσφορίου?), καὶ ἀπῆλθεν εἰς Χρυσόπολιν, καὶ οὕτως ἐκλήθη Βοσπόριον. Ἐκεῖ δὲ ἐπωλοῦντο οἱ βόες καὶ εἰς τὸ σιγματοειδὲς τεῖχος μέχρι τοῦ Κοπρωνύμου. Ἐκεῖνος ὥρισεν εἰς τὸν Ταῦρον πωλεῖσθαι. Copronymus est Constantinus V, Leonis f. (741—775). Quemadmodum Hesychius Milesius quo loco de urbe a Constantino condita agit, etiam de originibus Byzantii et incrementis sermonem instituit, sic Joannem quoque fecisse suspicor. Quare hunc fragmento locum assignavi.

Fr. 172. Eutropius X, 5 : *Constantis imperium strenuum aliquamdiu et justum fuit. Mox quum et valetudine*

μονίας ὀρθῶς· τὸ δὲ τελευταῖον ἀτόπους νοσῶν ἐπιθυμίας καὶ φίλων ὁμιλίαις οὐχ ὑγιαινούσαις χρώμενος πρὸς βαρύτατα κατηνέχθη μειονεκτήματα. Δι' ἃ δὴ φορτικὸς τοῖς τῶν ἐθνῶν ἐποίκοις καὶ οὐ πρὸς θυμοῦ τοῖς στρατιώταις ἦν.

Ὅτι καὶ ἐν τοῖς οἴκοι διαιτήμασιν οὐκ ἐπαινετὸς γέγονεν. Ἐν δὲ δὴ τοῖς ἐπὶ τῶν στρατοπέδων ἄριστος ὡς τὸ πολὺ καὶ εὐτυχέστατος. Τοῖς τε γὰρ στρατιωτικοῖς τέλεσιν ἐν παντὶ φοβερὸς τῷ βίῳ, καίπερ ἐς οὐδεμίαν πώποτε προαχθεὶς ἀπηνῆ τε καὶ σκληρὰν τῶν ἁμαρτανομένων κόλασιν. Κωνστάντιός γε μὴν ἐναντίαν ταῖς εἰρημέναις εἰλήχει τύχην, ἄριστος μὲν ὢν τὰ πολιτικὰ, οὐ δεξιῷ δὲ παρὰ τὰς μάχας δαίμονι χρώμενος.

173.

Ibid. p. 841 : Ὅτι Βετρανίων ὁ ἐν Ἰλλυριοῖς ἀναγορευθεὶς βασιλεὺς πρὸς μακρὸν ἤδη γῆρας ἐληλακὼς, ἐμπειρίας τε καὶ τύχης ἕνεκα τῆς ἐν τοῖς στρατηγικοῖς ἀνὴρ δεδοκιμασμένος καὶ ἀρχαῖος τὸ ἦθος τῷ τε κοινῷ καὶ δημοτικῷ τῶν τρόπων προσαγόμενος τὸ ὑπήκοον· πλὴν ὅσον παιδείας γε παντάπασιν ἀμαθῶς τε καὶ ἀμυήτως ἔχων, ὡς μηδὲ τὰ πρῶτα παρὰ τοῖς γραμματισταῖς ἐκμεμαθηκὼς στοιχεῖα, ἀλλὰ καὶ τούτων ἐν γήρᾳ καὶ μόλις παρὰ τὸν καιρὸν τῆς βασιλείας τὴν γνῶσιν παρειληφώς.

174.

Exc. De ins. p. 62 : Ὀγδόῃ γάρ που καὶ εἰκοστῇ μετὰ τὴν ἐπανάστασιν ἡμέρᾳ πρὸς τῶν Μαγνεντίου στρατηγῶν ἁλοὺς διεφθάρη, τῆς κεφαλῆς ἀφαιρεθείσης ἣν ἐπὶ κοντοῦ τινὸς αἰωρήσαντες, περὶ πᾶσαν τὴν πόλιν οἱ ἁλόντες ἤγαγον· ἐφ' ᾧ δὴ χρημάτων τε ἀπαγωγαὶ βαρεῖαι καὶ φόνοι τῶν ἐπιφανεστάτων Ῥωμαίων ὑπονοίᾳ τῆς πρὸς Νεπωτιανὸν κοινωνίας ἐγένοντο. Οὐ πολλῷ γε μὴν ὕστερον Μαγνέντιος Μορσῆς πόλεως πλησίον ἐξεωσθεὶς τῆς παρατάξεως πρὸς τῶν περὶ τὸν Κωνστάντιον, καὶ οὐ πολὺ ἀποσχὼν καὶ αὐτὸς ὑπὸ χεῖρα τοῖς πολεμίοις πεσεῖν, φεύγει, πολλῆς ἑκατέρωθεν Ῥωμαϊκῆς ἐν τούτῳ τῷ ἀγῶνι διεφθαρμένης, ἣ πρὸς ὀθνείους τε καὶ βαρβαρικοὺς ἀχθεῖσα πολέμους, ἀξιόχρεως ἂν ἐγένετο, καὶ πολλῶν ἐπινικίων πομπῶν ἀσφαλείας τε τοῖς ὁμοφύλοις κατέστη πρόξενος. Κωνστάντιος δὲ πρὸς τὸν ἐμφύλιον τρέπεται πόλεμον. Μεθ' ὃ δὴ Μαγνέντιος συχναῖς ἐλαττωθεὶς μάχαις, ἑαυτὸν αὐτοχειρὶ θανάτῳ περὶ Λούγδουνον πόλιν ἐξάγει τοῦ βίου, τὴν μητέρα προανελὼν, τετάρτῳ τῆς βασιλείας ἐνιαυτῷ καὶ μηνὶ ἑβδόμῳ. Ὁ ἀδελφὸς αὐτῷ κοινωνεῖ τοῦ θανάτου, Καῖσαρ ἐπὶ φυλακῇ τῶν Γαλλιῶν ἀποδεδειγμένος.

Περὶ τούτους γε μὴν τοὺς χρόνους ὑπὸ Κωνσταντίου τοῦ βασιλέως Γάλλος ὁ Καῖσαρ ἐπὶ πολλαῖς καὶ ἀτόποις ἀναιρεῖται πράξεσιν, ἀνὴρ ἄγριος τὴν φύσιν ὢν, καὶ τυραννίδα τὴν ἀρχὴν καταστησόμενος ἂν, εἴπερ αὐτοκράτορι γνώμῃ προστῆναί οἱ τῆς ἡγεμονίας ἐξεγένετο. Σιλβανός τέ τις κατὰ τὴν Γαλλίαν νεωτέρων ἁπτόμενος, πρὸ τριακοστῆς ἡμέρας ἐκποδὼν κατέστη.

175.

Exc. De virt. p. 841 : Ὅτι Κωνστάντιος ὁ παῖς τοῦ μεγάλου Κωνσταντίνου μόνος τῆς Ῥωμαίων ἀρχῆς ἁπάσης καταστὰς, βαρὺς ἦν τοῖς μὴ βουλομένοις τὰ Ἀρείου φρονεῖν, ποικίλαις τε τιμωρίαις αἰκίζων ἄνδρας τε καὶ γυναῖκας. Καὶ ξέναι παρὰ τὰς Ἑλλήνων κολάσεις ὑπὸ τῶν χριστιανίζειν λεγόντων ἐγίνοντο.

2. Ὅτι Κωνστάντιος ἀνὴρ ἦν ἤπιος καὶ γαληνὸς τὸν τρόπον, καὶ τοῖς φίλοις τε καὶ οἰκείοις ἐς τὰ μάλιστα πιστός· ἀπό τε τῆς τοῦ ἤθους πρᾳότητος κα' ταῖς οἰκείαις τῶν γυναικῶν πέρα τοῦ μετρίου κεχαρισμένος.

---

improspera et amicis pravioribus uteretur, ad gravia vitia conversus, quum intolerabilis provincialibus, militibus injucundus esset, factione Magnentii interfectus est (obiit haud longe ab Hispaniis in castro, cui Helenæ nomen est, anno imperii decimo septimo, ætatis trigesimo); rebus tamen plurimis strenue in militia gestis, exercituique per omne vitæ tempus sine gravi crudelitate terribilis. Diversa Constantii fortuna fuit.

Fr. 173. Eutrop. X, 6 : *Post Constantis necem... etiam Illyricum res novas habuit, Vetranione ad imperium consensu militum electo : quem grandævum jam et cunctis amabilem, diuturnitate et felicitate militiæ, ad tuendum Illyricum principem creaverunt : virum probum et morum veterum ac jucundæ civilitatis, sed omnium liberalium artium expertem adeo, ut ne elementa quidem prima literarum nisi grandævus et jam imperator acceperit.* — ἀλλὰ καὶ] ἅμα καὶ cod.

Fr. 174. Fragmentum acephalum. V. not. ad fr. 169. Eutrop. X, 6 : *Romæ quoque tumultus fuit, Nepotiano, Constantini sororis filio, per gladiatoriam manum imperium invadente, qui sævis exordiis dignum exitum nactus est. Vigesimo enim et octavo die a Magnentianis ducibus oppressus pœnas dedit. Caput ejus pilo per urbem circumlatum est. Gravissimæque proscriptiones et nobilium cædes fuerunt. Non multo post Magnentius apud Mursam profligatus acie est, ac pæne captus. Ingentes Romani imperii vires ea dimicatione consumptæ sunt, ad quælibet bella externa idoneæ, et quæ multum triumphorum possent securitatisque conferre. Orienti mox a Constantio Cæsar est datus patrui filius Gallus : Magnentiusque, diversis prœliis victus, vim vitæ suæ apud Lugdunum attulit, imperii anno tertio, mense septimo; frater quoque ejus Senonis, quem ad tuendas Gallias Cæsarem miserat. Per hæc tempora etiam a Constantio, multis incivilibus gestis, Gallus Cæsar occisus est, vir natura ferus et ad tyrannidem pronior, si suo jure imperare licuisset. Silvanus quoque in Gallia res novas molitus, ante diem trigesimum exstinctus est.* — ὑπονοίᾳ] Cramer.; ὑπόνοιαν cod.

Fr. 175. § 2. Eutrop. X, 7 : *Vir egregiæ tranquillitatis, placidus, nimis amicis et familiaribus credens, mox etiam uxoribus deditior.*

176.

Exc. Salm. p. 398 : Ἰουλιανὸς Καῖσαρ προβληθεὶς εἶπεν,

Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή·

ὡς καὶ τοῦ ἀδελφοῦ αὐτοῦ ἐν τούτῳ τῷ σχήματι ἀπολωλότος. Κωνσταντῖνος πρὸ ὀλίγων ἡμερῶν τῆς αὐτοῦ τελευτῆς ἔδοξε κρατεῖν σφαῖραν, ταύτην δὲ παῖδα τινὰ προσελθόντα ἁρπάζειν ἐκ τῶν χειρῶν αὐτοῦ.

ἸΟΥΛΙΑΝΟΣ.

177.

Exc. De ins. p. 62 : Ὅτι Ἰουλιανὸς ὁ παραβάτης μέχρι μέν τινος δεύτερα λόγων διετέλει τῷ αὐτοκράτορι. Ἐπεὶ δὲ πρὸς φθόνον τῶν οἱ δρωμένων κινηθεὶς Κωνστάντιος τὰς Γερμανικὰς καλουμένας φάλαγγας, ἐπὶ φυλακῇ τῆς Γαλατίας ἐκ τοῦ παλαιοτάτου καθιδρυμένας, ἀπιέναι τῆς συνήθους ἠνάγκαζε διατριβῆς, ὡς μονωθεὶς Ἰουλιανὸς αὐτῷ τε καὶ τοῖς βαρβάροις εὐεπιχείρητος εἴη, καταινέσει τῶν στρατιωτῶν, αἰσθομένων τῆς τοῦ Κωνσταντίου γνώμης, αὐτοκράτωρ ἀποδείκνυται· ἐνιαυτόν τε καταμείνας αὐτόθι, τὴν Γαλατίαν κατεστήσατο. Ἄρας δὲ τὸν στρατὸν, οὔτε ἐπὶ Ἰταλίας τὴν πορείαν ἐποιεῖτο, οὔτε εὔδηλος ἦν πρὸς τὸν ἐμφύλιον ὡρμημένος πόλεμον· ἀλλ' ἐπὶ τοὺς βαρβάρους αὖθις ἵετο. Γενόμενος δὲ πρὸς τῷ ποταμῷ, καὶ ἐπιστρέψας τὴν πορείαν ἐχώρει [ἐπὶ] τῶν Ἑρκυνίων καλουμένων δρυμῶν· ἐκεῖ δὲ ναῦς ποταμίας κατασκευασάμενος, καὶ τῆς στρατιᾶς ὅσον ἦν κράτιστον ἀναλαβὼν, παρὰ τὴν ποταμίαν ὄχθην ἐκομίζετο, ὡς ἂν λάθοι. Καὶ πολλὰ εἰργάσατο. Ὁ δὲ Κωνστάντιος ἐπεὶ ᾔσθετο τοῦτο, πρὸς τὸν ἐμφύλιον πόλεμον σὺν ὀργῇ τρέπεται· οὐ μὴν ἐξεγένετό οἱ διὰ μάχης ἐλθεῖν τῷ Ἰουλιανῷ, βραβεύσαντος τοῦ θεοῦ τὸν πόλεμον, καὶ κατὰ μέσην αὐτῷ τὴν πορείαν ἐπιγενομένης τῆς τελευτῆς περὶ Μοψουεστίαν πόλιν, ἐν ὅροις Κιλίκων τε καὶ Σύρων κειμένην, με' τῆς ἡλικίας ἐνιαυτῷ, τῆς δὲ βασιλείας λη'.

178.

Exc. Salm. p. 398 : Ἀδαρνάσης παιδίον ὢν ἠρωτήθη ὑπὸ τοῦ ἰδίου πατρὸς Ναρσαίου, βασιλέως Περσῶν, εἰ καλὴ εἴη ἡ σκηνὴ ἡ προσαχθεῖσα αὐτῷ ἐκ δερμάτων Βαβυλωνίων· ὁ δὲ εἶπεν, ὡς, εἰ καὶ κρατήσει τῆς βασιλείας, καλλίονα ταύτης ποιήσει ἐξ ἀνθρωπίνων δερμάτων· καὶ κρατήσας ἐξέπεσε τῆς βασιλείας, ἔχων δύο ἀδελφοὺς, ὧν τὸν μὲν ἕνα Σάπωρον κρατήσας ἐτύφλωσε, τὸν δ' ἕτερον Ὁρμίσδην εἶχεν ἐν φυλακῇ· οὗ ἡ μήτηρ, συνειδυίας καὶ τῆς αὐτοῦ γυναικὸς, δεσμοὺς σιδηροῦς τέχνῃ τινὶ κατασκευάσασα μαργαριτῶν ἔσωθεν ἐνέπλησε, καὶ δεηθεῖσα τῶν φυλάκων, τοὺς μὲν προτέρους δεσμοὺς ὡς βαρεῖς ἀφείλετο, ἐκείνους δὲ ἐπιτέθεικεν, ὡς ἂν, εἰ δυνηθείη φυγεῖν, ἄνευ βάρους πλοῦτον ἐπιφέροιτο. Ἡ δὲ γυνὴ αὐτοῦ ῥινίον αὐτῷ δέδωκεν, καὶ δειπνίσασα τοὺς φύλακας ὑπνῶσαι ἐποίησεν. Ὁ δὲ καιρὸν εὑρὼν ἐπιτήδειον τὰ δεσμὰ ῥήξας ἔφυγε, καὶ ἵππῳ χρησάμενος κατὰ διαστήματα ἐν σχήματι δουλικῷ παρὰ Λικιννίου φιλοτίμως ὑπεδέχθη. Ἦν δὲ ἀκοντιστὴς τοιοῦτος, ὥστε ἐκεῖνον μόνον ἀναίμακτον λέγεται ἐσχηκέναι τὸ δόρυ, ὃ μετὰ ταῦτα ἐν εἰκόνι κατέχων ἐγράφη.

2. Ἰουλιανὸς ὡράθη τισὶ συναιρεσιώταις αὐτοῦ ὑπὲρ πελάγους ἀπείρου καὶ ἀγρίου ἐν τῷ ἀέρι κρεμάμενος, εἰς τὴν θάλασσαν ἀεὶ πεσεῖσθαι προσδοκῶν, καὶ σιδηροῦς κόραξ εἴχετο αὐτοῦ τοῖς ὄνυξι, ῥάμφει δὲ σιδηρῷ τὴν αὐτοῦ κορυφὴν ἀπαύστως ἔπληττεν. Οὗτος ἐλθὼν εἰς Ταρσὸν, εὐδαίμονά τινα μονόφθαλμον ἱερέα Ἀσκληπιοῦ διὰ τὴν τυφλότητα αἰσχυνόμενον ὁραθῆναι αὐτῷ, ἀναζητήσας, τὸν ἠτυχηκότα ὀφθαλμὸν αὐτοῦ ἐνώπιον πάντων κατεφίλησε.

3. Νουμεριανὸς κατηγορεῖτο ὑπό τινος ὡς κεκλοφὼς δημόσια χρήματα· ὁ δ' ἔξαρνος ἦν· ὁ δὲ κατήγορος οὐκ ἔχων ἐλέγχους, « Καὶ τίς, ἔφη, βασιλέων ἄριστε, τῶν ὑπαιτίων δίκην ὑπόσχῃ, εἰ πρὸς ἐκφυγεῖν τὸ ἀρνηθῆναι μόνον ἀρκεύει; » Ὁ δὲ Ἰουλιανὸς, « Καὶ τίς, ἔφη, ἀναίτιος εὑρεθήσεται, εἰ ὁ κατήγορος ἐλέγχων χωρὶς πιστεύοιτο; »

4. Ἰοβιανὸς ἠκολούθει ποτὲ Ἰουλιανῷ, καὶ, συμβὰν οὕτω, τὴν χλαμύδα αὐτοῦ ἐπάτησεν. Ὁ δὲ στραφεὶς πρὸς αὐτὸν, καὶ ὥσπερ ἑρμηνεύων τὸ μέλλον εἶπεν, « Εἴθε γοῦν ἄνθρωπος ἦν. » Καὶ μετὰ θάνατον αὐτοῦ Ἰοβιανὸς αὐτὸν διεδέξατο.

179.

Exc. De virt. p. 841 : Ὅτι Ἰουλιανὸς ὁ μισόθεος καὶ μισόχριστος διανυκτερεύων λόγους συνέγραφε, καὶ τούτους ἐπὶ τῆς συγκλήτου βουλῆς ἐπεδείκνυτο. Ἐτίμα δὲ καὶ τοὺς περὶ παιδείαν ἀσχολουμένους, μάλιστα τοὺς φιλοσοφίαν ἐπαγγελλομένους. Ταῦτα αὐτοῦ ἀσκοῦντος οἱ τῶν ἐπαρχιῶν ἄρχοντες λαμβάνειν τὰ τῶν Χριστιανῶν βουλόμενοι πολλοὺς τιμωρίαις ὑπέβαλλον. Καὶ ὁ μὲν Ἰουλιανὸς κατ' ἀρχὰς τοῖς προσιοῦσιν ἤπιος ὢν, οὐχ ὁμοίως τότε διεγένετο, ἀλλὰ πολλὰ τῶν πραττομένων ὑπὸ τῶν Ἑλληνίζειν δοκούντων παρεώρα. Καὶ

Fr. 176. Κωνσταντῖνος] an Κωνστάντιος?

Fr. 177. δεύτερα λόγων] scrib. aut δεύτερα λέγων aut δευτερολογῶν. — ἐπεὶ δὲ] Cram., ἐπὶ δὲ cod. — ἀπιέναι] vel ἐξιέναι. Codex ἐπιέναι. — τῷ ποταμῷ] sc. Danubio. — Ἑρκυνίων] ὀρκυωνίων cod. Inserui ἐπὶ. — ἐν ὅροις] Cramer., ἐν ὀλίγοις cod. — Μοψουεστίαν] deb. Μοψουκρήνην. V. Ammian. XXI, 15, 2. — λη'] corrupte.

Fr. 178. Hæc ex eodem auctore fluxerunt ex quo hausit Zonaras XIII, 5. Paullo aliter rem narrat Zosimus II, 27. Hormisdæ fuga ad Constantini Magni tempora (an. 323) pertinet; Joannes vero eo loco, ubi de Juliani expeditione Persica exposuit, altius res repetens de Hormisda dixisse videtur. — Ὁρμίσδην] Ὁρμίδην cod.

Fr. 179. Ex parte eadem ap. Socratem H. Eccl. III, 1.

ποτε Χριστιανοὺς ἐκώλυσεν Ἑλληνικῆς παιδείας μεταλαμβάνειν, καὶ πρὸς τὴν βασιλικὴν δορυφορίαν στρατεύεσθαι. Ἐν οἷς ἦν Ἰοβιανός τε καὶ Βαλεντινιανὸς καὶ Οὐάλης, οἱ μετ' αὐτὸν βασιλεύσαντες. Ἐπεὶ δὲ εἶχε τῆς ἐπὶ Πέρσας ὁδοῦ, διά τε τῆς Ἀσίας ἐπὶ Συρίαν καὶ τὴν Ἀντιόχου διελθὼν πόλιν πλεῖστα παρὰ τῶν Χριστιανῶν ἐπορίσατο χρήματα, καὶ μικροῦ δεῖν κατὰ τοῦ δήμου διεγερθεὶς, ὡς εἰς αὐτὸν ἀποσκώψαντος, ὑπὸ Σαλουστίου τοῦ τῶν πραιτωρίων ἐπάρχου παρεκλήθη.

180.

Ibid. p. 842 : Ὅτι φησὶν ὁ Ἰωάννης οὑτοσὶ περὶ τοῦ Παραβάτου Ἰουλιανοῦ, ὡς μόνος τὸ Ῥωμαϊκὸν καλῶς διῴκησεν, ἀνώρθωσέ τε αὐτὸ, εἰ μὴ ἐς ἐναντίωσιν τὰ ἐκ τοῦ δαιμονίου κατέστη· πάσης γὰρ παιδείας τά τε Ῥωμαίων, οὐχ ἥκιστα δὲ καὶ Ἑλληνίδα γλῶτταν ἐς ἄκρον συνειλήφει, ὀξὺς μὲν ὢν συνιδεῖν τὸ πρακτέον, ἑτοιμότερος δὲ τοῦτο ἐξαγγεῖλαί τε καὶ ἑρμηνεῦσαι, μνήμην τε ἁπάντων βεβαίαν ἔχων, σοφὸς μὲν τὰ οὐράνια, ἔμφρων δὲ τὰ ἀνθρώπινα. Πρὸς δὲ τοὺς φίλους μεγαλόφρων τε καὶ ἐλευθέριος, πλὴν ὅσον οὐκ ἐξητασμένος οὐδὲ ἀκριβὴς ἦν ἐν ταῖς τούτων κτήσεσι τὸν ἁρμόζοντα τοιῷδε βασιλεῖ τρόπον. Ἐγένοντο γοῦν τινες οἱ μῶμον τῇ τοῦ ἀνδρὸς δόξῃ τοῖς ἑαυτῶν ἀνέθεσαν μειονεκτήμασι, πολλὰ τῶν ἀλλοτρίων λαμβάνοντες προφάσει τῆς Ἑλληνικῆς δοκήσεως, οὐ μόνον ἀγνοοῦντος τοῦ βασιλέως, ἀλλὰ καὶ κωλύοντος. Τοῖς γε μὴν τῶν ἐθνῶν ἐποίκοις τὰ τῶν δασμῶν καθόσον ἠδύνατο καθῄρει μέτρα καὶ τὸ δημοτικὸν καὶ κοινὸν τοῦ ἤθους πρὸς ἅπαντας ὁμοίως τοὺς ὑπηκόους ἐξέφερε· χρημάτων μὲν ἀθροίσεως ὀλίγα πεφροντικὼς, δόξης δὲ ἐπιθυμητικῶς τε καὶ ἀκορέστως ἔχων, ὡς πολλάκις καὶ τὸ μέτρον ὑπερβαίνειν ταῖς ἐγχειρήσεσι. Ἐβέβλαπτο δὲ μόνον περὶ τὴν τοῦ σωτῆρος Χριστοῦ δόξαν ἐναντίως ἔχων καὶ ἐνιστάμενος τοῖς τὰ Χριστιανῶν μετιοῦσι δόγματα, οὐ μὴν ὥστε ὠμὸν ἢ φονικόν τι ἐργάσασθαι πώποτε. Συνελόντι δὲ εἰπεῖν, Μάρκῳ Ἀντωνίῳ προσόμοιος ἦν, ὃν δὴ καὶ ζηλοῦν ὡς ἐπίπαν ἐσπούδαζεν.

ΙΟΒΙΑΝΟΣ.

181.

Ibid. p. 845 : Ὅτι Ἰοβιανὸς ὁ βασιλεὺς Ῥωμαίων ὁ μετὰ Ἰουλιανὸν ἄρξας τῇ τοῦ πατρὸς μᾶλλον ἤπερ τῇ οἰκείᾳ δόξῃ τοῖς περὶ τὸ στρατόπεδον ἐγνωστο. Ὃς ἡνίκα Ἰουλιανὸς αἵρεσιν τοῖς στρατευομένοις ἐτίθει, θύειν ἢ ἀποστρατεύεσθαι, μᾶλλον τὴν ζώνην ἀποθέσθαι ἐβούλετο. Ἐλθὼν δὲ εἰς Νίσιβιν πόλιν πολυάνθρωπον καὶ εὐδαίμονα, δύω μονῶν ἡμερῶν ἐνδιατρίψας αὐτῇ, ὅσαπερ εἶχε χρήματα κατηνάλωσε, τοῖς ἐν αὐτῇ κατοικοῦσι μηδενὸς μεταδοὺς ἢ λόγου φιλανθρώπου ἢ πράξεως ἀγαθῆς· νυκτός τε ὑπεχώρησε χαίρειν αὐτῇ πολλὰ φράσας, ὥσπερ ἐχθρῷ καὶ νεκρῷ σώματι μηδὲ δάκρυον ἐπισταλάξας, δι' ἣν αὐτός τε ἐσώθη καὶ τοὺς ὑπολειφθέντας ἐκ τῶν τοῦ πολέμου κινδύνων διέσωσεν· ἄνθρωπος οὐ δι' ἀρετὴν οἰκείαν, ἀλλὰ διὰ τὴν τοῦ πατρὸς δόξαν εἰς τοσοῦτον τύχης προελθών. Ἦν μὲν γὰρ οὐδὲ παντάπασιν ἀσθενὴς τὸ σῶμα, οὔτε πολεμικοῖς ἔργοις ἀγύμναστος· ἀμελέτητος δὲ ὢν καὶ ἄγευστος παιδεύσεως, καὶ ἣν εἶχε φύσιν διὰ ῥᾳθυμίαν ἠμαύρου καὶ ἠφάνιζε. Διόπερ καὶ τὴν Νισιβηνῶν πόλιν φεύγων, ὡς εἰπεῖν, ᾤχετο, ἀπολαῦσαι σπουδάζων τῷ συμβάντι

— Χριστιανοὺς ἐκώλυσεν Ἑλληνικῆς παιδείας μεταλαμβάνειν.] « Idem tradit Socrates, Theodoretus ac Sozomenus, iisque posteriores Zonaras ac Cedrenus. Constat tamen Julianum non discendi, sed docendi tantum ac publice profitendi facultatem Christianis ademisse. Sic Marcellinus l. V : *Inter quæ erat illud inclemens quod docens vetuit magistros rhetoricos et grammaticos Christianos ni transissent ad numinum cultum.* Accedit Eunapius (Vit. Proæres. p. 92 ed. Boiss.), qui Proæresium magistrum suum imperante Juliano scribit a docendi munere exclusum fuisse eo quod Christianus esse videretur. Nec dissentit Orosius, cujus hæc sunt verba l. VII : *Aperto tamen præcepit edicto ne quis Christianus docendorum liberalium studiorum professor esset.* Postremo exstat edictum ipsum Juliani inter ejusdem epistolas, quo diserte edicit eam legem ad solos professores ac magistros pertinere. Τοῖς μὲν καθηγεμόσι καὶ διδασκάλοις οὑτωσὶ κοινὸς κεῖται νόμος· ὁ βουλόμενος γὰρ τῶν νέων φοιτᾶν οὐκ ἀποκέκλεισται. Sed edictum ipsum obscurioribus verbis de industria conceptum fuisse mihi videtur, eo ut invidia atque atrocitas rei molliretur. Plura vide in Annalibus Cardinalis Baronii, cujus opinionem temere reprehendit Rob. Montacutus in Notis ad Gregorii Στηλιτευτικόν. » VALESIUS.

Fr. 180. Eutropius X, 8 : *Vir egregius et rempublicam insigniter moderaturus, si per fata licuisset. Liberalibus disciplinis apprime eruditus : Græci doctior, atque adeo ut Latina eruditione nequaquam cum Græca scientia conveniret. Facundia ingenti et prompta, memoriæ tenacissimæ, in quibusdam philosopho propior. In amicos liberalis, sed minus diligens, quam tantum principem decuit. Fuerunt enim nonnulli, qui vulnera gloriæ ejus inferrent. In provinciales justissimus, et tributorum, quatenus fieri posset, repressor; civilis in cunctos; mediocrem habens ærarii curam; gloriæ avidus, ac per eam animi plerumque immodici; nimius religionis Christianæ insectator, perinde tamen ut cruore abstineret; Marco Antonino non absimilis, quem etiam æmulari studebat.*

Fr 181. Ὅτι Ἰοβιανός... ἔγνωστο] Eutrop. X, 9 : *Post hunc Jovianus, qui tunc domesticus militabat, ad obtinendum imperium consensu exercitus electus est : commendatione patris, quam sua, militibus notior.* Quæ sequuntur aliunde petita sunt, in iisque recurrunt, quæ modo ex Eutropio citavimus. — ὃς ἡνίκα κτλ.] Inde ab his verbis eadem habet Suidas v. Ἰοβιανός, in nonnullis brevior, in aliis plenior. — δύω μονῶν ἡμερῶν] δύο μόνον ἡμερῶν ap. Suidam e 2 codd. Pariss. reposuit Bernhardyus. Priores editiones exhibebant δύο μῆνας; in uno Suidæ cod. legitur : δύο χρόνους, *duos annos.* — νυκτός τε... διέσωσεν] Hæc om. Suidas. Ceterum Marcellinus de Joviano ad Nisibin urbem aggresso ita habet lib. XXV : *Post quæ itinere festinato Nisibi cupide visa extra urbem stativa castra posuit princeps, rogatusque, enixe precante multiplice plebe, ut ingressus palatium more succederet principum, pertinaciter reluctatus est, erubescens agente se intra muros urbem inexpugnabilem iratis hostibus tradi.* — τοσοῦτον τύχης] τ. ἀρχῆς Suid. — ἠφάνιζε] Quæ post hanc vocem sequuntur, sic non le-

αὐτῷ παρ' ἐλπίδα ἀξιώματι, καὶ γίνεσθαι τῶν Ῥωμαϊκῶν ἐθνῶν ἐντὸς εἰς ἐπίδειξιν τῆς τύχης· καὶ ἤλαυνεν ἐπὶ Συρίαν μετὰ τοῦ στρατοῦ παντός. Οἱ δὲ Ἀντιοχεῖς οὐχ ἡδέως διέκειντο πρὸς αὐτὸν, ἀλλ' ἀπέσκωπτον αὐτὸν ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς καλουμένοις φαμώσσοις, μάλιστα μὲν διὰ τὴν τῆς Νισίβιος προδοσίαν, οὐχ ἥκιστα δὲ καὶ περὶ σφῶν αὐτῶν δεδιότες, μή ποτε καὶ αὐτοὺς πρόοιτο, ἀγαπήσας καὶ ἐν ὀλίγῳ μέρει τῆς Ῥωμαϊκῆς οἰκουμένης κρατεῖν· καθαπτόμενοι καὶ τῆς γυναικὸς αὐτοῦ διὰ τὴν τοῦ ἱεροῦ καταστροφήν. Ἀδριανὸς μὲν γὰρ ὁ βασιλεὺς εἰς ἀποθέωσιν καὶ τιμὴν τοῦ πατρὸς Τραϊανοῦ ἔκτισε μικρόν τινα καὶ χαριέστατον ναὸν, ὃν Ἰουλιανὸς ὁ παραβάτης βιβλιοθήκην κατεσκεύασεν· ὃν σὺν τοῖς βιβλίοις Ἰοβιανὸς κατέκαυσε. Καὶ πολλὰ εἰς αὐτὸν εἰπόντων τῶν Ἀντιοχέων, [ἐπράχθη ἂν ἄτοπα,] εἰ μὴ Σαλούστιος παραγενόμενος ἔπαυσε τὴν στάσιν καὶ τὸν Ἰοβιανὸν μὴ βουλόμενον παρώρμησεν ὁδοιπορῆσαι, καὶ ταῦτα χειμῶνος ὄντος, ἐπὶ Κιλικίαν καὶ Γαλατίαν. Καὶ Ἰοβιανὸς μὲν ἐν Δαδαστάνοις ἀφίκετο τὴν τοῦ Χριστοῦ δόξαν ἀνακηρύττων.

Ὅτι Ἰοβιανὸς κατὰ τὴν ἡγεμονίαν κοινός τε καὶ ἐλευθέριος ἔδοξεν εἶναι.

ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΣ ΚΑΙ ΟΥΑΛΗΣ.

182.

Exc. De virt. p. 846 : Ὅτι Οὐαλεντινιανὸς χριστιανὸς ὢν καὶ τὰ τοῦ ὁμοουσίου φρονῶν, οὐδὲν τοὺς ἐναντίους ἠδίκει. Ἐγένετο δὲ καὶ πρὸς τὸ νομοθετεῖν ἑτοιμότατος, φροντίζων καὶ τῆς τῶν θησαυρῶν δικαίας ὑποδοχῆς, πρὸς δὲ ταῖς τῶν ἀρχόντων αἱρέσεσιν ἀκριβὴς καὶ τιμωρὸς τῶν ἀπειθούντων ἀπαραίτητος, ἐπὶ δὲ τοῖς πολέμοις ἄριστος. Ὁ δὲ Οὐάλης τῆς Ἀρείου δόξης μεταποιούμενος μέγιστον ἐκίνει κατὰ τῶν Χριστιανῶν διωγμὸν, ὡς πολλοὺς μὲν ἐν τοῖς δικαστηρίοις ἀναιρεῖσθαι, πολλοὺς δὲ καὶ ἐξορίαις ὑποβάλλεσθαι, καὶ αὐτοὺς δὲ τοὺς κατὰ τὴν ἔρημον ἐμφωλεύοντας τῶν ἰδίων σηκῶν ἀπελαύνεσθαι. Καθ' ὃν χρόνον τῆς μὲν ἐν Ῥώμῃ ἐκκλησίας Λιβέριος προειστήκει, τῆς δὲ ἐν Ἀλεξανδρείᾳ Ἀθανάσιος, καὶ τῆς ἐν Κωνσταντίνου πόλει Εὐδόξιος τῆς Ἀρείου θρησκείας διδάσκαλος.

183.

Exc. Salm. p. 399 : Οὐαλεντινιανὸς ὁ μέγας. Οὐαλεντινιανῷ προσῆλθε γυνὴ χήρα, τῆς οὐσίας αὐτῆς ὑπὸ Ῥοδανοῦ πραιποσίτου ἁρπαγείσης· ὁ δὲ ἐπέτρεψε Σαλουστίῳ κρῖναι αὐτὴν, καὶ κατεκρίθη ὁ Ῥοδανὸς ἀποδοῦναι τὰ ἁρπαγέντα. Ὡς δ' οὐκ ἐπείθετο, καὶ ἡ γυνὴ ὤχλει, ἔκαυσεν αὐτὸν ἐν τῷ ἱπποδρόμῳ ὁ βασιλεύς.

184.

Exc. De insid. p. 63 : Ὅτι ἐπὶ Οὐάλεντος τοῦ ἀρειανόφρονος καὶ Γρατιανοῦ, Προκόπιος τῆς σχολῆς ἐπιλαβόμενος, ἐπανίσταται τῇ Κωνσταντίνου πόλει, ἐθορύβει τε τὰ ἐν αὐτῇ βασίλεια ἱκανῶς, πολλῶν τε γίνεται φόνων καὶ συμφορῶν αἴτιος. Καὶ μέχρι μὲν οὖν τινὸς τῆς τύχης διαφόρως αὐτῷ τε καὶ Οὐάλεντι βραβευούσης, ἔμενεν ὁ τύραννος ἀκλινής· ἐπειδὴ δὲ ὑπὸ τῶν ἰδίων ἐγυμνώθη, δέσμιος ἐν Νακολείᾳ πόλει Οὐάλεντι προσήχθη· ἐκεῖ τε δύω δένδρων ἐκδεθεὶς διεσπα-

guntur ap. Suidam, qui ita pergit : Οὗτος μετὰ Ἰουλιανὸν, ὡς εἴρηται, τῆς Ῥωμαίων βασιλείας ἐγκρατὴς γενόμενος, πάντων καταφρονήσας ἐσπούδαζε τοῦ συμβάντος αὐτῷ ἀξιώματος ἀπολαῦσαι, καὶ φεύγων ἐκ Περσίδος ἐσπευδε γενέσθαι τῶν Ῥωμαϊκῶν ἐθνῶν ἐντὸς εἰς ἐπίδειξιν τῆς τύχης, καὶ τὴν Νίσιβιν πόλιν τοῖς Πέρσαις, πάλαι Ῥωμαίοις οὖσαν κατήκοον, ἐκδίδωσιν. Ἀπέσκωπτον οὖν αὐτὸν ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς καλουμένοις φαμώσσοις (cf. Suid. v. Φάμωσσα), διὰ τὴν τῆς Νισίβεως προδοσίαν. Ὁ δὲ Ἰοβιανὸς ἐκ τῆς γυναικὸς αὐτοῦ κινηθεὶς τὸν ὑπὸ Ἀδριανοῦ τοῦ βασιλέως κτισθέντα ναὸν χαριέστατον ἐς ἀποθέωσιν τοῦ πατρὸς Τραϊανοῦ, παρὰ δὲ τοῦ Ἰουλιανοῦ κατασταθέντα βιβλιοθήκην εὐνούχῳ τινὶ Θεοφίλῳ, κατέφλεξε σὺν πᾶσιν οἷς εἶχε βιβλίοις, αὐτῶν τῶν παλλακίδων ὑφαπτουσῶν μετὰ γέλωτος τὴν πυράν. Οἱ δὲ Ἀντιοχεῖς ἠγανάκτησαν κατὰ τοῦ βασιλέως, καὶ τὰ μὲν ἀπέρριπτον διὰ βιβλίων ἐς τὸ ἔδαφος, ὥστε ἀναίρεσθαι τὸν βουλόμενον καὶ ἀναγινώσκειν· τὰ δὲ τοῖς τοίχοις προσεκόλλησαν. Ἦν δὲ τοιαῦτα·

Ἤλυθες ἐκ πολέμου, ὡς ὤφελες αὐτόθ' ὀλέσθαι·

καί,

Δύσπαρι, εἶδος ἄριστε,

καὶ τὰ ἑξῆς· καί,

Εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω,
χλαῖνάν τ' ἠδὲ χιτῶνα, τά τ' αἰδῶ ἀμφικαλύπτει·
αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ Πέρσας ἀφήσω.

Γραῦς δέ τις μέγαν καὶ καλὸν αὐτὸν θεασαμένη, μαθοῦσά τε ἀνόητον εἶναι, ἐφθέγξατο· « Ὅσον μῆκος καὶ βάθος ἡ μωρία. » Καὶ ἄλλος δὲ ἰδιώτης ἀποτολμήσας μεγάλῃ τῇ φωνῇ βοῆσαι ἐν τῷ ἱπποδρομίῳ, γέλωτα παρέσχε πᾶσιν, εἰπὼν κενὰ καὶ ψυχρὰ τῇ ἡλικίᾳ αὐτοῦ. Καὶ ἐπράχθη ἂν ἄτοπα, εἰ μὴ Σαλούστιός τις ἔπαυσε τὴν στάσιν. Ὁ δὲ Ἰοβιανὸς χειμῶνος ὄντος ὡδοιπόρει ἐπὶ Κιλικίαν καὶ Γαλατίαν, καὶ ἐν Δαδαστάνοις ἀπέθανε, μύκητα πεφαρμαγμένον φαγών. Κατὰ δὲ τὴν ἡγεμονίαν κοινὸς καὶ ἐλευθέριος ἔδοξεν εἶναι. Cum postremis cf. Eutrop. l. l. : *Ac benignitate principum, qui ei successerunt, inter divos relatus est. Nam et civilitate propior, et natura admodum liberalis fuit.* Ceterum v. Tillemont. IV, p. 584 et 702.

Fr. 182. Eadem Suidas v. Οὐαλεντινιανός. — ἐπὶ δὲ τοῖς] ἐπί τε τοῖς Suidæ cod. A. — μεταποιούμενος κτλ.] μεταποιούμενος πολλοὺς ἐξορίαις ὑπέβαλε. Καθ' ὃν χρόνον κτλ. Suidas. — ἐκίνει] ἐνίκει cod. — τῆς Κ. πόλεως] ἐν Κ. πόλει Suidas.

Fr. 183. Eandem rem narrat Suidas v. Σαλούστιος (vide Eunapii fr. 30), Chron. Pasch. p. 558, Cedrenus I, p. 544 edd. Bonn. et Symeon logotheta in Chron. ms.

Fr. 184. Νακολείᾳ] Νακωλείᾳ cod.

ράχθη. Καὶ ὁ Οὐάλης τῇ κατὰ Βιθυνίαν ὀργισθεὶς Χαλκηδόνι, οἷα τῷ τυράννῳ συνελθούσῃ, καὶ αὐτὸν ἐξυβρισάσῃ, τοὺς μὲν εἰς αὐτὴν οἰκοῦντας διέφθειρε, καὶ τὴν τοῦ τείχους αὐτῆς κατάλυσιν ἐποιεῖτο, τοὺς ἐκεῖθεν λίθους εἰς τὸ λεγόμενον Κωνσταντίνου λουτρὸν μεταφέρων· ἔνθα καὶ χρησμὸν εὑρεθῆναι ἐγκεκολαμμένον ἐντὸς τῶν ἀφελκομένων λίθων.

2. Ὅτι Οὐάλης ὁ ἀρειανόφρων τὸ τῶν Γότθων γένος χριστιανίζειν παρασκευάσας, ὑπ' αὐτῶν ὕστερον ἐπολεμεῖτο, ὡς καὶ μέχρι τειχῶν τῆς πόλεως ἀφικέσθαι. Ἀπέσφαξε δὲ καὶ τὸν Μάρκελλον καὶ πολλοὺς ἄλλους, ἐκ τῆς εἰς βασιλείαν ὑποψίας· καὶ ἁπλῶς εἰπεῖν, ἐκινδύνευον ἅπαντες, ὅσοι τὸ Θ ἀρχὴν τῆς προσηγορίας ἐλάμβανον, μάλιστα Θεοδόσιοι καὶ Θεόδοτοι· τοῦτο γὰρ ἡ τῆς νεκυίας αὐτῷ μαντεία ἀπέφηνεν· αὐτίκα δὲ κατὰ τῶν βαρβάρων ἐχώρει· καὶ τελευτᾷ ἡττηθείς.

ΓΡΑΤΙΑΝΟΣ.

185.

Exc. De virt. p. 846 : Ὅτι Γρατιανὸς ὡς ἐπύθετο τὴν τοῦ Οὐάλεντος τοῦ θείου τελευτὴν, αὐτίκα πρὸς τὴν ἑῴαν Ῥώμην διέθει, καὶ καταγνοὺς τῆς τοῦ θείου Οὐάλεντος περὶ τοὺς Χριστιανοὺς ὠμότητος, τοὺς μὲν ὑπ' ἐκείνου ἐξορισθέντας διὰ ταχέων ἀνεκαλεῖτο, οὐσίας τε αὐτοῖς ἀποδιδοὺς καὶ θεραπεύων τὰς βλάβας· πᾶσί τε νόμον παρεῖχεν ἀδεῶς καὶ ἀδηρίτως ἐν ταῖς ἰδίαις ἐκκλησίαις συνάγεσθαι, μόνους δὲ τῶν εὐκτηρίων εἴργεσθαι Εὐνομιανοὺς, Φωτεινιανοὺς, Μανιχαίους.

ΘΕΟΔΟΣΙΟΣ.

186.

Exc. De ins. p. 64 : Ὅτι ἐπὶ Θεοδοσίου τοῦ βασιλέως Μάξιμος ἐκ τῶν περὶ τὰς Βρεττανίας μερῶν ἐπαναστὰς τῇ Ῥωμαίων ἀρχῇ, κάμνοντι τῷ Γρατιανῷ εἰς τὸν κατὰ Ἀλαμανῶν πόλεμον ἐπιτίθεται, καὶ δι' Ἀνδραγαθίου, τοῦ τῆς τυραννίδος κοινωνοῦ, πρὸ Λουγδούνου τῆς ἐν Γαλλίᾳ πόλεως ποταμὸν διαβαίνοντι ἐπιβουλεύεται δολίως. Ἐτελεύτα μὲν οὖν Γρατιανὸς, βιώσας ἔτη κδ', βασιλεύσας ἔτη ιε'.

2. Αἰτία δὲ τῆς κατὰ Γρατιανοῦ κινήσεως τῷ Μαξίμῳ γέγονεν ἥδε. Οὗτος Θεοδοσίῳ τῷ βασιλεῖ κατὰ τὴν Βρεττανίαν συστρατευσάμενος ἐν τοῖς Οὐάλεντος χρόνοις, δυσανασχετῶν ὅτι Θεοδόσιος ἀπὸ Γρατιανοῦ βασιλείας ἠξιώθη, αὐτὸς δὲ οὐδὲ εἰς ἀρχὴν ἔντιμον ἔτυχε προελθών, ἤγειρε τοὺς ἐν Βρεττανίᾳ στρατιώτας εἰς τὸ κατὰ τοῦ βασιλέως ἔχθος· καὶ ἀνηγορεύθη παρ' αὐτῶν βασιλεύς.

3. Τοῦ τοίνυν Γρατιανοῦ κατὰ τὸν εἰρημένον τρόπον ἀναιρεθέντος, περιῆλθεν ἡ ἀρχὴ εἰς Οὐαλεντινιανὸν τὸν νέον καὶ Θεοδόσιον. Ὁπηνίκα δὲ τὸν τοῦ βασιλέως φόνον εἰργάσατο Μάξιμος, εὐθέως ἐπὶ τὴν Ῥώμην ἀφίκετο. Τότε δὴ καὶ ὁ βασιλεὺς Θεοδόσιος ἐν φροντίδι μεγίστῃ καθίστατο, δύναμίν τε κατὰ τοῦ τυράννου ηὐτρέπιζεν, εὐλαβούμενος μὴ καὶ τῷ νεωτέρῳ Οὐαλεντινιανῷ ἐπιβουλεύσειεν. Καὶ ὁ μὲν βασιλεὺς εἰς τὸν κατὰ Μαξίμου πόλεμον ἤλαυνε, καταλιπὼν ἐν τῇ Κωνσταντίνου πόλει Ἀρκάδιον βασιλεύοντα. Καὶ καταλαβὼν τὴν Θεσσαλονίκην, εὑρίσκει τοὺς περὶ Οὐαλεντινιανὸν ἐν πολλῇ ἀθυμίᾳ διάγοντας, ὅτι δι' ἀνάγκην τὸν τύραννον ὡς βασιλέα ἐδέξαντο. Ἀναλαβὼν οὖν τὰς δυνάμεις τῶν στρατιωτικῶν ταγμάτων, ἐπὶ τὴν Μεδιόλανον ἐχώρει· ἐκεῖ γὰρ ὁ Μάξιμος τὰ τοῦ πολέμου διήρτυεν. Οἱ δὲ περὶ τὸν τύραννον, ὡς τὴν τοῦ βασιλέως ἄφιξιν ἐπύθοντο, οὐ πρὸς μικρὸν τὴν ὁρμὴν ἐνεγκεῖν ἠδυνήθησαν, ἀλλὰ καταπτήξαντες δέσμιον αὐτῷ τὸν Μάξιμον ἄγουσιν, ὃς ἀνῃρέθη ἐν τῇ κ' τοῦ Αὐγούστου μηνός. Ἀνδραγάθιος δὲ ὁ τοῦ βασιλέως φονεὺς, τῆς ἥττης γενομένης, εἰς τὸν παρακείμενον ποταμὸν ῥίψας ἑαυτὸν ἀπεπνίγη. Τότε οὖν οἱ βασιλεῖς νικηφόροι ἐπὶ τὴν Ῥώμην ἐχώρουν, συμπαρομαρτοῦντος αὐτοῖς καὶ τοῦ Θεοδοσίου παιδὸς Ὀνωρίου. Ἦσαν οὖν ἐν τῇ Ῥώμῃ ἐπινικίους ἑορτὰς ἐπιτελοῦντες· ὅτε δὴ καὶ τὴν ἑαυτοῦ ἀγαθότητα Θεοδόσιος περὶ τὸν Σύμμαχον ἐπεδείξατο. Οὗτος γὰρ εἰς τοὺς ἀπὸ ὑπατίας τελῶν βασιλικὸν λόγον εἰς τὸν Μάξιμον διεξῆλθεν, καὶ δεδιὼς τὸ τῆς καθοσιώσεως ἔγκλημα, τοῖς τῶν ἐκκλησιῶν ἀσύλοις προσκατέφυγεν· ὃν ὁ βασιλεὺς πάσης φιλανθρωπίας ἠξίωσε, καὶ τῷ τῆς βουλῆς τάγματι συγκατέγραψεν.

187.

Ibid. p. 65 : Ὅτι ἐπὶ Θεοδοσίου τοῦ βασιλέως,

— διεσπαράχθη] διεσπαράχθη cod. Capite truncatum esse referunt Ammian. XXVI, 8 et Philostorg. IV, 5; Zosimus IV, 8 genus supplicii non definivit. Cum Joanne autem facit Socrates H. Eccl. IV, 5, cujus narrationem jure respuit Tillemont. V, p. 693. — § 2. ἀπέσφαξε Μάρκελλον] V. Ammian. XXVI, 10, 1; Zosim. IV, 8, 3. — ὅσοι τὸ θ'] Hæc jungenda sunt cum narratione de conjuratione *Theodori*, de qua v. Zosim. IV, 13.

Fr. 185. Eadem Suidas v. Γρατιανός.

Fr. 186. § 1. Excerpta sunt ex Socrat. H. Eccl. V, 11. — Ἀλαμανῶν] Socrat.; Ἀλλαμαννῶν codex. Eodem modo de morte Gratiani (an. 383) exponit Sozomenus VII, 13. De aliorum narrationibus v. Tillemont. V, p. 179. — ἔτη ιε'] e Socrate et Sozomeno reposui pro ἔτη ιδ', quod aperte corruptum est. V. Tillemont. V, p. 734. — § 2. Hæc non habet Socrates. — § 3. Οὐαλεντινιανὸν] Οὐαλεντιανὸν codex h. l. et in sqq. — τότε δὴ] τότε δὲ Socrates V, 12 sq., unde hæc descripta sunt. — τὸν τύραννον] sc. Maximum; τοῦ τυράννου codex. — ἐν τῇ κ'] ἐν τῇ αὐτῇ ὑπατείᾳ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ Αὐγούστου μηνός Socrates V, 14. — ἀσύλοις] σημαῖς codex; Cramer. dedit συγκλήτοις, in nota monens: « Dubiæ lecturæ est hæc vox. » Socrates l. l.: Διὰ τοῦτο δὴ δεδιὼς τὸν θάνατον, τῇ ἐκκλησίᾳ προσέφυγεν. — καὶ τῷ τῆς βουλῆς ταγμ. συγκ.] De his nihil apud Socratem.

Fr. 187. Narrationem hanc eodem modo introducit et persequitur Zosimus IV, 53 sqq., nisi quod non novit preces

Οὐαλεντινιανὸς ὁ νέος βασιλεὺς ἀγγέλλεται ἐξ ἐπιβουλῆς τοιᾶσδε τεθνηκέναι. Ὁ τούτου πατὴρ Οὐαλεντινιανὸς γυναιξὶ πλείοσιν ἐχρήσατο παρὰ τοὺς διατεταγμένους Ῥωμαίων νόμους. Ἡ τοίνυν τούτου δευτέρα γυνὴ θυγάτηρ μὲν ἐλέγετο γεγενῆσθαι Ἰούστου, Μαγνεντίου δὲ γυνὴ τοῦ τυραννήσαντος κατὰ Κωνσταντίου χρόνους, [ἣ] διὰ νεότητα οὐ τυχοῦσα τέκνων ἐξ ἐκείνου χηρεύουσα καὶ ἐγκρατευομένη διετέλει· ἧς διὰ κάλλους ὑπερβολὴν ἐρασθεὶς ὁ βασιλεύς, ἄγεται ταύτην κατὰ δεύτερον γάμον· ἐξ ἧς Οὐαλεντινιανὸς ὁ νέος, ὁ Θεοδοσίῳ συμβασιλεύσας, ἐτέχθη, καὶ Γάλλα ἡ Θεοδοσίῳ συναφθεῖσα μετὰ τὴν Φλακίλλης τελευτήν, καθ' ὃν καιρὸν τόν τε Μάξιμον ἐνίκα καὶ τὸν Οὐαλεντινιανὸν ἔσωζεν· ὥστε ὑπῆρχεν αὐτῷ πρὸς τὰ κοινὰ τῆς βασιλείας καὶ ἡ τῆς κηδείας συνάφεια. Τότε δὴ οὖν τῆς τοῦ Οὐαλεντινιανοῦ ἀναιρέσεως διαγγελθείσης, μέγιστον κατεῖχε πένθος αὐτόν τε τὸν βασιλέα τῆς ἕω καὶ τὴν ἀδελφὴν τοῦ τετελευτηκότος, βασιλίδα Γάλλαν· μεγάλῃ τε ἐμελετᾶτο τοῦ πολέμου σπουδῇ κατὰ τοῦ τὸν φόνον ἐργασαμένου. Ἀρβογάστης δὲ ἦν, ἐκ τοῦ Φράγκων γένους, Βαύδωνος, τοῦ πρὸς Γρατιανοῦ τοῦ βασιλεύσαντος τὴν στρατοπεδαρχικὴν ἐξουσίαν ἐπιτραπέντος, υἱός, φλογοειδής τε καὶ βάρβαρος τὴν ψυχήν· ὃς τὸν Οὐαλεντινιανὸν βιασάμενος, εἰς τὴν τοῦ πατρὸς παρῆλθε στρατηλασίαν· οὐ γὰρ ἦν ἀντιλέγειν αὐτῷ, διὰ τὴν ἐν τοῖς πολέμοις ῥώμην· οὗτος γὰρ πολλοὺς τῶν ἐν ἀξιώματι παρὰ τὴν τοῦ βασιλέως βουλὴν διεχειρίζετο, καὶ τούτους οὐ μόνον ἀγνοοῦντος τοῦ κρατοῦντος, ἀλλὰ καὶ κωλύοντος· ἐν οἷς καὶ τὸν Ἁρμόνιον, ὃς Ταύρου μὲν ἦν παῖς, τοῦ τὴν ὕπατον διέποντος, ἐπειδὴ δὲ τὸν Ἀρβογάστην ἐλύπησεν, ὁ μὲν ἐπὶ τὸ ξίφος τὴν χεῖρα ἔτρεψεν, ὁ δὲ Ἁρμόνιος τῷ βασιλεῖ τὸ σῶμα παραδοὺς, σὺν τῇ ἁλουργίδι κατετέμνετο· ἐκ τούτου τε πολλὴ πρὸς τὸν στρατοπεδάρχην καὶ τὸν βασιλέα γέγονεν ἡ ὑπόνοια. Καὶ ὁ μὲν Οὐαλεντινιανὸς τὴν Θεοδοσίου λάθρα μετεπέμπετο συμμαχίαν, ὡς μὴ δυνάμενος φέρειν τὴν τοῦ τυράννου θρασύτητα· πλὴν ὥς τι σοφὸν κατὰ τοῦ τυράννου πράττειν ἡγούμενος, γραμματεῖον αὐτῷ τῆς διαδοχῆς ἐπὶ τοῦ συνεδρίου δίδωσι· ὅπερ δεξάμενος ὁ βάρβαρος καὶ ἀναγνοὺς, παραχρῆμα τοῖς ὄνυξι διεσπάραξεν, λεοντώδει δὲ τῇ φωνῇ κατὰ τοῦ βασιλέως ὀργισθεὶς, ἀπῄει πρόχειρον ἔχων τὸ ξίφος. Πολέμιος τοίνυν ἀπεδείχθη φανερὸς τῇ Ῥωμαίων ἀρχῇ· καὶ ὁ μὲν Οὐαλεντινιανὸς ἐβούλετο παραχρῆμα πρὸς τὸν Θεοδόσιον ἐξιππεύσασθαι. Ὁ δὲ βάρβαρος, τὴν κατ' αὐτοῦ κίνησιν ἐπιτείνας, πρός τι πολισμάτιον Ἰταλικὸν, Βέρναν λεγόμενον, διατρίβοντι καὶ ῥᾳθυμότερον περὶ τὴν τοῦ πολιχνίου φρουρὰν διαγενομένῳ προσπεσὼν καὶ ἀφύλακτον τοῦτον εὑρὼν, ξίφει διεχρήσατο. Οὕτω μὲν οὖν Οὐαλεντινιανὸς ὁ νέος βιώσας ἔτη κ', βασιλεύσας δὲ ἔτη η', καταστρέφει τὸν βίον.

Ὁ δὲ Ἀρβογάστης, Εὐγένιον αὐτῷ ἐπὶ σοφιστικὸν ἐγκαθήμενον θρόνον, καὶ ὑπὸ γλώττης εὐδοκιμοῦντα, ὁ θεῖος ἐπέστησε Ῥιχομήριος, ἡνίκα παρὰ τὸν Θεοδόσιον μετὰ τὴν Μαξίμου νίκην ἐν τοῖς ἑῴοις βασιλείοις ἀπήγετο. Καὶ ὁ μὲν Ῥιχομήριος τὸ σῶμα καμὼν ἐτελεύτα κατὰ τὴν Κωνσταντίνου· τὸν δὲ Εὐγένιον ὁ βάρβαρος βασιλέα τῶν ἑσπερίων ἀποδείξας, ἄκοντί γε περιτίθησι τὸ σχῆμα. Ὅστις εὐθέως πρεσβείαν πρὸς τὸν Θεοδόσιον ἔστειλε, πειρώμενος εἰ ὁμολογοίη φίλος εἶναι, καὶ δέχοιτο αὐτὸν βασιλεύοντα. Οὓς δὴ ὁ Θεοδόσιος ποικίλοις διακρουσάμενος λόγοις, καὶ φιλανθρώποις ἀποκρίσεσι δελεάσας, ἀπεπέμψατο. Αὐτὸς δὲ Ῥωμαϊκὸν μὲν Τιμάσιον, Σκυθικὸν δὲ τὸν Γαϊνὰν, ἐξ Ἀλανῶν δὲ τὸν Σαοὺλ, ἄρχοντας τῶν στρατοπέδων παραλαβὼν, ἅμα δὲ καὶ Στιλίχωνα τοῖς στρατεύμασιν ἐπιστήσας (ὃς ἦν μὲν καὶ αὐτὸς ἀνέκαθεν τοῦ Σκυθικοῦ γένους, τῆς δὲ τοῦ βασιλέως ἀδελφῆς Σερήνης αὐτῷ προσμανείσης, βασιλέως οὐδὲν ἀπελείπετο), πολλούς τε τῶν Θρᾳκῶν Οὔννων, σὺν τοῖς παρεπομένοις φυλάρχοις διαναστήσας, εἴχετο τῆς πρὸς τὴν Ἰταλίαν πορείας, ὡς ἂν τὸν Εὐγένιον, μηδέν τι προσδοκῶντα, ἀπαράσκευον καταλάβοι. Ἐξιόντι δὲ αὐτῷ τῆς αὐλῆς ἡ βασίλισσα τελευτᾷ.

Ὁπηνίκα δὲ τοῖς τῆς Ἰταλίας προσῆλθεν ὅροις, τῷ παραλόγῳ τῆς ὀξύτητος καὶ τῷ τάχει τῆς ἀφράστου διαδρομῆς ὁ Εὐγένιος ἐπτήξεν, ἀνὴρ ἄπειρος πολέμου καὶ σάλπιγγος. Ὁ δὲ Ἀρβογάστης ἀντεμάνη, ἐπιθυμῶν πολέμου καὶ μάχης καὶ φόνων, καὶ πολὺ τῆς ἡμέρας διαγωνισάμενος· καθ' ἣν ὁ ἥλιος ἀφανὴς ἐγένετο τοῖς ἀνθρώποις περὶ μέσην τῆς ἡμέρας ὥραν, ὥστε καὶ ἀστέρας φανῆναι, καὶ νυκτομαχοῦντες ἅπαντες ἀνηλίσκοντο συνδαπανώμενοι ξίφεσιν. Ἄχρι μὲν οὖν περὶ τρίτην φυλακὴν τῆς νυκτὸς ἐν τούτοις τὰ τῶν στρατοπέδων ὑπῆρχεν. Ἐπειδὴ δὲ Θεοδόσιος, τότε μὲν ὑποχωρήσας, τὸν δὲ Θεὸν ἱκετεύσας, καθεύδουσι τῇ ἑξῆς

istas quibus Theodosius victoriam a deo redemisse dicitur. Joannes sua hausisse videtur ex auctore quodam Christiano, qui Eunapii historias adhibuerat. — Βαύδωνος υἱὸς] Βάνδωνος υἱὰς codex. Apud Zosimum Arbogastes ὑποστράτηγος, apud Eunapium (fr. 53) δευτεραγωνιστὴς Βαύδωνος dicitur. Cf. Tillemont. V, p. 351. — φλογοειδὴς] Eodem verbo Eunapius l. l. de Arbogaste loquens utitur. — οὗτος γὰρ πολλοὺς] οὕτω γ. π. codex. Sed fortasse præstabat lacunam notare ante v. οὕτω. Nam nonnulla h. l. excerptor omisisse videtur. Zosimus IV, 53, 1 : διά τε ἀνδρίαν καὶ πολεμικὴν ἐπιστήμην καὶ χρημάτων ὑπεροψίαν ἐπὶ μέγα προῆλθε δυνάμεως, καὶ τοσοῦτος ἦν ὥστε καὶ πρὸς τὸν βασιλέα παρρησιάζεσθαι, καὶ ὅσα μὴ καλῶς αὐτῷ μηδὲ προσηκόντως ἔχειν ἐδόκει κωλύειν. — Ἰταλικὸν, Βέρναν] deb. Κελτικὸν, Βίενναν. — ἐπέστησε Ῥιχομήριος] ἐπέστη Σεριχομήριος codex. Quo commisso, alius librarius etiam in seqq. dedit : ὁ μὲν Σεριχομήριος. Zosimo vir dicitur Ῥιχομήρης. — Σερήνης] Βερήνης codex. Ceterum Serene non erat *soror regis*. Scribendum erat : τοῦ βασιλέως ἀδελφοῦ θυγατρός. Cf. Zosim. V, 4, 1 : Σερήνη δὲ ἦν παῖς Ὀνωρίου, ὃς Θεοδοσίῳ τῷ τῶν βασιλευόντων πατρὶ γέγονεν ἀδελφός. Eo autem Zosimi loco, qui nostro huic respondet, codices præbent : Σερήνῃ τῇ τοῦ βασιλέως ἀδελφῇ (deb. ἀδελφοῦ) θυγατρί. — προσμανείσης] corrupte; leg. vid. προσγαμηθείσης.

τοῖς ἐναντίοις ἐπιπίπτει, τὸ μὲν πλεῖστον ἐν ταῖς εὐναῖς, τὸ δὲ ἀνιστάμενον τῶν ὅπλων γεγυμνωμένον διεχειρίζετο, αὐτόν τε τὸν Εὐγένιον ζωγρήσας, τῆς κεφαλῆς ἀποτέμνει, καὶ μακρῷ δόρατι περιπήξας, ἐν ὅλοις τοῖς τῆς Ἰταλίας ὅροις διεπόμπευσεν· ὡς ἅπαν τὸ τῶν πολεμίων πλῆθος πρὸς τὸν νενικηκότα χωρεῖν, καὶ τοῖς αὐτοῦ πείθεσθαι διατάγμασιν. Ὁ δὲ Ἀρβογάστης ἐν τούτῳ τε τὸ μανικὸν τῆς βαρβάρου φύσεως ἀποδείξας, αὐτοχειρίᾳ διεφθάρη, τῷ σφετέρῳ περιπεσὼν ξίφει. Ἐπὶ τούτοις τε θρίαμβοι κατὰ τὴν Ῥώμην ἐγένοντο· καὶ στεφανηφορεῖν τὴν ἁπανταχοῦ τῶν ὑπηκόων γῆν ἐδόκει, καὶ πανηγυρίζειν ἐπὶ τῇ καθαιρέσει τοῦ τυράννου.

188.

Exc. De virt. p. 849 : Ὅτι οἱ ἐπίτροποι Ἀρκαδίου καὶ Ὀνωρίου Ῥουφῖνος καὶ Στελίχων ἄμφω τὰ πάντων συνήρπαζον, ἐν τῷ πλούτῳ τὸ κράτος τιθέμενοι. Καὶ οὐδεὶς εἶχεν ἴδιον οὐδὲν εἰ μὴ Ῥουφίνῳ καὶ Στελίχωνι ἔδοξε· δίκαι τε ἅπασαι πρὸς τούτων ἐκρίνοντο· καὶ πολὺς ἦν ὄχλος τῶν περιθεόντων εἴ πού τινι χωρίον κάλλιστον ἦν· καὶ ὁ δεσπότης εὐθὺς συνηρπάζετο. Ἑκάτερός τε αὐτῶν τὴν βασιλείαν περιεσκόπει.

189.

Ibid. : Ὅτι Εὐτρόπιος ὁ τοῦ Ἀρκαδίου πρόκοιτος οὐδὲν τῶν δεινῶν ἀπελίμπανε, τὰς μὲν ἀρχὰς δημοσίᾳ πιπράσκων, καὶ τούς τι δυναμένους συκοφαντῶν, ἐξορίαις τε τοὺς μεγιστᾶνας ὑποβάλλων, καὶ πᾶσαν ὕβριν τοῖς τῆς συγκλήτου βουλῆς ἐπάγων. Ἀλλ' οὐδὲ τῆς τῶν βαρβάρων ἀπείχετο συμμαχίας, ὡς ἂν αὐτὸς ἐλπίζων εἰς τὴν τοῦ βασιλέως μεταβαίνειν ἀξίαν. Καί ποτε καὶ τοὺς ἐν ταῖς ἐκκλησίαις πεφευγότας συλλαμβάνειν βουλόμενος νόμον προὔθηκεν ἐπιτρέποντα καὶ τοὺς ἐκ τῶν θυσιαστηρίων ἀφέλκεσθαι. Καὶ ὁ μὲν νόμος ἐγέγραπτο, δίκη δὲ εὐθέως τῆς ὠμότητος ἠκολούθει. Μετ' οὐ πολὺ γὰρ προσκρούσας τῷ βασιλεῖ Εὐτρόπιος ἐν τοῖς πρόσφυξιν ἐγένετο καὶ ὑπὸ τὸ θυσιαστήριον ἔκειτο, Ἰωάννου ἐπισκοποῦντος τοῦ Χρυσοστόμου, ἐκεῖθέν τε ἀφαιρεθεὶς νυκτὸς τὴν κεφαλὴν ἀποτέμνεται. Οὕτω μὲν οὖν Εὐτρόπιος δίκας τῆς ἁμαρτάδος ὑποστὰς καὶ ἐξ αὐτοῦ τοῦ καταλόγου τῶν ὑπάτων ἠλείφθη, μόνου τοῦ συνυπατεύσαντος Θεοδώρου γεγραμμένου.

190.

Exc. De ins. p 67 : Ὅτι Ῥουφῖνος, ὁ ἐπίτροπος Ἀρκαδίου, ἐξ ἐπιβουλῆς Εὐτροπίου τοῦ προκοίτου τῆς Ἀρκαδίου διήμαρτε κηδίας· ἀλλ' ὅμως τῇ πλεονεξίᾳ καὶ τῇ χαλεπότητι τῶν τρόπων πᾶσιν ὑπέροπτος ἦν, τόν τε βασιλέα οἰκειότητι τῶν βαρβάρων καταπλήττων, καὶ βαρεῖαν ἐπιτιθεὶς ἀνάγκην πρὸς τὸ κοινωνῆσαι τῆς ἁλουργίδος αὐτῷ, ποτὲ δὲ καὶ πλῆθος βαρβάρων εἰσαγαγών, ὧν Ἀλάριχος ἡγεῖτο, πᾶσαν ὁμοῦ τὴν Ἑλλάδα καὶ τὰ περὶ τὴν Ἰλλυρίδα διεπόρθει· ὡς καὶ δῆλος ἅπασι γενέσθαι τῇ τῆς τυραννίδος ἐπιβουλῇ.

Ὁ μὲν γὰρ ὑπέχαιρε, καὶ τὸν κοινὸν ὄλεθρον ἰδίαν κρηπῖδα τῆς βασιλείας ὑπελάμβανεν· ὁ δὲ βασιλεὺς ἐν ἀφασίᾳ διετέλει· οὐ μὴν καὶ ὁ Στελίχων ἐνταῦθα ὅμοιος ἦν, ἀλλὰ διέπλευσε μὲν αὐτὸς ἐς τὴν Ἑλλάδα, καίτοι μηδὲν προσήκουσαν τοῖς τῆς ἑσπερίας τέρμασι, τὰς τῶν ἐνοικούντων οἰκτείρας συμφοράς, καὶ τοὺς βαρβάρους σπάνει τῶν ἀναγκαίων διαφθείρας, ἔπαυσε τῆς [κατὰ] τῶν ἐπιχωρίων ὁρμῆς. Συγκαλεσάμενος δὲ Γαϊνᾶν, ὃς τότε τῶν ἑσπερίων στρατοπέδων ἔξαρχος ἦν, ἀρτύει τὴν κατὰ Ῥουφίνου σκευήν· ὅτε δὴ καὶ ὁ τοῦ Ἀρκαδίου στρατὸς ἔκ τε τῆς Εὐγενίου καθαιρέσεως καὶ τῆς τῶν βαρβάρων τῶν κατὰ τὴν Ἰλλυρίδα διώξεως ἐπὶ τὴν Κωνσταντίνου πόλιν ἐχώρει. Ὁ μὲν γὰρ βασιλεὺς κατὰ τοὺς παλαιοὺς νόμους εἰς ὑπάντησιν τῶν στρατοπέδων ἐκ τῆς πόλεως προῆλθεν· καὶ ὁ Γαϊνᾶς αὐτὸν ἐφρούρει· πᾶσα δὲ ἦν ἀνάγκη καὶ τὸν τῆς αὐλῆς ἔπαρχον συνεξιέναι (Ῥουφῖνος δὲ ἦν). Καὶ ἅμα τε ὁ βασιλεὺς ὑπὸ τῶν στρατοπέδων Αὔγουστος ὀνομάζεται, καὶ Ῥουφῖνος κατετέμνετο, ταύτης τε ἔτυχε τῆς τελευτῆς. Παῖδες δὲ αὐτοῦ καὶ γαμετὴ πρὸς τὴν ἐκκλησίαν κατέφυγον· διηρπάζοντο δὲ ἀκωλύτως ἅπαντα ὅσα κατὰ τὴν δυναστείαν ἐκτήσατο.

[Τότε] Γαϊνᾶς ὁ τῶν ἑῴων στρατοπέδων ἔξαρχος,

Fr. 188. Hæc ex Eunapio Joannes vel auctor ejus deprompsit. V. Eunapii fr. 63, p. 42. — τὰ πάντων συνήρπαζον] τὰ πάντα σ. Eunap. ap. Suidam v. Ῥουφῖνος. — πρὸς τούτων ἐκρ.] πρὸς τούτου ἐκρ codex. — πού τινι] Suid., τῳ τινι cod.

Fr. 189. Eadem Suidas v. Εὐτρόπιος. Idem v. ὕπατος ita habet : Πρῶτος δὲ ὕπατος εὐνούχων ἀπεδείχθη ἐπὶ Ὀνωρίου καὶ Ἀρκαδίου, τῶν υἱῶν Θεοδοσίου, Εὐτρόπιος ὁ πρωτόκοιτος τοῦ βασιλέως. Ἐδιφρορεῖτο δὲ διὰ τῆς πόλεως οὐδὲν τῶν δεινῶν ἀπολιμπάνων κτλ. ut nostro l. — τούς τι δυναμένους] sic et Suidas v. ὕπατος, sed idem v. Εὐτρόπ. : τοὺς τῆς δυνάμεως. — καί ποτε κτλ.] Quæ sequuntur petita ex Socrat. VI, 5. — νόμον προὔθ. ἐπ. καὶ τοὺς] sic Suidas v. ὕπατος ; contra v. Εὐτρόπ. et in codice Excerpt. legitur : προὔθηκεν ἐπιτρέπων τούτους. Plenius hæc Socrates l. l. — ἀφέλκεσθαι] Post hanc v. Suidas v. ὕπατος in brevius contrahens pergit : ὃς προσκρούσας τῷ βασιλεῖ καὶ καταφυγὼν εἰς τὸ θυσιαστήριον ἐκεῖθεν ἀφῃρέθη. Scilicet glossa s. v. ὕπατος petita est ex alio titulo, v. c. ex tit. Περὶ πολιτικῶν. Hinc fit ut prima fragm. pars plenius exhibeatur, posterior contracta sit. Inverso ordine egit excerptor tit. Περὶ ἀρετῆς καὶ κακίας. — ἐπισκοποῦντος] leg. puto ἐπισκέπτοντος. Socrates l. l. : Ὁ οὖν ἐπίσκοπος, τοῦ Εὐτροπίου ὑπὸ τὸ θυσιαστήριον κειμένου, καὶ ἐκπεπληγότος ὑπὸ τοῦ φόβου, καθεσθεὶς ἐπὶ τοῦ ἄμβωνος, ὅθεν εἰώθει καὶ πρότερον ὁμιλεῖν χάριν τοῦ ἐξακούεσθαι, λόγον ἐλεγκτικὸν ἐξέτεινε κατ' αὐτοῦ· ἐφ' ᾧ πλέον ἐδόκει προσκρούειν τισίν, ὅτι τὸν ἀτυχοῦντα οὐ μόνον ἠλέει, ἀλλ' ἐκ τοῦ ἐναντίου καὶ ἤλεγχεν.

Fr. 190. Cf. Zosimus V, 3 sqq. — Ῥουφῖνος δὲ ἦν] Ῥ. τε (non τις, ut ed. Cram.) ἦν cod. — [τότε] Γαϊνᾶς] V. τότε de meo addidi. Codex : τι γαινᾶς ; in quibus voc. τι cento est narrationis uberioris. Etenim quæ jam sequuntur exscripta sunt ex Socrat. H. Eccl. VI, 6, p. 305 sq. (coll. Sozom. VIII, 4), ubi ita : Πρᾶγμα δὲ ἄξιον μνήμης ἐπὶ τῶνδε τῶν χρόνων γενόμενον διηγήσομαι, δεικνὺς ὅπως ἡ ἐκ τοῦ θεοῦ πρόνοια τὴν πόλιν καὶ τὰ Ῥωμαίων ἐκ τοῦ μεγίστου

βάρβαρος ὢν τὸ γένος, καὶ ὑπὸ Ῥωμαίων κατ' ὀλίγου ἐπὶ τὴν στρατηγίδα προελθὼν, ἄρχειν διενοεῖτο, ὅπως ἂν καὶ αὐτῆς τῆς βασιλείας κρατήσοι. Καὶ πᾶν μὲν τὸ Γότθων ἔθνος ἐκ τῆς ἑαυτοῦ χώρας μετεπέμψατο, τοὺς δὲ αὐτῷ ἐπιτηδείους τῶν στρατιωτῶν ἀριθμὸν ἔχειν κατέστησεν· Τριβιγίλδου δὲ ἑνὸς τῶν ὑποστρατήγων αὐτῷ, χιλιαρχοῦντος τῶν ἐνιδρυμένων τῇ Φρυγίᾳ στρατιωτῶν, καὶ γνώμῃ αὐτοῦ Γαϊνᾶ νεωτερίσαντος, καὶ τὰ Φρυγῶν ἔθνη παντάπασιν ἀνατρέποντος, ἐπειδὴ Ἀρκάδιος μηδὲν προειδόμενος τὸν Γαϊνὰν ἔπεμψεν, εὐθὺς ἐπορεύετο, τῷ μὲν λόγῳ κατὰ Τριβιγίλδου, τῷ δὲ ἔργῳ τυραννῆσαι βουλόμενος. Ἦγε δὲ μετ' αὐτοῦ Γότθων τε καὶ ἑτέρων βαρβάρων οὐκ ὀλίγας μυριάδας· καὶ καταλαβὼν τὴν Φρυγίαν, πάντα ἀνέτρεπεν. Εὐθὺς οὖν ἐν ταραχῇ τὰ Ῥωμαίων, οὐ μόνον διὰ τὸ προσὸν τῷ Γαϊνᾷ [πλῆθος βαρβάρων], ἀλλὰ ὅτι καὶ τὰ τῆς ἑῴας ἐπίκαιρα μέρη κινδυνεύειν ἔμελλεν.

Ἀλλὰ τότε μὲν ὁ βασιλεὺς διαπεμψάμενος πρὸς τὸν βάρβαρον, λόγοις αὐτὸν καὶ ἔργοις θεραπεύειν ἕτοιμος ἐγίνετο· τοῦ δὲ ἐξαιτοῦντος δύω τῶν προεστώτων τῆς συγκλήτου λαβεῖν ἀπὸ τῶν ὑπάτων ἀνδρῶν, Σατορνῖνόν τε καὶ Αὐρηλιανὸν, ἄκοντι αὐτοὺς ὁ βασιλεὺς τῇ ἀνάγκῃ τοῦ καιροῦ παρεῖχε. Καὶ οἱ μὲν ὑπὲρ [τοῦ] κοινοῦ προαποθνήσκειν αἱρούμενοι, γενναίως τῇ τοῦ βασιλέως κελεύσει ὑπήκουον, καὶ πόρρω τῆς Χαλκηδόνος ἐν χωρίῳ ἱπποδρόμῳ ὑπήντων, ἕτοιμοι πάσχειν πᾶν ὅ τι ὁ βάρβαρος ἤθελεν. Ἀλλ' οὗτοι μὲν οὐδὲν φαῦλον ὑπέμειναν, ὁ δὲ παρῆν ἐπὶ τὴν Χαλκηδόνα. Ἀπήντα δὲ ἐκεῖσε καὶ ὁ βασιλεὺς Ἀρκάδιος. Γενόμενοι δὲ πρὸς τῷ οἴκῳ τῆς μάρτυρος Εὐφημίας, ὅρκοις ἐπιστοῦντο ἀλλήλους. Καὶ ὁ μὲν βασιλεὺς ἐφύλαττεν· Γαϊνᾶς δὲ παρεσπόνδει, καὶ τοῦ οἰκείου σκοποῦ οὐκ ἐξέβαινεν· ἀλλ' ἐμπρησμόν τε καὶ λαφυραγωγίας ἐμελέτα ποιήσασθαι κατὰ τῆς Κωνσταντίνου πόλεως καὶ κατὰ πάσης τῆς Ῥωμαίων ἀρχῆς. Βεβαρβάρωτο γοῦν ἡ πόλις ὑπὸ τοῦ πολλοῦ πλήθους, καὶ πάντες οἱ κατ' αὐτὴν ἐν αἰχμαλώτων μοίρᾳ ἐγένοντο. Τοσοῦτος [δὲ] ἦν ὁ ἐπικρεμασθεὶς τῇ πόλει κίνδυνος, ὡς καὶ κομήτην μέγιστον τοῦ οὐρανοῦ φανῆναι.

Ὁ μέντοι Γαϊνᾶς πρῶτον μὲν ἐπειράθη ἁρπαγὴν τῶν ἐργαστηρίων ποιήσασθαι· ὡς δὲ, τῆς φήμης προμηνυσάσης τὴν ἔφοδον, ἐφυλάξαντο προθεῖναι ἐν ταῖς τραπέζαις τὸν ἄργυρον, αὖθις ἐπὶ ἑτέραν ἐχώρει γνώμην. Νυκτὸς γὰρ ἐπιμεσούσης, ἐκπέμπει πλῆθος βαρβάρων ἐπὶ τῷ ἐμπρῆσαι τὰ βασίλεια καὶ τὴν πόλιν. Ὅτε δὴ καὶ ἡ τοῦ Θεοῦ περιφανῶς ἐδείχθη πρόνοια περί τε τὴν Ῥωμαίων ἀρχὴν καὶ τὴν πόλιν. Ἀπροόπτως γὰρ τοῖς ἐπελθοῦσιν ἐφάνησαν ἄγγελοι, ἐν σχήματι ὁπλιτῶν, μέγαλα ἔχοντες σώματα· οὓς ὑποτοπήσαντες οἱ πολέμιοι ἀληθῆ στρατὸν εἶναι πολὺν καὶ γενναῖον, καταπλαγέντες ὑπεχώρησαν. Ὡς δὲ ἀπαγγελθέντος τούτου Γαϊνᾷ, ἄπιστον κατεφαίνετο (ἠπίστατο γὰρ μὴ παρεῖναι τὸ πολὺ τῶν Ῥωμαίων ὁπλιτικὸν, κατὰ γὰρ τὰς πόλεις ἐνίδρυτο), πέμπει καὶ αὖθις ἑτέρους τῇ ἐχομένῃ νυκτὶ, καὶ μετὰ ταῦτα πολλάκις. Ὡς δὲ καὶ διαφόρως ἀποστείλαντι τὰ αὐτὰ ἀπηγγέλλετο (ἀεὶ γὰρ τοῖς ἐπιβουλεύουσιν οἱ ἄγγελοι τὴν αὐτὴν παρεῖχον φαντασίαν), τέλος αὐτὸς σὺν πλήθει πολλῷ παρελθὼν πεῖραν τῶν ἀκουσθέντων λαμβάνει· ὑπονοήσας δὲ ἀληθῶς στρατιωτῶν εἶναι πλῆθος, ὑποκρίνεται ὡς ἐπὶ τὸν μάρτυρα Ἰωάννην ὁδεύειν, ὃς ζ' σημείοις τῆς πόλεως ἀφειστήκει, συνεξῄεσαν δὲ αὐτῷ καὶ οἱ βάρβαροι, τὰ ὅπλα λαθραίως κομίζοντες. Ὡς δὲ οἱ φρουροὶ τῶν πυλῶν διεκώλυον, οἱ βάρβαροι τὰ ξίφη γυμνώσαντες, τοὺς ἐπὶ ταῖς πύλαις διεχειρίσαντο.

Ἐντεῦθεν πολέμιος ἀπεδείχθη Γαϊνᾶς· καὶ οἱ μὲν περὶ τὴν πόλιν ἅπαντες πρὸς τὴν τείχους φυλακὴν διέθεον. Ὁ δὲ βασιλεὺς κελεύει τοὺς ὑπολειφθέντας ἐν τῇ πόλει βαρβάρους ἀναιρεῖσθαι. Συμβαλόντες οὖν οἱ στρατιῶται τοῖς πολεμίοις περὶ τὴν ἐκκλησίαν τῶν Γότθων (ἐνταῦθα γὰρ οἱ περιλειφθέντες ἠθροίσθησαν), διαφθείρουσιν ἅπαντας, ἐμπιπρῶσι δὲ καὶ αὐτὴν τὴν ἐκκλησίαν. Γαϊνᾶς δὲ μαθὼν ἀνῃρῆσθαι τοὺς μὴ φθάσαντας τῶν πυλῶν, γνοὺς δὲ αὐτῷ μηκέτι προχωρεῖν τὰς ἀπαντήσεις, ἄρας ἀπὸ τοῦ μαρτυρίου, ἤλαυνεν ἐπὶ τὰ Θρᾴκια μέρη· καὶ καταλαβὼν τὴν Χερρόνησον, ἐξ αὐτῆς διαπεραιοῦσθαι καὶ καταλαμβάνειν τὴν Λάμψακον ἔσπευδεν, ὅπως ἂν τῶν ἑῴων κρατῆσαι δυνήσηται.

Ὡς δὲ ὁ βασιλεὺς ἔφθη δύναμιν ἀποστείλας διά τε γῆς καὶ θαλάσσης, ἐνταῦθα πάλιν τῆς τοῦ Θεοῦ προνοίας ἐδείκνυτο θαύματα. Ὡς γὰρ οἱ βάρβαροι σχεδίας συμπήξαντες ἐπεραιοῦντο, αἵ τε τῶν Ῥωμαίων νῆες παρῆσαν, οἱ μὲν στρατιῶται ῥᾳδίως ταῖς ὁλκάσι διέπλεον, οἱ δὲ βάρβαροι ἐν ταῖς σχεδίαις διώλλυντο ὑπὸ τοῦ κλύδωνος ἐκριπτούμενοι. Πολλοὶ δὲ καὶ ὑπὸ τῶν Ῥωμαίων ἐφθείροντο· καὶ τὸ πλεῖστον τῶν πολεμίων ἀπώλετο. Γαϊνᾶς δὲ ἀναζεύξας διὰ τῆς Θρᾴκης, καὶ φυγῇ χρησάμενος περιπίπτει Ῥωμαϊκῇ δυνάμει, καὶ

κινδύνου παραδόξοις βοηθείαις ἐρρύσατο. Τί δὲ ἐστιν τοῦτο λεκτέον. Γαϊνᾶς βάρβαρος μὲν ὢν τὸ γένος κτλ. — τῶν στρατιωτῶν ἀριθμὸν ἔχειν κατέστησε] Hoc ferri posse puto. Quamquam videri possit legendum esse : τῶν στρατιωτικῶν ἀριθμῶν [στρατηγοὺς vel τὰς ἀρχὰς] ἔχειν κ., collato Socrate : Τοὺς δὲ αὐτῷ ἐπιτηδείους τῶν στρατιωτικῶν ἀριθμῶν τούτους (τὰς ἀρχὰς conj. Vales.) ἔχειν παρεσκεύασεν. Sed Socratis verba e Nostro potius correxerim. — τῶν ὑποστρατήγων αὐτῷ] τῶν αὐτοῦ συγγενῶν Socrat.; αὐτῷ γένει προσήκων Sozom. — αὐτοῦ Γαϊνᾶ] α. γαϊνὰν cod. — διὰ τὸ προσὸν κτλ.] διὰ τὸ πρὸς τὸ γενναῖον, ἀλλ' ὅτι κτλ. codex. Correxi e Socrate. — ἱπποδρόμῳ] Socrat.; ὑποδρόμῳ cod. — ἁρπαγὴν τῶν ἐργαστηρίων κ.] Socrates. : πρῶτον μὲν ἐπειράθη ἀνοίδην διαρπαγὴν τοῦ δημοσίᾳ ἐν τοῖς ἐργαστηρίοις πωλουμένου ἀργυρίου ποιήσασθαι. — ὡς δὲ τῆς φήμης] ex Socrat.; τῆς δὲ φήμης cod. Exc. — νυκτὸς γὰρ ἐπιμεσούσης] leg. vid. ν. ἐπιμέσου οὔσης. Socrat. : καὶ νυκτὸς μὲν οὔσης. — πέμπει καὶ αὖθις] Socrat.; π. τε αὖθις cod. — ὑπονοήσας δὲ ἀληθῶς] Socrat.; ὑπονοήσαντες ἀληθῶς codex. In seqq. Socratis narrationem auctor contraxit. — ἐπὶ Ἰωάννην] sc. ad ecclesiam Joannis apostoli. — μαθὼν ἀνῃρῆσθαι] ex Socrat.; μ. ἀναιρεῖσθαι cod.

ἀναιρεῖται ἅμα τοῖς σὺν αὐτῷ βαρβάροις. Φλαυιανὸς μὲν οὖν ὁ στρατηγὸς τοῦδε τοῦ πολέμου γενόμενος, ἐπὶ τὴν ὕπατον προῆλθεν ἀρχὴν, καθ' ἣν ἐτέχθη Ἀρκαδίῳ τῷ βασιλεῖ ὁ μικρὸς Θεοδόσιος.

ΘΕΟΔΟΣΙΟΣ Ο ΝΕΟΣ.

191.

Exc. De virt. p. 849 : Ὅτι Θεοδόσιος ὁ νέος διὰ τὴν ἄγαν τῆς ἡλικίας νεότητα οὐδὲ πρὸς τὸ φρονεῖν, οὐδὲ πρὸς τὸ πολεμεῖν ἱκανὸς ἦν· ἀλλὰ μόνον ὑπογραφὰς τοῖς βουλομένοις παρεῖχε, μάλιστα δὲ τοῖς περὶ τὴν βασιλείαν εὐνούχοις. Ἐξ ὧν ἅπαντες, ὡς εἰπεῖν, τὰς οὐσίας ἡρπάζοντο. Οἱ μὲν γὰρ ἔτι ζῶντες ἐκληρονομοῦντο, οἱ δὲ τὰς γαμετὰς ἑτέροις παρέπεμπον, καὶ τέκνων ἐστηροῦντο βιαίως, ἀντιλέγειν τοῖς τοῦ βασιλέως διατάγμασιν οὐ δυνάμενοι. Ἐν τούτοις μὲν οὖν τὰ Ῥωμαίων ὑπῆρχεν.

192.

Ibid. p. 850 : Ὅτι Θεοδόσιος ὁ βασιλεὺς χαίρειν εἰπὼν τοῖς παιγνίοις, ἐπὶ λόγους ἐλευθέρους μετέβαλε τὴν γνώμην, Παυλίνου τε καὶ Πλακίτου συναναγιγνωσκόντων αὐτῷ· οἷς καὶ ἀρχὰς καὶ ἐξουσίας ἐχαρίσατο μεγάλας.

193.

Ibid. p. 850 : Ὅτι Θεοδόσιος ὁ νέος ἐν βασιλείᾳ τεχθεὶς οὐδὲν εἶχεν ὑπέρογκον, ἀλλ' οὕτως γέγονε φρόνιμος, ὡς τοῖς ἐντυγχάνουσι νομίζεσθαι πεῖραν πολλῶν εἰληφέναι πραγμάτων· καρτερικός τε οὕτως ὡς κρύος καὶ καῦμα γενναίως ὑπομένειν. Τὸ δὲ ἀνεξίκακον καὶ φιλάνθρωπον αὐτοῦ πάντας ἀνθρώπους, ὡς εἰπεῖν, ὑπερέβαλεν. Ἰουλιανὸς μὲν γὰρ ὁ βασιλεὺς καίτοι φιλοσοφεῖν ἐπαγγελλόμενος οὐκ ἤνεγκε τὴν ὀργὴν κατὰ τῶν Ἀντιοχέων αἰνιξαμένων αὐτὸν, ἀλλὰ βασάνους [τῷ Θεοδώρῳ] προσήγαγε. Θεοδόσιος δὲ χαίρειν τοῖς Ἀριστοτέλους φράσας συλλογισμοῖς τὴν δι' ἔργων ἤσκει φιλοσοφίαν, ὀργῆς τε κρατῶν καὶ λύπης καὶ ἡδονῆς, φόνων τε παντελῶς ἀπεχόμενος· καί ποτέ τινος τῶν ἐγγὺς ἐρομένου αὐτὸν διὰ τί τοὺς ἀδίκους μὴ θανατοῖ, ἔφη, « Εἴθε δυνατὸν ἦν καὶ τοὺς τελευτήσαντας ἐπαναγαγεῖν εἰς τὴν ζωήν. » Εἰ γάρ τις καὶ ἄξια κεφαλικῆς τιμωρίας πεπραχὼς ἀπήγετο, ἡ τῆς φιλανθρωπίας ἀνάκλησις τὸν ἐκείνου θάνατον παρελάμβανεν.

194.

Ibid. p. 850 : Ὅτι Θεοδόσιος τὴν ἀρχὴν παρὰ Ἀρκαδίου τοῦ πατρὸς διαδεξάμενος ἀπόλεμος ἦν καὶ δειλίᾳ συνέζη, καὶ τὴν εἰρήνην χρήμασι καὶ οὐχ ὅπλοις ἐκτήσατο. Καὶ ὑπὸ τοῖς εὐνούχοις πάντα ἔπραττε. Καὶ ἐς τοσοῦτο τὰ πράγματα ἀτοπίας φέρεσθαι οἱ εὐνοῦχοι παρεσκεύασαν, ὡς συνελόντι εἰπεῖν ἀποβουκολοῦντες τὸν Θεοδόσιον, ὥσπερ τοὺς παῖδας ἀθύρμασιν, οὐδὲν ὅ τι καὶ ἄξιον μνήμης διαπράξασθαι συνεχώρησαν, καίτοι ἀγαθῆς ὑπάρχοντα φύσεως· ἀλλ' εἰς πεντήκοντα ἐνιαυτοὺς συνελάσαντα βαναύσοις τέ τισι τέχναις καὶ θήραις προσκαρτερεῖν παρέπεισαν, ὥστε αὐτούς τε καὶ τὸν Χρυσάφιον ἔχειν τὸ τῆς βασιλείας κράτος, ὅνπερ ἡ Πουλχερία μετῆλθε, τοῦ ἀδελφοῦ τελευτήσαντος.

Suidas : Θεοδόσιος, βασιλεὺς Ῥωμαίων, ὁ μικρός. Οὗτος διαδεξάμενος παρὰ πατρὸς τὴν ἀρχὴν, ἀπόλεμος ὢν καὶ δειλίᾳ συζῶν, καὶ τὴν εἰρήνην χρήμασιν, οὐχ ὅπλοις κτησάμενος, πολλὰ προσεξένησε κακὰ τῇ Ῥωμαίων πολιτείᾳ. Ὑπὸ γὰρ τοῖς εὐνούχοις τραφεὶς πρὸς πᾶν σφίσιν ἐπίταγμα εὐπειθὴς ἦν· ὥστε καὶ τοὺς λογάδας τῆς ἐκείνων δεῖσθαι ἐπικουρίας, καὶ πολλὰ νεοχμεῖσθαι ἐν τοῖς πολιτικοῖς καὶ στρατιωτικοῖς τάγμασι, μὴ παριόντων εἰς τὰς ἀρχὰς ἀνδρῶν τῶν διέπειν ταῦτα δυναμένων, ἀλλὰ τῶν χορηγούντων χρυσίον, διὰ δὲ τὴν τῶν εὐνούχων πλεονεξίαν καὶ τῶν Σεβαστιανοῦ δορυφόρων πειρατικὸν συστὰν τόν τε Ἑλλήσποντον καὶ τὴν Προποντίδα διαταράξαι. Ἐς τοῦτο τὰ πράγματα οἱ εὐνοῦχοι ἀτοπίας παρεσκεύασαν, ἀποβουκολοῦντες τὸν Θεοδόσιον, ὥσπερ τοὺς παῖδας ἀθύρμασιν· οὐδὲν ὅ τι καὶ ἄξιον μνήμης διαπράξασθαι παρεσκεύασαν· ἀλλ' εἰς ν' ἐτῶν ἡλικίαν ἐληλυθὼς διετέλεσε βαναύσους τέ τινας μετιὼν τέχνας καὶ θήρᾳ προσκαρτερῶν· ὥστε τοὺς εὐνούχους καὶ τὸν Χρυσάφιον ἔχειν τὸ τῆς βασιλείας κράτος· ὅνπερ ἡ Πουλχερία μετῆλθε, τοῦ ἀδελφοῦ τελευτήσαντος.

195.

Exc. De ins. p. 70 : Ὅτι ἐπὶ Θεοδοσίου τοῦ νέου, [Ἰωάννης] πρωτοστάτης ὢν τῶν βασιλικῶν ὑπογραφέων, μὴ ἐνεγκὼν τὴν εὐτυχίαν τῆς ἰδίας ἀξίας, τὴν βασιλείαν ἁρπάζει, καὶ πρεσβείαν ἀποστέλλει πρὸς τὸν Θεοδόσιον δεχθῆναι εἰς βασιλέα δεομένην· οὓς δὲ ὁ βασιλεὺς ἐν φρουρᾷ ποιησάμενος, πέμπει τὸν στρατοπεδάρχην Ἀρδαβούριον, ὃς τὸν Περσικὸν πόλεμον ἠγωνίσατο. Καὶ ὁ μὲν εἰς Σαλώνας παραγενόμενος, ἔπλει ἐπὶ τὴν Ἀκυληίαν, καὶ χρῆται τύχης ἐναντιότητι, μᾶλλον δὲ θειότητι, ὡς ὕστερον ἀπεδείχθη. Ἄνεμος γὰρ οὐκ αἴσιος πνεύσας εἰς τὰς χεῖρας αὐτὸν τοῦ τυράννου ἐνέβαλεν· ὃς συλλαβὼν αὐτὸν, ἤλπιζεν εἰς ἀνάγκην τὸν

Fr. 193. Hæc descripta sunt e Socratis H. Eccl. VII, 22, p. 361, paucis vel omissis vel mutatis. — ἐπαγγελλόμενος] malim ἐπαγγειλάμενος ex Socrate. — αἰνιξαμένων] Socrat.; ἀνιξαμένων codex; ἀνασαμένων excudit Valesius. — τῷ Θεοδώρῳ] addidi ex Socrate. — ἐπαναγαγεῖν] hoc reposuerim in Socrate, ubi ego legitur ἐπαγαγεῖν. — εἰ γάρ τις κτλ.] Socrates ita : εἰ ποτέ τις ἄξια κεφαλικῆς ἐπλημμέλησε τιμωρίας, οὐδ' ἄχρι τῆς πόλεως τῶν πυλῶν τὴν ἐπὶ θανάτῳ ἀπήγετο, καὶ ἡ ἐκ τῆς φιλανθρωπίας εὐθὺς ἀνάκλησις εἵπετο.

Fr. 194. Suidæ locum Niebuhrius Prisco vindicaverat.

Fr. 195. Excerpta hæc ex Socrat. H. E. VII, 23-24. Cf. Philostorg. XII, 13, p. 538. Tillemont. VI, p. 183. — πρεσβείαν] πρεσβείας Socrat. — δεομένην] δεόμενος Socr. — Ἀρδαβούριον] δαβούριον cod. — μᾶλλον δὲ θειότητι] μᾶλλον δὲ δειότητι codex; δεινότητι ed. Cramer. Apud Socratem locus hic mutilus est et e Nostro corrigendus : καὶ

αὐτοκρατόρα καταστῆσαι τοῦ ψηφίσασθαι αὐτὸν συμβασιλεύοντα. Ἀλλ' ὁ μὲν Θεοδόσιος ἐν ἀγῶνι ἐγένετο καὶ ὁ τοῦ Ἀρδαβουρίου παῖς Ἄσπαρ, καὶ ἀφασία κατεῖχε τὰ Ῥωμαίων πράγματα. Ὁ δὲ Θεὸς ἄγγελον ἐν σχήματι ποιμένος ἀπέστειλεν ὁδηγεῖν τὰ Ῥωμαίων στρατόπεδα καὶ τὸν στρατηγὸν Ἄσπαρα, ἄγει τε ἅπαντας διὰ τῆς παρακειμένης τῇ Ῥαβέννῃ λίμνης (ἐν ταύτῃ γὰρ τῇ πόλει ὁ τύραννος διέτριβεν), ὅθεν οὐδεὶς οὐδέποτε διαβεβηκέναι ἱστόρηται. Οὕτως οὖν διαβάντες τὴν ἄβατον, καὶ βατὴν διὰ ξηρᾶς τὴν πορείαν εὑρόντες, ἀνεῳγμένας τε τὰς πύλας κατιδόντες, τῆς πόλεως ἐγκρατεῖς ἐγένοντο· καὶ τοῦτον ἀνελόντες γνώριμα τῷ βασιλεῖ τὰ πεπραγμένα ἐποιήσαντο· ὃς εὐχαριστήσας τῷ Θεῷ ἐσκόπει τίνα τῶν ἑσπερίων ἀναδεῖξει βασιλέα.

196.

Exc. Salm. p. 399 : Πλακιδία εἶχε δύο στρατηγούς, ὧν τῷ μὲν ἑνὶ Βονιφατίῳ τὴν Λιβύην ἐπέτρεψεν, Ἀέτιον δὲ παρακατέσχεν. Ἐφθόνησεν Ἀέτιος καὶ ἔγραψε Βονιφατίῳ, ὅτι « ἡ βασίλισσα ἔχει κατὰ σοῦ, καὶ τούτου σημεῖον, ὅτι μετακαλέσεταί σε ὑπ' οὐδεμιᾶς αἰτίας. Ἐὰν οὖν γράψῃ σοι ἐλθεῖν, μὴ ὑπακούσῃς· ἀναιρήσει γάρ σε. » Εἶτα κατῆλθε τὴν βασίλισσαν λέγων, ὡς ἀποστασίαν μελετᾷ ὁ Βονιφάτιος. « Καὶ τοῦτο γνώσῃ σαφῶς· ἐὰν γὰρ μετακαλέσῃ, φησίν, αὐτὸν, οὐκ ἐλεύσεται. » Καὶ ἐπεὶ ἔγραψεν αὐτῷ ἐλθεῖν ἡ βασίλισσα, ἀληθῆ νομίσας ἐκεῖνος τὰ ὑπὸ Ἀετίου αὐτῷ μηνυθέντα, τὴν Λιβύην ἐνεχείρισε Γότθοις, καὶ οὐδὲ ἐκεῖνος ἐλθεῖν ἐπείθετο. Ὕστερον δὲ σταλέντων τινῶν πρὸς αὐτὸν, καὶ συμβάσεως γενομένης, τὸ ψεῦδος ἠλέγχθη. Κἀκεῖνον μὲν πλέον ἠγάπησεν ἡ βασίλισσα, τὸν δ' Ἀέτιον ἐμυσάττετο μὲν τοιαῦτα ῥαδιουργήσαντα, οὐ μέντοι δρᾶσαι τι κακὸν ἠδυνήθη. Τὴν Λιβύην οὔποτ' ἴσχυσεν ἐξ ἐκείνου ἐπανασώσασθαι.

197.

Ibid. p. 400 : Οὐαλεντινιανὸς μικρὸς, οὐχ ὁ τοῦ μεγάλου Οὐαλεντινιανοῦ υἱὸς, [ὃς] ἦν αὐτῷ ἐκ τῆς δευτέρας γαμετῆς, ἣν ἐπέγημεν ἔτι ζώσης τῆς αὐτοῦ γυναικὸς, ἀλλ' ὁ υἱὸς Κωνσταντίου Κόμητος, τοῦ τιμηθέντος εἰς βασιλείαν Ῥώμης παρὰ Ὀνωρίου τοῦ βασιλέως, καὶ Πλακιδίας ἀδελφῆς Ὀνωρίου καὶ Ἀρκαδίου τῶν βασιλέων.

198.

Exc. De ins. p. 71 : Ὅτι ἐπὶ Θεοδοσίου τοῦ νέου, Χρυσάφιος διῴκει τὰ πάντα, τὰ πάντων ἁρπάζων, καὶ ὑπὸ πάντων μισούμενος. Τότε μὲν οὖν Ἀττήλας, πρόφασιν τὴν Κωνσταντίου προβαλλόμενος αἴτησιν, ἣν αὐτὸν περὶ τοῦ γάμου τῆς Σατορνίλου θυγατρὸς ᾔτει, ἐπανίσταται τῇ Ῥωμαίων ἀρχῇ, καὶ τὸν εὐνοῦχον Χρυσάφιον ἐκδοθῆναί οἱ παρεκελεύετο, ὡς φωραθέντα τῆς κατ' αὐτοῦ ἐπιβουλῆς. Ἐντεῦθεν πάλιν Ἀνατόλιος καὶ Νόμος πρὸς τὸν Ἀττήλαν παραγίνονται, καὶ πείθουσιν αὐτὸν δώροις ἀποσχέσθαι τῆς κατὰ τοῦ εὐνούχου ὀργῆς.

199.

Ibid. p. 71 : Ὅτι Θεοδόσιος ὁ νέος πρὸς τὸν Ζήνωνα ἐχαλέπαινεν· ἐδεδίει γὰρ μή ποτε καὶ τυραννίδι ἐπιθῆται, ἀκινδύνου αὐτῷ γενέσθαι τῆς ἁρπαγῆς. Ὅπερ ἔτι μάλιστα ἐξετάραττεν αὐτόν. Καὶ πᾶσι τοῖς ἁμαρτήμασι ῥαδίως νέμων συγγνώμην, χαλεπός τε καὶ ἀμετάτρεπτος ἦν οὐ μόνον κατὰ τῶν τυραννίδα μελετησάντων, ἀλλὰ καὶ τῶν βασιλείας ἀξίων νομισθέντων, καὶ σφᾶς ἐκποδὼν ποιεῖν διὰ παντὸς ἐχώρει τρόπου. Καὶ πρὸς τοῖς εἰρημένοις προσώποις καὶ Βαύδωνα καὶ Δανίηλον, ὡς τυραννίδι ἐπιθεμένους, ἐξέβαλεν. Ἀπὸ τῆς αὐτῆς τοίνυν προαιρέσεως καὶ τὸν Ζήνωνα ἀμύνασθαι ἐσπουδακὼς, τῆς προτέρας εἴχετο βουλῆς, ὥστε διαβῆναι μὲν τὸν Μαξιμῖνον εἰς τὴν Ἰσαυρόπολιν, καὶ τὰ ἐκεῖ χωρία προκαταλαβεῖν, στεῖλαι δὲ διὰ θαλάσσης ἐπὶ τὴν ἕω δύναμιν τὴν τὸν Ζήνωνα παραστησομένην· καὶ τῶν αὐτῷ δεδογμένων οὐκ ἀφίστατο· μείζονος δὲ αὐτὸν ἐκταράξαντος φόβου, τὴν παρασκευὴν ἀνεβάλετο.

2. Ἧκε γάρ τις ἀγγέλλων, τὸν Ἀττήλαν τοῖς κατὰ τὴν Ῥώμην ἐπιθέσθαι βασιλείοις, Ὀνωρίας τῆς Βαλεντινιανοῦ ἀδελφῆς ἐς ἐπικουρίαν ἐπικαλεσαμένης αὐτόν. Ἡ γὰρ Ὀνωρία τῶν βασιλικῶν καὶ αὐτὴ ἐχομένη σκήπτρων, Εὐγενίῳ τινὶ, τὴν ἐπιμέλειαν τῶν αὐτῆς ἔχοντι πραγμάτων, ἥλω ἐς λαθραῖον ἐρχομένη λέχος, καὶ ἐπὶ τῷ ἁμαρτήματι ἀνῃρέθη μὲν ἐκεῖνος, ἡ δὲ τῶν βασιλείων ἐλαθεῖσα, Ἑρκουλάνῳ κατεγγυᾶται, ἀνδρὶ ὑπατικῷ καὶ τρόπων εὖ ἔχοντι, ὡς μήτε πρὸς βασιλείαν μήτε πρὸς νεωτερισμὸν ὑποτοπεῖσθαι. Ἐν συμφορᾷ δὲ καὶ ἀνίᾳ δεινῇ τὸ πρᾶγμα ποιουμένη, παρὰ τὸν Ἀττήλαν Ὑάκινθον εὐνοῦχον ἐκπέμπει τινὰ, ὥστε

χρῆται τύχῃ, καθὼς ἐνομίζετο, ἡ τύχη (l. ἐναντιωτάτη), μᾶλλον δὲ, ὡς ὕστερον ἐδείχθη, (supple θειοτάτη). — καταστῆσαι] καταστῆναι cod. — ποιμένος] ποιούμενος cod. — τὸν στρατηγὸν Ἄσπαρα] τὸν στρ. Ἀρδαβούριον codex. — ἐγκρατεῖς ἐγένοντο] ἐγκρατὴς ἐγένετο codex.

Fr. 196. V. Procop. De bell. Vandal. c. 3. Cf. Prosper. Chron. p. 654. Tillemont. VI, p. 191.

Fr. 197. V. Socrates VIII, 24, qui post ea quæ fragm. 195 Joannes exscripsit, pergit ita : Ἦν δὲ ἀνεψιὸς αὐτῷ κομιδῇ νέος, Οὐαλεντινιανὸς ὄνομα, ἐκ Πλακιδίας τῆς αὐτοῦ θείας γενόμενος· ἥτις θυγάτηρ μὲν ἦν Θεοδοσίου τοῦ μεγάλου βασιλέως; Ἀρκαδίου δὲ καὶ Ὀνωρίου τῶν δύο αὐγούστων ἀδελφή· πατρὸς δὲ ἦν ὁ Οὐαλεντινιανὸς Κωνσταντίου, ὃς ὑπὸ Ὀνωρίου βασιλεὺς ἀναδειχθεὶς καὶ βραχὺν αὐτῷ χρόνον συμβασιλεύσας, εὐθὺς ἐτελεύτησε. Τοῦτον τὸν ἀνεψιὸν Καίσαρα καταστήσας κτλ. — Κωνσταντίου] Κωνσταντίνου codex.

Fr. 198. Cf. Prisci fragm. 5. 12.

Fr. 199. γενέσθαι] γενέσθαι μελλούσης? — Βαύδωνα] Βάνδωνα cod. — αὐτοδεδογμένων codex. — § 2. Ὀνωρίας τῆς Βαλ.] Ὀνωριάδος τ. Β. codex. Primam hujus loci partem habes ap. Suidam v. Ὀνωρία. De re cf. Jornand. De success. regn. 92; De reb. Get. c. 42; Priscus fr. 15; Marcellin. Chron.; Gibbon. cap. XXXV.

ἐπὶ χρήμασιν αὐτῇ τιμωρήσει τῷ γάμῳ· ἐπὶ δὲ τούτοις καὶ δακτύλιον ἔπεμψε, πιστουμένη τὸν βάρβαρον. Καὶ ὁ μὲν παρεσκεύαζεν ἑαυτὸν χωρεῖν κατὰ τῆς τῶν ἑσπερίων βασιλείας. Ἐβούλετο δὲ ὅπως τὸν Ἀέτιον προκαταλάβοι· μὴ γὰρ ἄλλως τεύξεσθαι τῆς ἐλπίδος, εἰ μήγε ἐκεῖνον ποιήσοιτο ἐκποδών.

Ταῦτα τοίνυν Θεοδόσιος μεμαθηκώς, ἐπιστέλλει τῷ Βαλεντινιανῷ τὴν Ὀνωρίαν ἐκπέμπειν τῷ Ἀττήλᾳ. Καὶ ὁ μὲν συλλαβὼν τὸν Ὑάκινθον ἅπαντα διηρεύνησε, καὶ μετὰ πολλοὺς τοῦ σώματος αἰκισμοὺς, τῆς κεφαλῆς ἀποτμηθῆναι ἐκέλευσεν. Ὀνωρίαν δὲ τὴν ἀδελφὴν Βαλεντινιανὸς τῇ μητρὶ δῶρον ἔδωκε πολλὰ αἰτησαμένῃ αὐτήν. Οὕτως μὲν οὖν Ὀνωρία τότε τῆς * * ἀπελύετο.

200.

Exc. Salm. p. 400 : Οὐαλεντινιανὸς ἐρασθεὶς τῆς γυναικὸς Μαξίμου συγκλητικοῦ συνεπέττευεν αὐτῷ· ἐπεὶ δὲ ἡττήθη ὁ Μάξιμος, καὶ οὐκ εἶχεν ὅτι δοίη, ἔλαβεν ὁ βασιλεὺς τὸν δακτύλιον αὐτοῦ, καὶ ἀναστὰς (ὡς) ἐπιδίδωσι τὸν δακτύλιόν τινι συνήθει Μαξίμου, ὥστε ἀπελθόντα ὑποδεῖξαι τῇ γυναικὶ αὐτοῦ, ὡς τοῦ ἀνδρὸς κελεύσαντος ἥκειν εἰς τὰ βασίλεια συνδειπνήσουσαν τῇ αὐτοῦ. Ἡ δὲ ἀληθὲς τοῦτο νομίσασα ἧκε, καὶ μηνυθὲν τῷ βασιλεῖ ἀνέστη, καὶ ἀγνοοῦντος τοῦ Μαξίμου, συνεφθάρη αὐτῇ. Μετὰ δὲ τὴν παιδιὰν ἐλθόντι ὑπαντιάζει ἡ γυνὴ κλαίουσα, καὶ ὀνειδίζουσα αὐτὸν ὡς προδότην αὐτῆς· ὁ δὲ μαθὼν τὸ πᾶν ἐνεῖχε τὸν βασιλέα. Εἰδὼς δὲ ὡς ζῶντος τοῦ Ἀετίου οὐ δυνήσεται τιμωρῆσαι αὐτὸν, παρεσκεύασε διὰ τῶν εὐνούχων τοῦ βασιλέως ἀνελεῖν αὐτὸν δῆθεν ὡς ἐπίβουλον. Ἐπεὶ δὲ ἀνῃρέθη, εἶπεν ὁ βασιλεὺς πρός τινα τῶν στοχάζεσθαι δυναμένων· « Οὐ καλῶς μοι ὁ θάνατος Ἀετίου εἴργασται; » ὁ δὲ, « Εἰ καλῶς, φησὶν, ἢ μὴ, οὐκ οἶδα· γιγνώσκω δὲ ὅτι τῇ λαιᾷ χειρὶ τὴν δεξιάν σου ἀπέκοψας. »

2. Οὗτος οὖν ὁ Μάξιμος ἔρημον Ἀετίου τὸν βασιλέα εὑρὼν, ἀπέκτεινε, καὶ τῇ βασιλίδι Εὐδοξίᾳ συνῆλθεν. Ἦν δὲ αὐτὴ Εὐδοξία θυγάτηρ τοῦ μικροῦ Θεοδοσίου βασιλέως. Δοκῶν δὲ εἰς εὔνοιαν ἐφελκύσαι αὐτὴν, φησὶν ὅτι « διὰ τὸν πρός σε ἔρωτα αὐθέντης Οὐαλεντινιανοῦ γέγονα· » ἡ δὲ ἐλευθερογνώμων οὖσα, καὶ λογισαμένη ὡς « φεῦ, εἰ παραίτιος ἐγὼ τῆς τοῦ συνεύνου καὶ βασιλέως τελευτῆς, » γράφει Γιζερίχῳ ἤδη Λιβύην κατέχοντι, διὰ τάχους ἐλθεῖν καὶ τὴν Ῥώμην παραλαβεῖν. Ὁ δὲ ἐλθὼν τὴν πόλιν εἷλε, καὶ Εὐδοξίαν καὶ τὴν θυγατέρα αὐτῆς. Μάξιμος δὲ μισηθεὶς διὰ τὸν βασιλέως φόνον διώκεται καὶ ῥᾳδίως ἀναιρεῖται.

201.

Exc. De ins. p. 72 : Ὅτι τὰ τῶν ἑσπερίων Ῥωμαίων ἐν ταραχῇ ἦν. Μάξιμός τις ἀνὴρ εὐγενὴς καὶ δυνατὸς καὶ δεύτερον ὑπατεύσας, Ἀετίῳ τῷ στρατηγῷ τῶν κατὰ τὴν Ἰταλίαν ταγμάτων δυσμενὴς ὢν, ὡς ἔγνω καὶ τὸν Ἡράκλειον (εὐνοῦχος δὲ οὗτος καὶ τὴν μεγίστην παρὰ τῷ βασιλεύοντι ἔχων ῥοπὴν) τῆς αὐτῆς τῷ Ἀετίῳ ἔχθιστον ὄντα προαιρέσεως (ἄμφω γὰρ τῆς ἐκείνου τὴν σφετέραν ἐπειρῶντο ἀντεισάγειν δύναμιν), ἐς συνωμοσίαν ἔρχεται· καὶ πείθουσι τὸν βασιλέα, ὡς εἰ μὴ φθάσοι τὸν Ἀέτιον ἀνελεῖν ταχέως, ὑπ' αὐτοῦ φθαρήσεται.

2. Ὁ δὲ Βαλεντινιανὸς, ἐπειδὴ αὐτῷ ἐχρῆν γενέσθαι κακῶς τὸ τεῖχος τῆς ἑαυτοῦ ἀρχῆς καταλύοντι, προσίετό τε τοὺς λόγους Μαξίμου τε καὶ Ἡρακλείου, καὶ διαρτύει τῷ ἀνδρὶ τὸν θάνατον, ὅτε δὴ ὁ Ἀέτιος ἐν τοῖς βασιλείοις ἐγίνετο, κοινωνεῖν τῷ κρατοῦντι μέλλων ἐπὶ τοῖς βουλεύμασιν, καὶ προνοίας χρυσίον εἰσάγειν πειρώμενος. Ὡς δὲ τὰ περὶ τῶν πόρων Ἀέτιος προὔθηκε καὶ ἀναλογισμὸν ἐποιεῖτο τῶν ἐκ τῆς εἰσφορᾶς ἀθροισθέντων χρημάτων ἀθρόων, ὁ Βαλεντινιανὸς ἀνακραγὼν ἀνέθορέ τε τοῦ θάκου, καὶ οὐκέτι ἔφη οἴσειν τοσαύταις ἐμπαροινούμενος μοχθηρίαις· ἐπ' αὐτὸν γὰρ φέροντα τὴν κακῶν αἰτίαν παρελέσθαι αὐτὸν, ὥσπερ τῆς ἑῴας βασιλείας, καὶ τοῦ τῆς ἑσπέρας βούλεσθαι κράτους παραδηλῶν (τῆς ἀρχῆς). Τὸ δὲ παράδοξον τῆς ὀργῆς ὡς ἀπεθαύμαζεν ὁ Ἀέτιος, καὶ ἐπειρᾶτο τῆς ἀλόγου * * τοῦ κολεοῦ τὸ ξίφος, σὺν τῷ Ἡρακλείῳ ὥρμησεν, ἤδη καὶ αὐτῷ τὴν κοπίδα εὐτρεπῆ ὑπὸ τὴν χλαμύδα φέροντι (Πριμικέριος γὰρ τῶν κοιτώνων ἦν)· καὶ ἄμφω κατὰ τοῦ Ἀετίου κεφαλῆς συνεχεῖς ἐπενεγκόντες πληγὰς, ἀνεῖλον αὐτὸν, πολλὰ ἀνδρὸς ἔργα διαπραξά-

— ἐβούλετο] malim ἐβουλεύετο. — διηρεύνησε] διηνεύρησε cod.

Fr. 200. Cf. Procop. Vand. bell. I, 4; Euagrius II, 7. — καὶ μηνυθὲν τῷ βασιλεῖ] hæc dura admodum pro : οὗ μηνυθέντος τῷ β., ἀνέστη. — διὰ τῶν εὐνούχων τοῦ βασιλέως] δ. τ. ε. τὸν βασιλέα codex. Possis etiam : τῶν βασιλείων. Cf. Suidas v. Θλαδίας, εὐνοῦχος· « Ὑποβάλλει τοίνυν [supple ὁ θλαδίας, i. e. Heraclius] τοὺς Οὐαλεντινιανοῦ (Οὐάλεντος codd.) μυστικοὺς, τὴν γυναικωνῖτιν λέγω φάλαγγα, οἵπερ εἰσὶν ἀεὶ τῶν φαύλων πράξεων ἐμπόρευμα, κατηγορῆσαι τοῦ Ἀετίου κατὰ βασιλέως ἐμμελετᾶν, ὡς ἂν ἐπιβατεύσῃ τῆς ἐξουσίας. [Οἱ δὲ] ἀγωνίζονται πεῖσαι τὸν βασιλέα. Ἦν γὰρ βαρὺς ὁ σταθμὸς τοῦ ὑποσχεθέντος χρυσίου ὁ ὑποσμήχων (ὑποσμύχων conj. Küster. et Hemsterh.) αὐτῶν τὰ ἐντοσθεν· δεινοὶ γὰρ εἰς τὸ συρράψαι βλάβας, προκειμένης χρυσίου ὑποσχέσεως· ἄπληστον γὰρ τὸ γένος καὶ πρὸς πλεονεξίαν ἀεὶ κέχηνε, καὶ οὐκ ἔστι τι τῶν φαύλων ἄνευ τῆς αὐτῶν δυστροπίας ἐν τοῖς βασιλείοις τελούμενον. Πείθεται ταῖς συκοφαντίαις ὁ βασιλεὺς, καὶ λόγου ταχύτερον πρὸς τὸν φόνον Ἀετίου κινηθεὶς τοῦτον ἀναιρεῖ. Καὶ ὡς ἕρμαιον αὐτῷ τὸ πραχθὲν λογισάμενός φησι πρός τινα τῶν (τὸν codd.) στοχάζεσθαι τὰ ἀπόρρητα δυναμένων (δυνάμενον codd.)· « Οὐ καλῶς μοι πέπρακται ἡ τοῦ Ἀετίου, ὦ οὗτος, ἀναίρεσις; » Ὁ δέ φησιν· « Εἰ καλῶς ἢ μή, οὐκ οἶδα· γινώσκω (γίνωσκε codd.) δὲ ὅτι τῇ λαιᾷ χειρὶ τὴν δεξιάν σου ἀπέκοψας. » Hunc locum Prisco vindicavit Reinesius. Idque verum esse non dubito. Cf. not. ad fr. 203. Alii de Eunapio vel Malcho cogitarunt inepte. Ceterum hæc Excerpti Salmas. narratio parum quadrare mihi videtur cum iis quæ in Exc. De ins. (fr. 201) de Maximo narrantur. Cf. Tillemont. VI, p. 232. — § 2. πρός σε] πρός γε codex; em. Cramer.

Fr. 201. § 2. προσίετό τε] προσίετο δὲ cod. — χρυσίον] χρυσίου cod. — τῆς ἀλόγου **] suppleri possit : τῆς ἀλόγου αὐτὸν παύειν ὀργῆς, ὁ βασιλεὺς ἐκσπάσας τοῦ κολεοῦ κτλ. — αὐτῷ... φέροντι] αὐτοῦ... φέροντος cod. — πριμικέριος] πριμικίριος cod.

μενον πρός τε ἐμφυλίους καὶ ἐθνείους πολέμους. (3) Τὴν μὲν γὰρ Πλακιδίαν, ἥτις τοῦ Βαλεντινιανοῦ μήτηρ ἦν, καὶ τὸν παῖδα, νέον ὄντα, ἐπετρόπευσε, διὰ τῆς τῶν βαρβάρων συμμαχίας· τὸν δὲ Βονιφάτιον, σὺν πολλῇ διαβάντα χειρὶ ἀπὸ τῆς Λιβύης, κατεστρατήγησεν, ὥστε ἐκεῖνον μὲν ὑπὸ φροντίδων νόσῳ τελευτῆσαι, αὐτὸν δὲ τῆς αὐτοῦ γαμετῆς καὶ τῆς περιουσίας κύριον γενέσθαι. Ἀνεῖλε δὲ καὶ Φήλικα δόλῳ, τὴν στρατηγικὴν σὺν αὐτῷ λαχόντα ἀρχήν, ὡς ἔγνω ὑποθήκῃ τῆς Πλακιδίας ἐς τὴν αὐτοῦ ἀναίρεσιν παρασκευαζόμενον. Κατηγωνίσατο δὲ καὶ Γότθους τοὺς ἐν Γαλατίᾳ τῇ πρὸς ἑσπέραν τῶν Ῥωμαίων ἐμβατεύσαντας χωρίοις. Παρεστήσατο καὶ Αἱμοριχιανοὺς ἀφηνιάσαντας Ῥωμαίων· ὡς δὲ συνελόντα εἰπεῖν, μεγίστην κατεστήσατο δύναμιν, ὥστε μὴ μόνον βασιλεῖς, ἀλλὰ καὶ παροικοῦντα ἔθνη τοῖς ἐκείνου ἥκειν ἐπιτάγμασιν.

4. Μετὰ δὲ τὸν Ἀετίου φόνον καὶ Βοήθιον ὁ Βαλεντινιανὸς, ὕπαρχον ὄντα, ἀνεῖλεν, ἐκείνῳ εἰς τὰ μάλιστα κεχαρισμένον. Ὡς δὲ ἀτάφους αὐτοὺς ἐπὶ τὴν ἀγορὰν προὔθηκεν, εὐθέως τὴν γερουσίαν μετακαλεσάμενος, πολλὰς τῶν ἀνδρῶν ἐποιεῖτο κατηγορίας, εὐλαβούμενος, μή πως διὰ τὸν Ἀέτιον ἐπανάστασιν ὑπομείνοι. Ὁ δὲ Μάξιμος μετὰ τὴν Ἀετίου ἀναίρεσιν παρὰ τὸν Βαλεντινιανὸν ἐφοίτα, ὡς ἂν ἐπὶ τὴν ὕπατον ἀρχὴν προαχθείη· ταύτης δὲ διαμαρτὼν τῆς πατρικιότητος τυχεῖν ἐβούλετο· ἀλλ᾽ οὐδὲ ταύτης ὁ Ἡράκλειος τῆς ἐξουσίας συνεχώρει· ἐκ τῆς αὐτῆς γὰρ ὁρμώμενος, τὰς τοῦ Μαξίμου ἀνέκοπτεν ὁρμὰς, παραπείθων τὸν Βαλεντινιανὸν, ἀπηλλαγμένον τῆς Ἀετίου βαρύτητος, μὴ χρῆναι τὴν ἐκείνου πάλιν εἰς ἐκείνους μεταφέρειν δύναμιν. Ἐντεῦθεν ὁ Μάξιμος ἀμφοτέρων διαμαρτὼν ἐχαλέπαινεν, καὶ τὸν Ὀπτήλαν καὶ Θραυστήλαν μεταπεμψάμενος, ἄνδρας Σκύθας καὶ κατὰ πόλεμον ἀρίστους, σὺν Ἀετίῳ δὲ στρατευσαμένους, καὶ Βαλεντινιανῷ προσοικειωθέντας, ἐς λόγους ἦλθε, καὶ πίστεις δοὺς καὶ λαβὼν, τὸν βασιλέα ἐν αἰτίᾳ ἐτίθετο τοῦ φόνου τοῦ Ἀετίου ἕνεκα, καὶ μετιέναι αὐτὸν ἄμεινον ἐδίδασκεν· ἔσεσθαι γὰρ αὐτοῖς τὰ μέγιστα ἀγαθὰ ἐν δίκῃ τῷ πεσόντι τιμωροῦσιν.

5. Ἡμερῶν δὲ διαγενομένων οὐ πολλῶν, ἐδόκει τῷ Βαλεντινιανῷ ἱππασθῆναι κατὰ τὸ Ἄρεος πεδίον, ὀλίγοις ἅμα δορυφόροις, καὶ τοῖς περὶ τὸν Ὀπτήλαν καὶ Θραυστήλαν. Ὡς δὲ ἀποβὰς τοῦ ἵππου, ἐπὶ τὴν τοξείαν ἐχώρει, ἐνθ᾽ ἂ δὴ ἐπέθεντο Ὀπτήλας καὶ οἱ περὶ αὐτόν. Καὶ ὁ μὲν Ὀπτήλας κατὰ τοῦ κροτάφου παίει τὸν Βαλεντινιανόν· ἐπιστραφέντα δὲ ἰδεῖν τὸν πατάξαντα, δευτέραν κατὰ τῆς ὄψεως ἐπαγαγὼν, καταβάλλει. Ὁ δὲ Θραυστήλας τὸν Ἡράκλειον καθεῖλεν, καὶ ἄμφω τε τὸ διάδημα τοῦ βασιλέως καὶ τὸν ἵππον λαβόντες, ἐς τὸν Μάξιμον ἀπέτρεχον· ** εἴτε δὲ καὶ τὴν ἐν τοῖς πολέμοις τῶν ἀνδρῶν δόξαν τῶν παρόντων ἐπτοημένων, ἀκίνδυνος αὐτοῖς ἡ ἐπιχείρησις ἦν. Δαιμόνιον δέ τι ἐπὶ τῷ Βαλεντινιανοῦ θανάτῳ συνέβη. Μελισσῶν γὰρ ἑσμὸς ἐπιγενόμενος τὸ ἐς τὴν γῆν ἀπ᾽ αὐτοῦ ῥυὲν αἷμα ἀνιμήσατο καὶ ἅπαν ἐμύζησεν. Τελευτᾷ μὲν οὖν ὁ Βαλεντινιανὸς, ἔτη βιώσας ἑπτὰ καὶ τριάκοντα.

6. Τὸ ἐντεῦθεν δὲ ἡ Ῥώμη ἐν θορύβῳ καὶ ταραχαῖς ἦν, τά τε στρατιωτικὰ διῃρεῖτο πλήθη, τῶν μὲν τὸν Μάξιμον βουλομένων παράγειν ἐς τὴν ἀρχὴν, τῶν δὲ Μαξιμιανὸν ἐσπουδακότων χειροτονεῖν· ὃς ἦν μὲν πατρὸς Δομνίνου, Αἰγυπτίου πραγματευτοῦ, εὐημερήσαντος δὲ κατὰ τὴν Ἰταλίαν, καὶ τῷ Ἀετίῳ τὴν τοῦ δομεστίκου διακονούμενος χρείαν· τῷ δὲ Μαιουρίνῳ ἐσπουδάκει καὶ Εὐδοξία ἡ τοῦ Βαλεντινιανοῦ γαμετὴ γενομένη· ἀλλὰ τῇ τῶν χρημάτων χορηγίᾳ ὁ Μάξιμος περιὼν, τῶν βασιλείων ἐκράτει. Οἰηθεὶς δὲ βεβαίαν αὐτῷ ἔσεσθαι τὴν ἀρχὴν, βιάζεται τὴν Εὐδοξίαν, θάνατον ἀπειλῶν. Οὕτω μὲν οὖν Μάξιμος ἐπὶ τὴν Ῥωμαίων ἡγεμονίαν ἦλθε. Καὶ Γιζέριχος, ὁ τῶν Βανδήλων ἄρχων, τὴν Ἀετίου καὶ Βαλεντινιανοῦ ἀναίρεσιν ἐγνωκὼς, ἐπιτίθεσθαι ταῖς Ἰταλίαις καιρὸν ἡγησάμενος, ὡς τῆς μὲν εἰρήνης θανάτῳ τῶν σπεισαμένων λυθείσης, τοῦδε εἰς τὴν βασιλείαν παρελθόντος μὴ ἀξιόχρεων κεκτημένου δύναμιν, οἱ δέ φασι καὶ ὡς Εὐδοξίας τῆς Βαλεντινιανοῦ γαμετῆς ὑπὸ ἀνίας διὰ τὴν τοῦ ἀνδρὸς ἀναίρεσιν καὶ τὴν τῶν γάμων ἀνάγκην, λάθρα ἐπικαλεσαμένης αὐτὸν, σὺν πολλῷ στόλῳ καὶ τῷ ὑπ᾽ αὐτὸν ἔθνει ἀπὸ τῆς Ἄφρων ἐς τὴν Ῥώμην διέβαινεν. Ἐπειδὰν δὲ ἐν τῷ Ἀζέστῳ (τόπος δὲ οὗτος τῆς Ῥώμης ἐγγύς) τὸν Γιζέριχον ὁ Μάξιμος ἔγνω στρατοπεδευόμενον, περιδεὴς γενόμενος, ἔφευγεν ἵππῳ ἀναβὰς, καὶ αὐτῶν τῶν βασιλικῶν δορυφόρων καὶ τῶν ἀμφ᾽ αὐτὸν ἐλευθέρων οἷς μάλιστα ἐκεῖνος ἐπίστευεν, ἀπολιπόντων, οἱ ὁρῶντες ἐξελαύνοντα ἐλοιδόρουν τε καὶ δειλίαν ὠνείδιζον· τῆς δὲ πόλεως ἐξιέναι μέλλοντα βαλών τις λίθῳ κατὰ τοῦ κροτάφου ἀνεῖλε· καὶ τὸ πλῆθος ἐπελ-

— διαπραξάμενον] διαπραξάμενος cod. — Φήλικα] Φίληκα cod. Prosper Chron. ad Theodos. an. 18, Valentin. an. 3 : *Aetius Felicem cum uxore sua Padusia, et Grunnitum diaconum, eos insidiari sibi quum præsensisset, interimit.* Cf. Tillemont. VI, p. 202. — Αἱμοριχιανοὺς] voluit auctor haud dubie Ἀρμοριχανούς. Gallos Armoricæ rebelles Aetius subegerat (an. 336). — § 4. πάλιν εἰς ἐκείνους] exspectabam π. ε. ἐκεῖνον, Maximum sc. — Θραυστήλαν] sic ap. alios nomen se habet (V. Tillemont. VI, p. 253); codex Θραυτήλα; in seq. § 5 semel codex Θραυτήλαν et semel Θραυστήλας. — § 6. κατὰ τὸ Ἄρεος πεδίον] « In *Campo Martio* interemtum Valentinianum III scribunt Victor Tunnunensis, Senator, etc. *In Campo Martio, quum pro tribunali residens concionaretur ad populum*, Renatus Frigeridus apud Gregor. Tur. Hist. II, 8. *Extra urbem ludo gestationis intentum*, Idatius; in *palatio*, Theophanes, Cedrenus, Symeon Logoth. et Zonaras. » DUCANGE ad Chron. Pasch. p. 592 ed. Bonn. Auctor Chron. Pasch. regem inter duas lauros interfectum dicit. — τὸν πατάξαντα] καὶ π. cod. — εἴτε δὲ καὶ] excidit alterum orationis membrum, quod voce εἴτε introducebatur. — ἑπτὰ καὶ τριάκοντα] Alii aliter. V. Tillemont. VI, p. 253. — Μαιουρῖνος] sic codex ubique; deb. Μαιοριανός.

θὸν τόν τε νεκρὸν διέσπασε, καὶ τὰ μέλη ἐπὶ κόντῳ φέρων ἐπαιωνίζετο. Ταύτης μὲν οὖν ἐκεῖνος ἔτυχε τῆς τοῦ βίου καταστροφῆς· ἐπὶ τῇ τυραννίδι μηνῶν αὐτῷ διαγενομένων τριῶν. Ἐν τούτῳ δὲ καὶ Γιζέριχος ἐς τὴν Ῥώμην ἐσέβαλε.

202.

Ibid. p. 76 : Ὅτι Ἀβίτου βασιλεύσαντος τῆς Ῥώμης, καὶ λιμοῦ κατὰ τὸν αὐτὸν καιρὸν γενομένου, ἐν αἰτίᾳ τὸν Ἄβιτον ὁ δῆμος ποιησάμενος, ἠνάγκασε τοὺς ἐκ Γαλατίας αὐτῷ συνεισφρήσαντας συμμάχους ἀπάγειν τῆς Ῥωμαίων πόλεως. Ἀπέπεμπε δὲ καὶ τοὺς Γότθους, οὓς ἐπὶ τῇ σφετέρᾳ ἐπήγετο φυλακῇ, χρημάτων αὐτοῖς ποιησάμενος διανομὴν ἐκ τῶν δημοσίων ἔργων, τοῖς ἐμπόροις χαλκὸν ἀποδόμενος· οὐ γὰρ χρυσίον ἐν τοῖς βασιλικοῖς ταμείοις ἔτυχεν ὄν· ὅπερ τοὺς Ῥωμαίους πρὸς στάσιν διανέστησεν, ἀφῃρημένους τοῦ τῆς πόλεως κόσμου.

Περιφανῶς δὲ καὶ ὁ Μαιουρῖνος καὶ ὁ Ῥεκίμερ ἐπανίσταντο, τοῦ ἐκ τῶν Γότθων ἀπηλλαγμένοι δέους, ὥστε αὐτὸν, πῆ μὲν τὰς ἐμφυλίους ταραχὰς, πῆ δὲ τοὺς τῶν Βανδήλων πολέμους ὑφοραθέντα, ὑπεξελθεῖν τῆς Ῥώμης, καὶ ἔχεσθαι τῆς ἐπὶ Γαλατίαν ὁδοῦ. Ἐπιθέμενοι δὲ αὐτῷ κατὰ τὴν ὁδὸν, Μαιουρῖνός τε καὶ Ῥεκίμερ, εἰς τέμενος φυγεῖν κατηνάγκασαν, ἀπαγορεύοντα τῇ ἀρχῇ, καὶ τὴν βασίλειον ἀποδυσάμενον στολήν. Ἔνθα οἱ περὶ τὸν Μαιουρῖνον οὐ πρότερον τῆς πολιορκίας ἀπέστησαν, πρὶν ἢ λιμῷ πιεσθεὶς τὸν βίον ἀπέλιπε, ὀκτὼ ἐπὶ τῆς βασιλείας διαγενομένων μηνῶν· οἱ δέ φασι ὅτι ἀπεπνίγη. Καὶ τοῦτο μὲν Ἀβίτῳ τοῦ βίου τέλος καὶ τῆς βασιλείας ἐγένετο.

203.

ΛΕΩΝ.

Ibid. p. 76 : Ὅτι Μαιουρῖνος, ὁ τῶν Ἑσπερίων βασιλεὺς, ὡς αὐτῷ οἱ ἐν Γαλατίᾳ Γότθοι σύμμαχοι κατέστησαν, καὶ τὰ παροικοῦντα τῇ ἑαυτοῦ ἐπικρατείᾳ ἔθνη τὰ μὲν λόγοις, τὰ δὲ ὅπλοις παρεστήσατο· καὶ ἐπὶ τὴν Λιβύην σὺν πολλῇ διαβαίνειν ἐπειρᾶτο δυνάμει, νηῶν ἀμφὶ τὰς τ' αὐτῷ ἠθροισμένων· καὶ ἐπὶ συνθήκαις αἰσχραῖς καταλύσας τὸν πόλεμον, ἐπανεζεύγνυεν. Ἤδη δὲ ἐς τὴν Ἰταλίαν διαβεβηκότι ὁ Ῥεκίμερ θάνατον ἐπεβούλευσεν. Ὁ μὲν γὰρ τοὺς συμμάχους μετὰ τὴν ἐπάνοδον ἀποπέμψας, σὺν τοῖς οἰκείοις ἐπὶ τὴν Ῥώμην ἐπανήρχετο. Οἱ δὲ περὶ τὸν Ῥεκίμερα συλλαβόντες αὐτὸν, τῆς ἁλουργίδος καὶ τοῦ διαδήματος ἐγύμνωσαν, πληγάς τε ἐντείναντες, τῆς κεφαλῆς ἀπετέμνοντο. Τοῦτο μὲν τῷ Μαιουρίνῳ τῆς τοῦ βίου καταστροφῆς γίνεται τὸ τέλος.

204.

Ibid. p. 77 : Ὅτι ὁ Γιζέριχος ἐπόρθει τὰς Ἰταλίας, βουλόμενος βασιλεῦσαι τῶν Ἑσπερίων Ὀλύβριον διὰ τὴν ἐξ ἐπιγαμίας συγγένειαν. Οὐκ ἐποιεῖτο δὲ προφανῆ τοῦ πολέμου αἰτίαν, τὸ μὴ τὸν Ὀλύβριον ἐς τὰ τῆς Ἑσπερίας διαβῆναι βασίλεια, ἀλλὰ τὸ μὴ τὴν Βαλεντινιανοῦ καὶ Ἀετίου δεδόσθαι αὐτῷ περιουσίαν, τὴν μὲν, ὀνόματι Εὐδοκίας, ἣν ὁ τούτου παῖς εἶχε, τὴν δὲ, ὡς Γαυδεντίου παιδὸς διάγοντος παρ' αὐτῷ.

205.

Ibid. p. 77 : Ὅτι ἐπὶ Ἀνθεμίου καὶ Λέοντος τῶν βασιλέων Οὔλλιβος ὑπὸ Ἀναγάστου ἀνῃρέθη κατὰ τὴν Θρᾴκην, ἀμφότεροι τοῦ Σκυθικοῦ γένους, καὶ πρὸς τὸ νεωτερίζειν ἐπιτήδειοι.

206.

Ibid. p. 77 : Ὅτι τῶν Ἰσαύρων ἐν τῇ Ῥοδίων νήσῳ πρὸς ἁρπαγὴν τραπέντων καὶ φόνους ἐργασαμένων, οἱ στρατιῶται τούτους διεχειρίσαντο. Καὶ οἱ μὲν ἐπὶ τὰς ναῦς φυγόντες ἐπὶ τὴν Κωνσταντίνου ἅμα Ζήνωνι τῷ ἐπὶ θυγατρὶ τοῦ βασιλέως γαμβρῷ παραγενόμενοι, καὶ τοὺς τὴν ἀγορὰν προτιθέντας διαθορυβοῦντες, τὸν δῆμον εἰς λιθοβολίας διανέστησαν. Ἐμφυλίου δὲ ἐντεῦθεν κινηθέντος πολέμου, νὺξ ἐπιλαβοῦσα τὴν στάσιν διέλυσεν.

2. Καὶ κατὰ τοῦτον τὸν χρόνον Ἀναγάστης, ὁ τῶν Θρᾳκίων τελῶν ἔξαρχος, πρὸς τὸ νεωτερίζειν ἀρθεὶς, τὰ Ῥωμαίων ἐπέτρεχε φρούρια. Αἰτία δὲ τῆς αὐτοῦ διαφορᾶς ἐλέγετο, ὡς Ἰορδάνου τοῦ Ἰωάννου παιδὸς,

---

Fr. 202. συνεισφρήσαντας] i. e. συνεισελθόντας. Cf. Suidas v. εἰσφρήσωσι. Steph. Thes. v. εἰσφρέω. — Ceterum quæ hic de Avito traduntur, aliunde non nota sunt.

Fr. 203. Quemnam auctorem Joannes in hac historiarum parte secutus sit, hucusque non satis firmo judicio asseverare licebat. Præ ceteris tamen se commendare videbatur Priscus, ad quem in anteced. sæpius jam lectorem relegavimus. Ac revera Priscum illum a Nostro exprimi luculentissime hocce indicatur loco, quippe cujus primam partem usque ad verba ἠθροισμένων verbotenus eandem habemus in Prisci fragm. 27, pag. 103. Nec dubium est etiam ea quæ sequuntur apud Joannem eodem modo e Prisco exscripta esse. — νηῶν] νικῶν cod. — συνηθροισμένων] Post hæc multa ab excerptore omissa esse sponte intelligitur. Partem eorum præbent Prisci fr. 27. 28 et 29.

Fr. 204. Prima hujus fr. verba concinunt cum verbis postremis in Prisci fragmento 29, p. 104 : ἀλλὰ μᾶλλον αὐτὰς (τὰς Ἰταλίας καὶ τὴν Σικελίαν) ἐξεπόρθει, μετὰ τὸν Μαιοριανὸν βουληθεὶς βασιλεύειν τῶν ἐν τῇ ἑσπέρᾳ Ῥωμαίων Ὀλύβριον διὰ τὴν ἐξ ἐπιγαμίας συγγένειαν.

Fr. 205. Οὔλλιβος] nomen procul dubio corruptum. Anagastes interfecit Attilæ filium Δεγγιζὶχ vel *Dinziric* vel *Dincio* (v. Chron. Alex. p. 743, coll. Prisco fr. 38, Tillemont. VI p. 391). In codd. Joannis olim fuisse videtur Θύννικος. — ἀμφότεροι] igitur de duobus Hunnorum ducibus in Joanne sermo fuit. Alter, cujus mentionem excerptor omisit, probabiliter est vel *Hernac*, frater Dengizio, vel *Hormisdac*, quem eodem fere tempore Anthemius ad mortem adegit (V. Tillemont. p. 391).

Fr. 206. § 1. Hæc aliunde non novimus. Evenerunt circa an. 469 vel 470. Nam qui in seqq. memoratur Jordanes, Joannis Vandali f., consul fuit an. 470.

ὅνπερ Ἀνεγίσκλος ὁ Ἀναγάστου πατὴρ ἀνῃρήκει, ἐς τὴν ὕπατον ἀνιέντος τιμήν, τὴν (γὰρ) ἐπ' αὐτῷ γενομένην ὁ Ἀναγάστης οὐκ ἐδέξατο ψῆφον, ὡς ἐπιληψίαν νοσῶν τε καὶ δεδιὼς (φησὶ) μήποτε ἐν τῷ τῆς γερουσίας αἶσχος ἀπενέγκοιτο τῷ πάθει, ἂν οὕτω τύχοι. Ἄλλοι δέ φασι αὐτὸν χρημάτων ἐφιέμενον, ἐς τὴν ἐπανάστασιν χωρεῖν. Πολλῆς δὲ τῆς περὶ αὐτοῦ γενομένης ὑποψίας, τέλος ἐκ τῆς βασιλικῆς αὐλῆς σταλέντες τινές, ἔπεισαν αὐτὸν παύσασθαι τῆς ἐπιχειρήσεως. Ὁ μὲν οὖν Ἀρδαβούριον, τὸν Ἄσπαρος, αἴτιον τῆς τυραννίδος ἀπέφηνε, καὶ τὰ τούτου γράμματα παρὰ τὸν βασιλεύοντα ἔπεμπεν. — Ὁ δὲ τοῦ βασιλέως γαμβρὸς Ζήνων, τὴν ὕπατον ἔχων ἀρχήν, ἔστελλε τοὺς τὸν Ἰνδακὸν ἀποστήσοντας ἀπὸ τοῦ λεγομένου Παπιρίου λόφου. Τοῦτον γὰρ πρῶτος Νέων ἐφύλευε· μεθ' ὃν Παπίριος καὶ ὁ τοῦδε παῖς Ἰνδακός, τοὺς προσοίκους ἅπαντας βιαζόμενοι, καὶ τοὺς διοδεύοντας ἀνατροῦντες. Ἐστέλλετο δὲ καὶ κατὰ Ζάνων βοήθεια, ληιζομένων τὰ περὶ τὴν Τραπεζοῦντα χωρία. Διανέστη δὲ τότε πρὸς πόλεμον καὶ τὸ Γότθων ἔθνος, Γαλατίαν τὴν πρὸς Ἑσπέρας νεμόμενον· οἵπερ πάλαι μὲν Ἀλλαρίχου ὠνομάζοντο· ἔτι γε μὴν καὶ τὸ ἐν Παιονίᾳ βαρβαρικὸν πλῆθος, πρότερον μὲν ὑπὸ Βαλίμερι, μετὰ δὲ τὴν ἐκείνου ἀναίρεσιν ὑπὸ Θευδόμερι ταττόμενον, τῷ Βαλίμερος ἀδελφῷ.

207.

Ibid. p. 78 : Ὅτι ὁ τῶν Ἑσπερίων βασιλεὺς Ἀνθέμιος, νόσῳ περιπεσὼν ὑπὸ μαγγανείας χαλεπῇ, πολλοὺς ἐπὶ τούτῳ ἁλόντας ἐκόλασε· μάλιστα Ῥωμανόν, ἐν τῇ τοῦ μαγίστρου ἀρχῇ τελέσαντα καὶ ἐν τοῖς πατρικίοις ἐγγεγραμμένον, ἐπιτήδειόν τε ἐς τὰ μάλιστα ὄντα τῷ Ῥεκίμερι· δι' ὃ ἀνιαθεὶς τῆς τε Ῥώμης ἐξῆλθε, καὶ ἑξακισχιλίους ἄνδρας ἐς τὸν κατὰ Βανδήλων πόλεμον ὑπ' αὐτὸν ταττομένους ἀνεκαλέσατο.

208.

Ibid. p. 78 : Ὅτι ἐπὶ Λέοντος τοῦ βασιλέως Ἰορδάνης ὁ τῆς ἑῴας στρατηγὸς καὶ ὕπατος, εἰς ἔσχατον ἦλθε κινδύνου· ἅμα δὲ αὐτῷ Μισαὴλ (Μιχαὴλ?) καὶ Κοσμᾶς τῶν βασιλείων ὄντες θαλαμηπόλοι, ὅτι τὰ βασίλεια φυλάττειν καταλελησμένοι, τοῦ βασιλέως ἔξω διαιτωμένου, Ἰορδάνῃ τὰ ἔνδον ἱστορῆσαι βουληθέντι ἐφῆκαν.

209.

Ibid. p. 78 : Ὅτι ὁ Ῥεκίμερ εἰς διαφορὰν πρὸς τὸν Ἀνθέμιον καταστάς, τὸν βασιλέα τῶν Ἑσπερίων, καὶ ταῦτα θυγατέρα αὐτοῦ κατεγγυηθεὶς Ἀλυπίαν, ἐμφύλιον ἔνδον τῆς πόλεως συνεκρότησε πόλεμον, ἐπὶ μῆνας θ' (l. ε')· καὶ Ἀνθεμίῳ μὲν συνεμάχουν οἵ τε ἐν τέλει καὶ ὁ δῆμος, τῷ δὲ Ῥεκίμερι τὸ τῶν οἰκείων βαρβάρων πλῆθος. Συνῆν δὲ καὶ Ὀδόακρος, γένος ὢν τῶν προσαγορευομένων Σκίρων, πατρὸς δὲ Ἰδικῶνος, καὶ ἀδελφὸς Ὀνοούλφου καὶ Ἀρματίου, σωματοφύλακός τε καὶ σφαγέως γενομένου. Καὶ ὁ μὲν Ἀνθέμιος κατῴκει ἐν τοῖς βασιλείοις· ὁ δὲ Ῥεκίμερ τὰ περὶ τὸν Τίβεριν διαφράξας, λιμῷ τοὺς ἔνδον ἐβιάζετο. Ἐντεῦθεν αὐτοῖς συμβολῆς γενομένης, πολὺ τῆς Ἀνθεμίου κατέπεσε μοίρας· τοὺς δὲ λοιποὺς ὁ Ῥεκίμερ παραστησάμενος δόλῳ, βασιλέα τὸν Ὀλύβριον ἀποδείκνυσιν. Πέντε γοῦν δι' ὅλου μῆνας ἐμφύλιος τῆς Ῥώμης ἐπεκράτει πόλεμος ἄχρις οὗ τῶν περὶ τὸν Ἀνθέμιον ἐνδόντων τοῖς βαρβάροις καὶ τὸν βασιλεύοντα γυμνὸν καταλιπόντων, αὐτοῖς τοῖς πτωχεύουσιν ἀναμιχθείς, ἐν τοῖς πρόσφυξι τοῦ μάρτυρος Χρυσογόνου γίνεται. Ἐκεῖ τε τῆς κεφαλῆς ἀποτέμνεται ὑπὸ Γονδουβάνδου τοῦ Ῥεκίμερος ἀδελφοῦ, βασιλεύσας ἔτη πέντε, μῆνας γ', ἡμέρας ὀκτωκαίδεκα.

2. Ὁ δὲ Ῥεκίμερ αὐτὸν μὲν βασιλικῆς ἠξίωσε ταφῆς, τὸν δὲ Ὀλύβριον ἐπὶ τὴν βασιλείαν ἀνήγαγεν (αὐτόν). Ὀλυβρίου δὲ κατὰ τὸν εἰρημένον τρόπον τὴν Ῥω-

---

— § 2. Ἀνεγίσκλος] scrib. vid. Ἀρνεγίσκλος; sic enim ap. Jornandem vocatur, in eandemque formam corrigendum Ὀρνιγίσκλος, quod codex habet in Prisci fragm. 33. Interfectus Joannes Vandalus an. 441. V. Theophan. p. 84, A, Tillemont. VI, p. 89. — νοσῶν τε] νοσοῦντα cod. — Ἀρδαβούριον τὸν] Ἀρζαβούριος τὸν cod.; em. Cramer. — Παπιρίου λόφον] Παπίριον φρούριον ex Eustathio Epiphan. (fr. 3, p. 139) memorat Euagrius III, 27, ubi in eo custoditam esse dicit Verinam (cf. Theodorus Anagn. p. 558 ed. Vales.). Apud Theophan. p. 197 et p. 196 scribitur Πακουρίου καστέλλον. Pag. 196 Theophanes (uti etiam Theodorus An. p. 557) dicit eo Marcianum rebellem relegatum esse; contra vero Eustath. fr. 4 Marcianum in Cæsaream Cappadociæ urbem missum dicit. Unde conjeceris castellum istud haud longe a Cæsarea dissitum fuisse. Ad Papirium latronum ducem fortasse pertinet glossa Suidæ : Παπίριος, ὄνομα κύριον· « Οὐ γὰρ οὐδὲ τούτων ἄτριψ ἦν Παπίριος. » — Ἰνδακόν] De hoc ita Suidas : Ἰνδακός, ὄνομα κύριον. Ἤκμαζε δὲ ἐπὶ Λέοντος τοῦ μετὰ Μαρκιανὸν βασιλέως, λαμπρὸς τὴν τόλμαν καὶ τοῖς ποσὶ χρήσασθαι δυνατώτατος, τῶν χειρῶν τὴν ἀριστερὰν ἀμείνων, ταχυτῆτι τῶν ποδῶν διαφέρων. Εὐχίδου γὰρ καὶ Ἀσσάπου καὶ Χρυσομάζου καὶ Ἐχίονος, καὶ εἴ τις ἕτερος ἐπὶ ποδῶν ὠκύτητι διεβοήθη, ὀξύτερος ἦν. Οὗτος γὰρ ἐξεφαίνετο ὁδεύων καὶ ἠφανίζετο αὖθις οἷά τις ἀστραπή, κατὰ κρημνῶν οὐ τρέχοντι μᾶλλον ἀλλὰ πετομένῳ ἐοικώς. Ἦν γὰρ κέλευθον ἀνὴρ δι' ἵππων ἀμοιβῆς αὐθήμερον οὐκ ἴσθενε δρᾶσαι, τοῖς ἰδίοις αὐτὸν ποσὶν ἰσχυρίζετο ἀναλγήτως διατρέχειν. Ἀπὸ γὰρ τοῦ ἐρύματος Χέρεως (leg. vid. Χέρρεως) διὰ μιᾶς ἐφοίτα ἐς τὴν Ἀντιόχου, καὶ πάλιν τῇ ἑξῆς ἐς τὸ ῥηθὲν εὑρίσκετο φρούριον· ἐκ δὲ τούτου αὖθις, μὴ ἀναπαύλης δεόμενος, διὰ μιᾶς ἡμέρας εἰς Νεάπολιν ἐγίνετο Ἰσαυρίας. Cf. idem v. Χέρρεως, φρούριόν τι. Cf. fr. 214. Ceterum Suidæ locus probabiliter fluxit ex postrema parte historiarum Prisci. — κατὰ Ζάνων] Καταζάνων codex. Τζάνοι vel Τζάννοι dicuntur ap. Agath. V, 1 et passim, Procop. De bell. Pers. c. 15. Σάνοι et Τζάνοι ap. Phot. Bibl. p. 23, 32. Σάννοι ap. Strabon. XII, p. 548; Arrian. Peripl. c. 11, 1, p. 258 ed. Didot. — ἐν Παιονίᾳ] sic Pannonia etiam in Petri fragmentis nominatur.

Fr. 207. De Romano cf. Tillemont. VI, p. 452, qui interfectum dicit an. 470, eundemque esse suspicatur, quem Priscus fr. 8, p. 89, commemorat. Ceterum quæ hoc fr. traduntur aliunde non nota. Idem valet de fr. 208.

Fr. 209. μῆνας θ'] infra μῆνας πέντε (ε'). Quod etiam hoc loco reponendum erit. Plurima horum nova et historico gratissima. De notis v. Tillemont. VI, p. 329 sq.

μαίων παρειληφότος ἀρχήν, Ῥεκίμερ ἡμερῶν εἴσω λ' καταλύει τὸν βίον, αἵματος αὐτῷ πλείστου ἐξεμεθέντος. Ὀλύβριος δὲ μετὰ τοῦτον ιγ' μόνας ἐπιβιοὺς ἡμέρας, ὑδέρῳ συσχεθεὶς μεταλλάττει τοῖς βασιλεῦσιν [ἐν]αριθμηθεὶς εἰς μῆνας ἕξ. Τὴν δὲ τοῦ Ῥεκίμερος ὑπεισελθὼν Γουνδουβάλης, ἀνεψιὸς ὢν αὐτοῦ, Γλυκέριον, τὴν τοῦ Κόμητος τῶν δομεστίκων ἀξίαν ἔχοντα, ἐπὶ τὴν βασιλείαν ἄγει. Γνοὺς δὲ Λέων ὁ τῶν Ἑῴων βασιλεὺς τὴν τοῦ Γλυκερίου ἀναγόρευσιν, ἐπιστρατεύει κατ' αὐτοῦ, Νέπωτα στρατηγὸν ἀποδείξας. Ὃς ἐπειδὴ τὴν Ῥώμην κατέλαβεν, ἀμαχεὶ τὸν Γλυκέριον ἐχειρώσατο, καὶ τῶν βασιλείων ἐξώσας ἐπίσκοπον Σάλωνος προχειρίζεται, η' μῆνας ἐντρυφήσαντα τῇ ἀρχῇ. Εὐθὺς γοῦν ὁ Νέπως βασιλεὺς ἀναδειχθείς, ἦρχε τῆς Ῥώμης.

210.

ΖΕΝΩΝ.

Ibid. p. 79: Ὅτι ἐπὶ Ζήνωνος τοῦ βασιλέως Θευδέριχος ὁ Τριαρίου, τὴν στρατηγίδα τῶν Θρακίων διέπων, Ἡράκλειον τὸν Φλώρου πρὸς τὸ Χερρονήσου τεῖχος ἀνεῖλεν, καὶ τῆς πρὸς Ῥωμαίους ὑπακοῆς καταφρονήσας, ἐμφανῶς εἰς πόλεμον ὥρμησεν. Βοηθήσων τοίνυν τοῖς ἐκεῖσε ὁ Ἰλλοῦς σταλεὶς ὑπὸ Ζήνωνος, πολλὴν ὠφέλειαν ἐπεδείξατο. Ἀναμιχθεὶς δὲ Βασιλίσκῳ καὶ συνδιατρίψας αὐτῷ, κοινωνὸν τῆς κατὰ τοῦ βασιλέως ποιεῖται βουλῆς. Καὶ δὴ καὶ Ἁρμάτιον προστεθῆναι αὐτοῖς ὑποσχομένου Βασιλίσκου, γράμματα λαβὼν ὁ Ἰλλοῦς πρὸς τὸν Ἁρμάτιον, ἐς τὴν Κωνσταντίνου πόλιν ἐπανῆκεν. Ὁ δὲ αὐτίκα εἰσηγεῖτο Βηρίνῃ ἄνδρα ποιησαμένῃ Πατρίκιον, τὸν ἀπὸ τῆς ἀρχῆς τοῦ μαγίστρου, τῆς αὐτοκράτορος ἐπιλαβέσθαι ἐξουσίας, μηδὲ ἑτέρῳ ταύτην προεῖσθαι. Ἡ δὲ καὶ ἐξ αὐτῆς τούτου ἐφιεμένη ῥᾷστά τε ἐπέκλινε πρὸς τὰ εἰρημένα, καὶ τὴν πρώτην τῆς ἱπποδρομίας θέαν τοῦ Ζήνωνος συντελοῦντος, στέλλει τινὰ πρὸς αὐτόν, ἥκειν θᾶττον αὐτὸν παρακελευσαμένη. Ὡς δὲ καταλιπὼν ἅπαντα Ζήνων πρὸς αὐτὴν ἐγένετο, ἔφη ταχεῖαν αὐτοῖς δεῖν φυγήν, ἢ γενέσθαι ὑπὸ τοῖς ἀναιροῦσιν· ἁπάντων γὰρ εἰς τοῦτο συνεληλυθέναι τὴν γνώμην. Ὁ μὲν οὖν Ζήνων εἰς οὐδὲν ἀναβαλλόμενος, [ὡς] ἤκουσεν ὡς δέον αὐτοὺς ἀποδρᾶναι, νύκτωρ ἅμα τῇ γαμετῇ Ἀριάδνῃ καὶ τῇ αὐτοῦ μητρὶ Λαλλίδι ἀναλαβὼν πάντα ὁπόσα τοῖς βασιλείοις κειμήλια ἦν ἔν τε ἐσθῆτι καὶ τῷ ἄλλῳ κόσμῳ, ἐνάτῃ τῆς ὑπατείας ἡμέρᾳ, περαιωθεὶς κατὰ Χαλκηδόνα σὺν πολλοῖς τῶν Ἰσαύρων ᾤχετο, ἡμιόνοις καὶ ἵπποις χρώμενος.

211.

Ibid. p. 80: Ὅτι μετὰ τὴν ἐπάνοδον Ζήνωνος, φωραθέντες τινὲς ἐπὶ προφάσει τυραννίδος ἀπώλοντο. Οὔπω δὲ τοῦ πρώτου διαγενομένου ἐνιαυτοῦ ἐκ τῆς ἐπανόδου Ζήνωνος, μικροῦ πρὸς διαφορὰν ἤλασαν Ἰλλοῦς τε καὶ αὐτός, ἐκ τοῦ κρατηθῆναι Παῦλον, τὸν τοῦ βασιλέως οἰκέτην, πρόκωπον ἔχοντα ξίφος εἰς ἐπιβουλὴν Ἰλλοῦ. Ἀλλὰ τότε μὲν ὁ Ζήνων ἐθεράπευσε τὸ δεινόν, ἐκδοὺς εἰς τιμωρίαν τὸν παῖδα. Τῷ δὲ ἐπιόντι ἐνιαυτῷ (478), ὑπάτου μὲν ἀποδεδειγμένου Ἰλλοῦ, καὶ πρὸς τὴν ἐπανόρθωσιν τῆς βασιλικῆς ἐσπουδακότος στοᾶς, ἑτέρα τις κατ' αὐτοῦ γίνεται ἐπιβουλή, ἐξ αἰτίας τοιᾶσδε. Βάρβαρός τις Ἀλανὸς τὸ γένος, κατὰ τὴν τοῦ μαγίστρου σχολὴν ἐπελθὼν τῷ Ἰλλοῦ ξιφήρης συνέχεται, καὶ βασάνοις ὑποπεσών, ἐξ ὑποθήκης Ἐπινίκου τὸ πραχθὲν ὡμολόγησεν. Οὗτος δὲ ἦν γένος μὲν Φρύξ, ἐν δὲ τοῖς τὰ συμβόλαια τελοῦσι τεταγμένος, Οὐρβικίῳ δὲ τῷ τῶν θείων αὐλῶν προκοίτῳ ἔκ τινος περιπετείας γνωρισθείς, καὶ τὴν ὅλην αὐτῷ περιουσίαν διῳκηκώς, καὶ πρός γε τῇ Βηρίνῃ ᾠκειωμένος ἐπὶ τὴν τῶν πριβάτων ἀνέδραμεν ἀρχήν, ἐκεῖθέν τε καὶ τῶν βασιλείων θησαυρῶν, καὶ πρὸς τὸν ὕπαρχον ἀνέβη θρόνον. Οὗ δὴ διελεγχθέντος, ὁ Ἰλλοῦς, ὡς ἦν πρὸς τὸ θησαυρίζειν τὰς ὀργὰς ἐπιτήδειος, καὶ τοῦτο διαφῆκεν, οὐδὲ τὸν ἁλόντα κρατήσας.

2. Τότε μὲν οὖν ὁ Ζήνων τὸν Ἐπίνικον ἐξ αὐτοῦ καθελὼν τοῦ θρόνου, καὶ τῆς οὐσίας καὶ τῆς ἀξίας ἐγύμνωσε, θεραπεῦσαι τὸν Ἰλλοῦν ἐσπουδακώς, καὶ τὸν

— § 2. ἀξίαν ἔχοντα] ἀξίως ἔχ. cod. — βασιλείων ἐξώσας] Cramer. βασιεξωσας cod. Cf. Tillemont. p. 425.

Fr. 210. Ἡράκλειον ἀνεῖλεν] Captum a Theodericho Heraclium, deinde a Zenone redemptum, sed in reditu a Gothis nonnullis interfectum esse tradit Malchus fr. 5. Joannes quem auctorem in Zenonis historia secutus sit dicere non habeo. De Isauricis Candidi cogitavit Cramerus. Ceterum hæc de Zenone fragmenta in tanta reliquorum testium tenuitate maximi sunt momenti. — Θευδέριχος] Θεοδώριχος cod. — ὁ Ἰλλοῦς] Illum in hoc negotio commemorat etiam Agathias p. 270, 14 ed. Bonn. De re cf. Candidi fr. p. 136.

Fr. 211. Παῦλον] Has insidias a Zenone structas paucis memorat Eustathius Epiphan. fr. 4, pag. 140, ap. Euagr. III, 27. Fusius de iis narrat Theophanes p. 197 ed. Bonn, ubi Ariadna imperatrice instigante Zeno Urbicium hortatus esse narratur, ut sicarium illo immitteret. Urbicium rem demandasse Spanicio cuidam, qui in circo illum aggressus aurem ei præciderit, ceterum auso exciderit. Cf. Tillemont, p. 510, qui rem refert ad an. 481, quum ex nostro loco pateat ponendam esse ante consulatum illi (478). — ἐσπουδακότος] ἐσπουδακότι cod. — βάρβ. τις Ἀλανὸς] De his insidiis cf. Candidus l. l. — Ἐπίνικος] De hoc Epinico Suidas (ex Malcho, ut videtur): Ἐπίνικος, ὕπαρχος τῆς πόλεως ἐπὶ Βασιλίσκου, ὅρον χρηματισμοῦ μὴ λαμβάνων μηδένα, καὶ τὰ ἔθνη καὶ τὰς πόλεις πάσας καπηλεύων, καὶ ἀτόπων τὰς ἐπαρχίας προσταγμάτων ἐμπλήσας· ἃ μὴ φέρουσαι ἔτι τῶν ἀρχόντων αἱ τάξεις μηδὲ αἱ ἔξω βουλαί, φυγοῦσαι κατέλιπον τὰς τῶν φόρων εἰσπράξεις. Ἐκ δὲ τῆς τούτου πλεονεξίας ἀρχόμενοι (ἀγχόμενοι? Bernh.) ἱκέται ἐν τοῖς κοινοῖς ἱεροῖς ἐκαθέζοντο, ἐλέγχοντες τὰ τούτου πλέμ-ματα. Ἦν δὲ πᾶσιν ἀπεχθής, τιμὴν οὐδενὶ νέμων προσήκουσαν. Καὶ τοῦτον τῆς ἀρχῆς ἀπήλλαξαν ἀτίμως· ἀνθαιροῦνται δὲ ἄνδρα * Λαυρέντιον, ὃς ἦν ἐξ ἀρχῆς τῶν ἐπὶ τῆς ἀγορᾶς τῆς μεγάλης ῥητόρων, καὶ πρωτεύσας ἐν ταύτῃ. Ὅτῳ δὲ συνείποι, οὔτε τρίβειν, ὡς ἂν μᾶλλον κερδαίνοι, οὔτε διέλκειν ἠνείχετο. — προκοίτῳ] Post h. v. codex habet περιουσίαν διῳκηκώς, quæ verba mox redeunt. — κατὰ τὴν Ἰσαύρων] κ. τῶν Ἰσ. codex. — λαβόμενος τοῦ τεθνάναι κτλ.] Aliter Theophanes p. 198: Καὶ ᾐτήσατο τὸν βασιλέα ἐπὶ τὴν ἀνατολὴν ἀπελθεῖν, διὰ τὸ τοὺς ἀέρας ἀλλάξαι, ὅτι ἠσθένει ἐκ τῆς πληγῆς (ex vulnere quod Spanicius isto inflixerat).

Θευδέριχον προχειρίζεται, τὸν ἐπιλεγόμενον Στραβὸν, δωρεαῖς τε αὐτὸν πολλαῖς σύμμαχον καὶ φίλον ἐποιήσατο. Ὁ δὲ Ἰλλοῦς τὸν μὲν Ἐπίνικον κατὰ τὴν Ἰσαύρων ἔπεμψε φυλάττεσθαι, αὐτὸς δὲ λαβόμενος τοῦ τεθνάναι οἱ τὸν ἀδελφὸν Ἀσπάλιον, ἔξοδον αἰτήσας παρὰ τοῦ βασιλέως, ἀφορμήθη. Καὶ κατὰ τὴν ἐνεγκαμένην γενόμενος, καὶ τῷ Ἐπινίκῳ ἐντυχὼν, καὶ γνοὺς ἐξ αὐτοῦ τὰ τῆς ἐπιβουλῆς αὐτῷ ὑπὸ Βηρίνης συνταγέντα, προσεποιήσατο ἄχρις οὗ Ζήνων, μεταπεμψάμενος αὐτὸν, ἐκ τῆς συμβάσης ὑπὸ σεισμῶν συμφορᾶς *. Ὡς δὲ τὸν Παμπρέπιον ἐπαγόμενος Ἰλλοῦς, ἄνδρα ἐκ τῆς Πανὸς ὡρμημένον πόλεως Αἰγύπτου, γραμματικὴν δὲ μετιόντα, καὶ ἐκ πολλοῦ κατὰ τὴν Ἑλλήνων οἰκήσαντα, ἧκεν· πρῶτα μὲν αὐτὸν Ζήνων ἀποδέχεται σὺν πᾶσι τοῖς τέλεσι πρὸ πεντήκοντά που σταδίων τῆς Χαλκηδόνος· ἔπειτα [τὰ] ἐκ τοῦ Ἐπινίκου λεχθέντα ἀπαγγείλας, καὶ διαλογισάμενος οὐκ ἀσφαλὲς εἶναι αὐτῷ ἐπιβαίνειν τῇ Κωνσταντίνου, ἐξαιτεῖ τὴν Βηρίναν· καὶ λαβὼν αὐτὴν παρὰ τοῦ Ζήνωνος ἔκδοτον, Ματρωνιανῷ κατατίθεται τῷ τῆς ἑαυτοῦ γαμετῆς ἀδελφῷ· ὃς ἐπὶ τὴν Ἰσαυρίαν σὺν πλήθει πολλῷ ταύτην ἀγαγὼν, ἐν τῇ κατὰ Ταρσὸν ἐκκλησίᾳ καθιεροῖ, ἐκεῖθέν τε ἐς Δαλίσανδον ἐφρούρει.

3. Καὶ ὁ Ἰλλοῦς ἅμα Ζήνωνι καὶ τῇ βασιλίδι ἐς τὴν Κωνσταντίνου πόλιν παραγενόμενος, παραυτίκα τῷ Ἐπινίκῳ τὴν κάθοδον διεπράξατο, τῆς καταμηνύσεως χάριν. Τῷ δὲ Παμπρεπίῳ τὸ λοιπὸν ἐν πάσῃ εὐροίᾳ τὰ πράγματα ἦν, τιμηθέντι καὶ τῇ τοῦ κοιαίστορος ἀξίᾳ. Συνέστη δὲ καὶ πόλεμος ἐμφύλιος πρὸς τῷ τέλει τῆς Ζήνωνος ὑπατείας (479), ὑπὸ Μαρκιανοῦ καὶ Προκοπίου τῶν ἀδελφῶν, διὰ τὴν πρόφασιν Βηρίνης. Καὶ πλῆθος ἀθροίσαντες βαρβάρων ἅμα πολλοῖς τῶν πολιτῶν πρὸς τὴν Καισαρίου λεγομένην οἰκίαν στρατοπεδεύουσιν· ἐκεῖθέν τε ὁ μὲν ἐν τοῖς βασιλείοις κατὰ τοῦ Ζήνωνος ἐπανίσταται, ὁ δὲ ἕτερος κατὰ Ἰλλοῦ ἐν τοῖς λεγομένοις Οὐαράνου. Ἄρτι τε τῆς ἡμέρας μεσούσης, καὶ τῶν βασιλείων ἠρεμούντων, ἐφίσταται κατὰ τὴν τοῦ Δέλφακος στοὰν, ἐν ᾗ οἱ Δελφικοὶ κίονες ἑστήκασι, ποικίλου χρώματος ὄντες. Καὶ συμπεσόντες τοῖς φρουροῖς, πολλοὺς διεχειρίσαντο τῶν ἔνδον, καὶ αὐτοῦ δὲ τοῦ βασιλέως ἐκράτησαν ἂν, εἰ μὴ μικρὸν ἀποδρὰς διεσώθη. Συνεμάχουν δὲ τούτοις Βουσαλβός τις ἡγούμενος στρατιωτικοῦ τάγματος, καὶ Νικήτας καὶ ὁ Τριαρίου Θευδέριχος. Καὶ ὁ τῆς πόλεως ὅμιλος ἐκ τῶν δωμάτων διὰ πάσης ὕλης ἐχώρει κατὰ τῶν ὑπὲρ τοῦ βασιλέως ἀγωνιζομένων. Ἄχρι μὲν οὖν φῶς ἦν, οἱ περὶ τὸν Μαρκιανὸν ἐνίκων· ἐπιλαβομένης δὲ τῆς νυκτὸς, Ἰλλοῦς διὰ προνοίας τοὺς ἐκ τῆς Χαλκηδόνος Ἰσαύρους πωλιανοῖς διεβίβασε πλοίοις, τῶν ἐκεῖσε διαπορθμευόντων ὑπὸ τοῦ Μαρκιανοῦ προκαταλελημμένων, ἔτι καὶ κυρίου ὄντος τοῦ ἐκεῖσε λιμένος. Καὶ τῇ ὑστεραίᾳ τοῦ βασιλέως τοὺς ἐν τέλει πάντας συναγαγόντος, καὶ ἐπισχόντος ἐν ταῖς βασιλείοις αὐλαῖς, εἶτα καὶ στρατιωτικὴν ἐπαφέντος χεῖρα, τρέπεται τὸ τοῦ Μαρκιανοῦ μέρος, καὶ φεύγει, πολλῶν ἐξ ἑκατέρων ἀναιρεθέντων. Ὀλίγοι δέ τινες τῶν φυγάδων καὶ τὴν Ἰλλοῦ ἐπίμπρασαν οἰκίαν.

4. Ὁ μὲν οὖν Ζήνων, τῆς ἐμφυλίου ταραχῆς πεπαυμένης, τὸν Μαρκιανὸν ἐν τοῖς λεγομένοις πρεσβυτέροις κατατάττει, καὶ εἰς τὴν Καππαδοκῶν Καισάρειαν ἐλαύνει, καὶ τὴν τούτου γυναῖκα Λεοντίαν ἐν τοῖς λεγομένοις Ἀκοιμήτοις φυγοῦσαν καταλιμπάνει, τοὺς δὲ λοιποὺς πρὸς Θευδέριχον ἀποδράντας ἀφαιρεῖται τῶν ὑπαρχόντων. Κατὰ δὲ τὸν αὐτὸν καιρὸν καὶ ὁ ἕτερος Θευδέριχος, ὁ Οὐαλίμερος ἐπὶ τὴν νέαν Ἤπειρον ἐκδραμὼν, ἐγκρατὴς γίνεται πόλεως Δυρραχίου, Ἴσαυροί τε Κώρυκον καὶ Σεβαστὴν τῆς Κιλικίας εἷλον. Καὶ Μαρκιανὸς δὲ ἀποδρὰς τοὺς φρουροῦντας, καὶ σὺν πολλῷ πλήθει γεωργικῷ ἐπελθὼν τῇ κατὰ Γαλατίαν Ἀγκύρᾳ, ἀπεκρούσθη, Τροκούνδου προκαταλαβόντος [τὸ] χωρίον, καὶ διὰ τῶν αὐτοῦ δορυφόρων κρατηθέντα τοῦτον ἅμα γυναικὶ καὶ παισὶν εἴς τι φρούριον τῶν ἐν Ἰσαυρίᾳ καταστῆσαι *. Ὅθεν ὁ βασιλεὺς Θευδέριχον τὸν Τριαρίου παραλύσας τῆς ἀρχῆς, Τροκούνδην προχειρίζεται, καὶ Ἀέτιον τῶν ἐν Ἰσαυρίᾳ τελῶν προκαθίζει. Ἐν ᾧ χρόνῳ συνωμοσίαν ποιησάμενοι Ἐπίνικός τε καὶ Διονύσιος ὕπαρχος τῆς αὐλῆς ὢν, καὶ Θραυστήλας στρατηγικὴν ἀξίωσιν ἔχων, ἁλόντες ὑπὸ τοῦ βασιλέως ἐτιμωρήθησαν. Καὶ ἡ τῶν Θευδερίχων συζυγία αὖθις τὰ Ῥωμαίων ἐτάραττε, καὶ τὰς περὶ τὴν Θρᾴκην πόλεις ἐξεπόρθει, ὡς ἀναγκασθῆναι τὸν Ζήνωνα τότε πρῶτον τοὺς καλουμένους Βουλγάρους εἰς συμμαχίαν προτρέψασθαι.

5. Ἐπειδὴ δὲ Θευδέριχος ὁ Τριαρίου ἐπιτυχὼν πρὸς τοὺς Οὔννους ἔπραξε πολέμῳ, καὶ ἐπ' αὐτὴν τὴν Κωνσταντίνου πόλιν ὥρμησεν· καὶ ταύτην ῥᾳδίως ἂν ἐπηγάγετο, εἰ μὴ ὁ Ἰλλοῦς προκαταλαβὼν τὰς πύλας ἐφύλαττεν· ἐκεῖθέν τε ἐπὶ τὰς λεγομένας Συκὰς διαδραμὼν, αὖθις τῆς ἐγχειρήσεως ἥμαρτεν· ὡς λοιπὸν ἐπὶ τὸν Πρὸς Ἑστίαις τόπον καὶ τὸ καλούμενον Λωσθένιον διελθεῖν, καὶ διαπορθμεύσασθαι κατὰ τὴν Βιθυνίαν ἐγχειρεῖν. Ἀλλὰ καὶ κατὰ ναυμαχίαν ἡττηθεὶς, ᾤχετο πρὸς τὴν Θρᾴκην· ἐκεῖθέν τε ἐπὶ τὴν Ἑλλάδα ἀφορ-

— § 2. ἄχρις οὗ κτλ.]. Dixisse auctor videtur : « Illus ab Epinico de Verinæ insidiis edoctus, rem dissimilavit usque ad illud tempus quo Zenon, post terræ motum Constantinopoli Chalcedonem profectus, eum revocavit. » Terræ motus a Theophane p. 198, 1 assignatur d. 25 Sept. anni qui reditum Zenonis subsecutus est, i. e. anni 478 (cf. Tillemont. p. 491. 509). — Δαλίσανδον] Hujus loci etiam Capito in libro primo Isauricorum mentionem facit. Posteaquam Marcianus rebellis in Papirium castellum inclusus esset, eodem etiam Verina abducta est, teste Theodoro Lectore p. 557, aliis (v. Tillemont. p. 509). — § 4. Καισάρειαν] sic etiam Eustath. Epiph. fr. 3, p. 140. Theodorus Lector et Theophanes pro Cæsarea Papirium castellum memorant, uti dixi. — ὁ ἕτερος Θευδέριχος] ὁ ἑ. θεοζώριχος cod. Cf. Malchi fr. 8. Cum iis quæ deinceps de Marciano narrantur cf. Candidi fragm. — καταστῆσαι] leg. καταστήσαντος, nisi aliquid excidit. — τῶν Θευδερίχων] τ. θεοζωρίχων cod. Eadem scriptura in seqq. redit.

μηθεὶς σὺν τῷ παιδὶ Ῥεκιτὰχ, καὶ ἀδελφοῖς δύο καὶ γαμετῇ, Σκυθῶν τε ἀμφὶ τὰς λʹ χιλιάδας, γενόμενός τε κατὰ τὸν Διομήδους καλούμενον στάβλον ἀναιρεῖται, ἐξ ἑωθινοῦ ἀναβὰς τὸν ἵππον, καὶ καταβληθεὶς ὑπ' αὐτοῦ ἐπὶ δόρατος ὀρθοῦ παρὰ τὸν τῆς σκηνῆς τοῖχον ἱσταμένου. Οἱ δὲ καὶ τὴν πληγὴν αὐτῷ ἐπενεχθῆναι ἰσχυρίσαντο ὑπὸ τοῦ παιδὸς Ῥεκιτὰχ, μαστιγωθέντος πρὸς αὐτοῦ. Παροῦσα δὲ ἡ γαμετὴ Σίγιλδα, νύκτωρ καταθάπτει τοῦτον. Καὶ τὴν μὲν τοῦ πλήθους ἐπικράτειαν διαδέχεται Ῥεκιτὰχ Θευδερίχου παῖς· παρεδυνάστευον δὲ αὐτῷ οἱ ἐκ τοῦ πατρὸς θεῖοι, οὓς ἀνελὼν μικρὸν ὕστερον, μόνος τῆς Θρᾳκῶν ἐδυνάστευεν, ἀτοπώτερα τοῦ πατρὸς ἀπεργαζόμενος.

212.

Ibid. p. 83 : Ὅτι ἐπὶ Ζήνωνος Θεοσέβιός τις Προκοπίῳ τῷ Μαρκιανοῦ ἐμφερὴς, πλείστας περινοστήσας τῶν τῆς ἀνατολῆς πόλεων, πολλοὺς τῇ περὶ αὐτοῦ ἀπατῆσαι (ἠπάτησε?) δόξῃ.

213.

Ibid. p. 83 : Ὅτι [πρὸς] Θευδέριχον τὸν ἕτερον αὖθις νεωτερίσαντα, καὶ τὴν Ῥωμαίων ἀρχὴν καὶ τὰ πρόσοικα τῆς Ἑλλάδος ληιζόμενον, Ἰωάννην τὸν Σκύθην πέμπει καὶ Μοσχιανὸν στρατηγοὺς, δολοφονήσας πρότερον Σαβινιανὸν τὸν ἐν Ἰλλυριοῖς ἄρχοντα.

214.

Ibid. p. 83 : Ὅτι Ζήνων τῆς πρὸς Ἰλλοῦν ἔχθρας κατάρχεται, πρῶτα μὲν Λογγῖνον λαβεῖν ἐξαιτούμενος, ἔπειτα Ἰωάννην τὸν Σκύθην διάδοχον αὐτῷ τῆς ἀρχῆς ἀποστείλας. Δημηγορεῖ δὲ καὶ πρὸς τὸν δῆμον ὅσα ἐχθρὸς κατὰ τοῦ Ἰλλοῦ, καὶ κελεύει τοὺς οἰκειοτάτους αὐτοῦ τῆς πόλεως ἀπελαύνεσθαι, καὶ τὰς περιουσίας τούτων δωρεῖται ταῖς Ἰσαύρων πόλεσιν.

2. Ὁ δὲ Ἰλλοῦς ἐς φανερὰν ἀποστασίαν ἐλθὼν, τότε Μαρκιανὸν ἀναζώννυσι, καὶ πρὸς τὸν Ὀδόακρον ἔστελλε, τὸν τῆς ἑσπερίας Ῥώμης τύραννον, καὶ πρὸς τοὺς τῶν Περσῶν καὶ Ἀρμενίων ἄρχοντας· παρεσκεύαζεν δὲ καὶ πλοῖα. Καὶ ὁ μὲν Ὀδόακρος τὸ μὴ δύνασθαι συμμαχεῖν ἀπεκρίνατο, οἱ δὲ ἄλλοι τὴν συμμαχίαν ὑπέσχοντο, ἐπειδάν τις πρὸς αὐτοὺς ἥξει. Ζήνων δὲ Κόνωνα τὸν Φουσκιανοῦ, ἐν ἱερεῦσι καταλεγόμενον, ἀναλαβεῖν αὖθις τὰ ὅπλα παρασκευάζει κατ' Ἰλλοῦ, Λίγγην δὲ τὸν νόθον αὐτοῦ ἀδελφὸν στρατηγὸν ἀναδείκνυσιν. Πρὸς ἅπερ Ἰλλοῦς ἐν Ταρσῷ ἀγαγὼν τὴν Βηρίναν, στολῇ χρήσασθαι βασιλικῇ παρεσκεύασε, καὶ οἷα κυρίαν οὖσαν τῆς βασιλείας, Λεόντιον ἀναγορεῦσαι βασιλέα, στᾶσαν ἐν βήματι. Ἦν δὲ οὗτος γονέων τε ἀφανῶν, καὶ πόλεως Δαλισάνδου. Ὡς οὖν ἐπὶ τὴν ἡγεμονίαν προῆλθεν, αὐτίκα τὰς ἀρχὰς διῳκήσατο, καθ' ὃν ἐδοκίμασε τρόπον· καὶ χρημάτων διανομὰς ποιησάμενος, ἐπὶ τὴν Ἀντιόχειαν ἀφίκετο.

3. Ὁ δὲ Ζήνων τὸν Ῥεκιτὰχ, ἐπειδὴ ᾔσθετο φθόνῳ πρὸς Θευδέριχον ἀφιστάμενον, ἀναιρεθῆναι διεπράξατο πρὸς τοῦ Οὐαλίμερος παιδὸς, ἀνεψιοῦ ὄντος τοῦ Ῥεκιτὰχ, ἔχοντος καὶ παλαιὰν ὀργὴν πρὸς αὐτὸν οἷα τὸν * αὐτοῦ ἀποκτείναντα. Ἔπραττε δὲ τὴν ἀναίρεσιν ἐν προαστείῳ Βονοφατιαναῖς προσαγορευομένῳ, ἡνίκα πρὸς τὴν ἑστίασιν ἐκ βαλανείου ᾔει ὁ Ῥεκιτὰχ, διελάσας αὐτοῦ τὴν πλευράν.

4. Ἐπὶ δὲ τὸν Ἰλλοῦ πόλεμον στέλλει Θευδέριχον ὕπατον· καὶ γενόμενον κατὰ τὴν Νικομήδειαν ἐπανάγει, ἔννοιαν λαβὼν ἀπιστίας· πέμπει δὲ ἀντ' αὐτοῦ τινὰς τῶν καλουμένων Ῥόγων σὺν Ἀρμεναρίχῳ τῷ Ἄσπαρος παιδί. Καὶ στόλον δὲ διὰ θαλάσσης ἤρτυε, ναυάρχους ἐπιστήσας Ἰωάννην τὸν κατὰ Βασιλίσκον, καὶ Παῦλον τὸν ἐκ δούλων γενόμενον αὐτοῦ σακελλάριον.

5. Ἐν δὲ τούτῳ παραγίνονται ἐκ τῶν Ἰλλοῦ ἀποσταλέντες Ἀρτεμίδωρος ὁ Τροκούνδου ὑπασπιστὴς, καὶ Πάπιμος, ὃς ἦν ἵππαρχος τῷ Ἰλλοῦ. Ἐξ ἑκατέρων τοίνυν βασιλέων παρασκευῆς γενομένης, ἐμειονεκτεῖτο τὸ Ἰλλοῦ στράτευμα, ὡς εὐλαβηθὲν σφόδρα ἐπὶ τὸ Χέρρεως ἰδεῖν φρούριον· καὶ πρῶτα μὲν τά τε πρὸς ἀποστροφὴν ἀρκοῦντα ἔπεμψεν αὐτοῖ, καὶ τὴν γαμετὴν Ἀστερίαν· καὶ ἄλλοις καὶ Βηρίνῃ τῇ βασιλίσσῃ ἐπέστελλε, καὶ Λεοντίῳ, ἐκλιπόντι τὴν Ἀντιοχέων θᾶττον ἥκειν πρὸς αὐτόν. Ὡς δὲ ταῦτα οἱ στρατηγοῦντες αὐτῶν ἔμαθον, ἕκαστος τοῖς πλησιάζουσι φρουρίοις κατέφευγεν·

Fr. 213. Sabinianus sec. Chron. Marcellin. mortuus est an. 481. V. Tillemont. p. 501.

Fr. 214. § 1. Cf. Theophanes p. 201 ed. B. — § 2. Κόνωνα τὸν Φουσκιανοῦ] Hic ille est Conon, qui postea cum Isauris contra Anastasium rebellavit. Euagrius III, 35, p. 366, B : Κόνων... ἐπίσκοπος τῶν ἐν Ἀπαμείᾳ τῶν Σύρων ἐπαρχίας γεγονὼς, τοῖς Ἰσαύροις ὡς Ἴσαυρος συνεστράτευσε. Theophanes p. 213, 5, de eodem bello loquens : Νινίλιγγις γὰρ ἦν ὁ τῶν Ἰσαυρίας ἡγεμὼν ἐπὶ Ζήνωνος καταστὰς ἀνὴρ θρασύτατος, καὶ Ἀθηνόδωρος ἁπλούστατος ἄνθρωπος, εἷς τῶν συγκλητικῶν, καὶ Κόνων ὁ τῆς Ἀπαμείας ἐπίσκοπος, καταλιπὼν μὲν τὸν θρόνον, εἰς ὁπλίτην δὲ καὶ στρατηγὸν ἐξ ἱερέως μεταταξάμενος. Oriundus ille Conon fuit e Palmadis, Isauriæ oppido, uti ex Capitonis Isauricis (fr. 5, p. 135) colligo. — κατ' Ἰλλοῦ] Cramer.; καὶ Ἰλλοῦ codex. — Λίγγην] Cf. Suidas : Βίαιοι οὗτοι ἐγίνοντο· Φάλαρις, Ἔχετος, Διονύσιος, καὶ ὁ Κασανδρέων τύραννος, ὑπερβαλὼν παρανομίᾳ· καὶ Λίγγις, ἀδελφὸς Ἴλλου νόθος, καὶ οὗτος βίαιος. Ni fallor, idem est cum eo quem Theophanes l. l. appellat Νινίλιγγιν, Euagrius vero l. l. Ἰνδὴν, Jornandes Reg. c. 49, p. 635, *Lilingem*. — πρὸς ἅπερ Ἰλλοῦς κτλ.] Cf. Theodorus Anagn. p. 558, A; Theophan. p. 198, 15; Tillemont. VI, p. 512. — § 3. Θευδέριχον] Θεοδώριχον cod. et mox iterum. Intellige Th. Valamiri filium. — οἷα τὸν * αὐτοῦ ἀποκτείναντα] οἷα τὸν αὐτοῦ ἀποκτείναντας codex. In antecc. malim καὶ ἔχοντος καλ. — § 4. Ἄσπαρος] Ἄσπιρος cod. — σακελλάριον] σακελλάριον cod. — § 5. ἰδεῖν φρούριον] ἐλθεῖν vel φυγεῖν φρ.? — ἐπέστελλε] Ad nuntios illos Leontio et Verinæ perferendos haud dubie usus est Indaco illo pernicissimo, qui ap. Suidam unius diei itinere ex Cherreos castello Antiochiam (ad Leontium), deinde altero die Neapolim in Isauria (ubi Verinam tum degisse suspicor) se contulisse dicitur (v. not. ad fr. 208). Quum reliqui auctores referant illum in Papirii castello obsessum esse, vix dubium quin idem sit castellum quod Χέρρεως (genitiv. v. Χέρρις) dicit Joannes.

αὐτὸς δὲ Ἰλλοῦς ἅμα Λεοντίῳ διανυκτερεύσας, ἀνῆλθεν εἰς τὸ Χέρρεως φρούριον, τῶν Ἰσαύρων αὐτοὺς κατὰ μικρὸν ἀπολιμπανόντων, καὶ τὰ τοῦ βασιλέως Ζήνωνος αἱρουμένων, ξ' καὶ * μόνας ἡμέρας τοῦ Λεοντίου ἐν εἰκόνι βασιλείας διαγενομένου. Ἑπομένων δὲ αὐτοῖς οὐ μεῖον ἢ δισχιλίων ἀνδρῶν, τοὺς μάλιστα αὐτῶν εὔνους ἐπιλεξάμενοι, τοὺς λοιποὺς ἐν τοῖς ἄντροις ἀπεχώρησαν*, ἃ πολλαχοῦ τῇ φύσει τῶν τόπων εἴργαστο.

6. Ἀγγελθείσης δὲ τῆς Ἰλλοῦ καὶ Λεοντίου φυγῆς, ὁ Ζήνων Κοττομένην στρατηγὸν ἑκατέρων ποιεῖται δυνάμεων, Λογγῖνον δὲ τὸν ἐκ Καρδάμων μάγιστρον. Καὶ τὸ μὲν Θευδερίχου πλῆθος ἀνεκαλέσατο, τοὺς δὲ τῶν Ῥόγων μένειν [ἐν] τῇ χώρᾳ προσέταξεν. Ἐν δὲ τῇ τοῦ φρουρίου προσεδρίᾳ πολλάκις συμβολαὶ διηγωνίσθησαν. Βηρίνα δὲ μετ' ἐνάτην ἡμέραν τῆς ἐν φρουρίῳ καταφυγῆς παρεθεῖσα ἐτελεύτησε, καὶ ἐν μολιβδίνῃ ἐταριχεύθη λάρνακι. Ἀλλὰ μὴν καὶ Μάρσος μετὰ λ' ἡμέρας ἀποθανὼν, τῇ ἴσῃ παρεδόθη ταφῇ. Ὁ δὲ Ἰλλοῦς, τὴν τοῦ φρουρίου φυλακὴν ἐπιτρέψας Ἰνδακῷ Κοττούνῃ, τὸ λοιπὸν ἐσχόλαζεν ἐν ἀναγνώσει βιβλίων. Καὶ ὁ Λεόντιος ἐν νηστείᾳ τε καὶ θρήνοις διετέλει. Ἐμειονεκτεῖτο δὲ ἐκ τούτου τὰ περὶ τὸν Ἰλλοῦν· καὶ ὁ ἀντικάστελλος δὲ ὑπὸ τῶν ἔνδον Ῥωμαίοις προεδόθη, ὡς ἐν ἀπογνώσει τοὺς περὶ τὸν Ἰλλοῦν γενέσθαι.

7. Ὑπάτου δὲ τοῦ Λογγίνου κατὰ τὸν ἑξῆς ἀποδεδειγμένου χρόνον (an. 486), ὅτε Θευδέριχος πάλιν εἰς ἀπόστασιν εἶδε, καὶ τὰ περὶ τὴν Θρᾴκην ἐλυμαίνετο χωρία, (καὶ) ὁ Ζήνων πρὸς τὸν Ὀδόακρον τὸ τῶν Ῥόγων ἐπανέστησε γένος, ὡς ἔγνω τοῦτον πρὸς τὴν Ἰλλοῦ συμμαχίαν παρασκευαζόμενον. Λαμπρὰν δὲ ἀναδησαμένων νίκην τῶν περὶ τὸν Ὀδόακρον, πρὸς δὲ καὶ πεμψάντων δῶρα τῷ Ζήνωνι τῶν λαφύρων, ἀποπροσποιησάμενος συνήδετο τοῖς πραχθεῖσιν. Οἱ δὲ τῇ Ἰλλοῦ καὶ Λεοντίου προσεδρεύοντες πολιορκίᾳ, μετὰ τὸ ἐπιτυχεῖν τοῦ ἀντιφρουρίου πολλοῖς μηχανήμασιν ἐχρῶντο. Ἀντικαθεζομένων δὲ τῶν στρατευμάτων, καὶ ἐς λόγους φιλίους ἀνῆλθον Ἰλλοῦς τε καὶ Ἰωάννης ὁ Σκύθης, καὶ γραμμάτιον πρὸς τὸν Ζήνωνα διεπέμψαντο, ὑπομιμνῄσκον αὐτὸν ***.

215.

Exc. De virt. p. 853 : Ὅτι ὁ βασιλεὺς Ἀναστάσιος ἐπὶ τὸ χεῖρον τραπεὶς πᾶσαν ὁμοῦ τὴν τῆς πολιτείας ἀριστοκρατείαν μετέστησε, τὰς μὲν ἀρχὰς ἁπάσας ἀπεμπολῶν καὶ τοῖς ἀδικοῦσι συγχωρῶν, καὶ πρός γε χρημάτων ἀκόρεστον ἐπιθυμίαν τραπείς· ὡς κενὰς ἐντεῦθεν γενέσθαι καταλόγων τὰς ἐπαρχίας, καὶ πρὸς τὸ ἄηθες καὶ ξένον καταπεπλῆχθαι τοὺς ἄνδρας. Οὐδὲ γὰρ ὅπλοις τοὺς ἐπιόντας βαρβάρους ἠμύνετο, ἀλλὰ χρήμασι τὴν εἰρήνην ἐξωνούμενος διετέλει. Πρὸς δέ γε τούτοις καὶ τὰς τῶν τελευτώντων οὐσίας ἐπολυπραγμόνει, κοινὴν ἅπασι δωρούμενος τὴν πενίαν. Ὧν γὰρ αὐτὸς ἐλάμβανε τὰς οὐσίας, τούτοις μετ' ὀλίγον διεδίδου τῷ τῆς εὐσεβείας τρόπῳ· καὶ ὧν ἐγύμνου πόλεων τοὺς ἐνοικοῦντας, τὰς οἰκοδομὰς ἀνενέου· ὡς καὶ τὴν ἐνεγκαμένην [ἐπιμελῶς] κοσμῆσαι, καὶ τρισὶ περιβαλεῖν στεφάνοις.

216.

Ibid. p. 853 : Ὅτι ἐπὶ τοῦ Ἀναστασίου τοῦ βασιλέως δειναὶ ταῖς κατὰ Λιβύην πόλεσιν ἐπέσκηψαν θλίψεις ὑπὸ τῶν καλουμένων Μαζικῶν. Ἐδέδοντο γὰρ θυγατριδῷ Μαρίνου ἐς ἡγεμονίαν, ἀνδρὶ νέῳ καὶ πολὺ τὸ κοῦφον κεκτημένῳ· καὶ μετ' ἐκεῖνον αὖθις Βασσιανῷ τῷ παιδί. Ὁ δὲ οἷς ἔπραξε παντοίως τὰς τοῦ πρὸ αὐτοῦ ἄρξαντος ὑπερβαλλόμενος ἀσελγείας, ἔδωκε Λίβυσιν αἱρεῖσθαι τὰ πρότερα, καὶ ταῦτα τοῖς μὲν πενίας, τοῖς δὲ θανάτου μνήμην καταλείψαντα. Οὕτως, εἰ δέοι εἰπεῖν, οἵ τε ἀφ' αἵματος καὶ ἁπλῶς [οἱ] τὴν Μαρίνου παρευτυχήσαντες εὔνοιαν, τοῖς Λιβύων διαφερόντως καὶ Αἰγυπτίων ἐνεφορήθησαν κτήμασιν.

217.

(Cod. Vatican.) : Λογισάμενος Ἰουστινιανὸς τὴν δαπάνην τῶν τοσούτων χιλιάδων δεῖν ἔκρινε μᾶλλον δι' ὀλίγων δώρων συμβάλλειν ἀλλήλοις τοὺς τῶν ἐθνῶν ἄρχοντας, ἵνα τοὺς μὲν μήτε τοσαῦτα δαπανᾷ εἰς τὸν στρατὸν μήτ' ὀχλεῖται πέμπων κατ' αὐτῶν, ἐκεῖνοι δὲ ἀλλήλοις αἰτία φθορᾶς γίνοιντο, ὃ δῆτα τέως ἐπὶ τοῖς ἐκεῖθεν τοῦ Ἴστρου Οὔννοις ἐποίησεν. Ἔγραψε γὰρ πρὸς

— εἰς τὸ Χέρρεως φρ.] εἰς τὸ Χερρισφρούριον cod. — ἀπολιμπανόντων] ἀπολιπαρόντων cod. — ξ' καὶ *] forte fuit : ξη' μόνον. — ἀπεχώρησαν] f. ἀποχωρῆσαι ἐκέλευσαν. — εἴργαστο] εἰργάσαντο cod. — § 6. τὸν ἐκ Καρδάμων] Κάρδαμα locum non novi. Longinus ille num est frater Zenonis, qui an. 486 consul fuit? Offendit certe hunc ab Joanne designari verbis τὸν ἐκ Καρδάμων, nisi fortasse *Cardama* est nomen castelli, in quo per plures annos Illus eum detinuerat. Cf. Tillemont. p. 516. — τῶν Ῥόγων] τῶν ῥωδίων cod.; τῶν Ῥοδίων dederat Cramer. Fortasse erat τῶν Ῥογίων, sicut in latinis scriptoribus populus ille modo *Rugi* modo *Rugii* vocatur. — παρεθεῖσα] Quid manu leni sit reponendum nescio. An παραλυθεῖσα? Theophanes p. 201, 8 : Βηρίνη δὲ ἐκεῖ (in Papirio cast.) νοσήσασα ἐτελεύτησε, καὶ μετὰ χρόνον ἀνεκομίσθη εἰς τὸ Βυζάντιον ὑπὸ Ἀριάδνης. Cf. Euagr. III, 27. — § 7. νίκην] Odoacer Favam Rugorum regem vicit d. 15 Nov. an. 487, uti disco ex Tillemontio p. 520, qui testem citat Ennadem in Panegyr. Theodorici p. 298. — πρὸς δὲ] προσθὲ codex. — ὑπομιμνῄσκον αὐτόν] ὑπομιμνήσκων cod. F. ὑπομιμνήσκοντες. Reliqua desunt.

Fr. 215. Eadem Suidas v. Ἀναστάσιος. — τὴν τῆς πολιτείας ἀριστοκρατείαν] τὴν βασιλείαν εἰς ἀριστοκρατίαν Suidas. — De fide narrationis Bernhardyus conferri jubet Endlicherum in Priscian. p. 60 sq. — τὴν ἐνεγκαμένην] « Dyrrachium sc., ut testatur Euagrius III, 29. » VALESIUS. V. Procopii Gaz. Panegyr. c. 2. *Bernhardy*. Vocem ἐπιμελῶς addidi e Suida.

Fr. 216. Eadem Suidas l. l. — θυγ. Μαζικῶν] λαζικῶν Suid. ed. Med. — Μαρίνου] sic codex et Suidas habent. Valesius scripsit Μαρίνῳ « At quum Marinum Anastasii nepotem nullus tradiderit, Endlicherus in Prisc. p. 71, aut illud (Μαρίνου) probabat aut ante θυγατριδῷ avum Marini commemoratum opinabatur. » *Bernh.* — αὖθις] Suidas; αὐθὺς Exc.; dein Βασιανῷ Suid. — καὶ ἁπλῶς] om. Suidas.

ἕνα τῶν ἀρχόντων, ὅτι « Τῷ κρείττονι ὑμῶν πέπομφα δῶρα· καὶ ἐγὼ μὲν σὲ οἰόμενος εἶναι τὸν κρείττονα διὰ σὲ τοῦτο ἔγραψα, ἕτερος δέ τις ἀφείλετο ταῦτα βίᾳ λέγων ἐκεῖνος εἶναι κρείττων. Σπούδασον οὖν ὅτι σὺ πάντων ὑπερέχεις, καὶ λάβε τὰ ἀφαιρεθέντα τιμωρησάμενος αὐτὸν κατὰ λόγον. Εἰ δὲ μὴ τοῦτο ποιήσῃς, εὔδηλον ὅτι ἔστιν ὁ μείζων, καὶ πάντως ἡμεῖς ἐκείνῳ προσκεισόμεθα, καὶ σὺ στερηθήσῃ τοσούτων. » Ταῦτα μαθὼν ὁ Οὖννος ἐκρότησε πόλεμον κατὰ τῶν ὁμοεθνῶν. Καὶ οὕτως ἐπὶ πολὺ μαχόμενα ταῦτα τὰ ἔθνη ὑπ' ἀλλήλων ἀπώλοντο.

218.

Ibid. : Ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως σὺν Οὔννοις ἑπτακισχιλίοις διαβὰς τὸν Ἴστρον Ζαβεργὰν ἐγγὺς τῆς βασιλίδος ἔφθασε ληλατῶν τὰ μεταξὺ, ἅτε μὴ στρατιᾶς που φρουρούσης· ἐπὶ μὲν γὰρ τῶν πρὸ αὐτοῦ βασιλέων [εἰς] ἑξακοσίας καὶ τεσσαράκοντα πέντε χιλιάδας μαχίμων ἀνδρῶν ὁ τῶν Ῥωμαίων ἐκορυφοῦτο στρατός· Ἰουστινιανὸς δὲ μόλις εἰς ἑκατὸν καὶ πεντήκοντα περιέστησεν. Ὥστε μηδὲ δύνασθαι ἐξαρκεῖν ἐν τῇ Λαζικῇ καὶ Ἀρμενίᾳ καὶ Λιβύῃ καὶ Γότθοις καὶ Ἰταλίᾳ.

219.

Exc. De virt. p. 853 : Ὅτι εἶχε φίλην ὁ Φωκᾶς Καλλινίκην ἀπὸ προϊσταμένων. Ὁ αὐτὸς Φωκᾶς ὑπῆρχεν αἱμοπότης.

Τέλος τῆς ἱστορίας Ἰωάννου μοναχοῦ.

Fr. 217 et 218. Hæc duo fragmenta de rebus Justiniani *ex Joannis Antiocheni Collectaneis* affert Alemannus in Comment. ad Procop. Hist. arcan. p. 400 et 454 ed. Bonn. Sunt procul dubio Exc. περὶ ἐπιβουλῶν codicis Vaticani. De rebus cf. quæ monet Alemannus l. l. [Fr. 217, l. 4, ἵνα τοὺς μὲν scribendum videtur ἵν' αὐτὸς μέν.]

ADDENDA ET CORRIGENDA.

VOLUMEN I.

PROLEGOMENA.

HECATÆUS. Pag. x, *a*, lin. 7. — *Idem cadit in Strabonis locum* (XII, p. 828 Alm., 550 Cas.) *ubi Hecatæus Xenocratis familiaris* (potius : *discipulus*) *fuisse dicitur.*] Non Strabo, sed editores Strabonis errarunt. Etenim vulgo ap. Strab. legitur : τὴν Ἑκαταίου τοῦ Μιλησίου καὶ Μενεκράτους τοῦ Ἐλαΐτου, τῶν Ξενοκράτους γνωρίμων ἀνδρῶν. Quam lectionem in fragmentis Menecratis (tom. II, p. 342, fr. 3) ita mutavi ut pro ἀνδρῶν scriberem ἀνδρὸς, adeo ut unus Menecrates sit Xenocratis discipulus. Sic enim in tribus certe codicibus legi e Tzschuckio noveram. Nunc e Crameriana editione disco eandem lectionem, a Cramero quoque receptam, etiam in reliquis codicibus esse omnibus, exceptis duobus.

Ibid. in not lin. penult. — Pro ὁ Κιττυὸς scribe : ὁ Κιττιεὺς (deb. ὁ Σιγειεύς).

P. xi, *a*. — Commemoranda h. l. est inscriptio in Lero insula reperta, quam edidit Lud. Rossius (Inscr. gr. ined. fasc. 2, p. 68. an. 1842) : .... [εὔ]νοια[ν] καὶ προθυμίαν δικαίαν παρε[χό]μενο[ς ἐς] τῇ νήσῳ κατοικοῦντας τῶν [πολ]ιτῶν· δεδόχθαι τῇ ἐκκλησίᾳ ἐπ[ῃ]νῆσθαι Ἑκ]αταῖον ὑπὸ τῶν οἰκητόρων τῶν ἐλ Λέρῳ [ἀ]ρετῆς ἕνεκα καὶ ἐπιμελείας, ἣν ἔχει περὶ αὐτούς· ὑπάρχειν δὲ καὶ φιλίαν Ἑκα[ταίῳ] πολλὴν καὶ εὔνοιαν παρὰ τῶν ἐν τῇ νήσῳ κατοικούντων καὶ αὐτῷ καὶ ἐκγόνοις· τὸ δὲ ψήφισμα τόδε ἀν[αγράψ]αι ἐς στήλην λιθίνην καὶ στῆσαι κατὰ τὴν ἀγορὰν, ὅπως [τ]αῦτα.... Demonstrare studet Rossius Lerum tunc non fuisse sui juris civitatem, sed cleruchiam Milesiorum. Quando et qua ratione in hanc redacta fuerit conditionem docere Herodotum (V, 125). Auctorem autem rei fuisse Hecatæum nostrum, quem tamquam οἰκιστὴν et πρόξενον cleruchi in insula honorarint. (Cf. etiam L. Ross. *Reisen in die gr. Inseln* II, p. 119.) Oblocutum his esse Gottfr. Heroldum in *Münchner Gel. Anzeigen* 1843, n. 158 sq. monet Creuzerus in *Wiener Jhrb.* tom. 106, p. 31.

P. xii, *b*, p. 21 sqq. — Tabulam geographicam, quam Aristagoras Cleomeni regi ostendit, ab Hecatæo delineatam fuisse, post Gronovium (ad Herod. V, 49), Santo-Crucium (*Exam. crit. des hist. d'Al.* p. 662), Ukertum (*Geogr.* I, 1, p. 70) et Clausenium nuper etiam Rheinganum (*Gesch. der Erd-und Lænderabbildungen der Alten. Jena* 1839, I, p. 109) et Forbiger. (*Alt. Geogr.* II, p. 58) censuerunt.

Ib. lin. 42. — *ad insulanum quendam.*] Ap. Athenæum pro Καλλίμαχος γὰρ νησιώτῳ αὐτὸ ἀναγράφει, probabiliter cum Dindorfio scribendum est Νησιώτῳ, cujus nominis proprii exempla habes ap. Bœckh. C. Inscr. II, n. 1930, 2655, nec non ap. Plinium in H. N. XXXIV, 8, 9 (ex cod. Bamberg.) et Lucian. Rhet. præc. c. 9; quibus locis itidem nomen proprium viri docti addubitabant usque dum confirmaretur inscriptt. Atheniensibus, de quibus agitur in *Kunstblatt* 1836 N. 16; 1840, N. 17 et in *Pauly's Realencycl.* tom. II, p. 761 v. *Kritios*.

Ib. not. 1. — Dele verba : *Verum nescio etc... continebat.*

P. xvi, *b*, 31. — Fragmentum ex schol. Thucyd. petitum insere p. 26, post fr. 341.

XANTHUS. P. xx, *b*, lin. 12. — Pro : *fr.* 19 lege : *fr.* 102, p. 262. Quæ ibidem leguntur : *atque huic historiæ scribendæ auctorem fuisse* (Ephorus : Ἡροδότῳ τὰς ἀφορμὰς δεδωκέναι), humanissimus censor, Creuzerus (in *Wien. Jhrb.* t. 106, p. 38) parum accurate dicta esse censet, idque merito. Sed de industria ambiguo sermone usus sum, nescius quippe quo potissimum sensu verba Ephori accipienda sint. Ad græca propius accedere licebat vertendo *ansam dedisse*, verum nihilo magis eo modo rem ipsam definiissem. Apponit Creuzerus verba Valckenarii De Aristobulo p. 65, ubi hæc : « Ἀφορμὴν εἰληφότες et ἀφορμηθέντες hinc illinc dicebantur, qui sua partim aliis debebant, sive ex aliorum scriptis derivarant; quique præbuerant aliis materiam, cujus ope potuerint eniti ad sua scribenda, ἀφορμὰς δεδωκότες ». Atque hoc sensu etiam Ephori verba de Xantho intelligenda esse Creuzerus cum Galeo et Larchero (ad Her. t. I, p. 381) censet, adeo ut materiam historiæ Lydiæ scribendæ a Xantho Herodotus acceperit. Contra ipse Valckenarius ad Herodot. p. 300 negat historiæ

patrem Lydica sua e Xantho mutuatum esse. « Qua in re, Creuzerus ait (Hist. ant. fr. p. 143), si probabiliter disputare licet, hactenus incautius judicasse videtur criticus Batavus, quod nimium tribueret illi uni loco Dionysii, in quo discedens a Xanthi sententia Herodotus Tyrrhenos Lydorum colonos facit. Potest enim fieri ut is in re quadam primaria diversa secutus sit, neque tamen in aliis rebus tradendis non ejusdem vestigia legerit. Namque lectitatum ab eo fuisse Xanthi scriptum vix dubitare licet cuiquam, qui meminerit, quod in Præfatione monuimus, eum in ipsis rebus Lydiis aliorum testimonia attigisse. Quidni igitur dicamus, si vere fuerunt illius Lydica, eadem in nonnullis ab ipso adhibita esse? » Verumenimvero tutius jam de re judicare licet, quæ in meras fere conjecturas hucusque retrusa erat. Nacti enim sumus Nicolai, quem Xanthi sectatorem in rebus Lydiis esse nemo nescit, fragmenta luculentissima de rebus Candaulis Gygisque, quæ ab Herodotea narratione tantopere discrepant, ut nihil inveniri possit dissimilius. Igitur e Xantho Herodotum materiam petiisse is demum contendere ausit, qui omnia hæc Dionysii Scytobrachionis sive Pseudo-Xanthi figmenta dixerit. Sed vix quemquam fore puto, qui indolem narrationis vere Lydicas traditiones sapere non agnoverit, quas a vetusto Xanthi opere acceptas Dionysius interpolaverit, ornaverit, partim etiam mutaverit, minime vero de suo omnes effinxisse sit censendus. Num igitur dixeris Xanthi exemplum Herodotum excitasse, ut ipse quoque historias scribendas susciperet; id vero ita eum fecisse, ut in minima illa operis sui parte, quæ de rebus Lydorum est, diversas prorsus traditiones adoptaret, nulla habita ratione Xanthi Lydi? Haud tu probaveris. Immo non noverit unquam Xanthum Herodotus, ut etiamnunc cum Dahlmanno statuo; Ephorus vero fabellam narraverit qualem alii narrarunt de Thucydide Herodotum audiente, et de Hellanico qui Hecatæum apud Amyntam regem convenisse inepte fingitur. Nimirum priscis illis historicis idem prorsus accidit quod philosophis antiquissimis accidisse constat : quos singulos quum disciplinæ et successionis vinculis inter se conjungere serior ætas temere allaboraret, factum est ut historia eorum magna vi mendaciorum sit adulterata. (Cf C. Fr. Hermann. *Disput. De philosophorum ionicorum ætatibus*. Gœtting. 1849, p. 5 sq.)

Ibidem. — Inter eos, qui Xanthi meminerunt, omisi Solinum c. 42 ed. Steph. : *Ingenia Asiatica inclyta per gentes fuere... historiæ conditores Xanthus, Hecatæus, Herodotus, cum quibus Ephorus et Theopompus.*

HELLANICUS. Pag. xxv *a*, lin. 3. — Quodsi Hellanicum non Ol. 74, 3, ut ex conjectura posui, sed Ol. 75, 1, ipso illo anno, quo ad Salaminem Græci vicerunt, natum esse malueris, nihil refragor, neque ipse quidquam conjecturæ meæ tribuo. Simili modo Plutarchus De mal. Her. 39 Adimantum liberos Salaminiæ victoriæ causa appellasse dicit Nausidicen, Acrothinium, Alexibiam, Aristeum, notante Krügero in *Leben des Thucyd.* p. 28.

Ibid. *b*, lin. 30. — *Appendix Deucalioneæ fuisse videtur Asopis.*] Prellerus partem Troicorum fuisse statuit, collato Apollodoro; idque verum esse puto.

P. xxvii *a*, 6-12. — *Itaque quum* etc. Hæc deleas. Præ ceteris cum Hellanici opere genealogico conferri merentur Andronis Halicarnassensis Συγγένειαι, quod opus simili modo adornatum fuisse per est probabile. Vid. tom. II, p. 346. — Ibid. lin. 34 pro *Callisthene* lege *Clisthene.*

P. xxix, *b*, 30. — Τὴν Χίου κτίσιν Prellerus partem Λεσβιακῶν fuisse censet. Res ambigua. — *Ib.* 36-38 dele verba : *accedit... verior sit.*

P. xxx, *b*, 18. — Pro *Ælii Severi* lege *Ælii Dii.* De loco Damasci quem in nota laudavi, v. Lobeck. Aglaopham. p. 340.

P. xxx, *a*, 35. — Orphica theologia Hellanici, quam nonnulli Hieronymo nescio cui (de Rhodio peripatetico cogitare noli) tribuisse videntur, vel quam Hieronymus exscripserat, non referenda est inter spuria Hellanici nostri opera, sed ad alium Hellanicum pertinet, ad eum, puto, cujus filius et ipse de Orpheo scripsisse dicitur. Contra vero Hellanico historico illa affingebantur opera, quæ sunt de Ægyptiis aliisque populis barbaris.

P. xxxi, *a*, 26. — *Libyorum*] l. *Libyum.* — b, 38. *edidit, ut ita dicam, Hieronymus*] l. *aliquis edidit, ut ita dicam.*

P. xxxiv, *a*, not. lin. 12 ab ima. — Lege : *pro* ἐν ταῖς ἱστορίαις *scribendum suspicatur* ἐν ταῖς ἱερείαις.

ACUSILAUS. Pag. xxxvii, *b*. De tabulis æneis cf. Nitzsch. Hist. Hom. p. 73. — Ibid. ad testimonia adde Menand. Περὶ ἐπιδεικτ. in Rhett. gr. tom. IX, p. 144 Walz. : Οἱ μὲν... καὶ τὰς γενεαλογίας μύθους εἶναί φασιν, οἷον, εἰ βούλει, ὅσα γε Ἀκουσίλεως καὶ Ἡσίοδος καὶ Ὀρφεὺς ἐν ταῖς Θεογονίαις εἰρήκασιν.

ANTIOCHUS. Pag. xlv, not. 10 lin. ultim. pro *et Phot. Bibl.* lege : *in Phot. Bibl.* — Ceterum Antiochus, Μυθικῶν auctor, idem esse mihi videtur cum illo Antiocho, cujus Περὶ θεῶν opus laudat

Plutarchus in Lucull. c. 28 (v. locum in fragm. 8 Strabonis, tom. III, p. 492); unde colligas auctorem hunc Pompeii fere ætate vixisse.

PHILISTUS. Pag. XLV. Vit. Philisti, lin. 1. *Archimenidæ filius.*] Sic Hemsterhusius scripsit ad Pollucem X, 42, p. 1191. At Pausanias V, 23 6 (sic lege pro X, 23) habet Ἀρχομενίδου. Veram nominis formam dederit Suidas l. l., apud quem Philistus est Ἀρχωνίδου υἱός.

Pag. XLV, *b*, lin. 4, ab ultima. — Pro: *Ol.* 98, 4, lege: *Ol.* 98, 3 *sec. Diodorum* XV, 7. — In seq. pag. XLVII, *a*, lin. 15, calami lapsu scriptum est *Ol.* 103, 1 pro *Ol.* 98, 3. Ceterum de Diodori narratione ita habet Arnoldtius (*De Athana, Gumbinnæ* 1841, p. 14): « Diodori autem tota ea est narratio ut, etiamsi Philistum Leptinemque Ol. 98, 3 (386) et exterminatos esse et revocatos scribit, res tamen omnis redeat ad conjecturam. Nam ille, posteaquam XV, 6 et 7 generatim atque universe de studiis poeticis locutus est, in quibus factum Ol. 97, 1 (392) per pacem Punicam otium Dionysius prior consumpserit, narrat deinde quam ægre tyrannus Philoxeni Platonisque reprehensionem tulerit, quoque furore etiam in proximos inter eosque in Leptinem fratrem et Philistum familiarem sævierit, ex quo carmina ejus Olympiæ turpiter ceciderint. Sed quanquam Diodorus hunc casum sub Ol. 98, 3, accuratius persecutus est, Dionysii prioris ista ignominia, etiamsi suo loco (XIV, 109) a Diodoro diserte non esset præmonitum, a nobis referri non posset nisi ad Ol. 98, 1 (388. V. Kayser. Hist. crit. tragg. gr. p. 263). Ac Plutarchus quidem pro irato percitoque tyranni animo ut certiorem ita probabiliorem affert Philisti Leptinisque relegationis causam. Sed quoniam ex Diodoro illud saltem colligendum videtur, Dionysii iram, quum Leptinis et Philisti collusio detegeretur, nondum defervisse: bibliothecæ conditor, nisi forte is animi ardor per biennium tenuit, parum verisimili ratione viros illos non ante Ol. 98, 3 in exilium actos fecit. Nam qui Diodori mos est ut ad servandam narrationis perpetuitatem juxta ponat re nexa, temporibus discreta: Philistum Leptinemque quo anno in patriam reductos, eodem item exilio affectos videtur retulisse. Ac Leptinem quidem, ut qui recrudescente bello Punico Ol. 99, 2 in prœlio ad Cronium commisso caderet (Diod. XV, 17; Ælian. V. H. XIII, 45; Plutarch. Mor. p. 738, B), revera circa illud tempus domum revocatum putem; de Philisti autem reditu ad Diodor. XV, 7 jam Wesselingius dubitavit. Nam Diodori testimonium contra Plutarchi et Corn. Nepotis auctoritates eo minus stabit, quo proclivior erat, levi præsertim scriptori, error, ut quos simul e civitate pulsos, eosdem simul esse in patriam reductos scriberet. Quocirca quam diu Leptines exulabat, Philistus habitasse una cum eo videtur, ut Diodorus ait, Thuriis: qua in urbe domus fuisse, quæ hospitibus Syracusanis paterent, neutiquam est cur diffidamus (Schiller. De rebb. Thuriorum p. 35). Posteaquam autem Leptines Syracusas rediit, Philistus relictus in exilio solus sedem ac domicilium subinde mutasse videtur. Nam præter hospitium Hadrianum Plutarchus Epirum quoque memorat, De exil. c. 14, p. 637: Θουκυδίδης Ἀθηναῖος συνέγραψε τὸν πόλεμον τῶν Πελ. καὶ Ἀθ. ἐν Θρᾴκῃ περὶ τὴν Σκαπτὴν ὕλην, Ξενοφῶν ἐν Σκιλλοῦντι τῆς Ἠλείας, Φίλιστος ἐν Ἠπείρῳ κτλ. »

P. XLII, *a*, not. 2. — Adde Marcellin. Vit. Thuc. § 27: Οἱ πολλοὶ τοῖς ἰδίοις πάθεσι συνέθεσαν τὰς ἱστορίας, ἥκιστα μελῆσαν αὐτοῖς τῆς ἀληθείας... Τίμαιος δ' ὁ Ταυρομενίτης Τιμολέοντα ὑπερεπῄνεσε τοῦ μετρίου, καθότι Ἀνδρόμαχον τὸν αὐτοῦ πατέρα οὐ κατέλυσε τῆς μοναρχίας, Φίλιστος δὲ τῷ νέῳ Διονυσίῳ τοῖς λόγοις πολεμεῖ (προσπολεμεῖ conj. Grauert; an κολακεύει?).

P. XLVII, *b*, lin. 19 ab ima. — Post: *Cum Timonide facit etiam Tzetzes*, adde: *Eadem magis etiam exaggerat Timæus ap. Plutarch. l. laudato.*

P. XLVIII, *b*, lin. 16. — Dele verba: *quos neque Diodorus XV*, 94 *in computum suum refert.* Vide tom. II, p. 81 sq.

P. XLIX, *a*, lin. 24. — Pro: *retractavit eam et ad finem perduxit*, lege: *eam ad finem perduxit.*

P. XLIX, *a*, lin. 29. — *Quod ei ridicule sane crimini vertit Dionysius Hal.*] Succurrere Dionysio studet Krügerus in Dionys. Historiographicis p. 46. Etenim quæ in Dionysio leguntur: Φίλιστος δὲ μιμητής ἐστι Θουκυδίδου... Ἐζήλωκε δὲ πρῶτον μὲν τὸ τὴν ὑπόθεσιν ἀτελῆ καταλιπεῖν τὸν αὐτὸν ἐκείνῳ τρόπον, ea ita mutanda esse censet, ut pro ἀτελῆ καταλιπεῖν legendum sit ἀφελῆ ἐκλέγειν, *argumentum simplex sibi eligere.* « Nam quum ineptum sit credere, inquit, historicum de industria opus suum non absolvisse, tum longe ineptius est, hanc primam ejus cum Thucydide similitudinis notam ponere, quum potius de argumenti, quod elegerit, natura dicendum fuisse videatur. » Equidem ejusmodi ineptias quæ ab historiæ ignorantia proficiscuntur, minime alienas esse a Dionysio, leviusculo sane historico, usu doctus dudum mihi persuasi.

TIMÆUS. P. L, not. 3. — Dele verba: *nisi forte Neanthes Cyzicenus* et quæ sequuntur.

Pag. LI *b*, lin. 36. — Libri tres De regibus Syriæ, quos Timæo Suidas affingit, probabiliter re-

ferendi sunt ad *Athenæum*, quem de iis scripsisse compertum habemus. Vide tom. III, p. 657.

Pag. LIV, not. 1. — Adde : Anecd. Paris. I, p. 392, cod. 2610 fol. 31 : Τίμαιος ὁ Ταυρομένιος γραοσυλλέκτρια ἐλέγετο διὰ τὸ τὰ τυχόντα ἀναγράφειν.

Pag. LVI, *a*, lin. 10 ab ima. — Ad Agatharchidis testimonium adde : Vitruv. VIII, 4 : *Theophrastus, Timæus, Posidonius, Hegesias, Herodotus, Aristides, Metrodorus, qui magna vigilantia et infinito studio locorum proprietates, aquarum virtutes, ab inclinatione cœli regionum qualitates, ita distributas esse scriptis declaraverunt.*

Pag. LVI, *b*, not., lin. 4 ab ima. — Dele verba : *ita tamen emendari potest* etc. Nihil emendandum, quum omnia sana sint. Vide Fragm. Chronol. p. 124 sq., ubi de computu Timæi exposui.

EPHORUS. P. LVII, *b*, et LVIII, *a*. — Quod ibi probare studuimus apud Suidam pro ἐννεακοστῆς τρίτης Ὀλ. legendum esse ἑκατοστῆς τρίτης, confirmatur loco Eudociæ p. 230, ubi : ἐπὶ τῆς ργ' Ὀλυμπ.

P. LXIII, *b*, lin. 2. Pro *mutuata* lege *mutuatum*.

THEOPOMPUS. P. LXV, *b*, not., lin. 8 ab ima. — Pro Θεογόνῳ Welckerus restitui voluit Θεοπόμπῳ. Potius corrigendum videtur Θεογένῃ. Vide tom. II, p. 12.

P. LXVII *a*, not. 2. — De his v. Welcker. *Gr. Trag.* p. 1070 sq.

P. LXVII, *b*, lin. 6 ab ima. — Pro : *Isocratis discipulus* lege : *Metrodori Isocratici disc.*

P. LXVIII, *a*. — In vita Theopompi fabulam non commemoravi quam narrat Josephus A. J. XII, 2, 13. Etenim Ptolemæus rex cum Demetrio Phalereo confabulans mirari se ait qui fiat ut admirabiles istas leges Judæorum neque historicus unquam neque poeta attigisset. Ὁ δὲ Δημήτριος μηδένα τολμῆσαι τῆς τῶν νόμων τούτων ἀναγραφῆς ἅψασθαι, διὰ τὸ θείαν αὐτὴν εἶναι καὶ σεμνήν, ἔφασκε, καὶ ὅτι βλαβεῖεν ἤδη τινὲς τούτοις ἐπιχειρήσαντες ὑπὸ τοῦ Θεοῦ, δηλῶν ὡς Θεόπομπος βουληθεὶς ἱστορῆσαί τι περὶ τούτων ἐταράχθη τὴν διάνοιαν πλείοσιν ἢ τριάκοντα ἡμέραις, καὶ παρὰ τὰς ἀνέσεις ἐξιλάσκετο τὸν Θεόν, ἐντεῦθεν αὐτῷ γενέσθαι τὴν παραφροσύνην ὑπονοῶν· οὐ μὴν ἀλλὰ καὶ ὄναρ εἶδεν, ὅτι τοῦτ' αὐτῷ συμβαίη περιεργαζομένῳ τὰ θεῖα καὶ ταῦτ' ἐκφέρειν ἐπὶ κοινοὺς ἀνθρώπους θελήσαντι· καὶ ἀποσχόμενος κατέστη τὴν διάνοιαν. Eadem narrant Euseb. P. Ev. VIII, p. 354; Cedren. p. 165 ed. Paris. et Anonym. in Chron. cod. Parisin. 854 in Cram. Anecd. Par. II, p. 272. — Denique inter historicos una cum Charace καὶ ἄλλοις ἀναρίθμοις Theopompum recenset Euagrius H. Eccl. V, 24.

